# ΓΕΝΕΣΙΣ

## ΓΕΝΕΣΙΣ 1

Γεν. 1,1 - Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν.
Γεν. 1,1 - Κατ' αρχάς ο απειροτελειος Θεός εδημιούργησεν εκ του μηδενός το σύμπαν, τον ουρανόν και την γην.
Γεν. 1,2 - ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος.
Γεν. 1,2 - Η γη ήτο αόρατος, αδιαμόρφωτος και απρόσφορος δια τον ζωϊκόν και φυτικόν κόσμον· σκοτάδι δε ηπλώνετο επάνω από τα ύδατα που την εσκέπαζον, το δε ζωοποιόν Πανάγιον Πνεύμα εφέρετο επάνω από τα ύδατα και περιέβαλλεν αυτήν.
Γεν. 1,3 - καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ ἐγένετο φῶς.
Γεν. 1,3 - Και είπεν ο Θεός· “να γίνη φως επί της γης”· και έγινε φως.
Γεν. 1,4 - καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους.
Γεν. 1,4 - Και είδεν ο παντογνώστης Θεός το φως ότι είναι καλόν και σκόπιμον· και εχώρισεν ο Θεός το σκότος από το φως.
Γεν. 1,5 - καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε νύκτα. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία.
Γεν. 1,5 - Και ωνόμασεν ο Θεός το φως ημέραν και το σκότος ωνόμασε νύκτα. Και έγινεν εσπέρα και έγινε πρωϊ και έκλεισεν η πρώτη ημέρα της δημιουργίας.
Γεν. 1,6 - Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτως.
Γεν. 1,6 - Και είπεν ο Θεός· “να γίνη ο ουράνιος θόλος της γης μεταξύ των υδάτων, που καλύπτουν την επιφάνειάν της και των νεφών που αιωρούνται εις την ατμόσφαιραν, και να διαχωρίζη μεταξύ των υδάτων της γης και των υδάτων του ουρανού”. Και έγινεν όπως ο Θεός διέταξε.
Γεν. 1,7 - καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος.
Γεν. 1,7 - Και έδωσεν ύπαρξιν ο Θεός στον ουράνιον θόλον και διεχώρισε τα ύδατα, τα οποία ήσαν επί της γης κάτω από τον ουρανόν, από τα νερά, τα οποία ήσαν επάνω εις τα νέφη του ουρανού.
Γεν. 1,8 - καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανόν. καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν, καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα.
Γεν. 1,8 - Και ωνόμασεν ο Θεός την ατμόσφαιραν ουρανόν. Και είδεν ο παντογνώστης Θεός ότι το έργον του αυτό ήτο ωραίον και σκόπιμον. Και έγινεν εσπέρα, έγινε πρωί και έκλεισεν η δευτέρα ημέρα της δημιουργίας.

Γεν. 1,9 - Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. καὶ ἐγένετο οὕτως. καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά.

Γεν. 1,9 - Και είπεν ο Θεός· "ας συναχθή το ύδωρ, το οποίον καλύπτει ολόκληρον την γην, εις ωρισμένην περιοχήν και ας φανή η ξηρά". Και έγινεν, όπως ο Θεός διέταξε· και εμαζεύθη όλον το ύδωρ της γης εις τας βαθείας περιοχάς των ωκεανών και θαλασσών, και εφάνη η ξηρά.

Γεν. 1,10 - καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε θαλάσσας. καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν.

Γεν. 1,10 - Και ωνόμασεν ο Θεός την εκτός της θαλάσσης έκτασιν γην, τας δε μεγάλας περιοχάς των υδάτων ωνόμασε θαλάσσας. Και είδεν ο Θεός ότι η θάλασσα και η ξηρά είναι καλαί, έχουν τον σκοπόν και την χρησιμότητά των.

Γεν. 1,11 - καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ᾿ ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως.

Γεν. 1,11 - Και είπεν ο Θεός· "ας φυτρώσουν και ας αναπτυχθούν εις την ξηράν χλόη και ποώδεις θάμνοι, που το κάθε είδος από αυτά θα έχη το ιδικόν του σπέρμα, δια να διαιωνίζεται επί της γης"· και εν συνεχεία διέταξεν ο Θεός· "να φυτρώσουν και να μεγαλώσουν εις την γην καρποφόρα ξυλώδη δένδρα, έκαστον από τα οποία θα φέρη κατά το είδος του το ιδικόν του σπέρμα".

Γεν. 1,12 - καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ᾿ ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς.

Γεν. 1,12 - Και έβγαλε πράγματι η γη ποώδη βλάστησιν, χλόην και θάμνους, κάθε είδος από τα οποία είχε το σπέρμα αυτού δια την διατήρησίν του. Και κατόπιν εφύτρωσαν και εμεγάλωσαν επί της γης καρποφόρα δένδρα, έκαστον από τα οποία έφερε το σπέρμα του είδους του, δια να διαιωνίζεται επί της γης.

Γεν. 1,13 - καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

Γεν. 1,13 - Είδεν ο Θεός ότι η χλόη, οι θάμνοι και τα δένδρα, που εκάλυψαν όλην την επιφάνειαν της ξηράς, ήσαν καλά, σκόπιμα και χρήσιμα. Εγινεν εσπέρα, έγινε πρωί και συνεπληρώθη η τρίτη ημέρα της δημιουργίας.

Γεν. 1,14 - Καὶ εἶπεν ὁ Θεός· γενηθήτωσαν φωστῆρες ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ εἰς φαῦσιν ἐπὶ τῆς γῆς, τοῦ διαχωρίζειν ἀνὰ μέσον τῆς ἡμέρας καὶ ἀνὰ μέσον τῆς νυκτός· καὶ ἔστωσαν εἰς σημεῖα καὶ εἰς καιροὺς καὶ εἰς ἡμέρας καὶ εἰς ἐνιαυτούς·

Γεν. 1,14 - Και είπεν ο Θεός· “ας γίνουν (ας φανούν) εις τον ουρανόν της γης φωτεινοί αστέρες, δια να φωτίζουν την γην και να χωρίζουν την ημέραν από την νύκτα. Ας είναι οι αστέρες αυτοί εις σημεία μετεωρολογικών και άλλων φαινομένων, και ας χρησιμεύουν εις κανονικήν μεταβολήν και διάκρισιν των εποχών του έτους, των ημερών και των ετών.

Γεν. 1,15 - καὶ ἔστωσαν εἰς φαῦσιν ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς. καὶ ἐγένετο οὕτως.

Γεν. 1,15 - Προ παντός δε ας είναι αυτοί στον ουρανόν, ώστε να φωτίζουν την γην”. Και έγινεν όπως ο Θεός διέταξε.

Γεν. 1,16 - καὶ ἐποίησεν ὁ Θεὸς τοὺς δύο φωστῆρας τοὺς μεγάλους, τὸν φωστῆρα τὸν μέγαν εἰς ἀρχὰς τῆς ἡμέρας καὶ τὸν φωστῆρα τὸν ἐλάσσω εἰς ἀρχὰς τῆς νυκτός, καὶ τοὺς ἀστέρας.

Γεν. 1,16 - Και έκαμεν ο Θεός τους δύο μεγάλους αστέρας, τον ήλιον, τον μεγάλον αστέρα, να άρχη με το φως του όλην την ημέραν. Και τον μικρότερον αστέρα, την σελήνην, να άρχη με το φως της κατά την νύκτα. Επίσης διέταξε να φανούν και οι άλλοι αστέρες του ουρανού.

Γεν. 1,17 - καὶ ἔθετο αὐτοὺς ὁ Θεὸς ἐν τῷ στερεώματι τοῦ οὐρανοῦ, ὥστε φαίνειν ἐπὶ τῆς γῆς

Γεν. 1,17 - Και έθεσεν αυτούς ο Θεός στο ουράνιον στερέωμα, δια να στέλλουν το φως των επάνω εις την γην·

Γεν. 1,18 - καὶ ἄρχειν τῆς ἡμέρας καὶ τῆς νυκτὸς καὶ διαχωρίζειν ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν.

Γεν. 1,18 - να εξουσιάζουν την ημέραν και την νύκτα και να ξεχωρίζουν το φως από το σκότος. Και είδεν ο παντογνώστης Θεός, ότι το έργον του αυτό ήτο καλόν, χρήσιμον και σκόπιμον.

Γεν. 1,19 - καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τετάρτη.

Γεν. 1,19 - Εγινεν εσπέρα, έγινε πρωί και συνεπληρώθη η τετάρτη ημέρα της δημιουργίας.

Γεν. 1,20 - Καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω τὰ ὕδατα ἑρπετὰ ψυχῶν ζωσῶν καὶ πετεινὰ πετόμενα ἐπὶ τῆς γῆς κατὰ τὸ στερέωμα τοῦ οὐρανοῦ. καὶ ἐγένετο οὕτως.

Γεν. 1,20 - Και είπεν ο Θεός· “να βγάλουν τα ύδατα των θαλασσών ψάρια και ερπετά και πτηνά, τα οποία θα πετούν εις την ατμόσφαιραν μεταξύ του ουρανίου θόλου και της γης”. Και έγινεν έτσι.

Γεν. 1,21 - καὶ ἐποίησεν ὁ Θεὸς τὰ κήτη τὰ μεγάλα καὶ πᾶσαν ψυχὴν ζῴων ἑρπετῶν, ἃ ἐξήγαγε τὰ ὕδατα κατὰ γένη αὐτῶν, καὶ πᾶν πετεινὸν πτερωτὸν κατὰ γένος. καὶ εἶδεν ὁ Θεός, ὅτι καλά.

Γεν. 1,21 - Και εδημιούργησεν ο Θεός τα μεγάλα κήτη και τα ψάρια και τα ερπετά, τα οποία σύμφωνα με την διαταγήν του έβγαλαν τα ύδατα έκαστον κατά το ειδός αυτού· καθώς και όλα τα είδη των πτηνών καθένα κατά το είδος

του. Και είδεν ο Θεός ότι όλα ήσαν καλά και χρήσιμα δια τον σκοπόν, δια τον οποίον έγιναν.

Γεν. 1,22 - καὶ εὐλόγησεν αὐτὰ ὁ Θεός, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὰ ὕδατα ἐν ταῖς θαλάσσαις, καὶ τὰ πετεινὰ πληθυνέσθωσαν ἐπὶ τῆς γῆς.

Γεν. 1,22 - Και ευλόγησεν αυτά ο Θεός λέγων· "γίνεσθε γόνιμα, αυξάνεσθε και πολλαπλασιάζεσθε και γεμίσατε τα ύδατα των θαλασσών. Και τα πετεινά επίσης ας πληθυνθούν επάνω εις την γην".

Γεν. 1,23 - καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα πέμπτη.

Γεν. 1,23 - Και έγινεν εσπέρα και έγινε πρωϊ και συνεπληρώθη η πέμπτη ημέρα της δημιουργίας.

Γεν. 1,24 - Καὶ εἶπεν ὁ Θεός· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία τῆς γῆς κατὰ γένος. καὶ ἐγένετο οὕτως.

Γεν. 1,24 - Και είπεν ο Θεός· "ας βγάλη η γη ζώα διαφόρων ειδών, τετράποδα και ερπετά και θηρία της ξηράς, το καθένα κατά το είδος του". Και έγινε έτσι.

Γεν. 1,25 - καὶ ἐποίησεν ὁ Θεὸς τὰ θηρία τῆς γῆς κατὰ γένος, καὶ τὰ κτήνη κατὰ γένος αὐτῶν καὶ πάντα τὰ ἑρπετὰ τῆς γῆς κατὰ γένος αὐτῶν. καὶ εἶδεν ὁ Θεός, ὅτι καλά.

Γεν. 1,25 - Και εδημιούργησεν ο Θεός τα θηρία της γης κατά τα είδη αυτών, και τα κτήνη κατά τα είδη αυτών και όλα τα ερπετά της γης κατά τα είδη αυτών. Και είδεν ο Θεός ότι είναι καλά, σκόπιμα και χρήσιμα.

Γεν. 1 ,26 - καὶ εἶπεν ὁ Θεός· ποιήσωμεν ἄνθρωπον κατ᾿ εἰκόνα ἡμετέραν καὶ καθ᾿ ὁμοίωσιν, καὶ ἀρχέτωσαν τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ γῆς γῆς.

Γεν. 1,26 - Εν συνεχεία ο Τριαδικός Θεός είπε καθ' εαυτόν· "ας δημιουργήσωμεν τώρα τον άνθρωπον, σύμφωνα με την ιδικήν μας εικόνα, και να έχη την δυνατότητα να ομοιάση με ημάς. Αυτοί, άνδρας και γυναίκα, ας είναι άρχοντες και κύριοι των ιχθύων της θαλάσσης, των πτηνών του ουρανού, των κτηνών και όλης της γης και όλων όσα έρπουν επάνω εις την επιφάνειαν της γης".

Γεν. 1,27 - καὶ ἐποίησεν ὁ Θεὸς τὸν ἄνθρωπον, κατ᾿ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν, ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτούς.

Γεν. 1,27 - Και πράγματι ο απειροτέλειος Θεός εδημιούργησε τον άνθρωπον, τον οποίον επροίκισε με ιδικά του χαρακτηριστικά γνωρίσματα, ώστε να είναι με αυτά εικών του Θεού. Εδημιούργησεν απ' αρχής άνδρα και γυναίκα.

Γεν. 1,28 - καὶ εὐλόγησεν αὐτοὺς ὁ Θεός, λέγων· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς καὶ ἄρχετε

τῶν ἰχθύων τῆς θαλάσσης καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ καὶ πάντων τῶν κτηνῶν καὶ πάσης τῆς γῆς καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων ἐπὶ τῆς γῆς.

Γεν. 1,28 - Και ευλόγησεν αυτούς ο Θεός λέγων· "αυξάνεσθε και πληθύνεσθε, γεμίσατε όλην την γην και γενήτε κύριοι αυτής· σας δίδω την δύναμιν να είσθε κύριοι και εξουσιασταί των ιχθύων της θαλάσσης και των πτηνών του ουρανού, όλων των κτηνών και όλης της γης και όλων όσα, ως ερπετά, σύρονται επάνω εις την επιφάνειαν της γης".

Γεν. 1,29 - καὶ εἶπεν ὁ Θεός· ἰδοὺ δέδωκα ὑμῖν πάντα χόρτον σπόριμον σπεῖρον σπέρμα, ὅ ἐστιν ἐπάνω πάσης τῆς γῆς, καὶ πᾶν ξύλον, ὃ ἔχει ἐν ἑαυτῷ καρπὸν σπέρματος σπορίμου, ὑμῖν ἔσται εἰς βρῶσιν·

Γεν. 1,29 - Και εν συνεχεία είπεν ο Θεός· "ιδού έχω δώσει υπό την κυριότητά σας και εις εξυπηρέτησίν σας όλα τα ειδη του χόρτου, τα οποία έχουν εν εαυτοίς σπέρματα και είναι απλωμένα εις ολόκληρον την γην, και κάθε δένδρον, το οποίον φέρει καρπόν προς τροφήν σας και σπέρμα προς πολλαπλασιασμόν και διαιώνισίν του. Ολα αυτά, χόρτα της γης και καρποί των δένδρων, θα είναι εις διατροφήν σας.

Γεν. 1,30 - καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ παντὶ ἑρπετῷ ἕρποντι ἐπὶ τῆς γῆς, ὃ ἔχει ἐν ἑαυτῷ ψυχὴν ζωῆς, καὶ πάντα χόρτον χλωρὸν εἰς βρῶσιν. καὶ ἐγένετο οὕτως.

Γεν. 1,30 - Σας δίδω επίσης κυριότητα επί όλων των θηρίων της γης, επί όλων των πτηνών του ουρανού και επί όλων των ερπετών, που σύρονται εις την γην· εις όλας αυτάς τας ζώσας υπάρξεις δίδω επίσης ως τροφήν το χλωρόν χόρτον της γης". Και έγινεν όπως ο Θεός διέταξε.

Γεν. 1,31 - καὶ εἶδεν ὁ Θεὸς τὰ πάντα, ὅσα ἐποίησε, καὶ ἰδοὺ καλὰ λίαν. καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα ἕκτη.

## ΓΕΝΕΣΙΣ 2

Γεν. 2,1 - Καὶ συνετελέσθησαν ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ πᾶς ὁ κόσμος αὐτῶν.

Γεν. 2,1 - Ούτω δε ετελείωσεν η δημιουργία του σύμπαντος, του ουρανού και της γης, και όλος αυτών ο στολισμός, η αρμονία και η λαμπρότης.

Γεν. 2,2 - καὶ συνετέλεσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ τὰ ἔργα αὐτοῦ, ἃ ἐποίησε, καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἐποίησε.

Γεν. 2,2 - Κατά την έκτην ημέραν ετελείωσεν ο Θεός τα έργα αυτού, όσα έκαμε, και ανεπαύθη κατά την εβδόμην ημέραν από όλα τα έργα αυτού, τα οποία εδημιούργησεν εκ του μηδενός και εμορφοποίησεν.

Γεν. 2,3 - καὶ εὐλόγησεν ὁ Θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν· ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὧν ἤρξατο ὁ Θεὸς ποιῆσαι.

Γεν. 2,3 - Ευλόγησε δε ο Θεός την ημέραν την εβδόμην, ηγίασεν αυτήν και ως αγίαν την ώρισε, διότι κατ' αυτήν κατέπαυσε την δημιουργίαν του και ανεπαύθη μετά την δημιουργίαν των έργων, τα οποία από της πρώτης ημέρας ήρχισε να δημιουργή.

Γεν. 2,4 - Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο· ᾗ ἡμέρᾳ ἐποίησε Κύριος ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν

Γεν. 2,4 - Αυτή είναι η ιστορία της δημιουργίας του ουρανού και της γης, όταν αυτά ετελείωσαν και ωλοκληρώθησαν. Αυτή είναι η δημιουργία του σύμπαντος, όταν ο απειροτέλειος Θεός εδημιούργησεν εκ του μηδενός το σύμπαν, τον ουρανόν και την γην.

Γεν. 2,5 - καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς καὶ πάντα χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ Θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι αὐτήν·

Γεν. 2,5 - Δεν υπήρχον όμως ακόμη χλόη και θάμνοι των αγρών και δεν είχον βλαστήσει φυτά του αγρού. Διότι δεν είχεν αποστείλει βροχάς ο Θεός εις την γην και δεν υπήρχεν άνθρωπος να εργάζεται και να καλλιεργή τους αγρούς.

Γεν. 2,6 - πηγὴ δὲ ἀνέβαινεν ἐκ τῆς γῆς καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον τῆς γῆς.

Γεν. 2,6 - Ανέβλυζαν δε πηγαί και επότιζαν με τα ύδατά των όλην την επιφάνειαν της ξηράς.

Γεν. 2,7 - καὶ ἔπλασεν ὁ Θεὸς τὸν ἄνθρωπον, χοῦν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν.

Γεν. 2,7 - Ο Θεός έπλασε τον άνθρωπον με χώμα από την γην (χοϊκόν) και ενεφύσησεν στο πρόσωπον αυτού πνεύμα ζων, την αθάνατον ψυχήν· έτσι δε έγινεν ο άνθρωπος ζώσα υλικοπνευματική ύπαρξις.

Γεν. 2,8 - Καὶ ἐφύτευσεν ὁ Θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολὰς καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον, ὃν ἔπλασε.

Γεν. 2,8 - Διέταξε δε ο Θεός και εφύτρωσε και εβλάστησεν εις την περιοχήν της Εδέμ προς ανατολάς κήπος, ο παράδεισος, και εκεί ετοποθέτησε τον άνθρωπον, τον οποίον έπλασε.

Γεν. 2,9 - καὶ ἐξανέτειλεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ.

Γεν. 2,9 - Εκαμε δε ο Θεός να βλαστήσουν από την γην όλα τα είδη των δένδρων, τα οποία είναι ωραία εις την όρασιν, ευχάριστα εις την γεύσιν και

θρεπτικά, καθώς επίσης διέταξε και εφύτρωσε το δένδρον της ζωής εν μέσω του παραδείσου και το δένδρον της γνώσεως του καλού και του κακού.

Γεν. 2,10 - ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ ποτίζειν τὸν παράδεισον· ἐκεῖθεν ἀφορίζεται εἰς τέσσαρας ἀρχάς.

Γεν. 2,10 - Ποταμός δε πηγάζει και απλώνεται από την Εδέμ, ώστε να ποτίζη τον παράδεισον. Από εκεί δε εξέρχεται και διαχωρίζεται εις τέσσαρας κατευθύνσεις.

Γεν. 2,11 - ὄνομα τῷ ἑνὶ Φισῶν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλάτ, ἐκεῖ οὗ ἐστι τὸ χρυσίον·

Γεν. 2,11 - Το όνομα του ενός εκ των τεσσάρων αυτών ποταμών είναι Φισών. Αυτός περικυκλώνει και ποτίζει όλην την περιοχήν Ευϊλάτ, όπου υπάρχει ο χρυσός.

Γεν. 2,12 - τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος.

Γεν. 2,12 - Ο χρυσός της χώρας εκείνης είναι αγνός και πολύτιμος. Εις την χώραν αυτήν επίσης υπάρχουν και δύο άλλοι πολύτιμοι λίθοι, ο απαστράπτων άνθραξ και ο πράσινος λίθος.

Γεν. 2,13 - καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεῶν· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Αἰθιοπίας.

Γεν. 2,13 - Το όνομα του δευτέρου ποταμού είναι Γεών· αυτός διαρρέει όλην την γην της Αιθιοπίας.

Γεν. 2,14 - καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις· οὗτος ὁ προπορευόμενος κατέναντι Ἀσσυρίων. ὁ δὲ ποταμὸς ὁ τέταρτος Εὐφράτης.

Γεν. 2,14 - Και ο ποταμός ο τρίτος είναι ο Τιγρις· αυτός διέρχεται εμπρός από την χώραν των Ασσυρίων. Ο δε τέταρτος ποταμός είναι ο Ευφράτης.

Γεν. 2,15 - Καὶ ἔλαβε Κύριος ὁ Θεὸς τὸν ἄνθρωπον, ὃν ἔπλασε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ τῆς τρυφῆς, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν.

Γεν. 2,15 - Ελαβε Κυριος ο Θεός τον άνθρωπον, τον οποίον εδημιούργησε, και έθεσεν αυτόν στον παράδεισον της χαράς και της τέρψεως, δια να εργάζεται εις αυτόν και να τον φυλάσση.

Γεν. 2,16 - καὶ ἐνετείλατο Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ λέγων· ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ,

Γεν. 2,16 - Εδωσε δε εντολήν Κυριος ο Θεός στον Αδάμ λέγων· “από όλα τα καρποφόρα δένδρα που υπάρχουν στον παράδεισον, σας δίδω το δικαίωμα να τρώγετε.

Γεν. 2,17 - ἀπὸ δὲ τοῦ ξύλου τοῦ γινώσκειν καλὸν καὶ πονηρόν, οὐ φάγεσθε ἀπ᾿ αὐτοῦ· ᾗ δ᾿ ἂν ἡμέρᾳ φάγητε ἀπ᾿ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε.

Γεν. 2,17 - Από το δένδρον όμως της γνώσεως του καλού και κακού δεν πρέπει ποτέ να φάγετε από αυτό. Κατά δε την ημέραν κατά την οποίαν θα φάγετε από τον καρπόν του, θα χάσετε το δικαίωμα της αθανασίας, θα αποθάνετε σωματικώς και θα χωρισθήτε από εμέ, που σας έδωσα την ζωήν".

Γεν. 2,18 - Καὶ εἶπε Κύριος ὁ Θεός· οὐ καλὸν εἶναι τὸν ἄνθρωπον μόνον· ποιήσωμεν αὐτῷ βοηθὸν κατ᾿ αὐτόν.

Γεν. 2,18 - Ο δε Τριαδικός Θεός είπε καθ' εαυτόν· "δεν είναι καλόν να μείνη μόνος του ο άνθρωπος. Ας δημιουργήσωμεν προς χάριν αυτού βοηθόν του, πλάσμα όμοιον με αυτόν".

Γεν. 2,19 - καὶ ἔπλασεν ὁ Θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδάμ, ἰδεῖν τί καλέσει αὐτά. καὶ πᾶν ὃ ἐὰν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ.

Γεν. 2,19 - Πριν όμως δημιουργήση ο Θεός την βοηθόν του Αδάμ, την Εύαν, ωδήγησεν ενώπιον του Αδάμ όλα τα θηρία του αγρού και όλα τα πτηνά του ουρανού, τα οποία εδημιούργησε, δια να ίδη αυτά ο Αδάμ και να τους δώση το κατάλληλον όνομα. Και το όνομα, το οποίον θα έδιδεν ο Αδάμ στο καθένα από αυτά, τούτο το όνομα και θα έμενεν εις αυτό.

Γεν. 2,20 - καὶ ἐκάλεσεν Ἀδὰμ ὀνόματα πᾶσι τοῖς κτήνεσι καὶ πᾶσι τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ πᾶσι τοῖς θηρίοις τοῦ ἀγροῦ· τῷ δὲ Ἀδὰμ οὐχ εὑρέθη βοηθὸς ὅμοιος αὐτῷ.

Γεν. 2,20 - Και ο Αδάμ με την σοφίαν, την κρίσιν και την γνώσιν που είχεν, έδωσεν ονόματα εις όλα τα κτήνη και εις όλα τα πτηνά του ουρανού και εις όλα τα θηρία της υπαίθρου. Κανένα όμως από τα ζώα αυτά δεν ευρέθη βοηθός όμοιος με τον Αδάμ, άξιος και ευχάριστος εις αυτόν.

Γεν. 2,21 - καὶ ἐπέβαλεν ὁ Θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδάμ, καὶ ὕπνωσε· καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ καὶ ἀνεπλήρωσε σάρκα ἀντ᾿ αὐτῆς.

Γεν. 2,21 - Τοτε ο Θεός, δια να αναπληρώση την έλλειψιν αυτήν, έφερεν έκστασιν στον Αδάμ, ο οποίος και εκοιμήθη βαθύτατα. Ελαβε τότε μίαν από τας πλευράς του Αδάμ και συνεπλήρωσε δια σαρκός το κενόν της αναιρεθείσης αυτής πλευράς.

Γεν. 2,22 - καὶ ᾠκοδόμησεν ὁ Θεὸς τὴν πλευράν, ἣν ἔλαβεν ἀπὸ τοῦ Ἀδάμ, εἰς γυναῖκα καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδάμ.

Γεν. 2,22 - Και κατεσκεύασε και εμορφοποίησε την πλευράν, την οποίαν έλαβεν από τον Αδάμ, εις γυναίκα, την οποίαν και έφερε προς αυτόν.

Γεν. 2,23 - καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστέων μου καὶ σὰρξ ἐκ τῆς σαρκός μου· αὕτη κληθήσεται γυνή, ὅτι ἐκ τοῦ ἀνδρὸς αὐτῆς ἐλήφθη αὕτη·

Γεν. 2,23 - Οταν δε ο Αδάμ εξύπνησε και είδε την γυναίκα είπεν· "αυτό είναι πλέον οστούν από τα οστά μου και σαρξ από την σάρκα μου. Αυτή θα

ονομασθή γυνή (ανδρίς), διότι έγινεν από τον άνδρα αυτής.

Γεν. 2,24 - ἕνεκεν τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτοῦ καὶ τὴν μητέρα καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.

Γεν. 2,24 - Ενεκα του στενού τούτου συνδέσμου του ανδρός προς την γυναίκα, στο μέλλον κάθε ανήρ θα αφήνη τον πατέρα και την μητέρα του και θα συνδέεται στενότατα με την γυναίκα του, ώστε οι δύο να γίνουν πλέον μία σαρξ δια της συζυγίας”.

Γεν. 2,25 - καὶ ἦσαν οἱ δύο γυμνοί, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο.

Γεν. 2,25 - Ησαν δε και οι δύο γυμνοί, ο Αδάμ και η γυναίκα αυτού, και δεν εντρέποντο ο ένας τον άλλον, διότι ήσαν αγνοί και αθώοι.

## ΓΕΝΕΣΙΣ 3

Γεν. 3,1 - Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε Κύριος ὁ Θεός. καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· τί ὅτι εἶπεν ὁ Θεός, οὐ μὴ φάγητε ἀπὸ παντὸς ξύλου τοῦ παραδείσου;

Γεν. 3,1 - Ο όφις ήτο το ευφυέστερον και επινοητικώτερον από όλα τα ζώα, τα οποία είχε δημιουργήσει Κυριος ο Θεός επί της γης. Ο όφις (ο διάβολος υπό μορφήν όφεως) ηρώτησε την Ευαν και της είπε· “διατί ο Θεός απηγόρευσε να φάγετε από τους καρπούς όλων των δένδρων, που υπάρχουν στον παράδεισον;”

Γεν. 3,2 - καὶ εἶπεν ἡ γυνὴ τῷ ὄφει· ἀπὸ καρποῦ τοῦ ξύλου τοῦ παραδείσου φαγούμεθα,

Γεν. 3,2 - Η Ευα απήντησεν στον όφιν· “από τους καρπούς κάθε δένδρου του παραδείσου ημπορούμεν να φάγωμεν.

Γεν. 3,3 - ἀπὸ δὲ τοῦ καρποῦ τοῦ ξύλου, ὅ ἐστιν ἐν μέσῳ τοῦ παραδείσου, εἶπεν ὁ Θεός, οὐ φάγεσθε ἀπ᾽ αὐτοῦ, οὐ δὲ μὴ ἅψησθε αὐτοῦ, ἵνα μὴ ἀποθάνητε.

Γεν. 3,3 - Από τον καρπόν όμως του δένδρου, που υπάρχει εν τω μέσω του παραδείσου, έδωσεν εντολήν ο Θεός λέγων· δεν θα φάγετε από τον καρπόν αυτού ούτε και θα εγγίσετε αυτό, δια να μη αποθάνετε”.

Γεν. 3,4 - καὶ εἶπεν ὁ ὄφις τῇ γυναικί· οὐ θανάτῳ ἀποθανεῖσθε·

Γεν. 3,4 - Είπε δε τότε ο όφις προς την γυναίκα· “δεν θα αποθάνετε· κάθε άλλο.

Γεν. 3,5 - ᾔδει γὰρ ὁ Θεός, ὅτι ᾗ ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, διανοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοὶ καὶ ἔσεσθε ὡς θεοί, γινώσκοντες καλὸν καὶ πονηρόν.

Γεν. 3,5 - Σας απηγόρευσεν ο Θεός να φάγετε από το δένδρον αυτό, διότι εγνώριζεν ότι κατά την ημέραν, κατά την οποίαν θα φάγετε, θα ανοιχθούν τα μάτια σας και θα είσθε και σεις σαν θεοί, όμοιοι με αυτόν, γνωρίζοντες καλόν και πονηρόν”.

Γεν. 3,6 - καὶ εἶδεν ἡ γυνή, ὅτι καλὸν τὸ ξύλον εἰς βρῶσιν καὶ ὅτι ἀρεστὸν τοῖς ὀφθαλμοῖς ἰδεῖν καὶ ὡραῖόν ἐστι τοῦ κατανοῆσαι, καὶ λαβοῦσα ἀπὸ τοῦ καρποῦ αὐτοῦ ἔφαγε· καὶ ἔδωκε καὶ τῷ ἀνδρὶ αὐτῆς μετ᾽ αὐτῆς, καὶ ἔφαγον.

Γεν. 3,6 - Τοτε η Εύα παρετήρησε προσεκτικότερα το απηγορευμένον δένδρον, είδε τον καρπόν του ωραίον εις την όψιν και εσκέφθη ότι ευχάριστον θα ήτο να δοκιμάση αυτόν. Και λοιπόν έλαβεν από τον καρπόν του δένδρου αυτού, έφαγεν αυτή, και έδωσε και στον άνδρα της, και έτσι έφαγον και οι δύο.

Γεν. 3,7 - καὶ διηνοίχθησαν οἱ ὀφθαλμοὶ τῶν δύο, καὶ ἔγνωσαν ὅτι γυμνοὶ ἦσαν, καὶ ἔῤῥαψαν φύλλα συκῆς καὶ ἐποίησαν ἑαυτοῖς περιζώματα.

Γεν. 3,7 - Και ήνοιξαν τα μάτια των δύο πρωτοπλάστων, εκατάλαβαν ότι ήσαν γυμνοί σωματικώς και ψυχικώς, εντράπηκαν την γυμνότητά των και έκοψαν φύλλα συκής, τα έρραψαν προχείρως και με αυτά σαν ποδιές εκάλυψαν την γυμνότητά των.

Γεν. 3,8 - Καὶ ἤκουσαν τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ περιπατοῦντος ἐν τῷ παραδείσῳ τὸ δειλινόν, καὶ ἐκρύβησαν ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ ἀπὸ προσώπου Κυρίου τοῦ Θεοῦ ἐν μέσῳ τοῦ ξύλου τοῦ παραδείσου.

Γεν. 3,8 - Οταν δε κατά το δειλινόν ήκουσαν την φωνήν του Θεού, ο οποίος περιπατούσεν στον παράδεισον, εκρύβησαν ο Αδάμ και η γυνή αυτού από φόβον και εντροπήν ανάμεσα εις τα δένδρα του παραδείσου, δια να μη αντικρύσουν το πρόσωπον του Θεού.

Γεν. 3,9 - καὶ ἐκάλεσε Κύριος ὁ Θεὸς τὸν Ἀδὰμ καὶ εἶπεν αὐτῷ· Ἀδάμ, ποῦ εἶ;

Γεν. 3,9 - Ο Θεός προσεκάλεσε τον Αδάμ και του είπε· “' Αδάμ, που είσαι;”

Γεν. 3,10 - καὶ εἶπεν αὐτῷ· τῆς φωνῆς σου ἤκουσα περιπατοῦντος ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην, ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην.

Γεν. 3,10 - Ο δε Αδάμ απήντησεν στον Θεόν· “ήκουσα την φωνήν σου, καθώς περιπατούσες στον παράδεισον, και εφοβήθην να παρουσιασθώ εμπρός σου επειδή είμαι γυμνός δι' αυτό και έσπευσα να κρυφθώ”.

Γεν. 3,11 - καὶ εἶπεν αὐτῷ ὁ Θεός· τίς ἀνήγγειλέ σοι ὅτι γυμνὸς εἶ, εἰ μὴ ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες;

Γεν. 3,11 - Ηρώτησε δε ο Θεός αυτόν· “ποίος σου ανήγγειλεν ότι είσαι γυμνός; Μηπως και έφαγες από το δένδρον, από το οποίον και μόνον σου απηγόρευσα να φάγης;”

Γεν. 3,12 - καὶ εἶπεν ὁ Ἀδάμ· ἡ γυνή, ἣν ἔδωκας μετ᾿ ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον.

Γεν. 3,12 - Ο Αδάμ έσπευσε να δικαιολογηθή και είπε· "αυτή η γυναίκα, την οποίαν συ μου έδωκες ως σύντροφον και βοηθόν μου, αυτή μου έδωσε από τον καρπόν του απηγορευμένου δένδρου και έφαγον".

Γεν. 3,13 - καὶ εἶπε Κύριος ὁ Θεὸς τῇ γυναικί· τί τοῦτο ἐποίησας; καὶ εἶπεν ἡ γυνή· ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον.

Γεν. 3,13 - Είπε δε τότε Κυριος ο Θεός προς την γυναίκα, την Εύαν· "διατί έκαμες αυτό;" Η Εύα απήντησεν· "ο όφις με εξηπάτησε και έφαγον".

Γεν. 3,14 - καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ ὄφει· ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς· ἐπὶ τῷ στήθει σου καὶ τῇ κοιλίᾳ πορεύσῃ καὶ γῆν φαγῇ πάσας τὰς ἡμέρας τῆς ζωῆς σου.

Γεν. 3,14 - Είπε δε τότε Κυριος ο Θεός στον όφιν· "επειδή διέπραξες αυτήν την δολιότητα, θα είσαι κατηραμένος συ ανάμεσα από όλα τα κτήνη και όλα τα θηρία, που υπάρχουν εις την γην. Θα σύρεσαι στο χώμα με το στήθος και την κοιλίαν και χώμα θα τρώγης όλας τας ημέρας της ζωής σου.

Γεν. 3,15 - καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικὸς καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ ἀνὰ μέσον τοῦ σπέρματος αὐτῆς· αὐτός σου τηρήσει κεφαλήν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν.

Γεν. 3,15 - Θα θέσω δε άσβεστον εχθρότητα μεταξύ σου και της γυναικός, μεταξύ των απογόνων σου και των απογόνων αυτής. Ενας δε απόγονος της γυναικός μόνης, αυτός θα σου συντρίψή την κεφαλήν και συ θα κεντήσης αυτού την πτέρναν".

Γεν. 3,16 - καὶ τῇ γυναικὶ εἶπε· πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου· ἐν λύπαις τέξῃ τέκνα, καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου, καὶ αὐτός σου κυριεύσει.

Γεν. 3,16 - Προς δε την γυναίκα είπε· "θα πολλαπλασιάσω εις πλήθος πολύ τας λύπας σου, τας θλίψεις και τους στεναγμούς σου. Με πόνους θα γεννάς τα τέκνα σου, θα εξαρτάσαι δε πάντοτε από τον άνδρα σου και αυτός θα είναι κύριός σου".

Γεν. 3,17 - τῷ δὲ Ἀδὰμ εἶπεν· ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου, οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν, ἀπ᾿ αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου· ἐν λύπαις φαγῇ αὐτὴν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου·

Γεν. 3,17 - Εις δε τον Αδάμ είπεν· "επειδή ήκουσες την κακήν συμβουλήν της γυναικός σου και έφαγες από τον καρπόν του δένδρου, εκ του οποίου και μόνου εγώ σου έδωσα την εντολήν να μη φάγης, θα είναι κατηραιμένη η γη εις τα έργα σου. Με λύπην και κόπον θα κερδίζης την τροφήν σου από την γην όλας τας ημέρας της ζωής σου.

Γεν. 3,18 - ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ φαγῇ τὸν χόρτον τοῦ ἀγροῦ.

Γεν. 3,18 - Αγκάθια και τριβόλια θα σου φυτρώνη η γη και θα τρέφεσαι με τα χόρτα του αγρού.

Γεν. 3,19 - ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ τὸν ἄρτον σου, ἕως τοῦ ἀποστρέψαι σε εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης, ὅτι γῆ εἶ καὶ εἰς γῆν ἀπελεύσῃ·

Γεν. 3,19 - Καθ' όλον το διάστημα της ζωής σου με τον ιδρώτα του προσώπου σου θα τρώγης τον άρτον σου, μέχρις ότου αποθάνης και επιστρέψη το σώμα σου εις την γην, από την οποίαν και έχει πλασθή· διότι χώμα είναι το σώμα σου, στο χώμα θα καταλήξη και χώμα πάλιν θα γίνη”.

Γεν. 3,20 - καὶ ἐκάλεσεν Ἀδὰμ τὸ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ζωή, ὅτι αὕτη μήτηρ πάντων τῶν ζώντων.

Γεν. 3,20 - Ωνόμασε τότε ο Αδάμ την γυναίκα του Ζωήν, διότι αυτή θα ήτο η μητέρα όλων των ανθρώπων της γης.

Γεν. 3,21 - Καὶ ἐποίησε Κύριος ὁ Θεὸς τῷ Ἀδὰμ καὶ τῇ γυναικὶ αὐτοῦ χιτῶνας δερματίνους καὶ ἐνέδυσεν αὐτούς.

Γεν. 3,21 - Ο δε πανάγαθος Θεός, δια να προφυλάξη τον Αδάμ και την γυναίκα του από τας καιρικάς μεταβολάς, κατεσκεύασε δι' αυτούς χιτώνας δερματίνους, με τους οποίους και τους ενέδυσεν.

Γεν. 3,22 - καὶ εἶπεν ὁ Θεός· ἰδοὺ Ἀδὰμ γέγονεν ὡς εἷς ἐξ ἡμῶν, τοῦ γινώσκειν καλὸν καὶ πονηρόν· καὶ νῦν μή ποτε ἐκτείνῃ τὴν χεῖρα αὐτοῦ καὶ λάβῃ ἀπὸ τοῦ ξύλου τῆς ζωῆς καὶ φάγῃ καὶ ζήσεται εἰς τὸν αἰῶνα.

Γεν. 3,22 - Είπε δε τότε ο Τριαδικός Θεός· “ιδού ο Αδάμ έγινε πλέον σαν ένας από ημάς με την ικανότητα να γνωρίζη καλόν και κακόν ! Και τώρα μήπως τυχόν και απλώση το χέρι του και πάρη και φέγη από τον καρπόν του ξύλου της ζωής και γίνη αυτός και το κακόν αθάνατον, πρέπει να εκδιωχθή από τον παράδεισον”.

Γεν. 3,23 - καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς ἐργάζεσθαι τὴν γῆν, ἐξ ἧς ἐλήφθη.

Γεν. 3,23 - Και έδιωξεν ο Θεός τον Αδάμ από τον παράδεισον της χαράς και της τέρψεως, δια να εργάζεται μετά κόπου την γην, από το χώμα της οποίας είχε πλασθή το σώμα του.

Γεν. 3,24 - καὶ ἐξέβαλε τὸν Ἀδὰμ καὶ κατῴκισεν αὐτὸν ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς καὶ ἔταξε τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.

Γεν. 3,24 - Εβγαλε τον Αδάμ και τον έφερε να κατοικήση απέναντι από τον παράδεισον της χαράς και της τέρψεως. Διέταξε δε τα Χερουβιμ και την φλογίνην ρομφαίαν, την συστρεφομένην, να φυλάσσουν την οδόν, η οποία ωδηγούσε προς το δένδρον της ζωής.

ΓΕΝΕΣΙΣ 4

Γεν. 4,1 - Ἀδὰμ δὲ ἔγνω Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Κάϊν καὶ εἶπεν· ἐκτησάμην ἄνθρωπον διά τοῦ Θεοῦ.

Γεν. 4,1 - Ο Αδάμ εγνώρισεν ως σύζυγον την γυναίκα αυτού την Εύαν, η οποία έμεινεν έγκυος και εγέννησε τον Καϊν. Γεμάτη δε χαράν ανεφώνησε· “με την δύναμιν του Θεού εγέννησα άνθρωπον” !

Γεν. 4,2 - καὶ προσέθηκε τεκεῖν τὸ ἀδελφὸν αὐτοῦ, τὸν Ἄβελ. καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων, Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν.

Γεν. 4,2 - Επειτα δε από τον Καϊν εγέννησεν η Εύα τον αδελφόν του Αβελ. Ο Αβελ ήτο ποιμήν προβάτων, ο δε Καϊν ήτο γεωργός, καλλιεργών την γην.

Γεν. 4,3 - καὶ ἐγένετο μεθ᾽ ἡμέρας ἤνεγκε Κάϊν ἀπὸ τῶν καρπῶν τῆς γῆς θυσίαν τῷ Κυρίῳ,

Γεν. 4,3 - Μετά τινα χρόνον ο Καϊν προσέφερε θυσίαν στον Θεόν από τους καρπούς των αγρών του.

Γεν. 4,4 - καὶ Ἄβελ ἤνεγκε καὶ αὐτὸς ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν. καὶ ἐπεῖδεν ὁ Θεὸς ἐπί Ἄβελ καὶ ἐπὶ τοῖς δώροις αὐτοῦ,

Γεν. 4,4 - Ο δε Αβελ προσέφερε και αυτός θυσίαν από τα πρωτότοκα των προβάτων του και μάλιστα από τα πλέον ευτραφή και παχέα. Ο δε Θεός είδε με ευμένειαν τον Αβελ και τα δώρα του.

Γεν. 4,5 - ἐπὶ δὲ Κάϊν καὶ ἐπὶ ταῖς θυσίαις αὐτοῦ οὐ προσέσχε. καὶ ἐλυπήθη Κάϊν λίαν, καὶ συνέπεσε τῷ προσώπῳ αὐτοῦ.

Γεν. 4,5 - Εις τον Καϊν όμως και την θυσίαν του δεν έδωσε καμμίαν προσοχήν. Ενεκα τούτου ο Καϊν εδυσφόρησε πάρα πολύ και εσκυθρώπασε το πρόσωπον αυτού.

Γεν. 4,6 - καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Κάϊν· ἵνα τί περίλυπος ἐγένου, καὶ ἵνα τί συνέπεσε τὸ πρόσωπόν σου;

Γεν. 4,6 - Ηρώτησε Κυριος ο Θεός τον Καιν· “διατί έγινες περίλυπος και κατέβασες οργισμένος τα μούτρα σου;

Γεν. 4,7 - οὐκ ἐὰν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες; ἡσύχασον· πρὸς σὲ ἡ ἀποστροφὴ αὐτοῦ, καὶ σὺ ἄρξεις αὐτοῦ.

Γεν. 4,7 - Δεν γνωρίζεις ότι εάν προσφέρης δώρα ως θυσίαν στον αληθινόν Θεόν, δεν εκλέξης όμως τα καλά δώρα εις ένδειξιν ευλαβείας, αμαρτάνεις ενώπιον του Θεού; Αλλά ησύχασε· το κακόν είναι εις την εξουσίαν σου και δύνασαι αν θέλης να το νικήσης”.

Γεν. 4,8 - καὶ εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ· διέλθωμεν εἰς τὸ πεδίον. καὶ ἐγένετο ἐν τῷ εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ καὶ ἀπέκτεινεν αὐτόν.

Γεν. 4,8 - Σκυθρωπός και φθονερός ο Καϊν είπε στον αδελφόν του τον Αβελ “ας περάσωμεν εις την πεδιάδα”. Οταν δε έφθασαν εις την πεδιάδα, ο Καϊν επετέθη αιφνιδίως και με ορμήν εναντίον του Αβελ, του αδελφού του, και τον εφόνευσεν.

Γεν. 4,9 - καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Κάϊν· ποῦ ἐστιν Ἄβελ ὁ ἀδελφός σου; καὶ εἶπεν· οὐ γινώσκω· μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ;

Γεν. 4,9 - Ο Κυριος και Θεός ηρώτησε τον Καϊν· “που είναι ο αδελφός σου ο Αβελ;” Και εκείνος απήντησε· “δεν γνωρίζω· μήπως εγώ είμαι φύλακας του αδελφού μου;”

Γεν. 4,10 - καί εἶπε Κύριος· τί πεποίηκας; φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς.

Γεν. 4,10 - Είπε δε ο Κυριος· “τι είναι αυτό που έκαμες; Η φωνή του αίματος του φονευθέντος αδελφού σου υψώνεται από την γην στον ουρανόν προς εμέ και βοά ζητούσα την τιμωρίαν σου.

Γεν. 4,11 - καὶ νῦν ἐπικατάρατος σὺ ἀπὸ τῆς γῆς, ἣ ἔχανε τὸ στόμα αὐτῆς δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου ἐκ τῆς χειρός σου·

Γεν. 4,11 - Και τώρα θα είσαι συ κατηραμένος και σαν ξένος από την γην αυτήν, η οποία ήνοιξε το στόμα της και κατέπιε το αίμα του αδελφού σου, τον οποίον συ με το εγκληματικόν σου χέρι εφόνευσες.

Γεν. 4,12 - ὅτε ἐργᾷ τὴν γῆν, καὶ οὐ προσθήσει τὴν ἰσχὺν αὐτῆς δοῦναί σοι· στένων καὶ τρέμων ἔσῃ ἐπὶ τῆς γῆς.

Γεν. 4,12 - Οταν εργάζεσαι και καλλιεργής την γην αυτήν, δεν θα παρέχη την δύναμίν της να αποδώση εις σε τους καρπούς της. Συ δε θα ευρίσκεσαι συνεχώς εις κατάστασιν στεναγμών και τρόμων, και σαν καταδιωκόμενος θα περιπλανάσαι επάνω εις την γην αυτήν”.

Γεν. 4,13 - καὶ εἶπε Κάϊν πρὸς Κύριον τὸν Θεόν· μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναί με·

Γεν. 4,13 - Εκραξε τότε ο Καϊν απηλπισμένος και αναστατωμένος προς τον Θεόν· “το έγκλημα και η ενόχη μου είναι μεγαλυτέρα από την θείαν συγγνώμην.

Γεν. 4,14 - εἰ ἐκβάλλεις με σήμερον ἀπὸ προσώπου τῆς γῆς καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι, καὶ ἔσομαι στένων καὶ τρέμων ἐπὶ τῆς γῆς, καὶ ἔσται πᾶς ὁ εὑρίσκων με, ἀποκτενεῖ με.

Γεν. 4,14 - Εάν όμως με διώξης από την περιοχήν αυτήν, όπου σήμερον ευρίσκομαι, και αποστρέψης το πρόσωπόν σου από εμέ και θα είμαι σαν κρυμμένος από την θείαν σου παρουσίαν, θα περιφέρωμαι στενάζων και τρέμων εις την γην, και τότε ο πρώτος τυχών, που θα με συναντήση, θα με φονεύση”.

Γεν. 4,15 - καὶ εἶπεν αὐτῷ Κύριος ὁ Θεός· οὐχ οὕτως, πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει. καὶ ἔθετο Κύριος ὁ Θεὸς σημεῖον τῷ Κάϊν τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.

Γεν. 4,15 - Είπε δε προς αυτόν ο Θεός· “δεν θα συμβή κάτι τέτοιο· διότι εκείνος ο οποίος θα φονεύση τον Καιν, θα επισύρη εναντίον του πολύ περισσοτέρας τιμωρίας και θα παραλύση κάτω από το βάρος αυτών”. Εθεσε δε ο Θεός κάποιο σημάδι στον Καϊν, ώστε κανείς από όσους θα τον συναντούσαν, να μη τον φονεύση.

Γεν. 4,16 - ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ Θεοῦ καὶ ᾤκησεν ἐν γῇ Ναὶδ κατέναντι Ἐδέμ.

Γεν. 4,16 - Εφυγε δε τότε ο Καϊν από την περιοχήν, εις την οποίαν μέχρι τότε ευρίσκετο και είχε την ευλογίαν του Θεού, και κατώκησεν εις την χώραν Ναίδ, η οποία ευρίσκετο απέναντι από την Εδέμ.

Γεν. 4,17 - Καὶ ἔγνω Κάϊν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκε τὸν Ἐνώχ. καὶ ἦν οἰκοδομῶν πόλιν καὶ ἐπωνόμασε τὴν πόλιν ἐπὶ τῷ ὀνόματι τοῦ υἱοῦ αὐτοῦ, Ἐνώχ.

Γεν. 4,17 - Ο Καϊν εγνώρισε τότε την σύζυγόν του, η οποία έμεινεν έγκυος και εγέννησε τον Ενώχ. Εκτισε δε ο Καϊν μίαν πόλιν και ωνόμασεν αυτήν με το όνομα του υιού του, Ενώχ.

Γεν. 4,18 - ἐγεννήθη δὲ τῷ Ἐνὼχ Γαϊδάδ, καὶ Γαϊδὰδ ἐγέννησε τὸν Μαλελεήλ, καὶ Μαλελεὴλ ἐγέννησε τὸν Μαθουσάλα, καὶ Μαθουσάλα ἐγέννησε τὸν Λάμεχ.

Γεν. 4,18 - Από δε τον Ενώχ εγεννήθη ο Γαϊδάδ. Ο Γαϊδάδ εγέννησε τον Μαλελεήλ, ο δε Μαλελεήλ εγέννησε τον Μαθουσάλα, και ο Μαθουσάλα εγέννησε τον Λαμεχ.

Γεν. 4,19 - καὶ ἔλαβεν ἑαυτῷ Λάμεχ δύο γυναῖκας, ὄνομα τῇ μιᾷ Ἀδά, καὶ ὄνομα τῇ δευτέρᾳ Σελλά.

Γεν. 4,19 - Ελαβε δε ο Λαμεχ δύο συγχρόνως συζύγους. Η μία ωνομάζετο Αδά και η δευτέρα Σελλά.

Γεν. 4,20 - καὶ ἔτεκεν Ἀδὰ τὸν Ἰωβήλ· οὗτος ἦν πατὴρ οἰκούντων ἐν σκηναῖς κτηνοτρόφων.

Γεν. 4,20 - Η Αδά εγέννησε τον Ιωβήλ. Αυτός η το γενάρχης των κτηνοτρόφων, οι οποίοι περιφερόμενοι ανά τας διαφόρους βοσκησίμους περιοχάς δεν είχον μόνιμον οικίαν, αλλά εζούσαν εις σκηνάς.

Γεν. 4,21 - καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰουβάλ· οὗτος ἦν ὁ καταδείξας ψαλτήριον καὶ κιθάραν.

Γεν. 4,21 - Αδελφός του Ιωβήλ ήτο ο Ιουβάλ. Αυτός ήτο συνθέτης ύμνων και διδάσκαλος της μουσικής.

Γεν. 4,22 - Σελλὰ δὲ καὶ αὐτὴ ἔτεκε τὸν Θόβελ, καὶ ἦν σφυροκόπος χαλκεὺς χαλκοῦ καὶ σιδήρου· ἀδελφὴ δὲ Θόβελ Νοεμά.

Γεν. 4,22 - Η Σελλά εγέννησε και αυτή τον Θοβελ, ο οποίος κατειργάζετο τον χαλκόν και τον σίδηρον και κατεσκεύαζεν εργαλεία. Αδελφή δε του Θοβελ ήτο η Νοεμά.

Γεν. 4,23 - εἶπε δὲ Λάμεχ ταῖς ἑαυτοῦ γυναιξίν· Ἀδὰ καὶ Σελλά, ἀκούσατέ μου τῆς φωνῆς, γυναῖκες Λάμεχ, ἐνωτίσασθέ μου τοὺς λόγους, ὅτι ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ καὶ νεανίσκον εἰς μώλωπα ἐμοί·

Γεν. 4,23 - Ο δε Λαμεχ καυχώμενος δια την αγριότητά του, είπεν εις τας γυναίκας του· "Αδά και Σελλά, ακούσατε την φωνήν μου· γυναίκες Λαμεχ ανοίξατε τα αυτιά σας δια να ακούσετε τους λόγους μου· εφόνευσα ένα άνδρα, διότι με επλήγωσε, και ένα νεανίαν διότι με ετραυμάτισε.

Γεν. 4,24 - ὅτι ἑπτάκις ἐκδεδίκηται ἐκ Κάϊν, ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά.

Γεν. 4,24 - Επτά φοράς ετιμωρήθη ο Καϊν δια τον φόνον του αδελφού του, εβδομήκοντα φοράς επτά θα τιμωρώ εγώ ο Λαμεχ εκείνον, που θα τολμήση να με θίξη".

Γεν. 4,25 - Ἔγνω δὲ Ἀδὰμ Εὔαν τὴν γυναῖκα αὐτοῦ, καὶ συλλαβοῦσα ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ, λέγουσα· ἐξανέστησε γάρ μοι ὁ Θεὸς σπέρμα ἕτερον ἀντὶ Ἄβελ, ὃν ἀπέκτεινε Κάϊν.

Γεν. 4,25 - Ο δε Αδάμ εγνώρισε πάλιν την γυναίκα αυτού, η οποία έμεινεν έγκυος και εγέννησεν υιόν, τον οποίον ωνόμασε Σηθ λέγουσα· "ο Θεός μου έδωσε άλλο παιδί αντί του Αβελ, τον οποίον εφόνευσεν ο Καϊν".

Γεν. 4,26 - καὶ τῷ Σὴθ ἐγένετο υἱός, ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἐνώς· οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ.

Γεν. 4,26 - Ο δε Σηθ απέκτησεν υιόν, τον οποίον ωνόμασεν Ενώς. Αυτός δε ο Ενώς επίστευεν και ήλπιζεν στον Θεόν, ελάτρευε και επεκαλείτο πάντοτε το όνομα Κυρίου του Θεού.

## ΓΕΝΕΣΙΣ 5

Γεν. 5,1 - Αὕτη ἡ βίβλος γενέσεως ἀνθρώπων· ᾗ ἡμέρᾳ ἐποίησεν ὁ Θεὸς τὸν Ἀδάμ, κατ᾿ εἰκόνα Θεοῦ ἐποίησεν αὐτόν·

Γεν. 5,1 - Αυτή είναι η ιστορία της δημιουργίας των πρώτων ανθρώπων, όταν ο Θεός εδημιούργησε τον Αδάμ. Εδημιούργησεν αυτόν κατ' εικόνα Θεού.

Γεν. 5,2 - ἄρσεν καὶ θῆλυ ἐποίησεν αὐτοὺς καὶ εὐλόγησεν αὐτούς· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἀδάμ, ᾗ ἡμέρᾳ ἐποίησεν αὐτούς·

Γεν. 5,2 - Απ' αρχής άνδρα και γυναίκα εδημιούργησεν ο Θεός, τους οποίους και ευλόγησε. Κατά δε την ημέραν κατά την οποίαν τους εδημιούργησεν, έδωσεν στον πρώτον άνθρωπον το όνομα Αδάμ.

Γεν. 5,3 - ἔζησε δὲ Ἀδὰμ τριάκοντα καὶ διακόσια ἔτη, καὶ ἐγέννησε κατὰ τὴν ἰδέαν αὐτοῦ καὶ κατὰ τὴν εἰκόνα αὐτοῦ καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Σήθ.

Γεν. 5,3 - Εζησε δε ο Αδάμ διακόσια τριάκοντα έτη και εγέννησε κατά τα χαρακτηριστικά αυτού σωματικά και ψυχικά ιδιώματα υιόν, τον οποίον ωνόμασε Σηθ.

Γεν. 5,4 - ἐγένοντο δὲ αἱ ἡμέραι τοῦ Ἀδάμ, ἃς ἔζησε μετά τὸ γεννῆσαι αὐτὸν τὸν Σήθ, ἔτη ἑπτακόσια, καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,4 - Μετά δε την γέννησιν του Σηθ έζησεν ο Αδάμ επτακόσια έτη και εγέννησεν υιούς και θυγατέρας.

Γεν. 5,5 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἀδάμ, ἃς ἔζησε, τριάκοντα καὶ ἐννακόσια ἔτη, καὶ ἀπέθανεν.

Γεν. 5,5 - Ολα τα έτη, τα οποία έζησεν ο Αδάμ, ανήλθον εις εννεακόσια τριάκοντα, μετά τα οποία και απέθανε.

Γεν. 5,6 - Ἔζησε δὲ Σὴθ πέντε καὶ διακόσια ἔτη καὶ ἐγέννησε τὸν Ἐνώς.

Γεν. 5,6 - Ο δε Σηθ όταν ήτο εις ηλικίαν διακοσίων πέντε ετών, εγέννησε τον Ενώς.

Γεν. 5,7 - καὶ ἔζησε Σὴθ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνὼς ἑπτὰ ἔτη καὶ ἑπτακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,7 - Μετά δε την γέννησιν του Ενώς έζησεν επτακόσια επτά έτη και απέκτησεν υιούς και θυγατέρας.

Γεν. 5,8 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Σὴθ δώδεκα καὶ ἐννακόσια ἔτη, καὶ ἀπέθανε.

Γεν. 5,8 - Ολα τα έτη, τα οποία έζησεν ο Σηθ ανήλθον εις εννεακόσια δώδεκα και έπειτα απέθανεν.

Γεν. 5,9 - Καὶ ἔζησεν Ἐνὼς ἔτη ἑκατὸν ἐνενήκοντα καὶ ἐγέννησε τὸν Καϊνᾶν.

Γεν. 5,9 - Ο Ενώς, όταν έφθασεν εις ηλικίαν εκατόν ενενήκοντα ετών, εγέννησε τον Καϊνάν.

Γεν. 5,10 - καὶ ἔζησεν Ἐνὼς μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Καϊνᾶν πεντεκαίδεκα ἔτη καὶ ἑπτακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,10 - Εζησε δε μετά την γέννησιν του Καϊνάν επτακόσια δέκα πέντε έτη και εγέννησεν υιούς και θυγατέρας.

Γεν. 5,11 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἐνὼς πέντε ἔτη καὶ ἐννακόσια, καὶ ἀπέθανε.

Γεν. 5,11 - Εζησε εν συνόλω εννεακόσια πέντε έτη και απέθανεν.

Γεν. 5,12 - Καὶ ἔζησε Καϊνᾶν ἑβδομήκοντα καὶ ἑκατὸν ἔτη, καὶ ἐγέννησε τὸν Μαλελεήλ.

Γεν. 5,12 - Ο Καϊνάν εις ηλικίαν εκατόν εβδομήκοντα ετών εγέννησε τον Μαλελεήλ.

Γεν. 5,13 - καὶ ἔζησε Καϊνᾶν μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαλελεὴλ τεσσαράκοντα καὶ ἑπτακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,13 - Μετά την γέννησιν του Μαλελεήλ έζησεν ο Καϊνάν επτακόσια τεσσαράκοντα ακόμη έτη και εγέννησεν υιούς και θυγατέρας.

Γεν. 5,14 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέρα Καϊνᾶν δέκα ἔτη καὶ ἐννακόσια, καὶ ἀπέθανε.

Γεν. 5,14 - Ολα τα έτη της ζωής του Καϊνάν επανήλθον εις εννεακόσια δέκα, μετά τα οποία και απέθανεν.

Γεν. 5,15 - Καὶ ἔζησε Μαλελεὴλ πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν ἔτη καὶ ἐγέννησε τὸν Ἰάρεδ.

Γεν. 5,15 - Ο δε Μαλελεήλ, όταν έφθασεν εις την ηλικίαν των εκατόν εξήκοντα πέντε ετών, απέκτησε τον Ιάρεδ.

Γεν. 5,16 - καὶ ἔζησε Μαλελεὴλ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἰάρεδ ἔτη τριάκοντα καὶ ἑπτακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,16 - Μετά δε την γέννησιν του Ιάρεδ έζησεν ο Μαλελεήλ επτακόσια τριάκοντα έτη και απέκτησεν υιούς και θυγατέρας.

Γεν. 5,17 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Μαλελεήλ, ἔτη πέντε καὶ ἐνενήκοντα καὶ ὀκτακόσια, καὶ ἀπέθανε.

Γεν. 5,17 - Ολα δε τα έτη της ζωής του Μαλελεήλ ανήλθον εις οκτακόσια ενενήκοντα πέντε, μετά τα οποία και απέθανεν.

Γεν. 5,18 - Καὶ ἔζησεν Ἰάρεδ δύο καὶ ἑξήκοντα ἔτη καὶ ἑκατὸν καὶ ἐγέννησε τὸν Ἐνώχ.

Γεν. 5,18 - Ο Ιάρεδ, όταν ήτο εκατόν εξήκοντα δύο ετών, απέκτησε τον Ενώχ.

Γεν. 5,19 - καὶ ἔζησεν Ἰάρεδ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἐνὼχ ὀκτακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,19 - Και έζησε μετά την γέννησιν του Ενώχ οκτακόσια έτη, κατά τα οποία απέκτησεν υιούς και θυγατέρας.

Γεν. 5,20 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἰάρεδ δύο καὶ ἑξήκοντα καὶ ἐννακόσια ἔτη, καὶ ἀπέθανε.

Γεν. 5,20 - Ολα τα έτη της ζωής του Ιάρεδ ενήλθον εις εννεακόσια εξήκοντα δύο, οπότε και απέθανεν.

Γεν. 5,21 - Καὶ ἔζησεν Ἐνὼχ πέντε καὶ ἑξήκοντα καὶ ἑκατὸν ἔτη καὶ ἐγέννησε τὸν Μαθουσάλα.

Γεν. 5,21 - Ο Ενώχ εις ηλικίαν εκατόν εξήκοντα πέντε ετών εγέννησε τον Μαθουσάλα.

Γεν. 5,22 - εὐηρέστησε δὲ Ἐνὼχ τῷ Θεῷ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Μαθουσάλα διακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,22 - Μετά την γέννησιν του Μαθουσάλα έζησε ζωήν ευάρεστον στον Θεόν επί διακόσια έτη, κατά τα οποία απέκτησεν υιούς και θυγατέρας.

Γεν. 5,23 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Ἐνὼχ πέντε καὶ ἑξήκοντα καὶ τριακόσια ἔτη.

Γεν. 5,23 - Ολα δε τα έτη, τα οποία έζησεν ο Ενώχ, ανήλθον εις τριακόσια εξήκοντα πέντε.

Γεν. 5,24 - καὶ εὐηρέστησεν Ἐνὼχ τῷ Θεῷ καὶ οὐχ εὑρίσκετο, ὅτι μετέθηκεν αὐτὸν ὁ Θεός.

Γεν. 5,24 - Ο Ενώχ, δια την ευσέβειαν και την αρετήν αυτού, έγινεν αγαπητός και αρεστός στον Θεόν. Δι' αυτό και εξηφανίσθη από την γην, διότι ο Θεός τον μετέθεσε ζώντα στους ουρανούς.

Γεν. 5,25 - Καὶ ἔζησε Μαθουσάλα ἑπτὰ ἔτη καὶ ἑξήκοντα καὶ ἑκατὸν καὶ ἐγέννησε τὸν Λάμεχ.

Γεν. 5,25 - Ο Μαθουσάλα, όταν έφθασεν εις την ηλικίαν των εκατόν εξήκοντα επτά ετών, εγέννησε τον Λαμεχ.

Γεν. 5 ,26 - καὶ ἔζησε Μαθουσάλα μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Λάμεχ δύο καὶ ὀκτακόσια ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,26 - Μετά δε την γέννησιν του Λαμεχ έζησεν ακόμη οκτακόσια δύο έτη και απέκτησεν υιούς και θυγατέρας.

Γεν. 5,27 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Μαθουσάλα, ἃς ἔζησεν, ἐννέα καὶ ἑξήκοντα καὶ ἐννακόσια ἔτη, καὶ ἀπέθανε.

Γεν. 5,27 - Ολα δε τα έτη της ζωής του Μαθουσάλα ανήλθον εις εννεακόσια εξήκοντα εννέα, μετά τα οποία και απέθανεν.

Γεν. 5,28 - Καὶ ἔζησε Λάμεχ ὀκτὼ καὶ ὀγδοήκοντα καὶ ἑκατὸν ἔτη καὶ ἐγέννησεν υἱόν.

Γεν. 5,28 - Ο Λαμεχ εις ηλικίαν εκατόν ογδοήκοντα οκτώ ετών απέκτησε υιόν.

Γεν. 5,29 - καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Νῶε λέγων· οὗτος διαναπαύσει ἡμᾶς ἀπό τῶν ἔργων ἡμῶν καὶ ἀπὸ τῶν λυπῶν τῶν χειρῶν ἡμῶν καὶ ἀπὸ τῆς γῆς, ἧς κατηράσατο Κύριος ὁ Θεός.

Γεν. 5,29 - Ωνόμασε δε αυτόν Νώε, λέγων ότι “ούτος θα μας αναπαύση από τα κοπιώδη και κακά ημών έργα, από τας θλίψεις των έργων των χειρών μας και από τους κόπους της αγόνου γης, την οποίαν έχει καταρασθή ο Θεός”.

Γεν. 5,30 - καὶ ἔζησε Λάμεχ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Νῶε πεντακόσια καὶ ἑξήκοντα καὶ πέντε ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας.

Γεν. 5,30 - Εζησεν ο Λαμεχ μετά την γέννησιν του Νώε πεντακόσια εξήκοντα πέντε έτη και απέκτησεν υιούς και θυγατέρας.

Γεν. 5,31 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Λάμεχ ἑπτακόσια καὶ πεντήκοντα τρία ἔτη, καὶ ἀπέθανε.

Γεν. 5,31 - Ολα τα έτη της ζωής του Λαμεχ έφθασαν τα επτακόσια πεντήκοντα τρία, μετά τα οποία και απέθανεν.

Γεν. 5,32 - Καὶ ἦν Νῶε ἐτῶν πεντακοσίων καὶ ἐγέννησε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, καὶ τὸν Ἰάφεθ.

Γεν. 5,32 - Ο δε Νώε ήτα πεντακοσίων ετών, όταν απέκτησε τους τρεις υιούς του, τον Σημ, τον Χαμ και τον Ιάφεθ.

## ΓΕΝΕΣΙΣ 6

Γεν. 6,1 - Καὶ ἐγένετο ἡνίκα ἤρξαντο οἱ ἄνθρωποι πολλοὶ γίνεσθαι ἐπὶ τῆς γῆς, καὶ θυγατέρες ἐγεννήθησαν αὐτοῖς.

Γεν. 6,1 - Οταν ήρχισαν να πληθύνωνται οι άνθρωποι επί της γης, επληθύνοντο αναλόγως και αι γυναίκες των αμαρτωλών ανθρώπων, των απογόνων του Καϊν.

Γεν. 6,2 - ἰδόντες δὲ οἱ υἱοὶ τοῦ Θεοῦ τὰς θυγατέρας τῶν ἀνθρώπων ὅτι καλαί εἰσιν, ἔλαβον ἑαυτοῖς γυναῖκας ἀπὸ πασῶν, ὧν ἐξελέξαντο.

Γεν. 6,2 - Οι άνθρωποι του Θεού, ιδόντες ότι αι γυναίκες του διεφθαρμένου κόσμου ήσαν ωραίαι, κατά τρόπον δε σαρκικόν σκεπτόμενοι και από την εξωτερικήν ωραιότητα ελκυόμενοι εξέλεξαν και έλαβον συζύγους από τας θυγατέρας των διεφθαρμένων ανθρώπων.

Γεν. 6,3 - καὶ εἶπε Κύριος ὁ Θεός· οὐ μὴ καταμείνῃ τὸ πνεῦμά μου ἐν τοῖς ἀνθρώποις τούτοις εἰς τὸν αἰῶνα διὰ τὸ εἶναι αὐτοὺς σάρκας, ἔσονται δὲ αἱ ἡμέραι αὐτῶν ἑκατὸν εἴκοσιν ἔτη.

Γεν. 6,3 - Είδεν ο Θεός την σαρκικότητα αυτήν των ανθρώπων και είπε· “δεν θα παραμείνη πλέον το πνεύμα μου στους ανθρώπους τούτους, διότι κυριαρχούνται εξ ολοκλήρου από σαρκικά φρονήματα. Ολαι δε αι υπολειπόμεναι ημέραι της ζωής των θα περιορισθούν μόνον εις εκατόν είκοσιν έτη”.

Γεν. 6,4 - οἱ δὲ γίγαντες ἦσαν ἐπὶ τῆς γῆς ἐν ταῖς ἡμέραις ἐκείναις· καὶ μετ᾿ ἐκεῖνο, ὡς ἂν εἰσεπορεύοντο οἱ υἱοὶ τοῦ Θεοῦ πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων, καὶ ἐγεννῶσαν ἑαυτοῖς· ἐκεῖνοι ἦσαν οἱ γίγαντες οἱ ἀπ᾿ αἰῶνος, οἱ ἄνθρωποι οἱ ὀνομαστοί.

Γεν. 6,4 - Την εποχήν εκείνην υπήρχον οι γίγαντες εις την γην. Αλλά και κατόπιν, όταν οι άνθρωποι του Θεού ελάμβανον ως συζύγους γυναίκας του αμαρτωλού κόσμου, εγεννούσαν γίγαντας. Οι δε γίγαντες εκείνοι και διαβόητοι άνθρωποι επί της γης.

Γεν. 6,5 - Ἰδὼν δὲ Κύριος ὁ Θεός, ὅτι ἐπληθύνθησαν αἱ κακίαι τῶν ἀνθρώπων ἐπὶ τῆς γῆς καὶ πᾶς τις διανοεῖται ἐν τῇ καρδίᾳ αὐτοῦ ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ πάσας τὰς ἡμέρας,

Γεν. 6,5 - Ο Θεός ιδών ότι επληθύνθησαν και επληθύνοντο συνεχώς αι αμαρτίαι των ανθρώπων επί της γης και ότι η καρδία παντός ανθρώπου ήτο δοσμένη εις την αμαρτίαν, και τα πονηρά πάντοτε έργα είχεν ως αντικείμενον των επιθυμιών και σκέψεών της,

Γεν. 6,6 - καὶ ἐνεθυμήθη ὁ Θεὸς ὅτι ἐποίησε τὸν ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ διενοήθη.

Γεν. 6,6 - εσκέφθη ότι αυτός εδημιούργησεν εις την γην τον άνθρωπον να ζη κατά το θείον θέλημα και ελυπήθη δια το κατάντημα των ανθρώπων.

Γεν. 6,7 - καὶ εἶπεν ὁ Θεός· ἀπαλείψω τὸν ἄνθρωπον, ὃν ἐποίησα ἀπὸ προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἀπό ἑρπετῶν ἕως πετεινῶν τοῦ οὐρανοῦ, ὅτι μετεμελήθην ὅτι ἐποίησα αὐτούς.

Γεν. 6,7 - Απεφάσισε δε ο Θεός και είπε· “θα εξαφανίσω από το πρόσωπον της γης τον άνθρωπον, τον οποίον εδημιούργησα, και μαζή με αυτόν κάθε άλλο ζωντανόν ον από ανθρώπου μέχρι κτήνους, από τα ερπετά της γης έως τα πτηνά του ουρανού, διότι μετεμελήθην που τους εδημιούργησα”.

Γεν. 6,8 - Νῶε δὲ εὗρε χάριν ἐναντίον Κυρίου τοῦ Θεοῦ.

Γεν. 6,8 - Ο Νώε όμως δια την αρετήν αυτού απελάμβανε την ευμένειαν και προστασίαν του Θεού.

Γεν. 6,9 - Αὗται δὲ αἱ γενέσεις Νῶε· Νῶε ἄνθρωπος δίκαιος, τέλειος ὢν ἐν τῇ γενεᾷ αὐτοῦ· τῷ Θεῷ εὐηρέστησε Νῶε.

Γεν. 6,9 - Αυτή δε είναι η ιστορία και τα γεγονότα της εποχής του Νώε. Ο Νώε ήτο άνθρωπος δίκαιος, τέλειος εις την εποχήν του. Δια την πίστιν και την αρετήν αυτού ήτο ευάρεστος ενώπιον του Θεού.

Γεν. 6,10 - ἐγέννησε δὲ Νῶε τρεῖς υἱούς, τὸν Σήμ, τὸν Χάμ, τὸν Ἰάφεθ.

Γεν. 6,10 - Απέκτησε τρεις υιούς, τον Σημ, τον Χαμ και τον Ιάφεθ.

Γεν. 6,11 - ἐφθάρη δὲ ἡ γῆ ἐναντίον τοῦ Θεοῦ, καὶ ἐπλήσθη ἡ γῆ ἀδικίας.

Γεν. 6,11 - Οι άνθρωποι όμως της εποχής εκείνης είχον παρεκτραπή και διαφθαρή ενώπιον του Θεού και επλημμύρησεν η γη από κάθε αδικίαν.

Γεν. 6,12 - καὶ εἶδε Κύριος ὁ Θεὸς τὴν γῆν, καὶ ἦν κατεφθαρμένη, ὅτι κατέφθειρε πᾶσα σὰρξ τὴν ὁδὸν αὐτοῦ ἐπὶ τῆς γῆς.

Γεν. 6,12 - Είδε Κυριος ο Θεός την γην, όπου κατοικούσαν οι άνθρωποι, ότι ήτο αθεραπεύτως διεφθαρμένη, διότι κάθε άνθρωπος είχε παρεκκλίνει από την ευθείαν οδόν και επορεύετο τον δρόμον της διαφθοράς.

Γεν. 6,13 - καὶ εἶπε Κύριος ὁ Θεὸς τῷ Νῶε· καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου, ὅτι ἐπλήσθη ἡ γῆ ἀδικίας ἀπ᾽ αὐτῶν, καὶ ἰδοὺ ἐγὼ καταφθείρω αὐτοὺς καὶ τὴν γῆν.

Γεν. 6,13 - Είπε τότε Κυριος ο Θεός προς τον Νώε· “το τέλος όλων των ανθρώπων έφθασε, διότι εγέμισεν η γη από τας αμαρτίας των. Και ιδού ότι εγώ θα καταστρέψω αυτούς και την γην, εις την οποίαν κατοικούν.

Γεν. 6,14 - ποίησον οὖν σεαυτῷ κιβωτὸν ἐκ ξύλων τετραγώνων· νοσσιὰς ποιήσεις τὴν κιβωτὸν καὶ ἀσφαλτώσεις αὐτὴν ἔσωθεν καὶ ἔξωθεν τῇ ἀσφάλτῳ.

Γεν. 6,14 - Συ όμως να κατασκευάσης δια τον εαυτόν σου μίαν κιβωτόν από ξύλα πλανισμένα τετράγωνα· να την χωρίσης εις μικρά δωμάτια και να την αλείψης με πίσσαν από μέσα και απ' έξω.

Γεν. 6,15 - καὶ οὕτω ποιήσεις τὴν κιβωτόν· τριακοσίων πήχεων τὸ μῆκος τῆς κιβωτοῦ καὶ πεντήκοντα πήχεων τὸ πλάτος καὶ τριάκοντα πήχεων τὸ ὕψος αὐτῆς·

Γεν. 6,15 - Ως εξής θα κατασκεύασης την κιβωτόν. Το μήκος αυτής θα είναι τριακόσιοι πήχεις (156 μέτρα) το πλάτος της πεντήκοντα πήχεις και το ύψος της τριάκοντα πήχεις.

Γεν. 6,16 - ἐπισυνάγων ποιήσεις τὴν κιβωτὸν καὶ εἰς πῆχυν συντελέσεις αὐτὴν ἄνωθεν· τὴν δὲ θύραν τῆς κιβωτοῦ ποιήσεις ἐκ πλαγίων· κατάγαια διώροφα καὶ τριώροφα ποιήσεις αὐτήν.

Γεν. 6,16 - Θα συγκλείσης δε τας πλευράς της κιβωτού στο ύψος, ώστε η επάνω σκέπη αυτής θα έχη το πλάτος ενός μόνον πήχεως. Την θύραν της κιβωτού θα την κατασκευάσης εις τα πλάγια αυτής. Θα διαιρέσης την κιβωτόν εις τρεις ορόφους, στο ισόγειον, τον πρώτον όροφον και τον δεύτερον.

Γεν. 6,17 - ἐγὼ δὲ ἰδοὺ ἐπάγω τὸν κατακλυσμόν, ὕδωρ ἐπὶ τὴν γῆν καταφθεῖραι πᾶσαν σάρκα, ἐν ᾗ ἐστι πνεῦμα ζωῆς, ὑποκάτω τοῦ οὐρανοῦ· καὶ ὅσα ἐὰν ᾖ ἐπὶ τῆς γῆς, τελευτήσει.

Γεν. 6,17 - Εγώ δε θα εξαπολύσω τον κατακλυσμόν, ύδατα πολλά επάνω εις την επιφάνειαν της γης, ώστε να καταστραφή κάθε σαρξ, κάθε τι το οποίον κάτω από τον ουρανόν έχει ζωήν όλα όσα υπάρχουν επάνω εις την γην, άνθρωποι και πτηνά και τετράποδα και ερπετά θα αποθάνουν.

Γεν. 6,18 - καὶ στήσω τὴν διαθήκην μου μετὰ σοῦ· εἰσελεύσῃ δὲ εἰς τὴν κιβωτὸν σὺ καὶ οἱ υἱοί σου καὶ ἡ γυνή σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ.

Γεν. 6,18 - Συ όμως δια την αρετήν σου θα σωθής θα εισέλθης εις την κιβωτόν, συ και τα παιδιά σου και η γυναίκα σου και αι γυναίκες των παιδιών σου μαζή με σέ.

Γεν. 6,19 - καὶ ἀπὸ πάντων τῶν κτηνῶν καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν καὶ ἀπὸ πάντων τῶν θηρίων καὶ ἀπὸ πάσης σαρκός, δύο δύο ἀπὸ πάντων εἰσάξεις εἰς τὴν κιβωτόν, ἵνα τρέφῃς μετὰ σεαυτοῦ· ἄρσεν καὶ θῆλυ ἔσονται.

Γεν. 6,19 - Και θα πάρης μαζή σου από όλα τα κτήνη και από όλα τα ερπετά και από όλα τα θηρία και από κάθε είδος που ζη εις την γην κατά ζεύγη, θα τα εισαγάγης εις την κιβωτόν, ώστε μαζή με σε να σωθούν, και συ θα έχης την φροντίδα της διατροφής των. Καθε ζεύγος ζώων θα αποτελήται από αρσενικόν και θηλυκόν.

Γεν. 6,20 - ἀπὸ πάντων τῶν ὀρνέων τῶν πετεινῶν κατὰ γένος, καὶ ἀπὸ πάντων τῶν κτηνῶν κατὰ γένος καὶ ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν

ἑρπόντων ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν, δύο δύο ἀπὸ πάντων εἰσελεύσονται πρὸς σὲ τρέφεσθαι μετὰ σοῦ, ἄρσεν καὶ θῆλυ.

Γεν. 6,20 - Θα πάρης μαζή σου από όλα τα είδη των κτηνών, των μικρών και των μεγάλων, και από όλα τα ερπετά που έρπουν εις την γην κατά το γένος αυτών. Ζεύγος άρσεν και θήλυ από όλα αυτά θα εισέλθουν εις την κιβωτόν, δια να διασωθούν και τραφούν μαζή σου.

Γεν. 6,21 - σὺ δὲ λήψῃ σεαυτῷ ἀπὸ πάντων τῶν βρωμάτων, ἃ ἔδεσθε, καὶ συνάξεις πρὸς σεαυτόν, καὶ ἔσται σοι καὶ ἐκείνοις φαγεῖν.

Γεν. 6,21 - Συ δε θα πάρης ακόμη μαζή σου από όλα τα είδη των τροφών, τας οποίας τρώγετε, και θα τας συγκεντρώσης δια τον εαυτόν σου. Ακόμη δε θα μεριμνήσης και δια την διατροφήν των ζώων, ώστε και συ και εκείνα να έχουν τροφάς κατά το διάστημα του κατακλυσμού.

Γεν. 6,22 - καὶ ἐποίησε Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεός, οὕτως ἐποίησε.

Γεν. 6,22 - Ο Νώε εξετέλεσε με ακρίβειαν όλα όσα διέταξε Κυριος ο Θεός· έπραξεν, όπως εκείνος είχε διατάξει.

## ΓΕΝΕΣΙΣ 7

Γεν. 7,1 - Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε· εἴσελθε σὺ καὶ πᾶς ὁ οἶκός σου εἰς τὴν κιβωτόν, ὅτι σὲ εἶδον δίκαιον ἐναντίον μου ἐν τῇ γενεᾷ ταύτῃ.

Γεν. 7,1 - Τοτε είπε Κυριος ο Θεός προς τον Νώε· “είσελθε συ και όλη η οικογένειά σου εις την κιβωτόν, διότι μόνον σε μέσα εις την γενεάν αυτήν ευρήκα πιστόν και ενάρετον ενώπιόν μου.

Γεν. 7,2 - ἀπὸ δὲ τῶν κτηνῶν τῶν καθαρῶν εἰσάγαγε πρὸς σὲ ἑπτὰ ἑπτά, ἄρσεν καὶ θῆλυ, ἀπὸ δὲ τῶν κτηνῶν τῶν μὴ καθαρῶν δύο δύο, ἄρσεν καὶ θῆλυ,

Γεν. 7,2 - Από τα ζώα τα καθαρά εισάγαγε εις την κιβωτόν ανά επτά ζεύγη, άρσεν και θήλυ· από δε τα κτήνη τα μη καθαρά ανά δύο ζεύγη άρσεν και θήλυ.

Γεν. 7,3 - καὶ ἀπὸ τῶν πετεινῶν τοῦ οὐρανοῦ τῶν καθαρῶν ἑπτὰ ἑπτά, ἄρσεν καὶ θῆλυ, καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν μὴ καθαρῶν δύο δύο, ἄρσεν καὶ θῆλυ, διαθρέψαι σπέρμα ἐπί πᾶσαν τὴν γῆν.

Γεν. 7,3 - Επίσης από τα πτηνά του ουρανού τα καθαρά ανά επτά ζεύγη, άρσεν και θήλυ και από όλα τα πτηνά τα μη καθαρά ανά δύο ζεύγη, άρσεν και θήλυ, ώστε να διατραφούν και σωθούν από τον κατακλυσμόν και πολλαπλασιασθούν κατόπιν εις όλην την γην.

Γεν. 7,4 - ἔτι γὰρ ἡμερῶν ἑπτὰ ἐγὼ ἐπάγω ὑετὸν ἐπὶ τὴν γῆν τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας καὶ ἐξαλείψω πᾶν τὸ ἀνάστημα, ὃ ἐποίησα, ἀπὸ προσώπου πάσης τῆς γῆς.

Γεν. 7,4 - Καμε σύντομα τούτο, διότι μετά επτά ημέρας θα εξαπολύσω κατακλυσμόν εις ολόκληρον την γην επί τεσσαράκοντα ημερονύκτια και θα εξαφανίσω από το πρόσωπον της γης ανθρώπους και ζώα, τα οποία είχον δημιουργήσει”.

Γεν. 7,5 - καὶ ἐποίησε Νῶε πάντα, ὅσα ἐνετείλατο αὐτῷ Κύριος ὁ Θεός.

Γεν. 7,5 - Και εξετέλεσεν ο Νώε όλα όσα διέταξε και υπέδειξεν εις αυτόν Κυριος ο Θεός.

Γεν. 7,6 - Νῶε δὲ ἦν ἐτῶν ἑξακοσίων, καὶ ὁ κατακλυσμὸς τοῦ ὕδατος ἐγένετο ἐπὶ τῆς γῆς.

Γεν. 7,6 - Ο δε Νώε ήτο εξακοσίων ετών τότε, που έγινεν ο κατακλυσμός εις την γην.

Γεν. 7,7 - εἰσῆλθε δὲ Νῶε καὶ οἱ υἱοὶ αὐτοῦ καὶ ἡ γυνὴ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ᾿ αὐτοῦ εἰς τὴν κιβωτὸν διὰ τὸ ὕδωρ τοῦ κατατακλυσμοῦ.

Γεν. 7,7 - Εισήλθε, σύμφωνα με την διαταγήν του Θεού, εις την κιβωτόν αυτός και μαζή με αυτόν τα παιδιά του και η γυναίκα του και αι γυναίκες των παιδιών του, δια να σωθούν από τα ύδατα του κατακλυσμού.

Γεν. 7,8 - καὶ ἀπὸ τῶν πετεινῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν πετεινῶν τῶν μὴ καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ τῶν κτηνῶν τῶν μὴ καθαρῶν καὶ ἀπὸ πάντων τῶν ἑρπόντων ἐπὶ τῆς γῆς

Γεν. 7,8 - Μαζή του επίσης εισήλθον από τα καθαρά και ακάθαρτα πτηνά, από τα καθαρά και ακάθαρτα ζώα και από όλα τα ερπετά, που σύρονται εις την γην.

Γεν. 7,9 - δύο δύο εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβωτόν, ἄρσεν καὶ θῆλυ, καθὰ ἐνετείλατο ὁ Θεὸς τῷ Νῶε.

Γεν. 7,9 - Εισήλθον μαζή με τον Νώε εις την κιβωτόν κατά ζεύγη, αρσενικόν και θηλυκόν, όπως είχε διατάξει ο Θεός.

Γεν. 7,10 - καὶ ἐγένετο μετὰ τὰς ἑπτὰ ἡμέρας καὶ τὸ ὕδωρ τοῦ κατακλυσμοῦ ἐγένετο ἐπὶ τῆς γῆς.

Γεν. 7,10 - Επτά δε ημέρας μετά την είσοδον αυτών εξεχύθησαν τα ύδατα του κατακλυσμού επάνω εις την γην.

Γεν. 7,11 - ἐν τῷ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ δευτέρου μηνός, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός, τῇ ἡμέρᾳ ταύτῃ ἐῤῥάγησαν πᾶσαι αἱ πηγαὶ τῆς ἀβύσσου, καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ ἠνεῴχθησαν.

Γεν. 7,11 - Κατά το εξακοσιοστόν έτος της ηλικίας του Νώε, εις τας είκοσι δύο του δευτέρου μηνός διερράγησαν όλαι αι πηγαί των υπογείων υδάτων

και των θαλασσών και ήνοιξαν οι καταρράκται του ουρανού εις καταρρακτώδεις βροχάς.

Γεν. 7,12 - καὶ ἐγένετο ὑετὸς ἐπὶ τῆς γῆς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.

Γεν. 7,12 - Εβρεχε δε συνεχώς επί τεσσαράκοντα ημερονύκτια εις την γην.

Γεν. 7,13 - ἐν τῇ ἡμέρᾳ ταύτῃ εἰσῆλθε Νῶε, Σήμ, Χάμ, Ἰάφεθ, οἱ υἱοὶ Νῶε, καὶ ἡ γυνὴ Νῶε καὶ αἱ τρεῖς γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ᾿ αὐτοῦ εἰς τὴν κιβωτόν.

Γεν. 7,13 - Κατά την ημέραν αυτήν, όπως είχε διατάξει ο Θεός, εισήλθεν εις την κιβωτόν ο Νώε και τα παιδιά του, ο Σημ, ο Χαμ και ο Ιάφεθ, η γυναίκα του Νώε και αι τρεις γυναίκες των παιδιών του.

Γεν. 7,14 - καὶ πάντα τὰ θηρία κατὰ γένος καὶ πάντα τὰ κτήνη κατὰ γένος καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος καὶ πᾶν ὄρνεον πετεινὸν κατὰ γένος αὐτοῦ

Γεν. 7,14 - Μαζή του επίσης είχον εισέλθει όλα τα θηρία κατά τα είδη αυτών και όλα τα κτήνη κατά τα είδη αυτών και όλα τα είδη των ερπετών που σύρονται εις την γην, και όλα τα πτηνά του ουρανού κατά τα είδη αυτών.

Γεν. 7,15 - εἰσῆλθον πρὸς Νῶε εἰς τὴν κιβωτόν, δύο δύο ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκός, ἐν ᾧ ἐστι πνεῦμα ζωῆς.

Γεν. 7,15 - Κατά ζεύγη, άρρενα και θήλεα, εισήλθον μαζή με τον Νώε εις την κιβωτόν, κάθε ζωντανόν της ξηράς.

Γεν. 7,16 - καὶ τὰ εἰσπορευόμενα ἄρσεν καὶ θῆλυ ἀπὸ πάσης σαρκὸς εἰσῆλθε, καθὰ ἐνετείλατο ὁ Θεὸς τῷ Νῶε. καὶ ἔκλεισε Κύριος ὁ Θεὸς τὴν κιβωτὸν ἔξωθεν αὐτοῦ.

Γεν. 7,16 - Τα εισελθόντα εις την κιβωτόν ζώα ήσαν από όλα τα είδη αρσενικά και θηλυκά, όπως είχε διατάξει ο Θεός τον Νώε. Και αφού τα πάντα ησφαλίσθησαν εις την κιβωτόν, έκλεισεν ο ίδιος ο Θεός απ' έξω την κιβωτόν.

Γεν. 7,17 - Καὶ ἐγένετο ὁ κατακλυσμὸς τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας ἐπὶ τῆς γῆς, καὶ ἐπεπληθύνθη τὸ ὕδωρ καὶ ἐπῆρε τὴν κιβωτόν, καὶ ὑψώθη ἀπὸ τῆς γῆς.

Γεν. 7,17 - Ο κατακλυσμός εγίνετο επί τεσσαράκοντα κατά συνέχειαν ημερονύκτια εις την γην και επληθύνθη πάρα πολύ το νερό επάνω εις την γην, ανεσήκωσε την κιβωτόν εις την επιφάνειάν του και την ύψωσεν επάνω από την γην.

Γεν. 7,18 - καὶ ἐπεκράτει τὸ ὕδωρ καὶ ἐπληθύνετο σφόδρα ἐπὶ τῆς γῆς, καί ἐπεφέρετο ἡ κιβωτὸς ἐπάνω τοῦ ὕδατος.

Γεν. 7,18 - Και εκυριάρχει συνεχώς το ύδωρ και επληθύνετο ολονέν και περισσότερον επάνω εις την γην, η δε κιβωτός εφέρετο επάνω εις τα ύδατα.

Γεν. 7,19 - τὸ δὲ ὕδωρ ἐπεκράτει σφόδρα σφόδρα ἐπὶ τῆς γῆς καὶ ἐκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλά, ἃ ἦν ὑποκάτω τοῦ οὐρανοῦ·

Γεν. 7,19 - Και εξωγκώθη ακόμη περισσότερον το ύδωρ και υπερεπληθύνθη και εσκέπασεν όλα τα όρη τα υψηλά, όσα υπήρχον κάτω από τον ουρανόν.

Γεν. 7,20 - πεντεκαίδεκα πήχεις ὑπεράνω ὑψώθη τὸ ὕδωρ καὶ ἐπεκάλυψε πάντα τὰ ὄρη τὰ ὑψηλά.

Γεν. 7,20 - Δέκα πέντε πήχεις επάνω από τα υψηλότερα όρη υψώθη το ύδωρ και εσκέπασεν εξ ολοκλήρου αυτά.

Γεν. 7,21 - καὶ ἀπέθανε πᾶσα σὰρξ κινουμένη ἐπὶ τῆς γῆς τῶν πετεινῶν καὶ τῶν κτηνῶν καὶ τῶν θηρίων καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς καὶ πᾶς ἄνθρωπος.

Γεν. 7,21 - Επνίγη δε και απέθανε μέσα εις τα ύδατα του κατακλυσμού κάθε ζωϊκή υπαρξις της γης, τα πτηνά του ουρανού και τα κτήνη και τα θηρία και τα ερπετά που σύρονται εις την γην και κάθε άνθρωπος·

Γεν. 7,22 - καὶ πάντα, ὅσα ἔχει πνοὴν ζωῆς, καὶ πᾶν, ὃ ἦν ἐπὶ τῆς ξηρᾶς, ἀπέθανε.

Γεν. 7,22 - και όλα όσα έχουν ζωήν και αναπνέουν, κάθε τι το οποίον έζη εις την ξηράν επνίγη.

Γεν. 7,23 - καὶ ἐξήλειψε πᾶν τὸ ἀνάστημα, ὃ ἦν ἐπί προσώπου τῆς γῆς, ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἑρπετῶν καὶ τῶν πετεινῶν τοῦ οὐρανοῦ, καὶ ἐξηλείφθησαν ἀπὸ τῆς γῆς· καὶ κατελείφθη μόνος Νῶε καὶ οἱ μετ᾿ αὐτοῦ ἐν τῇ κιβωτῷ.

Γεν. 7,23 - Τοιουτοτρόπως ο Θεός εξηφάνισε κάθε ζωντανήν ύπαρξιν επί της γης από ανθρώπου μέχρι των κτηνών και ερπετών και πτηνών του ουρανού· τα πάντα εξηφανίσθησαν από το πρόσωπον της γης. Εμεινε δε εν τη ζωή μόνον ο Νώε και όσοι ήσαν μαζή με αυτόν εις την κιβωτόν.

Γεν. 7,24 - καὶ ὑψώθη τὸ ὕδωρ ἐπὶ τῆς γῆς ἡμέρας ἑκατὸν πεντήκοντα.

Γεν. 7,24 - Και το ύδωρ κατεπλημμύρισε την επιφάνειαν της γης επί εκατόν πεντήκοντα ημέρας.

## ΓΕΝΕΣΙΣ 8

Γεν. 8,1 - Καὶ ἀνεμνήσθη ὁ Θεὸς τοῦ Νῶε καὶ πάντων τῶν θηρίων καὶ πάντων τῶν κτηνῶν καὶ πάντων τῶν πετεινῶν καὶ πάντων τῶν ἑρπετῶν τῶν ἑρπόντων, ὅσα ἦν μετ᾿ αὐτοῦ ἐν τῇ κιβωτῷ, καὶ ἐπήγαγεν ὁ Θεὸς πνεῦμα ἐπὶ τὴν γῆν, καὶ ἐκόπασε τὸ ὕδωρ,

Γεν. 8,1 - Ενεθυμήθη δε ο Θεός τον Νώε και όλα τα θηρία και όλα τα κτήνη και όλα τα πτηνά και όλα τα ερπετά, που σύρονται εις την γην, όλα

όσα ευρίσκοντο μαζή με τον Νώε εις την κιβωτόν· και έστειλε τότε ο Θεός άνεμον εις την γην, συνεπεία του οποίου ήρχισε να υποχωρή και να ελαττώνεται το ύδωρ, που εσκέπαζε την γην.

Γεν. 8,2 - καὶ ἐπεκαλύφθησαν αἱ πηγαὶ τῆς ἀβύσσου καὶ οἱ καταῤῥάκται τοῦ οὐρανοῦ, καὶ συνεσχέθη ὁ ὑετὸς ἀπὸ τοῦ οὐρανοῦ.

Γεν. 8,2 - Επωματίσθησαν κατά διαταγήν του Θεού αι πηγαί της ξηράς και της θαλάσσης, έκλεισαν οι καταρράκται του ουρανού και εσταμάτησε τελείως η κατακλυσμιαία βροχή.

Γεν. 8,3 - καὶ ἐνεδίδου τὸ ὕδωρ πορευόμενον ἀπὸ τῆς γῆς, καὶ ἠλαττονοῦτο τὸ ὕδωρ μετὰ πεντήκοντα καὶ ἑκατὸν ἡμέρας.

Γεν. 8,3 - Το ύδωρ υποχωρούσε ολονέν και περισσότερον και απεσύρετο από την γην. Μετά εκατόν πεντήκοντα ημέρας από την έναρξιν του κατακλυσμού ήρχισε να υποχωρή το ύδωρ.

Γεν. 8,4 - καὶ ἐκάθισεν ἡ κιβωτὸς ἐν μηνὶ τῷ ἑβδόμῳ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός, ἐπὶ τὰ ὄρη τὰ Ἀραράτ.

Γεν. 8,4 - Η κιβωτός εκάθισεν ομαλώς εις τα όρη Αραράτ κατά την εικοστήν εβδόμην του εβδόμου μηνός.

Γεν. 8,5 - τὸ δὲ ὕδωρ ἠλαττονοῦτο ἕως τοῦ δεκάτου μηνός· καὶ ἐν τῷ δεκάτῳ μηνί, τῇ πρώτῃ τοῦ μηνός, ὤφθησαν αἱ κεφαλαὶ τῶν ὀρέων.

Γεν. 8,5 - Το δε ύδωρ συνεχώς ηλαττώνετο μέχρι του δεκάτου μηνός. Κατά την πρώτην του δεκάτου μηνός εφάνησαν αι κορυφαί και των άλλων ορέων.

Γεν. 8,6 - καὶ ἐγένετο μετὰ τεσσαράκοντα ἡμέρας ἠνέῳξε Νῶε τὴν θυρίδα τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ ἀπέστειλε τὸν κόρακα τοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ·

Γεν. 8,6 - Τεσσαράκοντα δε ημέρας κατόπιν ήνοιξεν ο Νώε την θυρίδα της κιβωτού, την οποίαν είχε κατασκευάσει, και απέλυσε τον κόρακα, δια να ίδη εάν έπαυσε να υπάρχη νερό εις την ξηράν.

Γεν. 8,7 - καὶ ἐξελθών, οὐκ ἀνέστρεψεν ἕως τοῦ ξηρανθῆναι τὸ ὕδωρ ἀπὸ τῆς γῆς.

Γεν. 8,7 - Ο κόραξ εξελθών από την κιβωτόν δεν επέστρεψε πλέον, ούτε και όταν εξηράνθη εντελώς το ύδωρ από την επιφάνειαν της γης.

Γεν. 8,8 - καὶ ἀπέστειλε τὴν περιστερὰν ὀπίσω αὐτοῦ ἰδεῖν, εἰ κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς.

Γεν. 8,8 - Επειτα από τον κόρακα έστειλεν ο Νώε την περιστεράν, δια να ίδη εάν είχε παύσει το ύδωρ να σκεπάζη την επιφάνειαν της γης.

Γεν. 8,9 - καὶ οὐχ εὑροῦσα ἡ περιστερὰ ἀνάπαυσιν τοῖς ποσὶν αὐτῆς, ἀνέστρεψε πρὸς αὐτὸν εἰς τὴν κιβωτόν, ὅτι ὕδωρ ἦν ἐπὶ πᾶν τὸ πρόσωπον τῆς γῆς, καὶ ἐκτείνας τὴν χεῖρα ἔλαβεν αὐτήν, καὶ εἰσήγαγεν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν κιβωτόν.

Γεν. 8,9 - Η περιστερά επειδή δεν εύρε τόπον ξηρόν, δια να πατήση και αναπαυθή, διότι το ύδωρ εξηκολούθει να καλύπτη την επιφάνειαν της γης, επέστρεψεν εις την κιβωτόν. Ο Νώε ήπλωσε το χέρι του, επήρε την περιστεράν και την εισήγαγεν εις την κιβωτόν, όπου και αυτός ευρίσκετο.

Γεν. 8,10 - καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστερὰν ἐκ τῆς κιβωτοῦ·

Γεν. 8,10 - Επερίμενεν επτά ακόμη ημέρας και απέστειλε πάλιν την περιστεράν από την κιβωτόν.

Γεν. 8,11 - καὶ ἀνέστρεψε πρὸς αὐτὸν ἡ περιστερὰ τὸ πρὸς ἑσπέραν, καὶ εἶχε φύλλον ἐλαίας κάρφος ἐν τῷ στόματι αὐτῆς, καὶ ἔγνω Νῶε ὅτι κεκόπακε τὸ ὕδωρ ἀπὸ τῆς γῆς.

Γεν. 8,11 - Η περιστερά επέστρεψε προς τον Νώε κατά την εσπέραν φέρουσα στο ράμφος της κλωναράκι εληάς. Ενόησε τότε ο Νώε ότι είχεν αποσυρθή πλέον το ύδωρ από την γην.

Γεν. 8,12 - καὶ ἐπισχὼν ἔτι ἡμέρας ἑπτὰ ἑτέρας, πάλιν ἐξαπέστειλε τὴν περιστεράν, καὶ οὐ προσέθετο τοῦ ἐπιστρέψαι πρὸς αὐτὸν ἔτι.

Γεν. 8,12 - Επερίμενεν ο Νώε άλλας επτά ημέρας και έστειλε πάλιν την περιστεράν. Αλλά η περιστερά δεν επέστρεψε πλέον προς αυτόν.

Γεν. 8,13 - καὶ ἐγένετο ἐν τῷ ἑνὶ καὶ ἑξακοσιοστῷ ἔτει ἐν τῇ ζωῇ τοῦ Νῶε, τοῦ πρώτου μηνός, μιᾷ τοῦ μηνός, ἐξέλιπε τὸ ὕδωρ ἀπὸ τῆς γῆς· καὶ ἀπεκάλυψε Νῶε τὴν στέγην τῆς κιβωτοῦ, ἣν ἐποίησε, καὶ εἶδεν ὅτι ἐξέλιπε τὸ ὕδωρ ἀπὸ προσώπου τῆς γῆς.

Γεν. 8,13 - Οταν δε ο Νώε το εξακοσίων και ενός ετών, κατά την πρώτην του πρώτου μηνός, εξηφηνίσθη ολοτελώς από την επιφάνειαν το ύδωρ του κατακλυσμού. Τοτε ο Νώε εξεσκέπασε την στέγην της κιβωτού, την οποίαν είχε κατασκευάσει, και είδεν ότι πράγματι είχεν εκλείψει το ύδωρ του κατακλυσμού από την ξηράν.

Γεν. 8,14 - ἐν δὲ τῷ δευτέρῳ μηνὶ ἐξηράνθη ἡ γῆ, ἑβδόμῃ καὶ εἰκάδι τοῦ μηνός.

Γεν. 8,14 - Κατά δε την εικοστήν εβδόμην του δευτέρου μηνός εστέγνωσεν η ξηρά από τα ύδατα του κατακλυσμού.

Γεν. 8,15 - Καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε λέγων·

Γεν. 8,15 - Τοτε ωμίλησε Κυριος ο Θεός προς τον Νώε και του είπε·

Γεν. 8,16 - ἔξελθε ἐκ τῆς κιβωτοῦ, σὺ καὶ ἡ γυνή σου καὶ οἱ υἱοί σου καὶ αἱ γυναῖκες τῶν υἱῶν σου μετὰ σοῦ

Γεν. 8,16 - “έβγα από την κιβωτόν, συ μαζή δέ με σε και η γυναίκα σου και τα παιδιά σου και αι γυναίκες των παιδιών σου·

Γεν. 8,17 - καὶ πάντα τὰ θηρία, ὅσα ἐστὶ μετὰ σοῦ, καὶ πᾶσα σὰρξ ἀπὸ πετεινῶν ἕως κτηνῶν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς ἐξάγαγε μετὰ σεαυτοῦ· καὶ αὐξάνεσθε καὶ πληθύνεσθε ἐπὶ τῆς γῆς.

Γεν. 8,17 - Βγάλε από την κιβωτόν όλα τα θηρία όσα υπάρχουν εις αυτήν και κάθε τι έμψυχον από τα πτηνά έως τα κτήνη και κάθε ερπετόν, που σύρεται εις την γην, ώστε τίποτε πλέον να μη μείνη εις την κιβωτόν. Αυξάνεσθε και πληθύνεσθε εις όλην την γην".

Γεν. 8,18 - καὶ ἐξῆλθε Νῶε καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ γυναῖκες τῶν υἱῶν αὐτοῦ μετ᾿ αὐτοῦ.

Γεν. 8,18 - Και πράγματι εξήλθεν από την κιβωτόν ο Νώε και η σύζυγος αυτού, τα παιδιά του και αι γυναίκες των παιδιών του μαζή με αυτόν.

Γεν. 8,19 - καὶ πάντα τὰ θηρία, καὶ πάντα τὰ κτήνη, καὶ πᾶν πετεινόν, καὶ πᾶν ἑρπετὸν κινούμενον ἐπὶ τῆς γῆς κατὰ γένος αὐτῶν, ἐξήλθοσαν ἐκ τῆς κιβωτοῦ.

Γεν. 8,19 - Εξήλθον επίσης από την κιβωτόν όλα τα θηρία και όλα τα κτήνη και κάθε πτηνόν και κάθε ερπετόν, που κινείται εις την επιφάνειαν της γης, κατά το είδος αυτών.

Γεν. 8,20 - καὶ ᾠκοδόμησε Νῶε θυσιαστήριον τῷ Κυρίῳ, καὶ ἔλαβεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀπὸ πάντων τῶν πετεινῶν τῶν καθαρῶν καὶ ἀνήνεγκεν εἰς ὁλοκάρπωσιν ἐπὶ τὸ θυσιαστήριον.

Γεν. 8,20 - Και έκτισεν ο Νώε θυσιαστήριον εις έκφρασιν ευγνωμοσύνης και δοξολογίας προς τον Κυριον. Επήρε δε και προσέφερε θυσίαν ολοκαυτώματος προς τον Θεόν από όλα τα καθαρά κτήνη και από όλα τα καθαρά πτηνά.

Γεν. 8,21 - καὶ ὠσφράνθη Κύριος ὁ Θεὸς ὀσμὴν εὐωδίας, καὶ εἶπε Κύριος ὁ Θεὸς διανοηθείς· οὐ προσθήσω ἔτι καταράσασθαι τὴν γῆν διὰ τὰ ἔργα τῶν ἀνθρώπων, ὅτι ἔγκειται ἡ διάνοια τοῦ ἀνθρώπου ἐπιμελῶς ἐπὶ τὰ πονηρὰ ἐκ νεότητος αὐτοῦ· οὐ προσθήσω οὖν ἔτι πατάξαι πᾶσαν σάρκα ζῶσαν, καθὼς ἐποίησα.

Γεν. 8,21 - Ο δε Θεός ωσφράνθη την ευώδη οσμήν της ευχαριστηρίου θυσίας και σκεφθείς απεφάσισε και είπε· "δεν θα καταρασθώ πλέον την γην εξ αιτίας των πονηρών έργων των ανθρώπων, μολονότι η καρδία του κάθε ανθρώπου ρέπει και είναι προσηλωμένη επιμελώς στο πονηρόν εκ νεότητος αυτού. Δεν θα πλήξω και δεν θα καταστρέψω άλλην φοράν κάθε ζωντανήν υπαρξιν επί της γης δια κατακλυσμού, όπως έκαμα τώρα.

Γεν. 8,22 - πάσας τὰς ἡμέρας τῆς γῆς, σπέρμα καὶ θερισμός, ψῦχος καὶ καῦμα, θέρος καὶ ἔαρ, ἡμέραν καὶ νύκτα οὐ καταπαύσουσι.

Γεν. 8,22 - Εφ' όσον θα υπάρχη η γη, δεν θα παύσουν να υπάρχουν σπορά και θερισμός, κρύο και ζέστη, άνοιξις και θέρος, ημέρα και νύκτα.

## ΓΕΝΕΣΙΣ 9

Γεν. 9,1 - Καὶ εὐλόγησεν ὁ Θεὸς τὸν Νῶε καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν αὐτοῖς· αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν καὶ κατακυριεύσατε αὐτῆς.

Γεν. 9,1 - Ευλόγησε τότε ο Θεός τον Νώε και τα παιδιά αυτού και είπε προς αυτούς· “αυξάνεσθε και πληθύνεσθε και απλωθήτε εις όλην την γην και γενήτε κύριοι αυτής.

Γεν. 9,2 - καὶ ὁ τρόμος καὶ ὁ φόβος ὑμῶν ἔσται ἐπὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ἐπὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ καὶ ἐπὶ πάντα τὰ κινούμενα ἐπὶ τῆς γῆς καὶ ἐπὶ πάντας τοὺς ἰχθύας τῆς θαλάσσης· ὑπὸ χεῖρας ὑμῖν δέδωκα.

Γεν. 9,2 - Ας είσθε τρόμος και φόβος εις όλα τα θηρία της γης, εις όλα τα πτηνά του ουρανού, εις κάθε τι που ζη και κινείται έτι της ξηράς, και εις όλους τους ιχθύας της θαλάσσης. Υπό την εξουσίαν σας έδωκα όλα αυτά.

Γεν. 9,3 - καὶ πᾶν ἑρπετόν, ὅ ἐστι ζῶν, ὑμῖν ἔσται εἰς βρῶσιν· ὡς λάχανα χόρτου δέδωκα ὑμῖν τὰ πάντα.

Γεν. 9,3 - Καθε τι που ζη και κινείται επί της γης, θα είναι προς διατροφήν σας. Σας δίδω όλα αυτά εις τροφήν, όπως σας έδωσα τα λάχανα και τα χόρτα.

Γεν. 9,4 - πλὴν κρέας ἐν αἵματι ψυχῆς οὐ φάγεσθε·

Γεν. 9,4 - Πλην όμως κρέας μαζή με το αίμα, επί του οποίου βασίζεται η ζωή του ζώου, δεν θα φάγετε.

Γεν. 9,5 - καὶ γὰρ τὸ ὑμέτερον αἷμα τῶν ψυχῶν ὑμῶν ἐκ χειρὸς πάντων τῶν θηρίων ἐκζητήσω αὐτὸ καὶ ἐκ χειρὸς ἀνθρώπου ἀδελφοῦ ἐκζητήσω τὴν ψυχὴν τοῦ ἀνθρώπου.

Γεν. 9,5 - Δια δε το αίμα των συνανθρώπων σας, το οποίον τυχόν με τα χέρια σας εγκληματούντες θα χύσετε, θα τιμωρήσω δια των αγρίων ζώων, τα οποία θα εξαπολύσω εναντίον σας. Αλλά και δι' άλλου ανθρώπου θα τιμωρήσω εκείνον, ο οποίος αφαιρεί ανθρωπίνην ζωήν.

Γεν. 9,6 - ὁ ἐκχέων αἷμα ἀνθρώπου, ἀντὶ τοῦ αἵματος αὐτοῦ ἐκχυθήσεται, ὅτι ἐν εἰκόνι Θεοῦ ἐποίησα τὸν ἄνθρωπον.

Γεν. 9,6 - Εκείνος δηλαδή ο οποίος χύνει αίμα ανθρώπου, εις τιμωρίαν του δια το εκχυθέν υπ' αυτού αίμα, θα φονευθή και θα χυθή έτσι και το ιδικόν του αίμα, διότι εγώ ο Θεός εδημιούργησα κατ' εικόνα ιδικήν μου τον άνθροπον και κανείς δεν έχει το δικαίωμα να του αφαιρέση την ζωήν.

Γεν. 9,7 - ὑμεῖς δὲ αὐξάνεσθε καὶ πληθύνεσθε καὶ πληρώσατε τὴν γῆν, καὶ κατακυριεύσατε αὐτῆς.

Γεν. 9,7 - Σεις δε αυξάνεσθε και πληθύνεσθε και γεμίσατε όλην την γην και γενήτε κύριοι αυτής”.

Γεν. 9,8 - Καὶ εἶπεν ὁ Θεός τῷ Νῷε καὶ τοῖς υἱοῖς αὐτοῦ μετ᾿ αὐτοῦ λέγων·

Γεν. 9,8 - Είπε δε ακόμη ο Θεός στον Νώε και εις τα παιδιά αυτού λέγων·

Γεν. 9,9 - καὶ ἰδοὺ ἐγὼ ἀνίστημι τὴν διαθήκην μου ὑμῖν καὶ τῷ σπέρματι ὑμῶν μεθ᾿ ὑμᾶς

Γεν. 9,9 - "ιδού εγώ σήμερον συνάπτω και κλείω μίαν συμφωνίαν μαζή σας και με τους απογόνους σας, οι οποίοι θα σας διαδεχθούν.

Γεν. 9,10 - καὶ πάσῃ ψυχῇ ζώσῃ μεθ᾿ ὑμῶν, ἀπὸ ὀρνέων καὶ ἀπὸ κτηνῶν, καὶ πᾶσι τοῖς θηρίοις τῆς γῆς, ὅσα ἐστὶ μεθ᾿ ὑμῶν ἀπὸ πάντων τῶν ἐξελθόντων ἐκ τῆς κιβωτοῦ.

Γεν. 9,10 - Η συμφωνία και η υπόσχεσίς μου αυτή επεκτείνεται και εις κάθε ζώσαν ψυχήν, που υπάρχει μαζή σας και γύρω σας, εις τα πτηνά του ουρανού και εις όλα τα κτήνη και τα θηρία της γης, όσα μαζή με σας εξήλθον από την κιβωτόν.

Γεν. 9,11 - καὶ στήσω τὴν διαθήκην μου πρὸς ὑμᾶς, καὶ οὐκ ἀποθανεῖται πᾶσα σὰρξ ἔτι ἀπὸ τοῦ ὕδατος τοῦ κατακλυσμοῦ, καὶ οὐκ ἔτι ἔσται κατακλυσμὸς ὕδατος τοῦ καταφθεῖραι πᾶσαν τὴν γῆν.

Γεν. 9,11 - Καμνω διαθήκην και σας υπόσχομαι ότι δεν θα καταστραφή ποτέ πλέον το ζωϊκόν βασίλειον από ύδατα του κατακλυσμού και δεν θα γίνη ποτέ κατακλυσμός, δια να καταστρέψη όλην την γην".

Γεν. 9,12 - καὶ εἶπε Κύριος ὁ Θεὸς πρὸς Νῶε· τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ὃ ἐγὼ δίδωμι ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης, ἥ ἐστι μεθ᾿ ὑμῶν εἰς γενεὰς αἰωνίους·

Γεν. 9,12 - Είπε δε ακόμη Κυριος ο Θεός προς τον Νώε· "σημείον δε αυτής της υποσχέσεως, την οποίαν εγώ δίδω, ώστε να μένη μεταξύ εμού και μεταξύ σας και μεταξύ πάσης ζώσης υπάρξεως η οποία υπάρχει σήμερον μαζή σας και θα υπάρχη εις γενεάς γενεών, είναι τούτο·

Γεν. 9,13 - τὸ τόξον μου τίθημι ἐν τῇ νεφέλῃ, καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς.

Γεν. 9,13 - Θέτω το ουράνιον τόξον εις τα νέφη, και αυτό θα είναι εις σημείον και εις υπόμνησιν της διαθήκης μου μεταξύ Εμού και όλων των ζώντων επί της γης, ανθρώπων και ζώων.

Γεν. 9,14 - καὶ ἔσται ἐν τῷ συννεφεῖν με νεφέλας ἐπὶ τὴν γῆν, ὀφθήσεται τὸ τόξον ἐν τῇ νεφέλῃ,

Γεν. 9,14 - Οταν θα συναθροίζω τα νέφη στον ουρανόν της γης, θα φαίνεται το ουράνιον τόξον επάνω εις αυτά,

Γεν. 9,15 - καὶ μνησθήσομαι τῆς διαθήκης μου, ἥ ἐστιν ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν, καὶ ἀνὰ μέσον πάσης ψυχῆς ζώσης ἐν πάσῃ σαρκί, καὶ οὐκ ἔσται ἔτι τὸ ὕδωρ εἰς κατακλυσμόν, ὥστε ἐξαλεῖψαι πᾶσαν σάρκα.

Γεν. 9,15 - και θα ενθυμούμαι την διαθήκην μου, την οποίαν έκαμα προς σας και προς κάθε άλλην ζωντανήν υπαρξιν, προς κάθε σάρκα και δεν θα

πέση ύδωρ επί της γης εις κατακλυσμόν αυτής, ώστε να καταστραφή κάθε ζώσα ύπαρξις από ανθρώπου έως ζώου.

Γεν. 9,16 - καὶ ἔσται τὸ τόξον μου ἐν τῇ νεφέλῃ, καὶ ὄψομαι τοῦ μνησθῆναι διαθήκην αἰώνιον ἀνὰ μέσον ἐμοῦ καὶ τῆς γῆς καὶ ἀνὰ μέσον ψυχῆς ζώσης ἐν πᾶσι σαρκί, ἥ ἐστιν ἐπὶ τῆς γῆς.

Γεν. 9,16 - Τούτο το ουράνιόν μου τόξον θα υπάρχη εις τα νέφη, και θα το βλέπω, ώστε να ενθυμούμαι, την αιωνίαν και απαράβατον συμφωνίαν μεταξύ εμού και των ανθρώπων της γης και πάσης άλλης ζωής που θα υπάρχη εις κάθε ζωϊκόν οργανισμόν επάνω εις την γην".

Γεν. 9,17 - καὶ εἶπεν ὁ Θεὸς τῷ Νῶε· τοῦτο τὸ σημεῖον τῆς διαθήκης, ἧς διεθέμην ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον πάσης σαρκός, ἥ ἐστιν ἐπὶ τῆς γῆς.

Γεν. 9,17 - Είπεν ακόμη ο Θεός στον Νώε· "λοιπόν αυτό το ουράνιον τόξον είναι το αιώνιον σημείον της συμφωνίας, την οποίαν έκαμα μεταξύ εμού και παντός ζωϊκού οργανισμού επί της γης και της υποσχέσεώς μου ότι δεν θα αποστείλω πλέον κατακλυσμόν εις την γην".

Γεν. 9,18 - Ἦσαν δὲ οἱ υἱοὶ Νῶε, οἱ ἐξελθόντες ἐκ τῆς κιβωτοῦ, Σήμ, Χάμ, Ἰάφεθ· Χάμ δὲ ἦν πατὴρ Χαναάν.

Γεν. 9,18 - Τα παιδιά του Νώε, τα οποία εξήλθον από την κιβωτόν, ήσαν ο Σημ, ο Χαμ και ο Ιάφεθ. Ο Χαμ ήτο γενάρχης των Χαναναίων.

Γεν. 9,19 - τρεῖς οὗτοί εἰσιν υἱοὶ Νῶε· ἀπὸ τούτων διεσπάρησαν ἐπί πᾶσαν τὴν γῆν.

Γεν. 9,19 - Αυτοί οι τρεις ήσαν οι υιοί του Νώε. Από αυτούς δε εγεννήθησαν και επληθύνθησαν οι άνθρωποι και διεσπάρησαν εις όλην την γην.

Γεν. 9,20 - Καὶ ἤρξατο Νῶε ἄνθρωπος γεωργὸς γῆς καὶ ἐφύτευσεν ἀμπελῶνα.

Γεν. 9,20 - Ο Νώε έγινε γεωργός, ήρχισε να καλλιεργή την γην, και εφύτευσε μεταξύ των άλλων, και αμπελώνα.

Γεν. 9,21 - καὶ ἔπιεν ἐκ τοῦ οἴνου καὶ ἐμεθύσθη καὶ ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ.

Γεν. 9,21 - Επιε δε από τον οίνον και εμέθυσε. Μεθυσμένος δε καθώς ήτο, εγυμνώθη εντός της οικίας του, χωρίς να το αντιληφθή.

Γεν. 9,22 - καὶ εἶδε Χὰμ ὁ πατὴρ Χαναὰν τὴν γύμνωσιν τοῦ πατρὸς αὐτοῦ καὶ ἐξελθὼν ἀνήγγειλε τοῖς δυσὶν ἀδελφοῖς αὐτοῦ ἔξω.

Γεν. 9,22 - Ο Χαμ, ο πρόγονος των Χαναναίων, είδε την γύμνωσιν του πατρός του και εξελθών εγνωστοποίησεν εμπαικτικώς το γεγονός στους δύο αδελφούς του, οι οποίοι ευρίσκοντο έξω.

Γεν. 9,23 - καὶ λαβόντες Σὴμ καὶ Ἰάφεθ τὸ ἱμάτιον ἐπέθεντο ἐπὶ τὰ δύο νῶτα αὐτῶν καὶ ἐπορεύθησαν ὀπισθοφανῶς καὶ συνεκάλυψαν τὴν

γύμνωσιν τοῦ πατρὸς αὐτῶν, καὶ τὸ πρόσωπον αὐτῶν ὀπισθοφανῶς, καὶ τὴν γύμνωσιν τοῦ πατρὸς αὐτῶν οὐκ εἶδον.

Γεν. 9,23 - Αμέσως δε ο Σημ και ο Ιάφεθ έλαβον το ιμάτιον του πατρός των, έθεσαν αυτό στους ώμους των και οπισθοβατούντες μέχρι του πατρός των εσκέπασαν την γύμνωσιν αυτού έχοντες το πρόσωπόν των προς την αντιθέτον διεύθυνσιν, και έτσι δεν είδον καθόλου την γύμνωσιν του πατρός των.

Γεν. 9,24 - ἐξένηψε δὲ Νῶε ἀπὸ τοῦ οἴνου καὶ ἔγνω ὅσα ἐποίησεν αὐτῷ ὁ υἱὸς αὐτοῦ ὁ νεώτερος,

Γεν. 9,24 - Ανένηψε και συνήλθε ο Νώε από την επίδρασίν του οίνου, έμαθε όσα έκαμεν ο νεώτερος υιός του ο Χαμ

Γεν. 9,25 - καὶ εἶπεν· ἐπικατάρατος Χαναάν· παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.

Γεν. 9,25 - και είπε· “κατηραμένος θα είναι ο Χαμ και οι απόγονοί του. Υπηρέτης και δούλος θα είναι στους αδελφούς του”.

Γεν. 9 ,26 - καὶ εἶπεν· εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Σήμ, καὶ ἔσται Χαναὰν παῖς οἰκέτης αὐτοῦ.

Γεν. 9,26 - Είπε δε ακόμη ο Νώε· “ευλογημένος ο Θεός του Σημ και ο Χαναάν θα είναι δούλος αυτού κατά την δικαίαν απόφασιν του Θεού.

Γεν. 9,27 - πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ, καὶ κατοικησάτω ἐν τοῖς οἴκοις τοῦ Σὴμ καὶ γενηθήτω Χαναὰν παῖς αὐτοῦ.

Γεν. 9,27 - Ας αυξήση και ας πλατύνη ο Θεός την γενεάν και τας χώρας του Ιάφεθ και ας βάλη αυτόν να κατοική εις τας περιοχάς του Σημ, ο δε Χαναάν ας γίνη υπηρέτης του”.

Γεν. 9,28 - Ἔζησε δὲ Νῶε μετὰ τὸν κατακλυσμὸν ἔτη τριακόσια πεντήκοντα.

Γεν. 9,28 - Εζησε δε ο Νώε μετά τον κατακλυσμόν τριακόσια πεντήκοντα έτη.

Γεν. 9,29 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Νῶε ἐννακόσια πεντήκοντα ἔτη, καὶ ἀπέθανεν.

Γεν. 9,29 - Εφθασαν εν συνόλω τα έτη της ζωής του Νώε εννεακόσια πεντήκοντα και έπειτα απέθανε.

## ΓΕΝΕΣΙΣ 10

Γεν. 10,1 - Αὗται δὲ αἱ γενέσεις τῶν υἱῶν Νῶε, Σήμ, Χάμ, Ἰάφεθ, καὶ ἐγεννήθησαν αὐτοῖς υἱοὶ μετὰ τὸν κατακλυσμόν.

Γεν. 10,1 - Οι απόγονοι, των υιών του Νώε, του Σημ του Χαμ και του Ιάφεθ, οι οποίοι εγεννήθησαν μετά τον κατακλυσμόν, είναι οι εξής·

Γεν. 10,2 - Υἱοὶ Ἰάφεθ· Γαμὲρ καὶ Μαγὼγ καὶ Μαδοὶ καὶ Ἰωύαν καὶ Ἐλισὰ καὶ Θοβὲλ καὶ Μοσὸχ καὶ Θείρας.

Γεν. 10,2 - Υιοί και απόγονοι του Ιάφεθ είναι οι Γαμέρ και ο Μαγώγ, Μήδοι και Ιωνες, Ελισά και Θοβέλ, Μοσόχ και Θείρας.

Γεν. 10,3 - καὶ υἱοὶ Γαμέρ· Ἀσχανὰζ καὶ Ῥιφὰθ καὶ Θοργαμά.

Γεν. 10,3 - Υιοί δε και απόγονοι του Γαμέρ είναι οι Ασχανάζ, Ριφάθ και Θοργαμά.

Γεν. 10,4 - καὶ υἱοὶ Ἰωύαν· Ἐλισὰ καὶ Θάρσεις, Κίτιοι, Ῥόδιοι.

Γεν. 10,4 - Υιοί και απόγονοι του Ιωύαν οι Ελισά, Θαρσείς, Κιτιοι και Ροδιοι.

Γεν. 10,5 - ἐκ τούτων ἀφωρίσθησαν νῆσοι τῶν ἐθνῶν ἐν τῇ γῇ αὐτῶν, ἕκαστος κατὰ γλῶσσαν ἐν ταῖς φυλαῖς αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

Γεν. 10,5 - Από αυτούς προήλθον λαοί, οι οποίοι διεσπάρησαν εις διαφόρους ειδωλολατρικάς νήσους, ιδίως της Μεσογείου θαλάσσης, και εις άλλας χώρας κατά τας γλώσσας αυτών, τας φυλάς και τα έθνη των.

Γεν. 10,6 - Υἱοὶ δὲ Χάμ· Χοὺς καὶ Μερσαΐν, Φοὺδ καὶ Χαναάν.

Γεν. 10,6 - Υιοί και απόγονοι του Χαμ είναι οι Χούς, Μεσραΐν, Φουδ και Χαναάν.

Γεν. 10,7 - υἱοὶ δὲ Χούς· Σαβὰ καὶ Εὐϊλὰ καὶ Σαβαθὰ καὶ Ῥεγμὰ καὶ Σαβαθακά. υἱοὶ δὲ Ῥεγμά· Σαβὰ καὶ Δαδάν.

Γεν. 10,7 - Υιοί δε και απόγονοι του Χους είναι οι Σαβά, Ευϊλά, Σαβαθά, Ρεγμά και Σαβαθακά. Υιοί δε του Ρεγμά, ο Σαβά και ο Δαδάν.

Γεν. 10,8 - Χοὺς δὲ ἐγέννησε τὸν Νεβρώδ. οὗτος ἤρξατο εἶναι γίγας ἐπὶ τῆς γῆς·

Γεν. 10,8 - Ο δε Χους απέκτησεν υιόν τον Νεβρώδ. Αυτός υπήρξεν ο πρώτος γίγας εις την περιοχήν του.

Γεν. 10,9 - οὗτος ἦν γίγας κυνηγὸς ἐναντίον Κυρίου τοῦ Θεοῦ· διὰ τοῦτο ἐροῦσιν, ὡς Νεβρὼδ γίγας κυνηγὸς ἐναντίον Κυρίου.

Γεν. 10,9 - Ητο επίσης και ανδρείος κυνηγός, ήρως ενώπιον Κυρίου του Θεού. Ητο τόσον ονομαστός δια την δύναμιν και την ανδρείαν του, ώστε ως παροιμία θα λέγουν οι άνθρωποι, όταν θα θέλουν να εξάρουν την ανδρείαν κάποιου, “ούτος είναι σαν τον Νεβρώδ ανδρείος κυνηγός ενώπιον του Κυρίου”.

Γεν. 10,10 - καὶ ἐγένετο ἀρχὴ τῆς βασιλείας αὐτοῦ Βαβυλὼν καὶ Ὀρὲχ καὶ Ἀρχὰδ καὶ Χαλάννη ἐν τῇ γῇ Σεναάρ.

Γεν. 10,10 - Η αρχή και ο πυρήν της βασιλείας του Νεδρώδ υπήρξεν η Βαβυλών, η Ορέχ, η Αρχάδ και η Χαλάννη εις την χώραν Σεναάρ.

Γεν. 10,11 - ἐκ τῆς γῆς ἐκείνης ἐξῆλθεν Ἀσσοὺρ καὶ ᾠκοδόμησε τὴν Νινευΐ καὶ τὴν Ῥοωβὼθ πόλιν καὶ τὴν Χαλὰχ

Γεν. 10,11 - Από την περιοχήν αυτήν Σεναάρ ανεχώρησεν ο Ασσούρ και έκτισε την Νινευΐ, την πόλιν Ροωβώθ, την Χαλάχ

Γεν. 10,12 - καὶ τὴν Δασὴ ἀνὰ μέσον Νινευΐ καὶ ἀνὰ μέσον Χαλάχ· αὕτη ἡ πόλις μεγάλη.

Γεν. 10,12 - και την Δασή μεταξύ της πόλεως Νινευί και της Χαλάχ. Η δε Νινευί είναι η ονομαστή μεγάλη πόλις.

Γεν. 10,13 - καὶ Μεσραΐν ἐγέννησε τοὺς Λουδιεὶμ καὶ τοὺς Ἐνεμετιεὶμ καὶ τοὺς Λαβιεὶμ καὶ τοὺς Νεφθαλιεὶμ καὶ τοὺς Πατροσωνιεὶμ

Γεν. 10,13 - Ο Μεσραίν εγέννησεν υιούς και απογόνους, τους Λουδιείμ, τους Ενεμετιείμ, τους Λαβιείμ, τους Νεφθαλιείμ, τους Πατροσωνιείμ,

Γεν. 10,14 - καὶ τοὺς Χασλωνιείμ, ὅθεν ἐξῆλθε Φυλιστιείμ, καὶ τοὺς Καφθοριείμ.

Γεν. 10,14 - τους Χασλωνιείμ, από τους οποίους προήλθον οι Φιλισταίοι, και τους Καφθοριείμ.

Γεν. 10,15 - Χαναὰν δὲ ἐγέννησε τὸν Σιδῶνα πρωτότοκον αὐτοῦ

Γεν. 10,15 - Ο δε Χαναάν απέκτησε πρωτότοκον υιόν αυτού τον Σιδώνα, και άλλους έπειτα υιούς,

Γεν. 10,16 - καὶ τὸν Χετταῖον καὶ τὸν Ἰεβουσαῖον καὶ τὸν Ἀμοῤῥαῖον καὶ τὸν Γεργεσαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν Ἀρουκαῖον

Γεν. 10,16 - δηλαδή τον Χετταίον, τον Ιεβουσαίον, τον Αμορραίον, τον Γεργεσαίον, τον Ευαίον, τον Αρουκαίον,

Γεν. 10,17 - καὶ τὸν Ἀσενναῖον καὶ τὸν Ἀράδιον καὶ τὸν Σαμαραῖον καὶ τὸν Ἀμαθί.

Γεν. 10,17 - τον Ασενναίον, τον Αράδιον, τον Σαμαραίον και Αμαθί.

Γεν. 10,18 - καὶ μετὰ τοῦτο διεσπάρησαν αἱ φυλαὶ τῶν Χαναναίων,

Γεν. 10,18 - Μετά δε ταύτα διεσπάρησαν αι φυλαί των Χαναναίων ανά την περιοχήν της Χαναάν.

Γεν. 10,19 - καὶ ἐγένετο τὰ ὅρια τῶν Χαναναίων ἀπὸ Σιδῶνος ἕως ἐλθεῖν εἰς Γεραρὰ καὶ Γαζάν, ἕως ἐλθεῖν ἕως Σοδόμων καὶ Γομόῤῥας, Ἀδαμὰ καὶ Σεβωΐμ ἕως Δασά.

Γεν. 10,19 - Εξετείνοντο δε τα όρια της περιοχής των Χαναναίων από την Σιδώνα έως τα Γέραρα και την Γαζαν, έως τα Σοδομα και την Γομόρραν, την Αδαμά και Σεβωίμ έως Δασά.

Γεν. 10,20 - οὗτοι υἱοὶ Χάμ, ἐν ταῖς φυλαῖς αὐτῶν, κατὰ γλώσσας αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

Γεν. 10,20 - Αυτοί είναι οι υιοί και απόγονοι του Χαμ, κατά τας φυλάς αυτών και τας διαλέκτους αυτών εις τας χώρας αυτών και εις τα έθνη, που διεσπάρησαν.

Γεν. 10,21 - Καὶ τῷ Σὴμ ἐγεννήθη καὶ αὐτῷ, πατρὶ πάντων τῶν υἱῶν Ἕβερ, ἀδελφῷ Ἰάφεθ τοῦ μείζονος.

Γεν. 10,21 - Και ο Σημ πρεσβύτερος αδελφός του Ιάφεθ απέκτησεν υιούς και απογόνους και ανεδείχθη ο γενάρχης των υιών Εβερ.

Γεν. 10,22 - υἱοὶ Σήμ· Ἐλὰμ καὶ Ἀσσοὺρ καὶ Ἀρφαξὰδ καὶ Λοὺδ καὶ Ἀρὰμ καὶ Καϊνᾶν.

Γεν. 10,22 - Υιοί του Σημ είναι οι Ελάμ, Ασσούρ, Αρφαξάδ, Λούδ, Αράμ και Καϊνάν.

Γεν. 10,23 - καὶ υἱοὶ Ἀράμ· Οὒζ καί Οὒλ καὶ Γατὲρ καὶ Μοσόχ.

Γεν. 10,23 - Υιοί του Αράμ ήσαν ο Ουζ, ο Ουλ, ο Γατέρ και ο Μοσόχ.

Γεν. 10,24 - καὶ Ἀρφαξὰδ ἐγέννησε τὸν Καϊνᾶν, καὶ Καϊνᾶν ἐγέννησε τὸν Σαλά, Σαλὰ δὲ ἐγέννησε τὸν Ἕβερ.

Γεν. 10,24 - Ο δε Αρφαξάδ εγέννησεν υιόν τον Καϊνάν, ο Καϊνάν εγέννησε τον Σαλά, ο δε Σαλά εγέννησε τον Εβερ.

Γεν. 10,25 - καὶ τῷ Ἕβερ ἐγεννήθησαν δύο υἱοί· ὄνομα τῷ ἑνὶ Φαλέγ, ὅτι ἐν ταῖς ἡμέραις αὐτοῦ διεμερίσθη ἡ γῆ, καὶ ὄνομα τῷ ἀδελφῷ αὐτοῦ Ἰεκτάν.

Γεν. 10,25 - Ο Εβερ απέκτησε δύο υιούς· το όνομα του ενός ήτο Φαλέγ-που σημαίνει χωρισμός- διότι επί των ημερών αυτού διεσπάρησαν οι κάτοικοι της γης, όταν επεχείρησαν να κτίσουν τον πύργον Βαβέλ, το δε όνομα του αδελφού του ήτο Ιεκτάν.

Γεν. 10 ,26 - Ἰεκτὰν δὲ ἐγέννησε τὸν Ἐλμωδὰδ καὶ Σαλὲθ καὶ τὸν Σαρμὼθ καὶ Ἰαρὰχ καὶ Ὁδοῤῥὰ καὶ Αἰβὴλ καὶ Δεκλὰ

Γεν. 10,26 - Ο Ιεκτάν απέκτησεν υιούς τον Ελμωδάδ, τον Σαλέθ, τον Σαρμώθ, τον Ιαράχ, τον Οδορρά, τον Αιβήλ, τον Δεκλά,

Γεν. 10,27 - καὶ Εὐὰλ καὶ Ἀβιμαὲλ καὶ Σαβὰ

Γεν. 10,27 - τον Ευάλ, τον Αβιμαέλ, τον Σαβά,

Γεν. 10,28 - καὶ Οὐφεὶρ καὶ Εὐειλὰ καὶ Ἰωβάβ.

Γεν. 10,28 - τον Ουφείρ, τον Ευειλά και τον Ιωβάβ.

Γεν. 10,29 - πάντες οὗτοι υἱοὶ Ἰεκτάν.

Γεν. 10,29 - Ολοι αυτοί ήσαν υιοί του Ιεκτάν.

Γεν. 10,30 - καὶ ἐγένετο ἡ κατοίκησις αὐτῶν ἀπὸ Μασσῆ ἕως ἐλθεῖν εἰς Σαφηρά, ὄρος ἀνατολῶν.

Γεν. 10,30 - Η δε περιοχή, την οποίαν κατοικούσαν, εξετείνετο από Μασσή μέχρι Σαφηρά στο όρος το προς ανατολάς.

Γεν. 10,31 - οὗτοι υἱοὶ Σήμ, ἐν ταῖς φυλαῖς αὐτῶν, κατὰ γλώσσας αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν.

Γεν. 10,31 - Αυτοί ήσαν οι υιοί και απόγονοι του Σημ κατά τας διαφόρους αυτών φυλάς και τας διαλέκτους, εις τας χώρας και τους λαούς όπου διεσκορπίσθησαν.

Γεν. 10,32 - Αὗται αἱ φυλαὶ υἱῶν Νῶε κατὰ γενέσεις αὐτῶν, κατὰ ἔθνη αὐτῶν· ἀπὸ τούτων διεσπάρησαν νῆσοι τῶν ἐθνῶν ἐπὶ τῆς γῆς μετὰ τὸν

κατακλυσμόν.

Γεν. 10,32 - Αυταί είναι αι φυλαί των υιών του Νώε κατά τας γενεαλογίας αυτών και κατά τους λαούς. Από αυτούς οι απόγονοί των διεσπάρησαν επί της γης μετά τον κατακλυσμόν εις διαφόρους χώρας και νήσους.

## ΓΕΝΕΣΙΣ 11

Γεν. 11,1 - Καὶ ἦν πᾶσα ἡ γῆ χεῖλος ἕν, καὶ φωνὴ μία πᾶσι.

Γεν. 11,1 - Απ' αρχής και μέχρι της εποχής εκείνης όλοι οι άνθρωποι ωμιλούσαν μίαν γλώσσαν, είχον την ίδιαν ομιλίαν.

Γεν. 11,2 - καὶ ἐγένετο ἐν τῷ κινῆσαι αὐτοὺς ἀπὸ ἀνατολῶν, εὗρον πεδίον ἐν γῇ Σενναὰρ καὶ κατῴκησαν ἐκεῖ.

Γεν. 11,2 - Οταν οι απόγονοι του Νώε εξεκίνησαν από τα ανατολικά μέρη, εύρον την πεδιάδα εις την περιοχήν Σενναάρ και κατώκησαν εκεί.

Γεν. 11,3 - καὶ εἶπεν ἄνθρωπος τῷ πλησίον αὐτοῦ· δεῦτε πλινθεύσωμεν πλίνθους καὶ ὀπτήσωμεν αὐτὰς πυρί. καὶ ἐγένετο αὐτοῖς ἡ πλίνθος εἰς λίθον, καὶ ἄσφαλτος ἦν αὐτοῖς ὁ πηλός.

Γεν. 11,3 - Εκεί είπεν ο ένας στον άλλον· “ελάτε να πλάσωμεν όλοι μαζή πλίνθους και να τας ψήσωμεν εις την φωτιά”. Αι πλίνθοι εχρησίμευσαν εις αυτούς ως λίθοι οικοδομής· ως συνδετικόν δε υλικόν, ως πηλόν, μεταξύ των πλίνθων, εχρησιμοποίησαν την άσφαλτον.

Γεν. 11,4 - καὶ εἶπαν· δεῦτε οἰκοδομήσωμεν ἑαυτοῖς πόλιν καὶ πύργον, οὗ ἔσται ἡ κεφαλὴ ἕως τοῦ οὐρανοῦ, καὶ ποιήσωμεν ἑαυτοῖς ὄνομα πρὸ τοῦ διασπαρῆναι ἡμᾶς ἐπὶ προσώπου πάσης τῆς γῆς.

Γεν. 11,4 - Είπαν δε κατόπιν μεταξύ των· “ελάτε να οικοδομήσωμεν όλοι μαζή δια τον εαυτόν μας και την φήμην μας πόλιν και ένα πύργον, του οποίου η κορυφή θα φθάνη έως τον ουρανόν. Ετσι θα αφήσωμεν όνομα στους απογόνους μας, πριν διασκορπισθώμεν στο πρόσωπον όλης της γης”. Και ήρχισαν να κτίζουν την πόλιν και τον πύργον.

Γεν. 11,5 - καὶ κατέβη Κύριος ἰδεῖν τὴν πόλιν καὶ τὸν πύργον, ὃν ᾠκοδόμησαν οἱ υἱοὶ τῶν ἀνθρώπων.

Γεν. 11,5 - Κατέβη τότε ο Θεός από τον ουρανόν να ίδη την πόλιν και τον πύργον, που είχαν αρχίσει να οικοδομούν οι άνθρωποι.

Γεν. 11,6 - καὶ εἶπε Κύριος· ἰδοὺ γένος ἓν καὶ χεῖλος ἓν πάντων, καὶ τοῦτο ἤρξαντο ποιῆσαι, καὶ νῦν οὐκ ἐκλείψει ἀπ᾽ αὐτῶν πάντα, ὅσα ἂν ἐπιθῶνται ποιεῖν.

Γεν. 11,6 - Και είπε τότε ο Κυριος· “ιδού έως τώρα ένας λαός είναι αυτοί και μίαν γλώσσαν ομιλούν όλοι. Ιδού ότι ήρχισαν δι' αλαζονείαν και επίδειξιν το οικοδομικόν έργον των. Και νομίζουν ότι τώρα δεν θα τους λείψη τίποτε από όσα σκέπτονται να κάμουν”.

Γεν. 11,7 - δεῦτε καὶ καταβάντες συγχέωμεν αὐτῶν ἐκεῖ τὴν γλῶσσαν, ἵνα μὴ ἀκούσωσιν ἕκαστος τὴν φωνὴν τοῦ πλησίον.

Γεν. 11,7 - Είπε δε τότε ο Τριαδικός Θεός· “εμπρός ας καταβώμεν εκεί και ας επιφέρωμεν σύγχυσιν εις την γλώσσαν των, ώστε να μην εννοή ο ένας την γλώσσαν του άλλου”. Ετσι και έγινε.

Γεν. 11,8 - καὶ διέσπειρεν αὐτοὺς Κύριος ἐκεῖθεν ἐπὶ πρόσωπον πάσης τῆς γῆς, καὶ ἐπαύσαντο οἰκοδομοῦντες τὴν πόλιν καὶ τὸν πύργον.

Γεν. 11,8 - Με την σύγχυσιν δε αυτήν των γλωσσών και την αδυναμίαν των να συνεννοούνται μεταξύ των οι άνθρωποι, τους ηνάγκασεν ο Θεός να ξεχωρισθούν εις ομάδας μεταξύ των, να διασκορπισθούν εις όλην την γην και να παύσουν πλέον να οικοδομούν την υπερήφανον πόλιν και τον πύργον των.

Γεν. 11,9 - διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς Σύγχυσις, ὅτι ἐκεῖ συνέχεε Κύριος τὰ χείλη πάσης τῆς γῆς, καὶ ἐκεῖθεν διέσπειρεν αὐτοὺς Κύριος ἐπὶ πρόσωπον πάσης τῆς γῆς.

Γεν. 11,9 - Δια τούτο και εκλήθη το όνομα της περιοχής αυτής “Συγχυσις”, διότι εκεί επέφερεν ο Θεός σύγχυσιν εις τας γλώσσας των ανθρώπων και διεσκόρπισεν αυτούς εις όλην την γην.

Γεν. 11,10 - Καὶ αὗται αἱ γενέσεις Σήμ. καί ἦν Σὴμ υἱὸς ἑκατὸν ἐτῶν, ὅτε ἐγέννησε τὸν Ἀρφαξάδ, δευτέρου ἔτους μετὰ τὸν κατακλυσμόν.

Γεν. 11,10 - Οι απόγονοι του Σημ ήσαν οι εξής. Ο Σημ εις ηλικίαν εκατόν ετών, και κατά το δεύτερον έτος μετά τον κατακλυσμόν, απέκτησεν υιόν τον Αρφαξάδ.

Γεν. 11,11 - καὶ ἔζησε Σὴμ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἀρφαξὰδ ἔτη πεντακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε.

Γεν. 11,11 - Μετά δε την γέννησιν του Αρφαξάδ έζησεν ο Σημ πεντακόσια ακόμη έτη, απέκτησεν υιούς και θυγατέρας και κατόπιν απέθανε.

Γεν. 11,12 - Καὶ ἔζησεν Ἀρφαξὰδ ἑκατὸν τριάκοντα πέντε ἔτη καὶ ἐγέννησε τὸν Καϊνᾶν.

Γεν. 11,12 - Ο δε Αρφαξάδ εις ηλικίαν εκατόν τριάκοντα πέντε ετών απέκτησεν υιόν τον Καϊνάν.

Γεν. 11,13 - καὶ ἔζησεν Ἀρφαξὰδ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Καϊνᾶν ἔτη τετρακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε. Καὶ ἔζησε Καϊνᾶν ἑκατὸν καὶ τριάκοντα ἔτη καὶ ἐγέννησε τὸν Σαλά. καὶ ἔζησε Καϊνᾶν μετὰ τὸ γεννῆσαι αὐτὸν τόν Σαλὰ ἔτη τριακόσια τριάκοντα καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε.

Γεν. 11,13 - Μετά δε την γέννησιν του Καϊνάν έζησε τετρακόσια ακόμη έτη, απέκτησε υιούς και θυγατέρας και κατόπιν απέθανε. Ο Καϊνάν εις ηλικίαν εκατόν τριάκοντα ετών απέκτησεν υιόν τον Σαλά. Εζησε δε ο Καϊνάν

μετά την γέννησιν του Σαλά τριακόσια τριάκοντα έτη, απέκτησεν υιούς και θυγατέρας και έπειτα απέθανεν.

Γεν. 11,14 - Καὶ ἔζησε Σαλὰ ἑκατὸν τριάκοντα ἔτη καὶ ἐγέννησε τὸν Ἕβερ.

Γεν. 11,14 - Εζησεν ο Σαλά εκατόν τριάκοντα έτη και απέκτησεν υιόν τον Εβερ.

Γεν. 11,15 - καὶ ἔζησε Σαλὰ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ἕβερ τριακόσια τριάκοντα ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε.

Γεν. 11,15 - Μετά δε την γέννησιν του Εβερ έζησε τριακόσια τριάκοντα έτη, απέκτησεν υιούς και θυγατέρας και έπειτα απέθανε.

Γεν. 11,16 - Καὶ ἔζησεν Ἕβερ ἑκατὸν τριάκοντα τέσσαρα ἔτη καὶ ἐγέννησε τὸν Φαλέγ.

Γεν. 11,16 - Ο Εβερ εις ηλικίαν εκατόν τριάκοντα τεσσάρων ετών απέκτησεν υιόν τον Φαλέγ.

Γεν. 11,17 - καί ἔζησεν Ἕβερ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Φαλὲγ ἔτη διακόσια ἑβδομήκοντα καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε.

Γεν. 11,17 - Μετά δε την γέννησιν του Φαλέγ έζησεν ο Εβερ διακόσια εβδομήκοντα έτη, απέκτησεν υιούς και θυγατέρας και έπειτα απέθανεν.

Γεν. 11,18 - Καὶ ἔζησε Φαλὲγ τριάκοντα καὶ ἑκατὸν ἔτη καὶ ἐγέννησε τὸν Ῥαγαῦ.

Γεν. 11,18 - Ο Φαλέγ εις ηλικίαν εκατόν τριάκοντα ετών απέκτησεν υιόν τον Ραγαύ.

Γεν. 11,19 - καὶ ἔζησε Φαλὲγ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Ῥαγαῦ ἐννέα καὶ διακόσια ἔτη καὶ ἐγέννησεν υἱούς καὶ θυγατέρας καὶ ἀπέθανε.

Γεν. 11,19 - Μετά δε την γέννησιν του Ραγαύ έζησεν ο Φαλέγ διακόσια εννέα έτη, απέκτησε υιούς και θυγατέρας και έπειτα απέθανεν.

Γεν. 11,20 - Καὶ ἔζησε Ῥαγαῦ ἑκατὸν τριάκοντα καὶ δύο ἔτη καὶ ἐγέννησε τὸν Σερούχ.

Γεν. 11,20 - Ο Ραγαύ εις ηλικίαν εκατόν τριάκοντα δύο ετών απέκτησεν υιόν τον Σερούχ.

Γεν. 11,21 - καὶ ἔζησε Ῥαγαῦ μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Σεροὺχ διακόσια ἑπτὰ ἔτη καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε.

Γεν. 11,21 - Εζησε δε μετά την γέννησιν του Σερούχ διακόσια επτά έτη, απέκτησεν υιούς και θυγατέρας και κατόπιν απέθανε.

Γεν. 11,22 - καὶ ἔζησε Σεροὺχ ἑκατὸν τριάκοντα ἔτη καὶ ἐγέννησε τὸν Ναχώρ.

Γεν. 11,22 - Ο Σερούχ εις ηλικίαν εκατόν τριάκοντα ετών απέκτησε υιόν, τον Ναχώρ.

Γεν. 11,23 - Καὶ ἔζησε Σερούχ, μετὰ τό γεννῆσαι αὐτὸν τὸν Ναχώρ, ἔτη διακόσια καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε.

Γεν. 11,23 - Μετά δε την γέννησιν του Ναχώρ έζησεν ο Σερούχ διακόσια έτη, απέκτησεν υιούς και θυγατέρας και κατόπιν απέθανεν.

Γεν. 11,24 - Καὶ ἔζησε Ναχὼρ ἔτη ἑκατὸν ἑβδομήκοντα ἐννέα καὶ ἐγέννησε τὸν Θάρα.

Γεν. 11,24 - Ο Ναχώρ εις ηλικίαν εκατόν εβδομήκοντα εννέα ετών απέκτησεν υιόν τον Θαρα.

Γεν. 11,25 - καὶ ἔζησε Ναχώρ, μετὰ τὸ γεννῆσαι αὐτὸν τὸν Θάρα, ἔτη ἑκατὸν εἰκοσιπέντε καὶ ἐγέννησεν υἱοὺς καὶ θυγατέρας καὶ ἀπέθανε.

Γεν. 11,25 - Μετά δε την γέννησιν του Θαρα έζησεν ακόμη εκατόν είκοσι πέντε έτη, απέκτησεν υιούς και θυγατέρας και έπειτα απέθανεν.

Γεν. 11 ,26 - Καὶ ἔζησε Θάρα ἑβδομήκοντα ἔτη καὶ ἐγέννησε τὸν Ἅβραμ καὶ τὸν Ναχὼρ καὶ τὸν Ἀῤῥάν.

Γεν. 11,26 - Ο Θαρα εις ηλικίαν εβδομήκοντα ετών απέκτησεν υιόν τον Αβραμ, τον Ναχώρ και τον Αρράν.

Γεν. 11,27 - Αὗται αἱ γενέσεις Θάρα· Θάρα ἐγέννησε τὸν Ἅβραμ καὶ τὸν Ναχὼρ καὶ τὸν Ἀῤῥάν, καὶ Ἀῤῥὰν ἐγέννησε τὸν Λώτ.

Γεν. 11,27 - Οι απόγονοι του Θαρα είναι οι εξής. Ο Θαρα εγέννησε τον Αβραμ, τον Ναχώρ και τον Αρράν· ο Αρράν απέκτησεν υιόν τον Λωτ.

Γεν. 11,28 - καὶ ἀπέθανεν Ἀῤῥὰν ἐνώπιον Θάρα τοῦ πατρὸς αὐτοῦ ἐν τῇ γῇ, ᾗ ἐγεννήθη, ἐν τῇ χώρᾳ τῶν Χαλδαίων.

Γεν. 11,28 - Ο Αρράν απέθανεν εις την χώραν των Χαλδαίων, όπου είχε γεννηθή, ενώ ακόμη έζη ο πατήρ αυτού ο Θαρα.

Γεν. 11,29 - καὶ ἔλαβον Ἅβραμ καὶ Ναχὼρ ἑαυτοῖς γυναῖκας· ὄνομα τῇ γυναικὶ Ἅβραμ Σάρα, καὶ ὄνομα τῇ γυναικὶ Ναχὼρ Μελχά, θυγάτηρ Ἀῤῥὰν καὶ πατὴρ Μελχὰ καὶ πατὴρ Ἰεσχά.

Γεν. 11,29 - Οι δύο άλλοι υιοί του Θαρα, ο Αβραμ και ο Ναχώρ έλαβον συζύγους. Το όνομα της γυναικός του Αβραμ ήτο Σαρα και το όνομα της γυναικός του Ναχώρ ήτο Μελχά. Η δε Μελχά ήτο θυγάτηρ του Αρράν, ο οποίος ήτο πατήρ της Μελχά και της Ιεσχά.

Γεν. 11,30 - καὶ ἦν Σάρα στεῖρα καὶ οὐκ ἐτεκνοποίει.

Γεν. 11,30 - Η δε Σαρα ήτο στείρα και δεν ετεκνοποιούσε.

Γεν. 11,31 - καὶ ἔλαβε Θάρα τὸν Ἅβραμ υἱὸν αὐτοῦ καὶ τὸν Λὼτ υἱὸν Ἀῤῥάν, υἱὸν τοῦ υἱοῦ αὐτοῦ, καὶ τὴν Σάραν τὴν νύμφην αὐτοῦ, γυναῖκα Ἅβραμ τοῦ υἱοῦ αὐτοῦ, καὶ ἐξήγαγεν αὐτοὺς ἐκ τῆς χώρας τῶν Χαλδαίων πορευθῆναι εἰς γῆν Χαναὰν καὶ ἦλθον ἕως Χαῤῥὰν καὶ κατῴκησεν ἐκεῖ.

Γεν. 11,31 - Ελαβε δε ο Θαρα τον υιόν αυτού τον Αβραμ και τον έγγονόν του Λωτ, υιόν του υιού του Αρράν, την νύμφην αυτού την Σαραν, σύζυγον του παιδιού του Αβραμ, και έβγαλεν αυτούς από την χώραν των Χαλδαίων με τον σκοπόν να μεταβούν και κατοικήσουν εις την γην Χαναάν. Εφθασαν εις την Χαρράν και εγκατεστάθησαν εκεί.

Γεν. 11,32 - καὶ ἐγένοντο πᾶσαι αἱ ἡμέραι Θάρα ἐν γῇ Χαῤῥὰν διακόσια πέντε ἔτη, καὶ ἀπέθανε Θάρα ἐν Χαῤῥάν.
Γεν. 11,32 - Ο Θαρα έφθασεν εις την ηλικίαν των διακοσίων πέντε ετών και απέθανεν εις την Χαρράν.

## ΓΕΝΕΣΙΣ 12

Γεν. 12,1 - Καὶ εἶπε Κύριος τῷ Ἅβραμ· ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός σου καὶ δεῦρο εἰς τὴν γῆν, ἣν ἄν σοι δείξω·
Γεν. 12,1 - Τοτε είπεν ο Κυριος στον Αβραμ· "έβγα από την πατρίδα σου, από τους συγγενείς σου και τον πατρικόν σου οίκον, και ξεκίνα και πήγαινε εις την χώραν, την οποίαν εγώ θα σου δείξω.
Γεν. 12,2 - καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ εὐλογήσω σε καὶ μεγαλυνῶ τὸ ὄνομά σου, καὶ ἔσῃ εὐλογημένος·
Γεν. 12,2 - Θα σε κάμω δε γενάρχην μεγάλου έθνους, θα σου δώσω πλουσίας τας υλικάς και πνευματικάς ευλογίας μου, θα καταστήσω ένδοξον το όνομά σου και έτσι θα είσαι πλούσιος και δοξασμένος εν μέσω των ανθρώπων.
Γεν. 12,3 - καὶ εὐλογήσω τοὺς εὐλογοῦντάς σε καὶ τοὺς καταρωμένους σε καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς.
Γεν. 12,3 - Θα ευλογήσω δε εκείνους, οι οποίοι θα σε σέβωνται και θα σε τιμούν, θα καταρασθώ δε εκείνους οι οποίοι θα σε υβρίζουν και θα σε πολεμούν. Και το σπουδαιότερον, ότι δι' ενός από τους απογόνους σου θα ευλογηθούν όλαι αι φυλαί της γης".
Γεν. 12,4 - καὶ ἐπορεύθη Ἅβραμ, καθάπερ ἐλάλησεν αὐτῷ Κύριος, καὶ ᾤχετο μετ᾿ αὐτοῦ Λώτ. Ἅβραμ δὲ ἦν ἐτῶν ἑβδομηκονταπέντε, ὅτε ἐξῆλθε ἐκ Χαῤῥάν.
Γεν. 12,4 - Υπήκουσεν ο Αβραμ και ανεχώρησεν από την Χαρράν, όπως του είχεν είπει ο Κυριος. Μαζή του δε ανεχώρησε και ο Λωτ. Οταν δε ο Αβραμ ανεχώρησεν από την Χαρράν δια την Χαναάν, ήτο εβδομήκοντα πέντε ετών.
Γεν. 12,5 - καὶ ἔλαβεν Ἅβραμ Σάραν τὴν γυναῖκα αὐτοῦ καὶ τὸν Λὼτ υἱὸν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα αὐτῶν, ὅσα ἐκτήσαντο, καὶ πᾶσαν ψυχήν, ἣν ἐκτήσαντο ἐκ Χαῤῥάν, καὶ ἐξήλθοσαν πορευθῆναι εἰς γῆν Χαναάν.
Γεν. 12,5 - Επήρε μαζή τοο ο Αβραμ την γυναίκα αυτού την Σαραν, το παιδί του αδελφού του τον Λωτ, όλους τους δούλους και όλα τα υπάρχοντά των όσα είχον αποκτήσει εις Χαρράν, και έφυγον από την πόλιν Χαρράν, δια να μεταβούν εις την χώραν Χαναάν.

Γεν. 12,6 - καὶ διώδευσεν Ἅβραμ τὴν γῆν εἰς τὸ μῆκος αὐτῆς ἕως τοῦ τόπου Συχέμ, ἐπὶ τὴν δρῦν τὴν ὑψηλήν· οἱ δὲ Χαναναῖοι τότε κατῴκουν τὴν γῆν.

Γεν. 12,6 - Ο Αβραμ διεπέρασε κατά μήκος από βορρά προς νότον την Χαναάν μέχρι του τόπου της Συχέμ, πλησίον της τοποθεσίας, της λεγομένης "υψηλή δρυς". Οι Χαναναίοι δέ, οι απόγονοι δηλαδή του Χαμ, κατοικούσαν τότε την περιοχήν αυτήν.

Γεν. 12,7 - καὶ ὤφθη Κύριος τῷ Ἅβραμ καὶ εἶπεν αὐτῷ· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἅβραμ θυσιαστήριον Κυρίῳ τῷ ὀφθέντι αὐτῷ.

Γεν. 12,7 - Εκεί εφανερώθηκε ο Κυριος στον Αβραμ και του είπεν· "αυτήν όλην την χώραν θα την δώσω στους απογόνους σου". Ο Αβραμ, ευγνώμων προς τον Θεόν και δια τον λόγον ότι εκεί εφανερώθηκε εις αυτόν ο Κυριος, έκτισε προς τιμήν Αυτού θυσιαστήριον.

Γεν. 12,8 - καὶ ἀπέστη ἐκεῖθεν εἰς τὸ ὄρος κατὰ ἀνατολὰς Βαιθὴλ καὶ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ, Βαιθὴλ κατὰ θάλασσαν καὶ Ἀγγαὶ κατὰ ἀνατολάς· καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ καὶ ἐπεκαλέσατο ἐπὶ τῷ ὀνόματι Κυρίου.

Γεν. 12,8 - Ανεχώρησεν από την τοποθεσίαν αυτήν ο Αβραμ, μετέβη εις κάποιο όρος ανατολικά της Βαιθήλ και έστησε την σκηνήν του μεταξύ της Βαιθήλ, η οποία ευρίσκετο προς δυσμάς εις την θάλασσαν και της Αγγαί, η οποία ευρίσκετο προς ανατολάς. Εκτισε δε εκεί θυσιαστήριον προς τον Κυριον, του οποίου και επεκαλέσθη το όνομα.

Γεν. 12,9 - καὶ ἀπῇρεν Ἅβραμ καὶ πορευθεὶς ἐστρατοπέδευσεν ἐν τῇ ἐρήμῳ.

Γεν. 12,9 - Αλλά και από εκεί ανεχώρησεν ο Αβραμ και εγκατεστάθη νοτιώτερα εις την έρημον περιοχήν.

Γεν. 12,10 - Καὶ ἐγένετο λιμὸς ἐπὶ τῆς γῆς, καὶ κατέβη Ἅβραμ εἰς Αἴγυπτον παροικῆσαι ἐκεῖ, ὅτι ἐνίσχυσεν ὁ λιμὸς ἐπὶ τῆς γῆς.

Γεν. 12,10 - Τοτε δε έγινε λιμός και ήλθε πείνα εις την Χαναάν. Δι' αυτό ο Αβραμ κατέβηκε εις την Αίγυπτον, δια να κατοικήση εκεί, επειδή ήτο μεγάλη η πείνα εις την χώραν Χαναάν.

Γεν. 12,11 - ἐγένετο δέ, ἡνίκα ἤγγισεν Ἅβραμ εἰσελθεῖν εἰς Αἴγυπτον, εἶπεν Ἅβραμ Σάρᾳ τῇ γυναικί· γινώσκω ἐγώ, ὅτι γυνὴ εὐπρόσωπος εἶ·

Γεν. 12,11 - Οταν δε επλησίαζε να εισέλθη εις την Αίγυπτον, είπεν εις την Σαραν την συζυγόν του· "εγώ γνωρίζω καλά ότι είσαι εύμορφη γυνή.

Γεν. 12,12 - ἔσται οὖν, ὡς ἂν ἴδωσί σε οἱ Αἰγύπτιοι, ἐροῦσιν ὅτι γυνὴ αὐτοῦ ἐστιν αὐτή, καὶ ἀποκτενοῦσί με, σὲ δὲ περιποιήσονται.

Γεν. 12,12 - Υπάρχει φόβος, όταν σε ιδουν οι Αιγύπτιοι, να είπουν ότι η γυναίκα αυτή είναι σύζυγός του. Τοτε εμέ μεν θα φονεύσουν, σε δε θα

περιποιηθούν.

Γεν. 12,13 - εἰπὸν οὖν, ὅτι ἀδελφὴ αὐτοῦ εἰμι, ὅπως ἂν εὖ μοι γένηται διὰ σέ, καὶ ζήσεται ἡ ψυχή μου ἕνεκέν σου.

Γεν. 12,13 - Δια τούτο είπε ότι είμαι αδελφή του, ώστε χάριν σου να εύρω και εγώ μίαν ευμενή υποδοχήν, να διαφύγω τον θάνατον και να ζήσω χάρις εις σέ".

Γεν. 12,14 - ἐγένετο δέ, ἡνίκα εἰσῆλθεν Ἄβραμ εἰς Αἴγυπτον, ἰδόντες οἱ Αἰγύπτιοι τὴν γυναῖκα αὐτοῦ, ὅτι καλὴ ἦν σφόδρα,

Γεν. 12,14 - Πράγματι· όταν ο Αβραμ εισήλθεν εις την Αίγυπτον, είδον οι Αιγύπτιοι την σύζυγόν του, ότι ήτο ωραιοτάτη.

Γεν. 12,15 - καὶ εἶδον αὐτὴν οἱ ἄρχοντες Φαραὼ καὶ ἐπῄνεσαν αὐτὴν πρὸς Φαραὼ καὶ εἰσήγαγον αὐτὴν εἰς τὸν οἶκον Φαραώ·

Γεν. 12,15 - Και οι άρχοντες ακόμη του Φαραώ την είδον, επήνεσαν αυτήν προς τον Φαραώ και την ωδήγησαν εις τα ανάκτορά του.

Γεν. 12,16 - καὶ τῷ Ἄβραμ εὖ ἐχρήσαντο δι᾿ αὐτήν, καὶ ἐγένοντο αὐτῷ πρόβατα καὶ μόσχοι καὶ ὄνοι καὶ παῖδες καὶ παιδίσκαι καὶ ἡμίονοι καὶ κάμηλοι.

Γεν. 12,16 - Χαριν δε αυτής υπεδέχθησαν με ευμένειαν και επεριποιήθησαν τον Αβραμ, ώστε αυτός να αποκτήση πρόβατα και μόσχους και όνους και δούλους και δούλας και ημιόνους και καμήλους.

Γεν. 12,17 - καὶ ἤτασεν ὁ Θεὸς τὸν Φαραὼ ἐτασμοῖς μεγάλοις καὶ πονηροῖς καὶ τὸν οἶκον αὐτοῦ περὶ Σάρας τῆς γυναικὸς Ἄβραμ.

Γεν. 12,17 - Ο Θεός όμως ετιμώρησε και εβασάνισε τον Φαραώ με πολλάς και οδυνηράς θλίψεις αυτόν και την οικογένειάν του δια τας απρεπείς διαθέσεις που είχε προς την Σαραν, την γυναίκα του Αβραμ.

Γεν. 12,18 - καλέσας δὲ Φαραὼ τὸν Ἄβραμ εἶπε· τί τοῦτο ἐποίησάς μοι, ὅτι οὐκ ἀπήγγειλάς μοι, ὅτι γυνή σου ἐστίν;

Γεν. 12,18 - Ο Φαραώ αντιληφθείς την αιτίαν των δοκιμασιών εκείνων εκάλεσε τον Αβραμ και του είπε· "τι είναι αυτό το οποίον μου έκαμες; Διατί δεν μου ανήγγειλες ότι αυτή είναι σύζυγός σου;

Γεν. 12,19 - ἱνατί εἶπας ὅτι ἀδελφή μου ἐστί; καὶ ἔλαβον αὐτὴν ἐμαυτῷ γυναῖκα, καὶ νῦν ἰδοὺ ἡ γυνή σου ἔναντί σου· λαβὼν ἀπότρεχε.

Γεν. 12,19 - Διατί μου είπες ότι είναι αδελφή σου και έλαβον αυτήν ως σύζυγόν μου; Και τώρα ιδού η σύζυγός σου είναι ενώπιόν σου. Παρε την και φύγε έξω από την Αίγυπτον".

Γεν. 12,20 - καὶ ἐνετείλατο Φαραὼ ἀνδράσι περὶ Ἄβραμ συμπροπέμψαι αὐτὸν καὶ τὴν γυναῖκα αὐτοῦ καὶ πάντα, ὅσα ἦν αὐτῷ.

Γεν. 12,20 - Διέταξε δε ο Φαραώ μερικούς άνδρας να πορευθούν και να προπέμψουν τιμητικώς εκτός της Αιγύπτου τον Αβραμ, την γυναίκα του και όλα τα υπάρχοντά του.

ΓΕΝΕΣΙΣ 13

Γεν. 13,1 - Ἀνέβη δὲ Ἅβραμ ἐξ Αἰγύπτου, αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ καὶ πάντα τὰ αὐτοῦ καὶ Λὼτ μετ᾿ αὐτοῦ, εἰς τὴν ἔρημον.
Γεν. 13,1 - Ο Αβραμ και η σύζυγός του με όλα τα υπάρχοντά των και ο Λωτ μαζή με αυτόν, έφυγον από την Αίγυπτον και ήλθον εις την έρημον περιοχήν, εις τα νότια μέρη της Χαναάν.
Γεν. 13,2 - Ἅβραμ δὲ ἦν πλούσιος σφόδρα κτήνεσι καὶ ἀργυρίῳ καὶ χρυσίῳ.
Γεν. 13,2 - Ητο δε ο Αβραμ πολύ πλούσιος εις ζώα, εις άργυρον και εις χρυσόν.
Γεν. 13,3 - καὶ ἐπορεύθη ὅθεν ἦλθεν εἰς τὴν ἔρημον ἕως Βαιθήλ, ἕως τοῦ τόπου, οὗ ἦν ἡ σκηνὴ αὐτοῦ τὸ πρότερον, ἀνὰ μέσον Βαιθὴλ καὶ ἀνὰ μέσον Ἀγγαί,
Γεν. 13,3 - Από δε την έρημον αυτήν επορεύθησαν έως εις την Βαιθήλ και άκριβώς στο μέρος εκείνο, όπου προηγουμένως ο Αβραμ είχε στήσει την σκηνήν του, μεταξύ Βαιθήλ και Αγγαί·
Γεν. 13,4 - εἰς τὸν τόπον τοῦ θυσιαστηρίου, οὗ ἐποίησεν ἐκεῖ τὴν ἀρχήν· καὶ ἐπεκαλέσατο ἐκεῖ Ἅβραμ τὸ ὄνομα τοῦ Κυρίου.
Γεν. 13,4 - εις την τοποθεσίαν, όπου έκτισεν, αμέσως μόλις είχε φθάσει προηγουμένως, θυσιαστήριον προς τιμήν του Θεού, του οποίου το όνομα είχεν επικαλεσθή.
Γεν. 13,5 - καὶ Λὼτ τῷ συμπορευομένῳ μετὰ Ἅβραμ ἦν πρόβατα καὶ βόες καὶ σκηναί.
Γεν. 13,5 - Και ο Λωτ, ο οποίος συνεπορεύετο μαζή με τον Αβραμ, είχεν επίσης πρόβατα και βόδια και ιδικόν του υπηρετικόν προσωπικόν, σκηνίτας.
Γεν. 13,6 - καὶ οὐκ ἐχώρει αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα, ὅτι ἦν τὰ ὑπάρχοντα αὐτῶν πολλά, καὶ οὐκ ἐχώρει αὐτοὺς ἡ γῆ κατοικεῖν ἅμα.
Γεν. 13,6 - Επειδή δε τα πρόβατα, τα ζώα και τα αλλά υπάρχοντα του Αβραμ και του Λωτ, ήσαν πολλά και δεν τα εχωρούσε όλα μαζή η περιοχή εκείνη,
Γεν. 13,7 - καὶ ἐγένετο μάχη ἀνὰ μέσον τῶν ποιμένων τῶν κτηνῶν τοῦ Ἅβραμ καὶ ἀνὰ μέσον τῶν ποιμένων τῶν κτηνῶν τοῦ Λώτ· οἱ δὲ Χαναναῖοι καὶ οἱ Φερεζαῖοι τότε κατῴκουν τὴν γῆν.
Γεν. 13,7 - έγινε φιλονεικία μεταξύ των ποιμένων του Αβραμ και των ποιμένων του Λωτ. Τοτε δε κατοικούσαν την Χαναάν εκτός των Χαναναίων και οι Φερεζαίοι.
Γεν. 13,8 - εἶπε δὲ Ἅβραμ τῷ Λώτ· μὴ ἔστω μάχη ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ καὶ ἀνὰ μέσον τῶν ποιμένων μου καὶ ἀνὰ μέσον τῶν ποιμένων σου,

ὅτι ἄνθρωποι ἀδελφοί ἐσμεν ἡμεῖς.

Γεν. 13,8 - Είπε δε ο ειρηνικός Αβραμ στον Λωτ· “δεν πρέπει να υπάρχουν φιλονεικίαι και έριδες μεταξύ μας ούτε μεταξύ των ποιμένων μου και των ποιμένων σου, διότι ημείς είμεθα συγγενείς, είμεθα αδελφοί.

Γεν. 13,9 - οὐκ ἰδοὺ πᾶσα ἡ γῆ ἐναντίον σου ἐστί; διαχωρίσθητι ἀπ᾿ ἐμοῦ· εἰ σὺ εἰς ἀριστερά, ἐγὼ εἰς δεξιά· εἰ δὲ σὺ εἰς δεξιά, ἐγὼ εἰς ἀριστερά.

Γεν. 13,9 - Διατί να φιλονεικούμεν; Εις την διάθεσίν μας δεν ευρίσκεται όλη αυτή η χώρα; Λοιπόν ας χωρισθώμεν. Πηγαινε συ, όπου θέλεις. Εάν μεταβής εις αριστερά, εγώ θα πορευθώ εις τα δεξιά εάν συ υπάγης δεξιά, εγώ θα προχωρήσω αριστερά”.

Γεν. 13,10 - καὶ ἐπάρας Λὼτ τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἐπεῖδε πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ὅτι πᾶσα ἦν ποτιζομένη πρὸ τοῦ καταστρέψαι τὸν Θεὸν Σόδομα καὶ Γόμοῤῥα, ὡς ὁ παράδεισος τοῦ Θεοῦ καὶ ὡς ἡ γῆ Αἰγύπτου, ἕως ἐλθεῖν εἰς Ζόγορα.

Γεν. 13,10 - Ο Λωτ εσηκωσε τα μάτια του, επεθεώρησε με προσοχήν την περίχωρον του Ιορδάνου. Είδεν ότι όλη αυτή μέχρι Ζογορα εποτίζετο και είχε πλουσίαν βλάστησιν, και ότι, πριν ο Θεός καταστρέψη τα Σοδομα και Γομορρα, εφαίνετο σαν παράδεισος του Θεού και σαν την χώραν της Αιγύπτου που ποτίζεται από τον Νείλον ποταμόν,

Γεν. 13,11 - καὶ ἐξελέξατο ἑαυτῷ Λὼτ πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, καὶ ἀπῇρε Λὼτ ἀπὸ ἀνατολῶν, καὶ διεχωρίσθησαν ἕκαστος ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ.

Γεν. 13,11 - και επροτίμησεν όλην αυτήν την περίχωρον του Ιορδάνου. Επήρε τα υπάρχοντά του και μετέβη προς ανατολάς. Ετσι δε εχωρίσθησαν μεταξύ των οι δύο αυτοί συγγενείς, ο θείος και ανεψιός.

Γεν. 13,12 - Ἅβραμ δὲ κατῴκησεν ἐν γῇ Χαναάν, Λὼτ δὲ κατῴκησεν ἐν πόλει τῶν περιχώρων καὶ ἐσκήνωσεν ἐν Σοδόμοις·

Γεν. 13,12 - Ο Αβραμ έμεινε και κατώκησεν εις την γην Χαναάν, ο δε Λωτ εις μίαν πόλιν πέραν από τα μέρη του Ιορδάνου και έστησε την σκηνήν του εις τα Σοδομα.

Γεν. 13,13 - οἱ δὲ ἄνθρωποι οἱ ἐν Σοδόμοις πονηροὶ καὶ ἁμαρτωλοὶ ἐναντίον τοῦ Θεοῦ σφόδρα.

Γεν. 13,13 - Οι άνθρωποι των Σοδόμων ήσαν πάρα πολύ πονηροί και αμαρτωλοί ενώπιον του Θεού.

Γεν. 13,14 - Ὁ δὲ Θεὸς εἶπε τῷ Ἅβραμ μετὰ τὸ διαχωρισθῆναι τὸν Λὼτ ἀπ᾿ αὐτοῦ· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου καὶ ἴδε ἀπὸ τοῦ τόπου, οὗ νῦν σύ εἶ, πρὸς βοῤῥᾶν καὶ λίβα καὶ ἀνατολὰς καὶ θάλασσαν·

Γεν. 13,14 - Αφού ο Λωτ, ιδιοτελώς σκεπτόμενος, εχωρίσθη από τον Αβραμ, είπεν ο Θεός στον πράον και μεγαλόκαρδον Αβραμ· “σήκωσε τα

βλέμματά σου, ίδε ολόγυρα από τον τόπον όπου τώρα ευρίσκεσαι, προς Βορράν και Νοτον, προς Ανατολάς και Δυσμάς,

Γεν. 13,15 - ὅτι πᾶσαν τὴν γῆν, ἣν σὺ ὁρᾷς, σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου ἕως αἰῶνος.

Γεν. 13,15 - διότι όλην αυτήν την γην, την οποίαν βλέπεις, θα την δώσω εις σε και στους απογόνους σου στους αιώνας.

Γεν. 13,16 - καὶ ποιήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς γῆς· εἰ δύναταί τις ἐξαριθμῆσαι τὴν ἄμμον τῆς γῆς, καὶ τὸ σπέρμα σου ἐξαριθμηθήσεται.

Γεν. 13,16 - Και θα πληθύνω τους απογόνους σου ωσάν την άμμον της γης. Εάν κανείς ημπορή να μετρήση την άμμον της θαλάσσης θα δυνηθή να μετρήση και τους ιδικούς σου απογόνους.

Γεν. 13,17 - ἀναστὰς διόδευσον τὴν γῆν εἴς τε τὸ μῆκος αὐτῆς καὶ εἰς τὸ πλάτος, ὅτι σοὶ δώσω αὐτὴν καὶ τῷ σπέρματί σου εἰς τὸν αἰῶνα.

Γεν. 13,17 - Σηκω, διόδευσε την χώραν αυτήν κατά μήκος και κατά πλάτος, δια να την γνωρίσης καλά, διότι εις σε και στους απογόνους σου θα την δώσω ως παντοτεινήν κατοικίαν σας".

Γεν. 13,18 - καὶ ἀποσκηνώσας Ἅβραμ, ἐλθὼν κατῴκησε παρὰ τὴν δρῦν τὴν Μαμβρῆ, ἣ ἦν ἐν Χεβρώμ, καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον τῷ Κυρίῳ.

Γεν. 13,18 - Επειτα από αυτά ο Αβραμ εσήκωσε την σκηνήν του, επήρε τα υπάρχοντά του και ελθών εγκατεστάθη πλησίον εις την δρυν Μαμβρή, η οποία ευρίσκετο εις την Χεβρών, εκεί και έκτισε θυσιαστήριον προς τιμήν του Κυρίου.

## ΓΕΝΕΣΙΣ 14

Γεν. 14,1 - Ἐγένετο δὲ ἐν τῇ βασιλείᾳ τῇ Ἀμαρφὰλ βασιλέως Σενναάρ, καὶ Ἀριὼχ βασιλέως Ἐλλασάρ, Χοδολλογομὸρ βασιλεὺς Ἐλὰμ καὶ Θαργὰλ βασιλεὺς ἐθνῶν

Γεν. 14,1 - Τοτε βασιλεύς της Σενναάρ ήτο ο Αμαρφάλ, βασιλεύς της Ελλασάρ ήτο ο Αριώχ, βασιλεύς της Ελάμ ήτο ο Χοδολλογομόρ και βασιλεύς των εθνών ήτο ο Θαργάλ.

Γεν. 14,2 - ἐποίησαν πόλεμον μετὰ Βαλλὰ βασιλέως Σοδόμων καὶ μετὰ Βαρσὰ βασιλέως Γομόῤῥας καὶ μετὰ Σενναὰρ βασιλέως Ἀδαμὰ καὶ μετὰ Συμοβὸρ βασιλέως Σεβωείμ, καὶ βασιλέως Βαλάκ (αὕτη ἐστὶ Σηγώρ).

Γεν. 14,2 - Αυτοί εκήρυξαν πόλεμον εναντίον του Βαλλά, βασιλέως των Σοδόμον, εναντίον του Βαρσά βασιλέως της Γομόρρας, εναντίον Σενναάρ βασιλέως Αδαμά, εναντίον Συμοβόρ βασιλέως Σεβωείμ και εναντίον του βασιλέως της Βαλάκ, η οποία Βαλάκ είναι η ίδια με την Σηγώρ,

Γεν. 14,3 - πάντες οὗτοι συνεφώνησαν ἐπὶ τὴν φάραγγα τὴν ἁλυκὴν (αὕτη ἡ θάλασσα τῶν ἁλῶν).

Γεν. 14,3 - Οι πέντε αυτοί βασιλείς συνεκεντρώθησαν, με τα στρατεύματά των εις την φάραγγα, η οποία ελέγετο αλμυρά (αυτή είναι η θάλασσα των αλάτων).

Γεν. 14,4 - δώδεκα ἔτη αὐτοὶ ἐδούλευσαν τῷ Χοδολλογομόρ, τῷ δὲ τρισκαιδεκάτῳ ἔτει ἀπέστησαν.

Γεν. 14,4 - Οι πέντε αυτοί βασιλείς επί δώδεκα έτη ήσαν δούλοι στον Χοδολλογομόρ. Κατά δε το δέκατον τρίτον έτος επανεστάτησαν.

Γεν. 14,5 - ἐν δὲ τῷ τεσσαρεσκαιδεκάτῳ ἔτει ἦλθε Χοδολλογομὸρ καὶ οἱ βασιλεῖς μετ᾿ αὐτοῦ καὶ κατέκοψαν τοὺς γίγαντας τοὺς ἐν Ἀσταρὼθ καὶ Καρναΐν, καὶ ἔθνη ἰσχυρὰ ἅμα αὐτοῖς καὶ τοὺς Ὀμμαίους τοὺς ἐν Σαυῇ τῇ πόλει

Γεν. 14,5 - Κατά το δέκατον τέταρτον όμως έτος επήλθεν εναντίον αυτών ο Χοδολλογομόρ και μαζή με αυτόν οι σύμμαχοί του βασιλείς και κατέκοψαν τους γίγαντας της πόλεως Ασταρώθ και Καρναΐν, μαζή δε με αυτούς και άλλα έθνη ισχυρά, τους Ομμαίους της πόλεως Σαυή,

Γεν. 14,6 - καὶ τοὺς Χοῤῥαίους τοὺς ἐν τοῖς ὄρεσι Σηείρ, ἕως τῆς τερεβίνθου τῆς Φαράν, ἥ ἐστιν ἐν τῇ ἐρήμῳ.

Γεν. 14,6 - τους Χορραίρυς των ορέων Σηείρ μέχρι της τερεβίνθου της Φαράν, η οποία ευρίσκεται εις την έρημον, εις τα νότια μέρη της Χαναάν.

Γεν. 14,7 - καὶ ἀναστρέψαντες ἦλθον ἐπὶ τὴν πηγὴν τῆς κρίσεως (αὕτη ἐστὶ Κάδης) καὶ κατέκοψαν πάντας τοὺς ἄρχοντας Ἀμαλὴκ καὶ τοὺς Ἀμοῤῥαίους τοὺς κατοικοῦντας ἐν Ἀσασονθαμάρ.

Γεν. 14,7 - Οι τέσσαρες αυτοί πολεμισταί βασιλείς επέστρεψαν από την περιοχήν Φαράν, ήλθον εις την “Πηγήν της Κρίσεως”, δηλαδή εις την Καδης, και εκεί κατέκοψαν όλους τους άρχοντας των Αμαληκιτών και τους Αμορραίους, οι οποίοι κατοικούσαν εις Ασασονθαμάρ, κοντά εις την Νεκράν Θαλασσαν.

Γεν. 14,8 - ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων καὶ βασιλεὺς Γομόῤῥας καὶ βασιλεὺς Ἀδαμὰ καὶ βασιλεὺς Σεβωεὶμ καὶ βασιλεὺς Βαλάκ (αὕτη ἐστὶ Σηγώρ) καὶ παρετάξαντο αὐτοῖς εἰς πόλεμον ἐν τῇ κοιλάδι τῇ ἁλυκῇ,

Γεν. 14,8 - Τοτε οι πέντε βασιλείς, δηλαδή ο βασιλεύς Σοδόμων, ο βασιλεύς Γομόρρας, ο βασιλεύς Αδαμά, ο βασιλεύς Σεβωείμ και ο βασιλεύς της Βαλάκ (αυτή είναι η πόλις Σηγώρ) εξήλθον και παρετάχθησαν εις την κοιλάδα την αλμυράν, δια να πολεμήσουν

Γεν. 14,9 - πρὸς Χοδολλογομὸρ βασιλέα Ἐλὰμ καὶ Θαργὰλ βασιλέα ἐθνῶν καὶ Ἀμαρφὰλ βασιλέα Σενναὰρ καὶ Ἀριὼχ βασιλέα Ἐλλασάρ, οἱ τέσσαρες βασιλεῖς πρὸς τοὺς πέντε.

Γεν. 14,9 - εναντίον των τεσσάρων βασιλέων, ήτοι εναντίον του Χοδολλογομόρ βασιλέως Ελάμ, εναντίον Θαργάλ βασιλέως των εθνών, εναντίον Αμαρφάλ βασιλέως Σενναάρ και εναντίον Αριώχ βασιλέως Ελλασάρ. Οι τέσσαρες αυτοί τελευταίοι βασιλείς αντιπαρετάχθησαν εναντίον των πέντε βασιλέων.

Γεν. 14,10 - ἡ δὲ κοιλὰς ἡ ἁλυκή, φρέατα ἀσφάλτου. ἔφυγε δὲ βασιλεὺς Σοδόμων καὶ βασιλεὺς Γομόῤῥας καὶ ἐνέπεσαν ἐκεῖ, οἱ δὲ καταλειφθέντες εἰς τὴν ὀρεινὴν ἔφυγον.

Γεν. 14,10 - Η αλμυρά εκείνη κοιλάς είχε φρέατα ασφάλτου. Γενομένης μάχης μεταξύ των αντιπάλων μερών ενικήθησαν και ετράπησαν εις φυγήν ο βασιλεύς των Σοδόμων και ο βασιλεύς της Γομόρρας, οι οποίοι όμως ενέπεσαν εις τα εκεί φρέατα. Οι υπόλοιποι έφυγον εις την ορεινήν περιοχήν.

Γεν. 14,11 - ἔλαβον δὲ τὴν ἵππον πᾶσαν τὴν Σοδόμων καὶ Γομόῤῥας καὶ πάντα τὰ βρώματα αὐτῶν καὶ ἀπῆλθον.

Γεν. 14,11 - Οι νικηταί τέσσαρες βασιλείς επήραν ως λάφυρα όλον το ιππικόν των Σοδόμων και της Γομόρας και όλα τα τρόφιμα αυτών και έφυγον.

Γεν. 14,12 - ἔλαβον δὲ καὶ τὸν Λὼτ τὸν υἱὸν τοῦ ἀδελφοῦ Ἅβραμ καὶ τὴν ἀποσκευὴν αὐτοῦ καὶ ἀπῴχοντο· ἦν γὰρ κατοικῶν ἐν Σοδόμοις.

Γεν. 14,12 - Συνέλαβον δε και τον Λωτ, τον υιόν του αδελφού του Αβραμ, επήραν και τα υπάρχοντα αυτού και έφυγαν. Αυτό δε το επαθεν ο Λωτ, διότι κατοικούσε εις την περιοχήν των Σοδόμων.

Γεν. 14,13 - Παραγενόμενος δὲ τῶν ἀνασωθέντων τις ἀπήγγειλεν Ἅβραμ τῷ περάτῃ· αὐτὸς δὲ κατῴκει παρὰ τῇ δρυΐ τῇ Μαμβρῇ Ἀμοῤῥαίου τοῦ ἀδελφοῦ Ἐσχὼλ καὶ τοῦ ἀδελφοῦ Αὐνάν, οἳ ἦσαν συνωμόται τοῦ Ἅβραμ.

Γεν. 14,13 - Ενας δε από τους διασωθέντας ήλθεν στον Αβραμ, στον περάτην όπως τον ωνόμαζον οι εντόπιοι, και του ανήγγειλε τα θλιβερά γεγονότα. Ο Αβραμ κατοικούσε τότε κοντά εις την δρυν του Μαμβρή του Αμορραίου, αδελφού του Εσχώλ και του Αυνάν, οι οποίοι είχον συνάψει ένα σύμφωνον φιλίας και συμμαχίας με τον Αβραμ.

Γεν. 14,14 - ἀκούσας δὲ Ἅβραμ ὅτι ᾐχμαλώτευται Λὼτ ὁ ἀδελφιδοῦς αὐτοῦ, ἠρίθμησε τοὺς ἰδίους οἰκογενεῖς αὐτοῦ, τριακοσίους δέκα καὶ ὀκτώ, καὶ κατεδίωξεν ὀπίσω αὐτῶν ἕως Δάν.

Γεν. 14,14 - Πληροφορηθείς ο Αβραμ ότι συνελήφθη αιχμάλωτος ο ανεψιός του ο Λωτ επεστράτευσε τους δούλους, που είχαν γεννηθή και εζούσαν στον οίκον του, τριακοσίους δέκα οκτώ άνδρας, και κατεδίωξε τους νικητάς βασιλείς μέχρι της πόλεως Δαν.

Γεν. 14,15 - καὶ ἐπέπεσεν ἐπ᾿ αὐτοὺς τὴν νύκτα αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ, καὶ ἐπάταξεν αὐτοὺς καὶ κατεδίωξεν αὐτοὺς ἕως Χοβά, ἥ ἐστιν ἐν ἀριστερᾷ Δαμασκοῦ.

Γεν. 14,15 - Επέπεσεν εναντίον αυτών κατά την νύκτα, αυτός και οι δούλοι του, εκτύπησε και ενίκησεν αυτούς και τους κατεδίωξεν έως εις την πόλιν Χοβά, η οποία ευρίσκεται προς τα αριστερά της Δαμασκού.

Γεν. 14,16 - καὶ ἀπέστρεψε πᾶσαν τὴν ἵππον Σοδόμων, καὶ Λὼτ τὸν ἀδελφιδοῦν αὐτοῦ ἀπέστρεψε καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ καὶ τὰς γυναῖκας καὶ τὸν λαόν.

Γεν. 14,16 - Εκυρίευσεν ο Αβραμ όλον το ιππικόν των Σοδόμων, απηλευθέρωσε τον ανεψιόν του τον Λωτ με όλα τα υπάρχοντά του, με τας γυναίκας και τον λαόν.

Γεν. 14,17 - Ἐξῆλθε δὲ βασιλεὺς Σοδόμων εἰς συνάντησιν αὐτῷ, μετὰ τὸ ὑποστρέψαι αὐτὸν ἀπὸ τῆς κοπῆς τοῦ Χοδολλογομὸρ καὶ τῶν βασιλέων τῶν μετ᾿ αὐτοῦ, εἰς τὴν κοιλάδα τοῦ Σαβύ (τοῦτο ἦν τὸ πεδίον τῶν βασιλέων).

Γεν. 14,17 - Μετά δε την συντριπτικήν ήτταν του Χοδολλογομόρ και των συμμάχων του βασιλέων ο Αβραμ επέστρεψε και έφθασεν έξω από την Ιερουσαλήμ. Εκεί, εις την κοιλάδα του Σαβύ (δηλαδή εις την πεδιάδα των βασιλέων), εξήλθε προς συνάντησίν του ο βασιλεύς των Σοδόμων.

Γεν. 14,18 - καὶ Μελχισεδὲκ βασιλεὺς Σαλὴμ ἐξήνεγκεν ἄρτους καὶ οἶνον· ἦν δὲ ἱερεὺς τοῦ Θεοῦ τοῦ ὑψίστου.

Γεν. 14,18 - Ο δε Μελχισεδέκ, ο οποίος ήτο ιερεύς του Θεού του Υψίστου και βασιλεύς της Ιερουσαλήμ, προσέφερε προς τον Θεόν ως ευχαριστήριον θυσίαν δια την νίκην του Αβραμ άρτους και οίνον.

Γεν. 14,19 - καὶ εὐλόγησε τὸν Ἅβραμ καὶ εἶπεν· εὐλογημένος Ἅβραμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν.

Γεν. 14,19 - Αυτός ευλόγησε τον Αβραμ και είπεν “ας είναι ευλογημένος ο Αβραμ από τον Θεόν τον Υψιστον, ο οποίος εδημιούργησε τον ουρανόν και την γην.

Γεν. 14,20 - καὶ εὐλογητὸς ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. καὶ ἔδωκεν αὐτῷ Ἅβραμ δεκάτην ἀπὸ πάντων.

Γεν. 14,20 - Και δοξασμένος ας είναι ο Θεός ο Υψιστος, ο οποίος παρέδωσε υποχειρίους εις σε τους εχθρούς σου”. Ο Αβραμ έδωσε τότε στον Μελχισεδέκ το δέκατον από όλα τα λάφυρα, τα οποία είχε κυριεύσει.

Γεν. 14,21 - εἶπε δὲ βασιλεὺς Σοδόμων πρὸς Ἅβραμ· δός μοι τοὺς ἄνδρας, τὴν δὲ ἵππον λάβε σεαυτῷ.

Γεν. 14,21 - Ο δε βασιλεύς των Σοδόμων είπε προς τον Αβραμ· “δος μου τους άνδρας μου, τους οποίους απηλευθέρωσες, και κράτησε δια τον εαυτόν σου το ιππικόν”.

Γεν. 14,22 - εἶπε δὲ Ἅβραμ πρὸς τὸν βασιλέα Σοδόμων· ἐκτενῶ τὴν χεῖρά μου πρὸς Κύριον τὸν Θεὸν τὸν ὕψιστον, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ

τὴν γῆν,

Γεν. 14,22 - Απήντησε δε Αβραμ προς τον βασιλέα των Σοδόμων· “απλώνω το χέρι μου και ορκίζομαι εις Κυριον τον Θεόν τον Υψιστον, ο οποίος εδημιούργησε τον ουρανόν και την γην,

Γεν. 14,23 - εἰ ἀπὸ σπαρτίου ἕως σφυρωτῆρος ὑποδήματος λήψομαι ἀπὸ πάντων τῶν σῶν, ἵνα μὴ εἴπῃς, ὅτι ἐγὼ ἐπλούτισα τὸν Ἅβραμ·

Γεν. 14,23 - ότι δεν θα πάρω τίποτε, από όσα σου ανήκουν, από κλωστήν έως σχοινί υποδήματος, δια να μη είπης ότι εγώ επλούτισα τον Αβραμ.

Γεν. 14,24 - πλὴν ὧν ἔφαγον οἱ νεανίσκοι καὶ τῆς μερίδος τῶν ἀνδρῶν τῶν συμπορευθέντων μετ᾿ ἐμοῦ, Ἐσχώλ, Αὐνάν, Μαμβρῆ, οὗτοι λήψονται μερίδα.

Γεν. 14,24 - Θα λάβω μόνον τας τροφάς, τας οποίας κατηνάλωσαν οι δούλοι μου κατά τον χρόνον της επιθέσεως αυτής. Επίσης αυτοί που εξεστράτευσαν μαζή με εμέ, οι άνδρες του Εσχώλ, του Αυνάν και Μαμβρή, θα λάβουν την δικαίαν μερίδα από τα λάφυρα”.

## ΓΕΝΕΣΙΣ 15

Γεν. 15,1 - Μετὰ δὲ τὰ ῥήματα ταῦτα ἐγενήθη ῥῆμα Κυρίου πρὸς Ἅβραμ ἐν ὁράματι, λέγων· μὴ φοβοῦ Ἅβραμ, ἐγὼ ὑπερασπίζω σου· ὁ μισθός σου πολὺς ἔσται σφόδρα.

Γεν. 15,1 - Επειτα από τα γεγονότα αυτά παρουσιάσθη ο Θεός με όραμα στον Αβραμ και του είπε· “Αβραμ, μη φοβήσαι· εγώ σε υπερασπίζω πάντοτε· ο μισθός σου δια την πίστιν και δικαιοσύνην σου θα είναι πολύς, πάρα πολύς”.

Γεν. 15,2 - λέγει δὲ Ἅβραμ· δέσποτα Κύριε, τί μοι δώσεις; ἐγὼ δὲ ἀπολύομαι ἄτεκνος· ὁ δὲ υἱὸς Μασὲκ τῆς οἰκογενοῦς μου, οὗτος Δαμασκὸς Ἐλιέζερ.

Γεν. 15,2 - Είπε δε ο Αβραμ· “Δεσπότα Κυριε, τι θα μου δώσης; Εγώ έπειτα από ολίγον αποθνήσκω άτεκνος. Κληρονόμος μου θα είναι ο Ελιέζερ, ο καταγόμενος από την Δαμασκόν, ο υιός της δούλης μου Μασέκ, η οποία εγεννήθη στον οίκον μου”.

Γεν. 15,3 - καὶ εἶπεν Ἅβραμ· ἐπειδὴ ἐμοὶ οὐκ ἔδωκας σπέρμα, ὁ δὲ οἰκογενής μου κληρονομήσει μοι.

Γεν. 15,3 - Και επαναλαμβάνει ο Αβραμ προς τον Θεόν· “ναι, Κυριε, ο δούλος μου ο γεννηθείς στον οίκον μου, αυτός θα με κληρονομήση, διότι εις εμέ δεν έδωσες τέκνον”.

Γεν. 15,4 - καὶ εὐθὺς φωνὴ Κυρίου ἐγένετο πρὸς αὐτὸν λέγουσα· οὐ κληρονομήσει σε οὗτος, ἀλλ᾿ ὃς ἐξελεύσεται ἐκ σοῦ, οὗτος κληρονομήσει

σε.

Γεν. 15,4 - Αμέσως ηκούσθη η φωνή του Κυρίου λέγουσα προς αυτόν· “όχι ! Δεν θα σε κληρονομήση αυτός, αλλά θα σε κληρονομήση εκείνος που θα γεννηθή από σένα”.

Γεν. 15,5 - ἐξήγαγε δὲ αὐτὸν ἔξω καὶ εἶπεν αὐτῷ· ἀνάβλεψον δὴ εἰς τὸν οὐρανὸν καὶ ἀρίθμησον τοὺς ἀστέρας, εἰ δυνήσῃ ἐξαριθμῆσαι αὐτούς. καὶ εἶπεν· οὕτως ἔσται τὸ σπέρμα σου.

Γεν. 15,5 - Εβγαλε δε ο Θεός τον Αβραμ έξω από την σκηνήν και του είπε· “σήκωσε, λοιπόν, το βλέμμα σου στον ουρανόν και μέτρησε τα αστέρια του ουρανού, εάν ημπορής ποτέ να τα μετρήσης”. Και προσέθεσεν ο Θεός· “τόσον πολλοί θα είναι οι απόγονοί σου”.

Γεν. 15,6 - καὶ ἐπίστευσεν Ἅβραμ τῷ Θεῷ, καὶ ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην.

Γεν. 15,6 - Επίστευσεν ο Αβραμ υλοψύχως στον Θεόν και η πίστις του αυτή εθεωρήθη ως μεγάλη αρετή και σύνολον αρετών.

Γεν. 15,7 - εἶπε δὲ πρὸς αὐτόν· ἐγὼ ὁ Θεὸς ὁ ἐξαγαγών σε ἐκ χώρας Χαλδαίων, ὥστε δοῦναί σοι τὴν γῆν ταύτην κληρονομῆσαι.

Γεν. 15,7 - Είπεν ακόμη ο Θεός προς τον Αβραμ· “εγώ σε έβγαλα από την χώραν των Χαλδαίων, δια να δώσω εις σε και εις τους απογόνους σου ως κληρονομίαν την γην αυτήν”.

Γεν. 15,8 - εἶπε δέ, Δέσποτα Κύριε, κατὰ τί γνώσομαι ὅτι κληρονομήσω αὐτήν;

Γεν. 15,8 - Είπε τότε ο Αβραμ· “Δεσπότα Κυριε, πως εγώ θα πληροφορηθώ σαφώς και θα εννοήσω ότι θα κληρονομήσω αυτήν την χώραν;”

Γεν. 15,9 - εἶπε δὲ αὐτῷ· λάβε μοι δάμαλιν τριετίζουσαν καὶ αἶγα τριετίζουσαν καὶ κριὸν τριετίζοντα καὶ τρυγόνα καὶ περιστεράν.

Γεν. 15,9 - Είπε προς αυτόν ο Θεός· “πάρε δι' εμέ μίαν δάμαλιν τριών ετών, αίγα επίσης τριών ετών και κριον τριών ετών, ακόμη δε μίαν τρυγόνα και μίαν περιστεράν”.

Γεν. 15,10 - ἔλαβε δὲ αὐτῷ πάντα ταῦτα καὶ διεῖλεν αὐτὰ μέσα καὶ ἔθηκεν αὐτὰ ἀντιπρόσωπα ἀλλήλοις, τὰ δὲ ὄρνεα οὐ διεῖλε.

Γεν. 15,10 - Επήρε ο Αβραμ όλα αυτά, τα εδιχοτόμησε και έθεσε τα τεμάχια τα μεν απέναντι των δέ. Τα πτηνά όμως δεν τα εδιχοτόμησε.

Γεν. 15,11 - κατέβη δὲ ὄρνεα ἐπὶ τὰ σώματα, ἐπὶ τὰ διχοτομήματα αὐτῶν, καὶ συνεκάθησεν αὐτοῖς Ἅβραμ.

Γεν. 15,11 - Εις τα διχοτομημένα αυτά σώματα των ζώων επέπεσαν με ορμήν αρπακτικά όρνεα και ο Αβραμ εκάθησε κοντά εις τα διχοτομημένα εκείνα σώματα, δια να διώχνη τα όρνεα.

Γεν. 15,12 - περὶ δὲ ἡλίου δυσμὰς ἔκστασις ἐπέπεσε τῷ Ἅβραμ, καὶ ἰδοὺ φόβος σκοτεινὸς μέγας ἐπιπίπτει αὐτῷ.

Γεν. 15,12 - Κατά δε το ηλιοβασίλεμμα εβυθισθη ο Αβραμ εις έκστασιν και ένας σκοτεινός μεγάλος φόβος τον κατέλαβεν.

Γεν. 15,13 - καὶ ἐῤῥέθη πρὸς Ἅβραμ· γινώσκων γνώσῃ ὅτι πάροικον ἔσται τὸ σπέρμα σου ἐν γῇ οὐκ ἰδίᾳ, καὶ δουλώσουσιν αὐτοὺς καὶ κακώσουσιν αὐτοὺς καὶ ταπεινώσουσιν αὐτοὺς τετρακόσια ἔτη.

Γεν. 15,13 - Εις τοιαύτην ψυχολογικήν κατάστασιν ευρισκόμενος ήκουσε τον Θεόν να του λέγη· “μάθε και κατανόησε καλά ότι οι απόγονοί σου επί τετρακόσια ολόκληρα έτη θα ζήσουν ως ξένοι εις ξένην χώραν, οι κάτοικοι της οποίας θα έχουν αυτούς ως δούλους· θα τους ταλαιπωρήσουν και θα τους εξευτελίσουν επί τετρακόσια έτη.

Γεν. 15,14 - τὸ δὲ ἔθνος, ᾧ ἐὰν δουλεύσωσι, κρινῶ ἐγώ· μετὰ δὲ ταῦτα ἐξελεύσονται ὧδε μετὰ ἀποσκευῆς πολλῆς.

Γεν. 15,14 - Το δε έθνος, το οποίον θα μεταχειρισθή τους απογόνους σου ως δούλους, θα το τιμωρήσω εγώ. Μετά δε τα τετρακόσια αυτά χρόνια οι απόγονοί σου θα εξέλθουν από την χώραν εκείνην και θα έλθουν εδώ εις την Χαναάν με πολλά αγαθά, λαός πολύς.

Γεν. 15,15 - σὺ δὲ ἀπελεύσῃ πρὸς τοὺς πατέρας σου ἐν εἰρήνῃ, τραφεὶς ἐν γήρᾳ καλῷ.

Γεν. 15,15 - Συ δε με ένα ειρηνικόν θάνατον, αφού πλέον θα έχεις φθάσει εις ευτυχιαμένα γεράματα, θα μεταβής στους προπάτοράς σου εις την αιωνιότητα.

Γεν. 15,16 - τετάρτῃ δὲ γενεᾷ ἀποστραφήσονται ὧδε· οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν Ἀμοῤῥαίων ἕως τοῦ νῦν.

Γεν. 15,16 - Οι απόγονοί σου θα επιστρέψουν εδώ από την ξένην χώραν κατά την τετάρτην γενεάν. Και τούτο, διότι αι κακίαι των Αμορραίων δεν θα έχουν φθάσει ενωρίτερον στο αποκορύφωμά των, δια να τιμωρηθούν αυτοί όπως τους πρέπει”.

Γεν. 15,17 - ἐπεὶ δὲ ὁ ἥλιος ἐγένετο πρὸς δυσμάς, φλὸξ ἐγένετο, καὶ ἰδοὺ κλίβανος καπνιζόμενος καὶ λαμπάδες πυρός, αἳ διῆλθον ἀνὰ μέσον τῶν διχοτομημάτων τούτων.

Γεν. 15,17 - Οταν δε ο ήλιος έδυε, ήναψε μια φλοξ και ιδού εφάνη ένα καμίνι να καπνίζη και λαμπάδες πυρός, αι οποίαι επέρασαν ανάμεσα από τα διχοτομημένα σώματα των ζώων.

Γεν. 15,18 - ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διέθετο Κύριος τῷ Ἅβραμ διαθήκην λέγων· τῷ σπέρματί σου δώσω τὴν γῆν ταύτην, ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμοῦ Εὐφράτου,

Γεν. 15,18 - Κατά την ημέραν εκείνην έκαμε διαθήκην ο Θεός προς τον Αβραμ και του έδωσε την υπόσχεσιν λέγων· “στους απογόνους σου θα δώσω την χώραν αυτήν από τον ποταμόν της Αιγύπτου έως τον μεγάλον ποταμόν της Μεσοποταμίας, τον Ευφράτην.

Γεν. 15,19 - τοὺς Κεναίους καὶ τοὺς Κενεζαίους καὶ τούς Κεδμωναίους

Γεν. 15,19 - Θα σας δώσω επίσης υπό την εξουσίαν σας τους Κεναίους, τους Κενεζαίους, τους Κεδμωναίους,

Γεν. 15,20 - καὶ τοὺς Χετταίους καὶ τοὺς Φερεζαίους καὶ Ῥαφαεὶν καὶ τοὺς Ἀμοῤῥαίους καὶ τοὺς Χαναναίους καὶ τοὺς Εὐαίους καὶ τοὺς Γεργεσαίους καὶ τοὺς Ἰεβουσαίους.

Γεν. 15,20 - τους Χετταίους, τους Φερεζαίους, τους Ραφαείν, τους Αμορραίους, τους Χαναναίους, τους Ευαίους, τους Γεργεσαίους και τους Ιεβουσαίους".

## ΓΕΝΕΣΙΣ 16

Γεν. 16,1 - Σάρα δὲ γυνὴ Ἅβραμ οὐκ ἔτικτεν αὐτῷ. ἦν δὲ αὐτῇ παιδίσκη Αἰγυπτία, ᾗ ὄνομα Ἄγαρ.

Γεν. 16,1 - Η Σαρα, η σύζυγος του Αβραμ, δεν εγεννοσε τέκνα. Εις την υπηρεσίαν αυτής ευρίσκετο μία δούλη από την Αίγυπτον, η οποία ωνομάζετο Αγαρ.

Γεν. 16,2 - εἶπε δὲ Σάρα πρὸς Ἅβραμ· ἰδοὺ συνέκλεισέ με Κύριος τοῦ μὴ τίκτειν· εἴσελθε οὖν πρὸς τὴν παιδίσκην μου, ἵνα τεκνοποιήσωμαι ἐξ αὐτῆς. ὑπήκουσε δὲ Ἅβραμ τῆς φωνῆς Σάρας.

Γεν. 16,2 - Είπε η Σαρα προς τον Αβραμ· "ιδού, ο Κυριος με έχει εμποδίσει να συλλάβω και γεννήσω τέκνον. Λοιπόν, πήγαινε εις την δούλην μου, δια να αποκτήσω, έστω και από αυτήν, ένα τέκνον". Υπήκουσεν ο Αβραμ στον λόγον αυτόν της Σαρας.

Γεν. 16,3 - καὶ λαβοῦσα Σάρα ἡ γυνὴ Ἅβραμ Ἄγαρ τὴν Αἰγυπτίαν τὴν ἑαυτῆς παιδίσκην, μετὰ δέκα ἔτη τοῦ οἰκῆσαι Ἅβραμ ἐν γῇ Χαναάν, ἔδωκεν αὐτὴν τῷ Ἅβραμ ἀνδρὶ αὐτῆς αὐτῷ γυναῖκα.

Γεν. 16,3 - Η Σαρα, η γυνή του Αβραμ, έλαβε την Αγαρ την Αιγυπτίαν δούλην της, δέκα έτη μετά την έλευσιν του Αβραμ εις την Χαναάν και έδωσεν εκείνην εις αυτόν ως γυναίκα.

Γεν. 16,4 - καὶ εἰσῆλθε πρὸς Ἄγαρ, καὶ συνέλαβε. καὶ εἶδεν ὅτι ἐν γαστρὶ ἔχει, καὶ ἠτιμάσθη ἡ κυρία ἐναντίον αὐτῆς.

Γεν. 16,4 - Ο Αβραμ έλαβε την Αγαρ, η οποία και κατέστη κατόπιν έγκυος. Οταν η Αγαρ είδεν ότι είναι έγκυος, υπερηφανεύθη, πράγμα το οποίον απετέλεσε περιφρόνησιν δια την κυρίαν της την Σαραν.

Γεν. 16,5 - εἶπε δὲ Σάρα πρὸς Ἅβραμ· ἀδικοῦμαι ἐκ σοῦ· ἐγὼ δέδωκα τὴν παιδίσκην μου εἰς τὸν κόλπον σου, ἰδοῦσα δὲ ὅτι ἐν γαστρὶ ἔχει, ἠτιμάσθην ἐναντίον αὐτῆς· κρίναι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ.

Γεν. 16,5 - Είπε τότε η Σαρα προς τον Αβραμ· "αδικούμαι από σέ· εγώ σου έδωσα την δούλην μου εις την αγκάλην σου. Εκείνη δέ, όταν είδεν ότι είναι έγκυος, υπερηφανεύθη εναντίον μου και με περιεφρόνησε. Ο Θεός ας

κρίνη μεταξύ εμού και σου, διότι φαίνεται ότι συ ανέχεσαι αυτήν την διαγωγήν της”.

Γεν. 16,6 - εἶπε δὲ Ἅβραμ πρὸς Σάραν· ἰδοὺ ἡ παιδίσκη σου ἐν ταῖς χερσί σου· χρῶ αὐτῇ ὡς ἄν σοι ἀρεστόν ᾖ. καὶ ἐκάκωσεν αὐτὴν Σάρα, καὶ ἀπέδρα ἀπὸ προσώπου αὐτῆς.

Γεν. 16,6 - Ο Αβραμ είπε τότε προς την Σαραν “η δούλη σου είναι εις τα χέρια σου. Την αφήνω εις την διάθεσίν σου. Μεταχειρίσου την, όπως σου αρέσει”. Η Σαρα εταλαιπώρησε τότε και εβασάνισε την Αγαρ, η οποία και εδραπέτευσεν από την σκληράν κυρίαν της.

Γεν. 16,7 - Εὗρε δὲ αὐτὴν ἄγγελος Κυρίου ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος ἐν τῇ ἐρήμῳ, ἐπὶ τῆς πηγῆς ἐν τῇ ὁδῷ Σούρ.

Γεν. 16,7 - Αγγελος όμως Κυρίου εύρε την Αγαρ περιπλανωμένην εις την έρημον, πλησίον κάποιας πηγής που ευρίσκετο εις την οδόν την οδηγούσαν προς την έρημον Σούρ,

Γεν. 16,8 - καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου. Ἄγαρ, παιδίσκη Σάρας, πόθεν ἔρχῃ καὶ ποῦ πορεύῃ; καὶ εἶπεν· ἀπὸ προσώπου Σάρας τῆς κυρίας μου ἐγὼ ἀποδιδράσκω.

Γεν. 16,8 - και είπε προς αυτήν ο άγγελος του Κυρίου· “Αγαρ, δούλη της Σαρας, από που έρχεσαι και που πηγαίνεις;” Εκείνη απήντησε· “εδραπέτευσα από την κυρίαν μου την Σαραν”.

Γεν. 16,9 - εἶπε δὲ αὐτῇ ὁ ἄγγελος Κυρίου· ἀποστράφηθι πρὸς τὴν κυρίαν σου καὶ ταπεινώθητι ὑπὸ τὰς χεῖρας αὐτῆς.

Γεν. 16,9 - Είπε προς αυτήν ο άγγελος του Κυρίου· “να επιστρέψης εις την κυρίαν σου, να ταπεινωθής και να υποταχθής εις την εξουσίαν της”.

Γεν. 16,10 - καὶ εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· πληθύνων πληθυνῶ τὸ σπέρμα σου, καὶ οὐκ ἀριθμηθήσεται ὑπὸ τοῦ πλήθους.

Γεν. 16,10 - Και προσέθεσεν ο άγγελος· “θα πληθύνω πολύ τους απογόνους σου, τόσον πολύ ώστε λόγω του πλήθους των να μη είναι δυνατόν να καταμετρηθούν.

Γεν. 16,11 - καί εἶπεν αὐτῇ ὁ ἄγγελος Κυρίου· ἰδού, σὺ ἐν γαστρί ἔχεις καὶ τέξῃ υἱὸν καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσμαήλ, ὅτι ἐπήκουσε Κύριος τῇ ταπεινώσει σου.

Γεν. 16,11 - Συ είσαι τώρα έγκυος, θα γεννήσης τέκνον και θα το ονομάσης Ισμαήλ, διότι Κυριος ο Θεός ήκουσε την δέησίν σου και διετέθη ευμενώς δια σε εξ αιτίας της θλίψεώς σου αυτής.

Γεν. 16,12 - οὗτος ἔσται ἄγροικος ἄνθρωπος αἱ χεῖρες αὐτοῦ ἐπὶ πάντας, καὶ αἱ χεῖρες πάντων ἐπ᾿ αὐτόν, καὶ κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατοικήσει.

Γεν. 16,12 - Αυτός δε ο υιός σου θα είναι άνθρωπος της υπαίθρου, τραχύς· θα στρέφεται εναντίον όλων και όλοι θα στρέφωνται εναντίον αυτού.

Αυτός και οι απόγονοί του θα κατοικήσουν απέναντι όλων των συγγενών των”.

Γεν. 16,13 - καὶ ἐκάλεσεν Ἄγαρ τὸ ὄνομα Κυρίου τοῦ λαλοῦντος πρὸς αὐτήν· σὺ ὁ Θεὸς ὁ ἐπιδών με, ὅτι εἶπε· καὶ γὰρ ἐνώπιον εἶδον ὀφθέντα μοι.

Γεν. 16,13 - Η Αγαρ επεκαλέσθη τότε με σεβασμόν και ευγνομοσύνην το όνομα του Κυρίου, ο οποίος ωμίλει προς αυτήν, και είπε· “συ είσαι ο Θεός, ο οποίος έρριψες βλέμμα στοργής προς εμέ την ταλαίπωρον”. Και ωμολόγησεν η Αγαρ· “πράγματι είδον ενώπιόν μου να φανερώνεται ο Θεός” !

Γεν. 16,14 - ἕνεκεν τούτου ἐκάλεσε τὸ φρέαρ Φρέαρ οὗ ἐνώπιον εἶδον· ἰδοὺ ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Βαράδ.

Γεν. 16,14 - Εξ αιτίας του μεγάλου τούτου γεγονότος ωνόμασε το φρέαρ εκείνο “φρέαρ όπου είδον ενώπιόν μου τον Θεόν”. Τούτο ευρίσκεται μεταξύ Καδης και Βαράδ.

Γεν. 16,15 - Καὶ ἔτεκεν Ἄγαρ τῷ Ἅβραμ υἱόν, καὶ ἐκάλεσεν Ἅβραμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ, ὃν ἔτεκεν αὐτῷ Ἄγαρ, Ἰσμαήλ.

Γεν. 16,15 - Η Αγαρ εγέννησε πράγματι, υστέρα από ολίγον, τέκνον στον Αβραμ. Ο δε Αβραμ ωνόμασε το παιδί του, το οποίον του εγέννησεν η Αγαρ, με το όνομα Ισμαήλ.

Γεν. 16,16 - Ἅβραμ δὲ ἦν ἐτῶν ὀγδοηκονταέξ, ἡνίκα ἔτεκεν Ἄγαρ τῷ Ἅβραμ τὸν Ἰσμαήλ.

Γεν. 16,16 - Ητο δε τότε ο Αβραμ, όταν εγέννησεν εις αυτόν η Αγαρ τον Ισμαήλ, ετών ογδοήκοντα εξ.

## ΓΕΝΕΣΙΣ 17

Γεν. 17,1 - Ἐγένετο δὲ Ἅβραμ ἐτῶν ἐνενηκονταεννέα, καὶ ὤφθη Κύριος τῷ Ἅβραμ καὶ εἶπεν αὐτῷ· ἐγώ εἰμι ὁ Θεός σου· εὐαρέστει ἐνώπιον ἐμοῦ καὶ γίνου ἄμεμπτος,

Γεν. 17,1 - Οταν ο Αβραμ έφθασεν εις ηλικίαν ενενήκοντα εννέα ετών, παρουσιάσθη ο Κυριος εις αυτόν και του είπεν· “εγώ είμαι, ο Θεός σου· γίνε ευάρεστος ενώπιόν μου, ανεπίληπτος και ενάρετος·

Γεν. 17,2 - καὶ θήσομαι τὴν διαθήκην μου ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον σοῦ καὶ πληθυνῶ σε σφόδρα.

Γεν. 17,2 - και θα συνάψω την διαθήκην μου μεταξύ εμού και σου και θα πληθύνω τους απογόνους σου πάρα πολύ”.

Γεν. 17,3 - καὶ ἔπεσεν Ἅβραμ ἐπὶ πρόσωπον αὐτοῦ, καὶ ἐλάλησεν αὐτῷ ὁ Θεὸς λέγων·

Γεν. 17,3 - Γεμάτος ιερόν δέος και ευγνωμοσύνην ο Αβραμ έπεσε πρηνής ενώπιον του Θεού, ο οποίος ωμίλησε πάλιν και του είπεν·

Γεν. 17,4 - καὶ ἐγὼ ἰδοὺ ἡ διαθήκη μου μετὰ σοῦ, καὶ ἔσῃ πατὴρ πλήθους ἐθνῶν,

Γεν. 17,4 - “Ιδού η συμφωνία και η υπόσχεσίς μου προς σέ· θα γίνης γενάρχης πολυαρίθμων εθνών.

Γεν. 17,5 - καὶ οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἅβραμ, ἀλλ᾽ ἔσται τὸ ὄνομά σου Ἀβραάμ, ὅτι πατέρα πολλῶν ἐθνῶν τέθεικά σε.

Γεν. 17,5 - Το όνομά σου δεν θα είναι πλέον Αβραμ, αλλά θα ονομάζεσαι Αβραάμ, διότι σε έχω προορίσει ως πρόγονον και πατριάρχην πολλών λαών.

Γεν. 17,6 - καὶ αὐξανῶ σε σφόδρα σφόδρα καὶ θήσω σε εἰς ἔθνη, καὶ βασιλεῖς ἐκ σοῦ ἐξελεύσονται.

Γεν. 17,6 - Θα σε αυξήσω πολύ, πάρα πολύ, θα σε αναδείξω πρόγονον πολλών εθνών και βασιλείς θα προέλθουν από σέ.

Γεν. 17,7 - καὶ στήσω τὴν διαθήκην μου ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετά σέ, εἰς τὰς γενεὰς αὐτῶν, εἰς διαθήκην αἰώνιον, εἶναί σου Θεὸς καὶ τοῦ σπέρματός σου μετὰ σέ.

Γεν. 17,7 - Και θα στήσω έγκυρον και ακατάλυτον την συμφωνίαν και την υπόσχεσίν μου αυτήν και στους απογόνους σου έπειτα από σε εις όλας τας γενεάς αυτών· υπόσχεσιν παντοτεινήν και ανέκκλητον ότι θα είμαι ιδικός σου Θεός και Θεός των έπειτα από σε απογόνων σου.

Γεν. 17,8 - καὶ δώσω σοι καὶ τῷ σπέρματί σου μετὰ σὲ τὴν γῆν, ἣν παροικεῖς, πᾶσαν τὴν γῆν Χαναάν, εἰς κατάσχεσιν αἰώνιον καὶ ἔσομαι αὐτοῖς εἰς Θεόν.

Γεν. 17,8 - Και θα δώσω εις σε και, έπειτα από σε στους απογόνους σου ως αιωνίαν ιδιοκτησίαν όλην αυτήν την γην Χαναάν, εις την οποίαν τώρα κατοικείς ως ξένος· και θα είμαι στους απογόνους σου ο Θεός των”.

Γεν. 17,9 - καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἁβραάμ· σὺ δὲ τὴν διαθήκην μου διατηρήσεις, σὺ καὶ τὸ σπέρμα σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν.

Γεν. 17,9 - Είπε δε ακόμη ο Θεός προς τον Αβραάμ· “συ θα φυλάξης την διαθήκην μου αυτήν, συ και οι απόγονοί σου εις όλας τας γενεάς των.

Γεν. 17,10 - καὶ αὕτη ἡ διαθήκη, ἣν διατηρήσεις, ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου μετὰ σὲ εἰς τὰς γενεὰς αὐτῶν· περιτμηθήσεται ὑμῶν πᾶν ἀρσενικόν,

Γεν. 17,10 - Σημείον δε και εξωτερικόν γνώρισμα της συμφωνίας μεταξύ εμού και υμών και των απογόνων σου έπειτα από σέ, εις όλας τας γενεάς αυτών ότι θα τηρήσετε την διαθήκην μου είναι τούτο· Από τώρα και στο εξής θα περιτέμνεται κάθε αρσενικόν τέκνον σας.

Γεν. 17,11 - καὶ περιτμηθήσεσθε τὴν σάρκα τῆς ἀκροβυστίας ὑμῶν, καὶ ἔσται εἰς σημεῖον διαθήκης ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν.

Γεν. 17,11 - Θα περικόψετε την σαρκίνην ακροβυστίαν σας· και τούτο θα είναι σημείον της συμφωνίας μας μεταξύ εμού και υμών.

Γεν. 17,12 - καὶ παιδίον ὀκτὼ ἡμερῶν περιτμηθήσεται ὑμῖν, πᾶν ἀρσενικὸν εἰς τὰς γενεὰς ὑμῶν, ὁ οἰκογενὴς καὶ ὁ ἀργυρώνητος, ἀπὸ παντὸς υἱοῦ ἀλλοτρίου, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματός σου.

Γεν. 17,12 - Καθε αρσενικόν παιδί θα περιτέμνεται οκτώ ημέρας μετά την γέννησίν του, κάθε αρσενικόν εις όλας τας γενεάς σας, όπως επίσης θα περιτέμνεται και ο δούλος, ο οποίος θα αγορασθή με χρήματα, και το παιδί παντός ξένου ο οποίος κατοικεί μαζή σας, έστω και αν δεν είναι απόγονός σου.

Γεν. 17,13 - περιτομῇ περιτμηθήσεται ὁ οἰκογενὴς τῆς οἰκίας σου καὶ ὁ ἀργυρώνητος, καὶ ἔσται ἡ διαθήκη μου ἐπὶ τῆς σαρκὸς ὑμῶν εἰς διαθήκην αἰώνιον.

Γεν. 17,13 - Θα περιτμηθή όπως δήποτε ο δούλος, που εγεννήθη εις την οικίαν σου, και ο δούλος, που ηγοράσθη με χρήματα. Η περιτομή αυτή της σαρκός σας θα είναι υποχρέωσις απορρέουσα από την συμφωνίαν μας, η οποία θα έχη αιωνίαν ισχύν.

Γεν. 17,14 - καὶ ἀπερίτμητος ἄρσην, ὃς οὐ περιτμηθήσεται τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ γένους αὐτῆς, ὅτι τὴν διαθήκην μου διεσκέδασε.

Γεν. 17,14 - Καθε αρσενικόν, του οποίου δεν περιεκόπη η σαρξ της ακροβυστίας του κατά την ογδόην ημέραν από της γεννήσεώς του και έμεινεν απερίτμητον, θα εξολοθρευθή η ύπαρξις αυτή εκ μέσου της φυλής του, διότι κατεφρόνησε και κατεπάτησε την εντολήν μου”.

Γεν. 17,15 - Καὶ εἶπεν ὁ Θεὸς τῷ Ἀβραάμ· Σάρα ἡ γυνή σου οὐ κληθήσεται τὸ ὄνομα αὐτῆς Σάρα, ἀλλὰ Σάῤῥα ἔσται τὸ ὄνομα αὐτῆς.

Γεν. 17,15 - Είπεν ακόμη ο Θεός στον Αβραάμ· “η σύζυγός σου η Σαρα δεν θα λέγεται πλέον Σαρα, αλλά θα ονομάζεται Σαρρα.

Γεν. 17,16 - εὐλογήσω δὲ αὐτήν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον· καὶ εὐλογήσω αὐτό, καὶ ἔσται εἰς ἔθνη, καὶ βασιλεῖς ἐθνῶν ἐξ αὐτοῦ ἔσονται.

Γεν. 17,16 - Θα ευλογήσω δε αυτήν, θα λύσω την ατεκνίαν της και θα δώσω εις σε από αυτήν τέκνον. Εγώ δε θα ευλογήσω αυτό και θα το αναδείξω πατριάρχην εθνών πολλών, και βασιλείς εθνών θα προέλθουν από αυτό”.

Γεν. 17,17 - καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον αὐτοῦ καὶ ἐγέλασε καὶ εἶπεν ἐν τῇ διανοίᾳ αὐτοῦ λέγων· εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱός; καὶ εἰ ἡ Σάῤῥα ἐνενήκοντα ἐτῶν τέξεται;

Γεν. 17,17 - Επεσεν ο Αβραάμ πρηνής ενώπιον του Θεού, εχάρη και είπεν από μέσα του· “λοιπόν εις ηλικίαν εκατόν ετών θα αποκτήσω υιόν και η Σαρρα εις ηλικίαν ενενήκοντα ετών θα γεννήση;”

Γεν. 17,18 - εἶπε δὲ Ἀβραὰμ πρὸς τὸν Θεόν· Ἰσμαὴλ οὗτος ζήτω ἐναντίον σου.

Γεν. 17,18 - Είπε δε ο Αβραάμ προς τον Θεόν· "ο Ισμαήλ είναι και αυτός υιός μου· ας ζήση και αυτός ενώπιόν σου και με την ευλογίαν σου".

Γεν. 17,19 - εἶπε δὲ ὁ Θεὸς πρὸς Ἀβραὰμ· ναί· ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξεταί σοι υἱόν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαάκ, καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον, εἶναι αὐτῷ Θεὸς καὶ τῷ σπέρματι αὐτοῦ μετ᾽ αὐτόν.

Γεν. 17,19 - Απήντησεν ο Θεός προς τον Αβραάμ· "ναι· ιδού η Σαρρα η σύζυγός σου θα γεννήση προς μεγάλην σου χαράν υιόν και θα ονομάσης αυτόν Ισαάκ, και προς αυτόν εγώ θα συνάψω την διαθήκην μου, διαθήκην αιωνίαν, ότι θα είμαι εις αυτόν και στους απογόνους αυτού ο Θεός των.

Γεν. 17,20 - περὶ δὲ Ἰσμαὴλ ἰδοὺ ἐπήκουσά σου· καὶ ἰδοὺ εὐλόγηκα αὐτὸν καὶ αὐξανῶ αὐτόν καὶ πληθυνῶ αὐτὸν σφόδρα· δώδεκα ἔθνη γεννήσει καὶ δώσω αὐτὸν εἰς ἔθνος μέγα.

Γεν. 17,20 - Την δε παράκλησίν σου περί του Ισμαήλ ιδού την ήκουσα και την εδέχθην· τον έχω ευλογήσει και αυτόν. Θα τον αυξήσω και θα τον πληθύνω πολύ· δώδεκα έθνη θα προέλθουν από αυτόν και θα αναδείξω αυτόν γενάρχην μεγάλου λαού.

Γεν. 17,21 - τὴν δὲ διαθήκην μου στήσω πρὸς Ἰσαάκ, ὃν τέξεταί σοι Σάῤῥα εἰς τὸν καιρὸν τοῦτον, ἐν τῷ ἐνιαυτῷ τῷ ἑτέρῳ.

Γεν. 17,21 - Αλλά την διαθήκην μου θα συνάψω και θα πραγματοποιήσω προς τον Ισαάκ, τον οποίον θα γεννήση εις σε η Σαρρα την εποχήν αυτήν κατά το επόμενον έτος".

Γεν. 17,22 - συνετέλεσε δὲ λαλῶν πρὸς αὐτὸν καὶ ἀνέβη ὁ Θεὸς ἀπό Ἀβραάμ.

Γεν. 17,22 - Ετελείωσε την ομιλίαν του ο Θεός προς τον Αβραάμ και ανεχώρησεν από αυτόν.

Γεν. 17,23 - Καὶ ἔλαβεν Ἀβραὰμ Ἰσμαὴλ τὸν υἱὸν ἑαυτοῦ καὶ πάντας τοὺς οἰκογενεῖς αὐτοῦ καὶ πάντας τοὺς ἀργυρωνήτους καὶ πᾶν ἄρσεν τῶν ἀνδρῶν τῶν ἐν τῷ οἴκῳ Ἀβραὰμ καὶ περιέτεμε τὰς ἀκροβυστίας αὐτῶν ἐν τῷ καιρῷ τῆς ἡμέρας ἐκείνης, καθὰ ἐλάλησεν αὐτῷ ὁ Θεός.

Γεν. 17,23 - Ο Αβραάμ, την εντολήν του Θεού αμέσως εκτελών, έλαβε τον υιόν του τον Ισμαήλ και όλους τους δούλους, οι οποίοι εγεννήθησαν στον οίκον του, και όλους όσοι ηγοράσθησαν με χρήματα, όλα τα αρσενικά των ανθρώπων, που ήσαν στον οίκον του, και περιέτεμεν αυτούς κατά την ημέραν εκείνην σύμφωνα με την εντολήν, που του είχε δώσει ο Θεός.

Γεν. 17,24 - Ἀβραὰμ δὲ ἐνενηκονταεννέα ἦν ἐτῶν, ἡνίκα περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ.

Γεν. 17,24 - Κατά δε την ημέραν εκείνην, που περιέκοψεν ο Αβραάμ και την ιδικήν του σαρκίνην ακροβυστίαν, ήτο ηλικίας ενενήκοντα εννέα ετών.

Γεν. 17,25 - Ἰσμαὴλ δὲ ὁ υἱὸς αὐτοῦ ἦν ἐτῶν δεκατριῶν, ἡνίκα περιετέμετο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ.

Γεν. 17,25 - Ο δε υιός του ο Ισμαήλ ήτο δέκα τριών ετών, όταν έλαβε την περιτομήν.

Γεν. 17 ,26 - ἐν δὲ τῷ καιρῷ τῆς ἡμέρας ἐκείνης περιετμήθη Ἀβραὰμ καὶ Ἰσμαὴλ ὁ υἱὸς αὐτοῦ·

Γεν. 17,26 - Την ιδίαν ημέραν, που έλαβε την εντολήν από τον Θεόν, περιετμήθη ο Αβραάμ, ο υιός του Ισμαήλ,

Γεν. 17,27 - καὶ πάντες οἱ ἄνδρες τοῦ οἴκου αὐτοῦ καὶ οἱ οἰκογενεῖς αὐτοῦ καὶ οἱ ἀργυρώνητοι ἐξ ἀλλογενῶν ἐθνῶν, περιέτεμεν αὐτούς.

Γεν. 17,27 - όλοι οι άνδρες του οίκου του, οι δούλοι οι γεννηθέντες στον οίκον του, οι δούλοι οι αγορασθέντες από άλλους λαούς· όλους αυτούς περιέτεμεν ο Αβραάμ.

## ΓΕΝΕΣΙΣ 18

Γεν. 18,1 - Ὤφθη δὲ αὐτῷ ὁ Θεὸς πρὸς τῇ δρυΐ τῇ Μαμβρῇ, καθημένου αὐτοῦ ἐπὶ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ μεσημβρίας.

Γεν. 18,1 - Εφανερώθηκε δε ο Θεός στον Αβραάμ, που ήτο κοντά εις την δρυν Μαμβρή και εκάθητο εις την θύραν της σκηνής του κατά τον Νοτον.

Γεν. 18,2 - ἀναβλέψας δέ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ τρεῖς ἄνδρες εἱστήκεισαν ἐπάνω αὐτοῦ· καὶ ἰδὼν προσέδραμεν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν.

Γεν. 18,2 - Εσήκωσε τα μάτια του ο Αβραάμ και είδεν αίφνης τρεις άνδρας ορθίους απέναντι του. Αμέσως ετρεξεν εις συνάντησίν των από την θύραν της σκηνής του, προσεκύνησεν αυτούς έως στο έδαφος.

Γεν. 18,3 - καὶ εἶπε· κύριε, εἰ ἄρα εὗρον χάριν ἐναντίον σου, μὴ παρέλθῃς τὸν παῖδά σου·

Γεν. 18,3 - Και ειπε· “Κυριε, εάν τυχόν ευρήκα χάριν ενώπιόν σου, σε παρακαλώ μη καταφρονήσης τον δούλον σου·

Γεν. 18,4 - ληφθήτω δὴ ὕδωρ, καὶ νιψάτωσαν τοὺς πόδας ὑμῶν, καὶ καταψύξατε ὑπὸ τὸ δένδρον·

Γεν. 18,4 - ας μου επιτροπή, λοιπόν, να φέρω νερό και οι δούλοί μου να νίψουν τους πόδας σας, και να δροσισθήτε κάτω από το δένδρον.

Γεν. 18,5 - καὶ λήψομαι ἄρτον, καὶ φάγεσθε, καὶ μετὰ τοῦτο παρελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν, οὗ ἕνεκεν ἐξεκλίνατε πρὸς τὸν παῖδα ὑμῶν. καὶ εἶπαν· οὕτω ποίησον, καθὼς εἴρηκας.

Γεν. 18,5 - Εγώ δε θα ετοιμάσω και θα σας φέρω φαγητόν, δια να φάγετε, έπειτα δε θα συνεχίσετε τον δρόμον σας, από τον οποίον παρεξεκλίνατε έως εμέ, τον δούλον σας, δια να μου κάμετε την τιμήν να σας περιποιηθώ". Εκείνοι δε είπαν· "κάμε όπως είπες".

Γεν. 18,6 - καὶ ἔσπευσεν Ἀβραὰμ ἐπὶ τὴν σκηνὴν πρὸς Σάῤῥαν καὶ εἶπεν αὐτῇ· σπεῦσον καὶ φύρασον τρία μέτρα σεμιδάλεως καὶ ποίησον ἐγκρυφίας.

Γεν. 18,6 - Ετρεξεν ο Αβραάμ εις την σκηνήν, όπου ευρίσκετο η Σαρρα και της είπε· "τρέξε και ζύμωσε τρία μέτρα σιμιγδάλι και κάμε το λαγάνες εις την φωτιά".

Γεν. 18,7 - καὶ εἰς τὰς βόας ἔδραμεν Ἀβραὰμ καὶ ἔλαβεν ἁπαλὸν μοσχάριον καὶ καλὸν καὶ ἔδωκε τῷ παιδί, καὶ ἐτάχυνε τοῦ ποιῆσαι αὐτό.

Γεν. 18,7 - Ετρεξε δε εκεί, που έβοσκαν τα βόδια του, επήρε τρυφερό και παχύ μοσχάρι και το έδωσεν στον υπηρέτην, ο οποίος έσπευσε να το ετοιμάση.

Γεν. 18,8 - ἔλαβε δὲ βούτυρον, καὶ γάλα, καὶ τὸ μοσχάριον ὃ ἐποίησε, καὶ παρέθηκεν αὐτοῖς, καὶ ἔφαγον· αὐτὸς δὲ παρειστήκει αὐτοῖς ὑπὸ τὸ δένδρον.

Γεν. 18,8 - Επειτα από ολίγην ώραν έλαβεν ο Αβραάμ βούτυρον και γάλα και το μοσχάρι, το οποίον έψησεν ο υπηρέτης, παρέθεσεν αυτά στους ξένους και έφαγον. Αυτός δε εστέκετο όρθιος πλησίον αυτών κάτω από το δένδρον.

Γεν. 18,9 - Εἶπε δὲ πρὸς αὐτόν· ποῦ Σάῤῥα ἡ γυνή σου; ὁ δὲ ἀποκριθεὶς εἶπεν· ἰδοὺ ἐν τῇ σκηνῇ.

Γεν. 18,9 - Είπε δε προς αυτόν ένας από τους φιλοξενουμένους· "που είναι η γυναίκα σου η Σαρρα;" Ο δε Αβραάμ απεκρίθη· "ιδού ευρίσκεται εις την σκηνήν".

Γεν. 18,10 - εἶπε δέ· ἐπαναστρέφων ἥξω πρὸς σὲ κατὰ τὸν καιρὸν τοῦτον εἰς ὥρας, καὶ ἕξει υἱὸν Σάῤῥα ἡ γυνή σου. Σάῤῥα δὲ ἤκουσε πρὸς τῇ θύρᾳ τῆς σκηνῆς, οὖσα ὄπισθεν αὐτοῦ.

Γεν. 18,10 - Είπε δε ο ξένος αυτός προς τον Αβραμ· "όταν το επόμενον έτος κατά την εποχήν αυτήν επιστρέφων έλθω προς σέ, η Σαρρα, η σύζυγός σου, θα έχη τέκνον". Η δε Σαρρα, ευρισκομένη εις την θύραν της σκηνής πίσω από τον Αβραάμ ήκουσε τα λόγια αυτά του ξένου.

Γεν. 18,11 - Ἀβραὰμ δὲ καὶ Σάῤῥα πρεσβύτεροι προβεβηκότες ἡμερῶν, ἐξέλιπε δὲ τῇ Σάῤῥᾳ γίνεσθαι τὰ γυναικεῖα.

Γεν. 18,11 - Ο Αβραάμ και η Σαρρα ήσαν γέροντες, προχωρημένοι εις τα χρόνια, εις δε την Σαρραν έπαυσαν πλέον να υπάρχουν τα συμπτώματα της γονιμότητας.

Γεν. 18,12 - ἐγέλασε δὲ Σάῤῥα ἐν ἑαυτῇ, λέγουσα· οὔπω μέν μοι γέγονεν ἕως τοῦ νῦν, ὁ δὲ κύριός μου πρεσβύτερος.

Γεν. 18,12 - Εγέλασε δε η Σαρρα από μέσα της λέγουσα· “μέχρι σήμερα δεν απέκτησα υιόν και θα αποκτήσω τώρα ! Αλλωστε ο σύζυγός μου είναι γέρων”.

Γεν. 18,13 - καὶ εἶπε Κύριος πρὸς Ἀβραάμ· τί ὅτι ἐγέλασε Σάῤῥα ἐν ἑαυτῇ, λέγουσα· ἆρά γε ἀληθῶς τέξομαι; ἐγὼ δὲ γεγήρακα.

Γεν. 18,13 - Είπε δε προς τον Αβραάμ ο ξένος εκείνος, ο οποίος ήτο ο Θεός· “διατί εγέλασεν η Σαρρα από μέσα της λέγουσα· Θα γεννήσω πράγματι παιδί; Εγώ έχω πλέον γηράσειν !

Γεν. 18,14 - μὴ ἀδυνατήσει παρὰ τῷ Θεῷ ῥῆμα; εἰς τὸν καιρὸν τοῦτον ἀναστρέψω πρὸς σὲ εἰς ὥρας· καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός.

Γεν. 18,14 - Μηπως υπάρχει τίποτε αδύνατον δια τον Θεόν; Λοιπόν, το επόμενον έτος και κατά την εποχήν αυτήν θα επιστρέψω εις σέ· και η Σαρρα θα έχη παιδί”.

Γεν. 18,15 - ἠρνήσατο δὲ Σάῤῥα λέγουσα· οὐκ ἐγέλασα· ἐφοβήθη γάρ. καὶ εἶπεν αὐτῇ· οὐχί, ἀλλὰ ἐγέλασας.

Γεν. 18,15 - Η δε Σαρρα, επειδή εφοβήθη, ηρνήθη λέγουσα· “δεν εγέλασα”. Είπεν όμως προς αυτήν ο Κυριος· “όχι ! εγέλασες”.

Γεν. 18,16 - Ἐξαναστάντες δὲ ἐκεῖθεν οἱ ἄνδρες κατέβλεψαν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόῤῥας. Ἀβραὰμ δὲ συνεπορεύετο μετ᾽ αὐτῶν συμπροπέμπων αὐτούς.

Γεν. 18,16 - Οι φιλοξενούμενοι τρεις άνδρες ηγέρθησαν από το τραπέζι, έστρεψαν το πρόσωπόν των προς τα Σοδομα και τα Γομορρα και επορεύοντο προς αυτά. Μαζή δε με αυτούς και προπέμπων αυτούς επορεύετο και ο Αβραάμ.

Γεν. 18,17 - ὁ δὲ Κύριος εἶπεν· οὐ μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου, ἃ ἐγὼ ποιῶ.

Γεν. 18,17 - Είπε δε τότε ο Κυριος· “δεν θα κρύψω εγώ από τον Αβραάμ, τον δούλον μου, αυτά, τα οποία θα κάμω.

Γεν. 18,18 - Ἀβραὰμ δὲ γινόμενος ἔσται εἰς ἔθνος μέγα καὶ πολύ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ πάντα τὰ ἔθνη τῆς γῆς.

Γεν. 18,18 - Ο Αβραάμ θα αναδειχθή γενάρχης, πατριάρχης μεγάλου και ισχυρού έθνους και δι' αυτού θα λάβουν τας θείας ευλογίας όλοι οι λαοί της γης.

Γεν. 18,19 - ᾔδειν γὰρ ὅτι συντάξει τοῖς υἱοῖς αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ μετ᾽ αὐτόν, καὶ φυλάξουσι τὰς ὁδοὺς Κυρίου ποιεῖν δικαιοσύνην καὶ κρίσιν, ὅπως ἂν ἐπαγάγῃ Κύριος ἐπὶ Ἀβραὰμ πάντα, ὅσα ἐλάλησε πρὸς αὐτόν.

Γεν. 18,19 - Διότι εγώ εγνώριζον απ' αρχής ότι ο πιστός και ενάρετος Αβραάμ θα διδάξη τα τέκνα του, εφ' όσον ζη, και δι' αυτών τους απογόνους του που θα γεννηθούν υστέρα απ' αυτόν, να τηρούν τας εντολάς του Κυρίου, ώστε να ζουν δικαιοσύνην και να εφαρμόζουν δικαίαν κρίσιν, δια να

αποστείλη ο Κυριος στον Αβραάμ και τους απογόνους αυτού όλα όσα του έχει υποσχεθή”.

Γεν. 18,20 - εἶπε δὲ Κύριος· κραυγὴ Σοδόμων καὶ Γομόῤῥας πεπλήθυνται πρός με, καὶ αἱ ἁμαρτίαι αὐτῶν μεγάλαι σφόδρα.

Γεν. 18,20 - Είπε δε εν συνεχεία ο Κυριος· “κραυγαί πολλαί από τα Σοδομα και την Γομόρραν ανέρχονται προς εμέ· αι αμαρτίαι των είναι πάρα πολύ μεγάλαι.

Γεν. 18,21 - καταβὰς οὖν ὄψομαι, εἰ κατὰ τὴν κραυγὴν αὐτῶν τὴν ἐρχομένην πρός με συντελοῦνται, εἰ δὲ μή, ἵνα γνῶ.

Γεν. 18,21 - Θα καταβώ, λοιπόν, εκεί, δια να ίδω, εάν πράγματι αι αμαρτίαι των είναι όπως αι κραυγαί που ανέρχονται προς εμέ η όχι. Οπωσδήποτε θέλω να μάθω”!

Γεν. 18,22 - καὶ ἀποστρέψαντες ἐκεῖθεν οἱ ἄνδρες ἦλθον εἰς Σόδομα. Ἀβραὰμ δὲ ἔτι ἦν ἑστηκὼς ἐναντίον Κυρίου.

Γεν. 18,22 - Δυο δε από τους ξένους αυτούς άνδρας ανεχώρησαν από εκεί και ήλθαν εις τα Σοδομα. Ο Αβραάμ ήτο όρθιος εκεί πλησίον του Κυρίου.

Γεν. 18,23 - καὶ ἐγγίσας Ἀβραὰμ εἶπε· μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής;

Γεν. 18,23 - Επλησίασε τον Κυριον και του είπε· “θα κατάστρεψης τάχα τον δίκαιον μαζή με τον ασεβή και θα είναι ο δίκαιος εις την αυτήν θέσιν, όπως και ο ασεβής;

Γεν. 18,24 - ἐὰν ὦσι πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀπολεῖς αὐτούς; οὐκ ἀνήσεις πάντα τὸν τόπον ἕνεκεν τῶν πεντήκοντα δικαίων, ἐὰν ὦσιν ἐν αὐτῇ;

Γεν. 18,24 - Εάν ευρίσκωνται πενήντα δίκαιοι εις την πόλιν αυτήν, θα καταστρέψης και αυτούς μαζή με τους πονηρούς; Δεν θα αφήσης άθικτον όλην την πόλιν ένεκα των πεντήκοντα αυτών δικαίων, οι οποίοι θα ευρίσκωνται εις αυτήν;

Γεν. 18,25 - μηδαμῶς σὺ ποιήσεις ὡς τὸ ῥῆμα τοῦτο, τοῦ ἀποκτεῖναι δίκαιον μετὰ ἀσεβοῦς, καὶ ἔσται ὁ δίκαιος ὡς ὁ ἀσεβής. μηδαμῶς· ὁ κρίνων πᾶσαν τὴν γῆν, οὐ ποιήσεις κρίσιν;

Γεν. 18,25 - Ποτέ συ ο δίκαιος Θεός δεν θα κάμης κάτι τέτοιο, να φονεύσης δηλαδή τον δίκαιον μαζή με τον ασεβή, ώστε να έχη ο δίκαιος την αυτήν τύχην με τον ασεβή. Ποτέ δεν θα κάμης κάτι τέτοιο. Λοιπόν, συ ο δίκαιος κριτής όλης της οικουμένης δεν θα κάμης και εις την περίστασιν αυτήν δικαίαν κρίσιν;”

Γεν. 18 ,26 - εἶπε δὲ Κύριος· ἐὰν ὦσιν ἐν Σοδόμοις πεντήκοντα δίκαιοι ἐν τῇ πόλει, ἀφήσω ὅλην τὴν πόλιν καὶ πάντα τὸν τόπον δι᾿ αὐτούς.

Γεν. 18,26 - Απήντησεν ο Κυριος· “εάν υπάρχουν εις την πόλιν των Σοδόμων πενήντα δίκαιοι, εγώ χάριν αυτών θα αφήσω άθικτον όλην την πόλιν και την περιοχήν αυτής”.

Γεν. 18,27 - καὶ ἀποκριθεὶς Ἀβραὰμ εἶπε· νῦν ἠρξάμην λαλῆσαι πρὸς τὸν Κύριόν μου, ἐγὼ δέ εἰμι γῆ καὶ σποδός·

Γεν. 18,27 - Λαβών τον λόγον και πάλιν ο Αβραάμ είπε· “έχω ήδη αρχίσει να ομιλώ προς τον Κυριον, αν και εγώ είμαι χώμα και στάκτη. Επίτρεψέ μου να ερωτήσω και πάλιν.

Γεν. 18,28 - ἐὰν δὲ ἐλαττονωθῶσιν οἱ πεντήκοντα δίκαιοι εἰς τεσσαρακονταπέντε, ἀπολεῖς ἕνεκεν τῶν πέντε πᾶσαν τὴν πόλιν; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ τεσσσαρακονταπέντε.

Γεν. 18,28 - Εάν ελαττωθούν οι πενήντα δίκαιοι εις σαράντα πέντε, ένεκα των πέντε δικαίων που θα λείπουν, θα καταστρέψης την πόλιν;” Και είπεν ο Θεός· “δεν θα την καταστρέψω, εάν εύρω εκεί σαράντα πέντε δικαίους”.

Γεν. 18,29 - καὶ προσέθηκεν ἔτι λαλῆσαι πρὸς αὐτόν, καὶ εἶπεν· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τεσσαράκοντα; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τεσσαράκοντα.

Γεν. 18,29 - Ετόλμησεν ο Αβραάμ να ομιλήση ακόμη προς τον Θεόν και είπε· “εάν ευρεθούν εκεί σαράντα διικαιοι, θα καταστρέψης την πόλιν;” Απήντησεν ο Θεός· “δεν θα την καταστρέψω ένεκα των τεσισαράκοντα δικαίων”.

Γεν. 18,30 - καὶ εἶπε· μή τι κύριε, ἐὰν λαλήσω; ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ τριάκοντα; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν τριάκοντα.

Γεν. 18,30 - Είπεν ακόμη ο Αβραάμ· “μήπως, Κυριε, θα οργισθής, εάν και πάλιν ομιλήσω; Εάν ευρεθούν εκεί τριάκοντα δίκαιοι;” Και είπεν ο Θεός· “προς χάριν αυτών των τριάκοντα δεν θα καταστρέψω την πόλιν”.

Γεν. 18,31 - καὶ εἶπεν· ἐπειδὴ ἔχω λαλῆσαι πρὸς τὸν κύριον· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ εἴκοσι; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω, ἐὰν εὕρω ἐκεῖ εἴκοσι.

Γεν. 18,31 - Είπε πάλιν ο Αβραάμ· “Ας με συγχωρήσα ο Κυριος επειδή έχω ακόμη κάτι να ερωτήσω αυτόν. Εάν ευρεθούν εκεί είκοσι;” Και είπεν ο Θεός· “Και είκοσι εάν εύρω εκεί, δεν θα καταστρέψω την πόλιν”.

Γεν. 18,32 - καὶ εἶπε· μήτι κύριε, ἐὰν λαλήσω ἔτι ἅπαξ· ἐὰν δὲ εὑρεθῶσιν ἐκεῖ δέκα; καὶ εἶπεν· οὐ μὴ ἀπολέσω ἕνεκεν τῶν δέκα.

Γεν. 18,32 - Είπε δε ο Αβραάμ· “Μηπως Κυριε, θα οργισθής εναντίον μου εάν υποβάλω μίαν ακόμη ερώτησιν; Εάν ευρεθούν εκεί δέκα;” Απήντησεν ο Θεός· “δεν θα καταστρέψω την πόλιν προς χάριν αυτών των δέκα”.

Γεν. 18,33 - ἀπῆλθε δὲ ὁ Κύριος, ὡς ἐπαύσατο λαλῶν τῷ Ἀβραάμ, καὶ Ἀβραὰμ ἀπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

Γεν. 18,33 - Οταν δε έπαυσε πλέον να ομιλή ο Αβραάμ, ανεχώρησεν ο Θεός· και ο Αβραάμ επανήλθεν στον τόπον του.

## ΓΕΝΕΣΙΣ 19

Γεν. 19,1 - Ἦλθον δὲ οἱ δύο ἄγγελοι εἰς Σόδομα ἑσπέρας· Λὼτ δὲ ἐκάθητο παρὰ τὴν πύλην Σοδόμων. ἰδὼν δὲ Λώτ, ἐξανέστη εἰς συνάντησιν αὐτοῖς καὶ προσεκύνησε τῷ προσώπῳ ἐπὶ τὴν γῆν.

Γεν. 19,1 - Κατά δε την εσπέραν έφθασαν οι δύο άγγελοι εις τα Σοδομα. Ο Λωτ εκάθητο κοντά εις την πύλην των Σοδόμων. Οταν είδε τους ξένους, ηγέρθη, επροχώρησεν εις συνάντησίν των, τους επροσκύνησε μέχρις εδάφους

Γεν. 19,2 - καὶ εἶπεν· ἰδοὺ κύριοι, ἐκκλίνατε εἰς τὸν οἶκον τοῦ παιδὸς ὑμῶν καὶ καταλύσατε καὶ νίψασθε τοὺς πόδας ὑμῶν, καὶ ὀρθρίσαντες ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. καὶ εἶπαν· οὐχί, ἀλλ᾿ ἐν τῇ πλατείᾳ καταλύσομεν.

Γεν. 19,2 - και είπεν· “ιδού σας παρακαλώ, κύριοι, λοξοδρομήσατε στον οίκον του δούλου σας να καταλύσετε εκεί, να πλύνετε τους πόδας σας και ενωρίς το πρωϊ συνεχίζετε τον δρόμον σας”. Εκείνοι είπον· “όχι. Εις την πλατείαν, στο ύπαιθρον θα διανυκτερεύσωμεν”.

Γεν. 19,3 - καὶ κατεβιάζετο αὐτούς, καὶ ἐξέκλιναν πρὸς αὐτὸν καὶ εἰσῆλθον εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἐποίησεν αὐτοῖς πότον, καὶ ἀζύμους ἔπεψεν αὐτοῖς, καὶ ἔφαγον.

Γεν. 19,3 - Ο Λωτ παρακλητικώς επίεζεν αυτούς, ώστε εκείνοι υπεχώρησαν. Επήγαν προς αυτόν και εισήλθον στον οίκον του. Ο Λωτ παρέθεσεν εις αυτούς δείπνον. Εψησεν άζυμον άρτον εις την φωτιά και έφαγον.

Γεν. 19,4 - πρὸ τοῦ κοιμηθῆναι δέ, οἱ ἄνδρες τῆς πόλεως οἱ Σοδομῖται περικύκλωσαν τὴν οἰκίαν ἀπὸ νεανίσκου ἕως πρεσβυτέρου, ἅπας ὁ λαὸς ἅμα.

Γεν. 19,4 - Αλλά πριν κοιμηθούν, οι άνδρες της πόλεως, οι πονηροί Σοδομίται από του νεωτέρου έως του γεροντοτέρου, όλος ο λαός μαζή, περιεκύκλωσαν την οικίαν του Λωτ,

Γεν. 19,5 - καὶ ἐξεκαλοῦντο τὸν Λὼτ καὶ ἔλεγον πρὸς αὐτόν· ποῦ εἰσιν οἱ ἄνδρες οἱ εἰσελθόντες πρὸς σὲ τὴν νύκτα; ἐξάγαγε αὐτοὺς πρὸς ἡμᾶς, ἵνα συγγενώμεθα αὐτοῖς.

Γεν. 19,5 - και έξω από αυτήν εφώναζον προς τον Λωτ και του έλεγαν· “που είναι οι άνδρες, οι οποίοι κατά την εσπέραν εισήλθον στο σπίτι σου; Βγάλε τους προς ημάς έξω, δια να ασελγήσωμεν επάνω εις αυτούς” !

Γεν. 19,6 - ἐξῆλθε δὲ Λὼτ πρὸς αὐτοὺς πρὸς τὸ πρόθυρον, τὴν δὲ θύραν προσέῳξεν ὀπίσω αὐτοῦ.

Γεν. 19,6 - Εβγήκεν ο Λωτ προς αυτούς έμπροσθεν από την θύραν, την δε θύραν έκλεισεν ασφαλώς οπίσω απ' αυτόν.

Γεν. 19,7 - εἶπε δὲ πρὸς αὐτούς· μηδαμῶς ἀδελφοί, μὴ πονηρεύσησθε.

Γεν. 19,7 - Είπε δε προς αυτούς· “αδελφοί, κατ' ουδένα τρόπον και λόγον δεν πρέπει να πραγματοποιήσετε το πονηρόν τούτο.

Γεν. 19,8 - εἰσὶ δέ μοι δύο θυγατέρες, αἳ οὐκ ἔγνωσαν ἄνδρα· ἐξάξω αὐτὰς πρὸς ὑμᾶς, καὶ χρᾶσθε αὐταῖς, καθὰ ἂν ἀρέσκῃ ὑμῖν· μόνον εἰς τοὺς ἄνδρας τούτους μὴ ποιήσητε ἄδικον, οὗ εἵνεκεν εἰσῆλθον ὑπὸ τὴν σκέπην τῶν δοκῶν μου.

Γεν. 19,8 - Εντός του σπιτιού μου υπάρχουν αι δύο, θυγατέρες μου, παρθένοι, αι οποίαι δεν εγνώρισαν άνδρα. Θα τας φέρω προς σας και χρησιμοποιήσατέ τας, όπως σας αρέσει. Μονον στους άνδρας αυτούς μη θελήσετε να κάμετε κάτι το κακόν, διότι εισήλθον υπό την στέγην μου και ως φιλοξενούμενοι ευρίσκονται υπό την προστασίαν μου”.

Γεν. 19,9 - εἶπαν δὲ αὐτῷ· ἀπόστα ἐκεῖ. εἰσῆλθες παροικεῖν· μὴ καὶ κρίσιν κρίνειν; νῦν οὖν σὲ κακώσωμεν μᾶλλον ἢ ἐκείνους. καὶ παρεβιάζοντο τὸν ἄνδρα τὸν Λὼτ σφόδρα. καὶ ἤγγισαν συντρίψαι τὴν θύραν.

Γεν. 19,9 - Εκείνοι εξηγριωμένοι ειπόν εις αυτόν· “παραμέρισε από εκεί και φύγε· ήλθες από άλλην χώραν και μένεις σαν ξένος μαζή μας. Μηπως θέλεις να γίνης και δικαστής μας; Λοιπόν τώρα θα κακοποιήσωμεν περισσότερον εσέ παρά εκείνους”. Ωρμησαν εξηγριωμένοι και εχειροδίκουν εναντίον του Λωτ, τον απωθούσαν βιαίως και επλησίασαν δια να συντρίψουν την θύραν.

Γεν. 19,10 - ἐκτείναντες δὲ οἱ ἄνδρες τὰς χεῖρας εἰσεσπάσαντο τὸν Λὼτ πρὸς ἑαυτοὺς εἰς τὸν οἶκον, καὶ τὴν θύραν τοῦ οἴκου ἀπέκλεισαν·

Γεν. 19,10 - Οι δύο άνδρες όμως άπλωσαν τα χέρια των, ετράβηξαν προς τον εαυτόν των και έβαλαν τον Λωτ στον οίκον και έκλεισαν ασφαλώς την θύραν του σπιτιού.

Γεν. 19,11 - τοὺς δὲ ἄνδρας τοὺς ὄντας ἐπὶ τῆς θύρας τοῦ οἴκου ἐπάταξαν ἐν ἀορασίᾳ ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ παρελύθησαν ζητοῦντες τὴν θύραν.

Γεν. 19,11 - Τους δε άνδρας, οι οποίοι ευρίσκοντο εις την θύραν, τους ετιμώρησαν όλους με τύφλωσιν από μικρού έως μεγάλου και έτσι εκείνοι απέκαμαν ψάχνοντες να εύρουν την θύραν.

Γεν. 19,12 - Εἶπαν δὲ οἱ ἄνδρες πρὸς Λώτ· εἰσί σοι ὧδε γαμβροὶ ἢ υἱοὶ ἢ θυγατέρες; ἢ εἴτις σοι ἄλλος ἐστὶν ἐν τῇ πόλει, ἐξάγαγε ἐκ τοῦ τόπου τούτου·

Γεν. 19,12 - Οι δύο ξένοι ειπόν τότε στον Λωτ· μήπως υπάρχουν εδώ εις την πόλιν αυτήν γαμβροί σου η υιοί σου η θυγατέρες η κανένας άλλος ιδικός σου; Παρε τους και βγάλε τους από τον τόπον αυτόν.

Γεν. 19,13 - ὅτι ἡμεῖς ἀπόλλυμεν τὸν τόπον τοῦτον, ὅτι ὑψώθη ἡ κραυγὴ αὐτῶν ἔναντι Κυρίου, καὶ ἀπέστειλεν ἡμᾶς Κύριος ἐκτρίψαι αὐτήν.

Γεν. 19,13 - Διότι ημείς καταστρέφομεν τον τόπον αυτόν, επειδή η κραυγή των φοβερών ανομιών των έφθασε μεγάλη ενώπιον του Κυρίου. Και ο

Κυριος μας απέστειλε να καταστρέψωμεν και να εξαφανίσωμεν εξ ολοκλήρου αυτούς και τον τόπον των”.

Γεν. 19,14 - ἐξῆλθε δὲ Λὼτ καὶ ἐλάλησε πρὸς τοὺς γαμβροὺς αὐτοῦ τοὺς εἰληφότας τὰς θυγατέρας αὐτοῦ καὶ εἶπεν· ἀνάστητε καὶ ἐξέλθετε ἐκ τοῦ τόπου τούτου, ὅτι ἐκτρίβει Κύριος τὴν πόλιν. ἔδοξε δὲ γελοιάζειν ἐναντίον τῶν γαμβρῶν αὐτοῦ.

Γεν. 19,14 - Εξήλθεν ο Λωτ από το σπίτι του, ωμίλησε προς τους μνηστήρας των θυγατέρων του και τους είπε· “σηκωθήτε αμέσως και φύγετε μακρυά από τον τόπον τούτον, διότι ο Κυριος θα καταστρέψη την πόλιν”. Οι γαμβροί του όμως ενόμισαν ότι ο Λωτ αστειεύεται μαζή των.

Γεν. 19,15 - ἡνίκα δὲ ὄρθρος ἐγίνετο, ἐσπούδαζον οἱ ἄγγελοι τὸν Λὼτ λέγοντες· ἀναστὰς λάβε τὴν γυναῖκά σου καὶ τὰς δύο θυγατέρας σου, ἃς ἔχεις, καὶ ἔξελθε, ἵνα μὴ καὶ σὺ συναπόλῃ ταῖς ἀνομίαις τῆς πόλεως.

Γεν. 19,15 - Κατά δε τα εξημερώματα οι δύο άγγελοι επίεζον και εβίαζαν τον Λωτ λέγοντες· “σήκω αμέσως, πάρε την γυναίκα σου και τας δύο θυγατέρας σου και φύγε έξω, δια να μη καταστραφής και συ μαζή με τους αμαρτωλούς κατοίκους αυτής της πόλεως”.

Γεν. 19,16 - καὶ ἐταράχθησαν· καὶ ἐκράτησαν οἱ ἄγγελοι τῆς χειρὸς αὐτοῦ καὶ τῆς χειρὸς τῆς γυναικὸς αὐτοῦ καὶ τῶν χειρῶν τῶν δύο θυγατέρων αὐτοῦ, ἐν τῷ φείσασθαι Κύριον αὐτοῦ.

Γεν. 19,16 - Ο Λωτ και οι περί αυτόν εταράχθησαν σαν να τα έχασαν. Οι άγγελοι επήραν τότε το χέρι του Λωτ, το χέρι της γυναικός του και τα χέρια των δύο θυγατέρων του και τους ωδήγησαν έξω από την πόλιν, διότι ο Κυριος ελυπήθη τον Λωτ.

Γεν. 19,17 - καὶ ἐγένετο, ἡνίκα ἐξήγαγον αὐτοὺς ἔξω καὶ εἶπαν· σῴζων σῷζε τὴν σεαυτοῦ ψυχήν· μὴ περιβλέψῃ εἰς τὰ ὀπίσω, μηδὲ στῇς ἐν πάσῃ τῇ περιχώρῳ· εἰς τὸ ὄρος σῴζου, μήποτε συμπαραληφθῇς.

Γεν. 19,17 - Οταν δε οι άγγελοι έφερον αυτούς έξω από την πόλιν, είπαν στον Λωτ και τας τρεις γυναίκας· “σπεύσε να σώσης την ζωήν σου, φύγε από την περιοχήν αυτήν· ούτε να στρέψετε το κεφάλι σας εις τα οπίσω, ούτε και να σταματήσετε πουθενά εις τα περίχωρα των Σοδόμων. Σπεύσατε στο απέναντι όρος, δια να σωθήτε, διότι άλλως υπάρχει φόβος να συμπεριληφθήτε και σεις εις την φοβεράν καταστροφήν”.

Γεν. 19,18 - εἶπε δὲ Λὼτ πρὸς αὐτούς· δέομαι κύριε,

Γεν. 19,18 - Είπε δε ο Λωτ προς ένα από αυτούς· “Κυριε, σε παρακαλώ,

Γεν. 19,19 - ἐπειδὴ εὗρεν ὁ παῖς σου ἔλεος ἐναντίον σου καὶ ἐμεγάλυνας τὴν δικαιοσύνην σου, ὃ ποιεῖς ἐπ᾿ ἐμὲ τοῦ ζῆν τὴν ψυχήν μου, ἐγὼ δὲ οὐ δυνήσομαι διασωθῆναι εἰς τὸ ὄρος, μήποτε καταλάβῃ με τὰ κακὰ καὶ ἀποθάνω.

Γεν. 19,19 - αφού ο δούλος σου ευρήκεν έλεος απέναντί σου και έδειξες την μεγάλην σου καλωσύνην με το να ενδιαφερθής δια την ασφάλειαν της ζωής μου, εγώ δεν θα ημπορέσω και δεν θα προλάβω να φθάσω στο όρος εκείνο. Φοβούμαι, μήπως με προλάβουν αι επερχόμεναι τιμωρίαι και χάσω την ζωήν μου.

Γεν. 19,20 - ἰδοὺ ἡ πόλις αὕτη ἐγγὺς τοῦ καταφυγεῖν με ἐκεῖ, ἥ ἐστι μικρά, καὶ ἐκεῖ διασωθήσομαι· οὐ μικρά ἐστι; καὶ ζήσεται ἡ ψυχή μου ἕνεκέν σου.

Γεν. 19,20 - Ιδού η πόλις εκείνη ευρίσκεται κοντά· εκεί ημπορώ να καταφύγω. Μικρά δεν είναι αυτή η πόλις; Διατί να καταστροφή; Εάν μου κάμης αυτήν την χάριν, θα σωθή η ζωη μου από σέ”.

Γεν. 19,21 - καὶ εἶπεν αὐτῷ· ἰδοὺ ἐθαύμασά σου τὸ πρόσωπον καὶ ἐπὶ τῷ ῥήματι τούτῳ τοῦ μὴ καταστρέψαι τὴν πόλιν, περὶ ἧς ἐλάλησας·

Γεν. 19,21 - Είπεν εις αυτόν ο άγγελος· “ιδού· εθαύμααα εγώ την καρδίαν σου, εδέχθην την παράκλησίν σου και χάρις εις αυτήν δεν θα καταστρέψω την μικράν εκείνην πόλιν, δια την οποίαν με παρεκάλεσες.

Γεν. 19,22 - σπεῦσον οὖν τοῦ σωθῆναι ἐκεῖ· οὐ γὰρ δυνήσομαι ποιῆσαι πρᾶγμα, ἕως τοῦ ἐλθεῖν σε ἐκεῖ. διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως ἐκείνης Σηγώρ.

Γεν. 19,22 - Λοιπόν, σπεύσε εκεί να σωθής. Εγώ δεν θα αποστείλω την καταστροφήν, μέχρις ότου συ φθάσης εκεί” Δια τούτο εκάλεσε το όνομα της πόλεως εκείνης “Σηγώρ”.

Γεν. 19,23 - ὁ ἥλιος ἐξῆλθεν ἐπὶ τὴν γῆν, καὶ Λὼτ εἰσῆλθεν εἰς Σηγώρ,

Γεν. 19,23 - Ανέτειλεν ο ήλιος εις την χώραν εκείνην και ο Λωτ έφθασεν ασφαλής εις την Σηγώρ.

Γεν. 19,24 - καὶ Κύριος ἔβρεξεν ἐπὶ Σόδομα καὶ Γόμοῤῥα θεῖον, καὶ πῦρ παρὰ Κυρίου ἐξ οὐρανοῦ

Γεν. 19,24 - Και τότε ο Κυριος έβρεξεν επάνω εις τα Σοδομα και Γομορρα θειάφι και έρριψεν από τον ουρανόν φωτιά

Γεν. 19,25 - καὶ κατέστρεψε τὰς πόλεις ταύτας καὶ πᾶσαν τὴν περίχωρον καὶ πάντας τοὺς κατοικοῦντας ἐν ταῖς πόλεσι καὶ τὰ ἀνατέλλοντα ἐκ τῆς γῆς.

Γεν. 19,25 - και κατέστρεψεν αυτάς τας πόλεις και όλην την περίχωρον και όλους τους κατοίκους των πόλεων και κάθε τι, που εβλάστανεν εις την χώραν εκείνην.

Γεν. 19 ,26 - καὶ ἐπέβλεψεν ἡ γυνὴ αὐτοῦ εἰς τὰ ὀπίσω καὶ ἐγένετο στήλη ἁλός.

Γεν. 19,26 - Η σύζυγος του Λωτ, περίεργος καθώς ήτο και παρά την εντολήν του αγγέλου, έστρεψε την κεφαλήν εις τα οπίσω, δια να ίδη την καταστροφήν· και αμέσως έγινε στήλη άλατος.

Γεν. 19,27 - Ὤρθρισε δὲ Ἀβραὰμ τῷ πρωΐ εἰς τὸν τόπον, οὗ εἱστήκει ἐναντίον Κυρίου.

Γεν. 19,27 - Ο δε Αβραάμ εσηκώθη από τα χαράματα και μετέβη στον τόπον, όπου χθες είχε σταθή ενώπιον του Κυρίου.

Γεν. 19,28 - καὶ ἐπέβλεψεν ἐπὶ πρόσωπον Σοδόμων καὶ Γομόῤῥας καὶ ἐπὶ πρόσωπον τῆς περιχώρου καὶ εἶδε, καὶ ἰδοὺ ἀνέβαινε φλὸξ ἐκ τῆς γῆς, ὡσεὶ ἀτμὶς καμίνου.

Γεν. 19,28 - Προσήλωσε τα βλέμματά του εις τα Σοδομα και Γομορρα και εις την περιοχήν αυτών και είδε· και ιδού ανέβαινεν φλόγα από την γην, όπως βγαίνει ο καπνός από το καμίνι.

Γεν. 19,29 - καὶ ἐγένετο ἐν τῷ ἐκτρίψαι Κύριον πάσας τὰς πόλεις τῆς περιοίκου, ἐμνήσθη ὁ Θεὸς τοῦ Ἀβραὰμ καὶ ἐξαπέστειλε τὸν Λὼτ ἐκ μέσου τῆς καταστροφῆς, ἐν τῷ καταστρέψαι Κύριον τὰς πόλεις, ἐν αἷς κατῴκει ἐν αὐταῖς Λώτ.

Γεν. 19,29 - Οταν ο Θεός είχε πάρει την απόφασιν να καταστρέψη τας πόλεις της περιοχής εκείνης, ενδιεφέρθη δια τον Αβραάμ και απεμάκρυνε τον Λωτ από την φοβεράν εκείνην καταστροφήν, ότε κατέστρεψε τας πόλεις εις τας οποίας κατοικούσε ο Λωτ.

Γεν. 19,30 - Ἀνέβη δὲ Λὼτ ἐκ Σηγὼρ καὶ ἐκάθητο ἐν τῷ ὄρει αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ᾿ αὐτοῦ· ἐφοβήθη γὰρ κατοικῆσαι ἐν Σηγώρ. καὶ κατῴκησεν ἐν τῷ σπηλαίῳ, αὐτὸς καὶ αἱ δύο θυγατέρες αὐτοῦ μετ᾿ αὐτοῦ.

Γεν. 19,30 - Ο δε Λωτ ανέβη από την Σηγώρ και εκάθησεν στο όρος αυτός και αι δύο θυγατέρες μαζή του, διότι εφοβήθη να κατοικήση μέσα εις την Σηγώρ. Εμεινε δε στο σπήλαιον αυτός και αι δύο θυγατέρες μαζή του.

Γεν. 19,31 - εἶπε δὲ ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ὁ πατὴρ ἡμῶν πρεσβύτερος, καὶ οὐδείς ἐστιν ἐπὶ τῆς γῆς, ὃς εἰσελεύσεται πρὸς ἡμᾶς, ὡς καθήκει πάσῃ τῇ γῇ·

Γεν. 19,31 - Είπε δε η μεγαλυτέρα θυγάτηρ εις την μικροτέραν· “ο πατήρ μας είναι ηλικιωμένος και δεν υπάρχει κανείς εις την περιοχήν, που κατοικούμε, ο οποίος να μας νυμφευθή, όπως γίνεται εις όλην την οικουμένην.

Γεν. 19,32 - δεῦρο καὶ ποτίσωμεν τὸν πατέρα ἡμῶν οἶνον καὶ κοιμηθῶμεν μετ᾿ αὐτοῦ καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα.

Γεν. 19,32 - Ελα, λοιπόν, να δώσωμεν κρασί στον πατέρα μας, να κοιμηθώμεν μαζή του και να αποκτήσωμεν απογόνους από τον πατέρα μας”

Γεν. 19,33 - ἐπότισαν δὲ τὸν πατέρα αὐτῶν οἶνον ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἰσελθοῦσα ἡ πρεσβυτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὸν καὶ ἐν τῷ ἀναστῆναι.

Γεν. 19,33 - Επότισαν πράγματι τον πατέρα των κατά την νύκτα εκείνην με κρασί και η μεγαλυτέρα κόρη εισήλθεν στον κοιτώνα του πατρός της και

εκοιμήθη μαζή του κατά την νύκτα εκείνη. Αυτός δε δεν αντελήφθη τι έκαμεν ούτε όταν εκοιμήθη με την κόρην του ούτε και όταν εξύπνησε.

Γεν. 19,34 - ἐγένετο δὲ ἐν τῇ ἐπαύριον καὶ εἶπεν ἡ πρεσβυτέρα πρὸς τὴν νεωτέραν· ἰδοὺ ἐκοιμήθην χθὲς μετὰ τοῦ πατρὸς ἡμῶν· ποτίσωμεν αὐτὸν οἶνον καὶ ἐν τῇ νυκτὶ ταύτῃ, καὶ εἰσελθοῦσα κοιμήθητι μετ᾿ αὐτοῦ, καὶ ἐξαναστήσωμεν ἐκ τοῦ πατρὸς ἡμῶν σπέρμα.

Γεν. 19,34 - Κατά δε την άλλην ημέραν είπεν η μεγαλυτέρα προς την νεωτέραν· “ιδού χθες εκοιμήθην εγώ με τον πατέρα μας. Ας τον ποτίσωμεν κρασί και κατά την νύκτα αυτήν, και συ πήγαινε και κοιμήσου μαζή με αυτόν, ώστε να αποκτήσω μεν απογόνους από τον πατέρα μας”.

Γεν. 19,35 - ἐπότισαν δὲ καὶ ἐν τῇ νυκτὶ ἐκείνῃ τὸν πατέρα αὐτῶν οἶνον, καὶ εἰσελθοῦσα ἡ νεωτέρα ἐκοιμήθη μετὰ τοῦ πατρὸς αὐτῆς, καὶ οὐκ ᾔδει ἐν τῷ κοιμηθῆναι αὐτὸν καὶ ἀναστῆναι.

Γεν. 19,35 - Επότισαν πράγματι και κατά την νύκτα εκείνην τον πατέρα των οίνον, τον εμέθυσαν και εισελθούσα η νεωτέρα εκοιμήθη μαζή του. Εκείνος δε δεν αντελήφθη τίποτε ούτε όταν εκοιμήθη με την κόρην του ούτε και όταν εξύπνησε.

Γεν. 19,36 - καὶ συνέλαβον αἱ δύο θυγατέρες Λὼτ ἐκ τοῦ πατρὸς αὐτῶν.

Γεν. 19,36 - Συνέλαβον δε και αι δύο θυγατέρες από τον πατέρα των τον Λωτ.

Γεν. 19,37 - καὶ ἔτεκεν ἡ πρεσβυτέρα υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Μωὰβ λέγουσα· ἐκ τοῦ πατρός μου· οὗτος πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας.

Γεν. 19,37 - Εγέννησεν η μεγαλύτερα τέκνον και εκάλεσεν αυτό Μωάβ, λέγουσα· “Από τον πατέρα μου απέκτησα υιόν”. Αυτός έγινε γενάρχης των Μωαβιτών, οι οποίοι και ζουν μέχρι σήμερα.

Γεν. 19,38 - ἔτεκε δὲ καὶ ἡ νεωτέρα υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀμμάν, λέγουσα· υἱὸς γένους μου· οὗτος πατὴρ Ἀμμανιτῶν ἕως τῆς σήμερον ἡμέρας.

Γεν. 19,38 - Εγέννησε δε και η νεωτέρα θυγάτηρ υιόν και έδωσεν εις αυτόν το όνομα Αμμάν, το οποίον σημαίνει “αυτός είναι υιός εκ του γένους μου”. Αυτός είναι γενάρχης των Αμμανιτών έως σήμερον.

## ΓΕΝΕΣΙΣ 20

Γεν. 20,1 - Καὶ ἐκίνησεν ἐκεῖθεν Ἀβραὰμ εἰ γῆν πρὸς λίβα καὶ ᾤκησεν ἀνὰ μέσον Κάδης καὶ ἀνὰ μέσον Σούρ. καὶ παρῴκησεν ἐν Γεράροις.

Γεν. 20,1 - Από την Βαιθήλ εξεκίνησεν ο Αβραάμ προς, Νοτον και κατεσκήνωσε μεταξύ Καδης και της ερήμου Σούρ. Από εκεί εγκατεστάθη προσωρινώς εις Γέραρα.

Γεν. 20,2 - εἶπε δὲ Ἀβραὰμ περὶ Σάῤῥας τῆς γυναικὸς αὐτοῦ, ὅτι ἀδελφή μου ἐστίν· ἐφοβήθη γὰρ εἰπεῖν ὅτι γυνή μου ἐστί, μή ποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως δι᾿ αὐτήν. ἀπέστειλε δὲ Ἀβιμέλεχ, βασιλεὺς Γεράρων, καὶ ἔλαβε τὴν Σάῤῥαν.

Γεν. 20,2 - Είπε δε ο Αβραάμ περί της γυναικός του της Σαρρας προς τους κατοίκους της περιοχής ότι είναι αδελφή του. Εφοβήθη να είπη ότι είναι σύζυγός του, μήπως τυχόν και εξ αιτίας της τον φονεύσουν οι άνδρες της πόλεως εκείνης. Ο δε βασιλεύς των Γεράρων, ο Αβιμέλεχ, έστειλεν ανθρώπους και έλαβε την Σαρραν, δια να την έχη ως συζυγόν του.

Γεν. 20,3 - καὶ εἰσῆλθεν ὁ Θεὸς πρὸς Ἀβιμέλεχ ἐν ὕπνῳ τὴν νύκτα καὶ εἶπεν· ἰδοὺ σὺ ἀποθνήσκεις περὶ τῆς γυναικός, ἧς ἔλαβες, αὕτη δέ ἐστι συνῳκηυῖα ἀνδρί.

Γεν. 20,3 - Ο Θεός όμως παρουσιάσθη στον Αβιμέλεχ κατά την νύκτα στο όνειρόν του και του είπε· “ιδού συ αποθνήσκεις εξ αιτίας της γυναικός, την οποίαν έλαβες, διότι αυτή είναι σύζυγος άλλου ανδρός, του Αβραάμ”.

Γεν. 20,4 - Ἀβιμέλεχ δὲ οὐχ ἥψατο αὐτῆς καὶ εἶπε· Κύριε, ἔθνος ἀγνοοῦν καὶ δίκαιον ἀπολεῖς;

Γεν. 20,4 - Ο Αβιμέλεχ δεν ήγγισεν αυτήν και είπε· “Κυριε, θα τιμωρήσης με θάνατον δικαίους ανθρώπους εξ αιτίας της αγνοίας των;

Γεν. 20,5 - οὐκ αὐτός μοι εἶπεν, ἀδελφή μου ἐστί; καὶ αὕτη μοι εἶπεν, ἀδελφός μου ἐστίν; ἐν καθαρᾷ καρδίᾳ καὶ ἐν δικαιοσύνῃ χειρῶν ἐποίησα τοῦτο.

Γεν. 20,5 - Δεν μου είπεν ο ίδιος ο Αβραάμ ότι η Σαρρα είναι αδελφή του; Και αυτή δεν μου είπεν ότι εκείνος είναι αδελφός της; Επομένως εγώ με καθαράν καρδίαν και με δικαίας τας χείρας ηθέλησα να λάβω αυτήν ως σύζυγον”.

Γεν. 20,6 - εἶπε δὲ αὐτῷ ὁ Θεὸς καθ᾿ ὕπνον· κἀγὼ ἔγνων ὅτι ἐν καθαρᾷ καρδίᾳ ἐποίησας τοῦτο, καὶ ἐφεισάμην σου τοῦ μὴ ἁμαρτεῖν σε εἰς ἐμέ· ἕνεκα τούτου οὐκ ἀφῆκά σε ἅψασθαι αὐτῆς.

Γεν. 20,6 - Είπε δε ο Θεός προς αυτόν κατά τον ύπνον του· “και εγώ κατενόησα ότι με καθαράν καρδίαν έκαμες αυτό, σε ελυπήθηκα και σε επρόλαβα, ώστε να μη αμαρτήσης ενώπιόν μου. Δια τούτο και δεν σε αφήκα να εγγίσης την Σαρραν.

Γεν. 20,7 - νῦν δὲ ἀπόδος τὴν γυναῖκα τῷ ἀνθρώπῳ, ὅτι προφήτης ἐστὶ καὶ προσεύξεται περὶ σοῦ καὶ ζήσῃ· εἰ δὲ μὴ ἀποδίδως, γνώσῃ ὅτι ἀποθανῇ σὺ καὶ πάντα τὰ σά.

Γεν. 20,7 - Και τώρα απόδωσε την γυναίκα στον σύζυγόν της τον Αβραάμ, διότι είναι προφήτης και θα προσευχηθή υπέρ σου και θα σου χαρισθή η ζωη. Εάν δε τυχόν και δεν την επιστρέψης εις αυτόν, μάθε ότι θα αποθάνης και συ και όλοι οι ιδικοί σου”.

Γεν. 20,8 - καὶ ὤρθρισεν Ἀβιμέλεχ τῷ πρωΐ καὶ ἐκάλεσε πάντας τοὺς παῖδας αὐτοῦ καὶ ἐλάλησε πάντα τὰ ῥήματα ταῦτα εἰς τὰ ὦτα αὐτῶν, ἐφοβήθησαν δὲ πάντες οἱ ἄνθρωποι σφόδρα.

Γεν. 20,8 - Ταραγμένος ο Αβιμέλεχ εσηκώθη πολύ πρωϊ, εκάλεσεν όλους τους δούλους του, ανεκοίνωσεν εις αυτούς όλα όσα του είπεν ο Θεός και όλοι οι άνθρωποι κατελήφθησαν από φόβον μεγάλον.

Γεν. 20,9 - καὶ ἐκάλεσεν Ἀβιμέλεχ τὸν Ἁβραάμ, καὶ εἶπεν αὐτῷ· τί τοῦτο ἐποίησας ἡμῖν; μήτι ἡμάρτομεν εἰς σέ, ὅτι ἐπήγαγες ἐπ᾿ ἐμὲ καὶ ἐπὶ τὴν βασιλείαν μου ἁμαρτίαν μεγάλην; ἔργον, ὃ οὐδεὶς ποιήσει, πεποίηκάς μοι.

Γεν. 20,9 - Εκάλεσε δε τον Αβραάμ και του είπε· “τι είναι αυτό που μας έκαμες; Μηπως επταίσαμεν εις κάτι απέναντί σου και ηθέλησες να φέρης επάνω εις την κεφαλήν μου και εις την βασιλείαν μου αμαρτίαν και ενοχήν μεγάλην; Εκαμες απέναντί μου έργον, το οποίον κανείς ποτέ δεν επιτρέπεται να κάμη”.

Γεν. 20,10 - εἶπε δὲ Ἀβιμέλεχ τῷ Ἁβραάμ· τί ἐνιδὼν ἐποίησας τοῦτο;

Γεν. 20,10 - Είπε δε ακόμη ο Αβιμέλεχ στον Αβραάμ· “εις τι αποβλέπων έκαμες τούτο;”

Γεν. 20,11 - εἶπε δὲ Ἁβραάμ· εἶπα γάρ, ἄρα οὐκ ἔστι θεοσέβεια ἐν τῷ τόπῳ τούτῳ, ἐμέ τε ἀποκτενοῦσιν ἕνεκεν τῆς γυναικός μου.

Γεν. 20,11 - Απήντησεν ο Αβραάμ· “το έκαμα, διότι είπα· Δεν υπάρχει ευσέβεια και φόβος Θεού στον τόπον αυτόν. Θα με φονεύσουν ένεκα της γυναικός δια να πάρουν αυτήν ως σύζυγόν των.

Γεν. 20,12 - καὶ γὰρ ἀληθῶς ἀδελφή μου ἐστὶν ἐκ πατρός, ἀλλ᾿ οὐκ ἐκ μητρός· ἐγενήθη δέ μοι εἰς γυναῖκα.

Γεν. 20,12 - Αλλωστε είναι πράγματι αδελφή μου εκ πατρός αλλ' όχι εκ μητρός. Δι' αυτό και την επήρα ως σύζυγόν μου.

Γεν. 20,13 - ἐγένετο δέ, ἡνίκα ἐξήγαγέ με ὁ Θεὸς ἐκ τοῦ οἴκου τοῦ πατρός μου, καὶ εἶπα αὐτῇ· ταύτην τὴν δικαιοσύνην ποιήσεις εἰς ἐμέ, εἰς πάντα τόπον οὗ ἐὰν εἰσέλθωμεν ἐκεῖ, εἰπὸν ἐμέ, ὅτι ἀδελφός μου ἐστίν.

Γεν. 20,13 - Οταν δε ο Θεός με διέταξε να φύγω από τον πατρικόν μου οίκον, είπα εις αυτήν· Αυτήν την δικαίαν αξίωσα έχω από σέ· εις κάθε τόπον, όπου θα εισερχώμεθα να λέγης δι' εμέ ότι είμαι αδελφός σου”.

Γεν. 20,14 - ἔλαβε δὲ Ἀβιμέλεχ χίλια δίδραχμα καὶ πρόβατα καὶ μόσχους καὶ παῖδας καὶ παιδίσκας καὶ ἔδωκε τῷ Ἁβραὰμ καὶ ἀπέδωκεν αὐτῷ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ.

Γεν. 20,14 - Επήρεν ο Αβιμέλεχ χίλια δίδραχμα και πρόβατα και μοσχάρια και δούλους και δούλας και έδωσεν αυτά ως δώρα στον Αβραάμ. Επέστρεψε δε εις αυτόν και την Σαρραν την σύζυγόν του.

Γεν. 20,15 - καὶ εἶπεν Ἀβιμέλεχ τῷ Ἁβραάμ· ἰδοὺ ἡ γῆ μου ἐναντίον σου· οὗ ἐάν σοι ἀρέσκῃ, κατοίκει.

Γεν. 20,15 - Είπεν ακόμη ο Αβιμέλεχ στον Αβραάμ· “ιδού η χώρα μου είναι ενώπιόν σου. Οπου σου αρέσει, είσαι ελεύθερος να κατοικής”.

Γεν. 20,16 - τῇ δὲ Σάῤῥᾳ εἶπεν· ἰδοὺ δέδωκα χίλια δίδραχμα τῷ ἀδελφῷ σου· ταῦτα ἔσται σοι εἰς τὴν τιμὴ τοῦ προσώπου σου καὶ πάσαις ταῖς μετὰ σοῦ· καὶ πάντα ἀλήθευσον.

Γεν. 20,16 - Εις δε την Σαρραν είπεν· “ιδού έδωσα χίλια δίδραχμα στον αδελφόν σου. Αυτά είναι το αντίτιμον δια την εντροπήν, την οποίαν εδοκίμασες συ και αι ακόλουθοί σου εξ αιτίας μου. Αλλά στο εξής να λέγης την αλήθειαν πάντοτε”.

Γεν. 20,17 - προσηύξατο δὲ Ἀβραὰμ πρὸς τὸν Θεόν, καὶ ἰάσατο ὁ Θεὸς τὸν Ἀβιμέλεχ καὶ τὴν γυναῖκα αὐτοῦ καὶ τὰς παιδίσκας αὐτοῦ, καὶ ἔτεκον·

Γεν. 20,17 - Επειδή δε η οικογένεια του Αβιμέλεχ είχε προσβληθή από δυστοκίαν, προσηυχήθη ο Αβραάμ προς τον Θεόν, και εθεράπευσεν ο Θεός τον Αβιμέλεχ και την γυναίκα αυτού και τας δούλας αυτού από την δυστοκίαν και εγεννούσαν χωρίς δυσκολίαν.

Γεν. 20,18 - ὅτι συγκλείων συνέκλεισε Κύριος ἔξωθεν πᾶσαν μήτραν ἐν τῷ οἴκῳ Ἀβιμέλεχ, ἕνεκεν Σάῤῥας τῆς γυναικὸς Ἀβραάμ.

Γεν. 20,18 - Διότι ο Θεός είχε κλείσει απολύτως πάσαν μήτραν προς τοκετόν στον οίκον του Αβιμέλεχ εξ αιτίας της Σαρρας της γυναικός Αβραάμ, την οποίαν εκείνος ηθέλησεν ως σύζυγόν του.

## ΓΕΝΕΣΙΣ 21

Γεν. 21,1 - Καὶ Κύριος ἐπεσκέψατο τὴν Σάῤῥαν, καθὰ εἶπε, καὶ ἐποίησε Κύριος τῇ Σάῤῥᾳ καθὰ ἐλάλησε,

Γεν. 21,1 - Ο πανάγαθος Κυριος επεσκέφθη εν τη αγαθότητι αυτού την Σαρραν, καθώς είχεν είπει, και εξεπλήρωσε την υπόσχεσίν του προς αυτήν.

Γεν. 21,2 - καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἀβραὰμ υἱὸν εἰς τὸ γῆρας, εἰς τὸν καιρόν, καθὰ ἐλάλησεν αὐτῷ Κύριος.

Γεν. 21,2 - Και η Σαρρα κατέστη έγκυος και εγέννησεν στον Αβραάμ υιόν κατά τον καιρόν, που είχεν υποσχεθή εις αυτόν ο Θεός.

Γεν. 21,3 - καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ υἱοῦ αὐτοῦ τοῦ γενομένου αὐτῷ, ὃν ἔτεκεν αὐτῷ Σάῤῥα, Ἰσαάκ.

Γεν. 21,3 - Ωνόμασε δε ο Αβραάμ τον υιόν του αυτόν, τον οποίον του εγέννησεν η Σαρρα, Ισαάκ.

Γεν. 21,4 - περιέτεμε δὲ Ἀβραὰμ τὸν Ἰσαὰκ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, καθὰ ἐνετείλατο αὐτῷ ὁ Θεός.

Γεν. 21,4 - Τον περιέταμε δε κατά την ογδόην ημέραν από της γεννήσεώς του σύμφωνα με την εντολήν, που είχε δώσει εις αυτόν ο Θεός.

Γεν. 21,5 - καὶ Ἀβραὰμ ἦν ἑκατὸν ἐτῶν, ἡνίκα ἐγένετο αὐτῷ Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.

Γεν. 21,5 - Οταν δε απέκτησεν ο Αβραάμ τον υιόν του τον Ισαάκ, ήτο ηλικίας εκατόν ετών.

Γεν. 21,6 - εἶπε δὲ Σάῤῥα· γέλωτά μοι ἐποίησε Κύριος· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι.

Γεν. 21,6 - Γεμάτη δε χαράν η Σαρρα είπε· “χαρά και γέλοιο μου έδωσεν ο Κυριος. Και όποιος ακόμη ακούση το γεγονός αυτό, ασφαλώς θα χαρή μαζή με εμέ.

Γεν. 21,7 - καὶ εἶπε· τίς ἀναγγελεῖ τῷ Ἀβραάμ, ὅτι θηλάζει παιδίον Σάῤῥα; ὅτι ἔτεκον υἱὸν ἐν τῷ γήρᾳ μου.

Γεν. 21,7 - Ποιός τώρα θα αναγγείλη στον Αβραάμ, ότι θηλάζει η Σαρρα παιδίον; Οτι εγέννησα τέκνον εις τα γεράματά μου;”

Γεν. 21,8 - Καὶ ηὐξήθη τὸ παιδίον καὶ ἀπεγαλακτίσθη, καὶ ἐποίησεν Ἀβραὰμ δοχὴν μεγάλην, ᾗ ἡμέρᾳ ἀπεγαλακτίσθη Ἰσαὰκ ὁ υἱὸς αὐτοῦ.

Γεν. 21,8 - Το παιδίον εμεγάλωσε και εις ηλικίαν δύο περίπου ετών απεγαλακτίσθη. Κατά δε την ημέραν του απογαλακτισμού του ωργάνωσεν ο Αβραάμ εορτήν και παρέθεσε συμπάσιον, σύμφωνα με τα έθιμα της εποχής εκείνης.

Γεν. 21,9 - ἰδοῦσα δὲ Σάῤῥα τὸν υἱὸν Ἄγαρ τῆς Αἰγυπτίας, ὃς ἐγένετο τῷ Ἀβραάμ, παίζοντα μετὰ Ἰσαὰκ τοῦ υἱοῦ αὐτῆς·

Γεν. 21,9 - Η Σαρρα όμως, όταν είδε το παιδί της τον Ισαάκ να παίζη με τον Ισμαήλ, το παιδί του Αβραάμ και της Αγαρ της Αιγυπτίας, εστενοχωρήθη. Εθεώρησε το γεγονός υποτιμητικόν δια το παιδί της, τον “υιόν της επαγγελίας”.

Γεν. 21,10 - καὶ εἶπε τῷ Ἀβραάμ· ἔκβαλε τὴν παιδίσκην ταύτην καὶ τὸν υἱὸν αὐτῆς· οὐ γὰρ μὴ κληρονομήσει ὁ υἱὸς τῆς παιδίσκης ταύτης μετὰ τοῦ υἱοῦ μου Ἰσαάκ.

Γεν. 21,10 - Και είπεν στον Αβραάμ· “διώξε αυτήν την δούλην και το παιδί της μαζή με αυτήν. Διότι κατ' ουδένα τρόπον και λόγον δεν πρέπει ο υιός αυτής της δούλης να κληρονομήση μαζή με το παιδί μου τον Ισαάκ”.

Γεν. 21,11 - σκληρὸν δὲ ἐφάνη τὸ ῥῆμα σφόδρα ἐναντίον Ἀβραὰμ περὶ τοῦ υἱοῦ αὐτοῦ.

Γεν. 21,11 - Βαρύς πολύ και οδυνηρός εφάνη στον Αβραάμ ο λόγος αυτός της Σαρρας δια τον υιόν του τον Ισμαήλ.

Γεν. 21,12 - εἶπε δὲ ὁ Θεὸς τῷ Ἀβραάμ· μὴ σκληρὸν ἔστω ἐναντίον σου περὶ τοῦ παιδίου καὶ περὶ τῆς παιδίσκης· πάντα ἂν ὅσα εἴπῃ σοι Σάῤῥα, ἄκουε τῆς φωνῆς αὐτῆς, ὅτι ἐν Ἰσαὰκ κληθήσεταί σοι σπέρμα.

Γεν. 21,12 - Είπεν όμως ο Θεός στον Αβραάμ· “μη θεωρής τον λόγον αυτόν της Σαρρας εναντίον του παιδιού σου και της δούλης σου ως σκληρόν.

Τουναντίον όσα θα σου είπη η Σαρρα να τα ακούσης, διότι σύμφωνα με την ιδικήν μου δούλην οι απόγονοι του Ισαάκ θα αναγνωρισθούν κυρίως ως απόγονοι ιδικοί σου.

Γεν. 21,13 - καὶ τὸν υἱὸν δὲ τῆς παιδίσκης ταύτης εἰς ἔθνος μέγα ποιήσω αὐτόν, ὅτι σπέρμα σόν ἐστιν.

Γεν. 21,13 - Ως προς δε τον υιόν της δούλης σου θα φροντίσω εγώ. Θα τον αναδείξω γενάρχην μεγάλου λαού, διότι είναι και αυτός ιδικόν σου τέκνον".

Γεν. 21,14 - ἀνέστη δὲ Ἀβραὰμ τὸ πρωΐ καὶ ἔλαβεν ἄρτους καὶ ἀσκὸν ὕδατος καὶ ἔδωκε τῇ Ἄγαρ καὶ ἐπέθηκεν ἐπὶ τῶν ὤμων αὐτῆς τὸ παιδίον καὶ ἀπέστειλεν αὐτήν. ἀπελθοῦσα δὲ ἐπλανᾶτο κατὰ τὴν ἔρημον, κατὰ τὸ φρέαρ τοῦ ὅρκου.

Γεν. 21,14 - Επειτα από την εντολήν αυτήν του Θεού ηγέρθη ο Αβραάμ το πρωϊ, επήρεν άρτους και ένα ασκόν γεμάτον νερό, έδωκεν αυτά εις την Αγαρ, έβαλε το παιδί της στους ώμους της και την απεμάκρυνεν από την κατασκήνωσιν εκείνην. Η δε Αγαρ αναχωρήσασα περιεπλανάτο εις την έρημον περιοχήν, νοτίως της Χαναάν, εκεί όπου υπήρχε το φρέαρ του όρκου.

Γεν. 21,15 - ἐξέλιπε δὲ τὸ ὕδωρ ἐκ τοῦ ἀσκοῦ, καὶ ἔῤῥιψε τὸ παιδίον ὑποκάτω μιᾶς ἐλάτης.

Γεν. 21,15 - Κατά την πολύωρον πεζοπορίαν της εξηντλήθη το ύδωρ του ασκού, τους εβασάνιζεν η δίψα και αυτή έρριψε το παιδίον κάτω από ένα ελάτον, δια να αποθάνη εκεί.

Γεν. 21,16 - ἀπελθοῦσα δὲ ἐκάθητο ἀπέναντι αὐτοῦ μακρόθεν ὡσεὶ τόξου βολήν· εἶπε γάρ, οὐ μὴ ἴδω τὸν θάνατον τοῦ παιδίου μου. καὶ ἐκάθισεν ἀπέναντι αὐτοῦ, ἀναβοῆσαν δὲ τὸ παιδίον ἔκλαυσεν.

Γεν. 21,16 - Απομακρυνθείσα δε από εκεί εκάθησαν απέναντι αυτού μακράν, όσον ημπορεί να ρίψη κανείς με το τόξον του ένα βέλος· διότι είπε· "δεν αντέχω να ίδω τον θάνατον του παιδιού μου". Εκάθησε λοιπόν απέναντί του. Το δε παιδίον εφώναξε και έκλαυσε.

Γεν. 21,17 - εἰσήκουσε δὲ ὁ Θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου, οὗ ἦν, καὶ ἐκάλεσεν ἄγγελος Θεοῦ τὴν Ἄγαρ ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν αὐτῇ· τί ἐστιν Ἄγαρ; μὴ φοβοῦ· ἐπακήκοε γὰρ ὁ Θεὸς τῆς φωνῆς τοῦ παιδίου ἐκ τοῦ τόπου, οὗ ἐστιν.

Γεν. 21,17 - Ο Θεός ήκουσε το γοερόν κλάμα του παιδιού από τον τόπον, όπου αυτό ευρίσκετο, και άγγελος από τον ουρανόν εκάλεσε την Αγαρ και της είπε· "Αγαρ, τι συμβαίνει; Μη φοβήσαι· εισήκουσεν ο Θεός την φωνήν του παιδιού, το οποίον ευρίσκεται σαν πεταμένο στον τόπον αυτόν.

Γεν. 21,18 - ἀνάστηθι καὶ λαβὲ τὸ παιδίον καὶ κράτησον τῇ χειρί σου αὐτό· εἰς γὰρ ἔθνος μέγα ποιήσω αὐτό.

Γεν. 21,18 - Σηκω, πάρε το παιδί σου και κράτησέ το με στοργήν και εμπιστοσύνην από το χέρι, διότι εγώ θα το αναδείξω γενάρχην έθνους”.

Γεν. 21,19 - καὶ ἀνέῳξεν ὁ Θεὸς τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ εἶδε φρέαρ ὕδατος ζῶντος καὶ ἐπορεύθη καὶ ἔπλησε τὸν ἀσκὸν ὕδατος καὶ ἐπότισε τὸ παιδίον.

Γεν. 21,19 - Και αμέσως ο Θεός ήνοιξε τα μάτια της Αγαρ και είδεν αυτή εκεί πλησίον πηγήν, που ανέβλυζε δροσερόν ύδωρ. Επήγεν εκεί, εγέμισε τον ασκόν με νερό και επότισε το παιδί της.

Γεν. 21,20 - καὶ ἦν ὁ Θεὸς μετὰ τοῦ παιδίου, καὶ ηὐξήθη. καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ, ἐγένετο δὲ τοξότης.

Γεν. 21,20 - Ο δε Θεός ήτο συμπαραστάτης και βοηθός του παιδιού, το οποίον εμεγάλωσεν, εγκατεστάθη εις την έρημον αυτήν και έγινε τοξότης.

Γεν. 21,21 - καὶ κατῴκησεν ἐν τῇ ἐρήμῳ τῇ Φαράν, καὶ ἔλαβεν αὐτῷ ἡ μήτηρ γυναῖκα ἐκ γῆς Αἰγύπτου.

Γεν. 21,21 - Εγκατεστάθη εις την έρημον, η οποία λέγεται Φαράν. Η δε μητέρα του εδιάλεξε δι' αυτόν γυναίκα από την Αίγυπτον, την οποίαν και του έδωσεν ως σύζυγον.

Γεν. 21,22 - Ἐγένετο δὲ ἐν τῷ καιρῷ ἐκείνῳ καὶ εἶπεν Ἀβιμέλεχ καὶ Ὁχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ Φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ πρὸς Ἁβραὰμ λέγων· ὁ Θεὸς μετὰ σοῦ ἐν πᾶσιν, οἷς ἐὰν ποιῇς·

Γεν. 21,22 - Κατά την εποχήν εκείνην ο Αβιμέλεχ συνοδευόμενος από τον νυμφαγωγόν του Οχοζάθ και τον αρχιστράτηγον της στρατιάς του Φιχόλ, επεσκέφθη τον Αβραάμ και του είπε· “γνωρίζω ότι ο Θεός είναι μαζή σου και ευλογεί κάθε τι που κάμνεις.

Γεν. 21,23 - νῦν οὖν ὄμοσόν μοι τὸν Θεόν, μὴ ἀδικήσειν με μηδὲ τὸ σπέρμα μου, μηδὲ τὸ ὄνομά μου· ἀλλὰ κατὰ τὴν δικαιοσύνην, ἣν ἐποίησα μετὰ σοῦ, ποιήσεις μετ᾿ ἐμοῦ, καὶ τῇ γῇ, ᾗ σὺ παρῴκησας ἐν αὐτῇ.

Γεν. 21,23 - Τωρα λοιπόν ορκίσου μου στον Θεόν, ότι δεν θα κάμης ποτέ τίποτε κακόν και άδικον ούτε εναντίον μου ούτε εναντίον των απογόνων μου ούτε εις βάρος του καλού ονόματός μου. Αλλά, όπως εγώ εφάνηκα δίκαιος και καλός απέναντί σου, κατά παρόμοιον τρόπον και συ θα φανής καλός προς εμέ και προς την χώραν αυτήν, όπου προσωρινώς έμεινες”.

Γεν. 21,24 - καὶ εἶπεν Ἁβραάμ· ἐγὼ ὀμοῦμαι.

Γεν. 21,24 - Ο δε Αβραάμ είπε· “ναι, εγώ ορκίζομαι ότι δέχομαι την πρότασίν σου και θα φερθώ, όπως μου ζητείς”.

Γεν. 21,25 - καὶ ἤλεγξεν Ἁβραὰμ τὸν Ἀβιμέλεχ περὶ τῶν φρεάτων τοῦ ὕδατος, ὧν ἀφείλοντο οἱ παῖδες τοῦ Ἀβιμέλεχ.

Γεν. 21,25 - Με την ευκαιρίαν δε της συναντήσεως αυτής ο Αβραάμ παρεπονέθη προς τον Αβιμέλεχ δια τα φρέατα, τα οποία, ενώ τα είχεν ανοίξει ο Αβραάμ, τα ήρπασαν οι υπηρέται του Αβιμέλεχ.

Γεν. 21,,26 - καὶ εἶπεν αὐτῷ Ἀβιμέλεχ· οὐκ ἔγνων τίς ἐποίησέ σοι τὸ ῥῆμα τοῦτο, οὐδὲ σύ μοι ἀπήγγειλας, οὐδὲ ἐγὼ ἤκουσα, ἀλλ᾿ ἢ σήμερον.

Γεν. 21,26 - Απήντησεν ο Αβιμέλεχ στον Αβραάμ και είπε· "δεν επληροφορήθην ποιός έκαμε την κακήν αυτήν πράξιν· ούτε συ μου έκαμες λόγον δι' αυτήν ούτε εγώ από κανένα άλλον ήκουσα. Πρώτην φοράν την πληροφορούμαι σήμερον". Και διέταξε να αποδοθούν τα φρέατα στον Αβραάμ.

Γεν. 21,27 - καὶ ἔλαβεν Ἀβραὰμ πρόβατα καὶ μόσχους, καὶ ἔδωκε τῷ Ἀβιμέλεχ, καὶ διέθεντο ἀμφότεροι διαθήκην.

Γεν. 21,27 - Επήρε τότε ο Αβραάμ από τα ποίμνιά του πρόβατα και μοσχάρια και τα έδωσεν ως δώρον αγάπης στον Αβιμέλεχ. Οι δύο των δε κατά την ημέραν εκείνην συνήψαν σύμφωνον αμοιβαίας φιλίας.

Γεν. 21,28 - καὶ ἔστησεν Ἀβραὰμ ἑπτὰ ἀμνάδας προβάτων μόνας.

Γεν. 21,28 - Ο Αβραάμ εν συνεχεία εξεχώρισεν επτά αμνάδας ιδιαιτέρως δια τον Αβιμέλεχ.

Γεν. 21,29 - καὶ εἶπεν Ἀβιμέλεχ τῷ Ἀβραάμ· τί εἰσιν αἱ ἑπτὰ ἀμνάδες τῶν προβάτων τούτων, ἃς ἔστησας μόνας;

Γεν. 21,29 - Ο Αβιμέλεχ τον ηρώτησε· "τι σημαίνουν τα επτά αυτά θηλυκά αρνιά τα οποία εξεχώρισες ιδιαιτέρως;"

Γεν. 21,30 - καὶ εἶπεν Ἀβραάμ, ὅτι τὰς ἑπτὰ ἀμνάδας λήψῃ παρ᾿ ἐμοῦ, ἵνα ὦσί μοι εἰς μαρτύριον, ὅτι ἐγὼ ὤρυξα τὸ φρέαρ τοῦτο.

Γεν. 21,30 - Ο Αβραάμ τότε του είπε· "τας επτά αυτάς αμνάδας θα τας πάρης εκ μέρους μου, δια να είναι μάρτυρες και να σου υπενθυμίζουν ότι εγώ ήνοιξα τούτο το φρέαρ".

Γεν. 21,31 - διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Φρέαρ ὁρκισμοῦ, ὅτι ἐκεῖ ὤμοσαν ἀμφότεροι.

Γεν. 21,31 - Εξ αιτίας δε αυτού του γεγονότος ωνόμασεν ο Αβραάμ τον τόπον εκείνον Βηρσαβεέ δηλαδή "Φρέαρ του όρκου", επειδή εκεί ωρκίσθησαν οι δύο των.

Γεν. 21,32 - καὶ διέθεντο διαθήκην ἐν τῷ φρέατι τοῦ ὁρκισμοῦ. ἀνέστη δὲ Ἀβιμέλεχ καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ Φιχὸλ ὁ ἀρχιστάτητος τῆς δυνάμεως αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς τὴν γῆν τῶν Φυλιστιείμ.

Γεν. 21,32 - Εκλεισαν συμφωνίαν μεταξύ των εκεί στο φρέαρ του όρκου. Επειτα από αυτά ηγέρθησαν ο Αβιμέλεχ, ο νυμφαγωγός του Οχοζάθ, ο αρχιστράτηγος των δυνάμεών του Φιχόλ και επανήλθον εις την χώραν των Φιλισταίων.

Γεν. 21,33 - καὶ ἐφύτευσεν Ἀβραὰμ ἄρουραν ἐπὶ τῷ φρέατι τοῦ ὅρκου καὶ ἐπεκαλέσατο ἐκεῖ τὸ ὄνομα Κυρίου, Θεὸς αἰώνιος.

Γεν. 21,33 - Ο Αβραάμ, εις πιστοποίησιν και ανάμνησιν, εφύτευσε δένδρα στον αγρόν πλησίον του φρέατος του όρκου και επεκαλέσθη εκεί το όνομα Κυρίου, "Θεός αιώνιος".

Γεν. 21,34 - παρῴκησε δὲ Ἀβραὰμ ἐν τῇ γῇ τῶν Φυλιστιεὶμ ἡμέρας πολλάς.

Γεν. 21,34 - Κατώκησε δε εις την χώραν αυτήν των Φιλισταίων ο Αβραάμ επί αρκετόν χρόνον.

## ΓΕΝΕΣΙΣ 22

Γεν. 22,1 - Καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα ὁ Θεός ἐπείρασε τὸν Ἀβραὰμ καὶ εἶπεν αὐτῷ· Ἀβραάμ, Ἀβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ.

Γεν. 22,1 - Επειτα από τα γεγονότα αυτά, υπέβαλεν ο Θεός εις δοκιμασίαν τον Αβραάμ και του είπεν· “Αβραάμ, Αβραάμ” ! Εκείνος απήντησε· “ιδού εγώ, Κυριε, είμαι παρών”.

Γεν. 22,2 - καὶ εἶπε· λαβὲ τὸν υἱόν σου τὸν ἀγαπητόν, ὃν ἠγάπησας, τὸν Ἰσαάκ, καὶ πορεύθητι εἰς τὴν γῆν τὴν ὑψηλὴν καὶ ἀνένεγκον αὐτὸν ἐκεῖ εἰς ὁλοκάρπωσιν ἐφ᾿ ἓν τῶν ὀρέων, ὧν ἄν σοι εἴπω.

Γεν. 22,2 - Του είπε δε ο Θεός· “πάρε το παιδί σου το αγαπημένο, τον Ισαάκ, τον οποίον τόσον πολύ ένεις αγαπήσει, πήγαινε μαζή με αυτόν εις την υψηλήν περιοχήν και πρόσφερέ τον ολοκαύτωμα επάνω εις ένα από τους λόφους εκείνους που εγώ θα σου είπω”.

Γεν. 22,3 - ἀναστὰς δὲ Ἀβραὰμ τὸ πρωΐ ἐπέσαξε τὴν ὄνον αὐτοῦ· παρέλαβε δὲ μεθ᾿ ἑαυτοῦ δύο παῖδας καὶ Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ καὶ σχίσας ξύλα εἰς ὁλοκάρπωσιν, ἀναστὰς ἐπορεύθη καὶ ἦλθεν ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός, τῇ ἡμέρᾳ τῇ τρίτῃ.

Γεν. 22,3 - Πειθαρχικός ο Αβραάμ εις την φωνήν του Κυρίου, εσηκώθη αμέσως το πρωϊ, εσαμάρωσε την όνον του, παρέλαβε μαζή του τον υιόν του τον Ισαάκ και δύο δούλους, έσχισε και εφόρτωσε ξύλα δια την θυσίαν του ολοκαυτώματος, εξεκίνησεν από εκεί όπου ευρίσκετο, και κατά την τρίτην ημέραν έφθασεν στον τόπον, τον οποίον του είχεν ορίσει ο Θεός.

Γεν. 22,4 - καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ, εἶδε τὸν τόπον μακρόθεν.

Γεν. 22,4 - Πριν δε φθάση εις αυτόν εσήκωσε τα μάτια του και είδε από μακρυά τον καθωρισμένον δια την θυσίαν του υιού του τόπον.

Γεν. 22,5 - καὶ εἶπεν Ἀβραὰμ τοῖς παισὶν αὐτοῦ· καθίσατε αὐτοῦ μετὰ τῆς ὄνου, ἐγὼ δὲ καὶ τὸ παιδάριον διελευσόμεθα ἕως ὧδε καὶ προσκυνήσαντες ἀναστρέψομεν πρὸς ὑμᾶς.

Γεν. 22,5 - Είπε δε στους δούλους του· “σεις καθήστε εδώ με την όνον. Εγώ δε και το παιδί μου θα πορευθώμεν έως εκεί και αφού προσκυνήσωμεν τον Κυριον θα επανέλθωμεν”.

Γεν. 22,6 - ἔλαβε δὲ Ἀβραὰμ τὰ ξύλα τῆς ὁλοκαρπώσεως καὶ ἐπέθηκεν Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· ἔλαβε δὲ μετὰ χεῖρας καὶ τὸ πῦρ καὶ τὴν μάχαιραν,

καὶ ἐπορεύθησαν οἱ δύο ἅμα.

Γεν. 22,6 - Επήρεν ο Αβραάμ τα ξύλα δια την ολοκαύτωσιν και τα εφόρτωσεν στον υιόν του τον Ισαάκ. Αυτός δε επήρεν εις τα χέρια του το πυρ και την μάχαιραν και εβάδισαν και οι δύο μαζή στον τόπον της θυσίας.

Γεν. 22,7 - εἶπε δὲ Ἰσαὰκ πρὸς Ἀβραὰμ τὸν πατέρα αὐτοῦ· πάτερ. ὁ δὲ εἶπε· τί ἐστι, τέκνον; εἶπε δέ· ἰδοὺ τὸ πῦρ καὶ τὰ ξύλα· ποῦ ἐστι τὸ πρόβατον τὸ εἰς ὁλοκάρπωσιν;

Γεν. 22,7 - Είπε τότε ο Ισαάκ προς τον Αβραάμ, τον πατέρα του· “πάτερ”. Τι είναι παιδί μου;” είπεν εκείνος. “Πατερ, ηρώτησεν ο Ισαάκ, ιδού η φωτιά και τα ξύλα. Αλλά που είναι το πρόβατον, το οποίον θα προσφέρωμεν ως θυσίαν ολοκαυτώματος;”

Γεν. 22,8 - εἶπε δὲ Ἀβραάμ· ὁ Θεὸς ὄψεται ἑαυτῷ πρόβατον εἰς ὁλοκάρπωσιν, τέκνον. πορευθέντες δὲ ἀμφότεροι ἅμα,

Γεν. 22,8 - “Παιδί μου, είπεν ο Αβραάμ, ο Θεός θα φροντίση μόνος του δια το πρόβατον της θυσίας”. Βαδίζοντες δε και οι δύο μαζή,

Γεν. 22,9 - ἦλθον ἐπὶ τὸν τόπον, ὃν εἶπεν αὐτῷ ὁ Θεός. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἀβραὰμ τὸ θυσιαστήριον καὶ ἐπέθηκε τὰ ξύλα, καὶ συμποδίσας Ἰσαὰκ τὸν υἱὸν αὐτοῦ, ἐπέθηκεν αὐτὸν ἐπὶ τὸ θυσιαστήριον ἐπάνω τῶν ξύλων.

Γεν. 22,9 - έφθασαν εις τον τόπον, που είχεν ορίσει ο Θεός. Κατεσκεύασεν εκεί το θυσιαστήριον ο Αβραάμ, ετοποθέτησεν επάνω εις αυτό τα ξύλα, έδεσε τα πόδια του παιδιού του του Ισαάκ, ετοποθέτησεν αυτόν επάνω εις τα ξύλα

Γεν. 22,10 - καὶ ἐξέτεινεν Ἀβραὰμ τὴν χεῖρα αὐτοῦ λαβεῖν τὴν μάχαιραν σφάξαι τὸν υἱὸν αὐτοῦ.

Γεν. 22,10 - και άπλωσε το χέρι του να πάρη την μάχαιραν, δια να σφάξη τον υιόν

Γεν. 22,11 - καὶ ἐκάλεσεν αὐτὸν ἄγγελος Κυρίου ἐκ τοῦ οὐρανοῦ καὶ εἶπεν· Ἀβραάμ, Ἀβραάμ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ.

Γεν. 22,11 - Την στιγμήν εκείνην άγγελος Κυρίου από τον ουρανόν τον εκάλεσε και του είπεν· “Αβραάμ, Αβραάμ !” Εκείνος δε απήντησεν· “ιδού εγώ Κυριε”.

Γεν. 22,12 - καὶ εἶπε· μὴ ἐπιβάλῃς τὴν χεῖρά σου ἐπὶ τὸ παιδάριον μηδὲ ποιήσῃς αὐτῷ μηδέν· νῦν γὰρ ἔγνων, ὅτι φοβῇ σὺ τὸν Θεὸν καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾿ ἐμέ.

Γεν. 22,12 - Και είπε προς αυτόν ο άγγελος· “μη απλώσης το ωπλισμένον με την μάχαιραν χέρι σου επάνω στο παιδίον και μη κάμης εις αυτό κανένα κακόν· διότι τώρα εκατάλαβα καλά ότι συ αέδεσαι και λατρεύστον Θεόν, αφού προς χάριν μου δεν ελυπήθης τον αγαπητόν σου υιόν”.

Γεν. 22,13 - καὶ ἀναβλέψας Ἀβραὰμ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε, καὶ ἰδοὺ κριὸς εἷς κατεχόμενος ἐν φυτῷ Σαβὲκ τῶν κεράτων· καὶ ἐπορεύθη Ἀβραὰμ καὶ ἔλαβε τὸν κριὸν καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκάρπωσιν ἀντὶ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ.

Γεν. 22,13 - Εσήκωσε τα βλέμματά του ο Αβραάμ και είδεν έξαφνα, εκεί κοντά ένα κριόν, του οποίου τα κέρατα είχον περιπλακή εις ένα φυτόν υνομαζόμενον Σαβέκ. Επήγεν ο Αβραάμ εκεί, επήρε τον κριον και προσέφερεν αυτόν ως θυσίαν ολοκαυτώματος αντί του παιδιού του του Ισαάκ.

Γεν. 22,14 - καὶ ἐκάλεσεν Ἀβραὰμ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Κύριος εἶδεν, ἵνα εἴπωσι σήμερον, ἐν τῷ ὄρει Κύριος ὤφθη.

Γεν. 22,14 - Ωνόμασε δε ο Αβραάμ τον τόπον εκείνον ο Κυριος είδε”· ώστε μέχρι, σήμερον οι άνθρωποι ονομάζουν αυτόν “στούτο το όρος εφανερώθη ο Κυριος”.

Γεν. 22,15 - καὶ ἐκάλεσεν ἄγγελος Κυρίου τὸν Ἀβραὰμ δεύτερον ἐκ τοῦ οὐρανοῦ, λέγων·

Γεν. 22,15 - Δια δευτέραν φοράν άγγελος Κυρίου εκάλεσεν από τον ουρανόν τον Αβραάμ και είπεν·

Γεν. 22,16 - κατ᾽ ἐμαυτοῦ ὤμοσα, λέγει Κύριος, οὗ εἵνεκεν ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι᾽ ἐμέ,

Γεν. 22,16 - στον εαυτόν μου ωρκίσθηκα, λέγει ο Κυριος, επειδή υπήκουσες και εξεπλήρωσες την εντολήν μου αυτήν και δεν ελυπήθης προς χάριν μου τον υιόν σου τον αγαπητόν,

Γεν. 22,17 - ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, καὶ κληρονομήσει τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων·

Γεν. 22,17 - σου υπόσχομαι ότι πλουσίως θα σε ευλογήσω και θα πληθύνω πολύ τους απογόνους σου, σαν τα αστέρια του ουρανού και σαν την άμμον που υπάρχει εις την παραλίαν της θαλάσσης. Οι απόγονοί σου με την ιδικήν μου προστασίαν και δύναμιν θα κυριεύσουν τας πόλεις των εχθρών.

Γεν. 22,18 - καὶ ἐνευλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς, ἀνθ᾽ ὧν ὑπήκουσας τῆς ἐμῆς φωνῆς.

Γεν. 22,18 - Επί πλέον, επειδή τόσον προθύμως και πλήρως υπήκουσες εις την εντολήν μου, σου υπόσχομαι ότι με ένα από τους απογόνους σου, τον Χριστόν, θα ευλογηθούν όλα τα έθνη της γης”.

Γεν. 22,19 - ἀπεστράφη δὲ Ἀβραὰμ πρὸς τοὺς παῖδας αὐτοῦ, καὶ ἀναστάντες ἐπορεύθησαν ἅμα ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου. καὶ κατῴκησεν Ἀβραὰμ ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου.

Γεν. 22,19 - Επειτα από αυτά, ο Αβραάμ με τον Ισαάκ επέστρεψαν προς τους δούλους του, που είχαν αφήσει στους πρόποδας του όρους, και όλοι μαζή εξεκίνησαν, δια να μεταβούν στο φρέαρ του όρκου. Εκεί, στο φρέαρ του όρκου, εγκατεστάθη μονίμως πλέον ο Αβραάμ.

Γεν. 22,20 - Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα καὶ ἀνηγγέλη τῷ Ἀβραὰμ λέγοντες· ἰδοὺ τέτοκε Μελχὰ καὶ αὐτὴ υἱοὺς τῷ Ναχὼρ τῷ ἀδελφῷ σου,

Γεν. 22,20 - Επειτα από αυτά ανήγγειλαν στον Αβραάμ και ένα άλλο γεγονός ευχάριστον· “ιδού, του είπαν, η νύμφη σου η Μελχά εγέννησε και αυτή υιούς στον αδελφόν σου τον Ναχώρ,

Γεν. 22,21 - τὸν Οὒζ πρωτότοκον καὶ τὸν Βαὺξ ἀδελφὸν αὐτοῦ καὶ τὸν Καμουὴλ πατέρα Σύρων

Γεν. 22,21 - τον πρωτότοκον Ουζ, τους αδελφούς του Βαυξ και Καμουήλ, γενάρχην των Συρων,

Γεν. 22,22 - καὶ τὸν Χαζὰδ καὶ Ἀζαῦ καὶ τὸν Φαλδὲς καὶ τὸν Ἰελδὰφ καὶ τὸν Βαθουήλ·

Γεν. 22,22 - και τους Χαζάδ, Αζαύ, Φαλδές, Ιελδάφ και Βαθουήλ.

Γεν. 22,23 - Βαθουὴλ δὲ ἐγέννησε τὴν Ῥεβέκκαν. ὀκτὼ οὗτοι υἱοί, οὓς ἔτεκε Μελχὰ τῷ Ναχὼρ τῷ ἀδελφῷ Ἀβραάμ.

Γεν. 22,23 - Ο δε Βαθουήλ απέκτησε κόρην την Ρεβέκκαν. Οι οκτώ αυτοί είναι υιοί του Ναχώρ, του αδελφού του Αβραάμ, τους οποίους απέκτησεν από την Μελχά.

Γεν. 22,24 - καὶ ἡ παλλακὴ αὐτοῦ, ᾗ ὄνομα Ῥεημά, ἔτεκε καὶ αὐτὴ τὸν Ταβὲκ καὶ τὸν Ταὰμ καὶ τὸν Τοχὸς καὶ τὸν Μοχά.

Γεν. 22,24 - Από δε την παλλακήν αυτού, την δευτέρας σειράς σύζυγόν του, η οποία ωνομάζετο Ρεημά, απέκτησεν υιούς τον Ταβέκ, τον Ταάμ, τον Τοχός και τον Μοχά.

## ΓΕΝΕΣΙΣ 23

Γεν. 23,1 - Ἐγένετο δὲ ἡ ζωὴ Σάῤῥας ἔτη ἑκατὸν εἰκοσιεπτά.

Γεν. 23,1 - Η Σαρρα έφθασεν εις την ηλικίαν των εκατόν είκοσι επτά ετών,

Γεν. 23,2 - καὶ ἀπέθανε Σάῤῥα ἐν πόλει Ἀρβόκ, ἥ ἐστιν ἐν τῷ κοιλώματι (αὕτη ἐστὶ Χεβρών) ἐν τῇ γῇ Χαναάν. ἦλθε δὲ Ἀβραὰμ κόψασθαι Σάῤῥαν καὶ πενθῆσαι.

Γεν. 23,2 - οπότε και απέθανεν εις την πόλιν Αρβόκ (αύτη δε είναι η Χεβρών), η οποία ευρίσκεται εις κάποιο βαθύπεδον της περιοχής Χαναάν. Ο Αβραάμ ήλθεν από την Βηρσαβεέ ει, την Χεβρών, δια να θρηνήση και πενθήση την αποθανούσαν σύζυγόν του, την Σαρραν.

Γεν. 23,3 - καὶ ἀνέστη Ἀβραὰμ ἀπὸ τοῦ νεκροῦ αὐτοῦ καὶ εἶπεν Ἀβραὰμ τοῖς υἱοῖς τοῦ Χὲτ λέγων·

Γεν. 23,3 - Ηγέρθη ο Αβραάμ από το πένθος του αγαπημένου του αυτού νεκρού και είπεν στους Χετταίους.

Γεν. 23,4 - πάροικος καὶ παρεπίδημος ἐγώ εἰμι μεθ᾿ ὑμῶν· δότε μοι οὖν κτῆσιν τάφου μεθ᾿ ὑμῶν, καὶ θάψω τὸν νεκρόν μου ἀπ᾿ ἐμοῦ.

Γεν. 23,4 - “Εγώ, όπως γνωρίζετε, είμαι πάροικος και παρεπίδημος μεταξύ σας. Σας παρακαλώ, δόστε μου να αγοράσω ως ιδιοκτησίαν ένα τάφον εις την περιοχήν σας, δια να θάψω την νεκράν μου σύζυγον”.

Γεν. 23,5 - ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Χὲτ πρὸς Ἀβραὰμ λέγοντες· μὴ κύριε·

Γεν. 23,5 - Απεκρίθησαν δε οι Χετταίοι προς τον Αβραάμ και είπον· “όχι, κύριε, δεν είναι σωστόν αυτό, που λέγεις να αγοράσης τάφον.

Γεν. 23,6 - ἄκουσον δὲ ἡμῶν. βασιλεὺς παρὰ Θεοῦ σὺ εἶ ἐν ἡμῖν· ἐν τοῖς ἐκλεκτοῖς μνημείοις ἡμῶν θάψον τὸν νεκρόν σου· οὐδεὶς γὰρ ἡμῶν οὐ μὴ κωλύσει τὸ μνημεῖον αὐτοῦ ἀπὸ σοῦ τοῦ θάψαι τὸν νεκρόν σου ἐκεῖ.

Γεν. 23,6 - Ακουσέ μας· συ είσαι ιμεταξύ μας σαν ένας βασιλεύς εκ μέρους του Θεού σταλμένος. Δια τούτο εις ένα από τα εκλεκτά μας μνημεία θάψε τον νεκρόν σου· διότι κανείς από ημάς δεν θα αρνηθή το μνημείον του, δια να θάψης εις αυτό την νεκράν σύζυγόν σου”.

Γεν. 23,7 - ἀναστὰς δὲ Ἀβραὰμ προσεκύνησε τῷ λαῷ τῆς γῆς, τοῖς υἱοῖς τοῦ Χέτ,

Γεν. 23,7 - Εσηκώθη ο Αβραάμ και γεμάτος ευγνωμοσύνην επροσκύνησε τους Χετταίους, τους κατοίκους της περιοχής εκείνης.

Γεν. 23,8 - καὶ ἐλάλησε πρὸς αὐτοὺς Ἀβραὰμ λέγων· εἰ ἔχετε τῇ ψυχῇ ὑμῶν, ὥστε θάψαι τὸν νεκρόν μου ἀπὸ προσώπου μου, ἀκούσατέ μου καὶ λαλήσατε περὶ ἐμοῦ Ἐφρὼν τῷ τοῦ Σαάρ,

Γεν. 23,8 - Κατόπιν ωμίλησε προς αυτούς και τους είπε· “αφού έχετε την καλωσύνην της ψυχής, ώστε να μου επιτρέψετε να θάψω τον νεκρόν μου, ακούσατε την παράκλησίν μου. Ομιλήσατε σας παρακαλώ περί εμού στον Εφρών, τον υιόν του Σαάρ,

Γεν. 23,9 - καὶ δότω μοι τὸ σπήλαιον τὸ διπλοῦν, ὅ ἐστιν αὐτῷ, τὸ ὂν ἐν μέρει τοῦ ἀγροῦ αὐτοῦ· ἀργυρίου τοῦ ἀξίου δότω μοι αὐτὸ ἐν ὑμῖν εἰς κτῆσιν μνημείου.

Γεν. 23,9 - και πείσατέ τον να μου πωλήση το διπλούν σπήλαιον, που ανήκει εις αυτόν και το οποίον ευρίσκεται εις κάποιο μέρος του αγρού του. Αντί των χρημάτων που αξίζει, ας μου δώση τώρα ενώπιόν σας ως ιδιοκτησίαν μου το μνημείον αυτό”.

Γεν. 23,10 - Ἐφρὼν δὲ ἐκάθητο ἐν μέσῳ τῶν υἱῶν Χέτ· ἀποκριθεὶς δὲ Ἐφρὼν ὁ Χετταῖος πρὸς Ἀβραὰμ εἶπεν, ἀκουόντων τῶν υἱῶν Χὲτ καὶ τῶν εἰσπορευομένων εἰς τὴν πόλιν πάντων, λέγων·

Γεν. 23,10 - Ο Εφρών ήτο και αυτός ένας από τον λαόν των Χετταίων. Αμέσως δε απήντησε προς τον Αβραάμ, εκεί εις την πύλην της πόλεως, ώστε να τον ακούουν οι Χετταίοι όσοι εισήρχοντο εις την πόλιν, και είπε·

Γεν. 23,11 - παρ᾿ ἐμοὶ γενοῦ, κύριε, καὶ ἄκουσόν μου· τὸν ἀγρὸν καὶ τὸ σπήλαιον τὸ ἐν αὐτῷ σοὶ δίδωμι· ἐναντίον πάντων τῶν πολιτῶν μου δέδωκά σοι· θάψον τὸν νεκρόν σου·

Γεν. 23,11 - “πλησίασε κοντά μου, κύριε, και άκουσέ με· τον αγρόν και το σπήλαιον, που υπάρχει εις αυτόν, σου τον δίδω. Ενώπιον όλων των συμπολιτών μου σου τα έχω πλέον παραχωρήσει. Θαψε εκεί τον νεκρόν άνθρωπόν σου”.

Γεν. 23,12 - καὶ προσεκύνησεν Ἀβραὰμ ἐναντίον τοῦ λαοῦ τῆς γῆς

Γεν. 23,12 - Ο Αβραάμ ευχαριστών δια την καλωσύνην των προσεκύνησε τον λαόν της χώρας

Γεν. 23,13 - καὶ εἶπε τῷ Ἐφρὼν εἰς τὰ ὦτα ἐναντίον τοῦ λαοῦ τῆς γῆς· ἐπειδὴ πρὸς ἐμοῦ εἶ, ἄκουσόν μου· τὸ ἀργύριον τοῦ ἀγροῦ λάβε παρ᾿ ἐμοῦ, καὶ θάψω τὸν νεκρόν μου ἐκεῖ.

Γεν. 23,13 - και είπε προς τον Εφρών, ώστε να τον ακούσουν όλοι οι κάτοικοι της πόλεως· “Εφρών, επειδή ευρίσκεσαι τώρα ενώπιόν μου και θα συνάψωμεν συμφωνίαν, άκουσέ με· Παρε εκ μέρους μου τα αργύρια, που πρέπει, ως αξίαν του αγρού, και εγώ θα θάψω πλέον εκεί τον νεκρόν μου”.

Γεν. 23,14 - ἀπεκρίθη δὲ Ἐφρὼν τῷ Ἀβραὰμ λέγων·

Γεν. 23,14 - Απήντησεν ο Εφρών προς τον Αβραάμ και είπε, με κάποιαν δόσιν υποκριτικής ευγενείας.

Γεν. 23,15 - οὐχὶ κύριε, ἀκήκοα γάρ, γῆ τετρακοσίων διδράχμων ἀργυρίου, ἀλλὰ τί ἂν εἴη τοῦτο ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ; σὺ δὲ τὸν νεκρόν σου θάψον.

Γεν. 23,15 - “Οχι, κύριε, δεν θέλω χρήματα. Εχω βέβαια πληροφορηθή ότι ο αγρός αυτός αξίζει τετρακόσια αργυρά δίδραχμα, αλλά τι είναι αυτά μεταξύ μας; Θαψε, λοιπόν, τον νεκρόν σου, χωρίς να γίνεται πλέον λόγος δι' αγοραπωλησίαν”.

Γεν. 23,16 - καὶ ἤκουσεν Ἀβραὰμ τοῦ Ἐφρών, καὶ ἀποκατέστησεν Ἀβραὰμ τῷ Ἐφρὼν τὸ ἀργύριον, ὃ ἐλάλησεν εἰς τὰ ὦτα τῶν υἱῶν Χέτ, τετρακόσια δίδραχμα ἀργυρίου δοκίμου ἐμπόροις.

Γεν. 23,16 - Ο Αβραάμ όμως, όταν ήκουσεν από τον Εφρών την τιμήν του αγρού, έδωσε αμέσως εις αυτόν τα χρήματα, τα οποία εις επήκοον του λαού των Χετταίων είχεν ορίσει ούτος εις τετρακόσια αργυρά δίδραχμα εις έγκυρον νόμισμα που εκυκλοφορούσε τότε μεταξύ των εμπόρων.

Γεν. 23,17 - καὶ ἔστη ὁ ἀγρὸς Ἐφρών, ὃς ἦν ἐν τῷ διπλῷ σπηλαίῳ, ὅς ἐστι κατὰ πρόσωπον Μαμβρῆ, ὁ ἀγρὸς καὶ τὸ σπήλαιον, ὃ ἦν ἐν αὐτῷ, καὶ

πᾶν δένδρον, ὃ ἦν ἐν τῷ ἀγρῷ, καὶ πᾶν ὅ ἐστιν ἐν τοῖς ὁρίοις αὐτοῦ κύκλῳ,

Γεν. 23,17 - Κατόπιν αυτής της συμφωνίας παρεδόθη ο αγρός του Εφρών μαζή με το διπλούν σπήλαιον, που ευρίσκετο απέναντι εις την Δρυν Μαμβρή, όπως επίσης και όλα τα δένδρα και κάθε τι, που υπήρχεν στον αγρόν και εις τα σύνορα αυτού κύκλω,

Γεν. 23,18 - τῷ Ἀβραάμ, εἰς κτῆσιν ἐναντίον τῶν υἱῶν Χὲτ καὶ πάντων τῶν εἰσπορευομένων εἰς τὴν πόλιν.

Γεν. 23,18 - ως ιδιοκτησία πλέον στον Αβραάμ επί παρουσία του λαού των Χετταίων και των εισερχομένων δια της πύλης εις την πόλιν.

Γεν. 23,19 - μετὰ ταῦτα ἔθαψεν Ἀβραὰμ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ ἐν τῷ σπηλαίῳ τοῦ ἀγροῦ τῷ διπλῷ, ὅ ἐστιν ἀπέναντι Μαμβρῆ (αὕτη ἐστὶ Χεβρών) ἐν τῇ γῇ Χαναάν.

Γεν. 23,19 - Επειτα από αυτά έθαψεν ο Αβραάμ την γυναίκα του την Σαρραν στο διπλούν αυτό σπήλαιον του αγρού, ο οποίος ευρίσκεται απέναντι της Μαμβρή εις Χεβρών της χώρας Χαναάν.

Γεν. 23,20 - καὶ ἐκυρώθη ὁ ἀγρὸς καὶ τὸ σπήλαιον, ὃ ἦν ἐν αὐτῷ, τῷ Ἀβραὰμ εἰς κτῆσιν τάφου παρὰ τῶν υἱῶν Χέτ.

Γεν. 23,20 - Ετσι δε επεκυρώθη ενώπιον των Χετταίων ο αγρός και το διπλούν σπήλαιον ως ιδιοκτησία πλέον του Αβραάμ δια μνημείον.

## ΓΕΝΕΣΙΣ 24

Γεν. 24,1 - Καὶ Ἀβραὰμ ἦν πρεσβύτερος προβεβηκὼς ἡμερῶν, καὶ ὁ Κύριος ηὐλόγησε τὸν Ἀβραὰμ κατὰ πάντα.

Γεν. 24,1 - Ο Αβραάμ ήτο πλέον γέρων, προχωρημένος πολύ εις τας ημέρας της ζωής του. Ο δε Κυριος ηυλόγησε τον Αβραάμ εις όλην του την ζωήν και εις όλα του τα έργα.

Γεν. 24,2 - καὶ εἶπεν Ἀβραὰμ τῷ παιδὶ αὐτοῦ τῷ πρεσβυτέρῳ τῆς οἰκίας αὐτοῦ τῷ ἄρχοντι πάντων τῶν αὐτοῦ· θὲς τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου,

Γεν. 24,2 - Είπε δε Αβραάμ στον Ελιέζερ, τον μεγαλύτερον κατά την ηλικίαν δούλον της οικογενείας του, τον επιστάτην όλων των άλλων δούλων· “βάλε την χείρα σου υπό τον μηρόν μου·

Γεν. 24,3 - καὶ ἐξορκιῶ σε Κύριον τὸν Θεὸν τοῦ οὐρανοῦ καὶ τὸν Θεὸν τῆς γῆς, ἵνα μὴ λάβῃς γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, μεθ᾿ ὧν ἐγὼ οἰκῶ ἐν αὐτοῖς,

Γεν. 24,3 - σε εξορκίζω ενώπιον Κυρίου, του Θεού του ουρανού και της γης, να μη λάβης δια τον υιόν μου τον Ισαάκ σύζυγον από τας θυγατέρας των κατοίκων Χαναάν, μεταξύ των οποίων εγώ μέχρι σήμερον ζω,

Γεν. 24,4 - ἀλλ᾿ ἢ εἰς τὴν γῆν μου, οὗ ἐγεννήθην, πορεύσῃ καὶ εἰς τὴν φυλήν μου καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου Ἰσαὰκ ἐκεῖθεν.

Γεν. 24,4 - άλλα από την χώραν της καταγωγής μου, όπου εγώ εγεννήθην. Θα υπάγης εκεί εις την φυλήν μου και από τους εκεί συγγενείς μου θα εκλέξης γυναίκα δια τον υιόν μου τον Ισαάκ”

Γεν. 24,5 - εἶπε δὲ πρὸς αὐτὸν ὁ παῖς· μή ποτε οὐ βούληται ἡ γυνὴ πορευθῆναι μετ᾿ ἐμοῦ ὀπίσω εἰς τὴν γῆν ταύτην· ἀποστρέψω τὸν υἱόν σου εἰς τὴν γῆν, ὅθεν ἐξῆλθες ἐκεῖθεν;

Γεν. 24,5 - Ηρώτησε δε αυτόν ο Ελιέζερ, ο δούλος· “εάν τυχόν η γυναίκα, που θα εκλέξω ως σύζυγον του Ισαάκ, δεν θελήση να με ακολουθήση εις την χώραν της Χαναάν, θα οδηγήσω τον υιόν σου στον τόπον, από τον οποίον συ ανεχώρησες και ήλθες;”

Γεν. 24,6 - εἶπε δὲ πρὸς αὐτὸν Ἀβραάμ· πρόσεχε σεαυτῷ, μὴ ἀποστρέψῃς τὸν υἱόν μου ἐκεῖ.

Γεν. 24,6 - Ο Αβραάμ του απήντησε· “πρόσεξε πολύ και βάλε το μέσα στον νουν σου· μη επαναφέρης έκεί τον υιόν μου,

Γεν. 24,7 - Κύριος ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ ὁ Θεὸς τῆς γῆς, ὃς ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου καὶ ἐκ τῆς γῆς, ἧς ἐγεννήθην, ὃς ἐλάλησέ μοι καὶ ὃς ὤμοσέ μοι λέγων· σοὶ δώσω τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου, αὐτὸς ἀποστελεῖ τὸν ἄγγελον αὐτοῦ ἔμπροσθέν σου. καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν.

Γεν. 24,7 - διότι ο Κυριος ο Θεός του ουρανού και της γης, ο οποίος με επήρε από τον πατρικόν μου οίκον και από την γην, εις την οποίαν εγεννήθην, και με έφερεν εδώ, αυτός μου είπε και μου ωρκίσθη λέγων· Εις σε και στους απογόνους σου θα δώσω την χώραν αυτήν. Αυτός, λοιπόν, ο Θεός θα στείλη ενώπιόν σου άγγελον οδηγόν και θα σε δοηθήση να εκλέξης από εκεί σύζυγον δια τον υιόν μου.

Γεν. 24,8 - ἐὰν δὲ μὴ θέλῃ ἡ γυνὴ πορευθῆναι μετὰ σοῦ εἰς τὴν γῆν ταύτην, καθαρὸς ἔσῃ ἀπὸ τοῦ ὅρκου μου· μόνον τὸν υἱόν μου μὴ ἀποστρέψῃς ἐκεῖ.

Γεν. 24,8 - Εάν δε και δεν θελήση η γυναίκα να έλθη μαζή σου εις την χώραν αυτήν, είσαι απηλλαγμένος από τον όρκον, στον οποίν σε υπέβαλα. Η μόνη σου υποχρέωσις είναι, να μη οδηγήσης τον υιόν μου εκεί”.

Γεν. 24,9 - καὶ ἔθηκεν ὁ παῖς τὴν χεῖρα αὐτοῦ ὑπὸ τὸν μηρὸν Ἀβραὰμ τοῦ κυρίου αὐτοῦ καὶ ὤμοσεν αὐτῷ περὶ τοῦ ῥήματος τούτου.

Γεν. 24,9 - Ο Ελιέζερ, ο δούλος, έθεσε την χείρα αυτού κάτω από τον μηρόν του Αβραάμ, του κυρίου του, και του ωρκίσθη ότι θα συμμορφωθή με την εντολήν του.

Γεν. 24,10 - Καὶ ἔλαβεν ὁ παῖς δέκα καμήλους ἀπὸ τῶν καμήλων τοῦ κυρίου αὐτοῦ καὶ ἀπὸ πάντων τῶν ἀγαθῶν τοῦ κυρίου αὐτοῦ μεθ᾿ ἑαυτοῦ

καὶ ἀναστὰς ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν εἰς τὴν πόλιν Ναχώρ.

Γεν. 24,10 - Επήρε, λοιπόν, δέκα καμήλους από τας καμήλους του κυρίου του, επήρεν ακόμη μαζή του από όλα τα αγαθά που είχεν ο κύριός του και εξεκίνησε δια την Μεσοποταμίαν, δια την πόλιν του Μαχώρ, του αδελφού του Αβραάμ.

Γεν. 24,11 - καὶ ἐκοίμισε τὰς καμήλους ἔξω τῆς πόλεως παρὰ τὸ φρέαρ τοῦ ὕδατος τὸ πρὸς ὀψέ, ἡνίκα ἐκπορεύονται αἱ ὑδρευόμεναι.

Γεν. 24,11 - Οταν, από ταξίδιον ημερών, επλησίασε κατά την εσπέραν έξω από την πόλιν, αφήκεν εκεί κοντά στο φρέαρ να κατακλιθούν αι κάμηλοι, την ώραν κατά την οποίαν εξέρχονται συνήθως από την πόλιν αι γυναίκες, δια να αντλήσουν νερό.

Γεν. 24,12 - καὶ εἶπε· Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εὐόδωσον ἐναντίον ἐμοῦ σήμερον καὶ ποίησον ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ.

Γεν. 24,12 - Προσηυχήθη δε εκεί προς τον Θεόν ο Ελιέζερ και είπε· “Κυριε, συ ο Θεός του κυρίου μου του Αβραάμ, δώσε καλήν έκβασιν και επιτυχίαν σήμερον εις τας ενεργείας μου και κάμε το έλεός σου προς τον κύριόν μου τον Αβραάμ.

Γεν. 24,13 - ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, αἱ δὲ θυγατέρες τῶν οἰκούντων τὴν πόλιν ἐκπορεύονται ἀντλῆσαι ὕδωρ,

Γεν. 24,13 - Ιδού εγώ ευρίσκομαι κοντά εις την πηγήν αυτήν του ύδατος. Αι θυγατέρες των κατοίκων της πόλεως αυτής εξέρχονται προς τα εδώ δια να αντλήσουν νερό.

Γεν. 24,14 - καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, ἐπίκλινον τὴν ὑδρίαν σου, ἵνα πίω, καὶ εἴπῃ μοι, πίε σύ, καὶ τὰς καμήλους σου ποτιῶ, ἕως ἂν παύσωνται πίνουσαι, ταύτην ἡτοίμασας τῷ παιδί σου τῷ Ἰσαάκ, καὶ ἐν τούτῳ γνώσομαι ὅτι ἐποίησας ἔλεος μετὰ τοῦ κυρίου μου Ἀβραάμ.

Γεν. 24,14 - Δώσε, Κυριε, ώστε η παρθένος, εις την οποίαν εγώ θα είπω “γύρε την στάμναν σου δια να πίω νερό” και εκείνη θα μου πη “πίε και συ και θα ποτίσω τας καμήλους σου μέχρις ότου χορτάσουν και παύσουν πλέον να πίνουν”, ώσε, ώστε αυτή να είναι εκείνη, την οποίαν συ έχεις προορίσει ως σύζυγον δια τον δούλόν σου Ισαάκ. Με τον τρόπον δε αυτόν θα καταλάβω και εγώ, ότι έκαμες το έλεός σου προς τον κύριόν μου τον Αβραάμ και εξεπλήρωσες την επιθυμίαν του”.

Γεν. 24,15 - καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι αὐτὸν λαλοῦντα ἐν τῇ διανοίᾳ αὐτοῦ, καὶ ἰδοὺ Ῥεβέκκα ἐξεπορεύετο ἡ τεχθεῖσα Βαθουήλ, υἱῷ Μελχὰς τῆς γυναικὸς Ναχώρ, ἀδελφοῦ δὲ Ἀβραάμ, ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων αὐτῆς.

Γεν. 24,15 - Πριν ακόμη τελείωση ο Ελιέζερ την νοεράν αυτήν προσευχήν του προς τον Θεόν, ιδού εξήρχετο από την πόλιν η Ρεβέκκα, η κόρη του Βαθουήλ, υιού της Μελχάς, συζύγου του Ναχώρ, του αδελφού του Αβραάμ. Εφερε δε επάνω στον ώμόν της την στάμναν.

Γεν. 24,16 - ἡ δὲ παρθένος ἦν καλὴ τῇ ὄψει σφόδρα· παρθένος ἦν, ἀνὴρ οὐκ ἔγνω αὐτήν. καταβᾶσα δὲ ἐπὶ τὴν πηγὴν ἔπλησε τὴν ὑδρίαν αὐτῆς καὶ ἀνέβη.

Γεν. 24,16 - Η παρθένος αυτή ήτο εξαιρετικώς ωραία. Ητο παρθένος και κανείς ανήρ δεν είχεν έλθει εις επαφήν με αυτήν. Κατέβηκε εις την πηγήν, εγέμισε την στάμναν της και ανέβη πάλιν, δια να επιστρέψη εις την πόλιν.

Γεν. 24,17 - ἐπέδραμε δὲ ὁ παῖς εἰς συνάντησιν αὐτῆς καὶ εἶπε· πότισόν με μικρὸν ὕδωρ ἐκ τῆς ὑδρίας σου.

Γεν. 24,17 - Την στιγμήν εκείνην έτρεξε προς συνάντησίν της ο Ελιέζερ και είπε· “δος μου να πιώ ολίγον νερό από την στάμναν σου”.

Γεν. 24,18 - ἡ δὲ εἶπε· πίε, κύριε. καὶ ἔσπευσε καὶ καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς καὶ ἐπότισεν αὐτόν, ἕως ἐπαύσατο πίνων.

Γεν. 24,18 - Εκείνη δε είπε· “πίε, κύριε”· κατέβασε την στάμναν και την εστήριξεν στον βραχίονά της, την έγειρε και επότισεν αυτόν, έως ότου αυτός εχόρτασε και έπαυσε να πίνη.

Γεν. 24,19 - καὶ εἶπε· καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, ἕως ἂν πᾶσαι πίωσι.

Γεν. 24,19 - Η Ρεβέκκα είπε· “θα ποτίσω και τας καμήλους σου, έως ότου χορτάσουν όλες”.

Γεν. 24,20 - καὶ ἔσπευσε καὶ ἐξεκένωσε τὴν ὑδρίαν εἰς τὸ ποτιστήριον καὶ ἔδραμεν ἐπὶ τὸ φρέαρ ἀντλῆσαι πάλιν καὶ ὑδρεύσατο πάσαις ταῖς καμήλοις.

Γεν. 24,20 - Αμέσως άδειασε την στάμναν της στο παρά το φρέαρ ποτιστήριον των ζώων, έτρεξεν στο φρέαρ να αντλήση και άλλο ύδωρ, έως ότου επότισεν όλας τας καμήλους.

Γεν. 24,21 - ὁ δὲ ἄνθρωπος κατεμάνθανεν αὐτὴν καὶ παρεσιώπα τοῦ γνῶναι, εἰ εὐώδωκε Κύριος τὴν ὁδὸν αὐτοῦ ἢ οὔ.

Γεν. 24,21 - Ο δε Ελιέζερ την παρατηρούσε και την παρακολουθούσε με πολλήν προσοχήν, χωρίς να βγάζη λέξιν, προσπαθών να γνωρίση, εάν ο Θεός τον εβοήθησε να επιτύχη η όχι τον σκοπόν του ταξιδίου του.

Γεν. 24,22 - ἐγένετο δέ, ἡνίκα ἐπαύσαντο πᾶσαι αἱ κάμηλοι πίνουσαι, ἔλαβεν ὁ ἄνθρωπος ἐνώτια χρυσᾶ ἀνὰ δραχμὴν ὁλκῆς καὶ δύο ψέλλια ἐπὶ τὰς χεῖρας αὐτῆς, δέκα χρυσῶν ὁλκὴ αὐτῶν.

Γεν. 24,22 - Οταν πλέον εποτίσθησαν όλαι αι κάμηλοι, επείσθη ο Ελιέζερ ότι αυτή είναι η νύμφη, η από τον Θεόν προοριζομένη δια τον Ισαάκ. Επήρε τότε από τας αποσκευάς του ο Ελιέζερ και έδωσεν εις την Ρεβέκκαν σκουλαρίκια χρυσά, πεντέμισυ περίπου γραμμαρίων βάρους το καθένα, και δύο βραχιόλια χρυσά βάρους και τα δύο διακοσίων είκοσι περίπου γραμμαρίων,

Γεν. 24,23 - καὶ ἐπηρώτησεν αὐτὴν καὶ εἶπε· θυγάτηρ τίνος εἶ; ἀνάγγειλόν μοι, εἰ ἔστι παρὰ τῷ πατρί σου τόπος ἡμῖν τοῦ καταλῦσαι.

Γεν. 24,23 - ηρώτησεν αυτήν και της είπε· “τίνος είσαι κόρη; Ημπορείς ακόμη να με πληροφορήσης, αν υπάρχη και για μας τόπος κοντά στον πατέρα σου, δια να καταλύσωμεν εκεί;”

Γεν. 24,24 - ἡ δὲ εἶπεν αὐτῷ· θυγάτηρ Βαθουήλ εἰμι τοῦ Μελχάς, ὃν ἔτεκε τῷ Ναχώρ.

Γεν. 24,24 - Εκείνη απήντησεν· “είμαι κόρη του Βαθουήλ, υιού του Ναχώρ και της Μελχάς”.

Γεν. 24,25 - καὶ εἶπεν αὐτῷ· καὶ ἄχυρα καὶ χορτάσματα πολλὰ παρ᾿ ἡμῖν καὶ τόπος τοῦ καταλῦσαι.

Γεν. 24,25 - Και προσέθεσε· “βεβαίως υπάρχουν εις ημάς και άχυρα, και τροφαί πολλαί και τόπος να καταλύσετε”.

Γεν. 24 ,26 - καὶ εὐδοκήσας ὁ ἄνθρωπος προσεκύνησε τῷ Κυρίῳ καὶ εἶπεν·

Γεν. 24,26 - Ο Ελιέζερ γεμάτος χαράν προσεκύνησε με ευγνωμοσύνην τον Θεόν και είπε·

Γεν. 24,27 - εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, ὃς οὐκ ἐγκατέλιπε τὴν δικαιοσύνην αὐτοῦ καὶ τὴν ἀλήθειαν ἀπὸ τοῦ κυρίου μου· ἐμέ τε εὐώδωκε Κύριος εἰς οἶκον τοῦ ἀδελφοῦ τοῦ κυρίου μου.

Γεν. 24,27 - “δοξασιμένος ας είναι ο Θεός του κυρίου μου Αβραάμ, ο οποίος και εις την περίστασιν αυτήν έδειξε την δικαιοσύνην και την αλήθειάν του, ετήρησε την υπόσχεσίν του απέναντι του κυρίου μου, εμέ δε εβοήθησε να φθάσω αισίως στον οίκον του Ναχώρ, αδελφού του Αβραάμ”.

Γεν. 24,28 - Καὶ δραμοῦσα ἡ παῖς ἀνήγγειλεν εἰς τὸν οἶκον τῆς μητρὸς αὐτῆς κατὰ τὰ ῥήματα ταῦτα.

Γεν. 24,28 - Η κόρη έτρεξε και ανήγγειλεν στον οίκον της μητρός της όλα αυτά τα συμβάντα.

Γεν. 24,29 - τῇ δὲ Ῥεβέκκᾳ ἀδελφὸς ἦν ᾧ ὄνομα Λάβαν· καὶ ἔδραμε Λάβαν πρὸς τὸν ἄνθρωπον ἔξω ἐπὶ τὴν πηγήν.

Γεν. 24,29 - Είχε δε η Ρεβέκκα και αδελφόν ονομαζόμενον Λαβαν, ο οποίος, όταν ήκουσε αυτά, έτρεξεν έξω εις την πηγήν προς τον ξένον εκείνον άνθρωπον.

Γεν. 24,30 - καὶ ἐγένετο ἡνίκα εἶδε τὰ ἐνώτια καὶ τὰ ψέλλια ἐν ταῖς χερσὶ τῆς ἀδελφῆς αὐτοῦ καὶ ὅτε ἤκουσε τὰ ῥήματα Ῥεβέκκας τῆς ἀδελφῆς αὐτοῦ λεγούσης· οὕτω λελάληκέ μοι ὁ ἄνθρωπος, καὶ ἦλθε πρὸς τὸν ἄνθρωπον ἑστηκότος αὐτοῦ ἐπὶ τῶν καμήλων ἐπὶ τῆς πηγῆς

Γεν. 24,30 - Οταν δηλαδή είδε τα σκουλαρίκια και τα βραχιόλια εις τα χέρια της αδελφής του, και όταν ήκουσεν αυτήν να διηγήται και να λέγη όσα

της είχεν είπει ο Ελιέζερ, ήλθεν ο Λαβαν προς αυτόν, που εστέκετο ακόμη όρθιος κοντά εις τας καμήλους του πλησίον της πηγής,

Γεν. 24,31 - καὶ εἶπεν αὐτῷ· δεῦρο εἴσελθε· εὐλογητὸς Κυρίου· ἱνατί ἕστηκας ἔξω; ἐγὼ δὲ ἡτοίμασα τὴν οἰκίαν καὶ τόπον ταῖς καμήλοις.

Γεν. 24,31 - και του είπε· “έλα μαζή μου· κόπιασε στο σπίτι μου· συ είσαι ευλογημένος από τον Κυριον. Διατί στέκεις έξω όρθιος; Εγώ έχω ετοιμάσει την οικίαν μου δια σε και τόπον δια τας καμήλους σου”.

Γεν. 24,32 - εἰσῆλθε δὲ ὁ ἄνθρωπος εἰς τὴν οἰκίαν καὶ ἀπέσαξε τὰς καμήλους καὶ ἔδωκεν ἄχυρα καὶ χορτάσματα ταῖς καμήλοις καὶ ὕδωρ νίψασθαι τοῖς ποσὶν αὐτοῦ καὶ τοῖς ποσὶ τῶν ἀνδρῶν τῶν μετ᾿ αὐτοῦ.

Γεν. 24,32 - Εισήλθεν ο Ελιέζερ εις την οικίαν του Λαβαν και εξεσαμάρωσε τας καμήλους. Ο δε Λαβαν έδωσεν εις μεν τας καμήλους άχυρα και τροφάς, εις δε τον ξένον και τους συνοδούς του ύδωρ, δια να νίψουν τους πόδας των.

Γεν. 24,33 - καὶ παρέθηκεν αὐτοῖς ἄρτους φαγεῖν. καὶ εἶπεν· οὐ μὴ φάγω, ἕως τοῦ λαλῆσαί με τὰ ῥήματά μου. καὶ εἶπαν· λάλησον.

Γεν. 24,33 - Επειτα δε παρέθεσε τράπεζαν εις αυτούς, δια να φάγουν. Είπεν όμως ο Ελιέζερ· “δεν θα βάλω τίποτε στο στόμα μου, αν προηγουμένως δεν σας είπω αυτά, που έχω να σας πω”. Εκείνοι του είπαν· “πές μας· σε ακούομεν”.

Γεν. 24,34 - Καὶ εἶπε· παῖς Ἀβραὰμ ἐγώ εἰμι.

Γεν. 24,34 - Ο Ελιέζερ τότε είπεν· “εγώ είμαι δούλος του Αβραάμ.

Γεν. 24,35 - Κύριος δὲ ηὐλόγησε τὸν κύριόν μου σφόδρα, καὶ ὑψώθη· καὶ ἔδωκεν αὐτῷ πρόβατα καὶ μόσχους καὶ ἀργύριον καὶ χρυσίον, παῖδας καὶ παιδίσκας, καμήλους καὶ ὄνους.

Γεν. 24,35 - Ο Κυριος και Θεός ηυλόγησε πάρα πολύ τον κύριόν μου και τον εξύψωσεν, ώστε να γίνη μέγας. Του έδωσε πρόβατα και μόσχους και αργύριον και χρυσίον, δούλους και δούλας, καμήλους και όνους.

Γεν. 24,36 - καὶ ἔτεκε Σάῤῥα ἡ γυνὴ τοῦ κυρίου μου υἱὸν ἕνα τῷ κυρίῳ μου μετὰ τὸ γηράσαι αὐτόν, καὶ ἔδωκεν αὐτῷ ὅσα ἦν αὐτῷ.

Γεν. 24,36 - Η σύζυγος του κυρίου μου, η Σαρρα, εγέννησεν υιόν στον κύριόν μου, όταν πλέον αυτός ήτο προχωρημένης ηλικίας. Ο δε κύριός μου παρέδωσεν στον υιόν του αυτόν όλην την περιουσίαν.

Γεν. 24,37 - καὶ ὥρκισέ με ὁ κύριός μου, λέγων· οὐ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, ἐν οἷς ἐγὼ παροικῶ ἐν τῇ γῇ αὐτῶν,

Γεν. 24,37 - Με ώρκισε δε ενώπιον του Θεού και μου είπε· πρόσεξε, δεν θα πάρης δια τον υιόν μου γυναίκα από τας θυγατέρας των κατοίκων Χαναάν, εις την χώραν των οποίων εγώ μένω ως πάροικος,

Γεν. 24,38 - ἀλλ᾿ ἢ εἰς τὸν οἶκον τοῦ πατρός μου πορεύσῃ καὶ εἰς τὴν φυλήν μου καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκεῖθεν.

Γεν. 24,38 - αλλά θα μεταβής στον οίκον του πατρός μου και εις την φυλήν, από την οποίαν κατάγομαι και από εκεί θα εκλέξης γυναίκα δια τον υιόν μου.

Γεν. 24,39 - εἶπα δὲ τῷ κυρίῳ μου· μήποτε οὐ πορεύσεται ἡ γυνὴ μετ᾿ ἐμοῦ.

Γεν. 24,39 - Είπα στον κύριόν μου, εάν όμως δεν θελήση η γυναίκα αυτή να έλθη μαζή μου, τι θα γίνη;

Γεν. 24,40 - καὶ εἶπέ μοι· Κύριος ὁ Θεός, ᾧ εὐηρέστησα ἐναντίον αὐτοῦ, αὐτὸς ἐξαποστελεῖ τὸν ἄγγελον αὐτοῦ μετὰ σοῦ καὶ εὐοδώσει τὴν ὁδόν σου, καὶ λήψῃ γυναῖκα τῷ υἱῷ μου ἐκ τῆς φυλῆς μου καὶ ἐκ τοῦ οἴκου τοῦ πατρός μου.

Γεν. 24,40 - Εκείνος μου είπε· ο Κυριος και Θεός, ενώπιον του οποίου εγώ έζησα και έπραξα όπως αρέσει εις αυτόν, θα στείλη μαζή σου τον άγγελόν του, θα κατευοδώση τον δρόμον σου, θα εκπληρώση τον σκοπόν του ταξιδίου σου και θα πάρης δια τον υιόν μου γυναίκα από την φυλήν μου και από την οικογένειαν του πατρός μου.

Γεν. 24,41 - τότε ἀθῷος ἔσῃ ἀπὸ τῆς ἀρᾶς μου· ἡνίκα γὰρ ἐὰν ἔλθῃς εἰς τὴν φυλήν μου καὶ μή σοι δῶσι, καὶ ἔσῃ ἀθῷος ἀπὸ τοῦ ὁρκισμοῦ μου.

Γεν. 24,41 - Εάν έτσι προχωρήσης και φερθής, θα είσαι απηλλαγμένος από την κατάραν μου. Εάν όμως έλθης εις την φυλήν μου και δεν σου δώσουν νύμφην δια τον υιόν μου, θα είσαι αθώος από τον όρκον, στον οποίον σε υπέβαλα.

Γεν. 24,42 - καὶ ἐλθὼν σήμερον ἐπὶ τὴν πηγὴν εἶπα· Κύριε ὁ Θεὸς τοῦ κυρίου μου Ἀβραάμ, εἰ σὺ εὐοδοῖς τὴν ὁδόν μου, ἐν ᾗ νῦν ἐγὼ πορεύομαι ἐν αὐτῇ,

Γεν. 24,42 - Λοιπόν, εγώ ήλθα σήμερον εις την πηγήν, προσηυχήθην προς τον Θεόν και είπα· Κυριε ο Θεός του κυρίου μου Αβραάμ, κατευόδωσε και φέρε εις αίσιον πέρας τον σκοπόν, δια τον οποίον εγώ ήλθον έως εδώ.

Γεν. 24,43 - ἰδοὺ ἐγὼ ἐφέστηκα ἐπὶ τῆς πηγῆς τοῦ ὕδατος, καὶ αἱ θυγατέρες τῶν ἀνθρώπων τῆς πόλεως ἐκπορεύονται ἀντλῆσαι ὕδωρ, καὶ ἔσται ἡ παρθένος, ᾗ ἂν ἐγὼ εἴπω, πότισόν με ἐκ τῆς ὑδρίας σου μικρὸν ὕδωρ,

Γεν. 24,43 - Ιδού εγώ στέκομαι όρθιος εις την πηγήν αυτήν του ύδατος· αι θυγατέρες των κατοίκων της πόλεως αυτής εξέρχονται προς τα εδώ δια να αντλήσουν ύδωρ. Δώσε, ώστε η παρθένος, εις την οποίαν εγώ θα είπω· Ποτισέ με λίγο νερό από την στάμναν σου,

Γεν. 24,44 - καὶ εἴπῃ μοι, καὶ σὺ πίε καὶ ταῖς καμήλοις σου ὑδρεύσομαι, αὕτη ἡ γυνή, ἣν ἡτοίμασε Κύριος τῷ ἑαυτοῦ θεράποντι Ἰσαάκ, καὶ ἐν τούτῳ

γνώσομαι, ὅτι πεποίηκας ἔλεος τῷ κυρίῳ μου Ἀβραάμ.

Γεν. 24,44 - εκείνη δε θα μου πη· πίε και συ και εις τας καμήλους σου εγώ θα δώσω ύδωρ, δώσε ώστε αυτή η γυνή να είναι η προωρισμένη ως σύζυγος δια τον δούλον σου τον Ισαάκ. Κατ' αυτόν τον τρόπον θα εννοήσω, ότι και πάλιν έχεις κάμει το έλεός σου προς τον κύριόν μου τον Αβραάμ.

Γεν. 24,45 - καὶ ἐγένετο πρὸ τοῦ συντελέσαι με λαλοῦντα ἐν τῇ διανοίᾳ μου, εὐθὺς Ῥεβέκκα ἐξεπορεύετο ἔχουσα τὴν ὑδρίαν ἐπὶ τῶν ὤμων καὶ κατέβη ἐπὶ τὴν πηγὴν καὶ ὑδρεύσατο. εἶπα δὲ αὐτῇ· πότισόν με.

Γεν. 24,45 - Πριν δε ακόμη τελειώσω την νοεράν προσευχήν μου, εφάνη αμέσως η Ρεβέκκα εξερχομένη από την πόλιν, με την στάμναν στον ώμον της. Κατέβηκε εις την πηγήν και ήντλησεν ύδωρ. Τοτε της είπα· Δος μου να πιώ και εγώ νερό.

Γεν. 24,46 - καί σπεύσασα καθεῖλε τὴν ὑδρίαν ἐπὶ τὸν βραχίονα αὐτῆς ἀφ᾿ ἑαυτῆς καὶ εἶπε· πίε σύ, καὶ τὰς καμήλους σου ποτιῶ. καὶ ἔπιον καὶ τὰς καμήλους ἐπότισε.

Γεν. 24,46 - Αυτή κατέβασε αμέσως την στάμναν της, την εστήριξεν στον βραχίονά της και μου είπε· Πιέ συ, και θα ποτίσω και τας καμήλους σου. Αφού έπιον εγώ επότισε πράγματι και τας καμήλους.

Γεν. 24,47 - καὶ ἠρώτησα αὐτήν· καὶ εἶπα· θυγάτηρ τίνος εἶ; ἀνάγγειλόν μοι. ἡ δὲ ἔφη· θυγάτηρ Βαθουήλ εἰμι τοῦ υἱοῦ Ναχώρ, ὃν ἔτεκεν αὐτῷ Μελχά. καὶ περιέθηκα αὐτῇ τὰ ἐνώτια καί τὰ ψέλλια περὶ τὰς χεῖρας αὐτῆς·

Γεν. 24,47 - Τοτε την ηρώτησα και της είπα· πες μου τίνος είσαι θυγάτηρ; Εκείνη απήντησεν· είμαι θυγάτηρ του Βαθουήλ, υιού του Ναχώρ και της Μελχά. Εδωσα κατόπιν εις αυτήν σκουλαρίκια και έθεσα βραχιόλια εις τα χέρια της.

Γεν. 24,48 - καὶ εὐδοκήσας προσεκύνησα τῷ Κυρίῳ καὶ εὐλόγησα Κύριον τὸν Θεὸν τοῦ κυρίου μου Ἀβραάμ, ὃς εὐώδωσέ με ἐν ὁδῷ ἀληθείας, λαβεῖν τὴν θυγατέρα τοῦ ἀδελφοῦ τοῦ κυρίου μου τῷ υἱῷ αὐτοῦ.

Γεν. 24,48 - Κατευχαριστημένος δε δι' όλα αυτά έσκυψα και επροσκύνησα και εδόξασα τον Θεόν του κυρίου μου Αβραάμ, ο οποίος κατευώδωσε την πορείαν μου, ώστε να εκλέξω την κόρην του ανεψιού του κυρίου μου ως σύζυγον του υιού του.

Γεν. 24,49 - εἰ οὖν ποιεῖτε ὑμεῖς ἔλεος καὶ δικαιοσύνην πρὸς τὸν κύριόν μου, ἀπαγγείλατέ μοι, εἰ δὲ μή, ἀπαγγείλατέ μοι, ἵνα ἐπιστρέψω εἰς δεξιὰν ἢ ἀριστεράν.

Γεν. 24,49 - Εάν λοιπόν σεις θελήσετε να φανήτε καλοί και δίκαιοι προς τον κύριόν μου, πέστε μου εάν δέχεσθε τας προτάσεις μου. Εάν όμως δεν τας δέχεσθε, πέστε μου, ώστε να στραφώ δεξιά και αριστερά, δια να αναζητήσω αλλού νύμφην δια τον Ισαάκ".

Γεν. 24,50 - Ἀποκριθεὶς δὲ Λάβαν καὶ Βαθουὴλ εἶπαν· παρὰ Κυρίου ἐξῆλθε τὸ πρόσταγμα τοῦτο· οὐ δυνησόμεθα οὖν σοι ἀντειπεῖν κακὸν ἢ καλόν.

Γεν. 24,50 - Ο Λαβαν και ο Βαθουήλ απεκρίθησαν με ένα στόμα και είπαν· “ο Θεός έβγαλε αυτήν την διαταγήν και δεν ημπορούμεν να αρνηθώμεν και να είπωμεν τίποτε κακόν η καλόν. Δεχόμεθα την πρότασίν σου.

Γεν. 24,51 - ἰδοὺ Ῥεβέκκα ἐνώπιόν σου· λαβὼν ἀπότρεχε. καί ἔστω γυνὴ τῷ υἱῷ τοῦ κυρίου σου, καθὰ ἐλάλησε Κύριος.

Γεν. 24,51 - Ιδού η Ρεβέκκα είναι εις την διάθεσίν σου· πάρε την μαζή σου και ας γίνη αυτή σύζυγος στον υιόν του κυρίου σου όπως ο Θεός διέταξε”.

Γεν. 24,52 - ἐγένετο δὲ ἐν τῷ ἀκοῦσαι τὸν παῖδα τοῦ Ἀβραὰμ τῶν ῥημάτων τούτων, προσεκύνησεν ἐπὶ τὴν γῆν τῷ Κυρίῳ.

Γεν. 24,52 - Οταν ο Ελιέζερ ήκουσε τα λόγια αυτά επροσκύνησε μέχρις εδάφους τον Θεόν εις έκφρασιν της χαράς και της ευγνωμοσύνης του.

Γεν. 24,53 - καὶ ἐξενέγκας ὁ παῖς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμὸν ἔδωκε τῇ Ῥεβέκκᾳ καὶ δῶρα ἔδωκε τῷ ἀδελφῷ αὐτῆς καὶ τῇ μητρὶ αὐτῆς.

Γεν. 24,53 - Εβγαλε τότε ο Ελιέζερ από τας αποσκευάς του χρυσά και αργυρά κοσμήματα και φορέματα και τα έδωσε εις την Ρεβέκκαν. Εδωσεν επίσης δώρα στον αδελφόν της τον Λαβαν και εις την μητέρα της

Γεν. 24,54 - καὶ ἔφαγον καὶ ἔπιον καὶ αὐτὸς καὶ οἱ ἄνδρες οἱ μετ᾽ αὐτοῦ ὄντες, καὶ ἐκοιμήθησαν. Καὶ ἀναστὰς τὸ πρωΐ εἶπεν· ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου.

Γεν. 24,54 - Κατόπιν δε αυτών έφαγον και έπιον ο Ελιέζερ και οι άνδρες, που ήσαν μαζή του, και μετά το δείπνον έπεσαν και εκοιμήθησαν. Το πρωϊ δε σηκώθηκε ο Ελιέζερ και είπε· “κατευοδώσατέ με τώρα και επιτρέψατέ μου να επανέλθω προς τον κύριόν μου”.

Γεν. 24,55 - εἶπαν δὲ οἱ ἀδελφοὶ αὐτῆς καὶ ἡ μήτηρ· μεινάτω ἡ παρθένος μεθ᾽ ἡμῶν ἡμέρας ὡσεὶ δέκα, καὶ μετὰ ταῦτα ἀπελεύσεται.

Γεν. 24,55 - Οι αδελφοί της Ρεβέκκας και η μητέρα της είπαν· “ας μείνη ακόμη μαζή μας η κόρη μας, έστω και δέκα ημέρας, μετά τας οποίας ας αναχωρήση”.

Γεν. 24,56 - ὁ δὲ εἶπε πρὸς αὐτούς· μὴ κατέχετέ με, καὶ Κύριος εὐώδωσε τὴν ὁδόν μου ἐν ἐμοί· ἐκπέμψατέ με, ἵνα ἀπέλθω πρὸς τὸν κύριόν μου.

Γεν. 24,56 - Ο δε Ελιέζερ είπε προς αυτούς· “μη με κρατήτε, διότι ο Κυριος έφερεν εις πέρας την αποστολήν μου. Κατευοδώσατέ με να επιστρέψω στον κύριόν μου”.

Γεν. 24,57 - οἱ δὲ εἶπαν· καλέσωμεν τὴν παῖδα καὶ ἐρωτήσωμεν τὸ στόμα αὐτῆς.

Γεν. 24,57 - Εκείνοι απήντησαν· “Ας καλέσωμεν την κόρην να την ερωτήσωμεν και να ακούσωμεν από το στόμα της τι γνώμην έχει”.

Γεν. 24,58 - καὶ ἐκάλεσαν τὴν Ῥεβέκκαν καὶ εἶπαν αὐτῇ· πορεύσῃ μετὰ τοῦ ἀνθρώπου τούτου; ἡ δὲ εἶπε· πορεύσομαι.

Γεν. 24,58 - Εκάλεσαν, λοιπόν, την Ρεβέκκαν και της είπαν· “επιθυμείς να αναχωρήσης αμέσως με τον άνθρωπον αυτόν; Εκείνη είπεν· “ναι· θα αναχωρήσω”.

Γεν. 24,59 - καὶ ἐξέπεμψαν Ῥεβέκκαν τὴν ἀδελφὴν αὐτῶν καὶ τὰ ὑπάρχοντα αὐτῆς καὶ τὸν παῖδα τοῦ Ἀβραὰμ καὶ τοὺς μετ᾿ αὐτοῦ.

Γεν. 24,59 - Κατευώδωσαν τότε την αδελφήν των με όλα αυτής τα υπάρχοντα και τον δούλον του Αβραάμ μαζή με τους συνοδούς του.

Γεν. 24,60 - καὶ εὐλόγησαν Ῥεβέκκαν καὶ εἶπαν αὐτῇ· ἀδελφὴ ἡμῶν εἶ· γίνου εἰς χιλιάδας μυριάδων, καὶ κληρονομησάτω τὸ σπέρμα σου τὰς πόλεις τῶν ὑπεναντίων.

Γεν. 24,60 - Ηυχήθησαν δε την Ρεβέκκαν και της είπαν· “είσαι αδελφή μας. Γινε προμήτωρ εις χιλιάδας μυριάδας γενεών και οι απόγονοί σου ας είναι τόσον ισχυροί, ώστε να κυριεύσουν και να κληρονομήσουν τας πόλεις των εχθρών των”.

Γεν. 24,61 - ἀναστᾶσα δὲ Ῥεβέκκα καὶ αἱ ἅβραι αὐτῆς, ἐπέβησαν ἐπὶ τὰς καμήλους καὶ ἐπορεύθησαν μετὰ τοῦ ἀνθρώπου, καὶ ἀναλαβὼν ὁ παῖς τὴν Ῥεβέκκαν ἀπῆλθεν.

Γεν. 24,61 - Ηγέρθη δε η Ρεβέκκα και αι θεραπαινίδες της, ανέβησαν εις τας καμήλους και επορεύθησαν με τον άνθρωπον εκείνον. Και ο Ελιέζερ, ο δούλος του Αβραάμ, λαβών την Ρεβέκκαν ανεχώρησε.

Γεν. 24,62 - Ἰσαὰκ δὲ διεπορεύετο διὰ τῆς ἐρήμου κατὰ τὸ φρέαρ τῆς ὁράσεως· αὐτὸς δὲ κατῴκει ἐν τῇ γῇ τῇ πρὸς λίβα.

Γεν. 24,62 - Ο δε Ισαάκ κατά τον καιρόν αυτόν επορεύετο δια μέσου της ερήμου προς το φρέαρ, το οποίον ωνομάζετο “Φρέαρ της οράσεως”· κατοικούσε δε εις την νότιον περιοχήν της Χαναάν.

Γεν. 24,63 - καὶ ἐξῆλθεν Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ πεδίον τὸ πρὸς δείλης καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε καμήλους ἐρχομένας.

Γεν. 24,63 - Καποιο δειλινόν εξήλθεν ο Ισαάκ να περιπατήση προς ψυχαγωγίαν του εις την πεδιάδα. Υψωσε τα μάτια του και είδεν από μακράν καμήλους να έρχωνται.

Γεν. 24,64 - καὶ ἀναβλέψασα Ῥεβέκκα τοῖς ὀφθαλμοῖς εἶδε τὸν Ἰσαὰκ καὶ κατεπήδησεν ἀπὸ τῆς καμήλου.

Γεν. 24,64 - Η Ρεβέκκα ύψωσε και αυτή τους οφθαλμούς της, είδε τον Ισαάκ και από αίσθημα αιδούς καταληφθείσα επήδησε κάτω από την

κάμηλον.

Γεν. 24,65 - καὶ εἶπε τῷ παιδί· τίς ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος ὁ πορευόμενος ἐν τῷ πεδίῳ εἰς συνάντησιν ἡμῖν; εἶπε δὲ ὁ παῖς· οὗτός ἐστιν ὁ κύριός μου. ἡ δὲ λαβοῦσα τὸ θέριστρον περιεβάλετο.

Γεν. 24,65 - Ηρώτησε δε τον Ελιέζερ· “ποιός είναι ο άνθρωπος εκείνος, που περιπατεί εις την πεδιάδα και έρχεται προς συνάντησίν μας;” Είπε δε ο Ελιέζερ· “αυτός είναι ο νέος κύριός μου, ο Ισαάκ”. Εκείνη έλαβε καλύπτραν και εσκεπάσθη.

Γεν. 24,66 - καὶ διηγήσατο ὁ παῖς τῷ Ἰσαὰκ πάντα τὰ ῥήματα, ἃ ἐποίησεν.

Γεν. 24,66 - Οταν συνήντησαν τον Ισαάκ, διηγήθη ο Ελιέζερ όλα όσα έκαμε εις την γην της Χαρράν.

Γεν. 24,67 - εἰσῆλθε δὲ Ἰσαὰκ εἰς τὸν οἶκον τῆς μητρὸς αὐτοῦ καὶ ἔλαβε τὴν Ῥεβέκκαν, καὶ ἐγένετο αὐτοῦ γυνή, καὶ ἠγάπησεν αὐτήν· καὶ παρεκλήθη Ἰσαὰκ περὶ Σάῤῥας τῆς μητρὸς αὐτοῦ.

Γεν. 24,67 - Ο Ισαάκ έλαβε την Ρεβέκκαν, την εισήγαγεν εις την σκηνήν της μητρός του, την ενυμφεύθη και την ηγάπησεν. Ετσι δε και επαρηγορήθη δια τον θάνατον της μητρός του.

## ΓΕΝΕΣΙΣ 25

Γεν. 25,1 - Προσθέμενος δὲ Ἀβραὰμ ἔλαβε γυναῖκα, ᾗ ὄνομα Χεττούρα.

Γεν. 25,1 - Ο δε Αβραάμ έλαβε και δευτέραν γυναίκα, η οποία ωνομάζετο Χεττούρα.

Γεν. 25,2 - ἔτεκε δὲ αὐτῷ τὸν Ζομβρᾶν καὶ τὸν Ἰεζὰν καὶ τὸν Μαδὰλ καὶ τὸν Μαδιὰμ καὶ τὸν Ἰεσβὼκ καὶ τὸν Σωκέ.

Γεν. 25,2 - Απέκτησε δε από αυτήν υιούς τον Σομβράν, τον Ιεζάν, τον Μαδάλ, τον Μαδιάμ, τον Ιεσβώκ και τον Σωκέ.

Γεν. 25,3 - Ἰεζὰν δὲ ἐγέννησε καὶ τὸν Θαιμὰν τὸν Σαβὰ καὶ τὸν Δεδάν· υἱοὶ δὲ Δεδὰν ἐγένοντο Ῥαγουὴλ καὶ Ναβδεὴλ καὶ Ἀσσουριεὶμ καὶ Λατουσιεὶμ καὶ Λαωμείμ.

Γεν. 25,3 - Ο Ιεζάν απέκτησε υιόν τον Θαιμάν, τον Σαβά και τον Δεδάν. Οι υιοί δε του Δεδάν ήσαν ο Ραγουήλ, ο Ναβδεήλ, ο Ασσουριείμ, ο Λατουσιείμ και ο Λαωμείμ.

Γεν. 25,4 - υἱοὶ δὲ Μαδιὰμ Γεφὰρ καὶ Ἀφεὶρ καὶ Ἐνὼχ καὶ Ἀβειρὰ καὶ Ἐλδαγά. πάντες οὗτοι ἦσαν υἱοὶ Χεττούρας.

Γεν. 25,4 - Οι υιοί δε του Μαδιάμ ήσαν ο Γεφάρ, ο Αφείρ, ο Ενώχ, ο Αβειρά και ο Ελδαγά. Ολοι δε αυτοί ήσαν απόγονοι της Χεττούρας.

Γεν. 25,5 - Ἔδωκε δὲ Ἀβραὰμ πάντα τὰ ὑπάρχοντα αὐτοῦ Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ,

Γεν. 25,5 - Ο δε Αβραάμ έδωσεν όλα τα υπάρχοντά του στον Ισαάκ, τον υιόν της επαγγελίας.

Γεν. 25,6 - καὶ τοῖς υἱοῖς τῶν παλλακῶν αὐτοῦ ἔδωκεν Ἀβραὰμ δόματα καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ Ἰσαὰκ τοῦ υἱοῦ αὐτοῦ, ἔτι ζῶντος αὐτοῦ, πρὸς ἀνατολὰς εἰς γῆν ἀνατολῶν.

Γεν. 25,6 - Εις δε τους υιούς των γυναικών του της δευτέρας σειράς έδωσε διάφορα δώρα και, ζων ακόμη, απεμάκρυνεν αυτούς εις διάφορα μέρη, εις την ανατολικώς της Παλαιστίνης χώραν, την Αραβίαν, μακράν από τον υιόν του τον Ισαάκ.

Γεν. 25,7 - ταῦτα δὲ τὰ ἔτη ἡμερῶν τῆς ζωῆς Ἀβραὰμ ὅσα ἔζησεν, ἑκατὸν ἑβδομηκονταπέντε ἔτη.

Γεν. 25,7 - Εζησε δε εν συνόλω ο Αβραάμ εκατόν εβδομήκοντα πέντε έτη.

Γεν. 25,8 - καὶ ἐκλείπων ἀπέθανεν Ἀβραὰμ ἐν γήρᾳ καλῷ πρεσβύτης καὶ πλήρης ἡμερῶν καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

Γεν. 25,8 - Εγκατέλειψαν αυτόν αι δυνάμστου, απέθανεν εις ευτυχές γήρας, πρεσβύτης πλήρης ημερών, και προσετέθη στους εκ του κόσμου τούτου εκδημήσαντας προγόνους του.

Γεν. 25,9 - καὶ ἔθαψαν αὐτὸν Ἰσαὰκ καὶ Ἰσμαὴλ οἱ υἱοὶ αὐτοῦ εἰς τὸ σπήλαιον τὸ διπλοῦν, εἰς τὸν ἀγρὸν Ἐφρὼν τοῦ Σαὰρ τοῦ Χετταίου, ὅς ἐστιν ἀπέναντι Μαμβρῆ,

Γεν. 25,9 - Εθαψαν αυτόν ο Ισαάκ και ο Ισμαήλ, οι υιοί του, στο διπλούν σπήλαιον, το οποίον ευρίσκετο στον αγρόν του Εφρών, υιού Σαάρ του Χετταίου, απέναντι από την Δρυν Μαμβρή·

Γεν. 25,10 - τὸν ἀγρὸν καὶ τὸ σπήλαιον, ὃ ἐκτήσατο Ἀβραὰμ παρὰ τῶν υἱῶν τοῦ Χέτ, ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ.

Γεν. 25,10 - στον αγρόν αυτόν και το σπήλαιον, τα οποία είχεν αγοράσει ο Αβραάμ από τους ανθρώπους της φυλής Χέτ, εκεί τον έθαψαν, όπου είχε θάψει και την γυναίκα του, την Σαρραν.

Γεν. 25,11 - ἐγένετο δὲ μετὰ τὸ ἀποθανεῖν Ἀβραάμ, εὐλόγησεν ὁ Θεὸς τὸν Ἰσαὰκ υἱὸν αὐτοῦ· καὶ κατῴκησεν Ἰσαὰκ παρὰ τὸ φρέαρ τῆς ὁράσεως.

Γεν. 25,11 - Μετά δε τον θάνατον του Αβραάμ ευλόγησεν ο Θεός τον υιόν αυτού τον Ισαάκ, ο οποίος και εγκατεστάθη στο φρέαρ της οράσεως, δηλαδή εις την Βηρσαβεέ.

Γεν. 25,12 - Αὗται δέ αἱ γενέσεις Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ, ὃν ἔτεκεν Ἄγαρ ἡ Αἰγυπτία ἡ παιδίσκη Σάῤῥας τῷ Ἀβραάμ.

Γεν. 25,12 - Οι δε απόγονοι του Ισμαήλ, του υιού του Αβραάμ και της Αιγυπτίας δούλης Αγαρ, ήσαν οι εξής·

Γεν. 25,13 - καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσμαὴλ κατ᾿ ὀνόματα τῶν γενεῶν αὐτοῦ· πρωτότοκος Ἰσμαὴλ Ναβαιώθ, καὶ Κηδὰρ καὶ Ναβδεὴλ καὶ Μασσὰμ

Γεν. 25,13 - Αυτά ήσαν τα ονόματα των υιών του Ισμαήλ, κατά τα ονόματα των απογόνων του. Πρωτότοκος υιός του Ισμαήλ ήτο ο Ναβαιώθ, μετ' αυτόν δε ο Κηδάρ, ο Ναβδεήλ, ο Μασσάμ,

Γεν. 25,14 - καὶ Μασμὰ καὶ Δουμὰ καὶ Μασσῆ

Γεν. 25,14 - ο Μασμά, ο Δουμά, ο Μασσή,

Γεν. 25,15 - καὶ Χοδδὰν καὶ Θαιμὰν καὶ Ἰετοὺρ καὶ Ναφὲς καὶ Κεδμά.

Γεν. 25,15 - ο Χοδδάν, ο Θαιμάν, ο Ιετούρ, ο Ναφές και ο Κεδμά.

Γεν. 25,16 - οὗτοί εἰσιν οἱ υἱοὶ Ἰσμαὴλ καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν ἐν ταῖς σκηναῖς αὐτῶν καὶ ἐν ταῖς ἐπαύλεσιν αὐτῶν· δώδεκα ἄρχοντες κατὰ ἔθνη αὐτῶν.

Γεν. 25,16 - Αυτοί ήσαν οι υιοί του Ισμαήλ και αυτά τα ονόματά των, οι οποίοι κατοικούσαν εις σκηνάς και εις χωρία, και οι οποίοι ανεδείχθησαν γενάρχαι και άρχοντες δώδεκα λαών, ενός λαού ο καθένας από αυτούς.

Γεν. 25,17 - καὶ ταῦτα τὰ ἔτη τῆς ζωῆς Ἰσμαήλ· ἑκατὸν τριακονταεπτὰ ἔτη· καὶ ἐκλείπων ἀπέθανε καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ.

Γεν. 25,17 - Τα έτη της ζωής του Ισμαήλ ανήλθον εις εκατόν τριάκοντα επτά. Εξέλιπον τότε αι δυνάμστου, εξεδήμησεν από τον κόσμον αυτόν και προσετέθη στους προαπελθόντας από το γένος του.

Γεν. 25,18 - κατῴκησε δὲ ἀπὸ Εὐϊλὰτ ἕως Σούρ, ἥ ἐστι κατὰ πρόσωπον Αἰγύπτου, ἕως ἐλθεῖν πρὸς Ἀσσυρίους· κατὰ πρόσωπον πάντων τῶν ἀδελφῶν αὐτοῦ κατῴκησε.

Γεν. 25,18 - Οι απόγονοι του Ισμαήλ, οι Ισμαηλίται, εγκατεστάθησαν εις την περιοχήν από Ευϊλάτ, έως την έρημον Σούρ, η οποία ευρίσκεται ανατολικώς της Αιγύπτου και μέχρι της Ασσυρίας, εις χώραν δηλαδή ανατολικώς της Παλαιστίνης, επί της οποίας Παλαιστίνης είχον εγκατασταθή οι απόγονοι του Ισαάκ, αδελφού του Ισμαήλ, οι Ισραηλίται.

Γεν. 25,19 - Καὶ αὗται αἱ γενέσεις Ἰσαὰκ τοῦ υἱοῦ Ἀβραάμ·

Γεν. 25,19 - Ιδού δε η ιστορία και αι γενεαλογία του Ισαάκ, υιού του Αβραάμ.

Γεν. 25,20 - Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ. ἦν δὲ Ἰσαὰκ ἐτῶν τεσσαράκοντα, ὅτε ἔλαβε τὴν Ῥεβέκκαν θυγατέρα Βαθουὴλ τοῦ Σύρου ἐκ τῆς Μεσοποταμίας Συρίας, ἀδελφὴν Λάβαν τοῦ Σύρου, ἑαυτῷ εἰς γυναῖκα.

Γεν. 25,20 - Ο Αβραάμ απέκτησεν υιόν τον Ισαάκ. Ητο δε ο Ισαάκ τεσσαράκοντα ετών, όταν έλαβεν ως σύζυγον την Ρεβέκκαν, θυγατέρα Βαθουήλ του Συρου, του καταγομένου, δηλαδή, από την Μεσοποταμίαν της Συρίας, την αδελφήν του Λαβαν του Συρου.

Γεν. 25,21 - ἐδέετο δὲ Ἰσαὰκ Κυρίου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, ὅτι στεῖρα ἦν· ἐπήκουσε δὲ αὐτοῦ ὁ Θεός, καὶ συνέλαβεν ἐν γαστρὶ Ῥεβέκκα ἡ γυνὴ αὐτοῦ.

Γεν. 25,21 - Ο Ισαάκ παρεκάλει θερμώς τον Κυριον δια την γυναίκα αυτού την Ρεβέκκαν, επειδή αυτή ήτο στείρα. Ο Θεός εισήκουσε την δέησίν του, ηυλόγησε την Ρεβέκκαν, την σύζυγον του Ισαάκ, η οποία συνέλαβε και έμεινε έγκυος.

Γεν. 25,22 - ἐσκίρτων δὲ τὰ παιδία ἐν αὐτῇ· εἶπε δέ, εἰ οὕτω μοι μέλλει γίνεσθαι, ἵνα τί μοι τοῦτο; ἐπορεύθη δὲ πυθέσθαι παρὰ Κυρίου.

Γεν. 25,22 - Δυο δε παιδιά εσκιρτούσαν και τρόπον τινά διεπληκτίζοντο εις την κοιλίαν της. Η δε Ρεβέκκα είπε τότε· “εάν επρόκειτο να μου συμβούν αυτά, να διαπληκτίζωνται δηλαδή τα παιδιά μου, πριν ακόμη γεννηθούν, διατί να μείνω έγκυος;” Μετέβη λοιπόν και ηρώτησε σχετικώς τον Κυριον.

Γεν. 25,23 - καὶ εἶπε Κύριος αὐτῇ· δύο ἔθνη ἐν γαστρί σου εἰσί, καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σου διασταλήσονται· καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι.

Γεν. 25,23 - Είπε δε ο Κυριος εις αυτήν· “δύο λαοί υπάρχουν εις την κοιλίαν σου, δύο διαφορετικαί φυλαί θα ξεχωρίσουν από σέ. Ο ένας εκ των δύο λαών θα αναδειχθή ανώτερος του άλλου, και ο μεγαλύτερος θα είναι υποχείριος και δούλος στον μικρότερον”.

Γεν. 25,24 - καὶ ἐπληρώθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ κοιλίᾳ αὐτῆς.

Γεν. 25,24 - Συνεπληρώθησαν αι ημέραι του τοκετού της Ρεβέκκας, εις την κοιλίαν της οποίας υπήρχον πράγματι δίδυμα.

Γεν. 25,25 - ἐξῆλθε δὲ ὁ πρωτότοκος πυῤῥάκης, ὅλος ὡσεὶ δορὰ δασύς· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Ἠσαῦ.

Γεν. 25,25 - Κατά τον τοκετόν εξήλθεν ο πρωτότοκος, ο οποίος είχε χρώμα ερυθρόν και ήτο δασύθριξ σαν τριχωτόν δέρμα ζώου. Δι' αυτό δε και ωνόμασαν αυτόν Ησαύ.

Γεν. 25,26 - καὶ μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, καὶ ἡ χεὶρ αὐτοῦ ἐπειλημμένη τῆς πτέρνης Ἠσαῦ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰακώβ. Ἰσαὰκ δὲ ἦν ἐτῶν ἑξήκοντα, ὅτε ἔτεκεν αὐτοὺς Ῥεβέκκα.

Γεν. 25,26 - Εν συνεχεία εξήλθεν ο αδελφός του, του οποίου η χειρ είχε συλλάβει την πτέρναν του Ησαύ. Δια τούτο τον ωνόμασαν Ιακώβ. Ητο δε τότε ο Ισαάκ εξήκοντα ετών, όταν η Ρεβέκκα εγέννησε τα δίδυμα αυτά παιδιά.

Γεν. 25,27 - Ηὐξήθησαν δὲ οἱ νεανίσκοι, καὶ ἦν Ἠσαῦ ἄνθρωπος εἰδὼς κυνηγεῖν, ἄγροικος, Ἰακὼβ δὲ ἄνθρωπος ἄπλαστος, οἰκῶν οἰκίαν.

Γεν. 25,27 - Εμεγάλωσαν οι νεαροί αυτοί αδελφοί. Ο Ησαύ ήτο επιτήδειος κυνηγός, άνθρωπος της υπαίθρου, ενώ ο Ιακώβ ήτο άνθρωπος απλούς και

αφελής, ευχαριστούμενος να μένη στο σπίτι.

Γεν. 25,28 - ἠγάπησε δὲ Ἰσαὰκ τὸν Ἡσαῦ, ὅτι ἡ θήρα αὐτοῦ βρῶσις αὐτῷ· Ῥεβέκκα δὲ ἠγάπα τὸν Ἰακώβ.

Γεν. 25,28 - Ο Ισαάκ ηγάπησε περισσότερον τον Ησαύ, διότι έτρωγε με ευχαρίστησιν τα θηράματα από το κυνήγιον αυτού, η δε Ρεβέκκα ηγάπησε τον Ιακώβ ως άνθρωπον του σπιτιού.

Γεν. 25,29 - ἥψησε δὲ Ἰακὼβ ἕψημα· ἦλθε δὲ Ἡσαῦ ἐκ τοῦ πεδίου ἐκλείπων,

Γεν. 25,29 - Ο Ιακώβ εβραζε κάποτε ένα φαγητόν. Ο Ησαύ επέστρεψε την ημέραν εκείνην από την πεδιάδα κατεξηντλημένος,

Γεν. 25,30 - καὶ εἶπεν Ἡσαῦ τῷ Ἰακώβ· γεῦσόν με ἀπὸ τοῦ ἑψήματος τοῦ πυῤῥοῦ τούτου, ὅτι ἐκλείπω. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἐδώμ.

Γεν. 25,30 - Και είπεν στον Ιακώβ· “δος μου να γευθώ από αυτό το κόκκινο φαγητό, διότι πεθαίνω από την πείνα”. -Δι' αυτό ωνομάσθη ο Ησαύ και Εδώμ (κόκκινος).

Γεν. 25,31 - εἶπε δὲ Ἰακὼβ τῷ Ἡσαῦ· ἀπόδου μοι σήμερον τὰ πρωτοτόκιά σου ἐμοί.

Γεν. 25,31 - Ευρήκε τότε ευκαιρίαν ο Ιακώβ και είπεν στον Ησαύ· “παραχώρησέ μου σήμερον τα πρωτοτόκιά σου και εγώ θα σου δώσω να φάγης”.

Γεν. 25,32 - καὶ εἶπεν Ἡσαῦ· ἰδοὺ ἐγὼ πορεύομαι τελευτᾶν, καὶ ἵνα τί μοι ταῦτα τὰ πρωτοτόκια;

Γεν. 25,32 - Και ο Ησαύ απήντησεν· “εγώ κοντεύω να πεθάνω από την πείναν και τι με ωφελούν αυτά τα πρωτοτόκια;”

Γεν. 25,33 - καὶ εἶπεν αὐτῷ Ἰακώβ· ὄμοσόν μοι σήμερον. καὶ ὤμοσεν αὐτῷ· ἀπέδοτο δὲ Ἡσαῦ τὰ πρωτοτόκια τῷ Ἰακώβ.

Γεν. 25,33 - Είπεν εις αυτόν ο Ιακώβ· “κάμε μου σήμερον όρκον, ότι μου παραχωρείς τα πρωτοτόκιά σου”. Ο Ησαύ ωρκίσθη και έτσι επώλησεν στον Ιακώβ τα πρωτοτόκια αντί πινακίου φακής.

Γεν. 25,34 - Ἰακὼβ δὲ ἔδωκε τῷ Ἡσαῦ ἄρτον καὶ ἕψημα φακοῦ, καὶ ἔφαγε καὶ ἔπιε καὶ ἀναστὰς ᾤχετο· καὶ ἐφαύλισεν Ἡσαῦ τὰ πρωτοτόκια.

Γεν. 25,34 - Τοτε ο Ιακώβ έδωσε ψωμί και μαγειρευμένες φακές στον Ησαύ, ο οποίος έφαγε, έπιε και ανεχώρησε, χωρίς να δώση καμμίαν σημασίαν ότι απεξενώθη από τα πρωτοτόκια. Ετσι δε ο Ησαύ περιεφρόνησε και εξηυτέλισε τα πρωτοτόκια.

## ΓΕΝΕΣΙΣ 26

Γεν. 26,1 - Ἐγένετο δὲ λιμὸς ἐπὶ τῆς γῆς χωρὶς τοῦ λιμοῦ τοῦ πρότερον, ὃς ἐγένετο ἐν τῷ καιρῷ τοῦ Ἀβραάμ· ἐπορεύθη δὲ Ἰσαὰκ πρὸς Ἀβιμέλεχ

βασιλέα Φυλιστιεὶμ εἰς Γέραρα.

Γεν. 26,1 - Επεσε κατά την εποχήν εκείνην πείνα, ωσάν εκείνην η οποία είχε γίνει προηγουμένως κατά τους χρόνους του Αβραάμ. Δια την εξεύρεσιν δε τροφίμων ανεχώρησεν ο Ισαάκ εις Γέραρα προς τον Αβιμέλεχ, βασιλέα των Φιλισταίων, δια να μεταβή από εκεί εις την Αίγυπτον.

Γεν. 26,2 - ὤφθη δὲ αὐτῷ Κύριος καὶ εἶπε· μὴ καταβῇς εἰς Αἴγυπτον· κατοίκησον δὲ ἐν τῇ γῇ, ᾗ ἄν σοι εἴπω.

Γεν. 26,2 - Παρουσιάσθη όμως εις αυτόν ο Κυριος και του είπε· “μη μεταβής εις Αίγυπτον, αλλά να κατοικήσης εις την χώραν, την οποίαν εγώ θα σου είπω.

Γεν. 26,3 - καὶ παροίκει ἐν τῇ γῇ ταύτῃ, καὶ ἔσομαι μετὰ σοῦ καὶ εὐλογήσω σε· σοὶ γὰρ καὶ τῷ σπέρματί σου δώσω πᾶσαν τὴν γῆν ταύτην καὶ στήσω τὸν ὅρκον μου, ὃν ὤμοσα τῷ Ἀβραὰμ τῷ πατρί σου.

Γεν. 26,3 - Μείνε προσωρινώς εις την γην αυτήν των Φιλισταίων, και εγώ θα είμαι μαζή σου και θα σε ευλογήσω· διότι εις σε και στους απογόνους σου θα δώσω όλην αυτήν την γώραν και θα εκπληρώσω έτσι την ένορκον υπόσχεσιν, την οποίαν έδωκα στον Αβραάμ τον πατέρα σου.

Γεν. 26,4 - καὶ πληθυνῶ τὸ σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ καὶ δώσω τῷ σπέρματί σου πᾶσαν τὴν γῆν ταύτην, καὶ εὐλογηθήσονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς,

Γεν. 26,4 - Θα πληθύνω δε τους απογόνους σου ωσάν τα αστέρια του ουρανού και θα δώσω όλην αυτήν την χώραν στους απογόνους σου. Δι' ενός δε εκ των Απογόνων σου θα ευλογηθούν όλοι οι λαοί της γης.

Γεν. 26,5 - ἀνθ᾿ ὧν ὑπήκουσεν Ἀβραὰμ ὁ πατήρ σου τῆς ἐμῆς φωνῆς καὶ ἐφύλαξε τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου καὶ τὰ δικαιώματά μου καὶ τὰ νόμιμά μου.

Γεν. 26,5 - Και ταύτα προς χάριν του πατρός σου του Αβραάμ, ο οποίος υπήκουσεν εις την εντολήν μου, εφύλαξε τα προστάγματά μου και τας εντολάς μου, τα δικαιώματά μου και τον νόμον μου”.

Γεν. 26,6 - κατῴκησε δὲ Ἰσαὰκ ἐν Γεράροις.

Γεν. 26,6 - Πράγματι δε ο Ισαάκ εγκατεστάθη εις τα Γέραρα.

Γεν. 26,7 - Ἐπηρώτησαν δὲ οἱ ἄνδρες τοῦ τόπου περὶ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ, καὶ εἶπεν· ἀδελφή μου ἐστίν· ἐφοβήθη γὰρ εἰπεῖν ὅτι γυνή μου ἐστί, μήποτε ἀποκτείνωσιν αὐτὸν οἱ ἄνδρες τοῦ τόπου περὶ Ῥεβέκκας, ὅτι ὡραία τῇ ὄψει ἦν.

Γεν. 26,7 - Καθ' ον χρόνον όμως έμενεν εκεί, οι άνδρες της πόλεως του εζήτησαν πληροφορίας δια την γυναίκα του την Ρεβέκκαν, ποίαν δηλαδή προς αυτήν συγγένειαν και σχέσιν έχει. Εκείνος απήντησεν ότι είναι αδελφή μου. Εφοβήθη να είπη ότι είναι σύζυγός μου, μήπως και τον φονεύσουν οι

άνδρες της πόλεως εκείνης ένεκα της Ρεβέκκας, διότι αυτή ήτο ωραία κατά την εμφάνισιν.

Γεν. 26,8 - ἐγένετο δὲ πολυχρόνιος ἐκεῖ· καὶ παρακύψας Ἀβιμέλεχ ὁ βασιλεὺς Γεράρων διὰ τῆς θυρίδος, εἶδε τὸν Ἰσαὰκ παίζοντα μετὰ Ῥεβέκκας τῆς γυναικὸς αὐτοῦ.

Γεν. 26,8 - Εμεινε δε εκεί ο Ισαάκ επί πολύ χρονικόν διάστημα. Καποιαν ημέραν ο βασιλεύς των Γεράρων Αβιμέλεχ έσκυψε από τα ανάκτορά του και είδε από την ανοικτήν θύραν της σκηνής τον Ισαάκ να χαριεντίζεται με την Ρεβέκκαν την σύζυγόν του.

Γεν. 26,9 - ἐκάλεσε δὲ Ἀβιμέλεχ τὸν Ἰσαὰκ καὶ εἶπεν αὐτῷ· ἆρά γε γυνή σου ἐστί; τί ὅτι εἶπας, ἀδελφή μου ἐστίν; εἶπε δὲ αὐτῷ Ἰσαάκ· εἶπα γάρ, μήποτε ἀποθάνω δι᾽ αὐτήν.

Γεν. 26,9 - Εκάλεσε τότε τον Ισαάκ και του είπε· "ώστε λοιπόν είναι γυναίκα σου η Ρεβέκκα; Διατί είπες ότι είναι αδελφή σου;" Ο Ισαάκ απήντησεν εις αυτόν· "Είπα ότι είναι, αδελφή μου, διότι εφοβήθηκα μήπως εξ αιτίας της φονευθώ".

Γεν. 26,10 - εἶπε δὲ αὐτῷ Ἀβιμέλεχ· τί τοῦτο ἐποίησας ἡμῖν; μικροῦ ἐκοιμήθη τις ἐκ τοῦ γένους μου μετὰ τῆς γυναικός σου, καὶ ἐπήγαγες ἂν ἐφ᾽ ἡμᾶς ἄγνοιαν.

Γεν. 26,10 - Ο δε Αβιμέλεχ του είπε· "τι είναι αυτό που μας έκαμες; Παρ' ολίγον και να εκοιμάτο μαζή της κάποιος από την φυλήν μου, και θα εγίνεσο συ αιτιά να πέση επάνω μας αμαρτία και ενοχή δια την άγνοιάν μας αυτήν".

Γεν. 26,11 - συνέταξε δὲ Ἀβιμέλεχ παντὶ τῷ λαῷ αὐτοῦ, λέγων· πᾶς ὁ ἁψάμενος τοῦ ἀνθρώπου τούτου ἢ τῆς γυναικὸς αὐτοῦ, θανάτῳ ἔνοχος ἔσται.

Γεν. 26,11 - Εβγαλε δε διαταγήν ο Αβιμέλεχ προς όλον τον λαόν του και είπεν· "Εκείνος ο οποίος θα τολμήση να εγγίση τον άνθρωπον αυτόν η την σύζυγόν του, θα είναι ένοχος θανάτου".

Γεν. 26,12 - ἔσπειρε δὲ Ἰσαὰκ ἐν τῇ γῇ ἐκείνῃ καὶ εὗρεν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ ἑκατοστεύουσαν κριθήν· εὐλόγησε δὲ αὐτὸν Κύριος.

Γεν. 26,12 - Ο Ισαάκ εκαλλιέργησε και έσπειρε εις την χώραν εκείνην και εθέρισε κριθάρι εκατονταπλάσιον. Ο δε Θεός τον ευλόγησε πλουσίως.

Γεν. 26,13 - καὶ ὑψώθη ὁ ἄνθρωπος. καὶ προβαίνων μείζων ἐγίνετο, ἕως οὗ μέγας ἐγένετο σφόδρα·

Γεν. 26,13 - Δι' αυτό και έγινε πλούσιος. Οσον δε επερνούσεν ο καιρός, τόσον και πλουσιότερος εγίνετο, μέχρις ότου έγινε μέγας δια τα πολλά του πλούτη και την δόξαν του.

Γεν. 26,14 - ἐγένετο δὲ αὐτῷ κτήνη προβάτων καὶ κτήνη βοῶν καὶ γεώργια πολλά. ἐζήλωσαν δὲ αὐτὸν οἱ Φυλιστιείμ,

Γεν. 26,14 - Απέκτησε δε κοπάδια πρόβατα και βόδια, όπως επίσης και πολλά χωράφια. Ενεκα τούτου οι Φιλισταίοι τον εζήλευσαν και τον εφθόνησαν.

Γεν. 26,15 - καὶ πάντα τὰ φρέατα, ἃ ὤρυξαν οἱ παῖδες τοῦ πατρὸς αὐτοῦ ἐν τῷ χρόνῳ τοῦ πατρὸς αὐτοῦ, ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ καὶ ἔπλησαν αὐτὰ γῆς.

Γεν. 26,15 - Δια να τον βλάψουν δε επήγαν και εβοώλωσαν και εγέμισαν με χώμα τα φρέατα, τα οποία είχον ανοίξει οι δούλοι του πατρός του Αβραάμ, ενώ ακόμη εζούσε.

Γεν. 26,16 - εἶπε δὲ Ἀβιμέλεχ πρὸς Ἰσαάκ· ἄπελθε ἀφ᾿ ἡμῶν, ὅτι δυνατώτερος ἡμῶν ἐγένου σφόδρα.

Γεν. 26,16 - Και ο ίδιος ο Αβιμέλεχ, φθονήσας τον Ισαάκ, του είπε· “φύγε μακρυά μας, διότι έγινε πολύ δυνατώτερος από ημάς”.

Γεν. 26,17 - καὶ ἀπῆλθεν ἐκεῖθεν Ἰσαὰκ καὶ κατέλυσεν ἐν τῇ φάραγγι Γεράρων καὶ κατῴκησεν ἐκεῖ.

Γεν. 26,17 - Τοτε ο Ισαάκ έφυγεν από εκεί, κατέλυσε ει την κοιλάδα των Γεράρων, όπου και εγκατεστάθη μονίμως.

Γεν. 26,18 - καὶ πάλιν Ἰσαὰκ ὤρυξε τὰ φρέατα τοῦ ὕδατος, ἃ ὤρυξαν οἱ παῖδες Ἀβραὰμ τοῦ πατρὸς αὐτοῦ καὶ ἐνέφραξαν αὐτὰ οἱ Φυλιστιεὶμ μετὰ τὸ ἀποθανεῖν Ἀβραὰμ τὸν πατέρα αὐτοῦ, καὶ ἐπωνόμασεν αὐτοῖς ὀνόματα κατὰ τὰ ὀνόματα, ἃ ὠνόμασεν ὁ πατὴρ αὐτοῦ.

Γεν. 26,18 - Και πάλιν εκεί ήνοιξε τα φρέατα του ύδατος, τα οποία είχον ανοίξει, ζώντος του Αβραάμ, οι δούλοι του, και τα οποία μετά τον θάνατο του Αβραάμ είχον βουλώσει οι Φιλισταίοι. Τα φρέατα αυτά τα ωνόμασεν ο Ισαάκ με τα ίδια ονόματα, που τους είχε δώση ο πατέρας του ο Αβραάμ.

Γεν. 26,19 - καὶ ὤρυξαν οἱ παῖδες Ἰσαὰκ ἐν τῇ φάραγγι Γεράρων καὶ εὗρον ἐκεῖ φρέαρ ὕδατος ζῶντος.

Γεν. 26,19 - Οι δούλοι του Ισαάκ έσκαψαν άλλο φρέαρ εις τα φάραγγα των Γεράρων, οπού και ευρήκαν πηγαίον ύδωρ.

Γεν. 26,20 - καὶ ἐμαχέσαντο οἱ ποιμένες Γεράρων μετὰ τῶν ποιμένων Ἰσαάκ, φάσκοντες αὐτῶν εἶναι τὸ ὕδωρ. καὶ ἐκάλεσαν τὸ ὄνομα τοῦ φρέατος Ἀδικία· ἠδίκησαν γὰρ αὐτόν.

Γεν. 26,20 - Οι ποιμένες όμως των Γεράρων εφιλονείκησαν και συνεπλάκησαν με τους ποιμένας του Ισαάκ λέγοντες, ότι το πηγαίον αυτό ύδωρ του νέου φρέατος είναι ιδικόν των. Οι ποιμένες του Ισαάκ ωνόμασαν το φρέαρ εκείνο “Αδικία”, διότι οι Φιλισταίοι ηδίκησαν τον Ισαάκ.

Γεν. 26,21 - ἀπάρας δὲ Ἰσαὰκ ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον, ἐκρίνοντο δὲ καὶ περὶ ἐκείνου· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Ἐχθρία.

Γεν. 26,21 - Παραλαβών τα υπάρχοντά του ο Ισαάκ ανεχώρησεν από εκεί και ήνοιζε νέον φρέαρ. Αλλά και δι' αυτό εφιλονείκησαν οι Φιλισταίοι προς

αυτόν. Δια τούτο και το ωνόμασεν “Εχθρότης”.

Γεν. 26,22 - ἀπάρας δὲ ἐκεῖθεν ὤρυξε φρέαρ ἕτερον, καὶ οὐκ ἐμαχέσαντο περὶ αὐτοῦ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Εὐρυχωρία, λέγων· διότι νῦν ἐπλάτυνε Κύριος ἡμῖν καὶ ηὔξησεν ἡμᾶς ἐπὶ τῆς γῆς.

Γεν. 26,22 - Αναχωρήσας και από εκεί, ήνοιξεν άλλο φρέαρ εις άλλην περιοχήν. Δεν εφιλονίκησαν δι' αυτό οι Φιλισταίοι. Και το ωνόμασε ο Ισαάκ “Ευρυχωρία” λέγων· “τώρα ο Κυριος μας εχάρισεν ευρυχωρίαν και μας επλούτισεν εις την χώραν αυτήν”.

Γεν. 26,23 - Ἀνέβη δὲ ἐκεῖθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου.

Γεν. 26,23 - Μετά ταύτα μετέβη από εκεί ο Ισαάκ εις την περιοχήν, η οποία ωνομάζετο “Φρέαρ του όρκου”.

Γεν. 26,24 - καὶ ὤφθη αὐτῷ Κύριος ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ εἶπεν· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου· μὴ φοβοῦ· μετὰ σοῦ γάρ εἰμι καὶ εὐλογήσω σε καὶ πληθυνῶ τὸ σπέρμα σου δι᾿ Ἀβραὰμ τὸν πατέρα σου.

Γεν. 26,24 - Εφανερώθη εις αυτόν ο Κυριος κατά την νύκτα εκείνην και του είπεν· “Εγώ είμαι ο Θεός του Αβραάμ του πατρός σου. Μη φοβήσαι, διότι είμαι μαζή σου και θα ευλογήσω σε προσωπικώς, θα πληθύνω δε και τους απογόνους σου ένεκα του Αβραάμ του πατρός σου”.

Γεν. 26,25 - καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον καὶ ἐπεκαλέσατο τὸ ὄνομα Κυρίου καὶ ἔπηξεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ· ὤρυξαν δὲ ἐκεῖ οἱ παῖδες Ἰσαὰκ φρέαρ ἐν τῇ φάραγγι Γεράρων.

Γεν. 26,25 - Ο Ισαάκ έκτισεν εκεί θυσιαστήριον στον Κυριον, επεκαλέσθη το όνομα του Κυρίου, και έστησεν εκεί την σκηνήν του. Οι δε δούλοι του ήνοιξαν φρέαρ (όπως και εις την φάραγγα των Γεράρων).

Γεν. 26,26 - καὶ Ἀβιμέλεχ ἐπορεύθη πρὸς αὐτὸν ἀπὸ Γεράρων καὶ Ὀχοζὰθ ὁ νυμφαγωγὸς αὐτοῦ καὶ Φιχὸλ ὁ ἀρχιστράτηγος τῆς δυνάμεως αὐτοῦ.

Γεν. 26,26 - Ο Αβιμέλεχ μαζή με τον νυμφαγωγόν του τον Οχοζάθ και τον Φιλόχ, τον αρχιστράτηγον των δυνάμεών του, μετέβη προς τον Ισαάκ εις την Βηρσαβεέ.

Γεν. 26,27 - καὶ εἶπεν αὐτοῖς Ἰσαάκ· ἵνα τί ἤλθετε πρός με; ὑμεῖς δὲ ἐμισήσατέ με καὶ ἐξαπεστείλατέ με ἀφ᾿ ὑμῶν.

Γεν. 26,27 - Ο δε Ισαάκ τους ηρώτησε· “διατί ήλθατε προς εμέ; Σεις με εμισήσατε και με εδιώξατε από την χώραν σας”.

Γεν. 26,28 - οἱ δὲ εἶπαν· ἰδόντες ἑωράκαμεν, ὅτι ἦν Κύριος μετὰ σοῦ, καὶ εἴπαμεν· γενέσθω ἀρὰ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον σοῦ, καὶ διαθησόμεθα μετὰ σοῦ διαθήκην,

Γεν. 26,28 - Εκείνοι απήντησαν· “είδαμεν πλέον καθαρά και επείσθημεν, ότι ο Κυριος είναι μαζή σου και είπομεν·

Γεν. 26,29 - μὴ ποιῆσαι μεθ᾿ ἡμῶν κακόν, καθότι οὐκ ἐβδελυξάμεθά σε ἡμεῖς, καὶ ὃν τρόπον ἐχρησάμεθά σοι καλῶς καί ἐξαπεστείλαμέν σε μετ᾿ εἰρήνης· καὶ νῦν εὐλογημένος σὺ ὑπὸ Κυρίου.

Γεν. 26,29 - ας γίνη συνθήκη μεταξύ ημών και σου, δια της οποίας θα συμφωνήσωμεν να μη κάμης κανένα κακόν εναντίον μας, διότι ημείς δεν σε εμισήσαμεν και να φερθής απέναντί μας καλώς, όπως και ημείς σου συμπεριεφέρθημεν και σε επροπέμψαμεν με ειρήνην. Ετσι δε θα είσαι συ ευλογημένος από τον Κυριον".

Γεν. 26,30 - καὶ ἐποίησεν αὐτοῖς δοχήν, καὶ ἔφαγον καὶ ἔπιον·

Γεν. 26,30 - Ο ανεξίκακος Ισαάκ εδέχθη την πρότασιν και τους παρέθεσε τράπεζαν. Ολοι δε μαζή έφαγον και έπιον.

Γεν. 26,31 - καὶ ἀναστάντες τὸ πρωΐ, ὤμοσεν ἕκαστος τῷ πλησίον αὐτοῦ, καὶ ἐξαπέστειλεν αὐτοὺς Ἰσαάκ, καὶ ἀπῴχοντο ἀπ᾿ αὐτοῦ μετὰ σωτηρίας.

Γεν. 26,31 - Την πρωΐαν δε εγερθέντες ορκίσθησαν ο ένας προς τον άλλον, ότι θα είναι φίλοι μεταξύ των. Ο Ισαάκ τους κατευώδωσε και εκείνοι ανεχώρησαν από αυτόν ειρηνικοί.

Γεν. 26,32 - ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ παραγενόμενοι οἱ παῖδες Ἰσαὰκ ἀπήγγειλαν αὐτῷ περὶ τοῦ φρέατος, οὗ ὤρυξαν, καὶ εἶπαν· οὐχ εὕρομεν ὕδωρ.

Γεν. 26,32 - Κατά την ημέραν εκείνην οι δούλοι του Ισαάκ ήλθαν και του είπαν, ότι δεν ευρήκαν πλέον ύδωρ στο φρέαρ, το οποίον είχαν ανοίξει.

Γεν. 26,33 - καὶ ἐκάλεσεν αὐτὸ Ὅρκος· διὰ τοῦτο ἐκάλεσεν ὄνομα τῇ πόλει ἐκείνῃ Φρέαρ ὅρκου ἕως τῆς σήμερον ἡμέρας.

Γεν. 26,33 - Ωνόμασεν αυτό το φρέαρ ο Ισαάκ "Ορκος". Εξ αιτίας αυτού και ωνομάσθη η πόλις εκείνη μέχρι σήμερον "Φρέαρ του όρκου".

Γεν. 26,34 - Ἦν δὲ Ἡσαῦ ἐτῶν τεσσαράκοντα καὶ ἔλαβε γυναῖκα Ἰουδίθ, θυγατέρα Βεὼχ τοῦ Χετταίου καὶ τὴν Βασεμάθ, θυγατέρα Ἐλὼν Χετταίου.

Γεν. 26,34 - Ο Ησαύ ήτο τεσσαράκοντα ετών, οπότε έλαβε σύζυγόν του την Ιουδίθ, θυγατέρα Βεώχ του Χετταίου και την Βασεμάθ, θυγατέρα Ελών του Χετταίου.

Γεν. 26,35 - καὶ ἦσαν ἐρίζουσαι τῷ Ἰσαὰκ καὶ τῇ Ῥεβέκκᾳ.

Γεν. 26,35 - Αύται όμως διαρκώς εφιλονεικούσαν και με την Ρεβέκκαν και με τον Ισαάκ.

## ΓΕΝΕΣΙΣ 27

Γεν. 27,1 - Ἐγένετο δὲ μετὰ τὸ γηράσαι τὸν Ἰσαὰκ καὶ ἠμβλύνθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ τοῦ ὁρᾶν, καὶ ἐκάλεσεν Ἡσαῦ τὸν υἱὸν αὐτοῦ τὸν

πρεσβύτερον καί εἶπεν αὐτῷ· υἱέ μου· καὶ εἶπεν· ἰδοὺ ἐγώ.

Γεν. 27,1 - Οταν εγήρασεν ο Ισαάκ και αδυνάτησαν πλέον οι οφθαλμοί του, εκάλεσε τον μεγαλύτερόν του υιόν, τον Ησαύ, και του είπε· “παιδί μου”· και εκείνος του απήντησεν· “ιδού εγώ, πάτερ μου”.

Γεν. 27,2 - καὶ εἶπεν· ἰδοὺ γεγήρακα καὶ οὐ γινώσκω τὴν ἡμέραν τῆς τελευτῆς μου·

Γεν. 27,2 - “Εγώ έχω πλέον γηράσει και δεν γνωρίζω την ημέραν, κατά την οποίαν θα λάβη τέλος η ζωη μου.

Γεν. 27,3 - νῦν οὖν λαβὲ τὸ σκεῦός σου, τήν τε φαρέτραν καὶ τὸ τόξον, καὶ ἔξελθε εἰς τὸ πεδίον καὶ θήρευσόν μοι θήραν

Γεν. 27,3 - Παρε λοιπόν τα κυνηγετικά σου σύνεργα, την φαρέτραν με τα βέλη και το τοξον, έβγα έξω εις την πεδιάδα και φέρε μου κάτι από το κυνήγιον.

Γεν. 27,4 - καὶ ποίησόν μοι ἐδέσματα, ὡς φιλῶ ἐγώ, καὶ ἔνεγκέ μοι, ἵνα φάγω, ὅπως εὐλογήσῃ σε ἡ ψυχή μου πρὶν ἀποθανεῖν με.

Γεν. 27,4 - Μαγείρευσέ μου φαγητά, που μου αρέσουν, και φέρε μου να φάγω, δια να σε ευλογήσω με όλην μου την ψυχήν, πριν αποθάνω.

Γεν. 27,5 - Ῥεβέκκα δὲ ἤκουσε λαλοῦντος Ἰσαὰκ πρὸς Ἡσαῦ τὸν υἱὸν αὐτοῦ. ἐπορεύθη δὲ Ἡσαῦ εἰς τὸ πεδίον θηρεῦσαι θήραν τῷ πατρὶ αὐτοῦ·

Γεν. 27,5 - Η Ρεβέκκα ήκουσε τους λόγους αυτούς, τους οποίους είπεν ο Ισαάκ προς τον υιόν του τον Ησαύ. Ο Ησαύ υπακούων στον πατέρα εξήλθεν εις την πεδιάδα, δια να κυνηγήση και φέρη εις αυτόν κυνήγιον.

Γεν. 27,6 - Ῥεβέκκα δὲ εἶπε πρὸς Ἰακὼβ τὸν υἱὸν αὐτῆς, τὸν ἐλάσσω· ἰδέ, ἤκουσα τοῦ πατρός σου λαλοῦντος πρὸς Ἡσαῦ τὸν ἀδελφόν σου λέγοντος·

Γεν. 27,6 - Η Ρεβέκκα όμως είπε προς τον Ιακώβ, τον νεώτερον υιόν της· “Για πρόσεξε· ήκουσα τον πατέρα σου να ομιλή και να λέγη προς τον αδελφόν σου τον Ησαύ·

Γεν. 27,7 - ἔνεγκόν μοι θήραν καὶ ποίησόν μοι ἐδέσματα, ἵνα φαγὼν εὐλογήσω σε ἐναντίον Κυρίου πρὸ τοῦ ἀποθανεῖν με.

Γεν. 27,7 - Φέρε μου κυνήγι και μαγείρεψέ μου φαγητά, δια να φάγω και να σου δώσω τας ευλογίας μου ενώπιον του Κυρίου, πριν αποθάνω.

Γεν. 27,8 - νῦν οὖν, υἱέ μου, ἄκουσόν μου, καθὰ ἐγώ σοι ἐντέλλομαι.

Γεν. 27,8 - Τωρα λοιπόν, παιδί μου, άκουσέ με και κάμε ο,τι εγώ θα σε συμβουλεύσω.

Γεν. 27,9 - καὶ πορευθεὶς εἰς τὰ πρόβατα λαβέ μοι ἐκεῖθεν δύο ἐρίφους ἁπαλοὺς καὶ καλούς, καὶ ποιήσω αὐτοὺς ἐδέσματα τῷ πατρί σου, ὡς φιλεῖ,

Γεν. 27,9 - Πηγαινε εις τα πρόβατα, πάρε και φέρε μου δύο ερίφια τρυφερά και καλοθρεμμένα και εγώ θα μαγειρεύσω από αυτά φαγητά, που αγαπά ο πατέρας σου.

Γεν. 27,10 - καὶ εἰσοίσεις τῷ πατρί σου καὶ φάγεται, ὅπως εὐλογήσῃ σε ὁ πατήρ σου πρὸ τοῦ ἀποθανεῖν αὐτόν.

Γεν. 27,10 - Αυτά θα τα προσφέρης στον πατέρα σου, δια να φάγη και να δώση εις σε τας ευλογίας του, πριν αποθάνη".

Γεν. 27,11 - εἶπε δὲ Ἰακὼβ πρὸς Ῥεβέκκαν τὴν μητέρα αὐτοῦ· ἔστιν Ἠσαῦ ὁ ἀδελφός μου ἀνὴρ δασύς, ἐγὼ δὲ ἀνὴρ λεῖος·

Γεν. 27,11 - Είπε δε ο Ιακώβ προς την μητέρα του την Ρεβέκκαν· "ο Ησαύ ο αδελφός μου είναι δασύτριχος, ενώ εγώ είμαι λείος.

Γεν. 27,12 - μή ποτε ψηλαφήσῃ με ὁ πατήρ, καὶ ἔσομαι ἐναντίον αὐτοῦ ὡς καταφρονῶν καὶ ἐπάξω ἐπ᾿ ἐμαυτὸν κατάραν καὶ οὐκ εὐλογίαν.

Γεν. 27,12 - Φοβούμαι, λοιπόν, μήπως με ψηλαφήση ο πατήρ μου, αναγνωρίση ότι είμαι ο Ιακώβ και με θεωρήση ως ασεβή και απατεώνα· οπότε υπάρχει φόβος να επισύρω εναντίον μου όχι την ευλογίαν του αλλά την κατάραν".

Γεν. 27,13 - εἶπε δὲ αὐτῷ ἡ μήτηρ· ἐπ᾿ ἐμὲ ἡ κατάρα σου, τέκνον· μόνον ὑπάκουσόν μοι τῆς φωνῆς καὶ πορευθεὶς ἔνεγκέ μοι.

Γεν. 27,13 - Απήντησε δε εις αυτόν η μητέρα του· "επάνω μου ας πέση η κατάρα σου αυτή, τέκνον μου· μόνον άκουσε αυτό, που σου είπα, και πήγαινε να μου φέρης τα ερίφια".

Γεν. 27,14 - πορευθεὶς δὲ ἔλαβε καὶ ἤνεγκε τῇ μητρί, καὶ ἐποίησεν ἡ μήτηρ αὐτοῦ ἐδέσματα, καθὰ ἐφίλει ὁ πατὴρ αὐτοῦ.

Γεν. 27,14 - Επήγεν ο Ιακώβ και έφερε τα ερίφια εις την μητέρα του, η οποία και εμαγείρευσεν από αυτά φαγητά, καθώς τα επροτιμούσε ο πατέρας του.

Γεν. 27,15 - καὶ λαβοῦσα Ῥεβέκκα τὴν στολὴν Ἠσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου τὴν καλήν, ἣ ἦν παρ᾿ αὐτῇ ἐν τῷ οἴκῳ, ἐνέδυσεν αὐτὴν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον

Γεν. 27,15 - Ελαβεν η Ρεβέκκα την στολήν του μεγαλυτέρου υιού της του Ησαύ, την καλήν, που ευρίσκετο στον οίκον της, ενέδυσε με αυτήν τον νεώτερον υιόν της τον Ιακώβ,

Γεν. 27,16 - καὶ τὰ δέρματα τῶν ἐρίφων περιέθηκεν ἐπὶ τοὺς βραχίονας αὐτοῦ καὶ ἐπὶ τὰ γυμνὰ τοῦ τραχήλου αὐτοῦ

Γεν. 27,16 - περιέβαλε με τα δέρματα των εριφίων τους βραχίονάς του και το γυμνόν μέρος του τραχήλου του

Γεν. 27,17 - καὶ ἔδωκε τὰ ἐδέσματα καὶ τοὺς ἄρτους, οὓς ἐποίησεν εἰς τὰς χεῖρας Ἰακὼβ τοῦ υἱοῦ αὐτῆς.

Γεν. 27,17 - και έδωσε τα φαγητά και τους άρτους, που είχε κατασκευάσει, εις τα χέρια του παιδιού της, του Ιακώβ.

Γεν. 27,18 - καὶ εἰσήνεγκε τῷ πατρὶ αὐτοῦ. εἶπε δέ· πάτερ. ὁ δὲ εἶπεν· ἰδοὺ ἐγώ· τίς εἶ σὺ τέκνον;

Γεν. 27,18 - Ο δε Ιακώβ προσέφερεν αυτά στον πατέρα του και του είπε· “πάτερ”. Εκείνος δε του απήντησε· “εδώ είμαι, ποιός είσαι, παιδί μου;”

Γεν. 27,19 - καὶ εἶπεν Ἰακὼβ τῷ πατρί· ἐγὼ Ἠσαῦ ὁ πρωτότοκός σου· πεποίηκα καθὰ ἐλάλησάς μοι· ἀναστὰς κάθισον καὶ φάγε ἀπὸ τῆς θήρας μου, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.

Γεν. 27,19 - Και είπεν ο Ιακώβ προς τον πατέρα του· “εγώ είμαι, ο Ησαύ, ο υιός σου ο πρωτότοκος. Εκαμα, όπως μου είπες. Σηκω κάθισε και φάγε από το κυνήγι μου, δια να με ευλογήση η ψυχή σου”.

Γεν. 27,20 - εἶπε δὲ Ἰσαὰκ τῷ υἱῷ αὐτοῦ· τί τοῦτο, ὃ ταχὺ εὗρες, ὦ τέκνον; ὁ δὲ εἶπεν· ὃ παρέδωκε Κύριος ὁ Θεός σου ἐναντίον μου.

Γεν. 27,20 - Ο Ισαάκ είπεν στο παιδί του· “πως συνέβη αυτό, ώστε τόσον σύντομα να εύρης το κυνήγι, παιδί μου;” Εκείνος απήντησεν· “ο Κυριος μου το παρέδωσε ενώπιόν μου”.

Γεν. 27,21 - εἶπε δὲ Ἰσαὰκ τῷ Ἰακώβ· ἔγγισόν μοι καὶ ψηλαφήσω σε, τέκνον, εἰ σὺ εἶ ὁ υἱός μου Ἠσαῦ ἢ οὔ.

Γεν. 27,21 - Είπε δε ο Ισαάκ στον Ιακώβ· “έλα κοντά μου, παιδί μου, να σε ψηλαφήσω και να πεισθώ, εάν πράγματι συ είσαι ο υιός μου ο Ησαύ η όχι”.

Γεν. 27,22 - ἤγγισε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ, καὶ ἐψηλάφησεν αὐτὸν καὶ εἶπεν· ἡ μὲν φωνὴ φωνὴ Ἰακώβ, αἱ δὲ χεῖρες χεῖρες Ἠσαῦ.

Γεν. 27,22 - Επλησίασεν ο Ιακώβ προς τον πατέρα του τον Ισαάκ, ο οποίος τον εψηλάφησε και του είπε· “η μεν φωνή είναι φωνή του Ιακώβ, οι δε χείρες είναι χείρες του Ησαύ”.

Γεν. 27,23 - καὶ οὐκ ἐπέγνω αὐτόν· ἦσαν γὰρ αἱ χεῖρες αὐτοῦ ὡς αἱ χεῖρες Ἠσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ δασεῖαι· καὶ εὐλόγησεν αὐτὸν

Γεν. 27,23 - Δεν ανεγνώρισε δε τον Ιακώβ, διότι αι χείρες αυτού, σκεπασμέναι με τα δέρματα, ήσαν δασείαι, όπως αι χείρες του αδελφού του Ησαύ. Ευλόγησεν αυτόν ο Ισαάκ

Γεν. 27,24 - καὶ εἶπε· σὺ εἶ ὁ υἱός μου Ἠσαῦ; ὁ δὲ εἶπεν· ἐγώ.

Γεν. 27,24 - και είπε· “συ λοιπόν είσαι ο υιός μου ο Ησαύ;” Εκείνος απήντησε· “ναι, εγώ είμαι”.

Γεν. 27,25 - καὶ εἶπε· προσάγαγέ μοι, καὶ φάγομαι ἀπὸ τῆς θήρας σου, τέκνον, ἵνα εὐλογήσῃ σε ἡ ψυχή μου. καὶ προσήνεγκεν αὐτῷ, καὶ ἔφαγε· καὶ εἰσήνεγκεν αὐτῷ οἶνον, καὶ ἔπιε.

Γεν. 27,25 - Είπε τότε ο Ισαάκ· “παιδί μου, φέρε μου από το κυνήγι σου, δια να φάγω και να σε ευλογήσω με όλην μου την ψυχήν”. Ο Ιακώβ έφερεν στον πατέρα του και έφαγε· του έφερε επίσης οίνον και έπιε.

Γεν. 27,26 - καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ· ἔγγισόν μοι καὶ φίλησόν με τέκνον.

Γεν. 27,26 - Μετά το φαγητόν ο πατήρ του ο Ισαάκ είπεν εις αυτόν· “παιδί μου, έλα κοντά μου και φίλησέ με”.

Γεν. 27,27 - καὶ ἐγγίσας ἐφίλησεν αὐτόν, καὶ ὠσφράνθη τὴν ὀσμὴν τῶν ἱματίων αὐτοῦ καὶ εὐλόγησεν αὐτὸν καὶ εἶπεν· ἰδοὺ ὀσμὴ τοῦ υἱοῦ μου ὡς ὀσμὴ ἀγροῦ πλήρους, ὃν εὐλόγησε Κύριος.

Γεν. 27,27 - Ο Ιακώβ επλησίασε και εφίλησε τον πατέρα του. Ο Ισαάκ ωσφράνθη την οσμήν των ενδυμάτων, που είχε φορέσει ο Ιακώβ, ευλόγησεν αυτόν και είπεν· “ιδού, αυτή είναι η οσμή του υιού μου, ωσάν οσμή αγρού γεμάτου χόρτα και άνθη, που τον ευλόγησεν ο Κυριος.

Γεν. 27,28 - καὶ δῴη σοι ὁ Θεὸς ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ καὶ ἀπὸ τῆς πιότητος τῆς γῆς καὶ πλῆθος σίτου καὶ οἴνου.

Γεν. 27,28 - Εύχομαι, παιδί μου, να σου δώση ο Θεός βροχήν από τον ουρανόν και ευφορίαν της γης, ώστε να έχης πλουσίαν την συγκομιδήν του σίτου και του οίνου.

Γεν. 27,29 - καὶ δουλευσάτωσάν σοι ἔθνη, καὶ προσκυνησάτωσάν σοι ἄρχοντες· καὶ γίνου κύριος τοῦ ἀδελφοῦ σου, καὶ προσκυνήσουσί σε οἱ υἱοὶ τοῦ πατρός σου. ὁ καταρώμενός σε ἐπικατάρατος, ὁ δὲ εὐλογῶν σε εὐλογημένος.

Γεν. 27,29 - Λαοί να σε υπηρετήσουν και άρχοντες να σε προσκυνήσουν· να γίνης κύριος του αδελφού σου, και θα σε προσκυνήσουν οι απόγονοι του πατρός σου. Εκείνος που θα σε καταρασθή να είναι κατηραμένος και εκείνος που θα σε ευλογή, να είναι ευλογημένος από τον Θεόν”.

Γεν. 27,30 - Καὶ ἐγένετο μετὰ τὸ παύσασθαι Ἰσαὰκ εὐλογοῦντα Ἰακὼβ τὸν υἱὸν αὐτοῦ καὶ ἐγένετο, ὡς ἐξῆλθεν Ἰακὼβ ἀπὸ προσώπου Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ, καὶ Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἦλθεν ἀπὸ τῆς θήρας.

Γεν. 27,30 - Οταν έπαυσεν ο Ισαάκ να δίδη τας ευλογίας του στον υιόν του τον Ιακώβ και ο Ιακώβ ανεχώρησεν από την σκηνήν του πατρός του, ο Ησαύ, ο αδελφός του, επέστρεψεν από το κυνήγιόν του.

Γεν. 27,31 - καὶ ἐποίησε καὶ αὐτὸς ἐδέσματα καὶ προσήνεγκε τῷ πατρὶ αὐτοῦ. καὶ εἶπε τῷ πατρί· ἀναστήτω ὁ πατήρ μου καὶ φαγέτω ἀπὸ τῆς θήρας τοῦ υἱοῦ αὐτοῦ, ὅπως εὐλογήσῃ με ἡ ψυχή σου.

Γεν. 27,31 - Αμέσως δε παρεσκεύασε και αυτός φαγητά, τα προσέφερεν στον πατέρα του και του είπε· “ας σηκωθή ο πατέρας μου και ας φάγη φαγητά ετοιμασμένα από το Κυνήγιον του παιδιού του, δια να με ευλογήση με την ψυχήν του”.

Γεν. 27,32 - καὶ εἶπεν αὐτῷ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ· τίς εἶ σύ; ὁ δὲ εἶπεν· ἐγώ εἰμι ὁ υἱός σου ὁ πρωτότοκος Ἡσαῦ.

Γεν. 27,32 - Ο πατήρ του ο Ισαάκ είπε προς αυτόν· “ποιός είσαι συ;” Εκείνος του απήντησεν· “εγώ είμαι το παιδί σου, το πρωτότοκο παιδί σου, ο Ησαύ”.

Γεν. 27,33 - ἐξέστη δὲ Ἰσαὰκ ἔκστασιν μεγάλην σφόδρα καὶ εἶπε· τίς οὖν ὁ θηρεύσας μοι θήραν καὶ εἰσενέγκας μοι; καὶ ἔφαγον ἀπὸ πάντων πρὸ τοῦ ἐλθεῖν σε καὶ εὐλόγησα αὐτόν, καὶ εὐλογημένος ἔσται.

Γεν. 27,33 - Ο Ισαάκ εξεπλάγη πολύ, πάρα πολύ και είπε· “ποιός λοιπόν ήτο εκείνος, ο οποίος εβγήκεν εις κυνήγιον, μου έφερε και έφαγον από όλα, πριν συ έλθης, και τον ευλόγησα; Λοιπόν, αυτός θα είναι ο ευλογημένος”.

Γεν. 27,34 - ἐγένετο δέ, ἡνίκα ἤκουσεν Ἠσαῦ τὰ ῥήματα τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ, ἀνεβόησε φωνὴν μεγάλην καὶ πικρὰν σφόδρα καὶ εἶπεν· εὐλόγησον δή κἀμέ, πάτερ.

Γεν. 27,34 - Οταν ήκουσεν αυτά τα λόγια του πατρός του ο Ησαύ εκραύγασε με πολλήν πικρίαν και είπεν· “ευλόγησε, λοιπόν, και εμέ, πάτερ μου”.

Γεν. 27,35 - εἶπε δὲ αὐτῷ· ἐλθὼν ὁ ἀδελφός σου μετὰ δόλου ἔλαβε τὴν εὐλογίαν σου.

Γεν. 27,35 - Του είπεν ο Ισαάκ· “ήλθεν ο αδελφός σου κα επήρε δολίως την ευλογίαν σου”.

Γεν. 27,36 - καὶ εἶπε· δικαίως ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με ἰδοὺ δεύτερον τοῦτο· τά τε πρωτοτόκιά μου εἴληφε καὶ νῦν ἔλαβε τὴν εὐλογίαν μου· καὶ εἶπεν Ἠσαῦ τῷ πατρὶ αὐτοῦ· οὐχ ὑπελίπου μοι εὐλογίαν, πάτερ;

Γεν. 27,36 - Είπεν ο Ησαύ με αγανάκτησιν “επιτυχώς και πολύ ταιριαστά του εδόθη το όνομο Ιακώβ, διότι ιδού δευτέραν φοράν με υπεσκέλισε και με ηπάτησε. Την πρώτην φοράν επήρε τα πρωτοτόκιά μου και τώρα επήρε και την ευλογίαν μου”. Είπε δε προς τον πατέρα του τον Ισαάκ· “πάτερ μου, δεν έμεινε λοιπόν και δι' εμέ καμμία ευλογία;”

Γεν. 27,37 - ἀποκριθεὶς δὲ Ἰσαὰκ εἶπε τῷ Ἠσαῦ· εἰ κύριον αὐτὸν πεποίηκά σου καὶ πάντας τοὺς ἀδελφούς αὐτοῦ πεποίηκα αὐτοῦ οἰκέτας, σίτῳ καὶ οἴνῳ ἐστήριξα αὐτόν, σοὶ δὲ τί ποιήσω, τέκνον;

Γεν. 27,37 - Απεκρίθη ο Ισαάκ και του είπε· “τον Ιακώβ, τον έκανα κύριόν σου και όλους τους αδελφούς του τους έκαμα υπηρετάς του. Τον ευχήθηκα να έχη πλούσια τα προϊόντα της γης, σίτον και οίνον. Τι λοιπόν να κάμω δια σε τώρα, παιδί μου;”

Γεν. 27,38 - εἶπε δὲ Ἠσαῦ πρὸς τὸν πατέρα αὐτοῦ· μὴ εὐλογία μία σοί ἐστι, πάτερ; εὐλόγησον δὴ κἀμέ, πάτερ. κατανυχθέντος δὲ Ἰσαὰκ ἀνεβόησε φωνῇ Ἠσαῦ καὶ ἔκλαυσεν.

Γεν. 27,38 - Είπεν ο Ησαύ προς τον πατέρα του· “μήπως μία μόνον ευλογία υπάρχει εις σέ, πάτερ μου; Υπάρχουν ασφαλώς και άλλαι. Πατερ μου, ευλόγησε και εμένα”. Συνεκινήθη βαθύτατα ο Ισαάκ, διότι δεν ηδύνατο να κάμη τίποτε, ο δε Ησαύ εκραύγασε με μεγάλην φωνήν και έκλαυσε πικρά.

Γεν. 27,39 - ἀποκριθεὶς δὲ Ἰσαὰκ ὁ πατὴρ αὐτοῦ εἶπεν αὐτῷ· ἰδοὺ ἀπὸ τῆς πιότητος τῆς γῆς ἔσται ἡ κατοίκησίς σου καὶ ἀπὸ τῆς δρόσου τοῦ οὐρανοῦ ἄνωθεν.

Γεν. 27,39 - Απαντών τότε ο Ισαάκ στους θρήνους του παιδιού του, του είπε· "ιδού· ένα μέρος από την εύφορον γην και από την δρόσον του ουρανού θα είναι η κατοικία σου.

Γεν. 27,40 - καὶ ἐπὶ τῇ μαχαίρᾳ σου ζήσῃ καὶ τῷ ἀδελφῷ σου δουλεύσεις· ἔσται δὲ ἡνίκα ἐὰν καθέλῃς, καὶ ἐκλύσῃς τὸν ζυγὸν αὐτοῦ ἀπὸ τοῦ τραχήλου σου.

Γεν. 27,40 - Θα ζης με το σπαθί σου, αλλά θα είσαι δούλος στον αδελφόν σου. Θα έλθουν όμως περιστάσεις, κατά τας οποίας θα κατεβάσης από τον τράχηλόν σου και θα αποτινάξης τον ζυγόν".

Γεν. 27,41 - Καὶ ἐνεκότει Ἡσαῦ τῷ Ἰακὼβ περὶ τῆς εὐλογίας ἧς εὐλόγησεν αὐτὸν ὁ πατὴρ αὐτοῦ· εἶπε δὲ Ἡσαῦ ἐν τῇ διανοίᾳ αὐτοῦ· ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀποκτείνω Ἰακὼβ τὸν ἀδελφόν μου.

Γεν. 27,41 - Ο Ησαύ από την ημέραν εκείνην και εντεύθεν εμνησικάκει και αγανακτούσε εναντίον του Ιακώβ δια την ευλογίαν, την οποίαν μετά δόλου επήρεν από τον πατέρα του. Είπε δε από μέσα του· "ας αποθάνη πρώτα ο πατέρας μου, ας έλθουν και ας περάσουν αι ημέραι του πένθους δια τον θάνατον του πατρός μου, και τότε εγώ θα φονεύσω τον αδελφόν μου τον Ιακώβ".

Γεν. 27,42 - ἀπηγγέλη δὲ Ῥεβέκκᾳ τὰ ῥήματα Ἡσαῦ τοῦ υἱοῦ αὐτῆς τοῦ πρεσβυτέρου, καὶ πέμψασα ἐκάλεσεν Ἰακὼβ τὸν υἱὸν αὐτῆς τὸν νεώτερον καὶ εἶπεν αὐτῷ· ἰδοὺ Ἡσαῦ ὁ ἀδελφός σου ἀπειλεῖ σοι τοῦ ἀποκτεῖναί σε·

Γεν. 27,42 - Τα λόγια όμως αυτά του Ησαύ, του πρεσβυτέρου υιού, επληροφορήθη η Ρεβέκκα. Εστειλε άνθρωπον, εκάλεσε κοντά της τον νεώτερον υιόν της Ιακώβ και του είπε· "ιδού, ο αδελφός σου ο Ησαύ απειλεί να σε φονεύση.

Γεν. 27,43 - νῦν οὖν, τέκνον, ἄκουσόν μου τῆς φωνῆς καὶ ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν πρὸς Λάβαν τὸν ἀδελφόν μου εἰς Χαῤῥάν.

Γεν. 27,43 - Τωρα λοιπόν, παιδί μου, άκουσε προσεκτικά τα λόγια μου. Σηκω και φεύγα μυστικά και πήγαινε εις την Χαρράν της Μεσοποταμίας προς τον αδελφόν μου τον Λαβαν.

Γεν. 27,44 - καὶ οἴκησον μετ᾿ αὐτοῦ ἡμέρας τινάς,

Γεν. 27,44 - Και μείνε μαζή του επί ολίγον χρόνον,

Γεν. 27,45 - ἕως τοῦ ἀποστρέψαι τὸν θυμὸν καὶ τὴν ὀργὴν τοῦ ἀδελφοῦ σου ἀπὸ σοῦ, καὶ ἐπιλάθηται ἃ πεποίηκας αὐτῷ. καὶ ἀποστείλασα μεταπέμψομαί σε ἐκεῖθεν, μή ποτε ἀποτεκνωθῶ ἀπὸ τῶν δύο ὑμῶν ἐν ἡμέρᾳ μιᾷ.

Γεν. 27,45 - μέχρις ότου διαλυθή ο θαμύς και η οργή, που ο αδελφός σου έχει εναντίον σου, και λησμονήση αυτά, που του έκαμες. Εγώ θα στείλω προς σε άνθρωπον και θα σε καλέσω να επιστρέψης πάλιν από εκεί. Να φύγης τώρα, παιδί μου, δια να μη χάσω εις μίαν ημέραν και τα δυο μου παιδιά, τον ένα που θα πέση νεκρός και τον άλλον που θα γίνη φονηάς".

Γεν. 27,46 - Εἶπε δὲ Ῥεβέκκα πρὸς Ἰσαάκ· προσώχθικα τῇ ζωῇ μου διὰ τὰς θυγατέρας τῶν υἱῶν Χέτ· εἰ λήψεται Ἰακὼβ γυναῖκα ἀπὸ τῶν θυγατέρων τῆς γῆς ταύτης, ἵνα τί μοι τὸ ζῆν;

Γεν. 27,46 - Δια να πείση δε η Ρεβέκκα τον Ισαάκ και αφήση τον Ιακώβ να αναχωρήση εις Χαρράν του είπε· "Εβαρέθηκα την ζώην μου εξ αιτίας των Χετταίων γυναικών, τας οποίας έχει λάβει συζύγους ο Ησαύ. Δεν θέλω, λοιπόν, να λάβη σύζυγον ο Ιακώβ γυναίκα από τας θυγατέρας της χώρας αυτής, διότι εάν λάβη από αυτάς τι θέλω να ζω; Καλύτερα να πεθάνω".

## ΓΕΝΕΣΙΣ 28

Γεν. 28,1 - Προσκαλεσάμενος δὲ Ἰσαὰκ τὸν Ἰακὼβ εὐλόγησεν αὐτὸν καὶ ἐνετείλατο αὐτῷ λέγων· οὐ λήψῃ γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων·

Γεν. 28,1 - Εκάλεσεν ο Ισαάκ τον Ιακώβ, τον ευλόγησε και του έδωσε πατρικήν υποθήκην και εντολήν λέγων· "δεν θα πάρης σύζυγον από τας θυγατέρας των Χαναναίων·

Γεν. 28,2 - ἀναστὰς ἀπόδραθι εἰς τὴν Μεσοποταμίαν, εἰς τὸν οἶκον Βαθουὴλ τοῦ πατρὸς τῆς μητρός σου καὶ λάβε σεαυτῷ ἐκεῖθεν γυναῖκα ἐκ τῶν θυγατέρων Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρός σου.

Γεν. 28,2 - αλλά σήκω και φύγε εις την Μεσοποταμίαν, στον οίκον του Βαθουήλ, του πατρός της μητρός σου, και πάρε σύζυγόν σου από εκεί, από τας θυγατέρας του Λαβαν, του αδελφού της μητρός σου.

Γεν. 28,3 - ὁ δὲ Θεός μου εὐλογήσαι σε καὶ αὐξήσαι σε καὶ πληθύναι σε, καὶ ἔσῃ εἰς συναγωγὰς ἐθνῶν·

Γεν. 28,3 - Ο δε Θεός μου ας σε ευλογήση, ας σε αυξήση και ας σε πληθύνη, και έτσι θα αναδειχθής γενάρχης πολλών λαών.

Γεν. 28,4 - καὶ δῴη σοι τὴν εὐλογίαν Ἀβραὰμ τοῦ πατρός μου σοὶ καὶ τῷ σπέρματί σου μετὰ σέ, κληρονομῆσαι τὴν γῆν τῆς παροικήσεώς σου, ἣν ἔδωκεν ὁ Θεὸς τῷ Ἀβραάμ.

Γεν. 28,4 - Είθε να δώση την ευλογίαν του πατρός μου του Αβραάμ εις σε προσωπικώς και στους κατόπιν από σε απογόνους σου, ώστε να κληρονομήσης την χώραν, όπου σήμερον μένεις, και την οποίαν ο Θεός έχει δώσει στον Αβραάμ".

Γεν. 28,5 - καὶ ἀπέστειλεν Ἰσαὰκ τὸν Ἰακὼβ καὶ ἐπορεύθη εἰς τὴν Μεσσοποταμίαν πρὸς Λάβαν τὸν υἱὸν Βαθουὴλ τοῦ Σύρου, ἀδελφὸν Ῥεβέκκας τῆς μητρὸς Ἰακὼβ καὶ Ἡσαῦ.

Γεν. 28,5 - Εστειλεν ο Ισαάκ τον Ιακώβ εις την Μεσοποταμίαν, όπου πράγματι αυτός επορεύθη προς τον Λαβαν, τον υιόν Βαθουήλ του Συρου, αδελφόν της Ρεβέκκας, της μητρός του Ιακώβ και του Ησαύ.

Γεν. 28,6 - Εἶδε δὲ Ἡσαῦ ὅτι εὐλόγησεν Ἰσαὰκ τὸν Ἰακώβ, καὶ ἀπῴχετο εἰς τὴν Μεσοποταμίαν Συρίας λαβεῖν ἑαυτῷ γυναῖκα ἐκεῖθεν ἐν τῷ εὐλογεῖν αὐτὸν καὶ ἐνετείλατο αὐτῷ λέγων· οὐ λήψῃ γυναῖκα ἐκ τῶν θυγατέρων τῶν Χαναναίων,

Γεν. 28,6 - Είδεν ο Ησαύ ότι ο Ισαάκ ευλόγησε τον Ιακώβ. Ο Ιακώβ λαβών την ευλογίαν του Ισαάκ ανεχώρησεν εις την Μεσοποταμίαν της Συρίας, δια να πάρη από εκεί σύζυγόν του. Κατά δε την ώραν της ευλογίας του έδωσεν ο πατήρ του την εντολήν· “δεν θα πάρης σύζυγον από τας θυγατέρας των Χαναναίων”.

Γεν. 28,7 - καὶ ἤκουσεν Ἰακὼβ τοῦ πατρὸς καὶ τῆς μητρὸς αὐτοῦ καὶ ἐπορεύθη εἰς τὴν Μεσοποταμίαν Συρίας.

Γεν. 28,7 - Ο Ιακώβ υπήκουσεν στον πατέρα και την μητέρα του, εδέχθη την εντολήν και επορεύθη εις την Μεσοποταμίαν της Συρίας.

Γεν. 28,8 - ἰδὼν δὲ καὶ Ἡσαῦ ὅτι πονηραί εἰσιν αἱ θυγατέρες Χαναὰν ἐναντίον Ἰσαὰκ τοῦ πατρὸς αὐτοῦ,

Γεν. 28,8 - Ο δε Ησαύ επειδή είδεν ότι ο πατέρας του είχε κακήν ιδέαν δια τας θυγατέρας των Χαναναίων, δια να ευχαριστήση αυτόν,

Γεν. 28,9 - ἐπορεύθη Ἡσαῦ πρὸς Ἰσμαὴλ καὶ ἔλαβε τὴν Μαελὲθ θυγατέρα Ἰσμαὴλ τοῦ υἱοῦ Ἀβραάμ, ἀδελφὴν Ναβεώθ, πρὸς ταῖς γυναιξὶν αὐτοῦ γυναῖκα.

Γεν. 28,9 - επορεύθη προς την περιοχήν όπου κατοικούσεν ο Ισμαήλ, και εκτός των δύο γυναικών, που είχε, έλαβεν από εκεί και άλλην σύζυγον την Μαελέθ, θυγατέρα του Ισμαήλ, υιού του Αβραάμ, αδελφήν του Ναβεώθ.

Γεν. 28,10 - Καὶ ἐξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαῤῥάν.

Γεν. 28,10 - Ο Ιακώβ εν τω μεταξύ ανεχώρησεν από το Φρέαρ του Ορκου, δια να μεταβή εις την Χαρράν της Μεσοποταμίας.

Γεν. 28,11 - καὶ ἀπήντησε τόπῳ καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ.

Γεν. 28,11 - Εφθασεν εις κάποιον τόπον, εις την Βαιθήλ, και εκοιμήθη εκεί, διότι είχε δύσει ο ήλιος. Επήρε από τους λίθους του τόπου, έβαλεν αυτούς ως προσκεφάλαιον κάτω από την κεφαλήν του και εκοιμήθη στον τόπον εκείνον.

Γεν. 28,12 - καὶ ἐνυπνιάσθη, καὶ ἰδοὺ κλίμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν, καὶ οἱ ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ᾿ αὐτῆς.

Γεν. 28,12 - Εκεί είδεν ένα όνειρον. Είδε μίαν κλίμακα, της οποίας η βάσις ήτο στερεωμένη εις την γην, η δε κορυφή της έφθανεν στον ουρανόν· άγγελοι δε του Θεού ανέβαινον και κατέβαινον δι' αυτής.

Γεν. 28,13 - ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ᾿ αὐτῆς καὶ εἶπεν· ἐγώ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ· μὴ φοβοῦ· ἡ γῆ, ἐφ᾿ ἧς σὺ καθεύδεις ἐπ᾿ αὐτῆς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου.

Γεν. 28,13 - Ο Θεός είχε στηριχθή στο άνω μέρος της κλίμακος αυτής, και είπεν· “εγώ είμαι ο Θεός Αβραάμ, του πατρός σου, και ο Θεός του Ισαάκ. Μη φοβήσαι, διότι αυτήν την γην, επί της οποίας συ τώρα κοιμάσαι, θα δώσω εις σε και στους απογόνους σου.

Γεν. 28,14 - καὶ ἔσται τὸ σπέρμα σου ὡς ἡ ἄμμος τῆς γῆς καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν καὶ ἐπὶ λίβα καὶ ἐπὶ βοῤῥᾶν, καὶ ἐπ᾿ ἀνατολάς, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς καὶ ἐν τῷ σπέρματί σου.

Γεν. 28,14 - Οι δε απόγονοί σου θα πληθυνθούν και θα αυξηθούν εις αριθμόν μέγαν ωσάν την άμμον της θαλάσσης, και θα επεκταθούν προς Δυσμάς, προς Νοτον, προς Βορράν και προς Ανατολάς. Ολοι δε οι λαοί της γης, θα ευλογηθούν δια μέσου ενός από τους απογόνους σου (δια του Χριστού).

Γεν. 28,15 - καὶ ἰδοὺ ἐγώ εἰμι μετὰ σοῦ διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἂν πορευθῇς, καὶ ἀποστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μή σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαί με πάντα ὅσα ἐλάλησά σοι.

Γεν. 28,15 - Και ιδού εγώ είμαι και θα είμαι μαζή σου, θα σε προφυλάσσω και θα σε καθοδηγώ στον κάθε δρόμον σου, οπουδήποτε και αν μεταβής, και θα σε επαναφέρω εις την γην αυτήν. Δεν θα σε εγκαταλείψω και θα πραγματοποιήσω όλα, όσα σου υπεσχέθην”.

Γεν. 28,16 - καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· ὅτι ἔστι Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν.

Γεν. 28,16 - Εξύπνησεν ο Ιακώβ από τον ύπνον του και γεμάτος ιερόν δέος είπεν· “ο Κυριος υπάρχει στον τόπον αυτόν και εγώ δεν το εγνώριζα”.

Γεν. 28,17 - καὶ ἐφοβήθη καὶ εἶπεν· ὡς φοβερὸς ὁ τόπος οὗτος· οὐκ ἔστι τοῦτο ἀλλ᾿ ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

Γεν. 28,17 - Εφοβήθη και είπε· “πόσον φοβερός είναι ο τόπος αυτός ! Αυτός βεβαίως είναι οίκος Θεού και αυτή είναι η πύλη του ουρανού !”

Γεν. 28,18 - καὶ ἀνέστη Ἰακὼβ τὸ πρωΐ καὶ ἔλαβε τὸν λίθον, ὃν ὑπέθηκεν ἐκεῖ πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἔστησεν αὐτὸν στήλην καὶ ἐπέχεεν ἔλαιον ἐπὶ τὸ ἄκρον αὐτῆς.

Γεν. 28,18 - Εξύπνησε δε την πρωΐαν, επήρε τον λίθον, τον οποίον είχε θέσει ως προσκεφάλαιον εις την κεφαλήν του, έστησεν αυτόν ως στήλην εις ανάμνησιν του μεγάλου τούτου γεγονότος, και εις ένδειξιν καθιερώσεως έχυσεν έλαιον εις την κορυφήν αυτής.

Γεν. 28,19 - καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Οἶκος Θεοῦ· καὶ Οὐλαμλοὺζ ἦν ὄνομα τῇ πόλει τὸ πρότερον.

Γεν. 28,19 - Ωνόμασε δε τον τόπον εκείνον "Οίκος Θεού". Η πόλις, κοντά εις την οποίαν εκοιμήθη, ωνομάζετο την εποχήν εκείνην Ουλαμλούζ.

Γεν. 28,20 - καὶ ηὔξατο Ἰακὼβ εὐχὴν λέγων· ἐὰν ᾖ Κύριος ὁ Θεὸς μετ᾿ ἐμοῦ καὶ διαφυλάξῃ με ἐν τῇ ὁδῷ ταύτῃ, ᾗ ἐγὼ πορεύομαι, καὶ δῷ μοι ἄρτον φαγεῖν καὶ ἱμάτιον περιβαλέσθαι

Γεν. 28,20 - Εκαμε δε εκεί ο Ιακώβ τάξιμον και είπεν· "εάν ο Κυριος και Θεός είναι μαζή μου και με διαφύλαξη στον δρόμον, τον οποίον εγώ βαδίζω, και μου δώση άρτον προς τροφήν και ιμάτιον εις ενδυμασίαν, μου δώση όσα μου χρειάζονται κατά τους χρόνους της ξενητιάς μου,

Γεν. 28,21 - καὶ ἀποστρέψῃ με μετὰ σωτηρίας εἰς τὸν οἶκον τοῦ πατρός μου, καὶ ἔσται Κύριός μοι εἰς Θεόν,

Γεν. 28,21 - εάν με καθοδηγήση και επιστρέψω πάλιν σώος στο σπίτι του πατρός μου, αυτός θα είναι ο Κυριος μου και ο Θεός μου.

Γεν. 28,22 - καὶ ὁ λίθος οὗτος, ὃν ἔστησα στήλην, ἔσται μοι οἶκος Θεοῦ, καὶ πάντων, ὧν ἐάν μοι δῷς, δεκάτην ἀποδεκατώσω αὐτά σοι.

Γεν. 28,22 - Και ο λίθος αυτός, τον οποίον εγώ έστησα όρθιον εις ανάμνησιν του γεγονότος, θα γίνη ο θεμέλιος λίθος του ναού του Θεού. Από όλα δε τα αγαθά, όσα ήθελε μου δώσει ο Θεός, εγώ θα προσφέρω εις αυτόν το εν δέκατον".

## ΓΕΝΕΣΙΣ 29

Γεν. 29,1 - Καὶ ἐξάρας Ἰακὼβ τοὺς πόδας ἐπορεύθη εἰς γῆν ἀνατολῶν πρὸς Λάβαν τὸν υἱὸν Βαθουὴλ τοῦ Σύρου, ἀδελφὸν δὲ Ῥεβέκκας μητρὸς Ἰακὼβ καὶ Ἠσαῦ.

Γεν. 29,1 - Επειτα από τα γεγονότα αυτά εξεκίνησεν ο Ιακώβ πεζή, εβάδισεν εις τας ανατολικάς χώρας προς τον Λαβαν, τον υιόν Βαθουήλ του Συρου, αδελφόν της Ρεβέκκας της μητρός του Ιακώβ και του Ησαύ.

Γεν. 29,2 - καὶ ὁρᾷ καὶ ἰδοὺ φρέαρ ἐν τῷ πεδίῳ, ἦσαν δὲ ἐκεῖ τρία ποίμνια προβάτων ἀναπαυόμενα ἐπ᾿ αὐτοῦ· ἐκ γὰρ τοῦ φρέατος ἐκείνου ἐπότιζον τὰ ποίμνια, λίθος δὲ ἦν μέγας ἐπὶ τῷ στόματι τοῦ φρέατος,

Γεν. 29,2 - Οταν δε επλησίασε προς την πόλιν Χαρράν, παρατηρεί και ιδού βλέπει ότι εις την πεδιάδα υπήρχε φρέαρ. Πλησίον δε αυτού ήσαν τρία ποίμνια προβάτων, τα οποία ανεπαύοντο, διότι από το φρέαρ εκείνο

επότιζον οι ποιμένες τα κοπάδια των. Ενας δε μεγάλος λίθος έκλειε το στόμιον του φρέατος.

Γεν. 29,3 - καὶ συνήγοντο ἐκεῖ πάντα τὰ ποίμνια καὶ ἀπεκύλιον τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος καὶ ἐπότιζον τὰ πρόβατα καὶ ἀποκαθίστων τὸν λίθον ἐπὶ τὸ στόμα τοῦ φρέατος εἰς τὸν τόπον αὐτοῦ.

Γεν. 29,3 - Εμαζεύοντο εκεί όλα τα κοπάδια, οι δε ποιμένες απεκύλιον τον λίθον από το στόμιον του φρέατος, επότιζον τα πρόβατα και έπειτα επανέφεραν τον λίθον εις την θέσιν του, στο στόμιον του φρέατος.

Γεν. 29,4 - εἶπε δὲ αὐτοῖς Ἰακώβ· ἀδελφοί, πόθεν ἐστὲ ὑμεῖς; οἱ δὲ εἶπαν· ἐκ Χαῤῥὰν ἐσμέν.

Γεν. 29,4 - Ηρώτησεν ο Ιακώβ τους ποιμένας και είπεν· “αδελφοί, από που είσθε;” Εκείνοι δε απήντησαν· “είμεθα από την Χαρράν”.

Γεν. 29,5 - εἶπε δὲ αὐτοῖς· γινώσκετε Λάβαν τὸν υἱὸν Ναχώρ; οἱ δὲ εἶπαν· γινώσκομεν.

Γεν. 29,5 - Τους ηρώτησε πάλιν· “γνωρίζετε τον Λαβαν, τον απόγονον του Ναχώρ;” Εκείνοι είπαν· “βεβαίως τον γνωρίζομεν”.

Γεν. 29,6 - εἶπε δὲ αὐτοῖς· ὑγιαίνει; οἱ δὲ εἶπαν· ὑγιαίνει. καὶ ἰδοὺ Ῥαχὴλ ἡ θυγάτηρ αὐτοῦ ἤρχετο μετὰ τῶν προβάτων.

Γεν. 29,6 - Είπεν εις αυτούς· “είναι καλά εις την υγείαν του;”. Εκείνοι είπαν· “Είναι καλά”. Κατά την ώραν εκείνην ιδού η Ραχήλ, η θυγάτηρ του Λαβαν, ήρχετο με τα πρόβατά της στο φρέαρ.

Γεν. 29,7 - καὶ εἶπεν Ἰακώβ· ἔτι ἐστὶν ἡμέρα πολλή, οὔπω ὥρα συναχθῆναι τὰ κτήνη· ποτίσαντες τὰ πρόβατα ἀπελθόντες βόσκετε.

Γεν. 29,7 - Ο Ιακώβ, θέλων προφανώς να ομιλήση ιδιαιτέρως με την κόρην του Λαβαν, είπεν στους ποιμένας· “υπολείπονται ώραι πολλαί της ημέρας και δεν είναι ακόμη καιρός να συγκεντρωθούν τα ζώα εις τας μάνδρας των. Ποτίσατέ τα λοιπόν, και πηγαίνετε να τα βοσκήσετε”.

Γεν. 29,8 - οἱ δὲ εἶπαν· οὐ δυνησόμεθα ἕως τοῦ συναχθῆναι πάντας τοὺς ποιμένας, καὶ ἀποκυλίσουσι τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος, καὶ ποτιοῦμεν τὰ πρόβατα.

Γεν. 29,8 - Εκείνοι όμως του απήντησαν· “δεν ημπορούμεν να τα ποτίσωμεν, πριν η, μαζευθούν εδώ όλοι οι ποιμένες και μαζή αποκυλίσουν τον λίθον από το στόμιον του φρέατος, οπότε και θα ποτίσωμεν τα πρόβατα”.

Γεν. 29,9 - ἔτι αὐτοῦ λαλοῦντος αὐτοῖς καὶ ἰδοὺ Ῥαχὴλ ἡ θυγάτηρ Λάβαν ἤρχετο μετὰ τῶν προβάτων τοῦ πατρὸς αὐτῆς· αὐτὴ γὰρ ἔβοσκε τὰ πρόβατα τοῦ πατρὸς αὐτῆς.

Γεν. 29,9 - Καθ' ον χρόνον αυτός συνωμίλει με τους ποιμένας, ιδού η Ραχήλ, η θυγάτηρ του Λαβαν, ήρχετο με τα πρόβατα του πατρός της στο φρέαρ, δια να τα ποτίση, διότι αυτή τα έβοσκεν.

Γεν. 29,10 - ἐγένετο δέ, ὡς εἶδεν Ἰακὼβ τὴν Ῥαχὴλ τὴν θυγατέρα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, καὶ τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ, καὶ προσελθὼν Ἰακὼβ ἀπεκύλισε τὸν λίθον ἀπὸ τοῦ στόματος τοῦ φρέατος καὶ ἐπότιζε τὰ πρόβατα Λάβαν τοῦ ἀδελφοῦ τῆς μητρὸς αὐτοῦ.

Γεν. 29,10 - Οτε δε ο Ιακώβ είδε την Ραχήλ, την θυγατέρα του Λαβαν, του αδελφού της μητρός του, και τα πρόβατα του Λαβαν, επλησίασεν στο φρέαρ, απεκύλισε μόνος του από το στόμιον τον λίθον και επότιζε τα πρόβατα του αδελφού της μητρός του.

Γεν. 29,11 - καὶ ἐφίλησεν Ἰακὼβ τὴν Ῥαχήλ· καὶ βοήσας τῇ φωνῇ αὐτοῦ ἔκλαυσε.

Γεν. 29,11 - Επλησίασε την Ραχήλ, την ησπάσθη και βαθύτατα συγκεκινημένος έκραζε και έκλαυσε.

Γεν. 29,12 - καὶ ἀπήγγειλε τῇ Ῥαχήλ, ὅτι ἀδελφὸς τοῦ πατρὸς αὐτῆς ἐστι καὶ ὅτι υἱὸς Ῥεβέκκας ἐστί, καὶ δραμοῦσα ἀπήγγειλε τῷ πατρὶ αὐτῆς κατὰ τά ῥήματα ταῦτα.

Γεν. 29,12 - Επληροφόρησε την Ραχήλ ότι είναι ανεψιός του πατρός της, υιός της Ρεβέκκας της αδελφής του. Εκείνη δε έτρεξε και ανήγγειλεν στον πατέρα της τα λόγια αυτά.

Γεν. 29,13 - ἐγένετο δέ, ὡς ἤκουσε Λάβαν τὸ ὄνομα Ἰακὼβ τοῦ υἱοῦ τῆς ἀδελφῆς αὐτοῦ, ἔδραμεν εἰς συνάντησιν αὐτῷ καὶ περιλαβὼν αὐτὸν ἐφίλησε καὶ εἰσήγαγεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ. καὶ διηγήσατο τῷ Λάβαν πάντας τοὺς λόγους τούτους.

Γεν. 29,13 - Αμέσως δε μόλις ο Λαβαν ήκουσε το όνομα του Ιακώβ, του παιδιού της αδελφής του, έτρεξεν εις συνάντησίν του, τον ενηγκαλίσθη, τον εφίληοε και τον ωδήγησεν στον οίκον του. Εκεί δε διηγήθη ο Ιακώβ στον Λαβαν όλα, όσα του είχον συμβή.

Γεν. 29,14 - καὶ εἶπεν αὐτῷ Λάβαν· ἐκ τῶν ὀστῶν μου καὶ ἐκ τῆς σαρκός μου εἶ σύ. καὶ ἦν μετ᾿ αὐτοῦ μῆνα ἡμερῶν.

Γεν. 29,14 - Ο Λαβαν είπε τότε στον Ιακώβ· “είσαι συ από τα δικά μας κόκκαλα και από την ιδικήν μας σάρκα. Είμεθα συγγενείς εξ αίματος”. Ο Ιακώβ έμεινε μαζή του ένα μήνα.

Γεν. 29,15 - Εἶπε δὲ Λάβαν τῷ Ἰακώβ· ὅτι γὰρ ἀδελφός μου εἶ, οὐ δουλεύσεις μοι δωρεάν· ἀπάγγειλόν μοι, τίς ὁ μισθός σου ἐστί;

Γεν. 29,15 - Μετά την πάροδον του μηνός ο Λαβαν είπεν στον Ιακώβ· “επειδή είσαι συγγενής μου, αυτό δεν σημαίνει ότι πρέπει να εργάζεσαι εις εμέ δωρεάν, ωσάν δούλος. Πές μου ποίος πρέπει να είναι ο μισθός σου”.

Γεν. 29,16 - τῷ δὲ Λάβαν ἦσαν δύο θυγατέρες, ὄνομα τῇ μείζονι Λεία, καὶ ὄνομα τῇ νεωτέρᾳ Ῥαχήλ.

Γεν. 29,16 - Ο Λαβαν είχε δύο θυγατέρας· η μεγαλυτέρα ωνομάζετο Λεία και η μικροτέρα ωνομάζετο Ραχήλ.

Γεν. 29,17 - οἱ δὲ ὀφθαλμοὶ Λείας ἀσθενεῖς, Ῥαχὴλ δὲ ἦν καλὴ τῷ εἴδει καὶ ὡραία τῇ ὄψει σφόδρα.

Γεν. 29,17 - Οι οφθαλμοί της Λείας ήσαν αδύνατοι, η δε Ραχήλ ήτο ωραία εις όλην της την εμφάνισιν και εξαιρετικώς ωραία στο, πρόσωπον.

Γεν. 29,18 - ἠγάπησε δὲ Ἰακὼβ τὴν Ῥαχὴλ καὶ εἶπε· δουλεύσω σοι ἑπτὰ ἔτη περὶ Ῥαχὴλ τῆς θυγατρός σου τῆς νεωτέρας.

Γεν. 29,18 - Ο Ιακώβ ηγάπησε την Ραχήλ και είπε· “θα εργασθώ εις σε επτά έτη δια την Ραχήλ την νεωτέραν θυγατέρα σου, την οποίαν μετά τα επτά αυτά έτη θα λάβω ως σύζυγον”.

Γεν. 29,19 - εἶπε δὲ αὐτῷ Λάβαν· βέλτιον δοῦναί με αὐτήν σοι, ἢ δοῦναί με αὐτὴν ἀνδρὶ ἑτέρῳ· οἴκησον μετ᾿ ἐμοῦ.

Γεν. 29,19 - Ο Λαβαν του απήντησεν· “είναι βεβαίως πολύ προτιμότερον για μένα να δώσω αυτήν σύζυγον εις σέ, παρά εις οιονδήποτε άνδρα. Μείνε μαζή μας και εργάσου, όπως είπες”.

Γεν. 29,20 - καὶ ἐδούλευσεν Ἰακὼβ περὶ Ῥαχὴλ ἑπτὰ ἔτη, καὶ ἦσαν ἐναντίον αὐτοῦ ὡς ἡμέραι ὀλίγαι, παρὰ τὸ ἀγαπᾷν αὐτὸν αὐτήν.

Γεν. 29,20 - Ο Ιακώβ ειργάσθη πράγματι επί επτά κατά συνέχειαν έτη, δια να λάβη ως σύζυγον την Ραχήλ. Μαλιστα δε του εφάνησαν και ολίγα τα έτη αυτά. Διότι αγαπούσε την Ραχήλ.

Γεν. 29,21 - εἶπε δὲ Ἰακὼβ τῷ Λάβαν· δός μοι τὴν γυναῖκά μου, πεπλήρωνται γὰρ αἱ ἡμέραι, ὅπως εἰσέλθω πρὸς αὐτήν.

Γεν. 29,21 - Μετά δε την παρέλευσιν των ετών αυτών είπεν ο Ιακώβ στον Λαβαν· “τα επτά έτη της εργασίας μου συνεπληρώθησαν· δος μου λοιπόν την Ραχήλ, δια να την νυμφευθώ και να την έχω ως σύζυγον”.

Γεν. 29,22 - συνήγαγε δὲ Λάβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου καὶ ἐποίησε γάμον.

Γεν. 29,22 - Ο Λαδάν συνεκέντρωσεν όλους τους άνδρας του τόπου και έκαμε τον γάμον.

Γεν. 29,23 - καὶ ἐγένετο ἑσπέρα, καὶ λαβὼν Λείαν τὴν θυγατέρα αὐτοῦ εἰσήγαγε πρὸς Ἰακὼβ καὶ εἰσῆλθε πρὸς αὐτὴν Ἰακώβ.

Γεν. 29,23 - Οταν ενύκτωσεν, επήρε ο Λαβαν την Λείαν, την θυγατέρα αυτού, και την ωδήγησεν προς τον Ιακώβ στον νυμφικόν θάλαμον.

Γεν. 29,24 - ἔδωκε δὲ Λάβαν Λείᾳ τῇ θυγατρὶ αὐτοῦ Ζελφὰν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην.

Γεν. 29,24 - Εδωσε δε εις την θυγατέρα του την Λείαν ως δούλην της την Ζελφάν, ιδικήν του έως τότε δούλην.

Γεν. 29,25 - ἐγένετο δὲ πρωΐ, καὶ ἰδοὺ ἦν Λεία. εἶπε δὲ Ἰακὼβ τῷ Λάβαν· τί τοῦτο ἐποίησάς μοι; οὐ περὶ Ῥαχὴλ ἐδούλευσα παρὰ σοί; καὶ

ἱνατί παρελογίσω με;

Γεν. 29,25 - Οταν εξημέρωσε, είδεν έξαφνα ο Ιακώβ ότι σύζυγός του έγινεν η Λεία. Διεμαρτυρήθη δε προς τον Λαβαν και του είπε· “τι είναι αυτό, που μου έκαμες; Επί επτά έτη συνεχώς δεν ειργάσθην κατά την συμφωνίαν μας κοντά σου δια την Ραχήλ; Διατί με εξηπάτησες;”

Γεν. 29,26 - ἀπεκρίθη δὲ Λάβαν· οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν ἢ τὴν πρεσβυτέραν·

Γεν. 29,26 - Ο Λαβαν του απήντησε· “δεν υπάρχει στον τόπον μας συνήθεια να δίδωμεν εις γάμον την νεωτέραν κόρην, πριν υπανδρεύσωμεν την μεγαλυτέραν.

Γεν. 29,27 - συντέλεσον οὖν τὰ ἕβδομα ταύτης, καὶ δώσω σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας, ἧς ἐργᾷ παρ᾿ ἐμοί, ἔτι ἑπτὰ ἔτη ἕτερα.

Γεν. 29,27 - Ας περάση λοιπόν η εβδομάς του γάμου σου με την Λείαν και, θα δώσω εις σε και την Ραχήλ έναντι της εργασίας, την οποίον θα μου προσφέρης επί επτά ακόμη έτη”.

Γεν. 29,28 - ἐποίησε δὲ Ἰακὼβ οὕτως καὶ ἀνεπλήρωσε τὰ ἕβδομα ταύτης, καὶ ἔδωκεν αὐτῷ Λάβαν Ῥαχὴλ τὴν θυγατέρα αὐτοῦ αὐτῷ γυναῖκα.

Γεν. 29,28 - Εδέχθη ο Ιακώβ την νέαν αυτήν συμφωνίαν, και έκαμεν, όπως του είπεν ο Λαβαν. Μετά την λήξιν της εβδομάδος του γάμου του με την Λείαν, έδωκεν ο Λαβαν εις αυτόν και την θυγατέρα του Ραχήλ ως σύζυγον.

Γεν. 29,29 - ἔδωκε δὲ Λάβαν τῇ θυγατρὶ αὐτοῦ Βαλλὰν τὴν παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην.

Γεν. 29,29 - Εδωκε δε την δούλην του Βαλλάν ως δούλην εις την θυγατέρα του Ραχήλ.

Γεν. 29,30 - καὶ εἰσῆλθε πρὸς Ῥαχήλ· ἠγάπησε δὲ Ῥαχὴλ μᾶλλον ἢ Λείαν· καὶ ἐδούλευσεν αὐτῷ ἑπτὰ ἔτη ἕτερα.

Γεν. 29,30 - Ο Ιακώβ ήλθεν εις γάμου κοινωνίαν με την Ραχήλ. Ηγάπησε δε περισσότερον την Ραχήλ από την Λείαν. Εν συνεχεία δε ειργάσθη άλλα επτά έτη στον πενθερόν του τον Λαβαν.

Γεν. 29,31 - Ἰδὼν δὲ Κύριος ὁ Θεὸς ὅτι ἐμισεῖτο Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα·

Γεν. 29,31 - Ο Κυριος και Θεός ιδών ότι η Λεία περιεφρονείτο από τον Ιακώβ ως άσχημη, της έδωσε το χάρισμα της τεκνογονίας, ενώ η Ραχήλ έμενε στείρα.

Γεν. 29,32 - καὶ συνέλαβε Λεία καὶ ἔτεκεν υἱὸν τῷ Ἰακώβ· ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Ῥουβὴν λέγουσα· διότι εἶδέ μου Κύριος τὴν ταπείνωσιν, καὶ ἔδωκέ μοι υἱόν· νῦν οὖν ἀγαπήσει με ὁ ἀνήρ μου.

Γεν. 29,32 - Η Λεία κατέστη έγκυος και εγέννησεν στον Ιακώβ υιόν. Ωνόμασε δε αυτόν Ρουβήν λέγουσα· “ο Κυριος μου έδωκεν υιόν, διότι είδε

την περιφρόνησίν μου από τον άνδρα μου. Τωρα λοιπόν θα με αγαπήση ο σύζυγός μου”.

Γεν. 29,33 - καὶ συνέλαβε πάλιν καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακὼβ καὶ εἶπεν· ὅτι ἤκουσε Κύριος ὅτι μισοῦμαι, καὶ προσέδωκέ μοι καὶ τοῦτον· ἐκάλεσε δὲ τὸ ὄνομα αὐτοῦ Συμεών·

Γεν. 29,33 - Εμεινε πάλιν έγκυος, εγέννησε δεύτερον υιόν και είπεν· “ήκουσεν ο Κυριος ότι περιφρονούμαι ακόμη από τον σύζυγόν μου και μου έδωσε και αυτόν τον υιόν”. Δια τούτο ωνόμασε τον δεύτερον υιόν της Συμεών.

Γεν. 29,34 - καὶ συνέλαβεν ἔτι καὶ ἔτεκεν υἱὸν καὶ εἶπεν· ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται ὁ ἀνήρ μου, τέτοκα γὰρ αὐτῷ τρεῖς υἱούς· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Λευεί.

Γεν. 29,34 - Εμεινε και πάλιν έγκυος, εγέννησε υιόν και είπε· “τώρα πλέον θα είναι μαζή μου ο άνδρας μου, διότι του εγέννησα τρεις υιούς”. Δια τούτο ωνόμασεν αυτόν Λευεί.

Γεν. 29,35 - καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱὸν καὶ εἶπε· νῦν ἔτι τοῦτο ἐξομολογήσομαι τῷ Κυρίῳ· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰούδαν. καὶ ἔστη τοῦ τίκτειν.

Γεν. 29,35 - Κατέστη και πάλιν έγκυος, εγέννησε και άλλον υιόν και είπε· “και πάλιν τώρα θα δοξολογήσω δια τούτο το γεγονός τον Κυριον”. Δια τούτο ωνόμασε το παιδί της αυτό Ιούδαν και έπαυσε να γεννά.

## ΓΕΝΕΣΙΣ 30

Γεν. 30,1 - Ἰδοῦσα δὲ Ῥαχὴλ ὅτι οὐ τέτοκε τῷ Ἰακώβ, καὶ ἐζήλωσε Ῥαχὴλ τὴν ἀδελφὴν αὐτῆς καὶ εἶπε τῷ Ἰακώβ· δός μοι τέκνα· εἰ δὲ μή, τελευτήσω ἐγώ.

Γεν. 30,1 - Οταν η Ραχήλ είδεν ότι δεν εγέννησεν τστον Ιακώβ παιδί, εφθόνησε την αδελφήν της Λείαν και είπεν στον Ιακώβ· “δος μου τέκνα, ει δ' άλλως θα αποθάνω”.

Γεν. 30,2 - θυματωθεὶς δὲ Ἰακὼβ τῇ Ῥαχὴλ εἶπεν αὐτῇ· μὴ ἀντὶ Θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας;

Γεν. 30,2 - Εθύμωσεν ο Ιακώβ εναντίον της Ραχήλ και της είπε· “μήπως εγώ υπέχω θέσιν Θεού, ο οποίος δεν σου έδωσε καρπόν κοιλίας;”

Γεν. 30,3 - εἶπε δὲ Ῥαχὴλ τῷ Ἰακώβ· ἰδοὺ ἡ παιδίσκη μου Βαλλά· εἴσελθε πρὸς αὐτήν, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου, καὶ τεκνοποιήσομαι κἀγὼ ἐξ αὐτῆς.

Γεν. 30,3 - Είπεν η Ραχήλ στον Ιακώβ· “Ιδού, η δούλη μου η Βαλλά, πάρε την και θα γεννήση παιδί εις τα γόνατά μου και θα είναι σαν να έχω γενήσει

εγώ. Το τέκνον της θα είναι ιδικόν μου”.

Γεν. 30,4 - καὶ ἔδωκεν αὐτῷ Βαλλὰν τὴν παιδίσκην αὐτῆς αὐτῷ γυναῖκα· καὶ εἰσῆλθε πρὸς αὐτὴν Ἰακώβ.

Γεν. 30,4 - Παρέδωσε την δούλην της την Βαλλάν εις αυτόν ως γυναίκα του, ήλθεν εκείνος προς αυτήν εις συζυγικήν συνάφειαν,

Γεν. 30,5 - καὶ συνέλαβε Βαλλὰ ἡ παιδίσκη Ῥαχὴλ καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν.

Γεν. 30,5 - έμεινεν έγκυος η Βαλλά η δούλη της Ραχήλ και εγέννησεν στον Ιακώβ υιόν.

Γεν. 30,6 - καὶ εἶπε Ῥαχήλ· ἔκρινέ μοι ὁ Θεὸς καὶ ἐπήκουσε τῆς φωνῆς μου καὶ ἔδωκέ μοι υἱόν· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Δάν.

Γεν. 30,6 - Είπε δε η Ραχήλ· “ο Θεός μου έδωσε το δίκαιόν μου, ήκουσε την προσευχήν μου και μου εχάρισε παιδί”. Δια τούτο ωνόμασεν αυτόν Δαν.

Γεν. 30,7 - καὶ συνέλαβεν ἔτι Βαλλὰ ἡ παιδίσκη Ῥαχὴλ καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ἰακώβ.

Γεν. 30,7 - Εμεινε πάλιν έγκυος η Βαλλά, η δούλη της Ραχήλ, και εγέννησε δεύτερον υιόν στον Ιακώβ.

Γεν. 30,8 - καὶ εἶπε Ῥαχήλ· συναντελάβετό μου ὁ Θεός, καὶ συνανεστράφην τῇ ἀδελφῇ μου καὶ ἠδυνάσθην· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Νεφθαλείμ.

Γεν. 30,8 - Είπε τότε η Ραχήλ· “με εβοήθησεν ο Θεός, ηγωνίσθην σκληρώς κατά της αδελφής μου και την ενίκησα”. Και ωνόμασε τον υιόν της Νεφθαλείμ.

Γεν. 30,9 - Εἶδε δὲ Λεία ὅτι ἔστη τοῦ τίκτειν, καὶ ἔλαβε Ζελφὰν τὴν παιδίσκην αὐτῆς καὶ ἔδωκεν αὐτὴν τῷ Ἰακὼβ γυναῖκα. καὶ εἰσῆλθε πρὸς αὐτὴν

Γεν. 30,9 - Είδεν η Λεία, ότι εσταμάτησεν η τεκνογονία της και έλαβε την δούλην της την Ζελφάν, την παρέδωσεν στον Ιακώβ ως γυναίκα του, και ήλθεν εκείνος εις συνάφειαν με αυτήν.

Γεν. 30,10 - καὶ συνέλαβε Ζελφὰ ἡ παιδίσκη Λείας καὶ ἔτεκε τῷ Ἰακὼβ υἱόν.

Γεν. 30,10 - Η Ζελφά, η δούλη της Λείας, έμεινεν έγκυος, και εγέννησεν υιόν στον Ιακώβ.

Γεν. 30,11 - καὶ εἶπε Λεία. ἐν τύχῃ· καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Γάδ.

Γεν. 30,11 - Είπε τότε η Λεία· “είμαι ευτυχής” ! Ωνόμασε δε τον υιόν της αυτόν Γαδ.

Γεν. 30,12 - καὶ συνέλαβεν ἔτι Ζελφὰ ἡ παιδίσκη Λείας καὶ ἔτεκε τῷ Ἰακὼβ υἱὸν δεύτερον.

Γεν. 30,12 - Εμεινε και πάλιν έγκυος η Ζελφά, η δούλη της Λείας, και εγέννησε δεύτερον υιόν του Ιακώβ.

Γεν. 30,13 - καὶ εἶπε Λεία· μακαρία ἐγώ, ὅτι μακαριοῦσί με αἱ γυναῖκες· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀσήρ.

Γεν. 30,13 - Και η Λεία είπε· "είμαι εγώ ευτυχισμένη, διότι θα με μακαρίζουν αι γυναίκες". Δια τούτο ωνόμασε τούτον τον υιόν Ασήρ.

Γεν. 30,14 - Ἐπορεύθη δὲ Ῥουβὴν ἐν ἡμέρᾳ θερισμοῦ πυρῶν καὶ εὗρε μῆλα μανδραγορῶν ἐν τῷ ἀγρῷ καὶ ἤνεγκεν αὐτὰ πρὸς Λείαν τὴν μητέρα αὐτοῦ· εἶπε δὲ Ῥαχὴλ Λείᾳ τῇ ἀδελφῇ αὐτῆς· δός μοι τῶν μανδραγορῶν τοῦ υἱοῦ σου.

Γεν. 30,14 - Καποιαν ημέραν του θερισμού των σιτηρών ο Ρουβήν μετέβη εις αγρόν. Εύρεν εκεί καρπούς του φυτού μανδραγόρου και έφερεν αυτούς προς την μητέρα του την Λείαν. Είπε δε η Ραχήλ προς την αδελφήν της την Λείαν· "δος μου και μένα από τους καρπούς του μανδραγόρου, που σου έφερε το παιδί σου· (εζήτησε δε αυτούς, διότι επίστευεν ότι τρωγόμενοι αυτοί λύουν την στείρωσιν).

Γεν. 30,15 - εἶπε δὲ Λεία· οὐχ ἱκανόν σοι ὅτι ἔλαβες τὸν ἄνδρα μου; μὴ καὶ τοὺς μανδραγόρας τοῦ υἱοῦ μου λήψῃ; εἶπε δὲ Ῥαχήλ· οὐχ οὕτως· κοιμηθήτω μετὰ σοῦ τὴν νύκτα ταύτην ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ σου.

Γεν. 30,15 - Απήντησεν η Λεία· "δεν σου αρκεί ότι μου επήρες τον άνδρα; Μηπως θέλεις να μου πάρης και τους μανδραγόρας του παιδιού μου;" Η Ραχήλ απήντησεν· "όχι. Ας μη υπάρχη αυτή η διαφορά μεταξύ μας. Αυτήν την νύκτα ας κοιμηθή μαζή σου ο άνδρας μου αντί των καρπών του μανδραγόρου, που σου έφερε το παιδί σου, τους οποίους θα μου δώσης".

Γεν. 30,16 - εἰσῆλθε δὲ Ἰακὼβ ἐξ ἀγροῦ ἑσπέρας, καὶ ἐξῆλθε Λεία εἰς συνάντησιν αὐτῷ καὶ εἶπε· πρὸς ἐμὲ εἰσελεύσῃ σήμερον· μεμίσθωμαι γάρ σε ἀντὶ τῶν μανδραγορῶν τοῦ υἱοῦ μου. καὶ ἐκοιμήθη μετ᾽ αὐτῆς τὴν νύκτα ἐκείνην.

Γεν. 30,16 - Την εσπέραν επέστρεψεν από τον αγρόν ο Ιακώβ και η Λεία εξήλθεν εις συνάντησίν του και του είπεν· "αυτήν την νύκτα θα έλθης προς εμέ, διότι σε έχω εξαγοράσει με τους μανδραγόρας του παιδιού μου". Και πράγματι ο Ιακώβ εκοιμήθη μαζή της την νύκτα εκείνην.

Γεν. 30,17 - καὶ ἐπήκουσεν ὁ Θεὸς Λείας, καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἰακὼβ υἱὸν πέμπτον.

Γεν. 30,17 - Ηκουσεν ο Θεός την προσευχήν της Λείας, έμεινεν αυτή έγκυος και εγέννησεν στον Ιακώβ πέμπτον τέκνον.

Γεν. 30,18 - καὶ εἶπε Λεία· δέδωκέ μοι ὁ Θεὸς τὸν μισθόν μου, ἀνθ᾽ οὗ ἔδωκα τὴν παιδίσκην μου τῷ ἀνδρί μου· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσσάχαρ, ὅ ἐστι μισθός.

Γεν. 30,18 - Είπε δε η Λεία· "ο Θεός μου έδωσε την αμοιβήν μου δια το γεγονός ότι εγώ είχα δώσει την δούλην μου ως σύζυγον στον άνδρα μου".

Δια τούτο έδωσεν εις αυτό το όνομα Ισσάχαρ το οποίον σημαίνει μισθός.

Γεν. 30,19 - καὶ συνέλαβεν ἔτι Λεία καὶ ἔτεκεν υἱὸν ἕκτον τῷ Ἰακώβ.

Γεν. 30,19 - Και πάλιν η Λεία έμεινεν έγκυος, εγέννησεν έκτον υιόν στον Ιακώβ,

Γεν. 30,20 - καὶ εἶπε Λεία· δεδώρηται ὁ Θεός μοι δῶρον καλὸν ἐν τῷ νῦν καιρῷ· αἱρετιεῖ με ὁ ἀνήρ μου, τέτοκα γὰρ αὐτῷ υἱοὺς ἕξ· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαβουλών.

Γεν. 30,20 - και είπε· "μου εχάρισεν ο Θεός κατά τον καιρόν τούτον ένα καλόν δώρον. Εμέ πλέον θα προτιμά ο σύζυγός μου, διότι του έχω γεννήσει έως τώρα εξ παιδιά". Και εκάλεσε το όνομα του έκτου αυτού τέκνου Ζαβουλών.

Γεν. 30,21 - καὶ μετὰ τοῦτο ἔτεκε θυγατέρα καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Δείνα.

Γεν. 30,21 - Κατόπιν εγέννησεν η Λεία θυγατέρα, την οποίαν ωνόμασε Δείνα.

Γεν. 30,22 - Ἐμνήσθη δὲ ὁ Θεὸς τῆς Ῥαχήλ, καὶ ἐπήκουσεν αὐτῆς ὁ Θεὸς καὶ ἀνέῳξεν αὐτῆς τὴν μήτραν,

Γεν. 30,22 - Ο Θεός ενεθυμήθη την Ραχήλ, ήκουσε την προσευχήν της και της έδωσε το δώρον της τεκνογονίας.

Γεν. 30,23 - καὶ συλλαβοῦσα ἔτεκε τῷ Ἰακὼβ υἱόν. εἶπε δὲ Ῥαχήλ· ἀφεῖλεν ὁ Θεός μου τὸ ὄνειδος·

Γεν. 30,23 - Εμεινε και αυτή έγκυος, εγέννησεν στον Ιακώβ υιόν και είπεν· "ο Θεός μου αφήρεσε την εντροπήν της ατεκνίας μου".

Γεν. 30,24 - καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰωσὴφ λέγουσα· προσθέτω ὁ Θεός μοι υἱὸν ἕτερον.

Γεν. 30,24 - Δια τούτο ωνόμασε το τέκνον της αυτό Ιωσήφ λέγουσα· "ας μου δώση ο Θεός και άλλον υιόν".

Γεν. 30,25 - Ἐγένετο δὲ ὡς ἔτεκε Ῥαχὴλ τὸν Ἰωσήφ, εἶπεν Ἰακὼβ τῷ Λάβαν· ἀπόστειλόν με, ἵνα ἀπέλθω εἰς τὸν τόπον μου καὶ εἰς τὴν γῆν μου.

Γεν. 30,25 - Οταν η Ραχήλ εγέννησε τον Ιωσήφ, είπεν ο Ιακώβ στον Λαβαν· "κατευόδωσέ με τώρα, δια να επιστρέψω εις την πατρίδα μου και εις την χώραν μου".

Γεν. 30,26 - ἀπόδος τὰς γυναῖκάς μου καὶ τὰ παιδία μου, περὶ ὧν δεδούλευκά σοι, ἵνα ἀπέλθω· σὺ γὰρ γινώσκεις τὴν δουλείαν, ἣν δεδούλευκά σοι.

Γεν. 30,26 - Δος μου τας γυναίκας μου και τα παιδιά μου, δια τας οποίας εγώ σε έχω δουλεύσει, ώστε να επανέλθω εις την πατρίδα μου· διότι συ γνωρίζεις πολύ καλά την εργασίαν, που σου έχω προσφέρει".

Γεν. 30,27 - εἶπε δὲ αὐτῷ Λάβαν· εἰ εὗρον χάριν ἐναντίον σου, οἰωνισάμην ἄν· εὐλόγησε γάρ με ὁ Θεὸς ἐπὶ τῇ σῇ εἰσόδῳ.

Γεν. 30,27 - Απήντησε προς αυτόν ο Λαβαν· “θα γίνη, όπως λέγεις. Εγώ και εις οιωνούς ακόμη θα κατέφευγα, δια να επιτύχω ειρηνικάς με σε σχέσεις. Διότι μόλις συ εισήλθες στον οίκον μου, με ευλόγησεν ο Θεός.

Γεν. 30,28 - διάστειλον τὸν μισθόν σου πρός με, καὶ δώσω.

Γεν. 30,28 - Καθόρισέ μου λοιπόν, τον μισθόν, που θέλεις, και εγώ θα σου τον δώσω”.

Γεν. 30,29 - εἶπε δὲ Ἰακώβ· σὺ γινώσκεις ἃ δεδούλευκά σοι καὶ ὅσα ἦν κτήνη σου μετ᾿ ἐμοῦ·

Γεν. 30,29 - Απήντησεν ο Ιακώβ· “συ γνωρίζεις τας υπηρεσίας που σου προσέφερα, όπως επίσης και τα ζώα που είχες, όταν εγώ ήλθα κοντά σου.

Γεν. 30,30 - μικρὰ γὰρ ἦν ὅσα σοι ἐναντίον ἐμοῦ, καὶ ηὐξήθη εἰς πλῆθος, καὶ εὐλόγησέ σε Κύριος ὁ Θεὸς ἐπὶ τῷ ποδί μου. νῦν οὖν πότε ποιήσω κἀγὼ ἐμαυτῷ οἶκον;

Γεν. 30,30 - Ολίγα ήσαν τότε τα πρόβατά σου, που μου έδωσες να βόσκω. Τωρα όμως έγιναν πολυάριθμα, διότι καθώς επάτησα το πόδι μου στο σπίτι σου, σε ευλόγησεν ο Θεός. Τωρα, λοιπόν, δεν νομίζεις ότι είναι καιρός να φτιάσω και εγώ το σπίτι μου;”

Γεν. 30,31 - καὶ εἶπεν αὐτῷ Λάβαν· τί σοι δώσω; εἶπε δὲ αὐτῷ Ἰακώβ· οὐ δώσεις μοι οὐδέν· ἐὰν ποιήσῃς μοι τὸ ῥῆμα τοῦτο, πάλιν ποιμανῶ τὰ πρόβατά σου καὶ φυλάξω.

Γεν. 30,31 - Ο Λαβαν του είπε· “τι θέλεις να σου δώσω;” Και ο Ιακώβ του απήντησε· “δεν θέλω να μου δώσης τίποτε. Εάν δεχθής την πρότασιν, την οποίαν θα σου κάμω, πάλιν εγώ θα βόσκω και θα φυλάττω τα πρόβατά σου.

Γεν. 30,32 - παρελθέτω πάντα τὰ πρόβατά σου σήμερον, καὶ διαχώρισον ἐκεῖθεν πᾶν πρόβατον φαιὸν ἐν τοῖς ἄρνασι καὶ πᾶν διάλευκον καὶ ῥαντὸν ἐν ταῖς αἰξίν· ἔσται μοι μισθός.

Γεν. 30,32 - Ας περάσουν από εμπρός μας σήμερον όλα τα πρόβατά σου. Ξεχώρισε από αυτά κάθε πρόβατον φαιόν, από δε τα γίδια κάθε αίγα λευκήν η διάστικτον. Αυτά θα είναι ο μισθός μου.

Γεν. 30,33 - καὶ ἐπακούσεταί μοι ἡ δικαιοσύνη μου ἐν τῇ ἡμέρᾳ τῇ ἐπαύριον, ὅτι ἐστὶν ὁ μισθός μου ἐνώπιόν σου· πᾶν, ὃ ἐὰν μὴ ᾖ ῥαντὸν καὶ διάλευκον ἐν ταῖς αἰξὶ καὶ φαιὸν ἐν τοῖς ἄρνασι, κεκλεμμένον ἔσται παρ᾿ ἐμοί.

Γεν. 30,33 - Η τιμιότης μου προς σε θα φανή και θα ακουσθή και στο μέλλον, ότι δηλαδή αυτός θα είναι, ο μισθός μου από σέ. Θα είμαι δε κλέπτης, εάν κρατήσω από το κοπάδι σου γίδια, που δεν θα είναι διάστικτα η λευκά και αρνιά που δεν θα είναι φαια”.

Γεν. 30,34 - εἶπε δὲ αὐτῷ Λάβαν· ἔστω κατὰ τὸ ῥῆμά σου.

Γεν. 30,34 - Ο Λαβαν, έχων υπ' όψιν του ότι τα αρνιά και τα γίδια του χρώματος που εζητούσεν ο Ιακώβ είναι σπάνια, του είπεν· “ας γίνη το

θέλημά σου”.
Γεν. 30,35 - καὶ διέστειλεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τοὺς τράγους τοὺς ῥαντοὺς καὶ τοὺς διαλεύκους καὶ πάσας τὰς αἶγας τὰς ῥαντὰς καὶ τὰς διαλεύκους καὶ πᾶν, ὃ ἦν φαιὸν ἐν τοῖς ἄρνασι, καὶ πᾶν ὃ ἦν λευκὸν ἐν αὐτοῖς, καὶ ἔδωκε διὰ χειρὸς τῶν υἱῶν αὐτοῦ.
Γεν. 30,35 - Και εξεχώρισε κατά την ημέραν εκείνην τους τράγους, που είχαν διάστικτον χρωματισμόν και τους λευκούς, όλας τας αίγας τας διαστίκτους και λευκάς, κάθε ζώον στο κοπάδι των αιγών που ήτο λευκόν, όπως επίσης και κάθε πράβατον φαιόν ανάμεσα εις τα άλλα πρόβατα, και τα παρεχώρησεν εις την εξουσίαν των παιδιών του.
Γεν. 30,36 - καὶ ἀπέστησεν ὁδὸν τριῶν ἡμερῶν ἀνὰ μέσον αὐτῶν καὶ ἀνὰ μέσον Ἰακώβ. Ἰακὼβ δὲ ἐποίμανε τὰ πρόβατα Λάβαν τὰ ὑπολειφθέντα.
Γεν. 30,36 - Ο Λαβαν απεμάκρυνεν εις απόστασιν τριών ημερών τα ολίγα αυτά γιδοπρόδατα, από εκείνα που θα εξακολουθούσε να φυλάττη ο Ιακώβ. Πράγματι ο Ιακώβ, εξακολουθούσε να ποιμαίνη τα υπολειφθέντα πρόβατα του Λαβαν.
Γεν. 30,37 - ἔλαβε δὲ ἑαυτῷ Ἰακὼβ ῥάβδον στυρακίνην χλωρὰν καὶ καρυΐνην καὶ πλατάνου, καὶ ἐλέπισεν αὐτὰς Ἰακὼβ λεπίσματα λευκὰ περισύρων τὸ χλωρόν· ἐφαίνετο δὲ ἐπὶ ταῖς ῥάβδοις τὸ λευκόν, ὃ ἐλέπισε, ποικίλον.
Γεν. 30,37 - Επήρε τότε ο Ιακώβ ράβδους χλωράς στύρακος, καρυδιάς και πλατάνου, αφήρεσεν από αυτάς ένα μέρος του φλοιού των, ώστε να φαίνεται και τα λευκόν ξυλώδες αυτών μέρος. Ετσι δε παρουσιάζοντο αι ράβδοι αυταί εις ποικίλον χρωματισμόν, εις λευκόν από το ξύλον και εις φαιοπράσινον από τον απομείναντα φλοιόν.
Γεν. 30,38 - καὶ παρέθηκε τὰς ῥάβδους, ἃς ἐλέπισεν ἐν τοῖς ληνοῖς τῶν ποτιστηρίων τοῦ ὕδατος, ἵνα ὡς ἂν ἔλθωσι τὰ πρόβατα πιεῖν ἐνώπιον τῶν ῥάβδων, ἐλθόντων αὐτῶν πιεῖν, ἐγκισσήσωσι τὰ πρόβατα εἰς τὰς ῥάβδους·
Γεν. 30,38 - Αυτάς δε τας ράβδους, τας οποίας έτσι είχεν μισοαποφλοιώσει, τας ετοποθέτησεν εις τα ποτιστήρια, ώστε όταν τα πρόβατα του Λαβαν έλθουν δια πότισμα να έχουν ενώπιόν των αυτάς τας ράβδους. Κατά δε το πότισμα, διασταυρούμενα και γονιμοποιούμενα, θα βλέπουν τας ράβδους.
Γεν. 30,39 - καὶ ἐνεκίσσων τὰ πρόβατα εἰς τὰς ῥάβδους καὶ ἔτικτον τὰ πρόβατα διάλευκα καὶ ποικίλα καὶ σποδοειδῆ ῥαντά.
Γεν. 30,39 - Πράγματι δε τα αιγοπρόβατα συζευγνύμενα εγονιμοποιούντο βλέποντα αυτάς τας ράβδους. Τα περισσότερα δε αρνία, τα οποία έτσι εγεννώντο, ήσαν λευκά, ποικιλόχρωμα και διάστικτα, αρνιά στακτιά.
Γεν. 30,40 - τοὺς δὲ ἀμνοὺς διέστειλεν Ἰακὼβ καὶ ἔστησεν ἐναντίον τῶν προβάτων κριὸν διάλευκον καὶ πᾶν ποικίλον ἐν τοῖς ἀμνοῖς· καὶ διεχώρισεν

ἑαυτῷ ποίμνια καθ᾿ ἑαυτὸν καὶ οὐκ ἔμιξεν αὐτὰ εἰς τὰ πρόβατα Λάβαν.

Γεν. 30,40 - Εξεχώριζε δε ο Ιακώβ τα διάστικτα αυτά προβατα από τα άλλα. Ετοποθετούσε δε ενώπιον των διαστίκτων προβάτων κριον λευκόν και έτσι εγεννώντο τα περισσότερα πρόβατα διάστικτα. Εξεχώριζεν έπειτα τα διάστικτα πρόβατα, τα οποία κατά την προηγηθείσαν συμφωνίαν ήσαν ιδικά του και δεν τα αναμίγνυε με τα άλλα τα λευκά, που ανήκον στον Λαβαν.

Γεν. 30,41 - ἐγένετο δὲ ἐν τῷ καιρῷ, ᾧ ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, ἔθηκεν Ἰακὼβ τὰς ῥάβδους ἐναντίον τῶν προβάτων ἐν τοῖς ληνοῖς τοῦ ἐγκισσῆσαι αὐτὰ κατὰ τὰς ῥάβδους·

Γεν. 30,41 - Κατά δε την κατάλληλον εποχήν, κατά την οποίαν εγονιμοποιούντο τα πρόβατα ετοποθετούσεν ο Ιακώβ τας ποικιλοχρώμους ράβδους εις τα ποτιστήρια ενώπιόν των ώστε να γίνεται η γονιμοποίησίς των τη ώραν, που θα έβλεπαν τας ράβδους.

Γεν. 30,42 - ἡνίκα δ᾿ ἂν ἔτεκε τὰ πρόβατα, οὐκ ἐτίθει· ἐγένετο δὲ τὰ μὲν ἄσημα τοῦ Λάβαν, τά δὲ ἐπίσημα τοῦ Ἰακώβ.

Γεν. 30,42 - Οταν δε ήρχετο ο καιρός να γεννήσουν τα πρόβατα και να συλλάβουν εκ νέου και γεννήσουν, όπως ήτο επόμενον, ασθενέστερα αρνιά, δεν ετοποθετούσε τας ράβδους ενώπιον αυτών. Κατ' αυτόν τον τρόπον τα μεν πρόβατα του Λαβαν εγεννώντο ασθενικά, τα δε πρόβατα του Ιακώβ εύρωστα.

Γεν. 30,43 - καὶ ἐπλούτισεν ὁ ἄνθρωπος σφόδρα σφόδρα, καὶ ἐγένετο αὐτῷ κτήνη πολλὰ καὶ βόες καὶ παῖδες, καὶ παιδίσκαι καὶ κάμηλοι καὶ ὄνοι.

Γεν. 30,43 - Εγινε δε ο Ιακώβ πάρα πολύ πλούσιος, απέκτησε ζώα πολλά και βόδια, δούλους και δούλας, καμήλους και όνους.

## ΓΕΝΕΣΙΣ 31

Γεν. 31,1 - Ἤκουσε δὲ Ἰακὼβ τὰ ῥήματα τῶν υἱῶν Λάβαν λεγόντων· εἴληφεν Ἰακὼβ πάντα τὰ τοῦ πατρὸς ἡμῶν καὶ ἐκ τῶν τοῦ πατρὸς ἡμῶν πεποίηκε πᾶσαν τὴν δόξαν ταύτην.

Γεν. 31,1 - Εφθασαν εις τα αυτιά του Ιακώβ πληροφορίαι, ότι τα παιδιά του Λαβαν έλεγαν· “ο Ιακώβ επήρε όλα τα υπάρχοντα του πατρός μας και από αυτά έκαμε όλην αυτού την μεγάλην περιουσίαν”.

Γεν. 31,2 - καὶ εἶδεν Ἰακὼβ τὸ πρόσωπον τοῦ Λάβαν, καὶ ἰδοὺ οὐκ ἦν πρὸς αὐτὸν ὡσεὶ ἐχθὲς καὶ τρίτην ἡμέραν.

Γεν. 31,2 - Είδε δε και ο Ιακώβ σκυθρωπόν το πρόσωπον του Λαβαν και αντελήφθη ότι η διάθεσίς του απέναντι αυτού δεν ήτο όπως προηγουμένως φιλική, αλλ' είχε γίνει δυσμενής και εχθρική εξ αιτίας του φθόνου του.

Γεν. 31,3 - εἶπε δὲ Κύριος πρὸς Ἰακώβ· ἀποστρέφου εἰς τὴν γῆν τοῦ πατρός σου καὶ εἰς τὴν γενεάν σου, καὶ ἔσομαι μετὰ σοῦ.

Γεν. 31,3 - Τοτε είπεν ο Κυριος προς τον Ιακώβ· “να επιστρέψης εις την γην του πατρός σου, εις την γενεάν σου, και εγώ θα είμαι μαζή σου υπερασπιστής και βοηθός”.

Γεν. 31,4 - ἀποστείλας δὲ Ἰακὼβ ἐκάλεσε Λείαν καὶ Ῥαχὴλ εἰς τὸ πεδίον, οὗ ἦν τὰ ποίμνια.

Γεν. 31,4 - Εστειλεν ο Ιακώβ άνθρωπον και εκάλεσε την Λείαν και την Ραχήλ να έλθουν εις την πεδιάδα, όπου αυτός έβοσκε τα πρόβατα.

Γεν. 31,5 - καὶ εἶπεν αὐταῖς· ὁρῶ ἐγὼ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν, ὅτι οὐκ ἔστι πρὸς ἐμοῦ ὡς ἐχθὲς καὶ τρίτην ἡμέραν· ὁ δὲ Θεὸς τοῦ πατρός μου ἦν μετ᾿ ἐμοῦ.

Γεν. 31,5 - Είπε δε εις τας γυναίκας του· “εγώ βλέπω το πρόσωπον του πατρός σας σκυθρωπόν· η διάθεσίς του απέναντί μου δεν είναι πλέον φιλική, όπως προηγουμένως. Ο Θεός όμως του πατρός μου ήτο και είναι μαζή μου.

Γεν. 31,6 - καὶ αὐταὶ δὲ οἴδατε, ὅτι ἐν πάσῃ τῇ ἰσχύϊ μου δεδούλευκα τῷ πατρὶ ὑμῶν.

Γεν. 31,6 - Και σεις αι ίδιαι γνωρίζετε καλά ότι, με όλην, μου την δύναμιν, με ευσυνειδησίαν και τιμιότητα, εδούλευσα στον πατέρα σας.

Γεν. 31,7 - ὁ δὲ πατὴρ ὑμῶν παρεκρούσατό με καὶ ἤλλαξε τὸν μισθόν μου τῶν δέκα ἀμνῶν, καὶ οὐκ ἔδωκεν αὐτῷ ὁ Θεὸς κακοποιῆσαί με.

Γεν. 31,7 - Ο πατήρ σας όμως με ηπάτησε και τον ευτελή μισθόν των δέκα προβάτων τον ήλλαξε· αλλά ο Θεός δεν του επέτρεψε να μου κάμη κάτι κακόν.

Γεν. 31,8 - ἐὰν οὕτως εἴπῃ, τὰ ποικίλα ἔσται σου μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα ποικίλα· ἐὰν δὲ εἴπῃ, τὰ λευκὰ ἔσται σου μισθός, καὶ τέξεται πάντα τὰ πρόβατα λευκά·

Γεν. 31,8 - Ο Θεός ήτο μαζή μου· εάν δε ο Λαβαν έλεγε τα ποικιλόχρωμα πρόβατα θα είναι ο μισθός σου, όλα τα πρόβατα θα εγεννούσαν ποικιλόχρωμα. Εάν δε έλεγεν ότι τα λευκά πρόβατα θα είναι ο μισθός σου, όλα τα πρόβατα θα εγεννούσαν λευκά αρνιά.

Γεν. 31,9 - καὶ ἀφείλετο ὁ Θεὸς πάντα τὰ κτήνη τοῦ πατρὸς ὑμῶν καὶ ἔδωκέ μοι αὐτά.

Γεν. 31,9 - Ο δίκαιος Θεός αφήρεσεν όλα τα ζώα του πατρός σας και τα έδωσεν εις εμέ·

Γεν. 31,10 - καὶ ἐγένετο ἡνίκα ἐνεκίσσων τὰ πρόβατα ἐν γαστρὶ λαμβάνοντα, καὶ εἶδον τοῖς ὀφθαλμοῖς μου ἐν τῷ ὕπνῳ, καὶ ἰδοὺ οἱ τράγοι καὶ οἱ κριοὶ ἀναβαίνοντες ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διάλευκοι καὶ ποικίλοι καὶ σποδοειδεῖς ῥαντοί.

Γεν. 31,10 - και συνέβη, ώστε, όταν τα πρόβατα συζευγνύμενα έμεναν έγκυα, είδον στον ύπνον μου με τα ίδια μου τα μάτια, ότι οι τράγοι και οι κριοι

αναβαίνοντες επάνω εις τα πρόβατα και τας αίγας ήσαν όλοι λευκοί, παρδαλοί, άτακτοι, διάστικτοι.

Γεν. 31,11 - καὶ εἶπέ μοι ὁ ἄγγελος τοῦ Θεοῦ καθ᾿ ὕπνον· Ἰακώβ· ἐγὼ δὲ εἶπα· τί ἐστι;

Γεν. 31,11 - Και μου είπεν ο άγγελος του Θεού στον ύπνον μου· “Ιακώβ” ! Εγώ δε απήντησα· “τι είναι;”

Γεν. 31,12 - καὶ εἶπεν· ἀνάβλεψον τοῖς ὀφθαλμοῖς σου, καὶ ἰδὲ τοὺς τράγους καὶ τοὺς κριοὺς ἀναβαίνοντας ἐπὶ τὰ πρόβατα καὶ τὰς αἶγας διαλεύκους καὶ ποικίλους καὶ σποδοειδεῖς ῥαντούς· ἑώρακα γάρ ὅσα σοι Λάβαν ποιεῖ·

Γεν. 31,12 - “Σηκωσε τα βλέματά σου, μου απήντησιν ο άγγελος. και κύτταξε ότι οι τράγοι και οι κριοι αναβαίνοντες εις τα πρόβατα και τας αίγας είναι λευκοί και ποικιλόχρωμοι και στακτοί και διάστικτοι. Αυτό είναι σημειον ότι θα πολλαπλασιάσω τα ιδικά σου πρόβατα, διότι είδα τας αδικίας, τας οποίας εν συνεχεία σου έχει κάμει ο Λαβαν.

Γεν. 31,13 - ἐγώ εἰμι ὁ Θεὸς ὁ ὀφθείς σοι ἐν τόπῳ Θεοῦ, οὗ ἤλειψάς μοι ἐκεῖ στήλην καὶ ηὔξω μοι ἐκεῖ εὐχήν· νῦν οὖν ἀνάστηθι καὶ ἔξελθε ἐκ τῆς γῆς ταύτης καὶ ἄπελθε εἰς τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἔσομαι μετὰ σοῦ.

Γεν. 31,13 - Εγώ είμαι ο Θεός, ο οποίος εφανερώθην εις σε στον ιερόν εκείνον τόπον, τον οποίον ωνόμασες συ “Οίκον Θεού”, εις την Βαιθήλ, όπου συ μου έστησες στήλην, την οποίαν έχρισες με έλαιον και μου έκαμες ένα τάμα. Σηκω, λοιπόν, τώρα και φύγε από την γην αυτήν και πήγαινε στον τόπον, όπου εγεννήθης, και εγώ θα είμαι μαζή σου”.

Γεν. 31,14 - καὶ ἀποκριθεῖσαι Ῥαχὴλ καὶ Λεία εἶπαν αὐτῷ· μή ἐστιν ἡμῖν ἔτι μερὶς ἢ κληρονομία ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν;

Γεν. 31,14 - Η Ραχήλ και η Λεία απεκρίθησαν εις αυτόν· “μήπως και έχομεν τάχα ημείς μερίδιον η κληρονομίαν εις τα υπάρχοντα του πατρός μας;

Γεν. 31,15 - οὐχ ὡς αἱ ἀλλότριαι λελογίσμεθα αὐτῷ; πέπρακε γὰρ ἡμᾶς καὶ καταβρώσει κατέφαγε τὸ ἀργύριον ἡμῶν.

Γεν. 31,15 - Δεν μας εθεώρησεν ως ξένας πλέον απέναντί του; Διότι μας επώλησε και κατέφαγεν αδίκως και παρανόμως το αργύριόν μας.

Γεν. 31,16 - πάντα τὸν πλοῦτον καὶ τὴν δόξαν, ἣν ἀφείλετο ὁ Θεὸς τοῦ πατρὸς ἡμῶν, ἡμῖν ἔσται καὶ τοῖς τέκνοις ἡμῶν. νῦν οὖν ὅσα σοι εἴρηκεν ὁ Θεός, ποίει.

Γεν. 31,16 - Ολος ο πλούτος και η δόξα, που αφήρεσεν ο Θεός από τον πατέρα μας, ανήκει πλέον κατά λόγον δικαιοσύνης εις ημάς και εις τα παιδιά μας. Πράξε λοιπόν τώρα, όπως σου είπεν ο Θεός”.

Γεν. 31,17 - Ἀναστὰς δὲ Ἰακὼβ ἔλαβε τὰς γυναῖκας αὐτοῦ καὶ τὰ παιδία αὐτοῦ ἐπὶ τὰς καμήλους.

Γεν. 31,17 - Ηγέρθη ο Ιακώβ, επήρε τας γυναίκας του, εφόρτωσε τα παιδιά του εις τας καμήλους,

Γεν. 31,18 - καὶ ἀπήγαγε πάντα τὰ ὑπάρχοντα αὐτῷ, καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτοῦ, ἣν περιεποιήσατο ἐν τῇ Μεσοποταμίᾳ, καὶ πάντα τὰ αὐτοῦ ἀπελθεῖν πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ εἰς γῆν Χαναάν.

Γεν. 31,18 - επήρεν όλα τα υπάρχοντά του και τα παιδιά του, που απέκτησεν εις Μεσοποταμίαν, και όλα τα πράγματά του, δια να επιστρέψη προς τον Ισαάκ, τον πατέρα του, εις την γην Χαναάν.

Γεν. 31,19 - Λάβαν δὲ ᾤχετο κεῖραι τὰ πρόβατα αὐτοῦ· ἔκλεψε δὲ Ῥαχὴλ τὰ εἴδωλα τοῦ πατρὸς αὐτῆς.

Γεν. 31,19 - Τοτε ακριβώς ο Λαβαν είχε μεταβή, δια να κουρεύση τα πρόβατά του. Η δε Ραχήλ έκλεψε τα ειδωλολατρικά αγαλμάτια του πατρός της.

Γεν. 31,20 - ἔκρυψε δὲ Ἰακὼβ Λάβαν τὸν Σύρον τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ, ὅτι ἀποδιδράσκει.

Γεν. 31,20 - Ο Ιακώβ απέκρυψε την αναχώρησίν του και απέφυγε να αναγγείλη στον Λαβαν τον Συρον, ότι φεύγει από εκεί δια την πατρίδα του.

Γεν. 31,21 - καὶ ἀπέδρα αὐτὸς καὶ τὰ αὐτοῦ πάντα καὶ διέβη τὸν ποταμὸν καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ.

Γεν. 31,21 - Εφυγε κρυφίως αυτός και όλα τα μετ' αυτού, διέβη τον Ευφράτην ποταμόν και κατηυθύνθη ταχέως στο όρος Γαλαάδ.

Γεν. 31,22 - ἀνηγγέλη δὲ Λάβαν τῷ Σύρῳ τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτι ἀπέδρα Ἰακώβ,

Γεν. 31,22 - Αλλά την τρίτην ημέραν από της αναχωρήσεώς του ανήγγειλαν στον Λαβαν, ότι ο Ιακώβ έφυγε.

Γεν. 31,23 - καὶ παραλαβὼν τοὺς ἀδελφοὺς αὐτοῦ μεθ᾿ ἑαυτοῦ, ἐδίωξεν ὀπίσω αὐτοῦ ὁδὸν ἡμερῶν ἑπτὰ καὶ κατέλαβεν αὐτὸν ἐν τῷ ὄρει Γαλαάδ.

Γεν. 31,23 - Ωργισμένος ο Λαβαν επήρε μαζή του τους συγγενείς του, κατεδίωξε τον Ιακώβ επί επτά ημέρας και τον επρόφθασεν στο όρος Γαλαάδ.

Γεν. 31,24 - ἦλθε δὲ ὁ Θεὸς πρὸς Λάβαν τὸν Σύρον καθ᾿ ὕπνον τὴν νύκτα καὶ εἶπεν αὐτῷ· φύλαξε σεαυτόν, μήποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρά.

Γεν. 31,24 - Ο Θεός όμως παρουσιάσθη στον ύπνον κατά την νύκτα προς τον Λαβαν και του είπε· “φυλάξου, μήπως τυχόν και είπης απειλητικά και εχθρικά λόγια προς τον Ιακώβ”.

Γεν. 31,25 - καὶ κατέλαβε Λάβαν τὸν Ἰακώβ· Ἰακὼβ δὲ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐν τῷ ὄρει· Λάβαν δὲ ἔστησε τοὺς ἀδελφοὺς αὐτοῦ ἐν τῷ ὄρει Γαλαάδ.

Γεν. 31,25 - Κατέφθασεν ο Λαβαν τον Ιακώβ. Ο Ιακώβ είχε στήσει την σκηνήν του στο όρος Γαλαάδ, και ο Λαβαν κατεσκήνωσε τους συγγενείς του

στο ίδιον όρος.

Γεν. 31,26 - εἶπε δὲ Λάβαν τῷ Ἰακώβ· τί ἐποίησας; ἱνατί κρυφῇ ἀπέδρας καὶ ἐκλοποφόρησάς με καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας μαχαίρᾳ;

Γεν. 31,26 - Είπε δε ο Λαβαν στον Ιακώβ· "τι είναι αυτό που έκαμες; Διατί εδραπέτευσες κρυφίως και με έκλεψες και απήγαγες μαζή σου τας θυγατέρας μου, ως εάν συνέλαβες αυτάς αιχμαλώτους εις πόλεμον;

Γεν. 31,27 - καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε μετ᾿ εὐφροσύνης καὶ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας,

Γεν. 31,27 - Εάν μου έλεγες ότι είχες αποφασίσει να φύγης, θα σε προέπεμπα με χαράν, με μουσικά όργανα, με τύμπανα και με κιθάρας.

Γεν. 31,28 - καὶ οὐκ ἠξιώθην καταφιλῆσαι τὰ παιδία μου καὶ τὰς θυγατέρας μου. νῦν δὲ ἀφρόνως ἔπραξας.

Γεν. 31,28 - Ετσι όμως που έφυγες, δεν αξιώθηκα να φιλήσω τα εγγόνια μου και τας θυγατέρας μου. Ενήργησες λοιπόν κατά ένα τρόπον απερίσκεπτον και προσβλητικόν δι' εμέ.

Γεν. 31,29 - καὶ νῦν ἰσχύει ἡ χείρ μου κακοποιῆσαί σε· ὁ δὲ Θεὸς τοῦ πατρός σου ἐχθὲς εἶπε πρός με λέγων· φύλαξε σεαυτόν, μή ποτε λαλήσῃς μετὰ Ἰακὼβ πονηρά.

Γεν. 31,29 - Και τώρα έως την δύναμιν να σε τιμωρήσω. Δεν σου κάμνω όμως κανένα κακόν, διότι ο Θεός του πατρός σου μου ώμιλησε χθες λέγων· Φυλάξου μήπως τυχόν είπης λόγια εχθρικά και απειλητικά εναντίον του Ιακώβ.

Γεν. 31,30 - νῦν οὖν πεπόρευσαι· ἐπιθυμίᾳ γὰρ ἐπεθύμησας ἀπελθεῖν εἰς τὸν οἶκον τοῦ πατρός σου· ἱνατί ἔκλεψας τοὺς θεούς μου;

Γεν. 31,30 - Αλλά πολύ καλά· τώρα έχεις πλέον αναχωρήσει, διότι σφοδρώς επεθύμησες να επιστρέψης στον οίκον του πατρός σου. Διατί όμως έκλεψες τα αγαλμάτια των θεών μου;"

Γεν. 31,31 - ἀποκριθεὶς δὲ Ἰακὼβ εἶπε τῷ Λάβαν· ὅτι ἐφοβήθην· εἶπα γάρ· μή ποτε ἀφέλῃς τὰς θυγατέρας σου ἀπ᾿ ἐμοῦ καὶ πάντα τὰ ἐμά.

Γεν. 31,31 - Απεκρίθη ο Ιακώβ και είπεν στον Λαβαν· "ανεχώρησα κρυφίως, διότι εφοβήθηκα. Εσκέφθηκα ότι, εάν σου ανεκοίνωνα την αναχώρησίν μου, ίσως συ θα μου κρατούσες τας θυγατέρας σου και όλα τα υπάρχοντά μου.

Γεν. 31,32 - καὶ εἶπεν Ἰακώβ· παρ᾿ ᾧ ἂν εὕρῃς τοὺς θεούς σου, οὐ ζήσεται ἐναντίον τῶν ἀδελφῶν ἡμῶν· ἐπίγνωθι τί ἐστι παρ᾿ ἐμοὶ τῶν σῶν καὶ λαβέ. καὶ οὐκ ἐπέγνω παρ᾿ αὐτῷ οὐδέν. οὐκ ᾔδει δὲ Ἰακώβ, ὅτι Ῥαχὴλ ἡ γυνὴ αὐτοῦ ἔκλεψεν αὐτούς.

Γεν. 31,32 - Ως προς δε την κλοπήν των αγαλματίων σου, είπεν ο Ιακώβ, σου λέγω τούτο ότι δεν θα ζήση αλλά θα φονευθή ενώπιον όλων ημών

εκείνος, στον οποίον θα εύρης τους θεούς σου. Ερεύνησε λοιπόν, τι από τα ιδικά σου πράγματα υπάρχει μεταξύ εκείνων, που μου ανήκουν, και πάρε τα". Ελεγε δε αυτά ο Ιακώβ, διότι δεν εγνώριζεν ότι η σύζυγός του η Ραχήλ είχε κλέψει τα ειδωλολατρικά αγαλματάκια.

Γεν. 31,33 - εἰσελθὼν δὲ Λάβαν ἠρεύνησεν εἰς τὸν οἶκον Λείας καὶ οὐχ εὗρεν· καὶ ἐξῆλθεν ἐκ τοῦ οἴκου Λείας καὶ ἠρεύνησε τὸν οἶκον Ἰακὼβ καὶ ἐν τῷ οἴκῳ τῶν δύο παιδισκῶν καὶ οὐχ εὗρεν. εἰσῆλθε δὲ καὶ εἰς τὸν οἶκον Ῥαχήλ.

Γεν. 31,33 - Εισήλθεν ο Λαβαν εις την σκηνήν της Λείας, ηρεύνησε και δεν ευρήκε τίποτε. Εξήλθεν από την σκηνήν της Λείας, ηρεύνησε την σκηνήν του Ιακώβ, όπως επίσης και την σκηνήν των δυό θεραπαινίδων, και σκηνήν της Ραχήλ, όπου επίσης δεν ευρήκε τίποτε,

Γεν. 31,34 - Ῥαχὴλ δὲ ἔλαβε τὰ εἴδωλα καὶ ἐνέβαλεν αὐτὰ εἰς τὰ σάγματα τῆς καμήλου καὶ ἐπεκάθισεν αὐτοῖς.

Γεν. 31,34 - διότι η Ραχήλ επήρε τα ειδωλολατρικά αγαλμάτια, τα ετοποθέτησεν στο σάγμα της καμήλου, εκάθισεν επάνω εις αυτό,

Γεν. 31,35 - καὶ εἶπε τῷ πατρὶ αὐτῆς· μὴ βαρέως φέρε, κύριε· οὐ δύναμαι ἀναστῆναι ἐνώπιόν σου, ὅτι τὰ κατ᾿ ἐθισμὸν τῶν γυναικῶν μοι ἐστίν· ἠρεύνησε δὲ Λάβαν ἐν ὅλῳ τῷ οἴκῳ καὶ οὐχ εὗρε τὰ εἴδωλα.

Γεν. 31,35 - και είπεν στον πατέρα της· "μη οργισθής εναντίον μου, κύριε, που κάθομαι. Δεν ημπορώ να σηκωθώ ενώπιόν σου, διότι μου συμβαίνουν τα συνήθη εις τας γυναίκας φαινόμενα". Ο Λαβαν έφυγεν από αυτήν, ηρεύνησεν όλην την σκηνήν και δεν ευρήκε τα είδωλα.

Γεν. 31,36 - ὠργίσθη δὲ Ἰακὼβ καὶ ἐμαχέσατο τῷ Λάβαν· ἀποκριθεὶς δὲ Ἰακὼβ εἶπε τῷ Λάβαν· τί τὸ ἀδίκημά μου καὶ τί τὸ ἁμάρτημά μου, ὅτι κατεδίωξας ὀπίσω μου

Γεν. 31,36 - Ωργίσθη τότε ο Ιακώβ και απηύθυνε δριμείας φράσεις εναντίον του Λαβαν. Του είπεν· "ποιό είναι λοιπόν το αδικημά μου και ποιό είναι το αμάρτημά μου, ένεκα του οποίου με εκυνήγησες έως εδώ;

Γεν. 31,37 - καὶ ὅτι ἠρεύνησας πάντα τὰ σκεύη τοῦ οἴκου μου; τί εὗρες ἀπὸ πάντων τῶν σκευῶν τοῦ οἴκου σου; θές ὧδε ἐνώπιον τῶν ἀδελφῶν σου καὶ τῶν ἀδελφῶν μου, καὶ ἐλεγξάτωσαν ἀνὰ μέσον τῶν δύο ἡμῶν.

Γεν. 31,37 - Ηρεύνησες όλα τα πράγματα των σκηνών μου, τι από τα ιδικά σου σκεύη ευρήκες εις τα πράγματά μου; Ειπέ εδώ ενώπιον των ιδικών σου και των ιδικών μου ανθρώπων τα παράπονά σου. Ας κρίνουν και ας δικάσουν αυτοί μεταξύ μας.

Γεν. 31,38 - ταῦτά μοι εἴκοσιν ἔτη ἐγώ εἰμι μετὰ σοῦ· τὰ πρόβατά σου καὶ αἱ αἶγές σου οὐκ ἠτεκνώθησαν· κριοὺς τῶν προβάτων σου οὐ κατέφαγον·

Γεν. 31,38 - Εγώ είκοσιν ολόκληρα έτη έμεινα και ειργάσθην μαζή σου. Τα πρόβατά σου και τα γίδια σου δεν έμειναν στείρα, αλλά επολλαπλασιάσθησαν. Τους κριους και τα πρόβατά σου δεν έφαγον.

Γεν. 31,39 - θηριάλωτον οὐκ ἐνήνοχά σοι, ἐγὼ ἀπετίννυον παρ᾿ ἐμαυτοῦ κλέμματα ἡμέρας καὶ κλέμματα νυκτός·

Γεν. 31,39 - Δεν σου έφερα ποτέ πρόβατον κατασπαραχθέν από τα θηρία, διότι εφύλαττα άγρυπνος τα κοπάδια σου. Επλήρωνα από τα ιδικά μου κάθε τι, που συνέβαινε να κλαπή είτε ημέραν είτε νύκτα.

Γεν. 31,40 - ἐγενόμην τῆς ἡμέρας συγκαιόμενος τῷ καύματι καὶ τῷ παγετῷ τῆς νυκτός, καὶ ἀφίστατο ὁ ὕπνος μου ἀπὸ τῶν ὀφθαλμῶν μου.

Γεν. 31,40 - Δια να φυλάσσω τα πρόβατά σου, εφλογιζόμουν κατά το διάστημα της ημέρας από το καύμα του ηλίου και κατά την νύκτα εξεπάγιαζα από το ψύχος και έφευγεν ο ύπνος από τα μάτια μου.

Γεν. 31,41 - ταῦτά μοι εἴκοσιν ἔτη ἐγώ εἰμι ἐν τῇ οἰκίᾳ σου· ἐδούλευσά σοι δεκατέσσαρα ἔτη ἀντὶ τῶν δύο θυγατέρων σου καὶ ἓξ ἔτη ἐν τοῖς προβάτοις σου, καὶ παρελογίσω τὸν μισθόν μου δέκα ἀμνάσιν.

Γεν. 31,41 - Ολα αυτά τα είκοσιν έτη με τέτοιαν πίστιν και αφοσίωσιν έμεινα και εδούλευσα εις σέ. Δέκα τέσσαρα έτη σε εδούλευσα δια τας δύο θυγατέρας σου και εξ έτη δια τα πρόβατά σου. Και παρ' όλα αυτά συ δια τον μισθόν της ποιμάνσεως των προβάτων σου με ηπάτησες και μου έδωσες δέκα, ελάχιστα δηλαδή, πρόβατα.

Γεν. 31,42 - εἰ μὴ ὁ Θεὸς τοῦ πατρός μου Ἁβραὰμ καὶ ὁ φόβος Ἰσαὰκ ἦν μοι, νῦν ἂν κενόν με ἐξαπέστειλας· τὴν ταπείνωσίν μου καὶ τὸν κόπον τῶν χειρῶν μου εἶδεν ὁ Θεὸς καὶ ἤλεγξέ σε ἐχθές.

Γεν. 31,42 - Εάν δε δεν ήτο μαζή μου ο Θεός του πάππου μου Αβραάμ, ο Θεός τον οποίον εφοβείτο ο πατήρ μου Ισαάκ, θα με έδιωχνες με αδειανά τα χέρια. Την αδικίαν σου όμως αυτήν και τον κόπον των χειρών μου είδεν ο Θεός. Δι' αυτό και σε ήλεγξε χθές”.

Γεν. 31,43 - ἀποκριθεὶς δὲ Λάβαν εἶπε τῷ Ἰακώβ· αἱ θυγατέρες θυγατέρες μου, καὶ οἱ υἱοὶ υἱοί μου, καὶ τὰ κτήνη κτήνη μου, καὶ πάντα, ὅσα σὺ ὁρᾷς, ἐμά ἐστι καὶ τῶν θυγατέρων μου· τί ποιήσω ταύταις σήμερον ἢ τοῖς τέκνοις αὐτῶν, οἷς ἔτεκον;

Γεν. 31,43 - Εντροπιασμένος ο Λαβαν, και θέλων να δικαιολογηθή είπεν στον Ιακώβ· “αι θυγατέρες σου είναι θυγατέρες μου, τα παιδιά σου παιδιά μου, τα κτήνη σου κτήνη μου και όλα όσα συ βλέπεις είναι ιδικά μου και των θυγατέρων μου. Τι λοιπόν κακόν ημπορώ να κάμω εγώ σήμερον εις αυτάς, και εις τα εγγόνια μου, τα οποία αυταί εγέννησαν;

Γεν. 31,44 - νῦν οὖν δεῦρο διαθώμεθα διαθήκην ἐγώ τε καὶ σύ, καὶ ἔσται εἰς μαρτύριον ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, εἶπε δὲ αὐτῷ· ἰδοὺ οὐδεὶς μεθ᾿ ἡμῶν ἐστιν, ἰδέ, ὁ Θεὸς μάρτυς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ.

Γεν. 31,44 - Ελα λοιπόν και ας κάμωμεν μίαν επίσημον συμφωνίαν εγώ και συ, η οποία θα μένη ως τρανή μαρτυρία φιλίας μεταξύ εμού και σου". Προσέθεσεν ακόμη ο Λαβαν· "ιδού κανένας μάρτυς δεν υπάρχει μεταξύ μας, αλλά ως μάρτυς υπάρχει μεταξύ εμού και σου ο Θεός".

Γεν. 31,45 - λαβὼν δὲ Ἰακὼβ λίθον ἔστησεν αὐτὸν στήλην.

Γεν. 31,45 - Επήρεν λοιπόν ο Ιακώβ ένα λίθον τον έστησεν ως αναμνηστικήν στήλην της συμφωνίας,

Γεν. 31,46 - εἶπε δὲ Ἰακὼβ τοῖς ἀδελφοῖς αὐτοῦ· συλλέγετε λίθους. καὶ συνέλεξαν λίθους καὶ ἐποίησαν βουνόν, καὶ ἔφαγον ἐκεῖ ἐπὶ τοῦ βουνοῦ.

Γεν. 31,46 - και είπεν στους ανθρώπους του· "συλλέξατε λίθους". Εκείνοι συνέλεξαν λίθους και έκαμαν σωρόν. Πλησίον δε αυτού του σωρού έφαγον ο Ιακώβ και ο Λαβαν και οι άνθρωποί των εις πίστωσιν της φιλίας των.

Γεν. 31,47 - καὶ εἶπεν αὐτῷ Λάβαν· ὁ βουνὸς οὗτος μαρτυρεῖ ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ σήμερον.

Γεν. 31,47 - Είπε δε ο Λαβαν προς τον Ιακώβ· "ο σωρός αυτός των λίθων είναι μάρτυς της συμφωνίας, η οποία συνήφθη σήμερον μεταξύ εμού και σου".

Γεν. 31,48 - καὶ ἐκάλεσεν αὐτὸν Λάβαν Βουνὸς τῆς μαρτυρίας. Ἰακὼβ δὲ ἐκάλεσεν αὐτὸν Βουνὸς μάρτυς. εἶπε δὲ Λάβαν τῷ Ἰακώβ· ἰδοὺ ὁ βουνὸς οὗτος καὶ ἡ στήλη, ἣν ἔστησα ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, μαρτυρεῖ ὁ βουνὸς οὗτος, καὶ μαρτυρεῖ ἡ στήλη αὕτη· διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτοῦ, Βουνὸς μαρτυρεῖ.

Γεν. 31,48 - Ωνόμασε δε ο Λαβαν τον σωρόν αυτόν "Βουνόν της μαρτυρίας", ο δε Ιακώβ τον ωνόμαοε "Βουνός μάρτυς". Είπε δε Λαβαν στον Ιακώβ· "ιδού, ο σωρός αυτός και η στήλη, την οποίαν έστησα μεταξύ εμού και σου, είναι μάρτυς της συμφωνίας, την οποίαν εκλείσαμεν εδώ". Δια τούτο ωνομάσθη ο τόπος εκείνος "Βουνός μαρτυρεί" (Γαλαάδ).

Γεν. 31,49 - καὶ ἡ Ὅρασις, ἣν εἶπεν· ἐπίδοι ὁ Θεὸς ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ, ὅτι ἀποστησόμεθα ἕτερος ἀφ᾿ ἑτέρου.

Γεν. 31,49 - "Το βλέμμα του Θεού είναι επάνω μας". Και είπεν ο Λαβαν στον Ιακώβ· "είθε να ίδη και να κρίνη ο Θεός την διαγωγήν, που θα δείξωμεν ο ένας απέναντι του αλλού, διότι μετ' ολίγον θα χωρίσωμεν ο ένας από τον άλλον.

Γεν. 31,50 - εἰ ταπεινώσεις τὰς θυγατέρας μου, εἰ λήψῃ γυναῖκας πρὸς ταῖς θυγατράσι μου, ὅρα, οὐδεὶς μεθ᾿ ἡμῶν ἐστιν ὁρῶν· Θεὸς μάρτυς μεταξὺ ἐμοῦ καὶ μεταξὺ σοῦ.

Γεν. 31,50 - Πρόσεξε, μήπως κακομεταχειρισθής τας θυγατέρας μου, μήπως τυχόν και λάβης άλλας συζύγους κοντά εις αυτάς. Πρόσεξε ! Κανείς δεν υπάρχει μεταξύ μας ως μάρτυς, ο οποίος μας βλέπει. Ο Θεός μόνον είναι μάρτυς μεταξύ εμού και σου και Εκείνος θα σε τιμωρήση, εάν παραβής την συμφωνίαν μας

Γεν. 31,51 - καὶ εἶπε Λάβαν τῷ Ἰακώβ· ἰδοὺ ὁ βουνὸς οὗτος καὶ μάρτυς ἡ στήλη αὕτη.

Γεν. 31,51 - Είπεν ακόμη ο Λαβαν στον Ιακώβ· "ιδού ο σωρός αυτός των λίθων και η στήλη αυτή είναι μάρτυρες της συμφωνίας μας,

Γεν. 31,52 - ἐάν τε γὰρ ἐγὼ μὴ διαβῶ πρὸς σὲ μηδὲ σὺ διαβῇς πρός με τὸν βουνὸν τοῦτον καὶ τὴν στήλην ταύτην ἐπὶ κακίᾳ,

Γεν. 31,52 - ότι ούτε εγώ θα διαβώ πρυς το μέρος σου εναντίον σου ούτε και συ θα περάσης τον σωρόν αυτόν και την στήλην αυτήν με εχθρικάς διαθέσεις εναντίον μου.

Γεν. 31,53 - ὁ Θεὸς Ἀβραὰμ καὶ ὁ Θεὸς Ναχὼρ κρινεῖ ἀνὰ μέσον ἡμῶν.

Γεν. 31,53 - Ο Θεός του Αβραάμ και ο Θεός του Ναχώρ θα είναι κριτής μεταξύ μας".

Γεν. 31,54 - καὶ ὤμοσεν Ἰακὼβ κατὰ τοῦ φόβου τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ, καὶ ἔθυσε θυσίαν ἐν τῷ ὄρει καὶ ἐκάλεσε τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ ἔφαγον καὶ ἔπιον καὶ ἐκοιμήθησαν ἐν τῷ ὄρει.

Γεν. 31,54 - Και ωρκίσθη ο Ιακώβ ενώπιον του Θεού, τον οποίον επίστευε και εσέβετο ο πατήρ του Ισαάκ, προσέφερε θυσίαν στο όρος εκείνο, προσεκάλεσε τους ιδικούς του και έφαγον και έπιον και εκοιμήθησαν στο όρος εκείνο.

Γεν. 31,55 - ἀναστὰς δὲ Λάβαν τὸ πρωΐ κατεφίλησε τοὺς υἱοὺς καὶ τὰς θυγατέρας αὐτοῦ καὶ εὐλόγησεν αὐτούς, καὶ ἀποστραφεὶς Λάβαν ἀπῆλθεν εἰς τὸν τόπον αὐτοῦ.

Γεν. 31,55 - Το πρωϊ ήγερθη ο Λαβαν, κατεφίλησε τα εγγόνια του και τας θυγατέρας του, τους ηυχήθη και επιστρέψας επανήλθεν στον τόπον του.

## ΓΕΝΕΣΙΣ 32

Γεν. 32,1 - Καὶ Ἰακὼβ ἀπῆλθεν εἰς τὴν ὁδὸν ἑαυτοῦ. καὶ ἀναβλέψας εἶδε παρεμβολὴν Θεοῦ παρεμβεβληκυῖαν, καὶ συνήντησαν αὐτῷ οἱ ἄγγελοι τοῦ Θεοῦ.

Γεν. 32,1 - Επειτα από τα γεγονότα αυτά συνέχισεν ο Ιακώβ την πορείαν του δια την Χαναάν. Εις κάποιαν στιγμήν εσήκωσε τα βλέμματά του και είδε παρατεταγμένον ένα θείον στράτευμα, που απετελείτο από αγγέλους Θεού, και οι οποίοι τον συνήντησαν.

Γεν. 32,2 - εἶπε δὲ Ἰακώβ, ἡνίκα εἶδεν αὐτούς· παρεμβολὴ Θεοῦ αὕτη· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Παρεμβολαί.

Γεν. 32,2 - Οταν τους είδεν ο Ιακώβ είπε· "τούτο το στράτευμα είναι στράτευμα Θεού". Δια τούτο ωνόμασε τον τόπον εκείνον "Παρεμβολαί", δηλαδή στρατόπεδα.

Γεν. 32,3 - Ἀπέστειλε δὲ Ἰακὼβ ἀγγέλους ἔμπροσθεν αὐτοῦ πρὸς Ἠσαῦ τὸν ἀδελφὸν αὐτοῦ εἰς γῆν Σηείρ, εἰς χώραν Ἐδώμ.

Γεν. 32,3 - Οταν δε επλησίαζε προς τα μέρη της Χαναάν, έστειλε προς τον αδελφόν του Ησαύ εις την περιοχήν Σηείρ- η οποία αργότερα ωνομάσθη Εδώμ- αγγελιαφόρους,

Γεν. 32,4 - καὶ ἐνετείλατο αὐτοῖς λέγων· οὕτως ἐρεῖτε τῷ κυρίῳ μου Ἠσαῦ· οὕτως λέγει ὁ παῖς σου Ἰακώβ· μετὰ Λάβαν παρῴκησα, καὶ ἐχρόνισα ἕως τοῦ νῦν,

Γεν. 32,4 - στους οποίους έδωσεν εντολήν· “έτσι θα ομιλήσετε προς τον κύριόν μου τον Ησαύ· Ο δούλός σου ο Ιακώβ σου ανακοινώνει· παρέμεινα ως ξένος και πάροικος μαζή με τον Λαβαν και εβράδυνα πλησίον του έως τώρα.

Γεν. 32,5 - καὶ ἐγένοντό μοι βόες καὶ ὄνοι καὶ πρόβατα καὶ παῖδες καὶ παιδίσκαι, καὶ ἀπέστειλα ἀναγγεῖλαι τῷ κυρίῳ μου Ἠσαῦ, ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου.

Γεν. 32,5 - Απέκτησα βόδια και όνους και πρόβατα και δούλους και δούλας· έστειλα δε αγγελιαφόρους να αναγγείλουν τούτο στον κύριόν μου τον Ησαύ, δια να εύρω εγώ, ο δούλος σου, χάριν ενώπιόν σου και γίνω ευμενώς δεκτός από σέ”.

Γεν. 32,6 - καὶ ἀνέστρεψαν οἱ ἄγγελοι πρὸς Ἰακὼβ λέγοντες· ἤλθομεν πρὸς τὸν ἀδελφόν σου Ἠσαῦ, καὶ ἰδοὺ αὐτὸς ἔρχεται εἰς συνάντησίν σοι καὶ τετρακόσιοι ἄνδρες μετ᾿ αὐτοῦ.

Γεν. 32,6 - Οι αγγελιαφόροι εξετελεσαν την παραγγελίαν και επέστρεψαν προς τον Ιακώβ λέγοντες· “μετέβημεν προς τον αδελφόν σου τον Ησαύ, του ανηγγείλαμεν όσα μας είπες και ιδού αυτός έρχεται εις συνάντησίν σου μαζή με τετρακοσίους άνδρας”.

Γεν. 32,7 - ἐφοβήθη δὲ Ἰακὼβ σφόδρα, καὶ ἠπορεῖτο. καὶ διεῖλε τὸν λαὸν τὸν μεθ᾿ ἑαυτοῦ καὶ τοὺς βόας καὶ τὰς καμήλους καὶ τὰ πρόβατα εἰς δύο παρεμβολάς,

Γεν. 32,7 - Ο Ιακώβ εφοβήθη πολύ και περιέπεσεν εις μεγάλην απορίαν. Διεχώρισε τους ανθρώπους του και τα βόδια και τας καμήλους και τα πρόβατα εις δύο μεγάλας ομάδας.

Γεν. 32,8 - καὶ εἶπεν Ἰακώβ· ἐὰν ἔλθῃ Ἠσαῦ εἰς παρεμβολὴν μίαν καὶ κόψῃ αὐτήν, ἔσται ἡ παρεμβολὴ ἡ δευτέρα εἰς τὸ σώζεσθαι.

Γεν. 32,8 - Φοβούμενος δε εκδίκησιν εκ μέρους του αδελφού του είπεν· “εάν επιτεθή ο Ησαύ εναντίον της πρώτης ομάδος και την κατακόψη, θα είναι δυνατόν να διασωθή η δευτέρα ομάς”.

Γεν. 32,9 - εἶπε δὲ Ἰακώβ· ὁ Θεὸς τοῦ πατρός μου Ἀβραὰμ καὶ ὁ Θεὸς τοῦ πατρός μου Ἰσαάκ, Κύριε σὺ ὁ εἰπών μοι, ἀπότρεχε εἰς τὴν γῆν τῆς γενέσεώς σου καὶ εὖ σε ποιήσω,

Γεν. 32,9 - Προσηυχήθη δε προς τον Θεόν και είπεν· “ω Θεέ του πάππου μου Αβραάμ και του πατρός μου του Ισαάκ, συ Κυριε, ο οποίος μου είπες γύρισε ταχέως στον τόπον της γεννήσεώς σου και εγώ θα σε προστατεύσω και θα σε ευλογήσω,

Γεν. 32,10 - ἱκανούσθω μοι ἀπὸ πάσης δικαιοσύνης καὶ ἀπὸ πάσης ἀληθείας, ἧς ἐποίησας τῷ παιδί σου· ἐν γὰρ τῇ ῥάβδῳ μου ταύτῃ διέβην τὸν Ἰορδάνην τοῦτον, νυνὶ δὲ γέγονα εἰς δύο παρεμβολάς.

Γεν. 32,10 - όπως προηγουμένως με ηυλόγησες και έμεινα ευχαριστημένος από όλας τας ευεργεσίας που μου έκαμες, έτσι δείξε και τώρα εις εμέ το έλεός σου. Τοτε με μόνην περιουσίαν το ραβδί μου αυτό επέρασα τον ποταμόν τούτον τον Ιορδάνην. Τωρα δε επιστρέφω κύριος δύο στρατοπέδων.

Γεν. 32,11 - ἐξελοῦ με ἐκ χειρὸς τοῦ ἀδελφοῦ μου, ἐκ χειρὸς Ἡσαῦ, ὅτι φοβοῦμαι ἐγὼ αὐτόν, μή ποτε ἐλθὼν πατάξῃ με καὶ μητέρα ἐπὶ τέκνοις.

Γεν. 32,11 - Γλύτωσέ με και τώρα, Κυριε, από τα χέρια του αδελφού μου Ησαύ, διότι εγώ τον φοβούμαι, μήπως και επέλθη εναντίον μας και φονεύση εμέ και μητέρας και τέκνα.

Γεν. 32,12 - σὺ δὲ εἶπας· εὖ σε ποιήσω καὶ θήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τῆς θαλάσσης, ἣ οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ πλήθους.

Γεν. 32,12 - Συ μου έχεις υποσχεθή· Εγώ θα σε ευλογήσω και θα αυξήσω τους απογόνους σου ωσάν την άμμον της θαλάσσης, η οποία δια το πλήθος αυτής δεν είναι δυνατόν να αριθμηθή” !

Γεν. 32,13 - καὶ ἐκοιμήθη ἐκεῖ τὴν νύκτα ἐκείνην. καὶ ἔλαβεν ὧν ἔφερε δῶρα καὶ ἐξαπέστειλεν Ἡσαῦ τῷ ἀδελφῷ αὐτοῦ,

Γεν. 32,13 - Εκοιμήθη ο Ιακώβ εκεί την νύκτα εκείνην. Από τα δώρα δέ, τα οποία έφερε μαζή του, επήρε και έστειλε προς τον αδελφόν του τον Ησαύ, δια να τον εξευμενίση,

Γεν. 32,14 - αἶγας διακοσίας, τράγους εἴκοσι, πρόβατα διακόσια, κριοὺς εἴκοσι,

Γεν. 32,14 - διακοσίας αίγας, είκοσι τράγους, διακόσια πρόβατα, είκοσι κριούς,

Γεν. 32,15 - καμήλους θηλαζούσας, καὶ τὰ παιδία αὐτῶν τριάκοντα, βόας τεσσαράκοντα, ταύρους δέκα, ὄνους εἴκοσι καὶ πώλους δέκα.

Γεν. 32,15 - τριάκοντα καμήλους με τα νεογέννητα παιδιά των, τα οποία και εθήλαζον, τεσσαράκοντα βόδια, δέκα ταύρους, είκοσιν όνους και δέκα πωλάρια.

Γεν. 32,16 - καὶ ἔδωκεν αὐτὰ τοῖς παισὶν αὐτοῦ ποίμνιον κατὰ μόνας. εἶπε δὲ τοῖς παισὶν αὐτοῦ· προπορεύεσθε ἔμπροσθέν μου, καὶ διάστημα ποιεῖτε ἀνὰ μέσον ποίμνης καὶ ποίμνης.

Γεν. 32,16 - Εδωκεν εις ένα έκαστον από τους δούλους του ωρισμένον αριθμόν από αυτά και τους είπεν· “προχωρείτε εμπρός από εμέ· αφήνετε

διαστήματα μεταξύ της μιας αγέλης των ζώων και της άλλης.

Γεν. 32,17 - καὶ ἐνετείλατο τῷ πρώτῳ, λέγων· ἐάν σοι συναντήσῃ Ἡσαῦ ὁ ἀδελφός μου καὶ ἐρωτᾷ σε, λέγων· τίνος εἶ καὶ ποῦ πορεύῃ, καὶ τίνος ταῦτα τὰ προπορευόμενά σου;

Γεν. 32,17 - Εδωσε δε εντολήν στον δούλον, ο οποίος θα επροχωρούσε πρώτος λέγων· "εάν σε συναντήση ο αδελφός μου ο Ησαύ και σε ερωτήση, τίνος είσαι και που πηγαίνεις και εις ποίον ανήκουν αυτά τα ζώα, που οδηγείς εμπρός σου;

Γεν. 32,18 - ἐρεῖς· τοῦ παιδός σου Ἰακώβ· δῶρα ἀπέσταλκε τῷ κυρίῳ μου Ἡσαῦ, καὶ ἰδοὺ αὐτὸς ὀπίσω ἡμῶν.

Γεν. 32,18 - Θα απαντήσης· Ανήκουν στον δούλον σου τον Ιακώβ· είναι δώρα, τα οποία αποστέλλει στον κύριόν του, τον Ησαύ. Αυτός δε ο ίδιος έρχεται πίσω από ημάς".

Γεν. 32,19 - καὶ ἐνετείλατο τῷ πρώτῳ καὶ τῷ δευτέρῳ καὶ τῷ τρίτῳ καὶ πᾶσι τοῖς προπορευομένοις ὀπίσω τῶν ποιμνίων τούτων, λέγων· κατὰ τὸ ῥῆμα τοῦτο λαλήσατε Ἡσαῦ ἐν τῷ εὑρεῖν ὑμᾶς αὐτὸν

Γεν. 32,19 - Εδωσεν εντολήν στον πρώτον και στον δεύτερον και στον τρίτον και εις όλους εκείνους, οι οποίοι επορεύοντο εμπρός από αυτόν, πίσω από τα κοπάδια τούτων των ζώων λέγων· "έτσι θα ομιλήσετε όλοι σας προς τον Ησαύ, όταν αυτός σας συναντήση.

Γεν. 32,20 - καὶ ἐρεῖτε· ἰδοὺ ὁ παῖς σου Ἰακὼβ παραγίνεται ὀπίσω ἡμῶν. εἶπε γάρ· ἐξιλάσομαι τὸ πρόσωπον αὐτοῦ ἐν τοῖς δώροις τοῖς προπορευομένοις αὐτοῦ, καὶ μετὰ τοῦτο ὄψομαι τὸ πρόσωπον αὐτοῦ· ἴσως γὰρ προσδέξεται τὸ πρόσωπόν μου.

Γεν. 32,20 - Θα του είπετε· Ιδού ο δούλος σου. Ο Ιακώβ, έρχεται έπειτα από ημάς". Επραξε δε τοιουτοτρόπως ο Ιακώβ, διότι εσκέφθη· Θα εξευμενίσω τον αδελφόν μου με τα δώρα, που θα προηγηθούν και κατόπιν θα ίδω αυτόν προσωπικώς. Διότι ίσως συγκινημένος από τα δώρα της αγάπης μου με υποδεχθή με ευμένειαν.

Γεν. 32,21 - καὶ προεπορεύετο τὰ δῶρα κατὰ πρόσωπον αὐτοῦ, αὐτὸς δὲ ἐκοιμήθη τὴν νύκτα ἐκείνην ἐν τῇ παρεμβολῇ.

Γεν. 32,21 - Οι φέροντες τα κοπάδια ως δώρα επροπορεύοντο από τον Ιακώβ. Αυτός δέ, κατά την εσπέραν εκείνην, εκοιμήθη εις την κατασκήνωσιν.

Γεν. 32,22 - Ἀναστὰς δὲ τὴν νύκτα ἐκείνην ἔλαβε τὰς δύο γυναῖκας καὶ τὰς δύο παιδίσκας καὶ τὰ ἕνδεκα παιδία αὐτοῦ καὶ διέβη τὴν διάβασιν τοῦ Ἰαβώκ·

Γεν. 32,22 - Κατά την νύκτα όμως εσηκώθη, επήρε τας δύο γυναίκας του, τας δύο θεραπαινίδας και τα ένδεκα παιδιά του και επέρασε μαζή με αυτά εις βατόν σημείον τον παραπόταμον του Ιορδάνου, τον Ιαβώκ.

Γεν. 32,23 - καὶ ἔλαβεν αὐτοὺς καὶ διέβη τὸν χειμάῤῥουν καὶ διεβίβασε πάντα τὰ αὐτοῦ.

Γεν. 32,23 - Μαζή δε με τους ανθρώπους του αυτούς διεβίβασε εις την αντίπεραν όχθην του Ιαβώκ και όλα τα υπάρχοντά του

Γεν. 32,24 - ὑπελείφθη δὲ Ἰακὼβ μόνος, καὶ ἐπάλαιεν ἄνθρωπος μετ᾿ αὐτοῦ ἕως πρωΐ.

Γεν. 32,24 - Αυτός δε ο ίδιος έμεινε μόνος του εδώθε από τον Ιαβώκ. Εκεί δε ένας άνθρωπος επάλαιεν εναντίον του καθ' όλην την νύκτα, έως το πρωϊ.

Γεν. 32,25 - εἶδε δέ, ὅτι οὐ δύναται πρὸς αὐτόν, καὶ ἥψατο τοῦ πλάτους τοῦ μηροῦ αὐτοῦ, καὶ ἐνάρκησε τὸ πλάτος τοῦ μηροῦ Ἰακὼβ ἐν τῷ παλαίειν αὐτὸν μετ᾿ αὐτοῦ.

Γεν. 32,25 - Είδε δε ο αντίπαλος αυτός ότι δεν δύναται να νικήση τον Ιακώβ. Ηγγισε τότε το πλατύ άνω μέρος του μηρού του Ιακώβ και καθώς συνέχιζε την πάλην κατά του Ιακώβ ενάρκωσε το μέρος αυτό του μηρού.

Γεν. 32,26 - καὶ εἶπεν αὐτῷ· ἀπόστειλόν με· ἀνέβη γὰρ ὁ ὄρθρος. ὁ δὲ εἶπεν· οὐ μή σε ἀποστείλω, ἐὰν μή με εὐλογήσῃς.

Γεν. 32,26 - Ο άνθρωπος εκείνος είπε τότε στον Ιακώβ· “άφησέ με να φύγω, διότι εξημέρωσε”. Ο δε Ιακώβ του απήντησε· “δεν θα σε αφήσω να φύγης, εάν πρώτον δεν με ευλογήσης”.

Γεν. 32,27 - εἶπε δὲ αὐτῷ· τί τὸ ὄνομά σου ἐστίν, ὁ δὲ εἶπεν· Ἰακώβ.

Γεν. 32,27 - Ο άνθρωπος εκείνος του είπε· “ποίον είναι το όνομά σου;” Εκείνος του απήντησεν· “Ιακώβ”.

Γεν. 32,28 - καὶ εἶπεν αὐτῷ· οὐ κληθήσεται ἔτι τὸ ὄνομά σου Ἰακώβ, ἀλλ᾿ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου, ὅτι ἐνίσχυσας μετὰ Θεοῦ, καὶ μετ᾿ ἀνθρώπων δυνατὸς ἔσῃ.

Γεν. 32,28 - Είπε δε εις αυτόν ο άγνωστος εκείνος άνθρωπος· “δεν θα ονομάζεσαι πλέον Ιακώβ, αλλά θα λέγεσαι Ισραήλ, διότι εφάνης ισχυρός απέναντι του Θεού. Επομένως μη φοβήσαι θα είσαι ισχυρός και απέναντι των ανθρώπων”.

Γεν. 32,29 - ἠρώτησε δὲ Ἰακὼβ καὶ εἶπεν· ἀνάγγειλόν μοι τὸ ὄνομά σου. καὶ εἶπεν· ἱνατί τοῦτο ἐρωτᾷς σὺ τὸ ὄνομά μου; καὶ εὐλόγησεν αὐτὸν ἐκεῖ.

Γεν. 32,29 - Τοτε ηρώτησεν αυτόν ο Ιακώβ και του είπε· “πές μου το όνομά σου”. Εκείνος του είπε· “διατί συ ερωτάς και έχεις την περιέργειαν να μάθης το όνομά μου;” Ο άγνωστος εκείνος άνθρωπος, άγγελος Θεού, ηυλόγησε τον Ιακώβ στον τόπον εκείνον.

Γεν. 32,30 - καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Εἶδος Θεοῦ· εἶδον γὰρ Θεὸν πρόσωπον πρὸς πρόσωπον, καὶ ἐσώθη μου ἡ ψυχή.

Γεν. 32,30 - Και εκάλεσεν ο Ιακώβ τον τόπον εκείνον· “εμφάνισιν Θεού” (Φανουήλ), διότι είπεν· “είδον τον Θεόν πρόσωπον προς πρόσωπον και

παρ' όλον τούτο εσώθη η ζωη μου και δεν απέθανον”.

Γεν. 32,31 - ἀνέτειλε δὲ αὐτῷ ὁ ἥλιος, ἡνίκα παρῆλθε τὸ εἶδος τοῦ Θεοῦ· αὐτὸς δέ ἐπέσκαζε τῷ μηρῷ αὐτοῦ·

Γεν. 32,31 - Οταν δε απήλθεν η θεία εμφάνισις, ανέτειλεν ο ήλιος. Ο δε Ιακώβ εχώλαινεν στον μηρόν του.

Γεν. 32,32 - ἕνεκεν τούτου οὐ μὴ φάγωσιν υἱοὶ Ἰσραὴλ τὸ νεῦρον, ὃ ἐνάρκησεν, ὅ ἐστιν ἐπὶ τοῦ πλάτους τοῦ μηροῦ, ἕως τῆς ἡμέρας ταύτης, ὅτι ἥψατο τοῦ πλάτους τοῦ μηροῦ Ἰακὼβ τοῦ νεύρου, ὃ ἐνάρκησεν.

Γεν. 32,32 - Δια τούτο οι Ιουδαίοι δεν τρώγουν το νεύρον μέχρι σήμερον από τον μηρόν των ζώων εις εκείνο το σημείον, το οποίον εναρκώθη κατά την πάλην, διότι ο Θεός ήγγισε το νεύρον στο πλάτος τούτο του μηρού, το οποίον και εναρκώθη.

## ΓΕΝΕΣΙΣ 33

Γεν. 33,1 - Ἀναβλέψας δὲ Ἰακὼβ τοῖς ὀφθαλμοῖς αὐτοῦ εἶδε καὶ ἰδοὺ Ἡσαῦ ὁ ἀδελφὸς αὐτοῦ ἐρχόμενος καὶ τετρακόσιοι ἄνδρες μετ᾽ αὐτοῦ. καὶ διεῖλεν Ἰακὼβ τὰ παιδία ἐπὶ Λείαν καὶ ἐπί Ῥαχὴλ καὶ τὰς δύος παιδίσκας.

Γεν. 33,1 - Επειτα από το γεγονός αυτό και αφού πλέον είχεν ανατείλει ο ήλιος, εσήκωσε τα μάτια του ο Ιακώβ και είδε· και ιδού ο Ησαύ ο αδελφός του ήρχετο και μαζή με αυτόν τετρακόσιοι άνδρες, Ο Ιακώβ εμοίρασε τα παιδιά του εις τρεις ομάδας, την μίαν με την Λείαν, την άλλην με την Ραχήλ και την τρίτην με τας δύο δούλας.

Γεν. 33,2 - καὶ ἔθετο τὰς δύο παιδίσκας καὶ τοὺς υἱοὺς αὐτῶν ἐν πρώτοις καὶ Λείαν καὶ τὰ παιδία αὐτῆς ὀπίσω καὶ Ῥαχὴλ καὶ Ἰωσὴφ ἐσχάτους.

Γεν. 33,2 - Εβαλε τας δύο δούλας μαζή με τα παιδιά, που είχεν αποκτήσει από αυτάς, εις την πρώτην σειράν, την Λείαν και τα παιδιά της πίσω από αυτήν, την δε Ραχήλ με τον Ιωσήφ έθεσε τελευταία.

Γεν. 33,3 - αὐτὸς δὲ προῆλθεν ἔμπροσθεν αὐτῶν καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν ἑπτάκις ἕως τοῦ ἐγγίσαι τῷ ἀδελφῷ αὐτοῦ.

Γεν. 33,3 - Ο ίδιος δε ο Ιακώβ επροχώρησεν εμπρός από αυτούς. Επτά φορές επρασκύνησε μέχρις εδάφους, έως ότου πλησιάση τον αδελφόν του.

Γεν. 33,4 - καὶ προσέδραμεν Ἡσαῦ εἰς συνάντησιν αὐτῷ καὶ περιλαβὼν αὐτὸν προσέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ κατεφίλησεν αὐτὸν καὶ ἔκλαυσαν ἀμφότεροι.

Γεν. 33,4 - Ο δε Ησαύ έτρεξεν εις συνάντησιν του αδελφού του, τον ενηγκαλίσθη, έπεσεν στον τράχηλον αυτού και τον κατεφίλησε. Και οι δύο με βαθείαν συγκίνησιν έκλαυσαν.

Γεν. 33,5 - καὶ ἀναβλέψας Ἠσαῦ εἶδε τὰς γυναῖκας καὶ τὰ παιδία καὶ εἶπε· τί ταῦτά σοι ἐστίν; ὁ δὲ εἶπε· τὰ παιδία, οἷς ἠλέησεν ὁ Θεὸς τὸν παῖδά σου.

Γεν. 33,5 - Εσήκωσε τα μάτια του τότε ο Ησαύ, είδε τας γυναίκας και τα παιδιά και τον ηρώτησε· "τι σου είναι αυτά;" Και ο Ιακώβ απήντησεν· "είναι τα παιδιά, τα οποία ο Θεός ηλέησε τον δούλον σου να αποκτήση".

Γεν. 33,6 - καὶ προσήγγισαν αἱ παιδίσκαι καὶ τὰ τέκνα αὐτῶν καὶ προσεκύνησαν,

Γεν. 33,6 - Επλησίασαν τον Ησαύ αι δούλαι και τα τέκνα των, και τον προσεκύνησαν.

Γεν. 33,7 - καὶ προσήγγισε Λεία καὶ τὰ τέκνα αὐτῆς καὶ προσεκύνησαν. καὶ μετὰ ταῦτα προσήγγισε Ῥαχὴλ καὶ Ἰωσὴφ καὶ προσεκύνησαν.

Γεν. 33,7 - Επλησίασεν η Λεία και τα τέκνα της και τον προσεκύνηοαν. Επειτα δε επλησίασεν η Ραχήλ και ο Ιωσήφ και τον προσεκύνησαν.

Γεν. 33,8 - καὶ εἶπε· τί ταῦτά σοι ἐστί, πᾶσαι αἱ παρεμβολαί αὗται, αἷς ἀπήντηκα; ὁ δὲ εἶπεν· ἵνα εὕρῃ ὁ παῖς σου χάριν ἐναντίον σου, κύριε.

Γεν. 33,8 - Ηρώτησεν έπειτα ο Ησαύ· "τι είναι όλα αυτά τα κοπάδια των ζώων, τα οποία καθώς ηρχόμην συνήντησα;" Ο δε Ιακώβ απήντησε· "σου τα προσέφερα, κύριε, εγώ ο δούλος σου, δια να εύρω χάριν ενώπιόν σου και γίνω ευμενώς δεκτός".

Γεν. 33,9 - εἶπε δὲ Ἠσαῦ· ἔστι μοι πολλά, ἀδελφέ· ἔστω σοι τὰ σά.

Γεν. 33,9 - "Αδελφέ, είπεν ο Ησαύ, έχω και εγώ πολλά. Κράτησε τα ιδικά σου.

Γεν. 33,10 - εἶπε δὲ Ἰακώβ· εἰ εὗρον χάριν ἐναντίον σου, δέξαι τὰ δῶρα διὰ τῶν ἐμῶν χειρῶν· ἕνεκεν τούτου εἶδον τὸ πρόσωπόν σου, ὡς ἄν τις ἴδοι πρόσωπον Θεοῦ, καὶ εὐδοκήσεις με.

Γεν. 33,10 - Είπεν ο Ιακώβ· "επειδή ευρήκα καλωσύνην και ευμένειαν ενώπιόν σου, δέξου σε παρακαλώ τα δώρα, που με τα ίδια μου τα χέρια σου προσφέρω. Δια την ευμενή αυτήν υποδοχήν, που μου έκαμες, είδα το πρόσωπόν σου, όπως βλέπει κανείς το πρόσωπον του Θεού.

Γεν. 33,11 - λαβὲ τὰς εὐλογίας μου, ἃς ἤνεγκά σοι, ὅτι ἠλέησέ με ὁ Θεὸς καὶ ἔστι μοι πάντα. καὶ ἐβιάσατο αὐτὸν καὶ ἔλαβε·

Γεν. 33,11 - Παρε λοιπόν τα δώρα αυτά της αγάπης και του σεβασμού μου, τα οποία σου προσφέρω, διότι ο Θεός με ηλέησε και έχω πλούσια τα πάντα". Επέμεινε πολύ ο Ιακώβ, ώστε ο Ησαύ υπεχώρησε και τα έλαβε.

Γεν. 33,12 - καὶ εἶπεν· ἀπάραντες πορευσώμεθα ἐπ᾿ εὐθεῖαν.

Γεν. 33,12 - Ο Ησαύ είπε· "λοιπόν, ας σηκωθώμεν τώρα και ας βαδίσωμεν μαζή επί της ευθείας αυτής οδού".

Γεν. 33,13 - εἶπε δὲ αὐτῷ· ὁ κύριός μου γινώσκει, ὅτι τὰ παιδία ἁπαλώτερα καὶ τὰ πρόβατα καὶ αἱ βόες λοχεύονται ἐπ᾿ ἐμέ· ἐὰν οὖν

καταδιώξω αὐτὰ ἡμέραν μίαν, ἀποθανοῦνται πάντα τὰ κτήνη.

Γεν. 33,13 - Ο δε Ιακώβ απήντησεν· "Ο Ησαύ, ο κύριός μου, βλέπει ότι τα παιδιά μου είναι μικρά και τρυφερά, τα πρόβατα και τα βόδια μου μόλις έχουν γεννήσει· εάν λοιπόν τα εξαναγκάσω να βαδίσουν, έστω και μίαν ημέραν, θα αποθάνουν όλα τα ζώα μου από την κόπωσιν.

Γεν. 33,14 - προελθέτω ὁ κύριός μου ἔμπροσθεν τοῦ παιδὸς αὐτοῦ, ἐγὼ δὲ ἐνισχύσω ἐν τῇ ὁδῷ κατὰ σχολὴν τῆς πορεύσεως τῆς ἐναντίον μου καὶ κατὰ πόδα τῶν παιδαρίων, ἕως τοῦ ἐλθεῖν με πρὸς τὸν κύριόν μου εἰς Σηείρ.

Γεν. 33,14 - Ας προχωρήση ο κύριός μου εμπρός από τον δούλον του και εγώ θα καταβάλω προσπάθειαν να τον ακολουθήσω στον δρόμον, ανάλογα με την πορείαν των ζώων, που θα προπορεύωνται από εμέ και ανάλογα της αντοχής, που θα έχουν τα παιδιά μου στο βάδισμα, έως ότου καταφθάσω και συναντήσω τον κύριόν μου στο όρος Σηείρ.

Γεν. 33,15 - εἶπε δὲ Ἡσαῦ· καταλείψω μετὰ σοῦ ἀπὸ τοῦ λαοῦ τοῦ μετ᾿ ἐμοῦ. ὁ δὲ εἶπεν· ἱνατί τοῦτο; ἱκανόν, ὅτι εὗρον χάριν ἐναντίον σου, κύριε.

Γεν. 33,15 - Ο Ησαύ είπεν στον Ιακώβ· "θα αφήσω τότε μαζή σου μερικούς από τους ανθρώπους μου, δια να σε συνοδεύσουν". Ο δε Ιακώβ είπε· "διατί να κάμης τούτο; Είναι αρκετόν, κύριε, ότι έγινα ευμενώς δεκτός από σέ".

Γεν. 33,16 - ἀπέστρεψε δὲ Ἡσαῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς τὴν ὁδὸν αὐτοῦ εἰς Σηείρ.

Γεν. 33,16 - Επέστρεψεν ο Ησαύ κατά την ιδίαν εκείνην ημέραν εις Σηείρ δια της αυτής οδού, από την οποίαν είχεν έλθει.

Γεν. 33,17 - Καὶ Ἰακὼβ ἀπαίρει εἰς σκηνάς· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ οἰκίας καὶ τοῖς κτήνεσιν αὐτοῦ ἐποίησε σκηνάς· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Σκηναί.

Γεν. 33,17 - Ο Ιακώβ επορεύθη τότε στοποθεσίαν, την οποίαν ωνόμασε "Σκηναί". Εκεί δε ανοικοδόμησε οικίας δια τον εαυτόν του, δια δε τα κτήνη του κατεσκεύασε στάνες. Δια τούτο εκάλεσε το όνομα του τόπου εκείνου "Σκηναί".

Γεν. 33,18 - καὶ ἦλθεν Ἰακὼβ εἰς Σαλὴμ πόλιν Σικίμων, ἥ ἐστιν ἐν γῇ Χαναάν, ὅτε ἐπανῆλθεν ἐκ τῆς Μεσοποταμίας Συρίας, καὶ παρενέβαλε κατὰ πρόσωπον τῆς πόλεως.

Γεν. 33,18 - Μετέβη κατόπιν ο Ιακώβ από εκεί εις την Σαλήμ, πλησίον της πόλεως των Σικίμων (Συχεμιτών), η οποία ευρίσκεται εις την χώραν Χαναάν. Αυτά δε έγιναν, όταν επέστρεψεν από την Μεσοποταμίαν της Συρίας και εγκοττεστάθη πλησίον αυτής της πόλεως.

Γεν. 33,19 - καὶ ἐκτήσατο τὴν μερίδα τοῦ ἀγροῦ, οὗ ἔστησεν ἐκεῖ τὴν σκηνὴν αὐτοῦ, παρὰ Ἐμὼρ πατρὸς Συχὲμ ἑκατὸν ἀμνῶν.

Γεν. 33,19 - Ηγόρασε δε το τμήμα του αγρού, όπου εγκατεστάθη, από τον Εμμώρ τον πατέρα του Συχέμ, αντί εκατόν αμνών.

Γεν. 33,20 - καὶ ἔστησεν ἐκεῖ θυσιαστήριον καὶ ἐπεκαλέσατο τὸν Θεὸν Ἰσραήλ.

Γεν. 33,20 - Εκεί δε έκτισε και αφιέρωσε θυσιαστήριον και προσηυχήθη στον Θεόν του Ισραήλ.

## ΓΕΝΕΣΙΣ 34

Γεν. 34,1 - Ἐξῆλθε δὲ Δείνα ἡ θυγάτηρ Λείας, ἣν ἔτεκε τῷ Ἰακώβ, καταμαθεῖν τὰς θυγατέρας τῶν ἐγχωρίων.

Γεν. 34,1 - Η Δείνα, η θυγάτηρ του Ιακώβ και της Λείας, εβγήκεν από την περιοχήν, όπου είχεν εγκατασταθή ο πατήρ της, δια να γνωρίση τας γυναίκας της πόλεως Συχέμ.

Γεν. 34,2 - καὶ εἶδεν αὐτὴν Συχὲμ ὁ υἱὸς Ἐμμὼρ ὁ Εὐαῖος, ὁ ἄρχων τῆς γῆς καὶ λαβὼν αὐτήν, ἐκοιμήθη μετ᾿ αὐτῆς καὶ ἐταπείνωσεν αὐτήν.

Γεν. 34,2 - Ο Συχέμ, ο υιός του Εμμώρ, ο ανήκων εις την φυλήν των Ευαίων, άρχων της χώρας εκείνης, ήρπασε την Δείναν, εκοιμήθη μετ' αυτής και την διέφθειρε.

Γεν. 34,3 - καὶ προσέσχε τῇ ψυχῇ Δείνας τῆς θυγατρὸς Ἰακὼβ καὶ ἠγάπησε τὴν παρθένον καὶ ἐλάλησε κατὰ τὴν διάνοιαν τῆς παρθένου αὐτῇ.

Γεν. 34,3 - Και προσεκολλήθη με όλην του την ψυχήν εις την Δείναν, την θυγατέρα του Ιακώβ, ωμίλησε προς αυτήν κατά την καρδίαν της, ώστε την κατέκτησε.

Γεν. 34,4 - εἶπε Συχὲμ πρὸς Ἐμμὼρ τὸν πατέρα αὐτοῦ λέγων· λαβέ μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα.

Γεν. 34,4 - Είπε δε ο Συχέμ προς τον πατέρα του τον Εμμώρ· “φρόντισε με κάθε τρόπον, να πάρω σύζυγόν μου την κόρην αυτήν”.

Γεν. 34,5 - Ἰακὼβ δὲ ἤκουσεν, ὅτι ἐμίανεν ὁ υἱὸς Ἐμμὼρ Δείναν τὴν θυγατέρα αὐτοῦ· οἱ δὲ υἱοὶ αὐτοῦ ἦσαν μετὰ τῶν κτηνῶν αὐτοῦ ἐν τῷ πεδίῳ. παρεσιώπησε δὲ Ἰακὼβ ἕως τοῦ ἐλθεῖν αὐτούς.

Γεν. 34,5 - Ο Ιακώβ επληροφορήθη ότι ο υιός του Εμμώρ διέφθειρε την θυγατέρα του, την Δείναν. Τα παιδιά του ευρίσκοντο με τα κοπάδια εις την πεδιάδα. Δεν είπε δε τίποτε, έως ότου επέστρεψαν τα παιδιά του.

Γεν. 34,6 - ἐξῆλθε δὲ Ἐμμὼρ ὁ πατὴρ Συχὲμ πρὸς Ἰακὼβ λαλῆσαι αὐτῷ.

Γεν. 34,6 - Εν τω μεταξύ ο Εμμώρ, ο πατήρ του Συχέμ, μετέβη προς τον Ιακώβ, δια να συνομιλήση μαζή του σχετικά με την υπόθεσιν αυτήν.

Γεν. 34,7 - οἱ δὲ υἱοὶ Ἰακὼβ ἦλθον ἐκ τοῦ πεδίου· ὡς δὲ ἤκουσαν, κατενύγησαν οἱ ἄνδρες, καὶ λυπηρὸν ἦν αὐτοῖς σφόδρα, ὅτι ἄσχημον ἐποίησεν ἐν Ἰσραὴλ κοιμηθεὶς μετὰ τῆς θυγατρός Ἰακώβ, καὶ οὐχ οὕτως ἔσται.

Γεν. 34,7 - Τοτε δε τα παιδιά του Ιακώβ επέστρεψαν από την πεδιάδα. Οταν δε ήκουσαν το γεγονός, επληγώθησαν και ηγανάκτησαν, διότι τους εφάνη πάρα πολύ οδυνηρόν το κακόν, το οποίον ο Συχέμ έκαμεν εναντίον της οικογενείας Ισραήλ κοιμηθείς με την θυγατέρα του Ιακώβ. Κατ ουδένα λόγον δεν έπρεπε να έχη γίνει τούτο.

Γεν. 34,8 - καὶ ἐλάλησεν Ἐμμὼρ αὐτοῖς λέγων· Συχὲμ ὁ υἱός μου προείλετο τῇ ψυχῇ τὴν θυγατέρα ὑμῶν· δότε οὖν αὐτὴν αὐτῷ γυναῖκα

Γεν. 34,8 - Ο Εμμώρ ωμίλησε τότε προς τον πατέρα και τους αδελφούς της Δείνας και είπεν· “η καρδιά του παιδιού μου, του Συχέμ, έχει ισχυρότατα προσκολληθή εις την θυγατέρα αας. Δώστε λοιπόν, σας παρακαλώ, αυτήν ως σύζυγόν του.

Γεν. 34,9 - καὶ ἐπιγαμβρεύσασθε ἡμῖν· τὰς θυγατέρας ὑμῶν δότε ἡμῖν καὶ τὰς θυγατέρας ἡμῶν λάβετε τοῖς υἱοῖς ὑμῶν.

Γεν. 34,9 - Από εδώ δε και στο εξής ας γίνωνται αμοιβαίοι γάμοι μεταξύ των λαών μας. Δώστε μας τας θυγατέρας σας ως συζύγους και πάρετε τας θυγατέρας μας ως συζύγους των υιών σας.

Γεν. 34,10 - καὶ ἐν ἡμῖν κατοικεῖτε, καὶ ἡ γῆ ἰδοὺ πλατεῖα ἐναντίον ὑμῶν· κατοικεῖτε καὶ ἐμπορεύεσθε ἐπ᾽ αὐτῆς καὶ ἐγκτᾶσθε ἐν αὐτῇ.

Γεν. 34,10 - Να κατοικήτε δε ελευθέρως μαζή μας. Η ιδική μας χώρα είναι μεγάλη και ευρύχωρος ενώπιόν σας. Κατοικείτε εις αυτήν και κινείσθε με ελευθερίαν όπου θέλετε, και αποκτήσατε ιδιοκτησίας εις αυτήν”.

Γεν. 34,11 - εἶπε δὲ Συχὲμ πρὸς τὸν πατέρα αὐτῆς καὶ πρὸς τοὺς ἀδελφοὺς αὐτῆς· εὕροιμι χάριν ἐναντίον ὑμῶν, καὶ ὃ ἐὰν εἴπητε, δώσομεν.

Γεν. 34,11 - Ο ίδιος δε ο Συχέμ παρεκάλεσε τον πατέρα της Δείνας και τους αδελφούς της λέγων· “ας εύρω χάριν ενώπιόν σας και ας γίνη δεκτή η αίτησίς μας, και ο,τι μας ζητήσετε θα σας το δώσωμεν.

Γεν. 34,12 - πληθύνατε τὴν φερνὴν σφόδρα, καὶ δώσω καθότι ἂν εἴπητέ μοι, καὶ δώσατέ μοι τὴν παῖδα ταύτην εἰς γυναῖκα.

Γεν. 34,12 - Αυξήσατε πολύ την προίκα και θα σας δώσω ο,τι μου είπετε, αρκεί να μου δώσετε την κόρην αυτήν ως σύζυγον”.

Γεν. 34,13 - ἀπεκρίθησαν δὲ οἱ υἱοὶ Ἰακὼβ τῷ Συχὲμ καὶ Ἐμμὼρ τῷ πατρὶ αὐτοῦ μετὰ δόλου καὶ ἐλάλησαν αὐτοῖς, ὅτι ἐμίαναν Δείνα τὴν ἀδελφὴν αὐτῶν,

Γεν. 34,13 - Τα παιδιά του Ιακώβ απεκρίθησαν με δολιότητα στον Συχέμ και τον Εμμώρ, διότι ήθελαν να τους εκδικηθούν, επειδή διέφθειραν την αδελφήν των την Δείναν,

Γεν. 34,14 - καὶ εἶπαν αὐτοῖς Συμεὼν καὶ Λευὶ οἱ ἀδελφοὶ Δείνας· οὐ δυνησόμεθα ποιῆσαι τὸ ῥῆμα τοῦτο, δοῦναι τὴν ἀδελφὴν ἡμῶν ἀνθρώπῳ, ὃς ἔχει ἀκροβυστίαν· ἔστι γὰρ ὄνειδος ἡμῖν.

Γεν. 34,14 - και είπαν προς αυτούς οι αδελφοί της Δείνας, ο Συμεών και ο Λευΐ· "δεν θα ημπορέσωμεν να εκπληρώσωμεν το αίτημά σας, να δώσωμεν την αδελφήν μας εις άνθρωπον απερίτμητον, διότι τούτο αποτελεί μεγάλην εντροπήν δι' ημάς.

Γεν. 34,15 - μόνον ἐν τούτῳ ὁμοιωθησόμεθα ὑμῖν καὶ κατοικήσομεν ἐν ὑμῖν, ἐὰν γένησθε ὡς ἡμεῖς καὶ ὑμεῖς ἐν τῷ περιτμηθῆναι ὑμῶν πᾶν ἀρσενικόν.

Γεν. 34,15 - Μονον δια της πράξεως αυτής θα γίνωμεν όμοιοί σας και θα κατοικήσωμεν μαζή σας, εάν δηλαδή σεις γίνετε όπως ημείς, εάν περιτμηθή κάθε αρσενικόν τέκνον σας.

Γεν. 34,16 - καὶ δώσομεν τὰς θυγατέρας ἡμῶν ὑμῖν καὶ ἀπό τῶν θυγατέρων ὑμῶν ληψόμεθα ἡμῖν γυναῖκας καὶ οἰκήσομεν παρ᾿ ὑμῖν καὶ ἐσόμεθα ὡς γένος ἕν.

Γεν. 34,16 - Τοτε θα δώσωμεν τας θυγατέρας μας εις σας ως συζύγους, και ημείς θα πάρωμεν από τας θυγατέρας σας ως συζύγους, θα κατοικήσωμεν κοντά σας και θα γίνωμεν ως εάν είμεθα μία φυλή.

Γεν. 34,17 - ἐὰν δὲ μὴ εἰσακούσητε ἡμῶν τοῦ περιτεμέσθαι, λαβόντες τὴν θυγατέρα ἡμῶν ἀπελευσόμεθα.

Γεν. 34,17 - Εάν όμως δεν δεχθήτε την πρότασίν μας και δεν θελήσετε να περιτμηθήτε, ημείς θα πάρωμεν την κόρην μας την Δείναν και θα φύγωμεν".

Γεν. 34,18 - καὶ ἤρεσαν οἱ λόγοι ἐναντίον Ἐμμὼρ καὶ ἐναντίον Συχὲμ τοῦ υἱοῦ Ἐμμώρ.

Γεν. 34,18 - Ηρεσαν οι λόγοι αυτοί στον Εμμώρ και τον υιόν του Συχέμ.

Γεν. 34,19 - καὶ οὐκ ἐχρόνισεν ὁ νεανίσκος τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο· ἐνέκειτο γὰρ τῇ θυγατρὶ Ἰακώβ· αὐτὸς δὲ ἦν ἐνδοξότατος πάντων τῶν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ.

Γεν. 34,19 - Δεν εβράδυνε δε ο νεαρός Συχέμ να περιτμηθή, διότι είχε δώσει πλέον την καρδιά του εις την θυγατέρα του Ιακώβ. Αυτός δε ήτο ενδοξότατος μεταξύ όλων εις την οικογένειαν του πατρός του.

Γεν. 34,20 - ἦλθε δὲ Ἐμμὼρ καὶ Συχὲμ ὁ υἱὸς αὐτοῦ πρὸς τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ ἐλάλησαν πρὸς τοὺς ἄνδρας τῆς πόλεως αὐτῶν λέγοντες·

Γεν. 34,20 - Ο Εμμώρ και ο Συχέμ, ο υιός του, ήλθον εις την πύλην της πόλεως, στον τόπον της συγκεντρώσεως των ανδρών, ελάλησαν προς τους άνδρας της πόλεως και είπαν προς αυτούς·

Γεν. 34,21 - οἱ ἄνθρωποι οὗτοι εἰρηνικοί εἰσι, μεθ᾿ ἡμῶν οἰκείτωσαν ἐπὶ τῆς γῆς καὶ ἐμπορευέσθωσαν αὐτήν, ἡ δὲ γῆ ἰδοὺ πλατεῖα ἐναντίον αὐτῶν.

τὰς θυγατέρας αὐτῶν ληψόμεθα ἡμῖν γυναῖκας καὶ τὰς θυγατέρας ἡμῶν δώσομεν αὐτοῖς.

Γεν. 34,21 - “Αυτοί οι άνθρωποι είναι ειρηνικοί, ας κατοικήσουν μαζή με ημάς εις την χώραν αυτήν, ας κινούνται ελευθέρως εις αυτήν και ας την εκμεταλλεύωνται. Η χώρα μας άλλωστε είναι ευρύχωρος ενώπιον αυτών και έχει ανάγκην από την εργασίαν των. Τας θυγατέρας των θα τας λάβωμεν ημείς ως συζύγους και θα δώσωμεν εις αυτούς ως συζύγους τας θυγατέρας μας.

Γεν. 34,22 - ἐν τούτῳ μόνον ὁμοιωθήσονται ἡμῖν οἱ ἄνθρωποι τοῦ κατοικεῖν μεθ᾿ ἡμῶν, ὥστε εἶναι λαὸν ἕνα, ἐν τῷ περιτεμέσθαι ἡμῶν πᾶν ἀρσενικόν, καθὰ καὶ αὐτοὶ περιτέτμηνται.

Γεν. 34,22 - Κατά τούτο μόνον θα γίνουν οι άνθρωποι αυτοί όμοιοι με ημάς, δια να κατοικούν μαζή μας, ώστε να γίνωμεν ένας λαός, εάν περιτμηθή κάθε αρσενικόν τέκνον μας, όπως και αυτοί έχουν περιτμηθή.

Γεν. 34,23 - καὶ τὰ κτήνη αὐτῶν καὶ τὰ τετράποδα καὶ τὰ ὑπάρχοντα αὐτῶν οὐχ ἡμῶν ἔσται· μόνον ἐν τούτῳ ὁμοιωθῶμεν αὐτοῖς, καὶ οἰκήσουσι μεθ᾿ ἡμῶν.

Γεν. 34,23 - Ετσι δε και τα ζώα των, γενικώς δε τα τετράποδά των και όλα τα υπάρχοντά των, δεν θα είναι ιδικά μας; Μονον ως προς τούτο, ως προς την περιτομήν, ας γίνωμεν ομοιοι με αυτούς και εκείνοι θα κατοικούν μαζή μας”.

Γεν. 34,24 - καὶ εἰσήκουσαν Ἐμμὼρ καὶ Συχὲμ τοῦ υἱοῦ αὐτοῦ πάντες οἱ ἐμπορευόμενοι τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ περιετέμοντο τὴν σάρκα τῆς ἀκροβυστίας αὐτῶν πᾶς ἄρσην.

Γεν. 34,24 - Ολοι οι ευρισκόμενοι τότε εις την πύλην της πόλεως και οι διερχόμενοι εδέχθησαν την πρότασιν του Εμμώρ και του υιού του Συχέμ και έτσι κάθε αρσενικόν των Συχεμιτών περιετμήθη.

Γεν. 34,25 - ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ὅτε ἦσαν ἐν τῷ πόνῳ, ἔλαβον οἱ δύο υἱοὶ Ἰακὼβ Συμεὼν καὶ Λευὶ ἀδελφοὶ Δείνας ἕκαστος τὴν μάχαιραν αὐτοῦ καὶ εἰσῆλθον εἰς τὴν πόλιν ἀσφαλῶς καὶ ἀπέκτειναν πᾶν ἀρσενικόν·

Γεν. 34,25 - Κατά την τρίτην ημέραν, όταν ευρίσκοντο στον παροξυσμόν του πόνου των, οι δύο υιοί του Ιακώβ, ο Συμεών και ο Λευϊ, οι αδελφοί της Δείνας επήραν ο καθένας την μάχαιράν του, εισώρμησαν εις την πόλιν, χωρίς να συναντήσουν δυσκολίαν, και εφόνευσαν κάθε αρσενικόν.

Γεν. 34,26 - τόν τε Ἐμμὼρ καὶ Συχὲμ τὸν υἱὸν αὐτοῦ ἀπέκτειναν ἐν στόματι μαχαίρας. καὶ ἔλαβον τὴν Δείναν ἐκ τοῦ οἴκου τοῦ Συχὲμ καὶ ἐξῆλθον.

Γεν. 34,26 - Εφόνευσαν δια της μαχαίρας των και αυτόν ακόμη τον Εμμώρ και τον υιόν του τον Συχέμ. Επήραν την Δείναν από τον οίκον του

Συχέμ και έφυγαν.

Γεν. 34,27 - οἱ δὲ υἱοὶ Ἰακὼβ εἰσῆλθον ἐπὶ τοὺς τραυματίας καὶ διήρπασαν τὴν πόλιν, ἐν ᾗ ἐμίαναν Δείναν τὴν ἀδελφὴν αὐτῶν,

Γεν. 34,27 - Οι δε άλλοι υιοί του Ιακώβ εισήλθον εις την πόλιν, όπου κατέκειντο οι σφαγιασθέντες και την ελεηλάτησαν εκδικούμενοι, διότι εις την πόλιν αυτήν είχον μιάνει την αδελφήν των.

Γεν. 34,28 - καὶ τὰ πρόβατα αὐτῶν καὶ τοὺς βόας αὐτῶν καὶ τοὺς ὄνους αὐτῶν, ὅσα τε ἦν ἐν τῇ πόλει καὶ ὅσα ἦν ἐν τῷ πεδίῳ, ἔλαβον.

Γεν. 34,28 - Επήραν ακόμη και τα πρόβατα αυτών και τα βόδια των και τους όνους των, όλα όσα υπήρχον εις την πόλιν και εις την πεδιάδα.

Γεν. 34,29 - καὶ πάντα τὰ σώματα αὐτῶν καὶ πᾶσαν τὴν ἀποσκευὴν αὐτῶν καὶ τὰς γυναῖκας αὐτῶν ᾐχμαλώτευσαν, καὶ διήρπασαν ὅσα τε ἦν ἐν τῇ πόλει καὶ ὅσα ἦν ἐν ταῖς οἰκίαις.

Γεν. 34,29 - Συνέλαβαν δε και έσυραν αιχμαλώτους όλους τους μη φονευθέντας, τα παιδιά και τας γυναίκας των, και διήρπασαν όσα υπήρχον εις την πόλιν και όσα υπήρχον εις τας οικίας.

Γεν. 34,30 - εἶπε δὲ Ἰακὼβ πρὸς Συμεὼν καὶ Λευί· μισητόν με πεποιήκατε, ὥστε πονηρόν με εἶναι πᾶσι τοῖς κατοικοῦσι τὴν γῆν, ἔν τε τοῖς Χαναναίοις καὶ ἐν τοῖς Φερεζαίοις· ἐγὼ δὲ ὀλιγοστός εἰμι ἐν ἀριθμῷ, καὶ συναχθέντες ἐπ᾿ ἐμὲ συγκόψουσί με, καὶ ἐκτριβήσομαι ἐγὼ καὶ ὁ οἶκός μου.

Γεν. 34,30 - Καταστενοχωρημένος δε ο Ιακώβ είπε προς τον Συμεών και τον Λευϊ “μισητόν με καταστήσατε με αυτό, που εκάματε, ώστε να θεωρούμαι κακός και δόλιος από όλους τους κατοίκους της χώρας αυτής, από τους Χαναναίους και τους Φερεζαίους. Ημείς δε είμεθα ολιγάριθμοι, ενώ αυτοί είναι πολυάριθμοι, και εάν συγκεντρωθούν και επιτεθούν εναντίον μας, θα μας κατακόψουν. Ετσι δε θα καταστραφώ εγώ και όλον μου το σπίτι”.

Γεν. 34,31 - οἱ δὲ εἶπαν· ἀλλ᾿ ὡσεὶ πόρνῃ χρήσονται τῇ ἀδελφῇ ἡμῶν;

Γεν. 34,31 - Εκείνοι απήντησαν· “ημπορεί να είναι βάσιμοι οι φόβοι σου. Αλλά τι; Επρεπε να μεταχειρισθούν την αδελφήν μας ως πόρνην;”

## ΓΕΝΕΣΙΣ 35

Γεν. 35,1 - Εἶπε δὲ ὁ Θεὸς πρὸς Ἰακώβ· ἀναστὰς ἀνάβηθι εἰς τὸν τόπον Βαιθὴλ καὶ οἴκει ἐκεῖ καὶ ποίησον ἐκεῖ θυσιαστήριον τῷ Θεῷ τῷ ὀφθέντι σοι ἐν τῷ ἀποδιδράσκειν σε ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ σου.

Γεν. 35,1 - Είπε τότε ο Θεός προς τον Ιακώβ· “σήκω και πήγαινε στον τόπον Βαιθήλ, μένε εκεί και οικοδόμησε θυσιαστήριον στον Θεόν, ο οποίος σου παρουσιάσθη εκεί, όταν φοβισμένος έφευγες από τον αδελφόν σου τον Ησαύ δια την Χαρράν”.

Γεν. 35,2 - εἶπε δὲ Ἰακὼβ τῷ οἴκῳ αὐτοῦ καὶ πᾶσι τοῖς μετ᾿ αὐτοῦ· ἄρατε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς μεθ᾿ ὑμῶν ἐκ μέσου ὑμῶν καὶ καθαρίσθητε καὶ ἀλλάξατε τὰς στολὰς ὑμῶν,

Γεν. 35,2 - Ο δε Ιακώβ, εφ' όσον σύμφωνα με την εντολήν του Θεού θα μετέβαινεν στον ιερόν εκείνον τόπον, είπεν εις όλα τα μέλη της οικογενείας του και εις όλους όσοι ήσαν μαζή του· “πετάξετε τα είδωλα των ξένων θεών, που έχετε μαζή σας, πλυθήτε και καθαρίσατε το σώμα σας, αλλάξατε τα ενδύματά σας,

Γεν. 35,3 - καὶ ἀναστάντες ἀναβῶμεν εἰς Βαιθὴλ καὶ ποιήσωμεν ἐκεῖ θυσιαστήριον τῷ Θεῷ τῷ ἐπακούσαντί μου ἐν ἡμέρᾳ θλίψεως, ὃς ἦν μετ᾿ ἐμοῦ καὶ διέσωσέ με ἐν τῇ ὁδῷ, ᾗ ἐπορεύθην.

Γεν. 35,3 - και κατόπιν ας ξεκινήσωμεν να μεταβώμεν εις την Βαιθήλ. Εκεί ας κτίσωμεν θυσιαστήριον προς τιμήν του Θεού, ο οποίος ήκουσε την προσευχήν μου κατά την ημέραν της θλίψεώς, μου, όταν δραπέτης έφυγα δια την Χαρράν και ο οποίος ήτο μαζή μου και με διεφύλαξε καθ' όλον το ταξίδιόν μου”.

Γεν. 35,4 - καὶ ἔδωκαν τῷ Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν, καὶ κατέκρυψεν αὐτὰ Ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σικίμοις καὶ ἀπώλεσεν αὐτὰ ἕως τῆς σήμερον ἡμέρας.

Γεν. 35,4 - Εδωσαν στον Ιακώβ οι οικείοι του τα είδωλα των ξένων θεών, που είχον εις χείρας των, και τα σκουλαρίκια των με τας ειδωλολατρικάς μορφάς, που εκρέμοντο εις τα αυτιά των. Ο δε Ιακώβ τα έχωσε και τα απέκρυψε κάπου περί την τερέβινθον, που υπήρχεν εις την Συχέμ, και τα εξηφάνισεν, ώστε να μη έχουν ανευρεθή μέχρι της ημέρας αυτής.

Γεν. 35,5 - καὶ ἐξῆρεν Ἰσραὴλ ἐκ Σικίμων, καὶ ἐγένετο φόβος Θεοῦ ἐπὶ τὰς πόλεις τὰς κύκλῳ αὐτῶν, καὶ οὐ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ.

Γεν. 35,5 - Ανεχώρησεν ο Ιακώβ από την Συχέμ και φόβος Θεού κατέλαβε τους κατοίκους των γύρω από την Συχέμ πόλεων και δεν ετόλμησαν να καταδιώξουν τον Ιακώβ και τους ανθρώπους του δια την σφαγήν των ανδρών της Συχέμ και δια την λεηλασίαν.

Γεν. 35,6 - ἦλθε δὲ Ἰακὼβ εἰς Λουζά, ἥ ἐστιν ἐν γῇ Χαναάν, ἥ ἐστι Βαιθήλ, αὐτὸς καὶ πᾶς ὁ λαός, ὃς ἦν μετ᾿ αὐτοῦ.

Γεν. 35,6 - Εφθασεν ο Ιακώβ και όλος ο λαός, που ευρίσκετο μαζή του, εις την Λουζά της Χαναάν, η οποία είναι η αυτή με την Βαιθήλ.

Γεν. 35,7 - καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαστήριον καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου Βαιθήλ. ἐκεῖ γὰρ ἐφάνη αὐτῷ ὁ Θεὸς ἐν τῷ ἀποδιδράσκειν αὐτὸν ἀπὸ προσώπου Ἡσαῦ τοῦ ἀδελφοῦ αὐτοῦ.

Γεν. 35,7 - Οικοδόμησεν εκεί θυσιαστήριον και εκάλεσε το όνομα του τόπου εκείνου Βαιθήλ, διότι εκεί είχε παρουσιασθή εις αυτόν ο Θεός, όταν

αυτός φοβισμένος έφευγεν από τον αδελφόν του τον Ησαύ.

Γεν. 35,8 - ἀπέθανε δὲ Δεβῶρα ἡ τροφὸς Ῥεβέκκας καὶ ἐτάφη κατώτερον Βαιθὴλ ὑπὸ τὴν βάλανον, καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα αὐτῆς Βάλανος πένθους.

Γεν. 35,8 - Απέθανε δε εκεί η Δεδώρα, η τροφός της Ρεβέκκας, και ετάφη παρακάτω από την Βαιθήλ, κάτω από μίαν βαλανιδιάν. Ο Ιακώβ ωνόμασε το σημείον εκείνο "Βαλανιδιά πένθους".

Γεν. 35,9 - Ὤφθη δὲ ὁ Θεὸς τῷ Ἰακὼβ ἔτι ἐν Λουζᾷ, ὅτε παρεγένετο ἐκ Μεσοποταμίας τῆς Συρίας, καὶ εὐλόγησεν αὐτὸν ὁ Θεός.

Γεν. 35,9 - Παρουσιάσθη δε ο Θεός στον Ιακώβ και πάλιν εις Λουζά τώρα, που είχεν επιστρέψει από την Μεσοποταμίαν της Συρίας, και τον ευλόγησε.

Γεν. 35,10 - καὶ εἶπεν αὐτῷ ὁ Θεός· τὸ ὄνομά σου οὐ κληθήσεται ἔτι Ἰακώβ, ἀλλ᾽ Ἰσραὴλ ἔσται τὸ ὄνομά σου. καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰσραήλ.

Γεν. 35,10 - Είπε δε προς αυτόν ο Θεός· "το όνομά σου δεν θα λέγεται πλέον Ιακώβ, αλλά θα ονομασθής Ισραήλ". Και εκάλεσε το όνομα αυτού Ισραήλ.

Γεν. 35,11 - εἶπε δὲ αὐτῷ ὁ Θεός· ἐγὼ ὁ Θεός σου· αὐξάνου καὶ πληθύνου· ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἔσονται ἐκ σοῦ, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύσονται.

Γεν. 35,11 - Είπε δε προς αυτόν πάλιν ο, Θεός· "εγώ είμαι ο Θεός σου, σου δίδω την ευλογίαν μου· να αυξάνεσαι και να πληθύνεσαι. Εθνη και ομάδες εθνών θα προέλθουν από σέ, και βασιλείς θα εξέλθουν από την οσφύν σου.

Γεν. 35,12 - καὶ τὴν γῆν, ἣν ἔδωκα Ἀβραὰμ καὶ Ἰσαάκ, σοὶ δέδωκα αὐτήν· σοὶ ἔσται, καὶ τῷ σπέρματί σου μετὰ σὲ δώσω τὴν γῆν ταύτην.

Γεν. 35,12 - Την χώραν αυτήν, την οποίαν έδωκα στον Αβραάμ και τον Ισαάκ, την έχω δώσει και εις σέ. Ιδική σου θα είναι. Και ύστερα από σε θα την δώσω στους απογόνους σου.

Γεν. 35,13 - ἀνέβη δὲ ὁ Θεὸς ἀπ᾽ αὐτοῦ ἐκ τοῦ τόπου, οὗ ἐλάλησε μετ᾽ αὐτοῦ.

Γεν. 35,13 - Μετά την εμφάνισιν αυτήν απήλθεν ο Θεός από τον τόπον εκείνον, όπου ωμίλησε με τον Ιακώβ.

Γεν. 35,14 - καὶ ἔστησεν Ἰακὼβ στήλην ἐν τῷ τόπῳ, ᾧ ἐλάλησε μετ᾽ αὐτοῦ ὁ Θεός, στήλην λιθίνην, καὶ ἔσπεισεν ἐπ᾽ αὐτὴν σπονδὴν καὶ ἐπέχεεν ἐπ᾽ αὐτὴν ἔλαιον.

Γεν. 35,14 - Ο Ιακώβ έστησε μίαν λιθίνην στήλην στον τόπον εκείνον, όπου ωμίλησε με αυτόν ο Θεός, προσέφερε θυσίαν οίνου και έχυσεν επάνω εις αυτήν έλαιον, δια να την καθιερώση προς τον Θεόν.

Γεν. 35,15 - καὶ ἐκάλεσεν Ἰακὼβ τὸ ὄνομα τοῦ τόπου, ἐν ᾧ ἐλάλησε μετ᾿ αὐτοῦ ἐκεῖ ὁ Θεός, Βαιθήλ.

Γεν. 35,15 - Ωνόμασε δε το μέρος εκείνο, στο οποίον ωμίλησε προς αυτόν ο Θεός, “Βαιθήλ”.

Γεν. 35,16 - Ἀπάρας δὲ Ἰακὼβ ἐκ Βαιθήλ, ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἐπέκεινα τοῦ πύργου Γαδέρ. ἐγένετο δὲ ἡνίκα ἤγγισεν εἰς Χαβραθὰ τοῦ ἐλθεῖν εἰς τὴν Ἐφραθᾶ, ἔτεκε Ῥαχὴλ καὶ ἐδυστόκησεν ἐν τῷ τοκετῷ.

Γεν. 35,16 - Ανεχώρησε πάλιν ο Ιακώβ από την Βαιθήλ και έστησε την σκηνήν αυτού πέραν από τον πύργον Γαδέρ. Οταν δε επλησίασεν εις την τοποθεσίαν Χαβραθά, δηλαδή εις την Βηθλεέμ, εγέννησεν η Ραχήλ και εταλαιπωρήθη πολύ κατά τον τοκετόν.

Γεν. 35,17 - ἐγένετο δὲ ἐν τῷ σκληρῶς αὐτὴν τίκτειν, εἶπεν αὐτῇ ἡ μαῖα· θάρσει, καὶ γὰρ οὗτός σοί ἐστιν υἱός.

Γεν. 35,17 - Την ώραν δε που υπέφερε σκληρά κατά τον τοκετόν, της είπεν η μαία· “έχε θάρρος, διότι το τέκνον σου αυτό είναι αγόρι”.

Γεν. 35,18 - ἐγένετο δὲ ἐν τῷ ἀφιέναι αὐτὴν τὴν ψυχήν, ἀπέθνησκε γάρ, ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Υἱὸς ὀδύνης μου· ὁ δὲ πατὴρ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Βενιαμίν.

Γεν. 35,18 - Οτε δε πλέον η Ραχήλ άφηνε την ψυχήν της, διότι απέθνησκεν από τον τοκετόν, εκάλεσε τα όνομα του βρέφους “Υιός οδύνης”. Ο δε πατήρ το ωνόμασε Βενιαμίν.

Γεν. 35,19 - ἀπέθανε δὲ Ῥαχὴλ καὶ ἐτάφη ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου Ἐφραθᾶ (αὕτη ἐστὶ Βηθλεέμ).

Γεν. 35,19 - Απέθανε δε εκεί η Ραχήλ και ετάφη κοντά εις την ευρείαν οδόν, όπου ανεμποδίστως ηδύναντο να τρέχουν οι ίπποι. Η δε Εφραθά είναι αυτή, που σήμερον λέγεται Βηθλεέμ.

Γεν. 35,20 - καὶ ἔστησεν Ἰακὼβ στήλην ἐπὶ τοῦ μνημείου αὐτῆς· αὕτη ἐστὶν ἡ στήλη ἐπὶ τοῦ μνημείου Ῥαχὴλ ἕως τῆς ἡμέρας ταύτης.

Γεν. 35,20 - Ο Ιακώβ έστησε μίαν στήλην επάνω στον τάφον της Ραχήλ. Αυτή δε η επί του μνημείου της Ραχήλ στήλη υπάρχει μέχρι της ημέρας που γράφονται αυτά.

Γεν. 35,21 - ἐγένετο δέ ἡνίκα κατῴκησεν Ἰσραὴλ ἐν τῇ γῇ ἐκείνῃ, ἐπορεύθη Ῥουβὴν καὶ ἐκοιμήθη μετὰ Βαλλᾶς τῆς παλλακῆς τοῦ πατρὸς αὐτοῦ Ἰακώβ· καὶ ἤκουσεν Ἰσραήλ, καὶ πονηρὸν ἐφάνη ἐναντίον αὐτοῦ.

Γεν. 35,21 - Οταν δε εγκατεστάθη ο Ισραήλ εις την περιοχήν εκείνην της Βηθλεέμ, επήγεν ο Ρουβήν και εκοιμήθη με την Βαλλάν, την δευτέρας σειράς σύζυγον του πατρός του Ιακώβ. Επληροφορήθη ο Ιακώβ το αμάρτημα αυτό του παιδιού του και του εφάνη, όπως ήτο φυσικόν, πολύ κακόν.

Γεν. 35,22 - Ἦσαν δὲ οἱ υἱοὶ Ἰακὼβ δώδεκα.

Γεν. 35,22 - Οι υιοί του Ιακώβ ήσαν δώδεκα, οι εξής·

Γεν. 35,23 - υἱοὶ Λείας· πρωτότοκος Ἰακὼβ Ῥουβήν, Συμεών, Λευί, Ἰούδας, Ἰσσάχαρ, Ζαβουλών.

Γεν. 35,23 - Υιοί από την Λείαν· πρωτότοκος του Ιακώβ ήτο ο Ρουβήν, έπειτα από αυτόν ο Συμεών, ο Λευϊ, ο Ιούδας, ο Ισσάχαρ και ο Ζαβουλών.

Γεν. 35,24 - υἱοὶ δὲ Ῥαχήλ· Ἰωσὴφ καὶ Βενιαμίν.

Γεν. 35,24 - Υιοί από την Ραχήλ, ο Ιωσήφ και ο Βενιαμίν.

Γεν. 35,25 - υἱοὶ δὲ Βαλλᾶς παιδίσκης Ῥαχήλ· Δὰν καὶ Νεφθαλείμ.

Γεν. 35,25 - Υιοί δε από την Βαλλάν, την θεραπαινίδα της Ραχήλ, ήσαν ο Δαν και ο Νεφθαλείμ.

Γεν. 35,26 - υἱοὶ δὲ Ζελφᾶς παιδίσκης Λείας· Γὰδ καὶ Ἀσήρ. οὗτοι υἱοὶ Ἰακώβ, οἳ ἐγένοντο αὐτῷ ἐν Μεσοποταμίᾳ τῆς Συρίας.

Γεν. 35,26 - Υιοί δε από την Ζελφάν, την θερατιαινίδα της Λείας, ήσαν ο Γαδ και ο Ασήρ. Αυτά είναι τα παιδιά του Ιακώβ, τα οποία απέκτησεν εις την Μεσοποταμίαν της Συρίας.

Γεν. 35,27 - Ἦλθε δὲ Ἰακὼβ πρὸς Ἰσαὰκ τὸν πατέρα αὐτοῦ εἰς Μαμβρῆ, εἰς πόλιν τοῦ πεδίου (αὕτη ἐστὶ Χεβρών) ἐν γῇ Χαναάν, οὗ παρῴκησεν Ἀβραὰμ καὶ Ἰσαάκ.

Γεν. 35,27 - Από την Βηθλεέμ μετέβη ο Ιακώβ προς τον πατέρα του, τον Ισαάκ, εις την Δρυν Μαμβρή, εις την πόλιν Χεβρών της πεδιάδος εν Χαναάν, όπου είχον παροικήσει ο Αβραάμ και ο Ισαάκ.

Γεν. 35,28 - ἐγένοντο δὲ αἱ ἡμέραι Ἰσαάκ, ἃς ἔζησεν, ἔτη ἑκατὸν ὀγδοήκοντα,

Γεν. 35,28 - Ολαι αι ημέραι της ζωής του Ισαάκ έφθασαν τα εκατόν ογδοήκοντα έτη.

Γεν. 35,29 - καὶ ἐκλείπων Ἰσαὰκ ἀπέθανε καὶ προσετέθη πρὸς τὸ γένος αὐτοῦ πρεσβύτερος καὶ πλήρης ἡμερῶν, καὶ ἔθαψαν αὐτὸν Ἡσαῦ καὶ Ἰακὼβ οἱ υἱοὶ αὐτοῦ.

Γεν. 35,29 - Τοτε πλέον εξηντλήθησαν αι δυνάμστου Ισαάκ, απέθανε και γέρων πλέον πλήρης ημερών προσετέθη στους προγόνους αυτού, οι οποίοι είχον απέλθει ενωρίτερον. Εθαψαν δε αυτόν ο Ησαύ και ο Ιακώβ, τα παιδιά του.

## ΓΕΝΕΣΙΣ 36

Γεν. 36,1 - Αὗται δὲ αἱ γενέσεις Ἡσαῦ (αὐτός ἐστιν Ἐδώμ)·

Γεν. 36,1 - Αι απόγονοι δε του Ησαύ, ο οποίος λέγεται και Εδώμ, γενάρχης των Ιδουμαίων, είναι οι εξής·

Γεν. 36,2 - Ἡσαῦ δὲ ἔλαβε τὰς γυναῖκας ἑαυτῷ ἀπὸ τῶν θυγατέρων τῶν Χαναναίων, τὴν Ἀδὰ θυγατέρα Αἰλὼμ τοῦ Χετταίου καὶ τοῦ Ὀλιβεμὰ

θυγατέρα Ἀνὰ τοῦ υἱοῦ Σεβεγὼν τοῦ Εὐαίου

Γεν. 36,2 - Ο Ησαύ επήρεν ως συζύγους από τας θυγατέρας των Χαναναίων την Αδά, κόρην Αιλώμ του Χετταίου, και την Ολιβεμά, κόρην του Ανά, υιού Σεβεγών του Ευαίου,

Γεν. 36,3 - καὶ τὴν Βασεμὰθ θυγατέρα Ἰσμαὴλ ἀδελφὴν Ναβεώθ.

Γεν. 36,3 - και την Βασεμάθ, θυγατέρα του Ισμαήλ και αδελφήν του Ναβαιώθ.

Γεν. 36,4 - ἔτεκε δὲ αὐτῷ Ἀδὰ τὸν Ἑλιφάς, καὶ Βασεμὰθ ἔτεκε τὸν Ῥαγουήλ,

Γεν. 36,4 - Απέκτησε δε ο Ησαύ από την Αδά υιόν τον Ελιφάς, και από την Βασεμάθ τον Ραγουήλ,

Γεν. 36,5 - καὶ Ὀλιβεμὰ ἔτεκε τὸν Ἰεοὺς καὶ τὸν Ἰεγλὸμ καὶ τὸν Κορέ· οὗτοι υἱοὶ Ἡσαῦ, οἳ ἐγένοντο αὐτῷ ἐν γῇ Χαναάν.

Γεν. 36,5 - από δε την Ολιβεμά απέκτησε τον Ιεούς, τον Ιεγλόμ και τον Κορέ. Αυτοί ήσαν οι υιοί του Ησαύ, οι οποίοι εγεννήθησαν εις την χώραν της Χαναάν.

Γεν. 36,6 - ἔλαβε δὲ Ἡσαῦ τὰς γυναῖκας αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ καὶ πάντα τὰ σώματα τοῦ οἴκου αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ καὶ πάντα τὰ κτήνη καὶ πάντα ὅσα ἐκτήσατο καὶ πάντα ὅσα περιεποιήσατο ἐν γῇ Χαναάν, καὶ ἐπορεύθη Ἡσαῦ ἐκ τῆς γῆς Χαναὰν ἀπό προσώπου Ἰακὼβ τοῦ ἀδελφοῦ αὐτοῦ.

Γεν. 36,6 - Επήρεν ο Ησαύ τας γυναίκας του και τους υιούς του και τας θυγατέρας του, όλους τους ανθρώπους του σπιτιού του και όλα τα υπάρχοντά του, όλα τα κτήνη, όλην την κινητήν περιουσίαν του και όλα όσα είχεν αποκτήσει εις την χώραν Χαναάν, και ανεχώρησεν από την γώραν αυτήν και από τον αδελφόν του τον Ιακώβ.

Γεν. 36,7 - ἦν γὰρ αὐτῶν τὰ ὑπάρχοντα πολλὰ τοῦ οἰκεῖν ἅμα, καὶ οὐκ ἠδύνατο ἡ γῆ τῆς παροικήσεως αὐτῶν φέρειν αὐτοὺς ἀπὸ τοῦ πλήθους τῶν ὑπαρχόντων αὐτῶν.

Γεν. 36,7 - Ανεχώρησε δε προς άλλην περιοχήν, διότι τα κοπάδια των ζώων, που είχαν οι δύο αδελφοί, ήσαν πολλά και δεν ήτο δυνατόν να μένουν μαζή· δεν επαρκούσεν η περιοχή, όπου έμεναν, να θρέψη αυτούς λόγω του πλήθους των ζώων, που είχαν.

Γεν. 36,8 - κατῴκησε δὲ Ἡσαῦ ἐν τῷ ὄρει Σηεὶρ (Ἡσαῦ αὐτός ἐστιν Ἐδώμ).

Γεν. 36,8 - Κατώκησεν ο Ησαύ στο όρος Σηείρ, ο δε Ησαύ είναι αυτός, που ονομάζεται και Εδώμ.

Γεν. 36,9 - Αὗται δὲ αἱ γενέσεις Ἡσαῦ πατρὸς Ἐδὼμ ἐν τῷ ὄρει Σηείρ,

Γεν. 36,9 - Οι δε απόγονοι του Ησαύ, γενάρχου των Εδωμιτών η Ιδουμαίων, στο όρος Σηείρ, είναι οι εξής·

Γεν. 36,10 - καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἡσαῦ· Ἐλιφὰς υἱὸς Ἀδᾶς γυναικὸς Ἡσαῦ καὶ Ῥαγουὴλ υἱὸς Βασεμὰθ γυναικὸς Ἡσαῦ.

Γεν. 36,10 - Αυτά είναι τα ονόματα των υιών Ησαύ· Ο Ελιφάς, ο υιός της Αδάς και ο Ραγουήλ ο υιός της Βασεμάθ.

Γεν. 36,11 - ἐγένοντο δὲ Ἐλιφὰς υἱοί· Θαιμάν, Ὠμάρ, Σωφάρ, Γοθὼμ καὶ Κενέζ·

Γεν. 36,11 - Ο Ελιφάς απέκτησεν υιούς τον Θαιμάν, τον Ωμάρ, τον Σωφάρ, τον Γοθώμ και τον Κενέζ.

Γεν. 36,12 - Θαμνὰ δὲ ἦν παλλακὴ Ἐλιφὰς τοῦ υἱοῦ Ἡσαῦ καὶ ἔτεκε τῷ Ἐλιφὰς τὸν Ἀμαλήκ· οὗτοι υἱοὶ Ἀδᾶς γυναικὸς Ἡσαῦ.

Γεν. 36,12 - Η Θαμνά ήτο η δευτέρας σειράς σύζυγος του Ελιφάς, υιού της Αδάς, της γυναικός του Ησαύ.

Γεν. 36,13 - οὗτοι δὲ υἱοὶ Ῥαγουήλ· Ναχόθ, Ζαρέ, Σομέ, καὶ Μοζέ· οὗτοι ἦσαν υἱοὶ Βασεμὰθ γυναικὸς Ἡσαῦ.

Γεν. 36,13 - Οι δε υιοί του Ραγουήλ ήσαν· Ο Ναχόθ, ο Ζαρέ, ο Σομέ και ο Μοζέ, έγγονοι της Βασεμάθ, συζύγου του Ησαύ.

Γεν. 36,14 - οὗτοι δὲ υἱοὶ Ὀλιβεμᾶς θυγατρὸς Ἀνὰ τοῦ υἱοῦ Σεβεγών, γυναικὸς Ἡσαῦ· ἔτεκε δὲ τῷ Ἡσαῦ τὸν Ἰεοὺς καὶ τὸν Ἰεγλὸμ καὶ τὸν Κορέ.

Γεν. 36,14 - Οι δε υιοί της Ολιβεμάς, συζύγου του Ησαύ, θυγατρός Ανά, του υιού του Σεβεγών, ήσαν ο Ιεούς, ο Ιεγλόμ και ο Κορέ.

Γεν. 36,15 - οὗτοι ἡγεμόνες υἱοὶ Ἡσαῦ· υἱοὶ Ἐλιφὰς πρωτοτόκου Ἡσαῦ· ἡγεμὼν Θαιμάν, ἡγεμὼν Ὠμάρ, ἡγεμὼν Σωφάρ, ἡγεμὼν Κενέζ,

Γεν. 36,15 - Αυτοί ήσαν οι απόγονοι του Ησαύ, οι άρχοντες των φυλών, υιοί του Ελιφάς πρωτοτόκου του Ησαύ· Ο φύλαρχος Θαιμάν, ο φύλαρχος Ωμάρ, ο φύλαρχος Σωφάρ, ο φύλαρχος Κενέζ,

Γεν. 36,16 - ἡγεμὼν Κορέ, ἡγεμὼν Γοθώμ, ἡγεμὼν Ἀμαλήκ· οὗτοι ἡγεμόνες Ἐλιφὰς ἐν γῇ Ἰδουμαίᾳ· οὗτοι υἱοὶ Ἀδᾶς.

Γεν. 36,16 - ο φύλαρχος Κορέ, ο φύλαρχος Γοθώμ ο φύλαρχος Αμαλήκ. Αυτοί ήσαν οι φύλαρχοι του Ελιφάς εις την χώραν των Ιδουμαίων, παιδιά της Αδάς.

Γεν. 36,17 - καὶ οὗτοι υἱοὶ Ῥαγουὴλ υἱοῦ Ἡσαῦ· ἡγεμὼν Ναχώθ, ἡγεμὼν Ζαρέ, ἡγεμὼν Σομέ, ἡγεμὼν Μοζέ· οὗτοι ἡγεμόνες Ῥαγουὴλ ἐν γῇ Ἐδώμ· οὗτοι υἱοὶ Βασεμὰθ γυναικὸς Ἡσαῦ.

Γεν. 36,17 - Οι δε υιοί του Ραγουήλ, υιού του Ησαύ, ήσαν· Ο φύλαρχος Ναχώθ, ο φύλαρχος Ζαρέ, ο φύλαρχος Σομέ, ο φύλαρχος Μοζέ. Αυτοί είναι οι φύλαρχοι του Ραγουήλ εις την γην Εδώμ, έγγονοι της Βασεμάθ, συζύγου του Ησαύ.

Γεν. 36,18 - οὗτοι δὲ υἱοὶ Ὀλιβεμᾶς γυναικὸς Ἡσαῦ· ἡγεμὼν Ἰεούλ, ἡγεμὼν Ἰεγλόμ, ἡγεμὼν Κορέ· οὗτοι ἡγεμόνες Ὀλιβεμᾶς θυγατρὸς Ἀνὰ γυναικὸς Ἡσαῦ.

Γεν. 36,18 - Οι δε υιοί της Ολιβεμάς, συζύγου του Ησαύ, ήσαν· Ο φύλαρχος Ιεούλ, ο φύλαρχος Ιεγλόμ, ο φύλαρχος Κορέ. Αυτοί ήσαν φύλαρχοι εκ της Ολιβεμάς, συζύγου του Ησαύ, κόρης του Ανά.

Γεν. 36,19 - οὗτοι υἱοὶ Ἡσαῦ, καὶ οὗτοι ἡγεμόνες αὐτῶν. οὗτοί εἰσιν υἱοὶ Ἐδώμ.

Γεν. 36,19 - Οι ανωτέρω ήσαν υιοί του Ησαύ και αυτοί είναι οι φύλαρχοι τούτων, οι άλλως λεγόμενοι Ιδουμαίοι.

Γεν. 36,20 - Οὗτοι δὲ υἱοὶ Σηεὶρ τοῦ Χοῤῥαίου τοῦ κατοικοῦντος τὴν γῆν· Λωτά, Σωβάλ, Σεβεγών, Ἀνὰ

Γεν. 36,20 - Οι δε κατωτέρω είναι τέκνα του Σείρ, υιού του Χορραίου, ο οποίος κατοικούσεν εις την περιοχήν του όρους Σηείρ· Ο Λωτάν, ο Σωβάλ, ο Σεβεγών, ο Ανά,

Γεν. 36,21 - καὶ Δησὼν καὶ Ἀσὰρ καὶ Ῥισών· οὗτοι ἡγεμόνες τοῦ Χοῤῥαίου τοῦ υἱοῦ Σηεὶρ ἐν τῇ γῇ Ἐδώμ.

Γεν. 36,21 - ο Δησών, ο Ασάρ και ο Ρισών. Αυτοί είναι φύλαρχοι του Χορραίου, υιού του Σηείρ εις την χώραν της Εδώμ.

Γεν. 36,22 - ἐγένοντο δὲ υἱοὶ Λωτάν· Χοῤῥὶ καὶ Αἱμάν· ἀδελφὴ δὲ Λωτὰν Θαμνά.

Γεν. 36,22 - Ο δε Λωτάν απέκτησεν υιούς· Τον Χορρί και τον Αιμάν. Αδελφή δε του Λωτάν ήτο η Θαμνά.

Γεν. 36,23 - οὗτοι δὲ υἱοὶ Σωβάλ· Γωλὰμ καὶ Μαναχὰθ καὶ Γαιβὴλ καὶ Σωφὰρ καὶ Ὠμάρ.

Γεν. 36,23 - Υιοί δε του Σωβάλ ήσαν· Ο Γωλάμ, ο Μαναχάθ, ο Γαιβήλ, ο Σωφάρ και ο Ωμάρ.

Γεν. 36,24 - καὶ οὗτοι υἱοὶ Σεβεγών· Ἀϊὲ καὶ Ἀνά· οὗτός ἐστιν Ἀνά, ὃς εὗρε τὸν Ἰαμεὶν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ ὑποζύγια Σεβεγὼν τοῦ πατρὸς αὐτοῦ.

Γεν. 36,24 - Υιοί δε του Σεβεγών ήσαν· Ο Αϊέ και ο Ανά. Αυτός δε ο Ανά είναι εκείνος που εύρε τον Ιαμείν εις την έρημον, όταν έβοσκε τα υποζύγια του πατρός του Σεβεγών.

Γεν. 36,25 - οὗτοι δὲ υἱοὶ Ἀνά· Δησὼν καὶ Ὀλιβεμὰ θυγάτηρ Ἀνά.

Γεν. 36,25 - Υιοί δε του Ανά ήσαν· Ο Δησών και η Ολιβεμά, θυγάτηρ του Ανά.

Γεν. 36,26 - οὗτοι δὲ υἱοὶ Δησών· Ἀμαδὰ καὶ Ἀσβὰν καὶ Ἰθρὰν καὶ Χαῤῥάν.

Γεν. 36,26 - Οι δε υιοί του Δησών ήσαν· Ο 'Αμαδα, ο Ασβάν, ο Ιθράν και ο Χαρράν.

Γεν. 36,27 - οὗτοι δὲ υἱοὶ Ἀσάρ· Βαλαὰμ καὶ Ζουκὰμ καὶ Ἰουκάμ.

Γεν. 36,27 - Οι υιοί του Ασάρ ήσαν· Ο Βαλαάμ, ο Ζουκάμ και ο Ιουκάμ.

Γεν. 36,28 - οὗτοι δὲ υἱοὶ Ῥισών· Ὢς καὶ Ἀράν.

Γεν. 36,28 - Οι υιοί του Ρισών ήσαν· Ο Ως και ο Αράν.

Γεν. 36,29 - οὗτοι δὲ ἡγεμόνες Χοῤῥί· ἡγεμὼν Λωτάν, ἡγεμὼν Σωβάλ, ἡγεμὼν Σεβεγών, ἡγεμὼν Ἀνά,

Γεν. 36,29 - Οι φύλαρχοι δε του Χορρί ήσαν· Ο φύλαρχος Λωτάν, ο φύλαρχος Σωβάλ, ο φύλαρχος Σεβεγών, ο φύλαρχος Ανά,

Γεν. 36,30 - ἡγεμὼν Δησών, ἡγεμὼν Ἀσάρ, ἡγεμὼν Ῥισών. οὗτοι ἡγεμόνες Χοῤῥὶ ἐν ταῖς ἡγεμονίαις αὐτῶν ἐν γῇ Ἐδώμ.

Γεν. 36,30 - ο φύλαρχος Δησών, ο φύλαρχος Ασάρ, ο φύλαρχος Ρισών. Αυτοί είναι φύλαρχοι, απόγονοι του Χορρί, εις τας φυλαρχίας των της χώρας Εδώμ.

Γεν. 36,31 - Καὶ οὗτοι οἱ βασιλεῖς οἱ βασιλεύσαντες ἐν Ἐδὼμ πρὸ τοῦ βασιλεῦσαι βασιλέα ἐν Ἰσραήλ.

Γεν. 36,31 - Οι κατωτέρω είναι βασιλείς, οι οποίοι εβασίλευσαν εις την Ιδουμαίαν, πριν βασιλεύση μεταξύ των Ισραηλιτών απόγονος του Ιακώβ.

Γεν. 36,32 - καὶ ἐβασίλευσεν ἐν Ἐδὼμ Βαλὰκ υἱὸς Βεώρ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Δενναβά.

Γεν. 36,32 - Εβασίλευσεν εις την Ιδουμαίαν ο Βαλάκ, ο υιός Βεώρ, και η πόλις του ωνομάσθη Δενναβά.

Γεν. 36,33 - ἀπέθανε δὲ Βαλάκ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἰωβὰβ υἱὸς Ζαρὰ ἐκ Βοσόῤῥας.

Γεν. 36,33 - Μετά δε τον θάνατον του Βαλάκ εβασίλευσεν αντ' αυτού ο Ιωβάβ, ο υιός του Ζαρά και της Βοσόρρας.

Γεν. 36,34 - ἀπέθανε δὲ Ἰωβάβ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἀσὼμ ἐκ τῆς γῆς Θαιμανών.

Γεν. 36,34 - Μετά τον θάνατον του Ιωβάβ εβασιλευσεν αντ' αυτού ο Ασώμ, ο καταγόμενος από την χώραν Θαιμανών.

Γεν. 36,35 - ἀπέθανε δὲ Ἀσώμ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἀδὰδ υἱὸς Βαρὰδ ὁ ἐκκόψας Μαδιὰμ ἐν τῷ πεδίῳ Μωάβ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Γετθαίμ.

Γεν. 36,35 - Μετά τον θάνατον του Ασώμ εβασιλευσεν αντ' αυτού ο Αδάδ, υιός του Βαράδ, ο οποίος είχε κατακόψει τους Μαδιανίτας εις την πεδιάδα Μωάβ. Το όνομα της πόλεώς του ήτο Γετθαίμ.

Γεν. 36,36 - ἀπέθανε δὲ Ἀδάδ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Σαμαδὰ ἐκ Μασεκκᾶς.

Γεν. 36,36 - Μετά τον θάνατον του Αδάδ εβασίλευσεν ο Σαμαδά, ο καταγόμενος εκ της Μασεκκάς.

Γεν. 36,37 - ἀπέθανε δὲ Σαμαδά, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Σαοὺλ ἐκ Ῥοωβὼθ τῆς παρὰ ποταμόν.

Γεν. 36,37 - Μετά τον θάνατον του Σαμαδά, εβασίλεευσεν αντ' αυτού ο Σαούλ, ο οποίος κατήγετε από την Ροωβώθ, την ευριοκομένην πλησίον

ποταμού.

Γεν. 36,38 - ἀπέθανε δὲ Σαούλ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Βαλαεννὼν υἱὸς Ἀχοβώρ.

Γεν. 36,38 - Μετά τον θάνατον του Σαούλ εβασίλευσεν αντ' αυτού ο Βαλαεννών, υιός του Αχοβώρ.

Γεν. 36,39 - ἀπέθανε δὲ Βαλαεννὼν υἱὸς Ἀχοβώρ, καὶ ἐβασίλευσεν ἀντ᾿ αὐτοῦ Ἀρὰδ υἱὸς Βαράδ, καὶ ὄνομα τῇ πόλει αὐτοῦ Φογώρ, ὄνομα δὲ τῇ γυναικὶ αὐτοῦ Μετεβεήλ, θυγάτηρ Ματραΐθ, υἱοῦ Μαιζοώβ.

Γεν. 36,39 - Μετά τον θάνατον του Βαλαεννών, υιού Αχοβώρ εβασίλευσεν αντ' αυτού ο Αράδ, υιός του Βαράδ. Η δε πόλις του ωνομάζετο Φογώρ. Το όνομα της γυναικός του ήτο Μετεβεήλ κόρης του Ματραΐθ, υιού του Μαιζοώβ.

Γεν. 36,40 - Ταῦτα τὰ ὀνόματα τῶν ἡγεμόνων Ἡσαῦ ἐν ταῖς φυλαῖς αὐτῶν κατὰ τόπον αὐτῶν, ἐν ταῖς χώραις αὐτῶν καὶ ἐν τοῖς ἔθνεσιν αὐτῶν. ἡγεμὼν Θαμνά, ἡγεμὼν Γωλά, ἡγεμὼν Ἰεθέρ,

Γεν. 36,40 - Αυτά ήσαν τα ονόματα των φυλάρχων, απογόνων του Ησαύ, του καθ' ενός εις την φυλήν και στον τόπον του, εις την χώραν και στον λαόν του. Ο φύλαρχος Θαμνά, ο φύλαρχος Γωλά, ο φύλαρχος Ιεθέρ,

Γεν. 36,41 - ἡγεμὼν Ὀλιβεμάς, ἡγεμὼν Ἡλάς, ἡγεμὼν Φινών,

Γεν. 36,41 - ο φύλαρχος Ολιβεμάς, ο φύλαρχος Ηλάς, ο φύλαρχος Φινών,

Γεν. 36,42 - ἡγεμὼν Κενέζ, ἡγεμὼν Θαιμάν, ἡγεμὼν Μαζάρ,

Γεν. 36,42 - ο φύλαρχος Κενέζ, ο φύλαρχος Θαιμάν, ο φύλαρχος Μαζάρ,

Γεν. 36,43 - ἡγεμὼν Μαγεδιήλ, ἡγεμὼν Ζαφωίν. οὗτοι ἡγεμόνες Ἐδὼμ ἐν ταῖς κατῳκοδομημέναις ἐν τῇ γῇ τῆς κτήσεως αὐτῶν. οὗτος Ἡσαῦ πατὴρ Ἐδώμ.

Γεν. 36,43 - ο φύλαρχος Μαγεδιήλ, ο φύλαρχος Ζαφωίν. Αυτοί ήσαν Ιδουμαίοι φύλαρχοι, οι οποίοι κατοικούσαν εις πόλεις οικοδομημένας εις περιοχάς της ιδιοκτησίας των. Ο δε Ησαύ είναι ο γενάρχης των Εδωμιτών, οι οποίοι εκαλούντο και Ιδουμαίοι.

## ΓΕΝΕΣΙΣ 37

Γεν. 37,1 - Κατῴκει δὲ Ἰακὼβ ἐν τῇ γῇ, οὗ παρώκησεν ὁ πατὴρ αὐτοῦ, ἐν γῇ Χαναάν.

Γεν. 37,1 - Ο Ιακώβ έμενεν εις την χώραν, όπου και ο πατήρ του ο Ισαάκ είχε παροικήσει, δηλαδή εις την Χαναάν.

Γεν. 37,2 - αὗται δὲ αἱ γενέσεις Ἰακώβ· Ἰωσὴφ δὲ δέκα καὶ ἑπτὰ ἐτῶν ἦν, ποιμαίνων τὰ πρόβατα τοῦ πατρὸς αὐτοῦ μετὰ τῶν ἀδελφῶν αὐτοῦ, ὢν νέος, μετὰ τῶν υἱῶν Βαλλᾶς καὶ μετὰ τῶν υἱῶν Ζελφᾶς τῶν γυναικῶν τοῦ

πατρὸς αὐτοῦ· κατήνεγκαν δὲ Ἰωσὴφ ψόγον πονηρὸν πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτῶν.

Γεν. 37,2 - Αυτή δε είναι εν συνεχεία η ιστορία της οικογενείας του Ιακώβ. Ο Ιωσήφ εις ηλικίαν δέκα επτά ετών, έφηβος, έβοσκε τα πρόβατα του πατρός του, μαζή με τους αδελφούς του, τους υιούς τους οποίους είχεν αποκτήσει ο ποτήρ του εκ της Βαλλάς και Ζελφάς. Εκείνοι διέβαλαν τον Ιωσήφ προς τον πατέρα των, ότι δήθεν είχε διαπράξει κάποιο μεγάλο αμάρτημα.

Γεν. 37,3 - Ἰακὼβ δέ ἠγάπα τὸν Ἰωσὴφ παρὰ πάντας τοὺς υἱοὺς αὐτοῦ, ὅτι υἱὸς γήρως ἦν αὐτῷ· ἐποίησε δὲ αὐτῷ χιτῶνα ποικίλον.

Γεν. 37,3 - Ο Ιακώβ όμως αγαπούσε τον Ιωσήφ περισσότερον από όλα τα αλλά παιδιά του, και δια τον λόγον ότι ήτο υιός γεννηθείς κατά το γήρας αυτού. Από την αγάπην δε αυτήν κινούμενος του κατεσκεύασεν ένα πολύχρωμον χιτώνα.

Γεν. 37,4 - ἰδόντες δὲ οἱ ἀδελφοὶ αὐτοῦ, ὅτι αὐτὸν ὁ πατὴρ φιλεῖ ἐκ πάντων τῶν υἱῶν αὐτοῦ, ἐμίσησαν αὐτὸν καὶ οὐκ ἠδύναντο λαλεῖν αὐτῷ οὐδὲν εἰρηνικόν.

Γεν. 37,4 - Οταν οι αδελφοί του είδον ότι ο πατέρας των αγαπά περισσότερον από όλα τα αλλά παιδιά του τον Ιωσήφ, τον εφθόνησαν και τον εμίσησαν. Δεν ήθελαν να έχουν με αυτόν σχέσεις αδελφικής αγάπης και εξ αιτίας του φθόνου των δεν ημπορούσαν να ομιλήσουν προς αυτόν τίποτε το ειρηνικόν και φιλικόν.

Γεν. 37,5 - Ἐνυπνιασθεὶς δὲ Ἰωσὴφ ἐνύπνιον ἀπήγγειλεν αὐτὸ τοῖς ἀδελφοῖς αὐτοῦ.

Γεν. 37,5 - Καποτε ο Ιωσήφ είδεν ένα παράδοξον όνειρον, το οποίον και ανέφερεν στους αδελφούς του.

Γεν. 37,6 - καὶ εἶπεν αὐτοῖς· ἀκούσατε τοῦ ἐνυπνίου τούτου, οὗ ἐνυπνιάσθην·

Γεν. 37,6 - Είπεν εις αυτούς· “ακούσατε αυτό το όνειρον, το οποίον είδα απόψε στον ύπνον μου.

Γεν. 37,7 - ᾤμην ὑμᾶς δεσμεύειν δράγματα ἐν μέσῳ τῷ πεδίῳ, καὶ ἀνέστη τὸ ἐμὸν δράγμα καὶ ὠρθώθη, περιστραφέντα δὲ τὰ δράγματα ὑμῶν προσεκύνησαν τὸ ἐμὸν δράγμα.

Γεν. 37,7 - Μου εφαίνετο ότι σεις εδένατε δεμάτια από στάχυα στο μέσον των χωραφιών της πεδιάδος. Εσηκώθη το ιδικόν μου δέμα και έμεινεν όρθιον, τα δε ιδικά σας δεμάτια εστράφησαν προς το ιδικόν μου δεμάτι και το επροσκύνησαν”.

Γεν. 37,8 - εἶπαν δὲ αὐτῷ οἱ ἀδελφοὶ αὐτοῦ· μὴ βασιλεύων βασιλεύσεις ἐφ᾿ ἡμᾶς ἢ κυριεύων κυριεύσεις ἡμῶν; καὶ προσέθεντο ἔτι μισεῖν αὐτὸν ἕνεκεν τῶν ἐνυπνίων αὐτοῦ καὶ ἕνεκεν τῶν ῥημάτων αὐτοῦ.

Γεν. 37,8 - Απήντησαν δε εις αυτόν οι αδελφοί του· “μήπως θα γίνης βασιλεύς, δια να βασιλεύσης επάνω μας η κύριος και αφέντης μας;” Εξ αιτίας του ονείρου αυτού και των λόγων, που τους είπε, τον εμίσησαν ακόμη περισσότερον.

Γεν. 37,9 - εἶδε δὲ ἐνύπνιον ἕτερον καὶ διηγήσατο αὐτῷ τῷ πατρὶ αὐτοῦ καὶ τοῖς ἀδελφοῖς αὐτοῦ, καὶ εἶπεν· ἰδοὺ ἐνυπνιασάμην ἐνύπνιον ἕτερον, ὥσπερ ὁ ἥλιος καὶ ἡ σελήνη καὶ ἕνδεκα ἀστέρες προσεκύνουν με.

Γεν. 37,9 - Είδεν όμως και ένα άλλο όνειρον, το οποίον διηγήθη στον πατέρα και τους αδελφούς του, και είπεν· “ιδού εις ένα άλλο όνειρον, που είδον, μου εφάνη ως εάν ο ήλιος και η σελήνη και ένδεκα αστέρες με προσκυνούσαν”.

Γεν. 37,10 - καὶ ἐπετίμησεν αὐτῷ ὁ πατὴρ αὐτοῦ καὶ εἶπεν αὐτῷ· τί τὸ ἐνύπνιον τοῦτο, ὃ ἐνυπνιάσθης; ἆρά γε ἐλθόντες ἐλευσόμεθα ἐγώ τε καὶ ἡ μήτηρ σου καὶ οἱ ἀδελφοί σου προσκυνῆσαί σοι ἐπὶ τὴν γῆν;

Γεν. 37,10 - Ο πατήρ του τον επέπληξε (διότι έσπευσε να ανακοινώση και αυτό το όνειρον) και του είπε· “τι νομίζεις ότι σημαίνει αυτό το όνειρον, που είδες; Μηπως θέλεις να πης ότι εγώ, η μητέρα σου και οι αδελφοί σου θα έλθωμεν να σε προσκυνήσωμεν μέχρις εδάφους;”

Γεν. 37,11 - ἐζήλωσαν δὲ αὐτὸν οἱ ἀδελφοὶ αὐτοῦ, ὁ δὲ πατὴρ αὐτοῦ διετήρησε τὸ ῥῆμα.

Γεν. 37,11 - Και δια τον λόγον αυτόν οι αδελφοί του τον εφθόνησαν ακόμη περισσότερον. Αλλά ο πατήρ εφύλαξε μέσα εις την καρδιά του τα λόγια αυτά του Ιωσήφ.

Γεν. 37,12 - Ἐπορεύθησαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ βόσκειν τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν εἰς Συχέμ.

Γεν. 37,12 - Κατά τας ημέρας εκείνας μετέβησαν οι αδελφοί του Ιωσήφ να βοσκήσουν τα πρόβατα του πατρός των εις την περιοχήν της Συχέμ.

Γεν. 37,13 - καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσήφ· οὐχὶ οἱ ἀδελφοί σου ποιμαίνουσιν εἰς Συχέμ; δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. εἶπε δὲ αὐτῷ· ἰδοὺ ἐγώ.

Γεν. 37,13 - Ο Ιακώβ (έπειτα ίσως από μερικάς εβδομάδας) είπε προς τον Ιωσήφ· “οι αδελφοί σου δεν βόσκουν τα πρόβατα εις την Συχέμ; Λοιπόν θα σε στείλω προς αυτούς”. “Είμαι πρόθυμος να μεταβώ” είπεν ο Ιωσήφ.

Γεν. 37,14 - εἶπε δὲ αὐτῷ Ἰσραήλ· πορευθεὶς ἰδέ, εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. καὶ ἀπέστειλεν αὐτὸν ἐκ τῆς κοιλάδος τῆς Χεβρών, καὶ ἦλθεν εἰς Συχέμ.

Γεν. 37,14 - Είπε δε προς αυτόν ο Ιακώβ· “πήγαινε εκεί να ιδής, εάν είναι καλά εις την υγείαν των οι αδελφοί σου, πως είναι τα πρόβατα και έλα κατόπιν να με πληροφορήσης”. Εστειλε δε αυτόν από την κοιλάδα της Χεβρών, εις την οποίαν έμενε, και ο Ιωσήφ μετέβη εις την Συχέμ.

Γεν. 37,15 - καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ· ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος λέγων· τί ζητεῖς;

Γεν. 37,15 - Καθώς περιεπλανάτο εις την πεδιάδα της Συχέμ τον συνήντησε κάποιος άνθρωπος και τον ηρώτησε· “τι ζητείς εδώ;”

Γεν. 37,16 - ὁ δὲ εἶπε· τοὺς ἀδελφούς μου ζητῶ· ἀπάγγειλόν μοι, ποῦ βόσκουσιν.

Γεν. 37,16 - Εκείνος απήντησε· “ζητώ να εύρω τους αδελφούς μου. Πές μου, εάν γνωρίζης που βόσκουν τα πρόβατα”.

Γεν. 37,17 - εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος· ἀπῄρκασιν ἐντεῦθεν, ἤκουσα γὰρ αὐτῶν λεγόντων· πορευθῶμεν εἰς Δωθαείμ. καὶ ἐπορεύθη Ἰωσὴφ κατόπισθεν τῶν ἀδελφῶν αὐτοῦ καὶ εὗρεν αὐτοὺς ἐν Δωθαείμ.

Γεν. 37,17 - Ο άνθρωπος εκείνος του είπεν· “έχουν αναχωρήσει από εδώ, διότι τους ήκουσα να λέγουν ότι θα πορευθούν εις Δωθαείμ”. Και ο Ιωσήφ μετέβη προς την κατεύθυνσιν των αδελφών του και τους ευρήκε πράγματι εις την Δωθαείμ.

Γεν. 37,18 - προεῖδον δὲ αὐτὸν μακρόθεν πρὸ τοῦ ἐγγίσαι αὐτὸν πρὸς αὐτοὺς καὶ ἐπονηρεύοντο τοῦ ἀποκτεῖναι αὐτόν.

Γεν. 37,18 - Εκείνοι τον είδον από μακράν, πριν όμως πλησιάση προς αυτούς και υπό του φθόνου κινούμενοι εσκέφθησαν πονηρά εναντίον του, εσκέφθησαν δηλαδή και απεφάσισαν να τον φονεύσουν.

Γεν. 37,19 - εἶπε δὲ ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· ἰδοὺ ὁ ἐνυπνιαστὴς ἐκεῖνος ἔρχεται·

Γεν. 37,19 - Είπε δε ο ένας αδελφός προς τον άλλον· “να, έρχεται εκείνος που βλέπει τα όνειρα !

Γεν. 37,20 - νῦν οὖν δεῦτε ἀποκτείνωμεν αὐτὸν καὶ ῥίψωμεν αὐτὸν εἰς ἕνα τῶν λάκκων καὶ ἐροῦμεν· θηρίον πονηρὸν κατέφαγεν αὐτόν· καὶ ὀψόμεθα, τί ἔσται τὰ ἐνύπνια αὐτοῦ.

Γεν. 37,20 - Λοιπόν, ελάτε τώρα να τον φονεύσωμεν, να τον ρίψωμεν εις ένα από τους λάκκους αυτούς και θα είπωμεν στον πατέρα ότι άγριον θηρίον τον κατέφαγε. Και έτσι θα ιδούμε τι θα πουν τα όνειρά του και ποιά θα είναι η αξία των”!

Γεν. 37,21 - ἀκούσας δὲ Ῥουβὴν ἐξείλετο αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ εἶπεν· οὐ πατάξωμεν αὐτὸν εἰς ψυχήν.

Γεν. 37,21 - Ο Ρουβήν, ο πρωτότοκος, όταν ήκουσε τας πονηράς αυτάς αποφάσεις των αδελφών του, εγλύτωσε τον Ιωσήφ από τα αδελφοκτόνα χέρια των ειπών· “ποτε να μη φθάσωμεν μέχρι του σημείου, ώστε να του αφαιρέσωμεν την ζωήν.

Γεν. 37,22 - εἶπε δὲ αὐτοῖς Ῥουβήν· μὴ ἐκχέητε αἷμα· ἐμβάλλετε αὐτὸν εἰς ἕνα τῶν λάκκων τούτων τῶν ἐν τῇ ἐρήμῳ, χεῖρα δὲ μὴ ἐπενέγκητε

αὐτῷ· ὅπως ἐξέληται αὐτὸν ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἀποδῷ αὐτὸν τῷ πατρὶ αὐτοῦ.

Γεν. 37,22 - Μη θελήσετε να χύσετε αδελφικόν αίμα. Ριψατε καλύτερα αυτόν εις ένα από αυτούς τους λάκκους της έρημου και μη απλώσετε το χέρι σας εναντίον του". Αυτός δε τα έλεγε με τον σκοπόν να σώση τον Ιωσήφ από τα χέρια των, να τον ανασύρη κρυφίως από τον λάκκον και να τον αποδώση σώον στον πατέρα των.

Γεν. 37,23 - ἐγένετο δὲ ἡνίκα ἦλθεν Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ, ἐξέδυσαν Ἰωσὴφ τὸν χιτῶνα τὸν ποικίλον τὸν περὶ αὐτόν

Γεν. 37,23 - Συνέβησαν δε τα πράγματα ως εξής· Οταν ήλθεν ο Ιωσήφ στους αδελφούς του, εκείνοι του αφήρεσαν τον ποικιλόχρωμον χιτώνα, που εφορούσε.

Γεν. 37,24 - καὶ λαβόντες αὐτόν ἔῤῥιψαν εἰς τὸν λάκκον· ὁ δὲ λάκκος κενός, ὕδωρ οὐκ εἶχεν.

Γεν. 37,24 - Επειτα τον επήραν και τον έρριψαν εις ένα λάκκον. Ο λάκκος ήτο ξηρός, δεν είχε νερό.

Γεν. 37,25 - Ἐκάθισαν δὲ φαγεῖν ἄρτον καὶ ἀναβλέψαντες τοῖς ὀφθαλμοῖς εἶδον, καὶ ἰδοὺ ὁδοιπόροι Ἰσμαηλῖται ἤρχοντο ἐκ Γαλαάδ, καὶ αἱ κάμηλοι αὐτῶν ἔγεμαν θυμιαμάτων καὶ ῥητίνης καὶ στακτῆς· ἐπορεύοντο δὲ καταγαγεῖν εἰς Αἴγυπτον.

Γεν. 37,25 - Καθώς όμως εκάθισαν να φάγουν εσήκωσαν τα μάτια των και, να, είδον ότι ταξιδιώται Ισμαηλίται ήρχοντο από την χώραν Γαλαάδ με τας καμήλους των φορτωμένος από θυμιάματα, από ρητινώδη και αρωματώδη είδη. Επορεύοντο δέ, να φθάσουν εις την Αίγυπτον, δια να πωλήσουν το εμπόρευμά των.

Γεν. 37,26 - εἶπε δὲ Ἰούδας πρὸς τούς ἀδελφοὺς αὐτοῦ· τί χρήσιμον, ἐὰν ἀποκτείνωμεν τὸν ἀδελφὸν ἡμῶν καὶ κρύψωμεν τὸ αἷμα αὐτοῦ;

Γεν. 37,26 - Είπε τότε ο Ιούδας προς τους αδελφούς του· "τι έχομεν να ωφεληθώμεν, εάν φονεύσωμεν τον αδελφόν μας και αποκρύψωμεν τον φόνον του;

Γεν. 37,27 - δεῦτε ἀποδώμεθα αὐτὸν τοῖς Ἰσμαηλίταις τούτοις, αἱ δὲ χεῖρες ἡμῶν μὴ ἔστωσαν ἐπ᾿ αὐτόν, ὅτι ἀδελφὸς ἡμῶν καὶ σὰρξ ἡμῶν ἐστιν. ἤκουσαν δὲ οἱ ἀδελφοὶ αὐτοῦ.

Γεν. 37,27 - Ελάτε να τον πωλήσωμεν καλύτερα στους Ισμαηλίτας αυτούς εμπόρους και ας μη απλώσωμεν φονικά τα χέρια μας εναντίον του, διότι είναι αδελφός μας, είναι σαρξ και αίμα μας". Οι άλλοι αδελφοί εδέχθησαν την πρότασιν αυτήν του Ιούδα.

Γεν. 37,28 - καὶ παρεπορεύοντο οἱ ἄνθρωποι οἱ Μαδιηναῖοι ἔμποροι, καὶ ἐξείλκυσαν καὶ ἀνεβίβασαν τὸν Ἰωσὴφ ἐκ τοῦ λάκκου καὶ ἀπέδοντο τὸν

Ἰωσὴφ τοῖς Ἰσμαηλίταις εἴκοσι χρυσῶν, καὶ κατήγαγον τὸν Ἰωσὴφ εἰς Αἴγυπτον.

Γεν. 37,28 - Οταν δε επλησίασαν οι Μαδιανίται αυτοί έμποροι, οι αδελφοί ανέσυραν και ανέβασαν τον Ιωσήφ από τον λάκκον και τον επώλησαν στους Ισμαηλίτας αντί είκοσι χρυσών νομισμάτων. Εκείνοι δε έφεραν τον Ιωσήφ ως δούλον προς πώλησιν εις την Αίγυπτον.

Γεν. 37,29 - ἀνέστρεψε δὲ Ῥουβὴν ἐπὶ τὸν λάκκον καὶ οὐχ ὁρᾷ τὸν Ἰωσὴφ ἐν τῷ λάκκῳ. καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ.

Γεν. 37,29 - Ο Ρουβήν, ο οποίος απουσίαζεν, όταν επωλείτο ο αδελφός του, επέστρεψεν στον λάκκον και δεν είδεν εκεί τον Ιωσήφ. Εσχισε τα ενδύματα αυτού από λύπην και αγανάκτησιν,

Γεν. 37,30 - καὶ ἐπέστρεψε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ. καὶ εἶπε· τὸ παιδάριον οὐκ ἔστιν, ἐγὼ δὲ ποῦ πορεύομαι ἔτι;

Γεν. 37,30 - έτρεξε προς τους αδελφούς του και τους είπε· “το παιδάριον Ιωσήφ δεν υπάρχει στον λάκκον. Τι θα γίνω λοιπόν εγώ τώρα, ο πρωτότοκος και υπεύθυνος αδελφός, και που θα υπάγω;”

Γεν. 37,31 - Λαβόντες δὲ τὸν χιτῶνα τοῦ Ἰωσὴφ ἔσφαξαν ἔριφον αἰγῶν καὶ ἐμόλυναν τὸν χιτῶνα τῷ αἵματι.

Γεν. 37,31 - Οι αδελφοί έσφαξαν ένα ερίφιον από τα γίδια των, επήραν τον χιτώνα του Ιωσήφ και τον εβούτηξαν μέσα στο αίμα.

Γεν. 37,32 - καὶ ἀπέστειλαν τὸν χιτῶνα τὸν ποικίλον καὶ εἰσήνεγκαν τῷ πατρὶ αὐτῶν. καὶ εἶπαν· τοῦτον εὕρομεν, ἐπίγνωθι εἰ χιτὼν τοῦ υἱοῦ σού ἐστιν ἢ οὔ.

Γεν. 37,32 - Με άνθρωπον δε έστειλαν στον Ιακώβ, τον πατέρα αυτών, τον πολύχρωμον χιτώνα και του είπαν· “αυτόν τον χιτώνα τον ευρήκαμεν κάπου εις την πεδιάδα. Εξέτασέ τον, μήπως είναι ο χιτών του παιδιού σου η όχι”.

Γεν. 37,33 - καὶ ἐπέγνω αὐτὸν καὶ εἶπε· χιτὼν τοῦ υἱοῦ μού ἐστι· θηρίον πονηρὸν κατέφαγεν αὐτόν, θηρίον ἥρπασε τὸν Ἰωσήφ.

Γεν. 37,33 - Ο Ιακώβ ανεγνώρισεν αμέσως τον χιτώνα του Ιωσήφ και εφώναξεν· “αυτός ο χιτών είναι του παιδιού μου ! Θηρίον άγριον θα κατέφαγε τον Ιωσήφ ! Θηρίον θα τον ήρπασε και θα τον κατεσπάραξε” !

Γεν. 37,34 - διέῤῥηξε δὲ Ἰακὼβ τὰ ἱμάτια αὐτοῦ καὶ ἐπέθετο σάκκον ἐπὶ τὴν ὀσφὺν αὐτοῦ καὶ ἐπένθει τὸν υἱὸν αὐτοῦ ἡμέρας πολλάς.

Γεν. 37,34 - Γεμάτος δε πόνον ο Ιακώβ έσχισε τα ενδύματα αυτού, έζωσε από την μέσην του τρίχινον σάκκον και επί πολλάς ημέρας εθρηνούσε και έκλαιε τον Ιωσήφ.

Γεν. 37,35 - συνήχθησαν δὲ πάντες οἱ υἱοὶ αὐτοῦ καὶ αἱ θυγατέρες καὶ ἦλθον παρακαλέσαι αὐτόν, καὶ οὐκ ἤθελε παρακαλεῖσθαι λέγων ὅτι·

καταβήσομαι πρὸς τὸν υἱόν μου πενθῶν εἰς ᾅδου. καὶ ἔκλαυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ.

Γεν. 37,35 - Συνεκεντρώθησαν δε γύρω από αυτόν όλοι οι υιοί του και αι θυγατέρες του και ήλθον να τον παρηγορήσουν. Εκείνος όμως έμενεν απαρηγόρητος. Δεν ήθελε να ακούση λόγους παρηγορίας και έλεγε συνεχώς· “θρηνών και οδυρόμενος θα καταβώ στον άδην, προς τον υιόν μου τον Ιωσήφ”. Και έκλαυσεν αυτόν ο πατήρ αυτού.

Γεν. 37,36 - οἱ δὲ Μαδιηναῖοι ἀπέδοντο τὸν Ἰωσὴφ εἰς Αἴγυπτον τῷ Πετεφρῇ τῷ σπάδοντι Φαραώ, ἀρχιμαγείρῳ.

Γεν. 37,36 - Οι δε Μαδιανίται έμποροι, όταν έφθασαν εις την Αίγυπτον, επώλησαν τον Ιωσήφ στον Πετεφρή, τον αυλικόν και αρχιμάγειρον του Φαραώ.

## ΓΕΝΕΣΙΣ 38

Γεν. 38,1 - Ἐγένετο δέ ἐν τῷ καιρῷ ἐκείνῳ, κατέβη Ἰούδας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἀφίκετο ἕως πρὸς ἄνθρωπόν τινα Ὀδολλαμίτην, ᾧ ὄνομα Εἰράς.

Γεν. 38,1 - Κατά τον καιρόν εκείνον ο Ιούδας, ένας από τους υιούς του Ιακώβ απεμακρύνθη από τα μέρη, όπου ήσαν οι αδελφοί του, και μετέβη προς κάποιον άνθρωπον, κάτοικον της πόλεως Οδολλάμ, ονομαζόμενον Ειράς.

Γεν. 38,2 - καὶ εἶδεν ἐκεῖ Ἰούδας θυγατέρα ἀνθρώπου Χαναναίου, ᾗ ὄνομα Σαυά, καὶ ἔλαβεν αὐτὴν καὶ εἰσῆλθε πρὸς αὐτήν.

Γεν. 38,2 - Είδεν εκεί ο Ιούδας την θυγατέρα ενός Χαναναίου, η οποία ωνομάζετο Σαυα, την έλαβεν ως σύζυγόν του και ήλθεν εις συνάφειαν με αυτήν.

Γεν. 38,3 - καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἤρ.

Γεν. 38,3 - Εκείνη δε έμεινεν έγκυος, εγέννησεν υιόν και έδωσεν εις αυτόν το όνομα Ηρ.

Γεν. 38,4 - καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν ἔτι καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Αὐνάν.

Γεν. 38,4 - Μείνασα αυτή και πάλιν έγκυος, εγέννησεν υιόν, τον οποίον ωνόμασεν Αυνάν.

Γεν. 38,5 - καὶ προσθεῖσα ἔτεκεν υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σηλώμ. αὕτη δὲ ἦν ἐν Χασβί, ἡνίκα ἔτεκεν αὐτούς.

Γεν. 38,5 - Και πάλιν εγέννησεν άλλον υιόν, τον οποίον ωνόμασε Σηλώμ. Η δε γυναίκα αυτή ευρίσκετο εις την πόλιν Χασβί, όταν εγέννησεν αυτά τα παιδιά της.

Γεν. 38,6 - καὶ ἔλαβεν Ἰούδας γυναῖκα Ἢρ τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θάμαρ.

Γεν. 38,6 - Ο Ιούδας εξέλεξε και επήρε δια τον πρωτότοκόν του υιόν, τον Ηρ, σύζυγον, η οποία ωνομάζετο Θαμαρ.

Γεν. 38,7 - ἐγένετο δὲ Ἢρ πρωτότοκος Ἰούδα πονηρὸς ἔναντι Κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ Θεός.

Γεν. 38,7 - Ο προτότοκος όμως αυτός υιός του Ιούδα έγινε φαύλος και κακός ενώπιον του Κυρίου, δι' αυτό και ο Θεός τον εθανάτωσε.

Γεν. 38,8 - εἶπε δὲ Ἰούδας τῷ Αὐνάν· εἴσελθε πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ σου καὶ ἐπιγάμβρευσαι αὐτὴν καὶ ἀνάστησον σπέρμα τῷ ἀδελφῷ σου.

Γεν. 38,8 - Μετά τον θάνατον του Ηρ είπεν ο Ιούδας στον υιόν του τον Αυνάν· “πάρε ως σύζυγον την χήραν του αδελφού σου, την Θαμαρ, ελθέ εις συνάφειαν με αυτήν και απόκτησε τέκνον δια τον αδελφόν σου, ο οποίος απέθανεν άτεκνος”.

Γεν. 38,9 - γνοὺς δὲ Αὐνὰν ὅτι οὐκ αὐτῷ ἔσται τὸ σπέρμα, ἐγίνετο ὅταν εἰσήρχετο πρὸς τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἐξέχεεν ἐπὶ τὴν γῆν τοῦ μὴ δοῦναι σπέρμα τῷ ἀδελφῷ αὐτοῦ.

Γεν. 38,9 - Ο Αυνάν, γνωρίζων πολύ καλά ότι το τέκνον, που θα εγεννάτο από την συνάφειάν του προς την γυναίκα του αδελφού του, δεν θα ήτο ιδικόν του, όταν ήρχετο εις συνάφειαν προς αυτήν, άφηνε το σπέρμα του να χύνεται εις την γην, δια να μη δώση τέκνον στον άτεκνον αδελφόν του.

Γεν. 38,10 - πονηρὸν δὲ ἐφάνη ἐναντίον τοῦ Θεοῦ, ὅτι ἐποίησε τοῦτο, καὶ ἐθανάτωσε καὶ τοῦτον.

Γεν. 38,10 - Το γεγονός αυτό εφάνη στον Θεόν πολύ κακόν, ο δε Θεός εθανάτωσε τον Αυνάν δια την κακήν αυτήν πράξιν.

Γεν. 38,11 - εἶπε δὲ Ἰούδας Θάμαρ τῇ νύμφῃ αὐτοῦ· κάθου χήρα ἐν τῷ οἴκῳ τοῦ πατρός σου ἕως μέγας γένηται Σηλὼμ ὁ υἱός μου. εἶπε γάρ· μή ποτε ἀποθάνῃ καὶ οὗτος, ὥσπερ καὶ οἱ ἀδελφοὶ αὐτοῦ. ἀπελθοῦσα δὲ Θάμαρ ἐκάθητο ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς.

Γεν. 38,11 - Ο δε Ιούδας είπε τότε εις την Θαμαρ· “κάθισε στο πατρικόν σου σπίτι χήρα, έως ότου ανδρωθή ο τρίτος μου υιός ο Σηλώμ”. Είπε δε ο Ιούδας τα λόγια αυτά, χωρίς και να έχη κατά νουν να δώση την Θαμαρ σύζυγον του Σηλώμ, επειδή εφοβήθη μήπως και αυτός αποθάνη, όπως και οι δύο άλλοι αδελφοί του. Η Θαμαρ υπακούουσα εις την εντολήν του πενθερού της μετέβη και έμενεν στο πατρικό της σπίτι.

Γεν. 38,12 - Ἐπληθύνθησαν δὲ αἱ ἡμέραι καὶ ἀπέθανε Σαυὰ ἡ γυνὴ Ἰούδα· καὶ παρακληθεὶς Ἰούδας ἀνέβη ἐπὶ τοὺς κείροντας τά πρόβατα αὐτοῦ, αὐτὸς καὶ Εἰρὰς ὁ ποιμὴν αὐτοῦ ὁ Ὀδολλαμίτης εἰς Θαμνά.

Γεν. 38,12 - Επέρασεν αρκετόν χρονικόν διάστημα και απέθανεν η Σαυα, η σύζυγος του Ιούδα. Αφού επέρασε το χρονικόν διάστημα του πένθους του κατά τα κρατούντα έθιμα, μετέβη ο Ιούδας και ο ποιμήν του Ειράς ο Οδολλαμίτης εις Θαμνά προς τους κουρεύοντας τα πρόβατά του.

Γεν. 38,13 - καὶ ἀπηγγέλη Θάμαρ τῇ νύμφῃ αὐτοῦ λέγοντες· ἰδοὺ ὁ πενθερός σου ἀναβαίνει εἰς Θαμνὰ κεῖραι τὰ πρόβατα αὐτοῦ.

Γεν. 38,13 - Ανήγγειλαν δε εις την Θαμαρ την νύμφην του λέγοντες· “ιδού ο πενθερός σου μεταβαίνει εις Θαμνά δια το κούρευμα των προβάτων του”.

Γεν. 38,14 - καὶ περιελομένη τὰ ἱμάτια τῆς χηρεύσεως ἀφ᾿ ἑαυτῆς, περιεβάλετο θέριστρον καὶ ἐκαλλωπίσατο καὶ ἐκάθισε πρὸς ταῖς πύλαις Αἰνάν, ἥ ἐστιν ἐν παρόδῳ Θαμνά· εἶδε γὰρ ὅτι μέγας γέγονε Σηλώμ, αὐτὸς δὲ οὐκ ἔδωκεν αὐτὴν αὐτῷ γυναῖκα.

Γεν. 38,14 - Αυτή δε αφήρεσε τα ιμάτια της χηρείας της, έβαλε καλύπτραν στο πρόσωπόν της, εκαλλωπίσθη και εκάθισε πλησίον εις τας πύλας της πόλεως Αινάν, η οποία ευρίσκεται εις την οδόν την προς Θαμνά. Εκαλλωπίσθη δε κατά τον προκλητικόν αυτόν τρόπον, δια να δελεάση και παρασύρη τον Ιούδαν, επειδή είδεν ότι αυτός δεν της είχε δώσει ως σύζυγον τον Σηλώμ ο οποίος εν τω μεταξύ είχεν ανδρωθή.

Γεν. 38,15 - καὶ ἰδὼν αὐτὴν Ἰούδας ἔδοξεν αὐτὴν πόρνην εἶναι· κατεκαλύψατο γὰρ τὸ πρόσωπον αὐτῆς, καὶ οὐκ ἐπέγνω αὐτήν.

Γεν. 38,15 - Ο Ιούδας, όταν είδεν αυτήν την εξέλαβεν ως κοινήν γυναίκα, διότι εκείνη είχε κατακρύψει το πρόσωπον με την καλύπτραν και δεν την ανεγνώρισε.

Γεν. 38,16 - ἐξέκλινε δὲ πρὸς αὐτὴν τὴν ὁδὸν καὶ εἶπεν αὐτῇ· ἔασόν με εἰσελθεῖν πρὸς σέ· οὐ γὰρ ἔγνω ὅτι νύμφη αὐτοῦ ἐστίν. ἡ δὲ εἶπε· τί μοι δώσεις, ἐὰν εἰσέλθῃς πρός με;

Γεν. 38,16 - Ελοξοδρόμησε λοιπόν προς αυτήν και της είπεν· “άφησέ με να έλθω εις συνάφειαν μαζή σου”- δεν είχεν αντιληφθή ότι αυτή ήτο η νύμφη του- εκείνη τον ηρώτησε. “Τι θα μου δώσης εάν έλθης εις συνάφειαν μαζή μου;”

Γεν. 38,17 - ὁ δὲ εἶπεν· ἐγώ σοι ἀποστελῶ ἔριφον αἰγῶν ἐκ τῶν προβάτων μου, ἡ δὲ εἶπεν· ἐὰν δῷς μοι ἀῤῥαβῶνα, ἕως τοῦ ἀποστεῖλαί σε.

Γεν. 38,17 - Εκείνος απήντησε· “θα σου στείλω ένα κατσίκι από τα γιδοπρόβατά μου”. Εκείνη του είπε· “θα δεχθώ να έλθης εις συνάφειαν μαζή μου, εάν μέχρις ότου μου στείλης το κατσίκι, μου δώσης κάποιαν εγγύησιν”.

Γεν. 38,18 - ὁ δὲ εἶπε· τίνα τὸν ἀῤῥαβῶνά σοι δώσω; ἡ δὲ εἶπε· τὸν δακτύλιόν σου καὶ τὸν ὁρμίσκον, καὶ τὴν ῥάβδον τὴν ἐν τῇ χειρί σου. καὶ ἔδωκεν αὐτῇ καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἐν γαστρὶ ἔλαβεν ἐξ αὐτοῦ.

Γεν. 38,18 - Εκείνος της είπεν· “τι εγγύησιν θέλεις να σου δώσω;” “Θέλω να εμού δώσης, απήντησεν εκείνη, το δακτυλίδι σου, την αλυσίδα που φέρεις

εις τον λαιμόν σου, και το ραβδί που κρατάς εις τα χέρια σου". Εκείνος της έδωσεν αυτάς τας εγγυήσεις, ήλθεν εις συνάφειαν με αυτήν και την αφήκεν έγκυον.

Γεν. 38,19 - καὶ ἀναστᾶσα ἀπῆλθε καὶ περιείλετο τὸ θέριστρον αὐτῆς ἀφ᾿ ἑαυτῆς καὶ ἐνεδύσατο τὰ ἱμάτια τῆς χηρεύσεως αὐτῆς.

Γεν. 38,19 - Η Θαμαρ αμέσως μετά την πράξιν εσηκώθηκε και ανεχώρησε. Αφήρεσε την καλύπτραν της και εφόρεσε πάλιν τα ενδύματα της χηρείας της.

Γεν. 38,20 - ἀπέστειλε δὲ Ἰούδας τὸν ἔριφον ἐξ αἰγῶν ἐν χειρὶ τοῦ ποιμένος αὐτοῦ τοῦ Ὀδολλαμίτου κομίσασθαι παρὰ τῆς γυναικὸς τὸν ἀῤῥαβῶνα, καὶ οὐχ εὗρεν αὐτήν.

Γεν. 38,20 - Ο Ιούδας έστειλε προς αυτήν με τον ποιμένα αυτού τον Οδολλαμίτην ένα από τα κατσίκια του, δια να πάρη πίσω την εγγύησιν, που της είχε δώσει, αλλά δεν την ευρήκε.

Γεν. 38,21 - ἐπηρώτησε δὲ τοὺς ἄνδρας τοὺς ἐκ τοῦ τόπου· ποῦ ἐστιν ἡ πόρνη ἡ γενομένη ἐν Αἰνὰν ἐπὶ τῆς ὁδοῦ; καὶ εἶπαν· οὐκ ἦν ἐνταῦθα πόρνη.

Γεν. 38,21 - Εζήτησε πληροφορίας από τους άνδρας του τόπου εκείνου "που είναι η κοινή εκείνη γυναίκα, η οποία εκάθητο εις την οδόν πλησίον της πόλεως Αινάν;" Εκείνοι του είπαν· "δεν υπάρχει εδώ κοινή γυναίκα".

Γεν. 38,22 - καὶ ἀπεστράφη πρὸς Ἰούδαν καὶ εἶπεν· οὐχ εὗρον, καὶ οἱ ἄνθρωποι οἱ ἐκ τοῦ τόπου λέγουσι μὴ εἶναι ὧδε πόρνην.

Γεν. 38,22 - Επέστρεψε δε προς τον Ιούδαν και του είπε· "δεν την ευρήκα, οι δε άνθρωποι του τόπου εκείνου λέγουν, ότι δεν υπάρχει καμμία κοινή γυναίκα εκεί".

Γεν. 38,23 - εἶπε δὲ Ἰούδας· ἐχέτω αὐτά, ἀλλὰ μή ποτε καταγελασθῶμεν· ἐγὼ μὲν ἀπέσταλκα τὸν ἔριφον τοῦτον, σὺ δὲ οὐχ εὕρηκας.

Γεν. 38,23 - Ο Ιούδας είπεν· "ας κρατήση εις τα χέρια αυτής τα ενέχυρα που της έδωσα. Αλλά μόνον να μη γελοιοποιηθώμεν. Εγώ, όπως υπεσχέθην, της έστειλα αυτό το κατσίκι· εσύ όμως δεν την ευρήκες. Αρα είμαι εν τάξει απέναντί της".

Γεν. 38,24 - Ἐγένετο δὲ μετὰ τρίμηνον ἀνηγγέλη τῷ Ἰούδᾳ λέγοντες· ἐκπεπόρνευκε Θάμαρ ἡ νύμφη σου καὶ ἰδοὺ ἐν γαστρὶ ἔχει ἐκ πορνείας. εἶπε δὲ Ἰούδας· ἐξαγάγετε αὐτήν, καὶ κατακαυθήτω.

Γεν. 38,24 - Αφού επέρασαν τρεις μήνες επληροφόρησαν μερικοί τον Ιούδαν, ότι η νύμφη του η Θαμαρ παρεστράτησε και να ότι έμεινεν έγκυος εκ πορνείας. Είπε δε ο Ιούδας· "βγάλτε την έξω από την πόλιν και καύσατέ την".

Γεν. 38,25 - αὐτὴ δὲ ἀγομένη ἀπέστειλε πρὸς τὸν πενθερὸν αὐτῆς λέγουσα· ἐκ τοῦ ἀνθρώπου, οὗτινος ταῦτά ἐστιν, ἐγὼ ἐν γαστρὶ ἔχω. καὶ εἶπεν· ἐπίγνωθι, τίνος ὁ δακτύλιος καὶ ὁ ὁρμίσκος καὶ ἡ ῥάβδος αὕτη.

Γεν. 38,25 - Η Θαμαρ, όταν ωδηγείτο έξω από την πόλιν δια να την παραδώσουν στο πυρ, έστειλε προς τον πενθερόν της τα ενέχυρα τα οποία είχεν από αυτόν και του παρήγγειλε· “εγώ αν είμαι έγκυος, έμεινα από τον άνδρα, στον οποίον ανήκουν αυτά. Φρόντισε να μάθης εις ποίον ανήκει το δακτυλίδι, η αλυσίδα και αυτή η ράβδος”.

Γεν. 38,26 - ἐπέγνω δὲ Ἰούδας καὶ εἶπε· δεδικαίωται Θάμαρ ἢ ἐγώ, οὗ ἕνεκεν οὐκ ἔδωκα αὐτὴν Σηλὼν τῷ υἱῷ μου. καὶ οὐ προσέθετο ἔτι τοῦ γνῶναι αὐτήν.

Γεν. 38,26 - Ο Ιούδας τα ανεγνώρισε και είπεν· “η Θαμαρ έχει δίκαιον και όχι εγώ, διότι δεν έδωκα αυτήν ως σύζυγον στον υιόν μου τον Σηλώμ, όπως της είχα υποσχεθή”. Μετενόησε δε δια το λάθος του και δεν ήλθεν άλλην φοράν εις συνάφειαν με αυτήν.

Γεν. 38,27 - Ἐγένετο δὲ ἡνίκα ἔτικτε, καὶ τῇδε ἦν δίδυμα ἐν τῇ γαστρὶ αὐτῆς.

Γεν. 38,27 - Οταν δε η Θαμαρ επρόκειτο να γεννήση, υπήρχον δίδυμα εις την κοιλίαν της.

Γεν. 38,28 - ἐγένετο δὲ ἐν τῷ τίκτειν αὐτήν, ὁ εἷς προεξήνεγκε τὴν χεῖρα· λαβοῦσα δὲ ἡ μαῖα ἔδησεν ἐπί τὴν χεῖρα αὐτοῦ κόκκινον λέγουσα· οὗτος ἐξελεύσεται πρότερος.

Γεν. 38,28 - Οταν δε εγεννούσε, το ένα παιδί επρόβαλε το χέρι του. Η μαία έδεσε το χέρι αυτό με κοκκίνη κλωστή λέγουσα· “αυτός θα βγη πρώτος και θα είναι ο πρωτότοκος”.

Γεν. 38,29 - ὡς δὲ ἐπισυνήγαγε τὴν χεῖρα, καὶ εὐθὺς ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ. ἡ δὲ εἶπε· τί διεκόπη διὰ σὲ φραγμός; καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Φαρές.

Γεν. 38,29 - Επειδή όμως εκείνος απέσυρε το χέρι του, αμέσως δε εγεννήθη ο άλλος αδελφός του, η μαία είπε· “διατί έφυγεν από το μέσον ο φραγμός του προηγουμένου αδελφού και ήνοιξε δια σε ο δρόμος;” Δια τούτο εκάλεσε το όνομα του δευτέρου υιού Φαρές.

Γεν. 38,30 - καί μετὰ τοῦτο ἐξῆλθεν ὁ ἀδελφὸς αὐτοῦ, ἐφ᾿ ᾧ ἦν ἐπὶ τῇ χειρὶ αὐτοῦ τὸ κόκκινον· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ζαρά.

Γεν. 38,30 - Επειτα από τον Φαρές εγεννήθη ο αδελφός του, ο οποίος είχεν στο χέρι του την κόκκινη κλωστή. Δια τούτο η μαία τον ωνόμασε Ζαρά.

## ΓΕΝΕΣΙΣ 39

Γεν. 39,1 - Ἰωσὴφ δὲ κατήχθη εἰς Αἴγυπτον, καὶ ἐκτήσατο αὐτὸν Πετεφρὴς ὁ εὐνοῦχος Φαραώ, ὁ ἀρχιμάγειρος, ἀνὴρ Αἰγύπτιος, ἐκ χειρῶν τῶν Ἰσμαηλιτῶν, οἳ κατήγαγον αὐτὸν ἐκεῖ.

Γεν. 39,1 - Ο Ιωσήφ μετεφέρθη από τους Ισμαηλίτας εις την Αίγυπτον. Εκεί δε ηγόρασεν αυτόν από τους Ισμαηλίτας ο Πετεφρής, ένας από τους αυλικούς, ο αρχιμάγειρος του Φαραώ.

Γεν. 39,2 - καὶ ἦν Κύριος μετὰ Ἰωσήφ, καὶ ἦν ἀνὴρ ἐπιτυγχάνων καὶ ἐγένετο ἐν τῷ οἴκῳ παρὰ τῷ κυρίῳ αὐτοῦ τῷ Αἰγυπτίῳ.

Γεν. 39,2 - Ο δε Θεός ήτο πάντοτε μαζή με τον Ιωσήφ. Δια τούτο και ήρχοντο όλα εις αυτόν κατ' ευχήν. Εμενε δε στον οίκον του Πετεφρή του Αιγυπτίου αυτού κυρίου του.

Γεν. 39,3 - ᾔδει δὲ ὁ κύριος αὐτοῦ, ὅτι ὁ Κύριος ἦν μετ᾿ αὐτοῦ καὶ ὅσα ἐὰν ποιῇ, Κύριος εὐοδοῖ ἐν ταῖς χερσὶν αὐτοῦ.

Γεν. 39,3 - Ο δε κύριος του Ιωσήφ εγνώριζεν ότι ο Θεός ήτο μαζή με τον Ιωσήφ και ότι όσα αυτός έπραττε, τα έφερεν ο Θεός εις αίσιον πέρας.

Γεν. 39,4 - καὶ εὗρεν Ἰωσὴφ χάριν ἐναντίον τοῦ κυρίου αὐτοῦ, καὶ εὐηρέστησεν αὐτῷ, καὶ κατέστησεν αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ καὶ πάντα, ὅσα ἦν αὐτῷ, ἔδωκε διὰ χειρὸς Ἰωσήφ.

Γεν. 39,4 - Απέκτησεν ο Ιωσήφ την εκτίμησιν του κυρίου του, ήτο ευάρεστος και αφωσιωμένος εις αυτόν και εκείνος τον διώρισεν επιστάτην εις όλον το σπίτι του· και όλα όσα είχε τα παρέδωσε με εμπιστοσύνην εις τα χέρια του Ιωσήφ.

Γεν. 39,5 - ἐγένετο δὲ μετὰ τὸ καταστῆναι αὐτὸν ἐπὶ τοῦ οἴκου αὐτοῦ καὶ ἐπὶ πάντα, ὅσα ἦν αὐτῷ, καὶ ηὐλόγησε Κύριος τὸν οἶκον τοῦ Αἰγυπτίου διὰ Ἰωσήφ, καὶ ἐγενήθη εὐλογία Κυρίου ἐν πᾶσι τοῖς ὑπάρχουσιν αὐτῷ ἐν τῷ οἴκῳ καὶ ἐν τῷ ἀγρῷ αὐτοῦ.

Γεν. 39,5 - Συνέβη δέ, ώστε, όταν ο Πετεφρής διώρισεν αυτόν επιστάτην στον οίκον του και εις όλα όσα είχεν, ηυλόγησεν ο κύριος τον οίκον του Αιγυπτίου αυτού άρχοντος προς χάριν του Ιωσήφ. Και η ευλογία αυτή απλώθηκε εις όλα όσα υπήρχον στον οίκον του και στους αγρούς του.

Γεν. 39,6 - καὶ ἐπέτρεψε πάντα, ὅσα ἦν αὐτῷ, εἰς χεῖρας Ἰωσὴφ καὶ οὐκ ᾔδει τῶν καθ᾿ αὑτὸν οὐδὲν πλὴν τοῦ ἄρτου, οὗ ἤσθιεν αὐτός. Καὶ ἦν Ἰωσὴφ καλὸς τῷ εἴδει καὶ ὡραῖος τῇ ὄψει σφόδρα.

Γεν. 39,6 - Δια τούτο ο Πετεφρής ενεπιστεύθη όλα όσα είχε πλήρως εις τα χέρια του Ιωσήφ και δεν εγνώριζεν ούτε εφρόντιζε να μάθη τίποτε άλλο πλην της τροφής αυτού. Είχε δε ο Ιωσήφ καλήν και ελκυστικήν εμφάνισιν, ωραιότατον δε το πρόσωπον.

Γεν. 39,7 - καὶ ἐγένετο μετὰ τὰ ῥήματα ταῦτα καὶ ἐπέβαλεν ἡ γυνὴ τοῦ κυρίου αὐτοῦ τοὺς ὀφθαλμοὺς αὐτῆς ἐπὶ Ἰωσὴφ καὶ εἶπε· κοιμήθητι μετ᾿ ἐμοῦ.

Γεν. 39,7 - Επειτα από τα γεγονότα αυτά, η γυναίκα του Πετεφρή έστρεψε με επιμονήν και με πόθον τα βλέμματά της στον Ιωσήφ και του είπε· “κοιμήσου μαζή μου”.

Γεν. 39,8 - ὁ δὲ οὐκ ἤθελεν, εἶπε δὲ τῇ γυναικὶ τοῦ κυρίου αὐτοῦ· εἰ ὁ κύριός μου οὐ γινώσκει δι᾿ ἐμὲ οὐδὲν ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ πάντα, ὅσα ἐστὶν αὐτῷ, ἔδωκεν εἰς τὰς χεῖράς μου

Γεν. 39,8 - Αυτός όμως δεν ήθελε και ηρνείτο συνεχώς λέγων εις την γυναίκα του Πετεφρή· “αφού ο κύριός μου έχει τόσην εμπιστοσύνην εις εμέ, ώστε τίποτε πλέον δεν γνωρίζει και δεν παρακολουθεί από τα εν τω οίκω του, μου έχει δε παραδώσει τα πάντα εις τα χέρια μου

Γεν. 39,9 - καὶ οὐχ ὑπερέχει ἐν τῇ οἰκίᾳ ταύτῃ οὐδὲν ἐμοῦ, οὐδὲ ὑπεξῄρηται ἀπ᾿ ἐμοῦ οὐδὲν πλὴν σοῦ, διὰ τὸ σὲ γυναῖκα αὐτοῦ εἶναι, καὶ πῶς ποιήσω τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, καὶ ἁμαρτήσομαι ἐναντίον τοῦ Θεοῦ;

Γεν. 39,9 - και κανείς δεν είναι ανώτερός μου εις αυτήν την οικίαν ούτε έχει εξαιρεθή από την δικαιοδοσίαν μου κανείς, πλην σου η οποία είσαι σύζυγός του, πως εγώ θα πράξω την πονηράν αυτήν πράξιν και θα αμαρτήσω ενώπιον του Θεού;”

Γεν. 39,10 - ἡνίκα δὲ ἐλάλει τῷ Ἰωσὴφ ἡμέραν ἐξ ἡμέρας, καὶ οὐχ ὑπήκουεν αὐτῇ καθεύδειν μετ᾿ αὐτῆς τοῦ συγγενέσθαι αὐτῇ.

Γεν. 39,10 - Μολονότι δε εκείνη κάθε ημέραν ωμίλει δελεαστικώς προς τον Ιωσήφ και προσεπάθει να τον παρασύρη, εκείνος δεν υπεχώρει, ώστε να κοιμηθή μαζή της και να έλθη εις συνάφειαν με αυτήν.

Γεν. 39,11 - ἐγένετο δὲ τοιαύτη τις ἡμέρα, καὶ εἰσῆλθεν Ἰωσὴφ εἰς τὴν οἰκίαν ποιεῖν τὰ ἔργα αὐτοῦ, καὶ οὐδεὶς ἦν τῶν ἐν τῇ οἰκίᾳ ἔσω,

Γεν. 39,11 - Καποιαν όμως ημέραν, όταν ο Ιωσήφ εισήλθεν εις την οικίαν, δια να ασχοληθή με τα συνήθη έργα του, και κανείς άλλος δεν ευρίσκετο στο εσωτερικόν του σπιτιού,

Γεν. 39,12 - καὶ ἐπεσπάσατο αὐτὸν τῶν ἱματίων λέγουσα· κοιμήθητι μετ᾿ ἐμοῦ. καὶ καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω.

Γεν. 39,12 - η γυνή του Πετεφρή επωφελήθη από την ευκαιρίαν αυτήν, ετράβηξεν αυτόν από το ένδυμα και του έλεγε· “κοιμήσου μαζή μου”. Ο Ιωσήφ αφήκεν εις τα χέρια της το ιμάτιον αυτού, έφυγε, και εβγήκεν έξω από το σπίτι.

Γεν. 39,13 - καὶ ἐγένετο ὡς εἶδεν, ὅτι καταλιπὼν τὰ ἱμάτια αὐτοῦ ἐν ταῖς χερσὶν αὐτῆς ἔφυγε καὶ ἐξῆλθεν ἔξω,

Γεν. 39,13 - Εκείνη, όταν είδεν ότι ο Ιωσήφ αφήσας εις τα χέρια της το ιμάτιόν του, έφυγε και εξήλθεν από το σπίτι, κατελήφθη από αγρίαν μανίαν εκδικήσεως,

Γεν. 39,14 - καὶ ἐκάλεσε τοὺς ὄντας ἐν τῇ οἰκίᾳ καὶ εἶπεν αὐτοῖς λέγουσα· ἴδετε, εἰσήγαγεν ἡμῖν παῖδα Ἑβραῖον ἐμπαίζειν ἡμῖν· εἰσῆλθε πρός με λέγων· κοιμήθητι μετ᾿ ἐμοῦ, καὶ ἐβόησα φωνῇ μεγάλῃ·

Γεν. 39,14 - εφώναξε τους ανθρώπους, που ευρισκοντο εις την οικίαν, και τους είπεν· “ιδέτε, το σύζυγός μου έβαλε μέσα στο σπίτι μας αυτόν τον Εβραίον δούλον, δια να μας εξευτελίση. Αυτός εισήλθεν στον κοιτώνα μου και μου είπε· κοιμήσου μαζή μου. Εγώ όμως έβγαλα μεγάλην φωνήν.

Γεν. 39,15 - ἐν δὲ τῷ ἀκοῦσαι αὐτὸν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ᾽ ἐμοὶ ἔφυγε καὶ ἐξῆλθεν ἔξω.

Γεν. 39,15 - Εκείνος όταν ήκουσεν ότι ύψωσα την φωνήν μου και έκραζα, αφήκεν εις τα χέρια μου το ιμάτιόν του, έφυγε και εβγήκεν από το σπίτι”.

Γεν. 39,16 - καὶ καταλιμπάνει τὰ ἱμάτια παρ᾽ ἑαυτῇ, ἕως ἦλθεν ὁ κύριος εἰς τὸν οἶκον αὐτοῦ.

Γεν. 39,16 - Η γυναίκα αυτή αφήκε πλησίον της το ιμάτιον του Ιωσήφ, μέχρις ότου ήλθεν ο σύζυγός της εις την οικίαν,

Γεν. 39,17 - καὶ ἐλάλησεν αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα λέγουσα· εἰσῆλθε πρός με ὁ παῖς ὁ Ἑβραῖος, ὃν εἰσήγαγες πρὸς ἡμᾶς, ἐμπαῖξαί μοι καὶ εἶπέ μοι· κοιμηθήσομαι μετὰ σοῦ·

Γεν. 39,17 - προς τον οποίον αυτή είπε τα ίδια λόγια· “Ο Εβραίος αυτός δούλος, τον οποίον συ εισήγαγες γενικόν επόπτην στον οίκον, εισήλθεν στον κοιτώνα μου, δια να με εξευτελίση και μου είπε· θα κοιμηθώ μαζή σου. Αλλά εγώ εφώναξα με όλην μου την δύναμιν.

Γεν. 39,18 - ὡς δὲ ἤκουσεν ὅτι ὕψωσα τὴν φωνήν μου καὶ ἐβόησα, καταλιπὼν τὰ ἱμάτια αὐτοῦ παρ᾽ ἐμοὶ ἔφυγε καὶ ἐξῆλθεν ἔξω.

Γεν. 39,18 - Οταν δε εκείνος ήκουσεν ότι ύψωσα την φωνήν μου και εφώναξα, αφήκε το ιμάτιόν του κοντά μου, έφυγε και εβγήκε έξω από το σπίτι”.

Γεν. 39,19 - ἐγένετο δέ, ὡς ἤκουσεν ὁ κύριος αὐτοῦ τὰ ῥήματα τῆς γυναικὸς αὐτοῦ, ὅσα ἐλάλησε πρὸς αὐτόν, λέγουσα· οὕτως ἐποίησέ μοι ὁ παῖς σου, καὶ ἐθυμώθη ὀργῇ.

Γεν. 39,19 - Οταν ο κύριος του Ιωσήφ ήκουσε τα λόγια αυτά της γυναικός του, η οποία του είπεν ότι αυτά μου έκαμεν ο δούλος σου, κατελήφθη από μεγάλην οργήν.

Γεν. 39,20 - καὶ λαβὼν ὁ κύριος Ἰωσὴφ ἐνέβαλεν αὐτὸν εἰς τὸ ὀχύρωμα, εἰς τὸν τόπον, ἐν ᾧ οἱ δεσμῶται τοῦ βασιλέως κατέχονται ἐκεῖ ἐν τῷ ὀχυρώματι.

Γεν. 39,20 - Και λαβών τον Ιωσήφ τον έρριψεν εις την οχυράν φυλακήν, στον τόπον, όπου οι φυλακισμένοι του βασιλέως κρατούνται κλεισμένοι.

Γεν. 39,21 - Καὶ ἦν Κύριος μετὰ Ἰωσὴφ καὶ κατέχεεν αὐτοῦ ἔλεος καὶ ἔδωκεν αὐτῷ χάριν ἐναντίον τοῦ ἀρχιδεσμοφύλακος,

Γεν. 39,21 - Ο Κυριος όμως και Θεός ήτο μαζή με τον Ιωσήφ, έστειλεν εις αυτόν το έλεός του, ώστε να βρη ο Ιωσήφ ευμενή υποδοχήν από τον αρχιδεσμοφύλακα.

Γεν. 39,22 - καὶ ἔδωκεν ὁ ἀρχιδεσμοφύλαξ τὸ δεσμωτήριον διὰ χειρὸς Ἰωσὴφ καὶ πάντας τοὺς ἀπηγμένους, ὅσοι ἐν τῷ δεσμωτηρίῳ, καὶ πάντα ὅσα ποιοῦσιν ἐκεῖ, αὐτὸς ἦν ποιῶν.

Γεν. 39,22 - Ο αρχιδεσμοφύλαξ, επειδή εγνώρισε την εντιμότητα του Ιωσήφ, του ενεπιστεύθη την φυλακήν και όλους τους εγκλείστους στο δεσμωτήριον. Και έτσι περιήλθον εις τα χέρια του Ιωσήφ όλα, όσα γίνονται στο δεσμωτήριον.

Γεν. 39,23 - οὐκ ἦν ὁ ἀρχιδεσμοφύλαξ τοῦ δεσμωτηρίου γινώσκων δι᾿ αὐτὸν οὐδέν· πάντα γὰρ ἦν διὰ χειρὸς Ἰωσὴφ διὰ τὸ τὸν Κύριον μετ᾿ αὐτοῦ εἶναι, καὶ ὅσα αὐτὸς ἐποίει, ὁ Κύριος εὐώδου ἐν ταῖς χερσὶν αὐτοῦ.

Γεν. 39,23 - Ο δε αρχιδεσμοφύλαξ δια την εμπιστοσύνην που είχεν στον Ιωσήφ, τίποτε πλέον δεν εγνώριζεν από όσα εγίνοντο εις την φυλακήν διότι όλα ευρίσκοντο εις την συνετήν διαχείρισιν του Ιωσήφ, επειδή ο Κυριος ήτο μαζή του. Ολα δε όσα έπραττεν ο Ιωσήφ, τα κατευώδωνεν ο Κυριος και ευλογούσε τα έργα των χειρών του.

## ΓΕΝΕΣΙΣ 40

Γεν. 40,1 - Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα ἥμαρτεν ὁ ἀρχιοινοχόος τοῦ βασιλέως Αἰγύπτου καὶ ὁ ἀρχισιτοποιὸς τῷ κυρίῳ αὐτῶν βασιλεῖ Αἰγύπτου.

Γεν. 40,1 - Επειτα από τα γεγονότα αυτά συνέβη το εξής επεισόδιον· ο αρχιοινοχόος του βασιλέως της Αιγύπτου, όπως επίσης και ο αρχισιτοποιός παρηνόμησαν απέναντι του κυρίου των, του βασιλέως της Αιγύπτου, του Φαραώ.

Γεν. 40,2 - καὶ ὠργίσθη Φαραὼ ἐπὶ τοῖς δυσὶν εὐνούχοις αὐτοῦ, ἐπὶ τῷ ἀρχιοινοχόῳ καὶ ἐπὶ τῷ ἀρχισιτοποιῷ,

Γεν. 40,2 - Ωργίσθη ο Φαραώ εναντίον των δύο αυτών αυλικών του, του αρχιοινοχόου και του αρχισιτοποιού,

Γεν. 40,3 - καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ εἰς τὸ δεσμωτήριον, εἰς τὸν τόπον, οὗ Ἰωσὴφ ἀπῆκτο ἐκεῖ.

Γεν. 40,3 - και έρριψεν αυτούς στο δεσμωτήριον να τους φρουρούν εκεί, όπου είχεν οδηγηθή και ο Ιωσήφ.

Γεν. 40,4 - καὶ συνέστησεν ὁ ἀρχιδεσμώτης τῷ Ἰωσὴφ αὐτούς, καὶ παρέστη αὐτοῖς· ἦσαν δὲ ἡμέρας ἐν τῇ φυλακῇ.

Γεν. 40,4 - Ο αρχιδεσμοφύλαξ ανέθεσεν αυτούς στον Ιωσήφ, ο οποίος και εφρόντισε δι' αυτούς. Ευρίσκοντο μερικάς ημέρας εις την φυλακήν.

Γεν. 40,5 - καὶ εἶδον ἀμφότεροι ἐνύπνιον ἐν μιᾷ νυκτί· ἡ δὲ ὅρασις τοῦ ἐνυπνίου τοῦ ἀρχιοινοχόου καὶ ἀρχισιτοποιοῦ, οἳ ἦσαν τῷ βασιλεῖ

Αἰγύπτου, οἱ ὄντες ἐν τῷ δεσμωτηρίῳ, ἦν αὕτη.

Γεν. 40,5 - Και οι δύο είδον κατά την ιδίαν νύκτα όνειρον. Τα δε όνειρα, που είδον ο αρχιοινοχόος και ο αρχισιτοποιός, οι αυλικοί του βασιλέως που ευρίσκοντο εις την φυλακήν, ήσαν τα εξής, όπως τα απεκάλυψαν στον Ιωσήφ.

Γεν. 40,6 - εἰσῆλθε δὲ πρὸς αὐτοὺς Ἰωσὴφ τῷ πρωΐ καὶ εἶδεν αὐτούς, καὶ ἦσαν τεταραγμένοι.

Γεν. 40,6 - Επλησίασεν ο Ιωσήφ προς αυτούς κατά την πρωΐαν και είδεν ότι ήσαν τεταραγμένοι.

Γεν. 40,7 - καὶ ἠρώτα τοὺς εὐνούχους Φαραώ, οἳ ἦσαν μετ᾿ αὐτοῦ ἐν τῇ φυλακῇ παρὰ τῷ κυρίῳ αὐτοῦ, λέγων· τί ὅτι τὰ πρόσωπα ὑμῶν σκυθρωπὰ σήμερον;

Γεν. 40,7 - Η ρώτησε τους δύο αυτούς αυλικούς του Φαραώ, τους φυλακισμένους εις την φυλακήν του οίκου Πετεφρή, λέγων· "διατί είναι σήμερον σκυθρωπά τα πρόσωπά σας;"

Γεν. 40,8 - οἱ δὲ εἶπαν αὐτῷ· ἐνύπνιον εἴδομεν, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό. εἶπε δὲ αὐτοῖς Ἰωσήφ· οὐχὶ διὰ τοῦ Θεοῦ ἡ διασάφησις αὐτῶν ἐστι; διηγήσασθε οὖν μοι.

Γεν. 40,8 - Εκείνοι του απήντησαν· "είδομεν ένα όνειρον και δεν υπάρχει κανείς να μας το ερμηνεύση". Ο Ιωσήφ τους είπεν· "με τον φωτισμόν του Θεού δεν γίνεται η ερμηνεία αυτών των ονείρων; Διηγηθήτε μου λοιπόν ποία είναι αυτά τα όνειρα".

Γεν. 40,9 - καὶ διηγήσατο ὁ ἀρχιοινοχόος τὸ ἐνύπνιον αὐτοῦ τῷ Ἰωσὴφ καὶ εἶπεν· ἐν τῷ ὕπνῳ μου ἦν ἄμπελος ἐναντίον μου·

Γεν. 40,9 - Ο αρχιοινοχόος διηγήθηκε το όνειρόν του στον Ιωσήφ και του είπεν· "είδα στον ύπνον, μου ότι ευρίσκετο μία κληματαριά ενώπιόν μου.

Γεν. 40,10 - ἐν δὲ τῇ ἀμπέλῳ τρεῖς πυθμένες, καὶ αὐτὴ θάλλουσα ἀνενηνοχυῖα βλαστούς· πέπειροι οἱ βότρυες σταφυλῆς.

Γεν. 40,10 - Εις την κληματαριάν αυτήν υπήρχον τρεις κλάδοι. Η κληματαριά εβλάστησεν, επέταξε βλαστάρια και έφερε φύλλα, έπειπα δε ώριμα σταφύλια.

Γεν. 40,11 - καὶ τὸ ποτήριον Φαραὼ ἐν τῇ χειρί μου· καὶ ἔλαβον τὴν σταφυλὴν καὶ ἐξέθλιψα αὐτὴν εἰς τὸ ποτήριον καὶ ἔδωκα τὸ ποτήριον εἰς τὴν χεῖρα Φαραώ.

Γεν. 40,11 - Το ποτήριον του Φαραώ ευρίσκετο στο χέρι μου. Επήρα το σταφύλι, το έστιψα στο ποτήρι και έδωσα αυτό στο χέρι του Φαραώ.

Γεν. 40,12 - καὶ εἶπεν αὐτῷ Ἰωσήφ· τοῦτο ἡ σύγκρισις αὐτοῦ· οἱ τρεῖς πυθμένες τρεῖς ἡμέραι εἰσίν·

Γεν. 40,12 - Είπεν εις αυτόν ο Ιωσήφ· "ιδού ποία είναι η ερμηνεία του ονείρου σου· οι τρεις βλαστοί της κληματαριάς είναι τρεις ημέραι.

Γεν. 40,13 - ἔτι τρεῖς ἡμέραι καὶ μνησθήσεται Φαραὼ τῆς ἀρχῆς σου καὶ ἀποκαταστήσει σε ἐπί τὴν ἀρχιοινοχοΐαν σου, καὶ δώσεις τὸ ποτήριον Φαραὼ εἰς τὴν χεῖρα αὐτοῦ κατὰ τὴν ἀρχήν σου τὴν προτέραν, ὡς ἦσθα οἰνοχοῶν.

Γεν. 40,13 - Επειτα από τας τρεις αυτάς ημέρας ο Φαραώ θα ενθυμηθή το αξίωμα, που κατείχες, θα σε αποκαταστήση πάλιν στο αξίωμα του αρχιοινοχόου και θα δώσης το ποτήρι με το κρασί στο χέρι του, όπως έπραττες και προηγουμένως, όταν ήσο ο οινοχόος του.

Γεν. 40,14 - ἀλλὰ μνήσθητί μου διὰ σεαυτοῦ, ὅταν εὖ γένηταί σοι, καὶ ποιήσεις ἐν ἐμοὶ ἔλεος καὶ μνησθήσει περὶ ἐμοῦ πρὸς Φαραὼ καὶ ἐξάξεις με ἐκ τοῦ ὀχυρώματος τούτου·

Γεν. 40,14 - Αλλά, σε παρακαλώ, όταν θα ευτυχήσης πάλιν, να ενθυμηθής και εμέ, να θελήσης να δείξης συμπάθειαν και καλωσύνην προς εμέ και να μη με λησμονήσης ενώπιον του Φαραώ. Φρόντισε, ώστε να με βγάλης από την φυλακήν αυτήν.

Γεν. 40,15 - ὅτι κλοπῇ ἐκλάπην ἐκ γῆς Ἑβραίων καὶ ὧδε οὐκ ἐποίησα οὐδέν, ἀλλ᾿ ἐνέβαλόν με εἰς τὸν λάκκον τοῦτον.

Γεν. 40,15 - Αν είμαι δούλος, είμαι διότι μερικοί άνθρωποι με έκλεψαν από την χώραν των Εβραίων και εδώ εις την χώραν αυτήν δεν έχω κάμει κανένα κακόν και με έρριψαν εις αυτήν την φυλακήν αδίκως".

Γεν. 40,16 - καὶ εἶδεν ὁ ἀρχισιτοποιός, ὅτι ὀρθῶς συνέκρινε, καὶ εἶπε τῷ Ἰωσήφ· κἀγὼ εἶδον ἐνύπνιον καὶ ᾤμην τρία κανᾶ χονδριτῶν αἴρειν ἐπὶ τῆς κεφαλῆς μου·

Γεν. 40,16 - Ενόησεν ο αρχισιτοποιός ότι ορθώς ηρμήνευσε το όνειρον του αρχιοινοχόου ο Ιωσήφ και του είπε· "και εγώ είδα επίσης ένα όνειρον· μου εφάνη ότι εσήκωνα επάνω στο κεφάλι μου τρία κάνιστρα χονδροαλεσμένου αλεύρου.

Γεν. 40,17 - ἐν δὲ κανῷ τῷ ἐπάνω ἀπὸ πάντων τῶν γενῶν, ὧν Φαραὼ ἐσθίει ἔργον σιτοποιοῦ, καὶ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατήσθιεν αὐτὰ ἀπὸ τοῦ κανοῦ τοῦ ἐπάνω τῆς κεφαλῆς μου.

Γεν. 40,17 - Εις το επάνω κάνιστρον υπήρχον από όλα τα είδη των φαγητών, τα οποία τρώγει ο Φαραώ και τα οποία του ετοιμάζει ο αρτοποιός. Τα πτηνά του ουρανού κατήρχοντο και έτρωγαν αυτά τα φαγητά από το κάνιστρον, που ευρίσκετο εις την κεφαλήν μου".

Γεν. 40,18 - ἀποκριθεὶς δὲ Ἰωσὴφ εἶπεν αὐτῷ· αὕτη ἡ σύγκρισις αὐτοῦ· τὰ τρία κανᾶ τρεῖς ἡμέραι εἰσίν·

Γεν. 40,18 - Απεκρίθη ο Ιωσήφ και του είπεν· "η ερμηνεία του ονείρου σου είναι αυτή· Τα τρία κάνιστρα σημαίνουν τρεις ημέρας.

Γεν. 40,19 - ἔτι τριῶν ἡμερῶν καὶ ἀφελεῖ Φαραὼ τὴν κεφαλήν σου ἀπὸ σοῦ καὶ κρεμάσει σε ἐπὶ ξύλου, καὶ φάγεται τὰ ὄρνεα τοῦ οὐρανοῦ τὰς

σάρκας σου ἀπὸ σοῦ.

Γεν. 40,19 - Επειτα από τρεις ημέρας θα διατάξη ο Φαραώ να σου κόψουν την κεφαλήν, θα σε κρεμάση επάνω εις ένα ξύλον και τα όρνία του ουρανού θα καταφάγουν τας σάρκας σου”.

Γεν. 40,20 - ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἡμέρα γενέσεως ἦν Φαραώ, καὶ ἐποίει πότον πᾶσι τοῖς παισὶν αὐτοῦ. καὶ ἐμνήσθη τῆς ἀρχῆς τοῦ οἰνοχόου καὶ τῆς ἀρχῆς τοῦ σιτοποιοῦ ἐν μέσῳ τῶν παίδων αὐτοῦ,

Γεν. 40,20 - Οπως είπεν ο Ιωσήφ έτσι και έγινε. Την τρίτην, δηλαδή, ημέραν, ημέραν των γενεθλίων του Φαραώ, παρέθεσεν αυτός συμπόσιον εις όλους τους δούλους του. Ενεθυμήθη τότε μεταξύ των άλλων αυλικών του τον αρχιοινοχόον και τον αρχισιτοποιόν.

Γεν. 40,21 - καὶ ἀποκατέστησε τὸν ἀρχιοινοχόον ἐπὶ τὴν ἀρχὴν αὐτοῦ, καὶ ἔδωκε τὸ ποτήριον εἰς τὴν χεῖρα Φαραώ,

Γεν. 40,21 - Διέταξε και αποκατέστησεν στο προηγούμενον αξίωμα τον αρχιοινοχόον, ο οποίος και έδωσε το ποτήρι στο χέρι του Φαραώ.

Γεν. 40,22 - τὸν δὲ ἀρχισιτοποιὸν ἐκρέμασε, καθὰ συνέκρινεν αὐτοῖς Ἰωσήφ.

Γεν. 40,22 - Τον δε αρχισιτοποιόν τον εκρέμασε και έγιναν έτσι τα πράγματα, όπως ακριβώς είχεν ερμηνεύσει εις αυτούς τα όνειρά των ο Ιωσήφ.

Γεν. 40,23 - καὶ οὐκ ἐμνήσθη ὁ ἀρχιοινοχόος τοῦ Ἰωσήφ, ἀλλ᾿ ἐπελάθετο αὐτοῦ.

Γεν. 40,23 - Ο αρχιοινοχόος όμως μέσα εις την χαράν της αποφυλακίσεως και της αποκαταστάσεώς του δεν ενεθυμήθη τον Ιωσήφ, αλλά τον ελησμόνησε.

## ΓΕΝΕΣΙΣ 41

Γεν. 41,1 - Ἐγένετο δὲ μετὰ δύο ἔτη ἡμερῶν, Φαραὼ εἶδεν ἐνύπνιον· ᾤετο ἑστάναι ἐπὶ τοῦ ποταμοῦ,

Γεν. 41,1 - Μετά πάροδον όμως δύο ετών είδεν ο Φαραώ ένα όνειρον. Του εφάνη ότι εστέκετο όρθιος κοντά στον Νείλον ποταμόν.

Γεν. 41,2 - καὶ ἰδοὺ ὥσπερ ἐκ τοῦ ποταμοῦ ἀνέβαινον ἑπτὰ βόες καλαὶ τῷ εἴδει καὶ ἐκλεκταὶ ταῖς σαρξὶ καὶ ἐβόσκοντο ἐν τῷ Ἄχει.

Γεν. 41,2 - Και αίφνης του εφάνη, ότι από τον ποταμόν ανέβαιναν επτά αγελάδες ωραίαι κατά την εμφάνισιν και παχείαι, αι οποίαι έβοσκον στο λεπτόν και τρυφερόν χορτάρι του λειβαδιού παρά τον ποταμόν.

Γεν. 41,3 - ἄλλαι δὲ ἑπτὰ βόες ἀνέβαινον μετὰ ταύτας ἐκ τοῦ ποταμοῦ αἰσχραὶ τῷ εἴδει καὶ λεπταὶ ταῖς σαρξὶ καὶ ἐνέμοντο παρὰ τὰς βόας ἐπὶ τὸ

χεῖλος τοῦ ποταμοῦ·

Γεν. 41,3 - Επειτα από αυτάς, ανέβησαν από τον ποταμόν άλλαι επτά αγελάδες άσχημοι κατά την εμφάνισιν και αποσκελετωμέναι και έβοσκαν εις την όχθην του ποταμού, κοντά εις τας προηγουμένας.

Γεν. 41,4 - καὶ κατέφαγον αἱ ἑπτὰ βόες αἱ αἰσχραὶ καὶ λεπταὶ ταῖς σαρξὶ τὰς ἑπτὰ βόας τὰς καλὰς τῷ εἴδει καὶ τὰς ἐκλεκτὰς ταῖς σαρξί. ἠγέρθη δὲ Φαραώ.

Γεν. 41,4 - Αι επτά αυταί άσχημοι και αδύνατοι αγελάδες κατέφαγον τας επτά ωραίας κατά την εμφάνισιν και καλοθρεμμένας αγελάδας. Ο Φαραώ, έκπληκτος δια το όνειρον αυτό εξύπνησεν.

Γεν. 41,5 - καὶ ἐνυπνιάσθη τὸ δεύτερον, καὶ ἰδοὺ ἑπτὰ στάχυες ἀνέβαινον ἐν τῷ πυθμένι ἑνὶ ἐκλεκτοὶ καὶ καλοί·

Γεν. 41,5 - Εκοιμήθη όμως πάλιν και είδε δεύτερον όνειρον. Είδε να φυτρώνουν από το αυτό στέλεχος επτά γεροί, ωραίοι και μεστωμένοι στάχυες.

Γεν. 41,6 - καὶ ἰδοὺ ἑπτὰ στάχυες λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο μετ᾿ αὐτούς·

Γεν. 41,6 - Επειτα δε από αυτούς εφύτρωσαν άλλοι επτά στάχυες μαραμμένοι από τον καυστικόν άνεμον, ατροφικοί και χωρίς κόκκους.

Γεν. 41,7 - καὶ κατέπιον οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ στάχυας τοὺς ἐκλεκτοὺς καὶ τοὺς πλήρεις. ἠγέρθη δὲ Φαραώ, καὶ ἦν ἐνύπνιον.

Γεν. 41,7 - Αίφνης οι επτά ατροφικοί και ανεμόδαρτοι στάχυες κατέπιον τους καλούς και μεστωμένους. Εξύπνησε ταραγμένος ο Φαραώ, αλλά είδεν ότι αυτό ήτο όνειρον. Δεν εξανακοιμήθη όμως.

Γεν. 41,8 - Ἐγένετο δὲ πρωΐ καὶ ἐταράχθη ἡ ψυχὴ αὐτοῦ, καὶ ἀποστείλας ἐκάλεσε πάντας τοὺς ἐξηγητὰς Αἰγύπτου καὶ πάντας τοὺς σοφοὺς αὐτῆς, καὶ διηγήσατο αὐτοῖς Φαραὼ τὸ ἐνύπνιον αὐτοῦ, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων αὐτὸ τῷ Φαραώ.

Γεν. 41,8 - Ανέτειλεν η πρωΐαν και το πνεύμα του Φαραώ ήτο τεταραγμένον. Απέστειλεν ανθρώπους και εκάλεσεν εις τα ανάκτορά του όλους τους εξηγητάς της Αιγύπτου και όλους τους σοφούς, στους οποίους και διηγήθη το όνειρόν του. Κανείς όμως δεν ευρέθη ικανός να ερμηνεύση αυτό στον Φαραώ.

Γεν. 41,9 - καὶ ἐλάλησεν ὁ ἀρχιοινοχόος πρὸς Φαραὼ λέγων· τὴν ἁμαρτίαν μου ἀναμιμνήσκω σήμερον.

Γεν. 41,9 - Τοτε ωμίλησεν ο αρχιοινοχόος προς τον Φαραώ και του είπε· “σήμερον έρχεται στον νουν μου η αμαρτία, την οποίαν είχα διαπράξει.

Γεν. 41,10 - Φαραὼ ὠργίσθη τοῖς παισὶν αὐτοῦ καὶ ἔθετο ἡμᾶς ἐν φυλακῇ ἐν τῷ οἴκῳ τοῦ ἀρχιμαγείρου, ἐμέ τε καὶ τὸν ἀρχισιτοποιόν.

Γεν. 41,10 - Ο Φαραώ είχεν οργισθή εναντίον των δούλων του και μας έβαλε εις την φυλακήν, στον οίκον του αρχιμαγείρου, εμέ και τον αρχισιτοποιόν.

Γεν. 41,11 - καὶ εἴδομεν ἐνύπνιον ἀμφότεροι ἐν νυκτὶ μιᾷ ἐγὼ καὶ αὐτός, ἕκαστος κατὰ τὸ αὐτοῦ ἐνύπνιον εἴδομεν.

Γεν. 41,11 - Οι δυο μας, εγώ και ο αρχισιτοποιός, κατά την ιδίαν νύκτα, είδομεν ένα όνειρον, ο καθένας το ιδικόν του.

Γεν. 41,12 - ἦν δὲ ἐκεῖ μεθ᾿ ἡμῶν νεανίσκος παῖς Ἑβραῖος τοῦ ἀρχιμαγείρου, καὶ διηγησάμεθα αὐτῷ, καὶ συνέκρινεν ἡμῖν.

Γεν. 41,12 - Εκεί, μαζή μας ήτο φυλακισμένος ένας νεαρός Εβραίος, δούλος του αρχιμαγείρου, στον οποίον και διηγήθημεν τα όνειρά μας. Εκείνος δε μας τα εξήγησε.

Γεν. 41,13 - ἐγενήθη δέ, καθὼς συνέκρινεν ἡμῖν, οὕτω καὶ συνέβη, ἐμέ τε ἀποκατασταθῆναι ἐπὶ τὴν ἀρχήν μου, ἐκεῖνον δὲ κρεμασθῆναι.

Γεν. 41,13 - Οπως μας τα εξήγησεν, έτσι ακριβώς και έγιναν τα γεγονότα· εγώ μεν αποκατεστάθην στο αξίωμά μου, ο δε αρχισιτοποιός εκρεμάσθη".

Γεν. 41,14 - Ἀποστείλας δὲ Φαραὼ ἐκάλεσε τὸν Ἰωσήφ, καὶ ἐξήγαγον αὐτὸν ἀπὸ τοῦ ὀχυρώματος καὶ ἐξύρησαν αὐτὸν καὶ ἤλλαξαν τὴν στολὴν αὐτοῦ, καὶ ἦλθε πρὸς Φαραώ.

Γεν. 41,14 - Αμέσως ο Φαραώ απέστειλεν άνθρωπον εις την φυλακήν και προσεκάλεσε τον Ιωσήφ. Τον έβγαλαν από αυτήν, τον εξύρισαν, του έδωσαν άλλην στολήν να φορέση και έτσι ευπαρουσίαστος ήλθεν ενώπιον του Φαραώ.

Γεν. 41,15 - εἶπε δὲ Φαραὼ πρὸς Ἰωσήφ· ἐνύπνιον ἑώρακα, καὶ ὁ συγκρίνων οὐκ ἔστιν αὐτό· ἐγὼ δὲ ἀκήκοα περὶ σοῦ λεγόντων, ἀκούσαντά σε ἐνύπνια συγκρῖναι αὐτά.

Γεν. 41,15 - Είπεν ο Φαραώ προς τον Ιωσήφ· "είδα ένα όνειρον και δεν υπάρχει κανείς, που να μου το εξηγήση. Επληροφορήθην δια σε από μερικούς, οι οποίοι λέγουν ότι, όταν ακούσης τα όνειρα, ημπορείς και τα ερμηνεύεις".

Γεν. 41,16 - ἀποκριθεὶς δὲ Ἰωσὴφ τῷ Φαραὼ εἶπεν· ἄνευ τοῦ Θεοῦ οὐκ ἀποκριθήσεται τὸ σωτήριον Φαραώ.

Γεν. 41,16 - Απεκρίθη ο Ιωσήφ στον Φαραώ και του είπε· "χωρίς τον φωτισμόν του Θεού τίποτε το ωφέλιμον δεν ημπορώ να απαντήσω στον Φαραώ".

Γεν. 41,17 - ἐλάλησε δὲ Φαραὼ τῷ Ἰωσὴφ λέγων· ἐν τῷ ὕπνῳ μου ᾤμην ἑστάναι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ,

Γεν. 41,17 - Είπεν ο Φαραώ τότε στον Ιωσήφ· "κατά τον ύπνον μου εφάνη, ότι εστεκόμουν όρθιος κοντά εις την όχθην του ποταμού,

Γεν. 41,18 - καὶ ὥσπερ ἐκ τοῦ ποταμοῦ ἀνέβαινον ἑπτὰ βόες καλαὶ τῷ εἴδει καὶ ἐκλεκταὶ ταῖς σαρξί, καὶ ἐνέμοντο ἐν τῷ Ἄχει.

Γεν. 41,18 - και ότι σαν να ανέβαιναν από το ποτάμι επτά αγελάδες ωραίαι κατά την εμφάνισιν και καλοθρεμμέναι, αι οποίαι έβοσκαν εις τα χορτάρια του λειβαδιού.

Γεν. 41,19 - καὶ ἰδοὺ ἑπτὰ βόες ἕτεραι ἀνέβαινον ὀπίσω αὐτῶν ἐκ τοῦ ποταμοῦ πονηραὶ καὶ αἰσχραὶ τῷ εἴδει καὶ λεπταὶ ταῖς σαρξίν, οἵας οὐκ εἶδον τοιαύτας ἐν ὅλῃ γῇ Αἰγύπτου αἰσχροτέρας·

Γεν. 41,19 - Και ιδού, οπίσω από αυτάς ανέβαιναν από τον Νείλον άλλαι επτά αγελάδες ελεειναί, άσχημοι κατά την εμφάνισιν και απρσκελετωμέναι, χειροτέρας από τας οποίας δεν είδα ποτέ εις όλην την Αίγυπτον.

Γεν. 41,20 - καὶ κατέφαγον αἱ ἑπτὰ βόες αἱ αἰσχραὶ καὶ λεπταὶ τὰς ἑπτὰ βόας τὰς πρώτας τὰς καλὰς καὶ τὰς ἐκλεκτάς,

Γεν. 41,20 - Αι επτά δε αύται άσχημοι και λιπόσαρκοι αγελάδες κατέφαγον τας πρώτας τας ωραίας και εκλεκτάς.

Γεν. 41,21 - καὶ εἰσῆλθον εἰς τὰς κοιλίας αὐτῶν καὶ οὐ διάδηλοι ἐγένοντο, ὅτι εἰσῆλθον εἰς τὰς κοιλίας αὐτῶν, καὶ αἱ ὄψεις αὐτῶν αἰσχραί, καθὰ καὶ τὴν ἀρχήν· ἐξεγερθεὶς δὲ ἐκοιμήθην

Γεν. 41,21 - Αι παχείαι αγελάδες εισήλθον εις τας κοιλίας των ισχνών. Αλλά δεν εφάνη καθόλου ότι εισήλθον εις τας κοιλίας αυτών, διότι η εμφάνισις των ισχνών αγελάδων έμεινεν η ίδια· ήσαν αυταί και πάλιν αδύνατοι όπως και προηγουμένως. Εξύπνησα αλλά και πάλιν εκοιμήθην.

Γεν. 41,22 - καὶ εἶδον πάλιν ἐν τῷ ὕπνῳ μου, καὶ ὥσπερ ἑπτὰ στάχυες ἀνέβαινον ἐν πυθμένι ἑνὶ πλήρεις καὶ καλοί·

Γεν. 41,22 - Είδον πάλιν στον ύπνον μου άλλο όνειρον· ότι δηλαδή επτά στάχυα ωραία εις την εμφάνισιν και μεστωμένα υψώνοντο επάνω εις μίαν μόνην καλαμιάν.

Γεν. 41,23 - ἄλλοι δὲ ἑπτὰ στάχυες λεπτοὶ καὶ ἀνεμόφθοροι ἀνεφύοντο ἐχόμενοι αὐτῶν.

Γεν. 41,23 - Αλλα δε επτά ατροφικά, κτυπημένα από τον καυστικόν άνεμον, εφύτρωναν κατόπιν από αυτά.

Γεν. 41,24 - καὶ κατέπιον οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι τοὺς ἑπτὰ στάχυας τοὺς καλοὺς καὶ τοὺς πλήρεις. εἶπα οὖν τοῖς ἐξηγηταῖς, καὶ οὐκ ἦν ὁ ἀπαγγέλλων μοι αὐτό.

Γεν. 41,24 - Τα επτά αυτά στάχυα τα ατροφικά και τα ανεμοδαρμένα κατέπιαν τα επτά ωραία και μεστωμένα στάχυα. Είπα, λοιπόν, στους ερμηνευτάς των ονείρων αυτά και δεν ημπόρεσε κανείς να μου τα ερμηνεύση”.

Γεν. 41,25 - Καὶ εἶπεν Ἰωσὴφ τῷ Φαραώ· τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστιν· ὅσα ὁ Θεὸς ποιεῖ, ἔδειξε τῷ Φαραώ.

Γεν. 41,25 - Είπε τότε ο Ιωσήφ στον Φαραώ· “τα δύο όνειρα του Φαραώ είναι ένα και το αυτό. Με αυτά έδειξεν ο Θεός στον Φαραώ όσα μέλλει να πράξη.

Γεν. 41,26 - αἱ ἑπτὰ βόες αἱ καλαὶ ἑπτὰ ἔτη ἐστί, καὶ οἱ ἑπτὰ στάχυες οἱ καλοὶ ἑπτὰ ἔτη ἐστί· τὸ ἐνύπνιον Φαραὼ ἕν ἐστι,

Γεν. 41,26 - Αι επτά καλαί αγελάδες σημαίνουν επτά έτη, και οι επτά καλοί στάχυες σημαίνουν πάλιν επτά έτη. Το διπλούν όνειρον του Φαραώ είναι ένα.

Γεν. 41,27 - καὶ αἱ ἑπτὰ βόες αἱ λεπταὶ αἱ ἀναβαίνουσαι ὀπίσω αὐτῶν ἑπτὰ ἔτη ἐστί, καὶ οἱ ἑπτὰ στάχυες οἱ λεπτοὶ καὶ ἀνεμόφθοροι ἔσονται ἑπτὰ ἔτη λιμοῦ.

Γεν. 41,27 - Αι επτά ισχναί αγελάδες, αι οποίαι ανέβαινον κατόπιν από τας παχείας δηλώνουν επτά έτη και οι επτά στάχυες οι ατροφικοί και οι ανεμόπληκτοι δηλώνουν επτά έτη πείνας.

Γεν. 41,28 - τὸ δὲ ῥῆμα, ὃ εἴρηκα Φαραώ, ὅσα ὁ Θεὸς ποιεῖ, ἔδειξε τῷ Φαραώ,

Γεν. 41,28 - Η εξήγησις, την οποίαν είπα στον Φαραώ, μαρτυρεί ότι ο Θεός εφανέρωσεν στον Φαραώ όσα πρόκειται να κάμη.

Γεν. 41,29 - ἰδοὺ ἑπτὰ ἔτη ἔρχεται εὐθηνία πολλὴ ἐν πάσῃ γῇ Αἰγύπτου·

Γεν. 41,29 - Ιδού έρχονται επτά έτη, κατά τα οποία μεγάλη ευφορία θα απλωθή εις όλην την γην της Αιγύπτου.

Γεν. 41,30 - ἥξει δὲ ἑπτὰ ἔτη λιμοῦ μετὰ ταῦτα, καὶ ἐπιλήσονται τῆς πλησμονῆς τῆς ἐσομένης ἐν ὅλῃ Αἰγύπτῳ, καὶ ἀναλώσει ὁ λιμὸς τὴν γῆν,

Γεν. 41,30 - Κατόπιν όμως από αυτά θα έλθουν επτά έτη πείνας. Αυτή θα είναι τόσον μεγάλη, ώστε θα λησμονήσουν οι άνθρωποι την ευφρρίαν, που έγινε προηγουμένως εις όλην την Αίγυπτον. Και η πείνα θα ερημώση την γώραν.

Γεν. 41,31 - καὶ οὐκ ἐπιγνωσθήσεται ἡ εὐθηνία ἐπὶ τῆς γῆς ἀπὸ τοῦ λιμοῦ τοῦ ἐσομένου μετὰ ταῦτα· ἰσχυρὸς γὰρ ἔσται σφόδρα.

Γεν. 41,31 - Ενεκα δε αυτής της πείνας, που θα επακολουθήση, θα σβήση από την μνήμην των ανθρώπων η προηγουμένη ευφορία της χώρας· διότι η πείνα θα είναι πολύ μεγάλη.

Γεν. 41,32 - περὶ δὲ τοῦ δευτερῶσαι τὸ ἐνύπνιον Φαραὼ δίς, ὅτι ἀληθὲς ἔσται τὸ ῥῆμα τὸ παρὰ τοῦ Θεοῦ, καὶ ταχυνεῖ ὁ Θεὸς τοῦ ποιῆσαι αὐτό.

Γεν. 41,32 - Η δευτέρα δε επανάληψις του ονείρου σημαίνει ότι είναι αληθινόν και βέβαιον το αποκαλυφθέν από τον Θεόν δια του ονείρου και ότι συντόμως θα πράξη ο Θεός αυτό, που προανήγγειλε.

Γεν. 41,33 - νῦν οὖν σκέψαι ἄνθρωπον φρόνιμον καὶ συνετὸν καὶ κατάστησον αὐτὸν ἐπὶ γῆς Αἰγύπτου·

Γεν. 41,33 - Τωρα, λοιπόν, που είναι καιρός, σκέψου και έκλεξε άνθρωπον έξυπνον και συνετόν και διόρισε αυτόν εις όλην την γην της

Αιγύπτου.

Γεν. 41,34 - καὶ ποιησάτω Φαραὼ καὶ καταστησάτω τοπάρχας ἐπὶ τῆς γῆς, καὶ ἀποπεμπτωσάτωσαν πάντα τὰ γεννήματα τῆς γῆς Αἰγύπτου τῶν ἑπτὰ ἐτῶν τῆς εὐθηνίας

Γεν. 41,34 - Συγχρόνως δε ο Φαραώ ας εκλέξη και ας καταστήση επόπτας εις τας περιοχάς της χώρας, δια να κρατούν το πέμπτον από όλα τα προϊόντα της γης Αιγύπτου κατά τα επτά έτη της ευφορίας.

Γεν. 41,35 - καὶ συναγαγέτωσαν πάντα τὰ βρώματα τῶν ἑπτὰ ἐτῶν τῶν ἐρχομένων τῶν καλῶν τούτων, καὶ συναχθήτω ὁ σῖτος ὑπὸ χεῖρα Φαραώ, βρώματα ἐν ταῖς πόλεσι φυλαχθήτω·

Γεν. 41,35 - Ολα δε αυτά τα τρόφιμα των επτά ερχομένων ετών της ευφορίας ας συγκεντρωθούν εις αποθήκας. Ας συγκεντρωθή ο σίτος και ας τεθή εις την εξουσίαν και την διάθεσιν του Φαραώ. Τα τρόφιμα ας αποθηκευθούν ασφαλώς εις τας πόλεις.

Γεν. 41,36 - καὶ ἔσται τὰ βρώματα τὰ πεφυλαγμένα τῇ γῇ εἰς τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ, ἃ ἔσονται ἐν γῇ Αἰγύπτου, καὶ οὐκ ἐκτριβήσεται ἡ γῆ ἐν τῷ λιμῷ.

Γεν. 41,36 - Και θα είναι αυτά φυλαγμένα εις όλην την χώραν δια τα επτά έτη της πείνας, η οποία θα απλωθή εις την χώραν της Αιγύπτου. Ετσι δε η χώρα αυτή δεν θα εξολοθρευθή από την πείναν.

Γεν. 41,37 - Ἤρεσε δὲ τὸ ῥῆμα ἐναντίον Φαραὼ καὶ ἐναντίον πάντων τῶν παίδων αὐτοῦ,

Γεν. 41,37 - Ο λόγος αυτός ήρεσεν στον Φαραώ και εις όλους τους αυλικούς του.

Γεν. 41,38 - καὶ εἶπε Φαραὼ πᾶσι τοῖς παισὶν αὐτοῦ· μὴ εὑρήσομεν ἄνθρωπον τοιοῦτον, ὃς ἔχει πνεῦμα Θεοῦ ἐν αὐτῷ;

Γεν. 41,38 - Είπε δε προς αυτούς· “μήπως τάχα θα εύρωμεν τέτοιον άνθρωπον σαν τον Ιωσήφ, ο οποίος έχει Πνεύμα Θεού εντός του;”

Γεν. 41,39 - εἶπε δὲ Φαραὼ τῷ Ἰωσήφ· ἐπειδὴ ἔδειξεν ὁ Θεός σοι πάντα ταῦτα, οὐκ ἔστιν ἄνθρωπος φρονιμώτερος καὶ συνετώτερός σου·

Γεν. 41,39 - Δια τούτο είπεν ο Φαραώ στον Ιωσήφ· “επειδή ο Θεός εφανέρωσεν εις σε όλα αυτά, άλλος δε άνθρωπος εξυπνότερος και σοφώτερος από σε δεν υπάρχει,

Γεν. 41,40 - σὺ ἔσῃ ἐπὶ τῷ οἴκῳ μου, καὶ ἐπὶ τῷ στόματί σου ὑπακούσεται πᾶς ὁ λαός μου· πλὴν τὸν θρόνον ὑπερέξω σου ἐγώ.

Γεν. 41,40 - συ θα γίνης άρχων εις όλον τον οίκον μου και εις τας διαταγάς σου θα υπακούη όλος ο λαός μου. Μονον δε κατά τον βασιλικόν θρόνον θα είμαι εγώ ανώτερός σου”.

Γεν. 41,41 - εἶπε δὲ Φαραὼ τῷ Ἰωσήφ· ἰδοὺ καθίστημί σε σήμερον ἐπὶ πάσης γῆς Αἰγύπτου.

Γεν. 41,41 - Του είπε δε ακόμη ο Φαραώ· “ιδού σε διορίζω σήμερον και σε εγκαθιστώ αντιβασιλέα εις όλην την χώραν της Αιγύπτου”.

Γεν. 41,42 - καὶ περιελόμενος Φαραὼ τὸν δακτύλιον ἀπὸ τῆς χειρὸς αὐτοῦ, περιέθηκεν αὐτὸν ἐπί τὴν χεῖρα Ἰωσὴφ καὶ ἐνέδυσεν αὐτὸν στολὴν βυσσίνην καὶ περιέθηκε κλοιὸν χρυσοῦν περὶ τὸν τράχηλον αὐτοῦ·

Γεν. 41,42 - Εβγαλε δε ο Φαραώ από το χέρι του το δακτυλίδι, το έθεσεν στο χέρι του Ιωσήφ, ενέδυσεν αυτόν πολύτιμον λινήν στολήν από βύσσον και περιέβαλε στον τράχηλον αυτού άλυσιν χρυσήν.

Γεν. 41,43 - καὶ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὸ ἅρμα τὸ δεύτερον τῶν αὐτοῦ, καὶ ἐκήρυξεν ἔμπροσθεν αὐτοῦ κήρυξ· καὶ κατέστησεν αὐτὸν ἐφ᾿ ὅλης γῆς Αἰγύπτου.

Γεν. 41,43 - Ανεβίβασε δε αυτόν στο δεύτερον από τα βασιλικά του άρματα και ένας κήρυξ επροπορεύετο έμπροσθεν από αυτόν και τον ανήγγειλεν στον λαόν. Ετσι δε ανέδειξεν αυτόν ο Φαραώ αντιβασιλέα εις όλην την χώραν της Αιγύπτου.

Γεν. 41,44 - εἶπε δὲ Φαραὼ τῷ Ἰωσήφ· ἐγὼ Φαραώ, ἄνευ σοῦ οὐκ ἐξαρεῖ οὐδεὶς τὴν χεῖρα αὐτοῦ ἐπὶ πάσης γῆς Αἰγύπτου.

Γεν. 41,44 - Είπε δε στον Ιωσήφ· “εγώ ο Φαραώ διατάσσω· Κανείς δεν θα κινήση το χέρι του να κάμη κάτι εις όλην την γην της Αιγύπτου χωρίς την έγκρισίν σου”.

Γεν. 41,45 - καὶ ἐκάλεσε Φαραὼ τὸ ὄνομα Ἰωσήφ, Ψονθομφανήχ· καὶ ἔδωκεν αὐτῷ τὴν Ἀσεννὲθ θυγατέρα Πετεφρῆ ἱερέως Ἡλιουπόλεως αὐτῷ εἰς γυναῖκα.

Γεν. 41,45 - Ωνόμασε δε ο Φαραώ τον Ιωσήφ Ψονθομφανήχ, δηλαδή τροφοδότην της γης. Εδωσε δε εις αυτόν ως σύζυγον την Ασεννέθ, θυγατέρα του Πετεφρή, όχι του αρχιμαγείρου, άλλα του ιερέως της Ηλιουπόλεως.

Γεν. 41,46 - Ἰωσὴφ δὲ ἦν ἐτῶν τριάκοντα, ὅτε ἔστη ἐναντίον Φαραὼ βασιλέως Αἰγύπτου. Ἐξῆλθε δὲ Ἰωσὴφ ἀπὸ προσώπου Φαραώ, καὶ διῆλθε πᾶσαν γῆν Αἰγύπτου.

Γεν. 41,46 - Ητο δε τότε ο Ιωσήφ τριάκοντα ετών, όταν ενεφανίσθη ενώπιον του Φαραώ βασιλέως της Αιγύπτου. Εξήλθε δε ο Ιωσήφ από τα ανάκτορα του Φαραώ και, ως αντιβασιλεύς πλέον, περιώδευσεν όλην την χώραν της Αιγύπτου.

Γεν. 41,47 - καὶ ἐποίησεν ἡ γῆ ἐν τοῖς ἑπτὰ ἔτεσι τῆς εὐθηνίας δράγματα·

Γεν. 41,47 - Η δε χώρα της Αιγύπτου απέδωσε κατά τα επτά έτη της ευφορίας πλούσια τα προϊόντα.

Γεν. 41,48 - καὶ συνήγαγε πάντα τὰ βρώματα τῶν ἑπτὰ ἐτῶν, ἐν οἷς ἦν ἡ εὐθηνία ἐν τῇ γῇ Αἰγύπτου, καὶ ἔθηκε τὰ βρώματα ἐν ταῖς πόλεσι, βρώματα τῶν πεδίων τῆς πόλεως τῶν κύκλῳ αὐτῆς ἔθηκεν ἐν αὐτῇ.

Γεν. 41,48 - Και συνεκέντρωσεν ο Ιωσήφ όλα τα είδη των τροφίμων κατά τα επτά αυτά έτη, κατά τα οποία επεκράτει ευφορία εις την χώραν της Αιγύπτου και τα αποθήκευσεν εις τας πόλεις. Τα δε προϊόντα των πεδιάδων, που ήσαν γύρω από κάθε πόλιν, τα αποθήκευσεν εις αυτήν την ιδίαν πόλιν.

Γεν. 41,49 - καὶ συνήγαγεν Ἰωσὴφ σῖτον ὡσεὶ τὴν ἄμμον τῆς θαλάσσης πολὺν σφόδρα, ἕως οὐκ ἠδύνατο ἀριθμηθῆναι, οὐ γὰρ ἦν ἀριθμός.

Γεν. 41,49 - Και συνεκέντρωσεν ο Ιωσήφ σίτον πάρα πολύν ωσάν την άμμον της θαλάσσης, τόσον ώστε δεν ήτο δυνατόν πλέον να μετρηθή, διότι ήτο ανυπολόγιστος.

Γεν. 41,50 - Τῷ δὲ Ἰωσὴφ ἐγένοντο υἱοὶ δύο πρὸ τοῦ ἐλθεῖν τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ, οὓς ἔτεκεν αὐτῷ Ἀσεννὲθ ἡ θυγάτηρ Πετεφρῆ ἱερέως Ἡλιουπόλεως.

Γεν. 41,50 - Πριν δε έλθουν τα έτη της πείνας απέκτησεν ο Ιωσήφ από την Ασεννέθ την θυγατέρα του Πετεφρή, ιερέως της Ηλιουπόλεως, δύο παιδιά.

Γεν. 41,51 - ἐκάλεσε δὲ Ἰωσὴφ τὸ ὄνομα τοῦ πρωτοτόκου Μανασσῆ, ὅτι ἐπιλαθέσθαι με ἐποίησεν ὁ Θεὸς πάντων τῶν πόνων μου καὶ πάντων τῶν τοῦ πατρός μου.

Γεν. 41,51 - Ωνόμασε δε τον πρωτότοκον Μανaασήν λέγων· “ο Θεός με έκαμεν, ώστε να λησμονήσω όλας τας ταλαιπωρίας μου και την στέρησιν του πατρός μου”.

Γεν. 41,52 - τὸ δὲ ὄνομα τοῦ δευτέρου ἐκάλεσεν Ἐφραΐμ, ὅτι ηὔξησέ με ὁ Θεὸς ἐν γῇ ταπεινώσεώς μου.

Γεν. 41,52 - Το δε δεύτερον τέκνον του ωνόμασεν Εφραῒμ λέγων ότι· “ο Θεός με εμεγάλυνεν εις την χώραν αυτήν της ταπεινώσεώς μου”.

Γεν. 41,53 - Παρῆλθε δὲ τὰ ἑπτὰ ἔτη τῆς εὐθηνίας, ἃ ἐγένοντο ἐν τῇ γῇ Αἰγύπτου,

Γεν. 41,53 - Επέρασαν τα επτά έτη της ευφορίας, που έγινεν εις την χώραν της Αιγύπτου.

Γεν. 41,54 - καὶ ἤρξατο τὰ ἑπτὰ ἔτη τοῦ λιμοῦ ἔρχεσθαι, καθὰ εἶπεν Ἰωσήφ. καὶ ἐγένετο λιμὸς ἐν πάσῃ τῇ γῇ, ἐν δὲ πάσῃ τῇ γῇ Αἰγύπτου ἦσαν ἄρτοι.

Γεν. 41,54 - Ηρχισαν δε να έρχωνται τα επτά έτη της πείνας, όπως είχεν είπει ο Ιωσήφ και ηπλώθη πείνα εις όλην την γην. Εις την χώραν όμως της Αιγύπτου υπήρχον άρτοι.

Γεν. 41,55 - καὶ ἐπείνασε πᾶσα ἡ γῆ Αἰγύπτου, ἔκραξε δὲ ὁ λαὸς πρὸς Φαραὼ περὶ ἄρτων· εἶπε δὲ Φαραὼ πᾶσι τοῖς Αἰγυπτίοις· πορεύεσθε πρὸς Ἰωσήφ, καὶ ὃ ἐὰν εἴπῃ ὑμῖν, ποιήσατε.

Γεν. 41,55 - Αλλά και όλη η χώρα της Αιγύπτου επείνασεν, ο δε λαός έκραξε προς τον Φαραώ ζητών άρτους. Ο δε Φαραώ είπε προς όλους τους

Αιγυπτίους· “πηγαίνετε προς τον Ιωσήφ και ο,τι σας πη, εκείνο πράξατε”.

Γεν. 41,56 - καὶ ὁ λιμὸς ἦν ἐπὶ προσώπου πάσης τῆς γῆς· ἀνέῳξε δὲ Ἰωσὴφ πάντας τοὺς σιτοβολῶνας καὶ ἐπώλει πᾶσι τοῖς Αἰγυπτίοις.

Γεν. 41,56 - Η πείνα ήτο απλωμένη εις όλην την γην. Ηνοιξε τότε ο Ιωσήφ όλας τας αποθήκας και ήρχισε να πωλή σίτον εις όλους τους Αιγυπτίους.

Γεν. 41,57 - καὶ πᾶσαι αἱ χῶραι ἦλθον εἰς Αἴγυπτον ἀγοράζειν πρὸς Ἰωσήφ· ἐπεκράτησε γὰρ ὁ λιμὸς ἐν πάσῃ τῇ γῇ.

Γεν. 41,57 - Αλλά και αι άλλαι χώραι ήλθον εις την Αίγυπτον προς τον Ιωσήφ, δια να αγοράσουν σίτον, διότι η πείνα επικρατούσεν εις όλην την γην.

## ΓΕΝΕΣΙΣ 42

Γεν. 42,1 - Ἰδὼν δὲ Ἰακὼβ ὅτι ἐστὶ πρᾶσις ἐν Αἰγύπτῳ, εἶπε τοῖς υἱοῖς αὐτοῦ· ἱνατί ῥαθυμεῖτε;

Γεν. 42,1 - Η πείνα είχεν απλωθή και εις την γην Χαναάν, όπου κατοικούσεν ο Ιακώβ. Πληροφορηθείς δε ο Ιακώβ ότι εις την Αίγυπτον πωλείται σίτος είπεν εις τα παιδιά του· “διατί αμελείτε;

Γεν. 42,2 - ἰδοὺ ἀκήκοα ὅτι ἐστὶ σῖτος ἐν Αἰγύπτῳ· κατάβητε ἐκεῖ καὶ πρίασθε ἡμῖν μικρὰ βρώματα, ἵνα ζήσωμεν καὶ μὴ ἀποθάνωμεν.

Γεν. 42,2 - Ιδού, εχω, πληροφορηθή, ότι υπάρχει σιτάρι εις τη Αίγυπτον. Πηγαίνετε εκεί και αγοράσατε δι' ημάς ολίγα τρόφιμα, δια να ζήσωμεν και μη αποθάνωμεν από την πείναν”.

Γεν. 42,3 - κατέβησαν δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ οἱ δέκα πρίασθαι σῖτον ἐξ Αἰγύπτου·

Γεν. 42,3 - Οι δέκα αδελφοί του Ιωσήφ ανεχώρησαν, δια να αγοράσουν σίτον από την Αίγυπτον.

Γεν. 42,4 - τὸν δὲ Βενιαμὶν τὸν ἀδελφὸν Ἰωσὴφ οὐκ ἀπέστειλε μετὰ τῶν ἀδελφῶν αὐτοῦ, εἶπε γάρ· μή ποτε συμβῇ αὐτῷ μαλακία.

Γεν. 42,4 - Ο Ιακώβ δεν έστειλε μαζή με τους αδελφούς του τον Βενιαμίν, τον αδελφόν του Ιωσήφ εκ της Ραχήλ, διότι εφοβήθη σκεφθείς μήπως τυχόν συμβή και εις αυτόν κανένα δυστύχημα.

Γεν. 42,5 - Ἦλθον δὲ οἱ υἱοὶ Ἰσραὴλ ἀγοράζειν μετὰ τῶν ἐρχομένων· ἦν γὰρ ὁ λιμὸς ἐν γῇ Χανaάν.

Γεν. 42,5 - Οι υιοί του Ιακώβ ήλθον εις την Αίγυπτον μαζή με άλλους, οι οποίοι μετέβαιναν επίσης εκεί, δια να αγοράσουν τρόφιμα, επειδή η πείνα επικρατούσε και εις την χώραν Χαναάν.

Γεν. 42,6 - Ἰωσὴφ δὲ ἦν ὁ ἄρχων τῆς γῆς, οὗτος ἐπώλει παντὶ τῷ λαῷ τῆς γῆς· ἐλθόντες δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ προσεκύνησαν αὐτῷ ἐπὶ

πρόσωπον ἐπὶ τὴν γῆν.

Γεν. 42,6 - Ο Ιωσήφ ήτο αντιβασιλεύς της Αιγύπτου· αυτός δια των οργάνων του επωλούσε σίτον εις όλον τον λαόν της Αιγύπτου. Οι δε αδελφοί του ελθόντες εις την Αίγυπτον τον προσεκύνησαν μέχρις εδάφους.

Γεν. 42,7 - ἰδὼν δὲ Ἰωσὴφ τούς ἀδελφοὺς αὐτοῦ ἐπέγνω καὶ ἠλλοτριοῦτο ἀπ᾿ αὐτῶν καὶ ἐλάλησεν αὐτοῖς σκληρὰ καὶ εἶπεν αὐτοῖς· πόθεν ἥκατε; οἱ δὲ εἶπον· ἐκ γῆς Χαναὰν ἀγοράσαι βρώματα.

Γεν. 42,7 - Οταν είδεν ο Ιωσήφ τους αδελφούς του, τους ανεγνώρισεν, αλλά εφέρετο προς αυτούς ώσαν ξένος. Τους ωμίλησε μάλιστα κατά τρόπον τραχύν και τους είπεν· “από που ήλθατε;” Εκείνοι είπον· “από την γην Χαναάν, δια να αγοράσωμεν τροφάς”.

Γεν. 42,8 - ἐπέγνω δὲ Ἰωσὴφ τοὺς ἀδελφοὺς αὐτοῦ, αὐτοὶ δὲ οὐκ ἐπέγνωσαν αὐτόν.

Γεν. 42,8 - Ο Ιωσήφ ανεγνώρισε τους αδελφούς του, εκείνοι όμως δεν τον ανεγνώρισαν.

Γεν. 42,9 - καὶ ἐμνήσθη Ἰωσὴφ τῶν ἐνυπνίων αὐτοῦ, ὧν εἶδεν αὐτός, καὶ εἶπεν αὐτοῖς· κατάσκοποί ἐστε, κατανοῆσαι τὰ ἴχνη τῆς χώρας ἥκατε.

Γεν. 42,9 - Οταν δε είδε τους αδελφούς του να τον προσκυνούν ενεθυμήθη τα όνειρα, τα οποία είχεν ίδει. Επειτα τους είπεν· “είσθε κατάσκοποι· ήλθατε εδώ, δια να κατασκοπεύσετε τα επίκαιρα σημεία της χώρας μου”.

Γεν. 42,10 - οἱ δὲ εἶπαν· οὐχί, κύριε, οἱ παῖδές σου ἤλθομεν πρίασθαι βρώματα·

Γεν. 42,10 - Εκείνοι του απήντησαν· “όχι, κύριε, δεν είμεθα κατάσκοποι. Οι δούλοί σου ήλθομεν έδω να αγοράσωμεν τροφάς.

Γεν. 42,11 - πάντες ἐσμὲν υἱοὶ ἑνὸς ἀνθρώπου· εἰρηνικοί ἐσμεν, οὐκ εἰσὶν οἱ παῖδές σου κατάσκοποι.

Γεν. 42,11 - Ολοι είμεθα παιδιά ενός πατρός· είμεθα ειρηνικοί και τίμιοι άνθρωποι· οι δούλοί σου δεν είναι κατάσκοποι”.

Γεν. 42,12 - εἶπε δὲ αὐτοῖς· οὐχί, ἀλλὰ τὰ ἴχνη τῆς γῆς ἤλθετε ἰδεῖν.

Γεν. 42,12 - Είπε δε εκείνος προς αυτούς· “όχι ! δεν σας πιστεύω· ήλθατε να ανιχνεύσετε τα ασθενή και επίκαιρα σημεία της χώρας μου”.

Γεν. 42,13 - οἱ δὲ εἶπαν· δώδεκά ἐσμεν οἱ παῖδες σου ἀδελφοὶ ἐν γῇ Χαναάν, καὶ ἰδοὺ ὁ νεώτερος μετὰ τοῦ πατρὸς ἡμῶν σήμερον, ὁ δὲ ἕτερος οὐχ ὑπάρχει.

Γεν. 42,13 - Εκείνοι πάλιν απήντησαν· “ημείς, οι δούλοι σου, είμεθα δώδεκα αδελφοί και κατοικούμεν εις την χώραν Χαναάν. Και ιδού, ο νεώτερος από ημάς ευρίσκεται σήμερον μαζή με τον πατέρα μας εις την Χαναάν, ο δε άλλος δεν υπάρχει πλέον”.

Γεν. 42,14 - εἶπε δὲ αὐτοῖς Ἰωσήφ· τοῦτό ἐστιν ὃ εἴρηκα ὑμῖν λέγων, ὅτι κατάσκοποί ἐστε·

Γεν. 42,14 - Είπε δε προς αυτούς, επιμένων ο Ιωσήφ· "αυτό που σας είπα αυτό είναι· είσθε κατάσκοποι.

Γεν. 42,15 - ἐν τούτῳ φανεῖσθε· νὴ τὴν ὑγίειαν Φαραώ, οὐ μὴ ἐξέλθητε ἐντεῦθεν, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος ἔλθῃ ὧδε.

Γεν. 42,15 - Αν λέγετε την αλήθειαν θα μου το αποδείξετε με τούτο· είπατε ότι έχετε ένα νεώτερον αδελφόν. Μα την υγείαν του Φαραώ, δεν θα φύγετε από εδώ, εάν αυτός ο νεώτερος αδελφάς σας δεν έλθη εδώ.

Γεν. 42,16 - ἀποστείλατε ἐξ ὑμῶν ἕνα καὶ λάβετε τὸν ἀδελφὸν ὑμῶν, ὑμεῖς δὲ ἀπάχθητε ἕως τοῦ φανερὰ γενέσθαι τὰ ῥήματα ὑμῶν, εἰ ἀληθεύετε ἢ οὔ· εἰ δὲ μή, νὴ τὴν ὑγίειαν Φαραώ, ἦ μὴν κατάσκοποί ἐστε.

Γεν. 42,16 - Στείλτε λοιπόν ένα από σας και φέρετε εδώ τον αδελφόν σας. Σεις δε οι άλλοι πηγαίνετε εις την φυλακήν, έως ότου αποδειχθούν, αν είναι η δεν είναι αληθινά τα λόγια σας. Εάν δε δεν φέρετε τον νεώτερον αδελφόν σας, μα την υγείαν του Φαραώ, είσθε πράγματι κατάσκοποι".

Γεν. 42,17 - καὶ ἔθετο αὐτοὺς ἐν φυλακῇ ἡμέρας τρεῖς.

Γεν. 42,17 - Διέταξε δε και έβαλαν αυτούς τρεις ημέρας εις την φυλακήν.

Γεν. 42,18 - Εἶπε δὲ αὐτοῖς τῇ ἡμέρᾳ τῇ τρίτῃ· τοῦτο ποιήσατε καὶ ζήσεσθε, τὸν Θεὸν γὰρ ἐγὼ φοβοῦμαι·

Γεν. 42,18 - Κατά δε την τρίτην ημέραν τους είπε· "κάμετε αυτό, που σας είπα, δια να μη χάσετε την ζωήν σας ως κατάσκοποι, διότι εγώ φοβούμαι τον Θεόν.

Γεν. 42,19 - εἰ εἰρηνικοί ἐστε, ἀδελφὸς ὑμῶν κατασχεθήτω εἷς ἐν τῇ φυλακῇ, αὐτοὶ δὲ βαδίσατε καὶ ἀπαγάγετε τὸν ἀγορασμὸν τῆς σιτοδοσίας ὑμῶν,

Γεν. 42,19 - Εάν είσθε πράγματι ειρηνικοί άνθρωποι, ένας αδελφός σας ας μείνη εις την φυλακήν, σεις δε πηγαίνετε προς την χώραν σας και φέρετε εκεί τον σίτον, τον οποίον ηγοράσατε.

Γεν. 42,20 - καὶ τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον ἀγάγετε πρός με, καὶ πιστευθήσονται τὰ ῥήματα ὑμῶν· εἰ δὲ μή, ἀποθανεῖσθε. ἐποίησαν δὲ οὕτως.

Γεν. 42,20 - Και τον αδελφόν σας τον νεώτερον φέρετέ τον προς εμέ. Οταν δε τον ίδω, τότε θα πιστεύσω εις τα λόγια σας. Εάν όμως και δεν τον φέρετε, θα θανατωθήτε". Οι αδελφοί του Ιωσήφ έκαμαν, όπως εκείνος τους είπε.

Γεν. 42,21 - καὶ εἶπεν ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ· ναί, ἐν ἁμαρτίαις γάρ ἐσμεν περὶ τοῦ ἀδελφοῦ ἡμῶν, ὅτι ὑπερείδομεν τὴν θλῖψιν τῆς ψυχῆς αὐτοῦ, ὅτε κατεδέετο ἡμῶν, καὶ οὐκ εἰσηκούσαμεν αὐτοῦ· καὶ ἕνεκεν τούτου ἐπῆλθεν ἐφ᾿ ἡμᾶς ἡ θλῖψις αὕτη.

Γεν. 42,21 - Εκεί δε εμπρός στον Ιωσήφ είπαν ο ενας προς τον άλλον· “ναι, τιμωρούμεθα τώρα διότι διεπράξαμεν μεγάλην αμαρτίαν εναντίον του αδελφού μας. Δεν ελάβομεν υπ' όψει την θλίψιν της ψυχής του, όταν μας παρακαλούσε τότε, να τον λυπηθώμεν. Δεν εδώσαμεν καμμίαν προσοχήν εις τα λόγια του. Ενεκα της αμαρτίας μας αυτής έπεσεν επάνω μας αυτή η θλίψις”.

Γεν. 42,22 - ἀποκριθεὶς δὲ Ῥουβὴν εἶπεν αὐτοῖς· οὐκ ἐλάλησα ὑμῖν λέγων, μὴ ἀδικήσητε τὸ παιδάριον; καὶ οὐκ ἠκούσατέ μου; καὶ ἰδοὺ τὸ αἷμα αὐτοῦ ἐκζητεῖται.

Γεν. 42,22 - Αποκριθείς δε ο Ρουβήν τους είπε· “δεν σας είπα και ξαναείπα εγώ να μη διαπράξετε αυτήν την μεγάλην αδικίαν εναντίον του παιδιού και δεν με ηκούσατε; Ιδού, ότι το αθώον αίμα του ζητεί τώρα εκδίκησιν εναντίον μας”.

Γεν. 42,23 - αὐτοὶ δὲ οὐκ ᾔδεισαν ὅτι ἀκούει Ἰωσήφ· ὁ γὰρ ἑρμηνευτὴς ἀνὰ μέσον αὐτῶν ἦν.

Γεν. 42,23 - Οι αδελφοί του Ιωσήφ δεν εγνώριζαν ότι εκείνος εκαταλάβαινε την γλώσσαν των, επειδή προηγουμένως συνεννοούντο με αυτόν δια μέσου διερμηνέως.

Γεν. 42,24 - ἀποστραφεὶς δὲ ἀπ᾿ αὐτῶν ἔκλαυσεν Ἰωσήφ. καὶ πάλιν προσῆλθε πρὸς αὐτοὺς καὶ εἶπεν αὐτοῖς· καὶ ἔλαβε τὸν Συμεὼν ἀπ᾿ αὐτῶν καὶ ἔδησεν αὐτὸν ἐναντίον αὐτῶν.

Γεν. 42,24 - Ο Ιωσήφ, όταν ήκουσεν αυτά, συνεκινήθη, απεμακρύνθη από αυτούς, έκλαυσε και πάλιν επανήλθε και συνωμίλησε μαζή των. Επήρε από αυτούς τον Συμεών και τον έδεσεν ενώπιόν των.

Γεν. 42,25 - ἐνετείλατο δὲ Ἰωσήφ ἐμπλῆσαι τὰ ἀγγεῖα αὐτῶν σίτου καὶ ἀποδοῦναι τὸ ἀργύριον αὐτῶν ἑκάστῳ εἰς τὸν σάκκον αὐτοῦ καὶ δοῦναι αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν. καὶ ἐγενήθη αὐτοῖς οὕτως.

Γεν. 42,25 - Διέταξε δε να γεμίσουν τους σάκκους των σιτάρι, να θέσουν κρυφίως στον σάκκον καθενός από αυτούς τα χρήματά των και να τους δώσουν τροφάς δια το ταξίδι των. Ετσι και έγινεν εις αυτούς.

Γεν. 42,26 - καὶ ἐπιθέντες τὸν σῖτον ἐπὶ τοὺς ὄνους αὐτῶν ἀπῆλθον ἐκεῖθεν.

Γεν. 42,26 - Οι αδελφοί εφόρτωσαν τον σίτον στους όνους των και ανεχώρησαν από εκεί.

Γεν. 42,27 - λύσας δὲ εἷς τὸν μάρσιππον αὐτοῦ δοῦναι χορτάσματα τοῖς ὄνοις αὐτοῦ, οὗ κατέλυσαν, καὶ εἶδε τὸν δεσμὸν τοῦ ἀργυρίου αὐτοῦ, καὶ ἦν ἐπάνω τοῦ στόματος τοῦ μαρσίππου·

Γεν. 42,27 - Εις τον τόπον δέ, όπου επί ολίγον εστάθμευσαν, ένας από αυτούς έλυσε τον σάκκον του, δια να δώση τροφήν στους όνους του. Και είδεν ότι το χρηματόδεμά του ήτο στο στόμιον του σάκκου.

Γεν. 42,28 - καὶ εἶπε τοῖς ἀδελφοῖς αὐτοῦ· ἐπεδόθη μοι τὸ ἀργύριον, καὶ ἰδοὺ τοῦτο ἐν τῷ μαρσίππῳ μου, καὶ ἐξέστη ἡ καρδία αὐτῶν, καὶ ἐταράχθησαν πρὸς ἀλλήλους λέγοντες· τί τοῦτο ἐποίησεν ὁ Θεὸς ἡμῖν;

Γεν. 42,28 - Είπε τότε στους αδελφούς του· “τα χρήματά μου, αυτά που επλήρωσα δια την αγοράν του σίτου, μου επεστράφησαν. Ιδού ευρίσκονται στον σάκκον μου”. Ολοι τότε κατελήφθησαν από έκπληξιν, εταράχθησαν και έλεγαν μεταξύ των· “τι είναι αυτό που μας έκαμεν ο Θεός;”

Γεν. 42,29 - Ἦλθον δὲ πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν εἰς γῆν Χαναὰν καὶ ἀπήγγειλαν αὐτῷ πάντα τὰ συμβάντα αὐτοῖς, λέγοντες·

Γεν. 42,29 - Εξηκολούθησαν την πορείαν των, έφθασαν εις την γην Χαναάν προς τον πατέρα των και εγνωστοποίησαν εις αυτόν όλα όσα τους συνέβησαν, λέγοντες·

Γεν. 42,30 - λελάληκεν ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς πρὸς ἡμᾶς σκληρὰ καὶ ἔθετο ἡμᾶς ἐν φυλακῇ ὡς κατασκοπεύοντας τὴν γῆν.

Γεν. 42,30 - “ο άνθρωπος εκείνος, ο άρχων της Αιγύπτου, ωμίλησε και εφέρθη προς ημάς με πολλήν σκληρότητα. Μας έβαλεν εις την φυλακήν, διότι τάχα είμεθα κατάσκοποι της χώρας του.

Γεν. 42,31 - εἴπαμεν δὲ αὐτῷ· εἰρηνικοί ἐσμέν, οὐκ ἐσμὲν κατάσκοποι·

Γεν. 42,31 - Ημείς του είπομεν· Είμεθα τίμιοι και φιλήσυχοι άνθρωποι και όχι κατάσκοποι.

Γεν. 42,32 - δώδεκα ἀδελφοί ἐσμεν, υἱοὶ τοῦ πατρὸς ἡμῶν· ὁ εἷς οὐχ ὑπάρχει, ὁ δὲ μικρὸς μετὰ τοῦ πατρὸς ἡμῶν σήμερον ἐν γῇ Χαναάν.

Γεν. 42,32 - Είμεθα δώδεκα αδελφοί, τέκνα του ιδίου πατρός· ο ένας δεν υπάρχει πλέον· ο δε μικρότερός μας ευρίσκεται σήμερον μαζή με τον πατέρα μας εις την Χαναάν.

Γεν. 42,33 - εἶπε δὲ ἡμῖν ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς· ἐν τούτῳ γνώσομαι ὅτι εἰρηνικοί ἐστε· ἀδελφὸν ἕνα ἄφετε ὧδε μετ᾿ ἐμοῦ, τὸν δὲ ἀγορασμὸν τῆς σιτοδοσίας τοῦ οἴκου ὑμῶν λαβόντες ἀπέλθατε.

Γεν. 42,33 - Ο άρχων αυτός της Αιγύπτου μας είπε τότε· Εγώ θα μάθω και θα πεισθώ ότι είσθε πράγματι ειρηνικοί άνθρωποι, εάν κάμετε όπως σας πω. Αφήσατε εδώ εις εμέ ένα αδελφόν. Τον δε σίτον, που αγοράσατε δια τας οικογενείας σας, παρέτέ τον και φύγετε δια την Χαναάν.

Γεν. 42,34 - καὶ ἀγάγετε πρός με τὸν ἀδελφὸν ὑμῶν τὸν νεώτερον, καὶ γνώσομαι ὅτι οὐ κατάσκοποί ἐστε, ἀλλ᾿ ὅτι εἰρηνικοί ἐστε, καὶ τὸν ἀδελφὸν ὑμῶν ἀποδώσω ὑμῖν, καὶ τῇ γῇ ἐμπορεύσεσθε.

Γεν. 42,34 - Επειτα δέ, φέρετε προς εμέ τον αδελφόν σας τον νεώτερον. Ετσι θα πεισθώ ότι δεν είσθε κατάσκοποι, αλλ' ότι είσθε πράγματι τίμιοι και φιλήσυχοι, θα σας αποδώσω τον αδελφόν σας που εκράτησα ως όμηρον και θα σας επιτρέψω να εισέρχεσθε και να εξέρχεσθε ελεύθερα εις την χώραν”.

Γεν. 42,35 - ἐγένετο δὲ ἐν τῷ κατακενοῦν αὐτοὺς τοὺς σάκκους αὐτῶν, καὶ ἦν ἑκάστου ὁ δεσμὸς τοῦ ἀργυρίου ἐν τῷ σάκκῳ αὐτῶν· καὶ εἶδον τοὺς δεσμοὺς τοῦ ἀργυρίου αὐτῶν αὐτοὶ καὶ ὁ πατὴρ αὐτῶν, καὶ ἐφοβήθησαν.

Γεν. 42,35 - Οταν δε οι εννέα αδελφοί άδειασαν στο σπίτι τους σάκκους με τον σίτον ευρέθη στον σάκκον του καθενός το χρηματόδεμά του, το αντίτιμον του σίτου. Είδον αυτοί και ο πατήρ των τα χρηματοδέματα και εφοβήθησαν.

Γεν. 42,36 - εἶπε δὲ αὐτοῖς Ἰακὼβ ὁ πατὴρ αὐτῶν· ἐμὲ ἠτεκνώσατε, Ἰωσὴφ οὔκ ἔστι, Συμεὼν οὐκ ἔστι, καὶ τὸν Βενιαμὶν λήψεσθε; ἐπ᾿ ἐμὲ ἐγένετο ταῦτα πάντα.

Γεν. 42,36 - Είπε δε προς αυτούς ο Ιακώβ, ο πατέρας των· “με αφήσατε χωρίς παιδιά· ο Ιωσήφ δεν υπάρχει πλέον εις την ζωήν, ο Συμεών δεν ευρίσκεται μεταξύ μας. Θα μου πάρετε λοιπόν και τον Βενιαμίν; Ολα αυτά τα κακά έπεσαν επάνω μου”.

Γεν. 42,37 - εἶπε δὲ Ῥουβὴν τῷ πατρὶ αὐτῶν λέγων· τοὺς δύο υἱούς μου ἀπόκτεινον, ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σέ· δὸς αὐτὸν εἰς τὴν χεῖρά μου, κἀγὼ ἀνάξω αὐτὸν πρὸς σέ.

Γεν. 42,37 - Είπε δε ο Ρουβήν προς τον πατέρα του· “εμπιστεύσου εις εμέ τον Βενιαμίν και εγώ σου υπόσχομαι ότι θα σου τον επαναφέρω σώον και υγιή. Εάν δε δεν τον επαναφέρω, σκότωσε τα δυό παιδιά μου”.

Γεν. 42,38 - ὁ δὲ εἶπεν· οὐ καταβήσεται ὁ υἱός μου μεθ᾿ ὑμῶν, ὅτι ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανε καὶ αὐτὸς μόνος καταλέλειπται· καὶ συμβήσεται αὐτὸν μαλακισθῆναι ἐν τῇ ὁδῷ, ᾗ ἐὰν πορεύησθε, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾄδου.

Γεν. 42,38 - Ο Ιακώβ απήντησεν· “όχι, κατ' ουδένα λόγον δεν θα αναχωρήση μαζή σας δια την Αίγυπτον ο υιός μου αυτός· διότι ο ομομήτριος αδελφός του απέθανε και αυτός μόνος μου έχει απομείνει, υιός της Ραχήλ. Φοβούμαι μήπως τυχόν και του συμβή τίποτε κακόν στον δρόμον, που θα βαδίζετε, και τότε θα κρημνίσετε καταλυπημένον το γήρας μου στον άδην”.

Γεν. 42,39 - ὁ δὲ λιμὸς ἐνίσχυσεν ἐπὶ τῆς γῆς.

Γεν. 42,39 - Η πείνα όμως εγίνετο ολοένα και περισσότερον μεγάλη και καταθλιπτική εις την χώραν των.

## ΓΕΝΕΣΙΣ 43

Γεν. 43,1 - Ἐγένετο δὲ ἡνίκα συνετέλεσαν καταφαγεῖν τὸν σῖτον, ὃν ἤνεγκαν ἐξ Αἰγύπτου, καὶ εἶπεν αὐτοῖς ὁ πατὴρ αὐτῶν· πάλιν πορευθέντες πρίασθε ἡμῖν μικρὰ βρώματα.

Γεν. 43,1 - Οταν τα τέκνα του Ιακώβ εξήντλησαν τον σίτον, τον οποίον έφεραν από την Αίγυπτον, τους είπεν ο πατήρ των· “πηγαίνετε πάλιν εις την Αίγυπτον και αγοράσετε δι' όλους μας ολίγας τροφάς”.

Γεν. 43,2 - εἶπε δὲ αὐτῷ Ἰούδας λέγων· διαμαρτυρίᾳ μεμαρτύρηται ἡμῖν ὁ ἄνθρωπος ὁ κύριος τῆς γῆς λέγων· οὐκ ὄψεσθε τὸ πρόσωπόν μου, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ᾿ ὑμῶν ᾖ·

Γεν. 43,2 - Ο Ιούδας, ένας εκ των αδελφών, του είπεν· “ο άνθρωπος εκείνος, ο κύριος της χώρας Αιγύπτου, ρητώς και επιμόνως ετόνισε λέγων· δεν θα παρουσιασθήτε ενώπιόν μου, εάν δεν είναι μαζή σας και ο νεώτερος αδελφός σας.

Γεν. 43,3 - εἰ μὲν οὖν ἀποστέλλῃς τὸν ἀδελφὸν ἡμῶν μεθ᾿ ἡμῶν, καταβησόμεθα, καὶ ἀγοράσομέν σοι βρώματα.

Γεν. 43,3 - Εάν λοιπόν θελήσης και αποστείλης μαζή μας τον αδελφόν μας τον Βενιαμίν, θα μεταβώμεν εις την Αίγυπτον και θα σου αγοράσωμεν τροφάς.

Γεν. 43,4 - εἰ δὲ μὴ ἀποστέλλῃς τὸν ἀδελφὸν ἡμῶν μεθ᾿ ἡμῶν, οὐ πορευσόμεθα. ὁ γὰρ ἄνθρωπος εἶπεν ἡμῖν, λέγων· οὐκ ὄψεσθέ μου τὸ πρόσωπον, ἐὰν μὴ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ᾿ ὑμῶν ᾖ.

Γεν. 43,4 - Εάν όμως δεν τον αποστείλης μαζή μας, δεν θα μεταβώμεν, διότι θα είναι μάταιος ο κόπος μας. Ο άνθρωπος εκείνος είπε και ζαναιείπεν ότι δεν θα ιδήτε το πρόσωπόν μου, εάν δεν είναι μαζή σας ο αδελφός σας ο νεώτερος”.

Γεν. 43,5 - εἶπε δὲ Ἰσραήλ· τί ἐκακοποιήσατέ με, ἀναγγείλαντες τῷ ἀνθρώπῳ ὅτι ἐστὶν ὑμῖν ἀδελφός;

Γεν. 43,5 - Ο Ιακώβ απήντησεν· “αντιλαμβάνεσθε, πόσον μεγάλο κακόν μου εκάματε με το να αναγγείλετε στον άνθρωπον εκείνον ότι υπάρχει και άλλος αδελφός σας;”

Γεν. 43,6 - οἱ δὲ εἶπαν· ἐρωτῶν ἐπηρώτησεν ἡμᾶς ὁ ἄνθρωπος καὶ τὴν γενεὰν ἡμῶν λέγων· εἰ ἔτι ὁ πατὴρ ὑμῶν ζῇ καὶ εἰ ἔστιν ὑμῖν ἀδελφός; καὶ ἀπηγγείλαμεν αὐτῷ κατὰ τὴν ἐπερώτησιν ταύτην. μὴ ᾔδειμεν ὅτι ἐρεῖ ἡμῖν· ἀγάγετε τὸν ἀδελφὸν ὑμῶν;

Γεν. 43,6 - Εκείνοι είπαν· “επιμόνως ο άνθρωπος αυτός μας η ρώτησε, να μάθη δια την οικογένειάν μας λέγων, εάν ακόμη ο πατέρας σας ζη, και εάν εκτός από σας υπάρχη και άλλος αδελφός. Και του απαντήσαμεν σύμφωνα με τας ερωτήσστου. Μηπως τάχα εγνωρίζαμεν ημείς, ότι θα μας πη· Φέρετε εδώ και τον άλλον αδελφόν σας;”

Γεν. 43,7 - εἶπε δὲ Ἰούδας πρὸς Ἰσραὴλ τὸν πατέρα αὐτοῦ· ἀπόστειλον τὸ παιδάριον μετ᾿ ἐμοῦ, καὶ ἀναστάντες πορευσόμεθα, ἵνα ζῶμεν καὶ μὴ ἀποθάνωμεν καὶ ἡμεῖς καὶ σὺ καὶ ἡ ἀποσκευὴ ἡμῶν.

Γεν. 43,7 - Ο Ιούδας είπε προς τον Ιακώβ τον πατέρα του· “στείλε μαζή μου το παιδίον τον Βενιαμίν, δια να ξεκινήσωμεν και μεταβώμεν εις την Αίγυπτον. Ετσι μόνον θα αγοράσωμεν τρόφιμα, δια να ζήσωμεν και να μη αποθάνωμεν από την πείναν και ημείς και συ και τα παιδιά μας.

Γεν. 43,8 - ἐγὼ δὲ ἐκδέχομαι αὐτόν, ἐκ χειρός μου ζήτησον αὐτόν· ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σὲ καὶ στήσω αὐτὸν ἐναντίον σου, ἡμαρτηκὼς ἔσομαι εἰς σὲ πάσας τὰς ἡμέρας.

Γεν. 43,8 - Εγώ αναλαμβάνω τον Βενιαμίν. Από τα χέρια μου να τον ζητήσης. Εάν τυχόν και δεν τον επαναφέρω και δεν τον παρουσιάσω ενώπιόν σου, θα είμαι βαρύτατα ένοχος απέναντί σου εις όλην μου την ζωήν.

Γεν. 43,9 - εἰ μὴ γὰρ ἐβραδύναμεν, ἤδη ἂν ὑπεστρέψαμεν δίς.

Γεν. 43,9 - Εάν έως τώρα δεν εχάναμεν τον καιρόν μας με τας συζητήσεις αυτάς, θα είχομεν ήδη μεταβή εις την Αίγυπτον και θα είχομεν επιστρέψει δύο φοράς”.

Γεν. 43,10 - εἶπε δὲ αὐτοῖς Ἰσραὴλ ὁ πατὴρ αὐτῶν· εἰ οὕτως ἐστί, τοῦτο ποιήσατε· λάβετε ἀπὸ τῶν καρπῶν τῆς γῆς ἐν τοῖς ἀγγείοις ὑμῶν καὶ καταγάγετε τῷ ἀνθρώπῳ δῶρα τῆς ῥητίνης καὶ τοῦ μέλιτος, θυμίαμά τε καὶ στακτὴν καὶ τερέβινθον καὶ κάρυα.

Γεν. 43,10 - Ο Ισραήλ, ο πατήρ των, τους είπε τότε· “αφού έτσι έχουν τα πράγματα, κάμετε όπως είπατε. Παρτε όμως από τα προϊόντα της χώρας μας και φέρετε προς τον άνθρωπον εκείνον ως δώρα ευώδη ρητίνην και μέλι, θυμίαμα και στακτήν, (άρωμα από σμύρναν), τερέβινθον (τερεμεντίναν από σχίνον), και καρύδια.

Γεν. 43,11 - καὶ τὸ ἀργύριον δισσὸν λάβετε ἐν ταῖς χερσὶν ὑμῶν· καὶ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ὑμῶν ἀποστρέψατε μεθ᾿ ὑμῶν· μή ποτε ἀγνόημά ἐστι.

Γεν. 43,11 - Παρετε επίσης μαζή σας διπλά τα χρήματα της τιμής του σίτου, ώστε να επιστρέψετε στον άρχοντα της Αιγύπτου τα χρηματοδέματα, που ευρήκατε στους σάκκους σας, μήπως τυχόν και είχε γίνει κανένα λάθος.

Γεν. 43,12 - καὶ τὸν ἀδελφὸν ὑμῶν λάβετε καὶ ἀναστάντες κατάβητε πρὸς τὸν ἄνθρωπον.

Γεν. 43,12 - Παρτε και τον αδελφόν σας και ξεκινήσατε δια να μεταβήτε στον άρχοντα εκείνον της Αιγύπτου.

Γεν. 43,13 - ὁ δὲ Θεός μου δῴη ὑμῖν χάριν ἐναντίον τοῦ ἀνθρώπου, καὶ ἀποστείλαι τὸν ἀδελφὸν ὑμῶν τὸν ἕνα καὶ τὸν Βενιαμίν· ἐγὼ μὲν γὰρ καθάπερ ἠτέκνωμαι, ἠτέκνωμαι.

Γεν. 43,13 - Ο Θεός να δώση να βρήτε ευμενή υποδοχήν ενώπιον εκείνου του ανθρώπου και να απαστείλη προς εμέ τον άλλον αδελφόν σας τον Συμεών, που έμεινεν εις την Αίγυπτον, όπως επίσης και τον Βενιαμίν. Αλλωστε είτε ούτως είτε άλλως θεωρώ πλέον χαμένα και τα δύο παιδιά μου, που απέκτησα από την Ραχήλ”.

Γεν. 43,14 - Λαβόντες δὲ οἱ ἄνδρες τὰ δῶρα ταῦτα καὶ τὸ ἀργύριον διπλοῦν ἔλαβον ἐν ταῖς χερσὶν αὐτῶν καὶ τὸν Βενιαμὶν καὶ ἀναστάντες κατέβησαν εἰς Αἴγυπτον καὶ ἔστησαν ἐναντίον Ἰωσήφ.

Γεν. 43,14 - Ελαβον οι αδελφοί αυτά τα δώρα και διπλά τα χρήματα της τιμής του σίτου, τόσον εκείνου τον οποίον θα αγοράσουν όσον και του προηγουμένου, εξεκίνησαν, επήγαν εις την Αίγυπτον και παρουσιάσθησαν ενώπιον του Ιωσήφ.

Γεν. 43,15 - εἶδε δὲ Ἰωσὴφ αὐτοὺς καὶ τὸν Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον καὶ εἶπε τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ· εἰσάγαγε τοὺς ἀνθρώπους εἰς τὴν οἰκίαν καὶ σφάξον θύματα καὶ ἑτοίμασον· μετ᾿ ἐμοῦ γὰρ φάγονται οἱ ἄνθρωποι ἄρτους τὴν μεσημβρίαν.

Γεν. 43,15 - Τους είδεν ο Ιωσήφ, είδε και τον ομομήτριον αδελφόν του τον Βενιαμίν και είπεν στον αρχηγόν του οίκου του· “οδήγησε τους ανθρώπους αυτούς εις την οικίαν, σφάξε εκλεκτά σφαχτά και ετοίμασε φαγητά, διότι σήμερον την μεσημβρίαν θα γευματίσουν μαζή μου αυτοί οι άνθρωποι”.

Γεν. 43,16 - ἐποίησε δὲ ὁ ἄνθρωπος, καθὰ εἶπεν Ἰωσήφ, καὶ εἰσήγαγε τοὺς ἀνθρώπους εἰς τὸν οἶκον Ἰωσήφ.

Γεν. 43,16 - Ο άνθρωπος εκείνος έκαμε, όπως του είπεν ο Ιωσήφ και ωδήγησε τους αδελφούς στο ανάκτορον του Ιωσήφ.

Γεν. 43,17 - ἰδόντες δὲ οἱ ἄνδρες ὅτι εἰσήχθησαν εἰς τὸν οἶκον τοῦ Ἰωσήφ, εἶπαν· διὰ τὸ ἀργύριον τὸ ἀποστραφὲν ἐν τοῖς μαρσίπποις ἡμῶν τὴν ἀρχὴν ἡμεῖς εἰσαγόμεθα τοῦ συκοφαντῆσαι ἡμᾶς καὶ ἐπιθέσθαι ἡμῖν τοῦ λαβεῖν ἡμᾶς εἰς παῖδας καὶ τοὺς ὄνους ἡμῶν.

Γεν. 43,17 - Ιδόντες οι αδελφοί, ότι ωδηγήθησαν στον οίκον του Ιωσήφ είπον· “οδηγούμεθα ημείς στον οίκον τούτον εξ αιτίας των χρημάτων, που μας επεστράφησαν στους σάκκους μας και με τα οποία ημείς είχομεν πληρώσει την πρώτην φοράν τον σίτον· αυτό γίνεται δια να μας συκοφαντήσουν, και προς τιμωρίαν μας να μας πάρουν δούλους, να κρατήσουν και τους όνους μας”.

Γεν. 43,18 - προσελθόντες δὲ πρὸς τὸν ἄνθρωπον τὸν ἐπὶ τοῦ οἴκου τοῦ Ἰωσὴφ ἐλάλησαν αὐτῷ ἐν τῷ πυλῶνι τοῦ οἴκου

Γεν. 43,18 - Επλησίασαν λοιπόν προς τον άνθρωπον, ο οποίος ήτο αρχηγός του οίκου του Ιωσήφ, ωμίλησαν προς αυτόν εις την μεγάλην θύραν της αυλής του οίκου,

Γεν. 43,19 - λέγοντες· δεόμεθα, κύριε, κατέβημεν τὴν ἀρχὴν πρίασθαι βρώματα·

Γεν. 43,19 - και του είπαν· “κύριε, σας παρακαλούμεν ακούστε αυτά, που θα σας πούμε. Ημείς ήλθομεν εις την Αίγυπτον την πρώτην φοράν να αγοράσωμεν τρόφιμα.

Γεν. 43,20 - ἐγένετο δὲ ἡνίκα ἤλθομεν εἰς τὸ καταλῦσαι καὶ ἠνοίξαμεν τοὺς μαρσίππους ἡμῶν, καὶ τόδε τὸ ἀργύριον ἑκάστου ἐν τῷ μαρσίππῳ αὐτοῦ· τὸ ἀργύριον ἡμῶν ἐν σταθμῷ ἀπεστρέψαμεν νῦν ἐν ταῖς χερσὶν ἡμῶν

Γεν. 43,20 - Οταν δε εφθάσαμεν κάπου, δια να κάμωμεν κατάλυμα και ανοίξαμε τους σάκκους μας, ευρέθη στον σάκκον εκάστου το αργύριον, με το οποίον είχε πληρώσει τον σίτον. Το αργύριον, λοιπόν, αυτό σας το επιστρέφομεν ιδιοχείρως μετρημένο και ζυγισμένο.

Γεν. 43,21 - καὶ ἀργύριον ἕτερον ἠνέγκαμεν μεθ᾽ ἑαυτῶν ἀγοράσαι βρώματα· οὐκ οἴδαμεν, τίς ἐνέβαλε τὸ ἀργύριον εἰς τοὺς μαρσίππους ἡμῶν.

Γεν. 43,21 - Εφέραμεν δε άλλα χρήματα μαζή μας, δια να αγοράσωμεν πάλιν τροφάς. Δεν γνωρίζομεν ποίος είχε βαλεί το αργύριον στους σάκκους μας”.

Γεν. 43,22 - εἶπε δὲ αὐτοῖς· ἵλεως ὑμῖν, μὴ φοβεῖσθε· ὁ Θεὸς ὑμῶν καὶ ὁ Θεὸς τῶν πατέρων ὑμῶν ἔδωκεν ὑμῖν θησαυροὺς ἐν τοῖς μαρσίπποις ὑμῶν, καὶ τὸ ἀργύριον ὑμῶν εὐδοκιμοῦν ἀπέχω. καὶ ἐξήγαγε πρὸς αὐτοὺς τὸν Συμεὼν

Γεν. 43,22 - Είπεν εκείνος προς αυτούς· “ο Θεός σας ηλέησε. Μη φοβείσθε. Ο Θεός σας και ο Θεός των πατέρων σας σας έδωσεν αυτούς τους θησαυρούς στους σάκκους σας. Το δε αργύριον, το αντίτιμον του σίτου που είχατε αγοράσει προηγουμένως, εγώ το έχω πάρει”. Εβγαλε δε τότε τον Συμεών από την φυλακήν και τον ωδήγησε προς αυτούς.

Γεν. 43,23 - καὶ ἤνεγκεν ὕδωρ νίψαι τοὺς πόδας αὐτῶν καὶ ἔδωκε χορτάσματα τοῖς ὄνοις αὐτῶν.

Γεν. 43,23 - Διέταξε δε και εις αυτούς μεν έφεραν ύδωρ δια να νίψουν τους πόδας των, εις δε τους όνους των έδωκαν τροφάς.

Γεν. 43,24 - ἡτοίμασαν δὲ τὰ δῶρα ἕως τοῦ ἐλθεῖν τὸν Ἰωσὴφ μεσημβρίας· ἤκουσαν γὰρ ὅτι ἐκεῖ μέλλει ἀριστᾶν.

Γεν. 43,24 - Οι αδελφοί ετοίμασαν τα δώρα, δια να τα προσφέρουν στον Ιωσήφ και τον επερίμεναν, μέχρις ότου θα ήρχετο κατά την μεσημβρίαν στον οίκόν του, διότι επληροφορήθησαν ότι εκεί θα εγευμάτιζε.

Γεν. 43,25 - Εἰσῆλθε δὲ Ἰωσὴφ εἰς τὴν οἰκίαν, καὶ προσήνεγκαν αὐτῷ τὰ δῶρα, ἃ εἶχον ἐν ταῖς χερσὶν αὐτῶν, εἰς τὸν οἶκον καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν.

Γεν. 43,25 - Ηλθε πράγματι ο Ιωσήφ εις την οικίαν του και εκείνοι του προσέφεραν τα δώρα, τα οποία εκρατούσαν εις τα χέρια των, και τον επροσκύνησαν κύψαντες το πρόσωπόν των μέχρις εδάφους.

Γεν. 43,26 - ἠρώτησε δὲ αὐτούς, πῶς ἔχετε; καὶ εἶπεν αὐτοῖς· εἰ ὑγιαίνει ὁ πατὴρ ὑμῶν ὁ πρεσβύτης, ὃν εἴπατε;

ἔτι ζῇ;

Γεν. 43,26 - Ο Ιωσήφ τους ηρώτησε με καλωσύνην· “πως έχετε;” Και κατόπιν προσέθεσεν· “υγιαίνει ο γέρων πατέρας σας, δια τον οποίον την πρώτην φοράν μου εκάματε λόγον; Ζη ακόμη;”

Γεν. 43,27 - οἱ δὲ εἶπαν· ὑγιαίνει ὁ παῖς σου ὁ πατὴρ ἡμῶν, ἔτι ζῇ· καὶ εἶπεν· εὐλογημένος ὁ ἄνθρωπος ἐκεῖνος τῷ Θεῷ. καὶ κύψαντες προσεκύνησαν αὐτῷ.

Γεν. 43,27 - Εκείνοι του απήντησαν· “ο δούλος σου, ο πατέρας μας, υγιαίνει, ζη ακόμη”. Είπε δε ο Ιωσήφ· “ας είναι ευλογημένος ο άνθρωπος εκείνος ενώπιον του Θεού”. Και κύψαντες μέχρις εδάφους τον προσεκύνησαν.

Γεν. 43,28 - ἀναβλέψας δὲ τοῖς ὀφθαλμοῖς αὐτοῦ Ἰωσὴφ εἶδε Βενιαμὶν τὸν ἀδελφὸν αὐτοῦ τὸν ὁμομήτριον καὶ εἶπεν· οὗτος ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος, ὃν εἴπατε πρός με ἀγαγεῖν; καὶ εἶπεν· ὁ Θεὸς ἐλεήσαι σε τέκνον.

Γεν. 43,28 - Εσήκωσε τα βλέμματά του ο Ιωσήφ, είδε τον ομομήτριον αδελφόν του, τον Βενιαμίν, και ηρώτησε τους αδελφούς· “αυτός είναι ο νεώτερος αδελφός σας, τον οποίον είπατε ότι θα οδηγήσετε προς εμέ;” Και στραφείς προς τον Βενιαμίν του είπε· “ο Θεός να σε ελεήση, τέκνον μου”.

Γεν. 43,29 - ἐταράχθη δὲ Ἰωσήφ, συνεστρέφετο γὰρ τὰ ἔγκατα αὐτοῦ ἐπὶ τῷ ἀδελφῷ αὐτοῦ, καὶ ἐζήτει κλαῦσαι· εἰσελθὼν δὲ εἰς τὸ ταμεῖον ἔκλαυσεν ἐκεῖ.

Γεν. 43,29 - Συνεκινήθη βαθύτατα ο Ιωσήφ, ανεστράφησαν τα σπλάγχνα αυτού, όταν είδε τον αδελφόν του τον Βενιαμίν, και εζήτει να εύρη ιδιαίτερον τινά απόκρυφον τόπον, δια να κλαύση. Εισήλθε πράγματι στο εσωτερικόν δωμάτιόν του και εκεί ανελύθη εις δάκρυα.

Γεν. 43,30 - καὶ νιψάμενος τὸ πρόσωπον ἐξελθὼν ἐνεκρατεύσατο καὶ εἶπε· παράθετε ἄρτους.

Γεν. 43,30 - Μετ' ολίγον ένιψε το πρόσωπόν του, συνεκράτησε την συγκίνησίν του, εξήλθεν από το δωμάτιον και είπεν στους ανθρώπους του· “παραθέσατε το φαγητόν”.

Γεν. 43,31 - καὶ παρέθηκαν αὐτῷ μόνῳ καὶ αὐτοῖς καθ᾿ ἑαυτοὺς καὶ τοῖς Αἰγυπτίοις τοῖς συνδειπνοῦσι μετ᾿ αὐτοῦ καθ᾿ ἑαυτούς· οὐ γὰρ ἐδύναντο οἱ Αἰγύπτιοι συνεσθίειν μετὰ τῶν Ἑβραίων ἄρτους, βδέλυγμα γάρ ἐστι τοῖς Αἰγυπτίοις.

Γεν. 43,31 - Εκείνοι παρέθεσαν φαγητόν δια τον Ιωσήφ ιδιαιτέρως, δια τους αδελφούς αυτού ιδιαιτέρως, και δια τους Αιγυπτίους, οι οποίοι συνέτρωγαν με αυτόν, επίσης ιδιαιτέρως· διότι δεν ηνείχοντο οι Αιγύπτιοι να συντρώγουν με τους Εβραίους, επειδή ήτο τούτο αποτροπιαστικόν δι'αυτούς.

Γεν. 43,32 - ἐκάθισαν δὲ ἐναντίον αὐτοῦ, ὁ πρωτότοκος κατὰ τὰ πρεσβεῖα αὐτοῦ καὶ ὁ νεώτερος κατὰ τὴν νεότητα αὐτοῦ· ἐξίσταντο δὲ οἱ ἄνθρωποι ἕκαστος πρὸς τὸν ἀδελφὸν αὐτοῦ.

Γεν. 43,32 - Εκάθισαν λοιπόν ενώπιόν του οι αδελφοί του Ιωσήφ κατά την σειράν της ηλικίας των, ώστε ο πρωτότοκος να κάθεται εις θέσιν ανάλογον της μεγαλυτέρας του ηλικίας και ο νεώτερος εις θέσιν ανάλογον της μικροτέρας του ηλικίας. Οι αδελφοί παρετήρουν ο ένας τον άλλον και απορούσαν δια την τακτοποίησίν των εις την τράπεζαν ανάλογα με την ηλικίαν των.

Γεν. 43,33 - ῆ̣ραν δὲ μερίδας παρ᾿ αὐτοῦ πρὸς αὐτούς· ἐμεγαλύνθη δὲ ἡ μερὶς Βενιαμὶν παρὰ τὰς μερίδας πάντων πενταπλασίως πρὸς τὰς ἐκείνων, ἔπιον δὲ καὶ ἐμεθύσθησαν μετ᾿ αὐτοῦ.

Γεν. 43,33 - Οι υπηρέται έφεραν μερίδας φαγητού από την τράπεζαν του Ιωσήφ προς τους αδελφούς. Η μερίς του Βενιαμίν ήτο πέντε φορές μεγαλύτερα από τας μερίδας των άλλων αδελφών. Εφαγον όλοι μαζή με τον Ιωσήφ, έπιον και ήλθον εις ευθυμίαν μαζή με αυτόν.

## ΓΕΝΕΣΙΣ 44

Γεν. 44,1 - Καὶ ἐνετείλατο ὁ Ἰωσὴφ τῷ ὄντι ἐπὶ τῆς οἰκίας αὐτοῦ λέγων· πλήσατε τοὺς μαρσίππους τῶν ἀνθρώπων βρωμάτων, ὅσα ἐὰν δύνωνται ἆραι, καὶ ἐμβάλετε ἑκάστου τὸ ἀργύριον ἐπὶ τοῦ στόματος τοῦ μαρσίππου

Γεν. 44,1 - Επειτα απ' αυτά διέταξεν ο Ιωσήφ τον αρχηγόν του οίκου του λέγων· “γεμίσατε τους σάκκους των ανθρώπων αυτών από τρόφιμα, όσα ημπορούν να πάρουν. Βαλτε το αργύριον ενός εκάστου στο στόμιον του σάκκου του,

Γεν. 44,2 - καὶ τὸ κόνδυ μου τὸ ἀργυροῦν ἐμβάλετε εἰς τὸν μάρσιππον τοῦ νεωτέρου καὶ τὴν τιμὴν τοῦ σίτου αὐτοῦ. ἐγενήθη δὲ κατὰ τὸ ῥῆμα Ἰωσήφ, καθὼς εἶπε.

Γεν. 44,2 - και το αργυρούν ποτήριόν μου θέσατε στον σάκκον του νεωτέρου αδελφού όπως και το αντίτιμον της αγοράς του σίτου του”. Οπως διέταξεν ο Ιωσήφ, έτσι και έγινε.

Γεν. 44,3 - τὸ πρωΐ διέφαυσε, καὶ οἱ ἄνθρωποι ἀπεστάλησαν, αὐτοὶ καὶ οἱ ὄνοι αὐτῶν.

Γεν. 44,3 - Την επομένην ημέραν κατά το γλυκοχάραμα αφέθησαν ελεύθεροι οι άνθρωποι αυτοι με τους φορτωμένους όνους των, δια να αναχωρήσουν.

Γεν. 44,4 - ἐξελθόντων δὲ αὐτῶν τὴν πόλιν, οὐκ ἀπέσχον μακράν, καὶ Ἰωσὴφ εἶπε τῷ ἐπὶ τῆς οἰκίας αὐτοῦ· ἀναστὰς ἐπιδίωξον ὀπίσω τῶν ἀνθρώπων καὶ καταλήψῃ αὐτοὺς καὶ ἐρεῖς αὐτοῖς· τί ὅτι ἀνταπεδώκατε πονηρὰ ἀντὶ καλῶν; ἱνατί ἐκλέψατέ μου τὸ κόνδυ τὸ ἀργυροῦν;

Γεν. 44,4 - Οταν εξήλθον από την πόλιν και δεν απείχον πολύ, είπεν ο Ιωσήφ στον αρχηγόν του οίκου του· “σήκω και τρέξε όπισθεν αυτών των

ανθρώπων, πρόφθασέ τους και θα τους πης· διατί ανταπεδώσατε κακά αντί των καλών που ελάβατε; Διατί μου εκλέψατε το ασημένιο ποτήρι;

Γεν. 44,5 - οὐ τοῦτό ἐστιν, ἐν ᾧ πίνει ὁ κύριός μου; αὐτὸς δὲ οἰωνισμῷ οἰωνίζεται ἐν αὐτῷ. πονηρὰ συντετελέκατε, ἃ πεποιήκατε.

Γεν. 44,5 - Δεν είναι αυτό το ποτήρι, με το οποίον πίνει ο κύριός μου; Με αυτό το ποτήρι εκείνος προμαντεύει τα μέλλοντα. Είναι πολύ κακόν αυτό, που εκάματε κλέψαντες το ποτήρι”.

Γεν. 44,6 - εὑρὼν δὲ αὐτοὺς εἶπεν αὐτοῖς κατὰ τὰ ῥήματα ταῦτα.

Γεν. 44,6 - Ο αρχηγός του οίκου του Ιωσήφ κατέφθασε τους αδελφούς και τους είπε τα λόγια αυτά.

Γεν. 44,7 - οἱ δὲ εἶπαν αὐτῷ· ἱνατί λαλεῖ ὁ κύριος κατὰ τὰ ῥήματα ταῦτα; μὴ γένοιτο τοῖς παισί σου ποιῆσαι κατὰ τὸ ῥῆμα τοῦτο.

Γεν. 44,7 - Εκείνοι του απήντησαν· “διατί ο κύριος μας λέγει αυτά τα λόγια; Μη γένοιτο να πράξουν οι δούλοι σου αυτήν την πράξιν, δια την οποίαν κατηγορούνται.

Γεν. 44,8 - εἰ τὸ μὲν ἀργύριον, ὃ εὕρομεν ἐν τοῖς μαρσίπποις ἡμῶν, ἀπεστρέψαμεν πρὸς σὲ ἐκ γῆς Χαναάν, πῶς ἂν κλέψαιμεν ἐκ τοῦ οἴκου τοῦ κυρίου σου ἀργύριον ἢ χρυσίον;

Γεν. 44,8 - 'Εαν ημείς τα χρήματα, τα οποία ευρήκαμεν στους σάκκους μας κατά το πρώτον μας ταξίδι τα επεστρέψαμεν από την χώραν Χαναάν, πως ήτο δυνατόν να κλέψωμεν άργυρον η χρυσόν από τον οίκον του κυρίου σου;

Γεν. 44,9 - παρ᾿ ᾧ ἂν εὕρῃς τὸ κόνδυ τῶν παίδων σου, ἀποθνησκέτω· καὶ ἡμεῖς δὲ ἐσόμεθα παῖδες τῷ κυρίῳ ἡμῶν.

Γεν. 44,9 - Εκείνος στον οποίον από ημάς τους δούλους σου θα εύρης το ποτήρι, να θανατωθή· ημείς δε οι άλλοι θα γίνωμεν δούλοι στον κύριόν μας”.

Γεν. 44,10 - ὁ δὲ εἶπε· καὶ νῦν ὡς λέγετε, οὕτως ἔσται· παρ᾿ ᾧ ἂν εὑρεθῇ τὸ κόνδυ, ἔσται μου παῖς, ὑμεῖς δὲ ἔσεσθε καθαροί.

Γεν. 44,10 - Εκείνος απήντησεν· “όπως τώρα λέγετε έτσι και θα γίνη· εκείνος στον οποίον θα ευρεθήτό ποτήρι θα γίνη δούλος μου· αλλά σεις οι άλλοι θα είσθε ανεύθυνοι και ελεύθεροι να επιστρέψετε εις την πατρίδα σας”.

Γεν. 44,11 - καὶ ἔσπευσαν καὶ καθεῖλαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ ἐπὶ τὴν γῆν καὶ ἤνοιξαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ.

Γεν. 44,11 - Εσπευσαν οι αδελφοί και κατέβασαν έκαστος τον σάκκον αυτού στο έδαφος και ο καθένας ήνοιξε τον ιδικόν του σάκκον.

Γεν. 44,12 - ἠρεύνησε δὲ ἀπὸ τοῦ πρεσβυτέρου ἀρξάμενος, ἕως ἦλθεν ἐπὶ τὸν νεώτερον, καὶ εὗρε τὸ κόνδυ ἐν τῷ μαρσίππῳ τοῦ Βενιαμίν.

Γεν. 44,12 - Ο αρχηγός του οίκου του Ιωσήφ ήρχισε να ερευνά από τον σάκκον του πρεσβυτέρου μέχρις ότου έφθασεν στον σάκκον του νεωτέρου, του Βενιαμίν, όπου και ευρήκε το ποτήριον.

Γεν. 44,13 - καὶ διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν καὶ ἐπέθηκαν ἕκαστος τὸν μάρσιππον αὐτοῦ ἐπί τὸν ὄνον αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς τὴν πόλιν.

Γεν. 44,13 - Οι αδελφοί κατάπληκτοι και κατώδυνοι έσχισαν τα ιμάτιά των από την λύπην, εφόρτωσαν ο καθένας τον σάκκον του στον όνον του και επέστρεψαν όλοι εις την πόλιν.

Γεν. 44,14 - εἰσῆλθε δὲ Ἰούδας καὶ οἱ ἀδελφοὶ αὐτοῦ πρὸς Ἰωσήφ, ἔτι αὐτοῦ ὄντος ἐκεῖ, καὶ ἔπεσον ἐναντίον αὐτοῦ ἐπὶ τὴν γῆν.

Γεν. 44,14 - Ο Ιούδας και οι αδελφοί του εισήλθον στον οίκον του Ιωσήφ, όπου αυτός ευρίσκετο ακόμη εκεί, και έπεσαν κατά γης ενώπιόν του.

Γεν. 44,15 - εἶπε δὲ αὐτοῖς Ἰωσήφ· τί τὸ πρᾶγμα τοῦτο ἐποιήσατε; οὐκ οἴδατε ὅτι οἰωνισμῷ οἰωνιεῖται ὁ ἄνθρωπος, οἷος ἐγώ;

Γεν. 44,15 - Τους είπε δε ο Ιωσήφ· “τι είναι αυτό που εκάματε; Δεν γνωρίζετε ότι άνθρωπος, όπως εγώ, έχει την δύναμιν να μαντεύη και να γνωρίζη και τας κρυφίας πράξεις;”

Γεν. 44,16 - εἶπε δὲ Ἰούδας· τί ἀντεροῦμεν τῷ κυρίῳ, ἢ τί λαλήσομεν, ἢ τί δικαιωθῶμεν; ὁ Θεὸς δὲ εὗρε τὴν ἀδικίαν τῶν παίδων σου. ἰδού ἐσμεν οἰκέται τῷ κυρίῳ ἡμῶν, καὶ ἡμεῖς καὶ παρ᾿ ᾧ εὑρέθη τὸ κόνδυ.

Γεν. 44,16 - Απήντησεν ο Ιούδας· “τι να απαντήσωμεν στον κύριον, η τι να είπωμεν, η ποίαν δικαιολογίαν να εύρωμεν, δια να δικαιωθώμεν απέναντί του; Ο Θεός ενεθυμήθη κάποιαν άλλην μεγάλην αμαρτίαν των δούλων σου και μας τιμωρεί τώρα δι' αυτήν. Ιδού είμεθα όλοι δούλοι στον κύριόν μας ημείς και εκείνος στον οποίον ευρέθη το ποτήριον”.

Γεν. 44,17 - εἶπε δὲ Ἰωσήφ· μή μοι γένοιτο ποιῆσαι τὸ ῥῆμα τοῦτο· ὁ ἄνθρωπος, παρ᾿ ᾧ εὑρέθη τὸ κόνδυ αὐτὸς ἔσται μου παῖς. ὑμεῖς δὲ ἀνάβητε μετὰ σωτηρίας πρὸς τὸν πατέρα ὑμῶν.

Γεν. 44,17 - Απήντησε δε ο Ιωσήφ· “δεν θα συγκατατεθώ ποτέ να κάμω αυτό, που μου προτείνετε· να κρατήσω δηλαδή όλους σας ως δούλους. Αλλά δούλος μου θα μείνη μόνον εκείνος, στον οποίον ευρέθη το ποτήρι μου. Σεις οι άλλοι πηγαίνετε σώοι και ελεύθεροι προς τον πατέρα σας”.

Γεν. 44,18 - Ἐγγίσας δὲ αὐτῷ Ἰούδας εἶπε· δέομαι, κύριε· λαλησάτω ὁ παῖς σου ῥῆμα ἐναντίον σου, καὶ μὴ θυμωθῇς τῷ παιδί σου, ὅτι σὺ εἶ μετὰ Φαραώ.

Γεν. 44,18 - Επλησίασεν ο Ιούδας προς τον Ιωσήφ και του είπε· “κύριε, σε θερμοπαρακαλώ ας επιτραπή εις εμέ τον δούλον σου να ομιλήσω ενώπιόν σου και ας μη οργισθής εναντίον μου. Διότι συ είσαι ως προς την εξουσίαν πρώτος μετά τον Φαραώ.

Γεν. 44,19 - κύριε, σὺ ἠρώτησας τοὺς παῖδάς σου, λέγων· εἰ ἔχετε πατέρα ἢ ἀδελφόν;

Γεν. 44,19 - Ακουσε λοιπόν, κύριε, την ιστορίαν μας. Συ ηρώτησας ημάς τους δούλους σου· έχετε πατέρα η αδελφόν;

Γεν. 44,20 - καὶ εἴπαμεν τῷ κυρίῳ· ἔστιν ἡμῖν πατὴρ πρεσβύτερος καὶ παιδίον γήρους νεώτερον αὐτῷ, καὶ ὁ ἀδελφὸς αὐτοῦ ἀπέθανεν, αὐτὸς δὲ μόνος ὑπελείφθη τῇ μητρὶ αὐτοῦ, ὁ δὲ πατὴρ αὐτὸν ἠγάπησεν.

Γεν. 44,20 - Και ημείς απηντήσαμεν στον κύριον· Εχομεν γέροντα πατέρα, όπως και ένα νεώτερον αδελφόν μας, παιδί των γηρατείων του πατρός μας. Αυτού ο αδελφός απέθανε και έτσι έμεινεν ο μόνος από την μητέρα, που τους είχε γεννήσει. Ο πατήρ μας τον ηγάπησε και τον αγαπά ιδιαιτέρως.

Γεν. 44,21 - εἶπας δὲ τοῖς παισί σου· καταγάγετε αὐτὸν πρός με, καὶ ἐπιμελοῦμαι αὐτοῦ.

Γεν. 44,21 - Συ είπες στους δούλους σου· Φέρετε αυτόν τον νεώτερον αδελφόν προς εμέ και μη φοβηθήτε, διότι εγώ θα φροντίσω δι' αυτόν.

Γεν. 44,22 - καὶ εἴπαμεν τῷ κυρίῳ· οὐ δυνήσεται τὸ παιδίον καταλιπεῖν τὸν πατέρα αὐτοῦ· ἐὰν δὲ καταλίπῃ τὸν πατέρα, ἀποθανεῖται.

Γεν. 44,22 - Είπαμεν ημείς προς τον κύριον μας· Δεν είναι δυνατόν, αυτό το παιδί να εγκαταλείψη τον πατέρα του· εάν και τον εγκαταλείψη, εκείνος θα αποθάνη.

Γεν. 44,23 - σὺ δὲ εἶπας τοῖς παισί σου· ἐὰν μὴ καταβῇ ὁ ἀδελφὸς ὑμῶν ὁ νεώτερος μεθ᾽ ὑμῶν, οὐ προσθήσεσθε ἰδεῖν τὸ πρόσωπόν μου.

Γεν. 44,23 - Συ δε είπες εις ημάς τους δούλους σου· Εάν δεν έλθη ο νεώτερος αδελφός σας μαζή σας, δεν πρόκειται να ίδετε ποτέ το πρόσωπόν μου και να πάρετε τροφάς από την Αίγυπτον.

Γεν. 44,24 - ἐγένετο δὲ ἡνίκα ἀνέβημεν πρὸς τὸν παῖδά σου πατέρα ἡμῶν, ἀπηγγείλαμεν αὐτῷ τὰ ῥήματα τοῦ κυρίου ἡμῶν.

Γεν. 44,24 - Οταν λοιπόν μετέβημεν στον πατέρα μας, τον δούλον σου, του ανεφέραμεν τα λόγια του κυρίου μας.

Γεν. 44,25 - εἶπε δὲ ὁ πατὴρ ἡμῶν· βαδίσατε πάλιν καὶ ἀγοράσατε ἡμῖν μικρὰ βρώματα.

Γεν. 44,25 - Οταν αι τροφαί ετελείωσαν, ο πατήρ μας είπε· Πηγαίνετε πάλιν εις την Αίγυπτον και αγοράσατε δι' όλους μας ολίγας τροφάς.

Γεν. 44,26 - ἡμεῖς δέ εἴπομεν· οὐ δυνησόμεθα καταβῆναι. ἀλλ᾽ εἰ μὲν ὁ ἀδελφὸς ἡμῶν ὁ νεώτερος καταβαίνει μεθ᾽ ἡμῶν, καταβησόμεθα· οὐ γὰρ δυνησόμεθα ἰδεῖν τὸ πρόσωπον τοῦ ἀνθρώπου, τοῦ ἀδελφοῦ ἡμῶν τοῦ νεωτέρου μὴ ὄντος μεθ᾽ ἡμῶν.

Γεν. 44,26 - Ημείς όμως του απαντήσαμεν· Είναι αδύνατον να μεταβώμεν εις την Αίγυπτον, εκτός εάν έλθη μαζή μας και ο νεώτερος αδελφός μας. Τοτε θα μεταβώμεν. Διότι δεν θα ημπορέσωμεν να παρουσιασθώμεν ενώπιον του άρχοντος της Αιγύπτου, εάν ο νεώτερος αδελφός μας δεν είναι μαζή μας.

Γεν. 44,27 - εἶπε δὲ ὁ παῖς σου, ὁ πατὴρ ἡμῶν πρὸς ἡμᾶς· ὑμεῖς γινώσκετε ὅτι δύο ἔτεκέ μοι ἡ γυνή·

Γεν. 44,27 - Ο πατήρ μας, ο δούλος σου, μας είπε· Γνωρίζετε και σεις ότι δύο παιδιά μου εγέννησεν η σύζυγός μου η Ραχήλ.

Γεν. 44,28 - καὶ ἐξῆλθεν ὁ εἷς ἀπ᾽ ἐμοῦ, καὶ εἴπατε ὅτι θηριόβρωτος γέγονε, καὶ οὐκ εἶδον αὐτὸν ἄχρι νῦν·

Γεν. 44,28 - Ο ένας από αυτούς έφυγεν από το σπίτι, δια να έλθη εις συνάντησίν σας και μου είπατε ότι άγριον θηρίον τον κατέφαγε. Δεν τον ξαναείδα πλέον μέχρις αυτής της στιγμής.

Γεν. 44,29 - ἐὰν οὖν λάβητε καὶ τοῦτον ἐκ τοῦ προσώπου μου καὶ συμβῇ αὐτῷ μαλακία ἐν τῇ ὁδῷ, καὶ κατάξετέ μου τὸ γῆρας μετὰ λύπης εἰς ᾅδου.

Γεν. 44,29 - Εάν λοιπόν πάρετε και τούτον από κοντά μου και του συμβή στον δρόμον κάποιο δυστύχημα, θα κρημνίσετε τα γεράματά μου βαθύτατα λυπημένα στον άδην.

Γεν. 44,30 - νῦν οὖν ἐὰν εἰσπορεύωμαι πρὸς τὸν παῖδά σου, πατέρα δὲ ἡμῶν, καὶ τὸ παιδίον μὴ ᾖ μεθ᾽ ἡμῶν, ἡ δὲ ψυχὴ αὐτοῦ ἐκκρέμαται ἐκ τῆς τούτου ψυχῆς,

Γεν. 44,30 - Κυριε, εάν λοιπόν τώρα μεταβώ και παρουσιασθώ προς τον πατέρα μας, τον δούλον σου, το δε παιδίον τούτο δεν είναι μαζή μας, εφ' όσον η ζωή του πατρός μας κρέμαται από την ψυχήν του παιδιού,

Γεν. 44,31 - καὶ ἔσται ἐν τῷ ἰδεῖν αὐτὸν μὴ ὂν τὸ παιδίον μεθ᾽ ἡμῶν, τελευτήσει, καὶ κατάξουσιν οἱ παῖδές σου τὸ γῆρας τοῦ παιδός σου, πατρὸς δὲ ἡμῶν, μετὰ λύπης εἰς ᾅδου.

Γεν. 44,31 - θα συμβή τούτο· όταν ο πατήρ μας ίδη ότι το νεώτερον τούτο παιδί δεν είναι μαζή μας, θα αποθάνη αμέσως. Και έτσι ημείς οι δούλοι σου θα κρημνίσωμεν τα γεράματα του πατρός μας βαθύτατα λυπημένα στον άδην.

Γεν. 44,32 - ὁ γὰρ παῖς σου παρὰ τοῦ πατρὸς ἐκδέδεκται τὸ παιδίον λέγων· ἐὰν μὴ ἀγάγω αὐτὸν πρὸς σὲ καὶ στήσω αὐτὸν ἐνώπιόν σου, ἡμαρτηκὼς ἔσομαι εἰς τὸν πατέρα πάσας τάς ἡμέρας.

Γεν. 44,32 - Εγώ δε ο δούλος σου ανέλαβον υπ' ευθύνήν μου το παιδίον λέγων προς αυτόν· εάν δεν επαναφέρω σώον και παρουσιάσω ενώπιόν σου τούτο, θα έχω διαπράξει βαρύτατον αμάρτημα ενώπιον του πατρός μου δι' όλας τας ημέρας της ζωής μου.

Γεν. 44,33 - νῦν οὖν παραμενῶ σοι παῖς ἀντὶ τοῦ παιδίου, οἰκέτης τοῦ κυρίου· τὸ δὲ παιδίον ἀναβήτω μετὰ τῶν ἀδελφῶν αὐτοῦ.

Γεν. 44,33 - Τωρα λοιπόν, θα μείνω εγώ δούλος σου αντί του παιδίου, ισόβιος ιδικός σου υπηρέτης. Το δε παιδίον τούτο ας επιστρέψη προς τον πατέρα μας μαζή με τους αδελφούς του.

Γεν. 44,34 - πῶς γὰρ ἀναβήσομαι πρὸς τὸν πατέρα, τοῦ παιδίου μὴ ὄντος μεθ᾽ ἡμῶν; ἵνα μὴ ἴδω τὰ κακά, ἃ εὑρήσει τὸν πατέρα μου.

Γεν. 44,34 - Διότι πως είναι δυνατόν και νοητόν να επιστρέψω προς τον πατέρα μας, χωρίς να είναι μαζή μας τούτο το παιδίον; Δεν θα επιστρέψω εις την χώραν μας, δια να μη ίδω τα δεινά, που θα εύρουν τον πατέρα μου”.

## ΓΕΝΕΣΙΣ 45

Γεν. 45,1 - Καὶ οὐκ ἠδύνατο Ἰωσὴφ ἀνέχεσθαι πάντων τῶν παρεστηκότων αὐτῷ, ἀλλ᾿ εἶπεν· ἐξαποστείλατε πάντας ἀπ᾿ ἐμοῦ. καὶ οὐ παρειστήκει οὐδεὶς τῷ Ἰωσήφ, ἡνίκα ἀνεγνωρίζετο τοῖς ἀδελφοῖς αὐτοῦ.
Γεν. 45,1 - Κατασυνεκινήθη ο Ιωσήφ, δεν ηδυνατο πλέον να κυριαρχήση επί του εαυτού του ενώπιον όλων των ακολούθων του, που ήσαν παρόντες, και είπεν· “απομακρύνατε όλους τους Αιγυπτίους απ' εμπρός μου”. Και έτσι κανείς από τους Αιγυπτίους δεν ήτο παρών, όταν ο Ιωσήφ απεκαλύφθη στους αδελφούς του.
Γεν. 45,2 - καὶ ἀφῆκε φωνὴν μετὰ κλαυθμοῦ· ἤκουσαν δὲ πάντες οἱ Αἰγύπτιοι, καὶ ἀκουστὸν ἐγένετο εἰς τὸν οἶκον Φαραώ.
Γεν. 45,2 - Ο Ιωσήφ αφήκε μεγάλην φωνήν μετά κλαυθμού. Ηκουσαν δε τούτο οι Αιγύπτιοι, έγινε δε γνωστόν και στον οίκον του Φαραώ.
Γεν. 45,3 - εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· ἐγώ εἰμι Ἰωσήφ. ἔτι ὁ πατήρ μου ζῇ; καὶ οὐκ ἠδύναντο οἱ ἀδελφοὶ ἀποκριθῆναι αὐτῷ· ἐταράχθησαν γάρ.
Γεν. 45,3 - Είπε δε ο Ιωσήφ προς τους αδελφούς του (εις την γλώσσαν των πλέον) “εγώ είμαι ο Ιωσήφ ! Ζη ακόμη ο πατήρ μου;” Οι αδελφοί έμειναν άναυδοι. Δεν ημπορούσαν να απαντήσουν ούτε λέξιν διότι συνεταράχθησαν, τα έχασαν.
Γεν. 45,4 - εἶπε δὲ Ἰωσὴφ πρὸς τούς ἀδελφοὺς αὐτοῦ· ἐγγίσατε πρός με, καὶ ἤγγισαν. καὶ εἶπεν· ἐγώ εἰμι Ἰωσὴφ ὁ ἀδελφὸς ὑμῶν, ὃν ἀπέδοσθε εἰς Αἴγυπτον.
Γεν. 45,4 - Είπε προς τους αδελφούς του ο Ιωσήφ· “πλησιάσατέ με”. Εκείνοι τον επλησίασαν και ο Ιωσήφ τους είπεν· “εγώ είμαι ο Ιωσήφ, ο αδελφός σας, τον οποίον σεις επωλήσατε δια την Αίγυπτον.
Γεν. 45,5 - νῦν οὖν μὴ λυπεῖσθε, μηδὲ σκληρὸν ὑμῖν φανήτω, ὅτι ἀπέδοσθέ με ὧδε· εἰς γὰρ ζωὴν ἀπέστειλέ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν·
Γεν. 45,5 - Ομως, μη λυπείσθε τώρα. Και το ότι, με επωλήσατε ως δούλον, ώστε να έλθω εδώ εις την Αίγυπτον, ας μη σας φανή πικρόν και οδυνηρόν διότι ο Θεός με έστειλεν εδώ ενωρίτερον από σας, δια να σώσω και την ιδικήν σας ζωήν.
Γεν. 45,6 - τοῦτο γὰρ δεύτερον ἔτος λιμὸς ἐπὶ τῆς γῆς, καὶ ἔτι λοιπὰ πέντε ἔτη, ἐν οἷς οὐκ ἔστιν ἀροτρίασις οὐδὲ ἄμητος·

Γεν. 45,6 - Το έτος τούτο είναι το δεύτερον έτος του λιμού εις την γην. Θα ακολουθήσουν και άλλα πέντε ακόμη, κατά τα οποία ούτε όργωμα θα γίνεται εις την γην ούτε θερισμός θα υπάρχη, διότι οι αγροί θα μενούν άκαρποι.

Γεν. 45,7 - ἀπέστειλε γάρ με ὁ Θεὸς ἔμπροσθεν ὑμῶν, ὑπολείπεσθαι ὑμῖν κατάλειμμα ἐπὶ τῆς γῆς καὶ ἐκθρέψαι ὑμῶν κατάλειψιν μεγάλην.

Γεν. 45,7 - Ο Θεός με έστειλεν εδώ ενωρίτερα από σας, δια να διατηρήσω σας εν τη ζωή εις την γην αυτήν και να σας διαθρέψω κατά το διάστημα της μεγάλης αυτής ανάγκης σας.

Γεν. 45,8 - νῦν οὐχ ὑμεῖς με ἀπεστάλκατε ὧδε, ἀλλ᾿ ἢ ὁ Θεός, καὶ ἐποίησέ με ὡς πατέρα Φαραὼ καὶ κύριον παντὸς τοῦ οἴκου αὐτοῦ καὶ ἄρχοντα πάσης γῆς Αἰγύπτου.

Γεν. 45,8 - Λοιπόν, δεν με απεστείλατε σεις εδώ, αλλά ο ίδιος ο Θεός, ο οποίος και με ανέδειξε πατέρα του Φαραώ και κύριον όλου του οίκου του και άρχοντα όλης της Αιγύπτου.

Γεν. 45,9 - σπεύσαντες οὖν ἀνάβητε πρὸς τὸν πατέρα μου καὶ εἴπατε αὐτῷ· τάδε λέγει ὁ υἱός σου Ἰωσήφ· ἐποίησέ με ὁ Θεὸς κύριον πάσης γῆς Αἰγύπτου· κατάβηθι οὖν πρός με καὶ μὴ μείνῃς·

Γεν. 45,9 - Σπεύσατε λοιπόν, πηγαίνετε προς τον πατέρα μου και ειπέτε του· Αυτά λέγει το παιδί σου ο Ιωσήφ· Ο Θεός με κατέστησεν άρχοντα όλης της Αιγύπτου. Ελα λοιπόν προς εμέ και μη μείνης άλλο εις την Χαναάν.

Γεν. 45,10 - καὶ κατοικήσεις ἐν γῇ Γεσὲμ Ἀραβίας καὶ ἔσῃ ἐγγύς μου σὺ καὶ οἱ υἱοί σου καὶ οἱ υἱοὶ τῶν υἱῶν σου, τὰ πρόβατά σου καὶ οἱ βόες σου καὶ ὅσα σοι ἐστί,

Γεν. 45,10 - Θα κατοικήσης εις την χώραν Γεσέμ της Αραβίας και θα είσαι κοντά μου συ και οι υιοί σου και τα παιδιά των υιών σου, τα πρόβατά σου και τα βόδια σου και όσα άλλα έχεις.

Γεν. 45,11 - καὶ ἐκθρέψω σε ἐκεῖ· ἔτι γὰρ πέντε ἔτη λιμός· ἵνα μὴ ἐκτριβῇς σὺ καὶ οἱ υἱοί σου καὶ πάντα τὰ ὑπάρχοντά σου.

Γεν. 45,11 - Εγώ θα σε διαθρέψω εκεί· πέντε έτη θα κρατήση ακόμη ο λιμός. Ελα, δια να μην εξαφανισθήτε από την πείναν συ και τα παιδιά σου και όλα τα ζώα σου.

Γεν. 45,12 - ἰδοὺ οἱ ὀφθαλμοὶ ὑμῶν βλέπουσι καὶ οἱ ὀφθαλμοὶ Βενιαμὶν τοῦ ἀδελφοῦ μου, ὅτι τὸ στόμα μου τὸ λαλοῦν πρὸς ὑμᾶς.

Γεν. 45,12 - Ιδού, οι οφθαλμοί σας και οι οφθαλμοί του ομομητρίου αδελφού μου, του Βενιαμίν, βλέπουν ότι το ιδικόν μου το στόμα είναι που ομιλεί προς σας.

Γεν. 45,13 - ἀπαγγείλατε οὖν τῷ πατρί μου πᾶσαν τὴν δόξαν μου τὴν ἐν Αἰγύπτῳ καὶ ὅσα εἴδετε, καὶ ταχύναντες καταγάγετε τὸν πατέρα μου ὧδε.

Γεν. 45,13 - Αναγγείλατε λοιπόν προς τον πατέρα μου όλα τα μεγαλεία μου, που έχω εις την Αίγυπτον και όσα είδατε. Λοιπόν μη βραδύνετε

σπεύσατε και οδηγήσατε εδώ τον πατέρα μου”.

Γεν. 45,14 - καὶ ἐπιπεσὼν ἐπὶ τὸν τράχηλον Βενιαμὶν τοῦ ἀδελφοῦ αὐτοῦ ἔκλαυσεν ἐπ᾿ αὐτῷ, καὶ Βενιαμὶν ἔκλαυσεν ἐπὶ τῷ τραχήλῳ αὐτοῦ.

Γεν. 45,14 - Επεσε κατόπιν με ορμήν στον τράχηλον του αδελφού του του Βενιαμίν, έκλαυσεν επάνω του, όπως επίσης και ο Βενιαμίν έκλαυσε σφικταγκαλιασμένος στον τράχηλον του αδελφού του του Ιωσήφ.

Γεν. 45,15 - καὶ καταφιλήσας πάντας τοὺς ἀδελφοὺς αὐτοῦ ἔκλαυσεν ἐπ᾿ αὐτοῖς, καὶ μετὰ ταῦτα ἐλάλησαν οἱ ἀδελφοὶ αὐτοῦ πρὸς αὐτόν.

Γεν. 45,15 - Κατεφίλησε κατόπιν ο Ιωσήφ όλους τους αδελφούς του και έκλαυσεν εναγκαλιζόμενος αυτούς. Επειτα δε από όλα αυτά τα συγκλονιστικά γεγονότα ανεθάρησαν και ωμίλησαν προς αυτόν οι αδελφοί του.

Γεν. 45,16 - Καὶ διεβοήθη ἡ φωνὴ εἰς τὸν οἶκον Φαραὼ λέγοντες· ἥκασιν οἱ ἀδελφοὶ Ἰωσήφ. ἐχάρη δὲ Φαραὼ καὶ ἡ θεραπεία αὐτοῦ.

Γεν. 45,16 - Εκαμε κρότον το γεγονός και διεδόθη αμέσως στον οίκον του Φαραώ, ότι ήλθαν οι αδελφοί του Ιωσήφ. Ο Φαραώ και το περιβάιλλον του εχάρησαν δι' αυτό.

Γεν. 45,17 - εἶπε δὲ Φαραὼ πρὸς Ἰωσήφ· εἰπὸν τοῖς ἀδελφοῖς σου, τοῦτο ποιήσατε· γεμίσατε τὰ φορεῖα ὑμῶν καὶ ἀπέλθετε εἰς γῆν Χαναὰν

Γεν. 45,17 - Είπε δε ο Φαραώ προς τον Ιωσήφ· “πες στους αδελφούς σου· Τούτο να κάμετε· γεμίσατε τους σάκκους, φορτώσατε τα μεταγωγικά σας ζώα και πηγαίνετε εις την γην Χαναάν.

Γεν. 45,18 - καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν καὶ τὰ ὑπάρχοντα ὑμῶν ἥκετε πρός με, καὶ δώσω ὑμῖν πάντων τῶν ἀγαθῶν Αἰγύπτου, καὶ φάγεσθε τὸν μυελὸν τῆς γῆς.

Γεν. 45,18 - Παρετε από εκεί τον πατέρα σας και όλα τα υπάρχοντά σας, ελάτε προς εμέ και εγώ θα σας δώσω από όλα τα αγαθά της Αιγύπτου, θα φάτε το μεδούλι της χώρας, ο,τι δηλαδή εκλεκτόν έχει αυτή.

Γεν. 45,19 - σὺ δὲ ἔντειλαι ταῦτα, λαβεῖν αὐτοῖς ἁμάξας ἐκ γῆς Αἰγύπτου τοῖς παιδίοις ὑμῶν καὶ ταῖς γυναιξὶν ὑμῶν. καὶ ἀναλαβόντες τὸν πατέρα ὑμῶν παραγίνεσθε·

Γεν. 45,19 - Συ δε δώσε αυτήν την εντολήν στους αδελφούς σου· Παρετε αμάξας από την Αίγυπτον και μεταφέρατε με αυτάς τα παιδιά σας και τας γυναίκας σας. Παρετε ιδιαιτέρως τον πατέρα σας και ελάτε εδώ.

Γεν. 45,20 - καὶ μὴ φείσησθε τοῖς ὀφθαλμοῖς τῶν σκευῶν ὑμῶν, τὰ γὰρ πάντα ἀγαθὰ Αἰγύπτου ὑμῖν ἔσται.

Γεν. 45,20 - Και μη λυπηθήτε, όταν θα ίδετε ότι ευρεθήκατε εις την ανάγκην να αφήσετε και μερικά σκεύη στο σπίτι σας, τα οποία θα σας είναι αδύνατον να πάρετε μαζή σας, διότι όλα τα αγαθά της Αιγύπτου θα είναι ιδικά σας”.

Γεν. 45,21 - ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραήλ· ἔδωκε δὲ Ἰωσὴφ αὐτοῖς ἁμάξας κατὰ τὰ εἰρημένα ὑπὸ Φαραὼ τοῦ βασιλέως καὶ ἔδωκεν αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδόν,

Γεν. 45,21 - Ετσι έκαμαν τα παιδιά του Ιακώβ. Ο Ιωσήφ τους έδωσεν αμάξας, όπως είχε διατάξει ο Φαραώ ο βασιλεύς της Αιγύπτου, και τροφάς δια το ταξίδιόν των.

Γεν. 45,22 - καὶ πᾶσιν ἔδωκε δισσὰς στολάς, τῷ δὲ Βενιαμὶν ἔδωκε τριακοσίους χρυσοῦς καὶ πέντε ἐξαλλασσούσας στολάς,

Γεν. 45,22 - Εις όλους τους άλλους έδωσε διπλάς στολάς, εις δε τον Βενιαμίν έδωσε τριακόσια χρυσά νομίσματα και πέντε διαφορετικάς ωραιοτάτας στολάς.

Γεν. 45,23 - καὶ τῷ πατρὶ αὐτοῦ ἀπέστειλε κατὰ τὰ αὐτὰ καὶ δέκα ὄνους αἴροντας ἀπὸ πάντων τῶν ἀγαθῶν Αἰγύπτου καὶ δέκα ἡμιόνους αἰρούσας ἄρτους τῷ πατρὶ αὐτοῦ εἰς ὁδόν.

Γεν. 45,23 - Εις τον πατέρα του έστειλεν επίσης τα εξής· Δέκα όνους φορτωμένους από όλα τα αγαθά της Αιγύπτου και δέκα ημιόνους φορτωμένους τροφάς δια το ταξίδι.

Γεν. 45,24 - ἐξαπέστειλε δὲ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ ἐπορεύθησαν· καὶ εἶπεν αὐτοῖς· μὴ ὀργίζεσθε ἐν τῇ ὁδῷ.

Γεν. 45,24 - Κατευώδωσε δε τους αδελφούς του και όταν ανεχώρουν τους είπε· “μη οργίζεσθε και μη φιλονεικήτε ο ενας κατά του άλλου στον δρόμον δια την διαγωγήν που εδείξατε προς εμέ”.

Γεν. 45,25 - Καὶ ἀνέβησαν ἐξ Αἰγύπτου καὶ ἦλθον εἰς γῆν Χαναὰν πρὸς Ἰακὼβ τὸν πατέρα αὐτῶν,

Γεν. 45,25 - Εκείνοι ανεχώρησαν από την Αίγυπτον και ήλθαν εις την γην Χαναάν προς τον πατέρα των.

Γεν. 45,26 - καὶ ἀνήγγειλαν αὐτῷ λέγοντες· ὅτι ὁ υἱός σου Ἰωσὴφ ζῇ, καὶ αὐτὸς ἄρχει πάσης γῆς Αἰγύπτου. καὶ ἐξέστη τῇ διανοίᾳ Ἰακώβ· οὐ γὰρ ἐπίστευσεν αὐτοῖς.

Γεν. 45,26 - Εκεί, ανήγγειλαν εις αυτόν τα γεγονότα και του είπαν· “ο υιός σου ο Ιωσήφ ζη και είναι άρχων όλης της Αιγύπτου”. Εμεινε κατάπληκτος ο Ιακώβ και σαν να εσταμάτησεν η διάνοιά του, διότι δεν τους επίστευεν.

Γεν. 45,27 - ἐλάλησαν δὲ αὐτῷ πάντα τὰ ῥηθέντα ὑπὸ Ἰωσήφ, ὅσα εἶπεν αὐτοῖς. ἰδὼν δὲ τὰς ἁμάξας, ἃς ἀπέστειλεν Ἰωσὴφ ὥστε ἀναλαβεῖν αὐτόν, ἀνεζωπύρησε τὸ πνεῦμα Ἰακὼβ τοῦ πατρὸς αὐτῶν.

Γεν. 45,27 - Ολα δε μαζή τα παιδιά του εγνωστοποίησαν εις αυτόν όλα τα λόγια, τα οποία τους είχεν είπει ο Ιωσήφ. Ο Ιακώβ, όταν είδε τας αμάξας που έστειλεν ο Ιωσήφ δια να τον παραλάβουν, συνήλθεν από την κατάπληξίν του, ανεζωογονήθη το πνεύμα του

Γεν. 45,28 - εἶπε δὲ Ἰσραήλ· μέγα μοί ἐστιν, εἰ ἔτι Ἰωσὴφ ὁ υἱός μου ζῇ· πορευθεὶς ὄψομαι αὐτὸν πρὸ τοῦ ἀποθανεῖν με.

Γεν. 45,28 - και είπεν· “είναι μεγάλο τούτο το γεγονός δι' εμέ, εάν το παιδί μου ο Ιωσήφ ζη ακόμη, θα μεταβώ λοιπόν προς αυτόν, δια να τον ίδω, πριν αποθάνω”.

## ΓΕΝΕΣΙΣ 46

Γεν. 46,1 - Ἀπάρας δὲ Ἰσραήλ, αὐτὸς καὶ πάντα τὰ αὐτοῦ, ἦλθεν ἐπὶ τὸ φρέαρ τοῦ ὅρκου καὶ ἔθυσε θυσίαν τῷ Θεῷ τοῦ πατρὸς αὐτοῦ Ἰσαάκ.

Γεν. 46,1 - Εξεκίνησε, λοιπόν, ο Ιακώβ, αυτός, με όλα τα υπάρχοντά του και όλοι οι άλλοι μαζή του και ήλθεν στο “Φρέαρ του όρκου”, εις την Βηρσαβεέ και εκεί προσέφερε θυσίαν στον Θεόν του πατρός του Ισαάκ.

Γεν. 46,2 - εἶπε δὲ ὁ Θεὸς τῷ Ἰσραὴλ ἐν ὁράματι τῆς νυκτός, εἰπών· Ἰακώβ, Ἰακώβ, ὁ δὲ εἶπε· τί ἐστιν;

Γεν. 46,2 - Ο δε Θεός είπεν στον Ιακώβ δι' οράματος κατά την νύκτα· “Ιακώβ Ιακώβ” ! Εκείνος είπε· “τι είναι;”

Γεν. 46,3 - ὁ δὲ λέγει αὐτῷ· ἐγώ εἰμι ὁ Θεὸς τῶν πατέρων σου· μὴ φοβοῦ καταβῆναι εἰς Αἴγυπτον· εἰς γὰρ ἔθνος μέγα ποιήσω σε ἐκεῖ,

Γεν. 46,3 - Ο ιδέ Θεός λέγει προς αυτόν· “εγώ είμαι ο Θεός των πατέρων σου. Μη φοβηθής να καταβής εις την Αίγυπτον, διότι εκεί θα σε αναδείξω μεγάλο έθνος.

Γεν. 46,4 - καὶ ἐγὼ καταβήσομαι μετὰ σοῦ εἰς Αἴγυπτον, καὶ ἐγὼ ἀναβιβάσω σε εἰς τέλος, καὶ Ἰωσὴφ ἐπιβαλεῖ τὰς χεῖρας αὐτοῦ ἐπὶ τοὺς ὀφθαλμούς σου.

Γεν. 46,4 - Θα μεταβώ και εγώ μαζή σου εις την Αίγυπτον και εγώ πάλιν θα σε επαναφέρω εις την γην Χαναάν, όταν λάβη τέλος ο καθωρισμένος χρόνος της παραμονής σου εις την Αίγυπτον. Ο δε υιός σου Ιωσήφ με τα ίδια του τα χέρια θα σου κλείση τα μάτια.

Γεν. 46,5 - ἀνέστη δὲ Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου, καὶ ἀνέλαβον οἱ υἱοὶ Ἰσραὴλ τὸν πατέρα αὐτῶν καὶ τὴν ἀποσκευὴν καὶ τὰς γυναῖκας αὐτῶν ἐπὶ τὰς ἁμάξας ἃς ἀπέστειλεν Ἰωσὴφ ἆραι αὐτόν,

Γεν. 46,5 - Εσηκώθη ο Ιακώβ, δια να αναχωρήση από το “Φρέαρ του όρκου”. Οι υιοί του Ιακώβ έβαλαν τον πατέρα των, τα παιδιά των και τας γυναίκας των εις τας αμάξας, τας οποίας είχεν αποστείλει ο Ιωσήφ, δια να τον μταφέρουν εις την Αίγυπτον.

Γεν. 46,6 - καὶ ἀναλαβόντες τὰ ὑπάρχοντα αὐτῶν καὶ πᾶσαν τὴν κτῆσιν, ἣν ἐκτήσαντο ἐν γῇ Χαναάν, εἰσῆλθον εἰς Αἴγυπτον, Ἰακὼβ καὶ πᾶν τὸ σπέρμα αὐτοῦ μετ᾽ αὐτοῦ,

Γεν. 46,6 - Ελαβον λοιπόν, τα κοπάδια των και όλην την κινητήν περιουσίαν, που είχαν αποκτήσει εις την Χαναάν, και εισήλθον εις την Αίγυπτον. Εισήλθεν ο Ιακώβ και μαζή με αυτόν όλοι οι απόγονοί του,

Γεν. 46,7 - υἱοὶ καὶ υἱοὶ τῶν υἱῶν αὐτοῦ μετ᾿ αὐτοῦ, θυγατέρες καὶ θυγατέρες τῶν θυγατέρων αὐτοῦ· καὶ πᾶν τὸ σπέρμα αὐτοῦ ἤγαγεν εἰς Αἴγυπτον.

Γεν. 46,7 - οι υιοί του, τα παιδιά των υιών του μαζή του, αι θυγατέρες του και αι θυγατέρες των θυγατέρων του. Ολους τους απογόνους του παρέλαβε μαζή του ο Ιακώβ και τους ωδήγησεν εις την Αίγυπτον.

Γεν. 46,8 - Ταῦτα δὲ τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσελθόντων εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν. Ἰακὼβ καὶ υἱοὶ αὐτοῦ· πρωτότοκος Ἰακὼβ Ῥουβήν.

Γεν. 46,8 - Αυτά δε είναι τα ονόματα των παιδιών του Ισραήλ, που εισήλθον εις την Αίγυπτον μαζή με τον πατέρα των· Ο Ιακώβ και οι υιοί του. Πρωτότοκος του Ιακώβ ήτο ο Ρουβήν.

Γεν. 46,9 - υἱοὶ δὲ Ῥουβήν· Ἐνὼχ καὶ Φαλλούς, Ἀσρὼν καὶ Χαρμί.

Γεν. 46,9 - Υιοί δε του Ρουβήν ήσαν, ο Ενώχ και ο Φαλλούς, ο Ασρών και ο Χαρμί.

Γεν. 46,10 - υἱοὶ δὲ Συμεών· Ἰεμουὴλ καὶ Ἰαμεὶν καὶ Ἀὼδ καὶ Ἰαχεὶν καὶ Σαὰρ καὶ Σαοὺλ υἱὸς τῆς Χαναnίτιδος.

Γεν. 46,10 - Υιοί του Συμεών ήσαν ο Ιεμουήλ, ο Ιαμείν, ο Αώδ, ο Ιαχείν, ο Σααρ και ο Σαούλ, ο υιός της Χανανίτιδος.

Γεν. 46,11 - υἱοὶ δὲ Λευΐ· Γηρσών, Καὰθ καὶ Μεραρί.

Γεν. 46,11 - Υιοί του Λευϊ ήσαν ο Γηρσών, ο Καάθ και ο Μεραρί.

Γεν. 46,12 - υἱοὶ δὲ Ἰούδα· Ἢρ καὶ Αὐνὰν καὶ Σηλὼμ καὶ Φαρὲς καὶ Ζαρά· ἀπέθανε δὲ Ἢρ καὶ Αὐνὰν ἐν γῇ Χαναάν· ἐγένοντο δὲ υἱοὶ Φαρές· Ἐσρὼν καὶ Ἰεμουήλ.

Γεν. 46,12 - Υιοί του Ιούδα ήσαν ο Ηρ, ο Αυνάν, ο Σηλώμ, ο Φαρές και ο Ζαρά· ο Ηρ δε και ο Αυνάν απέθανον εις την γην Χαναάν. Ο δε Φαρές απέκτησεν υιούς τον Εσρών και τον Ιεμουήλ.

Γεν. 46,13 - υἱοὶ δὲ Ἰσσάχαρ· Θωλὰ καὶ Φουὰ καὶ Ἰασοὺβ καὶ Ζαμβράμ.

Γεν. 46,13 - Υιοί του Ισσάχαρ ήσαν ο Θωλά, ο Φουα, ο Ιασούβ και ο Ζαμβράμ.

Γεν. 46,14 - υἱοὶ δὲ Ζαβουλών· Σερὲδ καὶ Ἀλλὼν καὶ Ἀχοήλ.

Γεν. 46,14 - Υιοί του Ζαβουλών ήσαν ο Σερέδ, ο Αλλών και ο Αχοήλ.

Γεν. 46,15 - οὗτοι υἱοὶ Λείας, οὓς ἔτεκε τῷ Ἰακὼβ ἐν Μεσοποταμίᾳ τῆς Συρίας, καὶ Δείναν τὴν θυγατέρα αὐτοῦ· πᾶσαι αἱ ψυχαί, υἱοὶ καὶ θυγατέρες, τριάκοντα τρεῖς.

Γεν. 46,15 - Ολοι αυτοί ήσαν υιοί, τους οποίους απέκτησεν ο Ιακώβ εκ της Λείας εις την Μεσοποταμίαν της Συρίας· επίσης είχε και θυγατέρα του

την Δείναν. Ολαι αυταί αι ψυχαί, υιοί και θυγατέρες, ήσαν τριάκοντα τρεις.

Γεν. 46,16 - υἱοὶ δὲ Γάδ· Σαφὼν καὶ Ἀγγὶς καὶ Σαυνὶς καὶ Θασοβὰν καὶ Ἀηδεὶς καὶ Ἀροηδεὶς καὶ Ἀρεηλείς.

Γεν. 46,16 - Υιοί του Γαδ ήσαν ο Σαφών, ο Αγγίς, ο Σαυνίς, ο Θασοβάν, ο Αηδείς, ο Αροειδείς και ο Αρεηλείς.

Γεν. 46,17 - υἱοὶ δὲ Ἀσήρ· Ἰεμνά, Ἰεσσουὰ καὶ Ἰεοὺλ καὶ Βαριὰ καὶ Σάρα ἀδελφὴ αὐτῶν. υἱοὶ δὲ Βαριά· Χοβόρ καὶ Μελχιίλ.

Γεν. 46,17 - Υιοί του Ασήρ ήσαν ο Ιεμνά, ο Ιεσσουά, ο Ιεούλ, ο Βαριά και η Σαρα η αδελφή αυτών. Υιοί δε του Βαριά ήσαν ο Χοβόρ και ο Μελχιίλ.

Γεν. 46,18 - οὗτοι υἱοὶ Ζελφᾶς, ἣν ἔδωκε Λάβαν Λείᾳ τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκε τούτους τῷ Ἰακὼβ δεκαὲξ ψυχάς.

Γεν. 46,18 - Ολοι οι ανωτέρω ήσαν υιοί της Ζελφάς, την οποίαν είχε δώσει ο Λαβαν εις την Λείαν την θυγατέρα αυτού. Από αυτήν ο Ιακώβ απέκτησε τους δεκαέξ αυτούς απογόνους.

Γεν. 46,19 - υἱοὶ δὲ Ῥαχὴλ γυναικὸς Ἰακώβ· Ἰωσὴφ καὶ Βενιαμίν.

Γεν. 46,19 - Υιοί δε της Ραχήλ, της γυναικός του Ιακώβ, ήσαν ο Ιωσήφ και ο Βενιαμίν.

Γεν. 46,20 - ἐγένοντο δὲ υἱοὶ Ἰωσὴφ ἐν γῇ Αἰγύπτου, οὓς ἔτεκεν αὐτῷ Ἀσεννὲθ θυγάτηρ Πετεφρῆ ἱερέως Ἡλιουπόλεως, τὸν Μανασσῆ καὶ τὸν Ἐφραΐμ. ἐγένοντο δὲ υἱοὶ Μανασσῆ, οὓς ἔτεκεν αὐτῷ ἡ παλλακὴ ἡ Σύρα, τὸν Μαχίρ· Μαχὶρ δὲ ἐγέννησε τὸν Γαλαάδ. υἱοὶ δὲ Ἐφραΐμ ἀδελφοῦ Μανασσῆ· Σουταλαὰμ καὶ Ταάμ. υἱοὶ δὲ Σουταλαάμ· Ἐδέμ.

Γεν. 46,20 - Οι δε υιοί του Ιωσήφ, τους οποίους απέκτησεν εις την Αίγυπτον από την σύζυγόν του την Ασεννέθ, θυγατέρα του Πετεφρή ιερέως της Ηλιουπόλεως, ήσαν ο Μανασσής και ο Εφραΐμ. Ο Μανασσής απέκτησεν υιούς από την Σύραν, την παλλακήν αυτού, ένας εκ των οποίων ήτο ο Μαχίρ. Ο δε Μαχίρ απέκτησε τον Γαλαάδ. Υιοί του Εφραΐμ, αδελφού του Μανασσή, ήσαν ο Σουταλαάμ και ο Ταάμ. Υιός δε του Σουταλαάμ ήτο ο Εδέμ.

Γεν. 46,21 - υἱοὶ δὲ Βενιαμίν· Βαλὰ καὶ Χοβὼρ καὶ Ἀσβήλ· ἐγένοντο δὲ υἱοὶ Βαλά· Γηρὰ καὶ Νεομὰν καὶ Ἀγχὶς καὶ Ῥὼς καὶ Μαμφὶμ καὶ Ὀφιμίν. Γηρὰ δὲ ἐγέννησε τὸν Ἀράδ.

Γεν. 46,21 - Υιοί του Βενιαμίν ήσαν ο Βαλά, ο Χοβώρ και ο ' Ασβήλ. Υιοί του Βαλά ήσαν ο Γηρά, ο Νοεμάν, ο Αγχίς, ο Ρως, ο Μαμφίμ και ο Οφιμίν. Ο Γηρά απέκτησεν υιόν τον Αράδ.

Γεν. 46,22 - οὗτοι υἱοὶ Ῥαχήλ, οὓς ἔτεκε τῷ Ἰακώβ· πᾶσαι αἱ ψυχαὶ δεκαοκτώ.

Γεν. 46,22 - Αυτοί ήσαν απόγονοι του Ιακώβ και της Ραχήλ, εν συνόλω ψυχαί δέκα οκτώ.

Γεν. 46,23 - υἱοὶ δὲ Δάν· Ἀσόμ.

Γεν. 46,23 - Υιός του Δαν ήτο ο Ασόμ.

Γεν. 46,24 - καὶ υἱοὶ Νεφθαλείμ· Ἀσιὴλ καὶ Γωυνὶ καὶ Ἰσσάαρ καὶ Συλλήμ.

Γεν. 46,24 - Υιοί του Νεφθαλείμ ήσαν ο Ασιήλ, ο Γωυνί, ο Ισσάαρ και ο Συλλήμ.

Γεν. 46,25 - οὗτοι υἱοὶ Βαλᾶς, ἣν ἔδωκε Λάβαν Ῥαχὴλ τῇ θυγατρὶ αὐτοῦ, ἣ ἔτεκε τούτους τῷ Ἰακώβ· πᾶσαι αἱ ψυχαὶ ἑπτά.

Γεν. 46,25 - Αυτοί ήσαν τέκνα της δούλης Βαλάς, την οποίαν ο Λαβαν είχεν δώσει εις την θυγατέρα του Ραχήλ. Από αυτήν απέκτησεν ο Ιακώβ τους ανωτέρω απογόνους εν όλω επτά.

Γεν. 46,26 - πᾶσαι δέ αἱ ψυχαὶ αἱ εἰσελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον, οἱ ἐξελθόντες ἐκ τῶν μηρῶν αὐτοῦ, χωρὶς τῶν γυναικῶν υἱῶν Ἰακώβ, πᾶσαι ψυχαὶ ἑξηκονταέξ.

Γεν. 46,26 - Ολοι δε οι άνδρες, οι οποίοι εισήλθον εις την Αίγυπτον μαζή με τον Ιακώβ, οι γεννηθέντες από αυτόν, πλην των συζύγων των υιών Ισραήλ, ήσαν εν συνόλω εξήκοντά εξ.

Γεν. 46,27 - υἱοὶ δὲ Ἰωσὴφ οἱ γενόμενοι αὐτῷ ἐν γῇ Αἰγύπτῳ ψυχαὶ ἐννέα. πᾶσαι ψυχαὶ οἴκου Ἰακὼβ αἱ εἰσελθοῦσαι μετὰ Ἰακὼβ εἰς Αἴγυπτον ψυχαὶ ἑβδομηκονταπέντε.

Γεν. 46,27 - Υιοί δε και έγγονοι του Ιωσήφ, τους οποίους απέκτησεν εις την Αίγυπτον ήσαν εννέα άνδρες. Επομένως όλοι οι άνδρες, υιοί και απόγονοι του Ιακώβ, οι οποίοι εισήλθον μαζή του εις την Αίγυπτον ήσαν εβδομήκοντα πέντε.

Γεν. 46,28 - Τὸν δὲ Ἰούδαν ἀπέστειλεν ἔμπροσθεν αὐτοῦ πρὸς Ἰωσὴφ συναντῆσαι αὐτῷ καθ᾿ Ἡρώων πόλιν, εἰς γῆν Ῥαμεσσῆ.

Γεν. 46,28 - Ο Ιακώβ έστειλε προ αυτού προς τον Ιωσήφ τον Ιούδαν, δια να προετοιμάση την συνάντησίν του με τον υιόν του τον Ιωσήφ εις την πόλιν των Ηρώων, εις την χώραν “Ραμεσσή”, την άλλως ονομαζομένην Γεσέμ.

Γεν. 46,29 - ζεύξας δὲ Ἰωσὴφ τὰ ἅρματα αὐτοῦ ἀνέβη εἰς συνάντησιν Ἰσραὴλ τῷ πατρὶ αὐτοῦ καθ᾿ Ἡρώων πόλιν καὶ ὀφθεὶς αὐτῷ ἐπέπεσεν ἐπὶ τὸν τράχηλον αὐτοῦ καὶ ἔκλαυσε κλαυθμῷ πίονι.

Γεν. 46,29 - Ο Ιωσήφ έζευξε τα άρματά του και μετέβη προς συνάντησιν του πατρός του Ιακώβ εις την πόλιν των Ηρώων. Οταν δε τον είδεν, έπεσεν στον τράχηλόν του, τον ενηγκαλίσθη και έκλαυσε με ασυγκράτητα δάκρυα.

Γεν. 46,30 - καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσήφ· ἀποθανοῦμαι ἀπὸ τοῦ νῦν, ἐπεὶ ἑώρακα τὸ πρόσωπόν σου· ἔτι γὰρ σὺ ζῇς.

Γεν. 46,30 - Ευτυχισμένος ο γέρων Ιακώβ είπε προς τον Ιωσήφ· “ας αποθάνω από την στιγμήν αυτήν, αφού είδα το πρόσωπόν σου, διότι είδα ότι ακόμη συ ζης”.

Γεν. 46,31 - εἶπε δὲ Ἰωσὴφ πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ· ἀναβὰς ἀπαγγελῶ τῷ Φαραὼ καὶ ἐρῶ αὐτῷ· οἱ ἀδελφοί μου καὶ ὁ οἶκος τοῦ πατρός μου, οἳ ἦσαν ἐν γῇ Χαναάν, ἥκασι πρός με·

Γεν. 46,31 - Είπεν ο Ιωσήφ προς τους αδελφούς του· “εγώ θα μεταβώ τώρα στον Φαραώ και θα του είπω· Οι αδελφοί μου και όλη η οικογένεια του πατρός μου, που ήσαν εις την γην Χαναάν, έχουν έλθει προς εμέ.

Γεν. 46,32 - οἱ δὲ ἄνδρες εἰσὶ ποιμένες· ἄνδρες γὰρ κτηνοτρόφοι ἦσαν· καὶ τὰ κτήνη καὶ τοὺς βόας καὶ πάντα τὰ αὐτῶν ἀγηόχασιν.

Γεν. 46,32 - Οι άνδρες αυτοί είναι ποιμένες· ήσαν πάντοτε κτηνοτρόφοι. Εφεραν δε μαζή των τα κτήνη, τα βόδια των και ο,τι άλλο είχαν εκεί και όλην την άλλην κινητήν περιουσίαν των έφεραν μαζή των.

Γεν. 46,33 - ἐὰν οὖν καλέσῃ ὑμᾶς Φαραὼ καὶ εἴπῃ ὑμῖν· τί τὸ ἔργον ὑμῶν ἐστίν;

Γεν. 46,33 - Εάν λοιπόν σας καλέση ο Φαραώ και σας ερωτήση, ποίον είναι το έργον σας;

Γεν. 46,34 - ἐρεῖτε· ἄνδρες κτηνοτρόφοι ἐσμὲν οἱ παῖδές σου ἐκ παιδὸς ἕως τοῦ νῦν, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν, ἵνα κατοικήσητε ἐν γῇ Γεσὲμ Ἀραβίας· βδέλυγμα γάρ ἐστιν Αἰγυπτίοις πᾶς ποιμὴν προβάτων.

Γεν. 46,34 - Σεις θα απαντήσετε· Ημείς, οι δούλοί σου, είμεθα άνδρες κτηνοτρόφοι από της παιδικής μας ηλικίας μέχρι σήμερον, ημείς και οι πατέρες μας. Θα πήτε δε αυτά, δια να σας αφήση να κατοικήσετε εις την Γεσέμ της Αραβίας, μακράν από την κεντρικήν Αίγυπτον, διότι οι Αιγύπτιοι αποστρέφονται και δεν θέλουν να έχουν επικοινωνίαν με ποιμένας προβάτων”.

## ΓΕΝΕΣΙΣ 47

Γεν. 47,1 - Ἐλθὼν δὲ Ἰωσὴφ ἀπήγγειλε τῷ Φαραὼ λέγων· ὁ πατήρ μου καὶ οἱ ἀδελφοί μου καὶ τὰ κτήνη καὶ οἱ βόες αὐτῶν καὶ πάντα τὰ αὐτῶν ἦλθον ἐκ γῆς Χαναὰν καὶ ἰδού εἰσιν ἐν γῇ Γεσέμ.

Γεν. 47,1 - Επεσκέφθη ο Ιωσήφ τον Φαραώ και του ανήγγειλεν ότι· “ο πατήρ μου, οι αδελφοί μου, τα ποίμνιά των, τα βόδια των και όλα τα υπάρχοντά των ήλθον από την γην Χαναάν και ιδού, ευρίσκονται τώρα εις την χώραν της Γεσέμ”.

Γεν. 47,2 - ἀπὸ δὲ τῶν ἀδελφῶν αὐτοῦ παρέλαβε πέντε ἄνδρας καὶ ἔστησεν αὐτοὺς ἐναντίον Φαραώ.

Γεν. 47,2 - Είχε δε πάρει μαζή του πέντε από τους αδελφούς του και τους παρουσίασεν ενώπιον του Φαραώ.

Γεν. 47,3 - καὶ εἶπε Φαραὼ τοῖς ἀδελφοῖς Ἰωσήφ· τί τὸ ἔργον ὑμῶν; οἱ δὲ εἶπαν τῷ Φαραώ· ποιμένες προβάτων οἱ παῖδές σου, καὶ ἡμεῖς καὶ οἱ πατέρες ἡμῶν.

Γεν. 47,3 - Ηρώτησε δε ο Φαραώ τους αδελφούς του Ιωσήφ· "ποίον είναι το επάγγελμά σας; Ποία η εργασία σας;" Εκείνοι του απήντησαν· "ποιμένες προβάτων είμεθα οι δούλοι σου, και ημείς και οι πρόγονοί μας".

Γεν. 47,4 - εἶπαν δὲ τῷ Φαραώ· παροικεῖν ἐν τῇ γῇ ἥκαμεν· οὐ γάρ ἐστι νομὴ τοῖς κτήνεσι τῶν παίδων σου, ἐνίσχυσε γὰρ ὁ λιμὸς ἐν γῇ Χαναάν· νῦν οὖν κατοικήσωμεν οἱ παῖδές σου ἐν γῇ Γεσέμ.

Γεν. 47,4 - Είπαν δε ακόμη στον Φαραώ· "έχομεν δε έλθει, δια να κατοικήσωμεν προσωρινώς εις την χώραν αυτήν. Και τούτο, διότι δεν υπάρχει βοσκή δια τα ζώα των δούλων σου επειδή ο λιμός έχει ενταθή πολύ εις την γην Χανααν. Ας κατοικήσωμεν λοιπόν τώρα οι δούλοι σου εις την περιοχήν Γεσέμ".

Γεν. 47,5 - εἶπε δὲ Φαραὼ τῷ Ἰωσήφ· κατοικείτωσαν ἐν γῇ Γεσέμ· εἰ δὲ ἐπίστῃ ὅτι εἰσὶν ἐν αὐτοῖς ἄνδρες δυνατοί, κατάστησον αὐτοὺς ἄρχοντας τῶν ἐμῶν κτηνῶν. Ἦλθον δὲ εἰς Αἴγυπτον πρὸς Ἰωσὴφ Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ ἤκουσε Φαραὼ βασιλεὺς Αἰγύπτου.

Γεν. 47,5 - Είπε δε ο Φαραώ προς τον Ιωσήφ· "ναι, ας κατοικήσουν εις την Γεσέμ. Εάν δε γνωρίζης ότι μεταξύ αυτών υπάρχουν άνδρες ικανοί και ισχυροί να τους διορίσης αρχιποίμενας εις τα ιδικά μου κοπάδια των ζώων". Ετσι ήλθαν εις την Αίγυπτον προς τον Ιωσήφ ο Ιακώβ και τα παιδιά του και επληροφορήθη τούτο ο Φαραώ, ο βασιλεύς της Αιγύπτου.

Γεν. 47,6 - καὶ εἶπε Φαραὼ πρὸς Ἰωσὴφ λέγων· ὁ πατήρ σου καὶ οἱ ἀδελφοί σου ἥκασι πρὸς σέ· ἰδοὺ ἡ γῆ Αἰγύπτου ἐναντίον σου ἐστίν· ἐν τῇ βελτίστῃ γῇ κατοίκισον τὸν πατέρα σου καὶ τοὺς ἀδελφούς σου.

Γεν. 47,6 - Εἶπεν ο Φαραώ προς τον Ιωσήφ και τα εξής· "είδα ότι ο πατέρας σου και οι αδελφοί σου έχουν έλθει προς σέ. Ιδού ενώπιόν σου ευρίσκεται η χώρα της Αιγύπτου εις την διάθεσίν σου. Εις την καλυτέραν περιοχήν να εγκαταστήσης τον πατέρα σου και τους αδελφούς σου.

Γεν. 47,7 - εἰσήγαγε δὲ Ἰωσὴφ Ἰακὼβ τὸν πατέρα αὐτοῦ καὶ ἔστησεν αὐτὸν ἐναντίον Φαραώ, καὶ ηὐλόγησεν Ἰακὼβ τὸν Φαραώ.

Γεν. 47,7 - Ο Ιωσήφ ωδήγησε τον πατέρα του τον Ιακώβ και τον παρουσίασεν ενώπιον του Φαραώ. Ο δε Ιακώβ ευλόγησε τον Φαραώ.

Γεν. 47,8 - εἶπε δὲ Φαραὼ τῷ Ἰακώβ· πόσα ἔτη ἡμερῶν τῆς ζωῆς σου;

Γεν. 47,8 - Ο Φαραώ ηρώτησε τον Ιακώβ· "πόσων ετών είσαι;"

Γεν. 47,9 - καὶ εἶπεν Ἰακὼβ τῷ Φαραώ· αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, ἃς παροικῶ, ἑκατὸν τριάκοντα ἔτη· μικραὶ καὶ πονηραὶ γεγόνασιν αἱ ἡμέραι τῶν ἐτῶν τῆς ζωῆς μου, οὐκ ἀφίκοντο εἰς τὰς ἡμέρας τῶν ἐτῶν τῆς ζωῆς τῶν πατέρων μου, ἃς ἡμέρας παρῴκησαν.

Γεν. 47,9 - Ο δε Ιακώβ του απήντησε· “τα έτη της ζωής μου, κατά τα οποία κατοικώ εις την γην, ανέρχονται εις εκατόν τριάκοντα. Ολίγα και γεμάτα θλίψεις και περιπετείας είναι τα έτη της ζωής μου. Δεν έφθασα εις τα έτη των προγόνων μου, τα οποία έζησαν εκείνοι ως πάροικοι εις την γην”.

Γεν. 47,10 - καὶ εὐλογήσας Ἰακὼβ τὸν Φαραὼ ἐξῆλθεν ἀπ᾿ αὐτοῦ.

Γεν. 47,10 - Ο Ιακώβ ευχηθείς και πάλιν τον Φαραώ, εξήλθεν από τα ανάκτορα αυτού.

Γεν. 47,11 - καὶ κατῴκισεν Ἰωσὴφ τὸν πατέρα αὐτοῦ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ καὶ ἔδωκεν αὐτοῖς κατάσχεσιν ἐν γῇ Αἰγύπτῳ ἐν τῇ βελτίστῃ γῇ, ἐν γῇ Ῥαμεσσῆ, καθὰ προσέταξε Φαραώ.

Γεν. 47,11 - Ο Ιωσήφ εγκατέστησε τον πατέρα και τους αδελφούς του, σύμφωνα με το πρόσταγμα του Φαραώ, εις την ωραιοτάτην περιοχήν της Αιγύπτου, εις την χώραν Ραμεσσή, την Γεσέμ, την οποίαν και έδωσεν εις αυτούς ως ιδιοκτησίαν.

Γεν. 47,12 - καὶ ἐσιτομέτρει Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ καὶ τοῖς ἀδελφοῖς καὶ παντὶ τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ σῖτον κατὰ σῶμα.

Γεν. 47,12 - Κατά δε την διάρκειαν του λιμού εχορήγει ο Ιωσήφ στον πατέρα του και τους αδελφούς του και εις όλα τα μέλη των οικογενειών του οίκου του πατρός του, σιτάρι αναλόγως με τα άτομα που είχεν εκάστη.

Γεν. 47,13 - Σῖτος δὲ οὐκ ἦν ἐν πάσῃ τῇ γῇ· ἐνίσχυσε γὰρ ὁ λιμὸς σφόδρα. ἐξέλιπε δὲ ἡ γῆ Αἰγύπτου καὶ ἡ γῆ Χαναὰν ἀπὸ τοῦ λιμοῦ.

Γεν. 47,13 - Σίτος δε δεν υπήρχε πλέον εις όλην την χώραν, διότι ο λιμός ενετάθη πολύ. Η χώρα της Αιγύπτου και η χώρα της Χαναάν εξηντλήθησαν ένεκα του λιμού.

Γεν. 47,14 - συνήγαγε δὲ Ἰωσὴφ πᾶν τὸ ἀργύριον τὸ εὑρεθὲν ἐν γῇ Αἰγύπτου καὶ ἐν γῇ Χαναὰν τοῦ σίτου, οὗ ἠγόραζον, καὶ ἐσιτομέτρει αὐτοῖς, καὶ εἰσήνεγκεν Ἰωσὴφ πᾶν τὸ ἀργύριον εἰς τὸν οἶκον Φαραώ.

Γεν. 47,14 - Ο δε Ιωσήφ συνεκέντρωσεν όλα τα χρήματα, που υπήρχον εις την Αίγυπτον και εις την Χαναάν, πωλών τον σίτον, τον οποίον ηγόραζον οι κάτοικοι. Ετσι δε ο Ιωσήφ συνεκέντρωσεν όλον το αργύριον στον οίκον του Φαραώ.

Γεν. 47,15 - καὶ ἐξέλιπε πᾶν τὸ ἀργύριον ἐκ γῆς Αἰγύπτου καὶ ἐκ γῆς Χαναάν. ἦλθον δὲ πάντες οἱ Αἰγύπτιοι πρὸς Ἰωσήφ, λέγοντες· δὸς ἡμῖν ἄρτους, καὶ ἱνατί ἀποθνήσκομεν ἐναντίον σου; ἐκλέλοιπε γὰρ τὸ ἀργύριον ἡμῶν.

Γεν. 47,15 - Ενεκα του συνεχιζόμενου λιμού και της αγοράς του σίτου εξηντλήθησαν τα χρήματα των ανθρώπων της Αιγύπτου και της Χαναάν. Δεν είχον πλέον με τι να αγοράσουν σίτον. Δια τούτο ήλθαν προς τον Ιωσήφ και του είπον· “δος μας ψωμί· διατί να αποθάνωμεν ενώπιόν σου; Τα χρήματά μας έχουν πλέον εξαντληθή”.

Γεν. 47,16 - εἶπε δὲ αὐτοῖς Ἰωσήφ· φέρετε τὰ κτήνη ὑμῶν, καὶ δώσω ὑμῖν ἄρτους ἀντὶ τῶν κτηνῶν ὑμῶν, εἰ ἐκλέλοιπε τὸ ἀργύριον ὑμῶν.

Γεν. 47,16 - Ο Ιωσήφ τους είπεν· “αφού δεν έχετε άλλα χρήματα, φέρετέ μου τα ζώα σας και αντί αυτών θα σας δώσω άρτους, αφού έχουν εξαντληθή πλέον τα χρήματά σας”.

Γεν. 47,17 - ἤγαγον δὲ τὰ κτήνη αὐτῶν πρὸς Ἰωσήφ, καὶ ἔδωκεν αὐτοῖς Ἰωσὴφ ἄρτους ἀντὶ τῶν ἵππων καὶ ἀντὶ τῶν προβάτων καὶ ἀντὶ τῶν βοῶν καὶ ἀντὶ τῶν ὄνων καὶ ἐξέθρεψεν αὐτοὺς ἐν ἄρτοις ἀντὶ πάντων τῶν κτηνῶν αὐτῶν ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ.

Γεν. 47,17 - Εφεραν λοιπόν τα ζώα των οι Αιγύπτιοι προς τον Ιωσήφ και εκείνος τους έδωσεν άρτους αντί των ίππων και αντί των προβάτων, αντί των βοών και αντί των όνων και διέθρεψεν αυτούς κατά το έτος εκείνο με άρτους αντί όλων των κτηνών, που είχε πάρει υπό την κατοχήν του.

Γεν. 47,18 - ἐξῆλθε δὲ τὸ ἔτος ἐκεῖνο, καὶ ἦλθον πρὸς αὐτὸν ἐν τῷ ἔτει τῷ δευτέρῳ καὶ εἶπαν αὐτῷ· μή ποτε ἐκτριβῶμεν ἀπὸ τοῦ κυρίου ἡμῶν; εἰ γὰρ ἐκλέλοιπε τὸ ἀργύριον ἡμῶν καὶ τὰ ὑπάρχοντα καὶ τὰ κτήνη πρὸς σὲ τὸν κύριον, καὶ οὐχ ὑπολέλειπται ἡμῖν ἐναντίον τοῦ κυρίου ἡμῶν ἀλλ᾿ ἢ τὸ ἴδιον σῶμα καὶ ἡ γῆ ἡμῶν.

Γεν. 47,18 - Επέρασε και το έτος εκείνο της πείνας, έφθασε το δεύτερον έτος, κατά το οποίον επανήλθον οι Αιγύπτιοι προς αυτόν και του είπαν· “δος μας τρόφιμα. Μηπως, τάχα, και θα επιτρέψης ποτέ συ ο κύριός μας να εξοντωθώμεν όλοι από την πείναν; Εφ' όσον έχουν εξαντληθή τα χρηματά μας, η δε κινητή περιουσία μας και τα ζώα μας είναι πλέον ιδικά σου, δεν υπολείπεται πλέον εις ημάς ει μη μόνον να θέσωμεν υπό την εξουσίαν σου τον εαυτόν μας και τα χωράφια μας, να γίνωμεν ακτήμονες δούλοι σου.

Γεν. 47,19 - ἵνα οὖν μὴ ἀποθάνωμεν ἐναντίον σου καὶ ἡ γῆ ἐρημωθῇ, κτῆσαι ἡμᾶς καὶ τὴν γῆν ἡμῶν ἀντὶ ἄρτων, καὶ ἐσόμεθα ἡμεῖς καὶ ἡ γῆ ἡμῶν παῖδες τῷ Φαραώ· δὸς σπέρμα, ἵνα σπείρωμεν καὶ ζῶμεν καὶ μὴ ἀποθάνωμεν καὶ ἡ γῆ οὐκ ἐρημωθήσεται.

Γεν. 47,19 - Δια να μην αποθάνωμεν, λοιπόν, από την πείναν ενώπιόν σου και μείνη έρημος από ανθρώπους η χώρα της Αιγύπτου, αγόρασε ημάς και τα χωράφια μας, αντί των άρτων, που θα μας δώσης. Θα είμεθα ημείς δούλοι του Φαραώ και οι αγροί μας ιδιοκτησία του. Δος μας σίτον προς σποράν, δια να σπείρωμεν και θερίσωμεν, έτσι δε να ζήσωμεν, να μη αποθάνωμεν και ερημωθή πλέον ο τόπος”.

Γεν. 47,20 - καὶ ἐκτήσατο Ἰωσὴφ πᾶσαν τὴν γῆν τῶν Αἰγυπτίων τῷ Φαραώ· ἀπέδοντο γὰρ οἱ Αἰγύπτιοι τὴν γῆν αὐτῶν τῷ Φαραώ, ἐπεκράτησε γὰρ αὐτῶν ὁ λιμός· καὶ ἐγένετο ἡ γῆ τῷ Φαραώ,

Γεν. 47,20 - Ετσι δε ο Ιωσήφ ηγόρασε δια τον Φαραώ όλην την χώραν των Αιγυπτίων. Διότι οι Αιγύπτιοι επώλησαν την χώραν των στον Φαραώ,

επειδή ο μεγάλος λιμός διήρκεσε πολύ. Η Αίγυπτος έγινεν ιδιοκτησία του Φαραώ.

Γεν. 47,21 - καὶ τὸν λαὸν κατεδουλώσατο αὐτῷ εἰς παῖδας ἀπ᾿ ἄκρων ὁρίων Αἰγύπτου ἕως τῶν ἄκρων,

Γεν. 47,21 - Και τον λαόν ακόμη τον έκαμε δούλον στον Φαραώ από το ένα έως το άλλο άκρον και καθ' όλα τα όρια της γης Αιγύπτου,

Γεν. 47,22 - χωρὶς τῆς γῆς τῶν ἱερέων μόνον· οὐκ ἐκτήσατο ταύτην Ἰωσήφ, ἐν δόσει γὰρ ἔδωκε δόμα τοῖς ἱερεῦσι Φαραώ, καὶ ἤσθιον τὴν δόσιν, ἣν ἔδωκεν αὐτοῖς Φαραώ· διὰ τοῦτο οὐκ ἀπέδοντο τὴν γῆν αὐτῶν.

Γεν. 47,22 - Εκτός μόνον της χώρας των ιερέων. Αυτήν δεν την ηγόρασεν ο Ιωσήφ, διότι ο Φαραώ έδιδε δωρεάν στους ιερείς το απαραίτητον ποσόν του σίτου και ετρέφοντο από την χορηγίαν αυτήν, δια τούτο δε και δεν επώλησαν εκείνοι την περιοχήν των.

Γεν. 47,23 - εἶπε δὲ Ἰωσὴφ πᾶσι τοῖς Αἰγυπτίοις· ἰδοὺ κέκτημαι ὑμᾶς καὶ τὴν γῆν ὑμῶν σήμερον τῷ Φαραώ· λάβετε ἑαυτοῖς σπέρμα καὶ σπείρατε τὴν γῆν,

Γεν. 47,23 - Είπε τότε ο Ιωσήφ προς όλους τους άλλους Αιγυπτίους· “ιδού, σήμερον έχω αγοράσει δια τον Φαραώ και σας ως δούλους του και την χώραν σας ως ιδιοκτησίαν του. Λαβετε λοιπόν τώρα δια τον εαυτόν του ο καθένας σίτον προς σποράν και σπείρατε τα χωράφια σας.

Γεν. 47,24 - καὶ ἔσται τὰ γεννήματα αὐτῆς καὶ δώσετε τὸ πέμπτον μέρος τῷ Φαραώ, τὰ δὲ τέσσαρα μέρη ἔσται ὑμῖν αὐτοῖς εἰς σπέρμα τῇ γῇ καὶ εἰς βρῶσιν ὑμῖν καὶ πᾶσι τοῖς ἐν τοῖς οἴκοις ὑμῶν.

Γεν. 47,24 - Ομως κατά τον θερισμόν των αγρών σας θα δώσετε το εν πέμπτον του σίτου στον Φαραώ τα δε τέσσερα πέμπτα θα τα κρατήσετε προς σποράν και προς διατροφήν όλων των ανθρώπων του οίκου σας”.

Γεν. 47,25 - καὶ εἶπαν· σέσωκας ἡμᾶς, εὕρομεν χάριν ἐναντίον τοῦ κυρίου ἡμῶν καὶ ἐσόμεθα παῖδες τῷ Φαραώ.

Γεν. 47,25 - Εκείνοι δε ευχαριστημένοι απήντησαν· “μας έσωσες ! Ευρήκαμεν ενώπιόν σου χάριν, ενώπιον του κυρίου μας. Θα είμεθα δούλοι στον Φαραώ”.

Γεν. 47,26 - καὶ ἔθετο αὐτοῖς Ἰωσὴφ εἰς πρόσταγμα ἕως τῆς ἡμέρας ταύτης, ἐπὶ γῆς Αἰγύπτου τῷ Φαραὼ ἀποπεμπτοῦν, χωρὶς τῆς γῆς τῶν ἱερέων μόνον· οὐκ ἦν τῷ Φαραώ.

Γεν. 47,26 - Τοτε δε εξέδωσε και διαταγήν δια τους Αιγυπτίους ο Ιωσήφ, η οποία ισχύει και μέχρι σήμερον· να δίδεται από τα προϊόντα της γης Αιγύπτου το εν πέμπτον στον Φαραώ, εκτός της γης των ιερέων. Η γη αυτή δεν ανήκεν στον Φαραώ.

Γεν. 47,27 - Κατῴκησε δὲ Ἰσραὴλ ἐν γῇ Αἰγύπτῳ ἐπὶ γῆς Γεσὲμ καὶ ἐκληρονόμησαν ἐπ᾿ αὐτῆς καὶ ηὐξήθησαν καὶ ἐπληθύνθησαν σφόδρα.

Γεν. 47,27 - Ο Ιακώβ εγκατεστάθη εις την χώραν της Αιγύπτου, εις την περιοχήν Γεσέμ, την οποίαν επήραν ως ιδιοκτησίαν των. Εκεί δε οι απόγονοι του Ισραήλ ηυξήθησαν και επληθύνθησαν πάρα πολύ.

Γεν. 47,28 - ἐπέζησε δὲ Ἰακὼβ ἐν γῇ Αἰγύπτῳ δεκαεπτὰ ἔτη· καὶ ἐγένοντο αἱ ἡμέραι Ἰακὼβ ἐνιαυτῶν τῆς ζωῆς αὐτοῦ ἑκατὸν τεσσαρακονταεπτὰ ἔτη.

Γεν. 47,28 - Εζησε δε ακόμη ο Ιακώβ εις την χώραν της Αιγύπτου δεκαεπτά έτη· και αι ημέραι της ζωής του ανήλθον εις εκατόν τεσσαράκοντα επτά έτη.

Γεν. 47,29 - ἤγγισαν δὲ αἱ ἡμέραι Ἰσραὴλ τοῦ ἀποθανεῖν, καὶ ἐκάλεσε τὸν υἱὸν αὐτοῦ Ἰωσὴφ καὶ εἶπεν αὐτῷ· εἰ εὕρηκα χάριν ἐναντίον σου, ὑπόθες τὴν χεῖρά σου ὑπὸ τὸν μηρόν μου καὶ ποιήσεις ἐπ᾿ ἐμὲ ἐλεημοσύνην καὶ ἀλήθειαν τοῦ μή με θάψαι ἐν Αἰγύπτῳ,

Γεν. 47,29 - Επλησίασαν αι ημέραι να αποθάνη. Προσεκάλεσε τότε τον υιόν του τον Ιωσήφ και του είπεν· “εάν έχω εύρει χάριν ενώπιόν σου- όπως και πράγματι ευρήκα- βάλε το χέρι σου κάτω από τον μηρόν μου και ορκίσου ότι θα μου προσφέρης και αυτήν την καλωσύνην, ότι πιστώς θα εκπληρώσης την τελευταίαν μου εντολήν· να μη με θάψης εις την Αίγυπτον.

Γεν. 47,30 - ἀλλὰ κοιμηθήσομαι μετὰ τῶν πατέρων μου, καὶ ἀρεῖς με ἐξ Αἰγύπτου καὶ θάψεις με ἐν τῷ τάφῳ αὐτῶν. ὁ δὲ εἶπεν· ἐγὼ ποιήσω κατὰ τὸ ῥῆμά σου.

Γεν. 47,30 - Αλλά θα ενταφιασθώ μαζή με τους πατέρας μου εις την Χαναάν. Θα με μεταφέρης από την Αίγυπτον και θα με θάψης στον τάφον των”. Ο Ιωσήφ είπε· “θα κάμω, όπως μου είπες”.

Γεν. 47,31 - εἶπε δέ· ὄμοσόν μοι. καὶ ὤμοσεν αὐτῷ. καὶ προσεκύνησεν Ἰσραὴλ ἐπὶ τὸ ἄκρον τῆς ῥάβδου αὐτοῦ.

Γεν. 47,31 - Του είπε δε ο Ιακώβ· “ορκίσου” και ο Ιωσήφ ωρκίσθη ενώπιον του πατρός του. Τοτε ο Ιακώβ προσεκύνησεν στο άκρον της ράβδου του υιού του, η οποία εσυμβολιζε την βασιλικήν του εξουσίαν.

## ΓΕΝΕΣΙΣ 48

Γεν. 48,1 - Ἐγένετο δὲ μετὰ τὰ ῥήματα ταῦτα καὶ ἀπηγγέλη τῷ Ἰωσήφ, ὅτι ὁ πατήρ σου ἐνοχλεῖται. καὶ ἀναλαβὼν τοὺς δύο υἱοὺς αὐτοῦ, τὸν Μανασσῆ καὶ τὸν Ἐφραΐμ, ἦλθε πρὸς Ἰακώβ.

Γεν. 48,1 - Επειτα από τα γεγονότα αυτά ανήγγειλαν στον Ιωσήφ ότι ασθενεί βαρέως ο πατήρ του. Ο Ιωσήφ επήρε τα δύο παιδιά του, τον Μανασσή και τον Εφραΐμ, και ήλθε προς τον Ιακώβ.

Γεν. 48,2 - ἀπηγγέλη δὲ τῷ Ἰακὼβ λέγοντες· ἰδοὺ ὁ υἱός σου Ἰωσὴφ ἔρχεται πρὸς σέ. καὶ ἐνισχύσας Ἰσραὴλ ἐκάθησεν ἐπὶ τὴν κλίνην.

Γεν. 48,2 - Ανήγγειλαν δε στον Ιακώβ, ότι ιδού ο υιός σου ο Ιωσήφ έρχεται προς σέ. Κατέβαλε προσπάθειαν ο Ιακώβ, συνεκέντρωσε την δύναμίν του και ανεκάθησεν εις την κλίνην του,

Γεν. 48,3 - καὶ εἶπεν Ἰακὼβ τῷ Ἰωσήφ· ὁ Θεός μου ὤφθη μοι ἐν Λουζᾷ ἐν γῇ Χαναὰν καὶ εὐλόγησέ με

Γεν. 48,3 - και είπεν στον Ιωσήφ· “ο Θεός μου παρουσιάσθη εις εμέ εις την Λουζά της Χαναάν, με ευλόγησε

Γεν. 48,4 - καὶ εἶπέ μοι· ἰδοὺ ἐγὼ αὐξανῶ σε καὶ πληθυνῶ σε καὶ ποιήσω σε εἰς συναγωγὰς ἐθνῶν καὶ δώσω σοι τὴν γῆν ταύτην καὶ τῷ σπέρματί σου μετὰ σὲ εἰς κατάσχεσιν αἰώνιον.

Γεν. 48,4 - και εμού είπεν· Ιδού εγώ θα σε αυξήσω και θα σε πληθύνω· θα σε κάμω γενάρχην πολλών λαών και θα δώσω εις σε και στους απογόνους σου μετά από σέ, ως παντοτεινήν ιδιοκτησίαν σου, την χώραν αυτήν.

Γεν. 48,5 - νῦν οὖν οἱ δύο υἱοί σου οἱ γενόμενοί σοι ἐν γῇ Αἰγύπτῳ πρὸ τοῦ με ἐλθεῖν πρὸς σὲ εἰς Αἴγυπτον, ἐμοί εἰσιν, Ἐφραΐμ καὶ Μανασσῆ, ὡς Ῥουβὴν καὶ Συμεὼν ἔσονταί μοι·

Γεν. 48,5 - Τωρα λοιπόν οι δύο υιοί σου, τους οποίους απέκτησες εις την γην της Αιγύπτου, πριν εγώ έλθω εις σέ, είναι ιδικά μου παιδιά. Ο Εφραΐμ, και ο Μανασσής θα είναι δι' εμέ, όπως είναι οι πρωτοτόκοί μου, ο Ρουβήν και ο Συμεών.

Γεν. 48,6 - τὰ δέ ἔκγονα, ἃ ἐὰν γεννήσῃς μετὰ ταῦτα, ἔσονται ἐπὶ τῷ ὀνόματι τῶν ἀδελφῶν αὐτῶν· κληθήσονται ἐπὶ τοῖς ἐκείνων κλήροις.

Γεν. 48,6 - Εκείνοι όμως τους οποίους θα αποκτήσης κατόπιν, θα φέρουν τα ονόματα των δύο αυτών αδελφών των και όχι το ιδικόν μου. Θα κληθούν να λάβουν μερίδιον εις την γην της επαγγελίας από το μερίδιον των δύο αδελφών των.

Γεν. 48,7 - ἐγὼ δὲ ἡνίκα ἠρχόμην ἐκ Μεσοποταμίας τῆς Συρίας, ἀπέθανε Ῥαχὴλ ἡ μήτηρ σου ἐν γῇ Χαναάν, ἐγγίζοντός μου κατὰ τὸν ἱππόδρομον Χαβραθὰ τῆς γῆς τοῦ ἐλθεῖν Ἐφραθά, καὶ κατώρυξα αὐτὴν ἐν τῇ ὁδῷ τοῦ ἱπποδρόμου (αὕτη ἐστὶ Βηθλεέμ).

Γεν. 48,7 - Οταν εγώ ηρχόμην από την Μεσοποταμίαν της Συρίας, απέθανεν η μητέρα σου η Ραχήλ εις την γην Χαναάν, όταν επλησίαζα εις την πλατείαν λεωφόρον, όπου ανεμπόδιστα ημπορούσαν να τρέχουν ίπποι, την Χαβραθά, προς το μέρος της Εφραθά δηλαδή εις την Βηθλεέμ, εκεί, εις την λεωφόρον αυτήν, έθαψα την μητέρα σου”.

Γεν. 48,8 - ἰδὼν δὲ Ἰσραὴλ τοὺς υἱοὺς Ἰωσὴφ εἶπε· τίνες σοι οὗτοι;

Γεν. 48,8 - Ιδών δε ο Ιακώβ τα δύο παιδιά του Ιωσήφ ηρώτησε· “τίνος είναι τα παιδιά αυτά;”

Γεν. 48,9 - εἶπε δὲ Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ· υἱοί μου εἰσιν, οὓς ἔδωκέ μοι ὁ Θεὸς ἐνταῦθα. καὶ εἶπεν Ἰακώβ· προσάγαγέ μοι αὐτούς, ἵνα εὐλογήσω αὐτούς.

Γεν. 48,9 - Ο Ιωσήφ απήντησεν στον πατέρα του· “αυτά είναι τα παιδιά μου, τα οποία μου έδωσεν ο Θεός εδώ εις την Αίγυπτον”. Είπεν ο Ιακώβ· “φέρε τα εδώ κοντά μου, δια να τα ευλογήσω”.

Γεν. 48,10 - οἱ ὀφθαλμοὶ δὲ Ἰσραὴλ ἐβαρυώπησαν ἀπὸ τοῦ γήρως, καὶ οὐκ ἠδύνατο βλέπειν· καὶ ἤγγισεν αὐτοὺς πρὸς αὐτόν, καὶ ἐφίλησεν αὐτοὺς καὶ περιέλαβεν αὐτούς.

Γεν. 48,10 - Οι οφθαλμοί του Ιακώβ είχαν βαμβώσει πλέον λόγω των γηρατείων και δεν ημπορούσε να βλέπη καθαρά. Εφερεν ο Ιωσήφ κοντά στον πατέρα του τα δυο του παιδιά και εκείνος τα εφίλησε και τα αγκάλιασε.

Γεν. 48,11 - καὶ εἶπεν Ἰσραὴλ πρὸς Ἰωσήφ· ἰδοὺ τοῦ προσώπου σου οὐκ ἐστερήθην, καὶ ἰδοὺ ἔδειξέ μοι ὁ Θεὸς καὶ τὸ σπέρμα σου.

Γεν. 48,11 - Είπε ο Ιακώβ προς τον Ιωσήφ· “ιδού, πόσον με ευηργέτησεν ο Θεός ! Οχι μόνον δεν με εστέρησεν από την παρουσίαν σου, αλλά και μου έδειξε τους υιούς σου”.

Γεν. 48,12 - καὶ ἐξήγαγε αὐτοὺς Ἰωσὴφ ἀπὸ τῶν γονάτων αὐτοῦ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ πρόσωπον ἐπὶ τῆς γῆς.

Γεν. 48,12 - Επήρεν ο Ιωσήφ τα παιδιά του από τα γόνατα του πατρός του και εκείνα έκλιναν το πρόσωπόν των μέχρι του εδάφους και επροσκύνησαν τον Ιακώβ.

Γεν. 48,13 - λαβὼν δὲ Ἰωσὴφ τοὺς δύο υἱοὺς αὐτοῦ, τόν τε Ἐφραΐμ ἐν τῇ δεξιᾷ, ἐξ ἀριστερῶν δὲ Ἰσραήλ, τὸν δὲ Μανασσῆ ἐξ ἀριστερῶν, ἐκ δεξιῶν δὲ Ἰσραήλ, ἤγγισεν αὐτοὺς αὐτῷ.

Γεν. 48,13 - Επήρε πάλιν ο Ιωσήφ τους δύο υιούς του τον Εφραῒμ εκ δεξιών του, εξ αριστερών δε του Ιακώβ, ως δευτερότοκον, τον δε Μανασσή εξ αριστερών του, εκ δεξιών δε του Ιακώβ ως πρωτότοκον, και τους επλησίασε προς τον πατέρα του.

Γεν. 48,14 - ἐκτείνας δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν δεξιὰν ἐπέβαλεν ἐπὶ τὴν κεφαλὴν Ἐφραΐμ, οὗτος δὲ ἦν ὁ νεώτερος, καὶ τὴν ἀριστερὰν ἐπὶ τὴν κεφαλὴν Μανασσῆ, ἐναλλὰξ τὰς χεῖρας.

Γεν. 48,14 - Ηπλωσεν ο Ιακώβ την δεξιάν του χείρα και την έθεσαν εις την κεφαλήν του Εφραΐμ, αυτός δε ήτο ο νεώτερος, και την αριστεράν του χείρα εις την κεφαλήν του Μανασσή. Εβαλε δηλαδή τας χείρας του σταυρωτά.

Γεν. 48,15 - καὶ εὐλόγησεν αὐτοὺς καὶ εἶπεν· ὁ Θεός, ᾧ εὐηρέστησαν οἱ πατέρες μου ἐνώπιον αὐτοῦ, Ἀβραὰμ καὶ Ἰσαάκ, ὁ Θεὸς ὁ τρέφων με ἐκ

νεότητος ἕως τῆς ἡμέρας ταύτης,

Γεν. 48,15 - Ευλόγησεν αυτούς και είπεν· “ο Θεός, ενώπιον του οποίου, τηρήσαντες το θέλημά του, ευηρέστησαν οι πατέρες μου, ο Αβραάμ και ο Ισαάκ, ο Θεός ο οποίος με διατρέφει και με συντηρεί από την νεαράν μου ηλικίαν μέχρι της ημέρας αυτής,

Γεν. 48,16 - ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν εὐλογήσαι τὰ παιδία ταῦτα, καὶ ἐπικληθήσεται ἐν αὐτοῖς τὸ ὄνομά μου καὶ τὸ ὄνομα τῶν πατέρων μου Ἀβραὰμ καὶ Ἰσαάκ, καὶ πληθυνθείησαν εἰς πλῆθος πολὺ ἐπὶ τῆς γῆς.

Γεν. 48,16 - ο άγγελος, ο οποίος με εγλύτωνε συνεχώς από όλα τα δεινά, ας ευλογήση τα παιδιά αυτά, και ας φέρουν αυτά το όνομά μου και το όνομα των πατέρων μου, του Αβραάμ και Ισαάκ· ας πληθυνθούν εις πλήθος πολύ επί της γης”.

Γεν. 48,17 - ἰδὼν δὲ Ἰωσὴφ ὅτι ἐπέβαλεν ὁ πατὴρ αὐτοῦ τὴν χεῖρα τὴν δεξιὰν αὐτοῦ ἐπὶ τὴν κεφαλὴν Ἐφραΐμ, βαρὺ αὐτῷ κατεφάνη, καὶ ἀντελάβετο Ἰωσὴφ τῆς χειρὸς τοῦ πατρὸς αὐτοῦ ἀφελεῖν αὐτὴν ἀπὸ τῆς κεφαλῆς Ἐφραΐμ ἐπὶ τὴν κεφαλὴν Μανασσῆ.

Γεν. 48,17 - Ιδών ο Ιωσήφ ότι ο πατέρας του έθεσε την δεξιάν του χείρα εις την κεφαλήν του Εφραΐμ, του νεωτέρου υιού, εστενοχωρήθη πολύ και εδυσφόρησε. Επιασε δε την δεξιάν χείρα του πατρός του, δια να την απομακρύνη από την κεφαλήν του Εφραΐμ και να την θέση εις την κεφαλήν του Μανασσή, του πρωτοτόκου.

Γεν. 48,18 - εἶπε δὲ Ἰωσὴφ τῷ πατρὶ αὐτοῦ· οὐχ οὕτως, πάτερ, οὗτος γὰρ ὁ πρωτότοκος· ἐπίθες τὴν δεξιάν σου ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Γεν. 48,18 - Είπε δε στον πατέρα του· “μη θέτης κατ' αυτόν τον τρόπον τας χείρας σου, πάτερ, διότι αυτός είναι ο πρωτότοκος· εις την κεφαλήν αυτού θέσε την δεξιάν σου”.

Γεν. 48,19 - καὶ οὐκ ἠθέλησεν, ἀλλὰ εἶπεν· οἶδα, τέκνον, οἶδα· καὶ οὗτος ἔσται εἰς λαόν, καὶ οὗτος ὑψωθήσεται· ἀλλὰ ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος μείζων αὐτοῦ ἔσται, καὶ τὸ σπέρμα αὐτοῦ ἔσται εἰς πλῆθος ἐθνῶν.

Γεν. 48,19 - Ο Ιακώβ όμως δεν συγκατετέθη να πράξη ο,τι του είπεν ο Ιωσήφ, αλλά είπε· “γνωρίζω, τέκνον μου, γνωρίζω ποίος είναι ο πρωτότοκος και αυτός θα αναδειχθή εις λαόν πολύν, και αυτός θα δοξασθή. Αλλά ο αδελφός του ο νεώτερος, θα αναδειχθή μεγαλύτερος από αυτόν και οι απόγονοί του θα είναι πλήθος λαών”.

Γεν. 48,20 - καὶ εὐλόγησεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· ἐν ὑμῖν εὐλογηθήσεται Ἰσραὴλ λέγοντες· ποιήσαι σε ὁ Θεὸς ὡς Ἐφραΐμ καὶ ὡς Μανασσῆ. καὶ ἔθηκε τὸν Ἐφραΐμ ἔμπροσθεν τοῦ Μανασσῆ.

Γεν. 48,20 - Ο Ιακώβ ευλόγησεν αυτούς κατά την ημέραν εκείνην και είπεν· “χάρις εις σας και από σας θα δοξασθή το όνομά μου και οι άνθρωποι

θα λέγουν· Είθε να σε ευλογή ο Θεός, όπως ευλόγησε τον Εφραῒμ και τον Μανασσή”. Ετσι δε ο Ιακώβ κατέστησε κατά την ευλογίαν τον Εφραῒμ ανώτερον από τον πρωτότοκον Μανασσή.

Γεν. 48,21 - εἶπε δὲ Ἰσραὴλ τῷ Ἰωσήφ· ἰδοὺ ἐγὼ ἀποθνήσκω, καὶ ἔσται ὁ Θεὸς μεθ᾿ ὑμῶν καὶ ἀποστρέψει ὑμᾶς εἰς τὴν γῆν τῶν πατέρων ὑμῶν·

Γεν. 48,21 - Είπεν ακόμη ο Ιακώβ στον Ιωσήφ· “ιδού ότι εγώ μετ' ολίγον αποθνήσκω. Ο Θεός θα είναι, μαζή σας και θα σας επαναφέρη εις την γην των πατέρων σας.

Γεν. 48,22 - ἐγὼ δὲ δίδωμί σοι Σίκιμα ἐξαίρετον ὑπὲρ τοὺς ἀδελφούς σου, ἣν ἔλαβον ἐκ χειρὸς Ἀμοῤῥαίων ἐν μαχαίρᾳ μου καὶ τόξῳ.

Γεν. 48,22 - Εγώ δε παραχωρώ εις σε και τους απογόνους σου εκλεκτήν κληρονομίαν, ανωτέραν από το μερίδιον των άλλων αδελφών σου, την πόλιν Συχέμ, την οποίαν εγώ ανακατέλαβον από τους Αμορραίους με την μάχαιράν μου και το τόξον.

## ΓΕΝΕΣΙΣ 49

Γεν. 49,1 - Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπεν αὐτοῖς· συνάχθητε, ἵνα ἀναγγείλω ὑμῖν, τί ἀπαντήσει ὑμῖν ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν·

Γεν. 49,1 - Εκάλεσε κοντά του ο Ιακώβ τους υιούς του και είπεν εις αυτούς· “συγκεντρωθήτε πλησίον μου, δια να σας αναγγείλω τι θα συμβούν εις σας, στους απογόνους σας, εις την ανθρωπότητα μέχρι και των τελευταίων ημερών.

Γεν. 49,2 - ἀθροίσθητε καὶ ἀκούσατέ μου, υἱοὶ Ἰακώβ, ἀκούσατε Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν.

Γεν. 49,2 - Μαζευθήτε και ακούσατέ με, παιδιά του Ισραήλ, ακούσατε τον πατέρα σας Ιακώβ.

Γεν. 49,3 - Ῥουβήν, πρωτότοκός μου, σὺ ἰσχύς μου καὶ ἀρχὴ τέκνων μου, σκληρὸς φέρεσθαι καὶ σκληρὸς αὐθάδης.

Γεν. 49,3 - Ρουβήν, ο πρωτότοκός μου, συ είσαι η δύναμίς μου, η απαρχή των τέκνων μου. Εφάνης όμως σκληρός εις την συμπεριφοράν σου, σκληρός και αναίσχυντος απέναντί μου.

Γεν. 49,4 - ἐξύβρισας ὡς ὕδωρ, μὴ ἐκζέσῃς· ἀνέβης γὰρ ἐπὶ τὴν κοίτην τοῦ πατρός σου· τότε ἐμίανας τὴν στρωμνήν, οὗ ἀνέβης.

Γεν. 49,4 - Ωρμησες σαν χείμαρρος εναντίον της γυναικός μου Βαλλάς και την εταπείνωσες. Δεν θα προοδεύσης και δεν θα αναδειχθής, διότι ανέβης εις την κλίνην του πατρός σου, εμόλυνες το κρεββάτι του πατέρα, σου, στο οποίον ανέβης.

Γεν. 49,5 - Συμεὼν καὶ Λευΐ ἀδελφοί· συνετέλεσαν ἀδικίαν ἐξ αἱρέσεως αὐτῶν.

Γεν. 49,5 - Συμεών και Λευϊ, δύο αδελφοί ωλοκλήρωσαν εσκεμμένως μίαν φοβεράν άδικον πράξιν.

Γεν. 49,6 - εἰς βουλὴν αὐτῶν μὴ ἔλθοι ἡ ψυχή μου, καὶ ἐπὶ τῇ συστάσει αὐτῶν μὴ ἐρείσαι τὰ ἥπατά μου, ὅτι ἐν τῷ θυμῷ αὐτῶν ἀπέκτειναν ἀνθρώπους καὶ ἐν τῇ ἐπιθυμίᾳ αὐτῶν ἐνευροκόπησαν ταῦρον.

Γεν. 49,6 - Η ψυχή μου δεν συγκατατίθεται εις την απόφασίν των, και η καρδία μου δεν επαναπαύεται εις την συνωμοσίαν των, διότι επάνω στον μεγάλον θυιμόν των εφόνευσαν ανθρώπους και εις την επιθυμίαν της εκδικήσεώς των εφόνευσαν και ταύρους.

Γεν. 49,7 - ἐπικατάρατος ὁ θυμὸς αὐτῶν, ὅτι αὐθάδης, καὶ ἡ μῆνις αὐτῶν, ὅτι ἐσκληρύνθη· διαμεριῶ αὐτοὺς ἐν Ἰακὼβ καὶ διασπερῶ αὐτοὺς ἐν Ἰσραήλ.

Γεν. 49,7 - Κατηραμένος ας είναι ο θυμός των, διότι και η οργή των ήτο παράνομος, ήτο σκληρά. Ενεκα τούτου θα διασκορπίσω τους απογόνους των μεταξύ των άλλων υιών του Ιακώβ, θα διασπαρούν εν μέσω του ισραηλιτικού λαού.

Γεν. 49,8 - Ἰούδα, σὲ αἰνέσαισαν οἱ ἀδελφοί σου· αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου· προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου.

Γεν. 49,8 - Ιούδα, σε θα υμνήσουν οι αδελφοί σου, θα σε αναγνωρίσουν ως αρχηγόν των, τα χέρια σου θα είναι ισχυρά επάνω εις την ράχιν των εχθρών σου. Θα σε προσκυνήσουν ως αρχηγόν των οι απόγονοι του πατρός σου.

Γεν. 49,9 - σκύμνος λέοντος Ἰούδα· ἐκ βλαστοῦ, υἱέ μου, ἀνέβης· ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος· τίς ἐγερεῖ αὐτόν;

Γεν. 49,9 - Λιοντάρι, γέννημα λιονταριού, θα είσαι, Ιούδα· από εμέ σαν από βλαστόν εφύτρωσες συ, άλλο βλαστάρι, υιέ μου. Εξηπλώθης και εκοιμήθης σαν λιοντάρι, σαν νεαρό εύρωστο λιοντάρι. Ποιός τολμά να τον πλησιάση και να τον εξυπνήση;

Γεν. 49,10 - οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἐὰν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ αὐτὸς προσδοκία ἐθνῶν.

Γεν. 49,10 - Δεν θα λείψη άρχων από την φυλην Ιούδα και αρχηγός από τους απογόνους του, μέχρις ότου έλθη εκείνος, εις τα χέρια του οποίου απόκεινται αι εξουσίαι. Αυτός θα είναι η ελπίς και η προσμονή των λαών, ο Μεσσίας.

Γεν. 49,11 - δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ καὶ τῇ ἕλικι τὸν πῶλον τῆς ὄνου αὐτοῦ· πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ·

Γεν. 49,11 - Τοση τότε θα είναι η ευημερία, ώστε θα δένη αυτός τον όνον του εις την άμπελον και το πουλάρι της όνου του εις την ψαλλίδα της αμπέλου. Θα πλύνη όχι με νερό αλλά με κρασί την στολήν του και με τον κόκκινον, σαν αίμα, οίνον της σταφυλής θα καθαρίζη την ενδυμασίαν του.

Γεν. 49,12 - χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα.

Γεν. 49,12 - Οι οφθαλμοί του θα ακτινοβολούν χαράν· θα σπινθηροβολούν σαν εκείνου που πίνει οίνον. Η καθαρότης του θα είναι άψογος, και οι οδόντες του θα είναι λευκότεροι από το γάλα.

Γεν. 49,13 - Ζαβουλὼν παράλιος κατοικήσει, καὶ αὐτὸς παρ᾽ ὅρμον πλοίων, καὶ παρατενεῖ ἕως Σιδῶνος.

Γεν. 49,13 - Ζαβουλών, η φυλή του θα κατοικήση εις παράλιον χώραν, πλησίον λιμένων, όπου υπάρχουν πλοία, θα εκτείνεται δε μέχρι και της Σιδώνος.

Γεν. 49,14 - Ἰσσάχαρ τὸ καλὸν ἐπεθύμησεν ἀναπαυόμενος ἀνὰ μέσον τῶν κλήρων·

Γεν. 49,14 - Ισσάχαρ επεθύμησε και εθεώρησε καλόν να αναπαύεται εις τας περιοχάς, αι οποίαι εκληροδοτήθησαν στους άλλους αδελφούς του.

Γεν. 49,15 - καὶ ἰδὼν τὴν ἀνάπαυσιν ὅτι καλή, καὶ τὴν γῆν ὅτι πίων, ὑπέθηκε τὸν ὦμον αὐτοῦ εἰς τὸ πονεῖν καὶ ἐγενήθη ἀνὴρ γεωργός.

Γεν. 49,15 - Αυτός ιδών, ότι η ειρηνική και αναπαυτική ζωή είναι καλή δι' αυτόν και ότι η χώρα του είναι εύφορος, ανέλαβε να εργασθή με τα χέρια του και να κοπιάζη εργαζόμενος την γην και έτσι έγινε γεωργός.

Γεν. 49,16 - Δὰν κρινεῖ τὸ λαὸν αὐτοῦ, ὡσεὶ καὶ μία φυλὴ ἐν Ἰσραήλ.

Γεν. 49,16 - Ο Δαν θα κυβερνήση δια της φυλής του τον ισραηλιτικόν λαόν, σαν μια αξία φυλή του Ιακώβ.

Γεν. 49,17 - καὶ γενηθήτω Δὰν ὄφις ἐφ᾽ ὁδοῦ, ἐγκαθήμενος ἐπὶ τρίβου, δάκνων πτέρναν ἵππου, καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω,

Γεν. 49,17 - Η φυλή του Δαν θα γίνη κακοποιός, σαν όφις κρυμμένος στον δρόμον, όφις ο οποίος παραμονεύει εις την ατραπόν, δια να δαγκώση την πτέρναν του ίππου και να ανατραπή ο ιππεύς προς τα οπίσω,

Γεν. 49,18 - τὴν σωτηρίαν περιμένων Κυρίου.

Γεν. 49,18 - ώστε τα θύματά του να περιμένουν την σωτηρίαν από τον Κυριον.

Γεν. 49,19 - Γάδ, πειρατήριον πειρατεύσει αὐτόν, αὐτὸς δὲ πειρατεύσει αὐτὸν κατὰ πόδας.

Γεν. 49,19 - Ο Γαδ, ενέδρας και πειρατείας θα στήσουν δι' αυτόν, αλλά και αυτός θα στήση ενέδρας εις τα πόδια εκείνου, ο οποίος τον ενεδρεύει.

Γεν. 49,20 - Ἀσήρ, πίων αὐτοῦ ὁ ἄρτος, καὶ αὐτὸς δώσει τρυφὴν ἄρχουσι.

Γεν. 49,20 - Του Ασήρ η τροφή θα είναι πλουσία και αυτός από την πολλήν καρποφορίαν των αγρών του θα προσφέρη απολαυστικά εδέσματα και εις βασιλείς.

Γεν. 49,21 - Νεφθαλεὶμ στέλεχος ἀνειμένον, ἐπιδιδοὺς ἐν τῷ γεννήματι κάλλος.

Γεν. 49,21 - Νεφθαλείμ, βλαστάρια υψωμένα θα προσδίδουν ωραιότητα εις αυτόν και εις την καρποφόρον βλάστησιν της χώρας του.

Γεν. 49,22 - υἱὸς ηὐξημένος Ἰωσήφ, υἱὸς ηὐξημένος μου ζηλωτός, υἱός μου νεώτατος· πρός με ἀνάστρεψον.

Γεν. 49,22 - Ο Ιωσήφ ένδοξον τέκνον, ένδοξον και αγαπημένον παιδί των γηρατείων μου, επίστρεψε προς εμέ από την ξενητειά σου.

Γεν. 49,23 - εἰς ὃν διαβουλευόμενοι ἐλοιδόρουν, καὶ ἐνεῖχον αὐτῷ κύριοι τοξευμάτων·

Γεν. 49,23 - Εναντίον αυτού και των απογόνων του άνθρωποι πονηρά σκεπτόμενοι εξεστόμιζαν ύβρεις, άνθρωποι έχοντες ικανότητα εις πολέμους με τόξα εφθόνουν και εμίασουν αυτόν.

Γεν. 49,24 - καὶ συνετρίβη μετὰ κράτους τὰ τόξα αὐτῶν, καὶ ἐξελύθη τὰ νεῦρα βραχιόνων χειρὸς αὐτῶν διά χεῖρα δυνάστου Ἰακώβ, ἐκεῖθεν ὁ κατισχύσας Ἰσραήλ· παρὰ Θεοῦ τοῦ πατρός σου,

Γεν. 49,24 - Αλλά τα τόξα των συνετρίβησαν μετά μεγάλης δυνάμεως και τα νεύρα των χειρών των παρέλυσαν από το κραταιόν χέρι του παντοδυνάμου Θεού του Ιακώβ. Από εκεί, από τον Θεόν του πατρός σου, θα αντλής την δύναμίν σου.

Γεν. 49,25 - καὶ ἐβοήθησέ σοι ὁ Θεὸς ὁ ἐμὸς καὶ εὐλόγησέ σε εὐλογίαν οὐρανοῦ ἄνωθεν καὶ εὐλογίαν γῆς ἐχούσης πάντα· εἵνεκεν εὐλογίας μαστῶν καὶ μήτρας,

Γεν. 49,25 - Ο Θεός μου σε εβοήθησε και σε ηυλόγησε ευλογίαν πλουσία από τον ουρανόν άνω και ευλογίαν από την γην κάτω, η οποία θα καρποφορή πλουσίως δια σέ. Αι ευλογίαι αυταί δια σε και δια τα τέκνα σου θα δειχθούν και από το πλήθος των απογόνων σου.

Γεν. 49,26 - εὐλογίας πατρός σου καὶ μητρός σου· ὑπερίσχυσεν ὑπὲρ εὐλογίας ὀρέων μονίμων καὶ ἐπ᾿ εὐλογίαις θινῶν ἀενάων· ἔσονται ἐπὶ κεφαλὴν Ἰωσὴφ καὶ ἐπὶ κορυφῆς ὧν ἡγήσατο ἀδελφῶν.

Γεν. 49,26 - Θα λάβης τας ευλογίας του πατρός σου και της μητρός σου και θα είναι αύται ανώτεραι από την μεγαλοπρέπειαν και την μακροβιότητα των ορέων και πολυαριθμότεροι από τας αμμώδεις αιωνίας εκτάσεις. Αι ευλογίαι αυταί θα έλθουν εις την κεφαλήν του Ιωσήφ, εκείνου ο οποίος ανεδείχθη άρχων και προστάτης των αδελφών του.

Γεν. 49,27 - Βενιαμὶν λύκος ἅρπαξ· τὸ πρωϊνὸν ἔδεται ἔτι καὶ εἰς τὸ ἑσπέρας δίδωσι τροφήν.

Γεν. 49,27 - Ο Βενιαμίν θα είναι λύκος αρπακτικός. Την πρωΐαν θα τρώγη ακόμη από το κυνήγι της προηγουμένης ημέρας και την εσπέραν της άλλης ημέρας θα έχη τόσα νέα θηράματα, ώστε να δίδη και εις άλλους τροφήν”.

Γεν. 49,28 - Πάντες οὗτοι υἱοὶ Ἰακὼβ δώδεκα, καὶ ταῦτα ἐλάλησεν αὐτοῖς ὁ πατὴρ αὐτῶν καὶ εὐλόγησεν αὐτούς, ἕκαστον κατὰ τὴν εὐλογίαν αὐτοῦ εὐλόγησεν αὐτούς.

Γεν. 49,28 - Ολοι αυτοί οι υιοί του Ιακώβ ήσαν δώδεκα, και αυτά είπεν εις αυτούς ο πατήρ των. Ευλόγησεν αυτούς. Εδωκεν στον καθένα από αυτούς ιδιαιτέραν ευλογίαν και προφητείαν.

Γεν. 49,29 - καὶ εἶπεν αὐτοῖς· ἐγὼ προστίθεμαι πρὸς τὸν ἐμὸν λαόν· θάψατέ με μετὰ τῶν πατέρων μου ἐν τῷ σπηλαίῳ, ὅ ἐστιν ἐν τῷ ἀγρῷ Ἐφρὼν τοῦ Χετταίου,

Γεν. 49,29 - Επειτα δε από τας ευλογίας τους είπεν· “εγώ υστέρα από ολίγον αποθνήσκω και προστίθεμαι στον λαόν μου, ο οποίος έχει εκδημήσει ενωρίτερον. Θέλω να με θάψετε μαζή με τους πατέρας μου εντός του σπηλαίου, το οποίον υπάρχει στον αγρόν του Εφρών του Χετταίου.

Γεν. 49,30 - ἐν τῷ σπηλαίῳ τῷ διπλῷ, τῷ ἀπέναντι Μαμβρῆ, ἐν γῇ Χαναάν, ὃ ἐκτήσατο Ἀβραὰμ τὸ σπήλαιον παρὰ Ἐφρὼν τοῦ Χετταίου ἐν κτήσει μνημείου·

Γεν. 49,30 - Θαψετέ με στο διπλούν σπήλαιον, που ευρίσκεται εις την Χαναάν απέναντι από την Δρυν Μαμβρή και το οποίον σπήλαιον ηγόρασεν ο Αβραάμ από τον Εφρών τον Χετταίον, δια να τα χρησιμοποιήση ως ιδιόκτητον μνημείον.

Γεν. 49,31 - ἐκεῖ ἔθαψαν Ἀβραὰμ καὶ Σάῤῥαν τὴν γυναῖκα αὐτοῦ, ἐκεῖ ἔθαψαν Ἰσαὰκ καὶ Ῥεβέκκαν τὴν γυναῖκα αὐτοῦ, ἐκεῖ ἔθαψα Λείαν

Γεν. 49,31 - Εκεί έθαψαν τον Αβραάμ και την σύζυγον αυτού την Σαρραν. Εκεί έθαψαν τον Ισαάκ και την σύζυγόν του την Ρεβέκκαν, εκεί έθαψα εγώ την Λείαν,

Γεν. 49,32 - ἐν κτήσει τοῦ ἀγροῦ καὶ τοῦ σπηλαίου τοῦ ὄντος ἐν αὐτῷ παρὰ τῶν υἱῶν Χέτ.

Γεν. 49,32 - αφού μας ανήκει ο αγρός αυτός και το σπήλαιον που υπάρχει εις αυτόν, διότι ηγοράσθησαν από τους Χετταίους”.

Γεν. 49,33 - καὶ κατέπαυσεν Ἰακὼβ ἐπιτάσσων τοῖς υἱοῖς αὐτοῦ καὶ ἐξάρας τοὺς πόδας αὐτοῦ ἐπὶ τὴν κλίνην ἐξέλιπε καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ.

Γεν. 49,33 - Επαυσε τότε ο Ιακώβ να δίδη εντολάς εις τα παιδιά του, άπλωσε τα πόδια του επανώ στο κρεββάτι του, απέθανεν ειρηνικά και ήρεμα και προσετέθη στον λαόν του, ο οποίος ενωρίτερα από αυτόν είχεν απέλθει από τον κόσμον τούτον.

ΓΕΝΕΣΙΣ 50

Γεν. 50,1 - Καὶ ἐπιπεσὼν Ἰωσὴφ ἐπὶ πρόσωπον τοῦ πατρὸς αὐτοῦ, ἔκλαυσεν αὐτὸν καὶ ἐφίλησεν αὐτόν.
Γεν. 50,1 - Ο Ιωσήφ ερρίφθη στο πρόσωπον του πατρός του, έκλαυσε δι' αυτόν και τον εφίλησε.
Γεν. 50,2 - καὶ προσέταξεν Ἰωσὴφ τοῖς παισὶν αὐτοῦ τοῖς ἐνταφιασταῖς ἐνταφιάσαι τὸν πατέρα αὐτοῦ, καὶ ἐνεταφίασαν οἱ ἐνταφιασταὶ τὸν Ἰσραήλ.
Γεν. 50,2 - Διέταξε δε τους δούλους του, τους Αιγυπτίους ταριχευτάς, να τον ταριχεύσουν. Εκείνοι δέ, ειδικοί στο έργον των, εταρίχευσαν τον Ιακώβ.
Γεν. 50,3 - καὶ ἐπλήρωσαν αὐτοῦ τεσσαράκοντα ἡμέρας· οὕτω γὰρ καταριθμοῦνται αἱ ἡμέραι τῆς ταφῆς. καὶ ἐπένθησεν αὐτὸν Αἴγυπτος ἑβδομήκοντα ἡμέρας.
Γεν. 50,3 - Συνεπληρώθησαν αι τεσσαράκοντα ημέραι, όσαι απαιτούνται δια την ολοκλήρωσιν της ταριχεύσεως. Επένθησε τον Ιακώβ η Αίγυπτος επί εβδομήκοντα ημέρας.
Γεν. 50,4 - Ἐπεὶ δὲ παρῆλθον αἱ ἡμέραι τοῦ πένθους, ἐλάλησεν Ἰωσὴφ πρὸς τοὺς δυνάστας Φαραὼ λέγων· εἰ εὗρον χάριν ἐναντίον ὑμῶν λαλήσατε περὶ ἐμοῦ εἰς τὰ ὦτα Φαραὼ λέγοντες·
Γεν. 50,4 - Οταν δε παρήλθαν αι ημέραι αύται του πένθους, ο Ιωσήφ, επειδή λόγω της πενθίμου εμφανίσεως του και της ένεκα του πένθους αφεθείσης γενειάδας του, δεν ηδύνατο αυτοπροσώπως να παρουσιασθή στον Φαραώ, είπε προς τους αυλικούς να μεσολαβήσουν προς εκείνον λέγων· “εάν ευρήκα χάριν ενώπιόν σας, ομιλήσατε δι' εμέ στον Φαραώ και είπατε,
Γεν. 50,5 - ὁ πατήρ μου ὥρκισέ με λέγων· ἐν τῷ μνημείῳ ᾧ ὤρυξα ἐμαυτῷ ἐν γῇ Χαναάν, ἐκεῖ με θάψεις· νῦν οὖν ἀναβὰς θάψω τὸν πατέρα μου καὶ ἐπανελεύσομαι.
Γεν. 50,5 - ότι ο πατήρ μου με ώρκισε λέγων· Θέλω να με θάψης στο μνημείον, το οποίον εγώ δια τον εαυτόν μου ήνοιξα εις την χώραν Χαναάν. Τωρα λοιπόν πρέπει να μεταβώ εις την Χαναάν, να θάψω τον πατέρα μου και πάλιν θα επιστρέψω”.
Γεν. 50,6 - καὶ εἶπε Φαραὼ τῷ Ἰωσήφ· ἀνάβηθι, θάψον τὸν πατέρα σου, καθάπερ ὥρκισέ σε.
Γεν. 50,6 - Ο Φαραώ παρήγγειλες στον Ιωσήφ· “πήγαινε θάψε τον πατέρα σου, όπως εκείνος σε ώρκισεν”.
Γεν. 50,7 - καὶ ἀνέβη Ἰωσὴφ θάψαι τὸν πατέρα αὐτοῦ, καὶ συνανέβησαν μετ᾿ αὐτοῦ πάντες οἱ παῖδες Φαραὼ καὶ οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ καὶ πάντες οἱ πρεσβύτεροι τῆς γῆς Αἰγύπτου.

Γεν. 50,7 - Ο Ιωσήφ ανεχώρησε, δια να θάψη τον πατέρα του. Μαζή δε με αυτόν επήγαν όλοι οι δούλοι του Φαραώ, οι γεροντότεροι του οίκου του, όλοι οι πρεσβύτεροι, όλοι δηλαδή όσοι κατείχον αξιώματα εις την χώραν της Αιγύπτου.

Γεν. 50,8 - καὶ πᾶσα ἡ πανοικία Ἰωσὴφ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ οἰκία ἡ πατρικὴ αὐτοῦ, καὶ τὴν συγγένειαν αὐτοῦ καὶ τὰ πρόβατα καὶ τοὺς βόας ὑπελίποντο ἐν γῇ Γεσέμ.

Γεν. 50,8 - Και όλη η οικογένεια του Ιωσήφ, οι αδελφοί του και όλα τα μέλη του πατρικού οίκου και όλοι οι συγγενείς. Εις την Γεσέμ έμειναν μόνον τα πρόβατα και τα βόδια και οι φυλάσσοντες αυτά.

Γεν. 50,9 - καὶ συνανέβησαν μετ᾽ αὐτοῦ καὶ ἅρματα καὶ ἱππεῖς, καὶ ἐγένετο ἡ παρεμβολὴ μεγάλη σφόδρα.

Γεν. 50,9 - Μαζή με αυτόν ανεχώρησαν και άρματα και ιππείς, ώστε η συνοδεία έγινε πολύ μεγάλη.

Γεν. 50,10 - καὶ παρεγένοντο εἰς ἅλωνα Ἀτάδ, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου, καὶ ἐκόψαντο αὐτὸν κοπετὸν μέγαν καὶ ἰσχυρὸν σφόδρα· καὶ ἐποίησε τὸ πένθος τῷ πατρὶ αὐτοῦ ἑπτὰ ἡμέρας.

Γεν. 50,10 - Εφθασαν στο αλώνι του Ατάδ, το οποίον ευρίσκεται ανατολικώς του Ιορδάνου. Εκεί όλοι οι συνοδεύοντες τον νεκρόν τον εθρήνησαν πολύ, με θρήνον μεγάλον και ισχυρόν. Εκαμε δε εκεί ο Ιωσήφ και οι περί αυτόν πένθος επτά ημερών δια τον πατέρα του.

Γεν. 50,11 - καὶ εἶδον οἱ κάτοικοι τῆς γῆς Χαναὰν τὸ πένθος ἐπὶ ἅλωνι Ἀτὰδ καὶ εἶπαν· πένθος μέγα τοῦτό ἐστι τοῖς Αἰγυπτίοις· διὰ τοῦτο ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Πένθος Αἰγύπτου, ὅ ἐστι πέραν τοῦ Ἰορδάνου.

Γεν. 50,11 - Οι κάτοικοι της γης Χαναάν είδον το πένθος τούτο στο αλώνι του Ατάδ και είπαν· “μεγάλο είναι τούτο το πένθος στους Αιγυπτίους”. Δια τούτο ωνόμασαν “Πένθος Αιγύπτου” τον τόπον αυτόν, που ευρίσκεται ανατολικώς του Ιορδάνου.

Γεν. 50,12 - καὶ ἐποίησαν αὐτῷ οὕτως οἱ υἱοὶ αὐτοῦ

Γεν. 50,12 - Αφού κατ' αυτόν τον τρόπον επένθησαν τον πατέρα των τον Ιακώβ οι υιοί αυτού,

Γεν. 50,13 - καὶ ἀνέλαβον αὐτὸν οἱ υἱοὶ αὐτοῦ εἰς γῆν Χαναὰν καὶ ἔθαψαν αὐτὸν εἰς τὸ σπήλαιον τὸ διπλοῦν, ὃ ἐκτήσατο Ἀβραὰμ τὸ σπήλαιον ἐν κτήσει μνημείου παρὰ Ἐφρὼν τοῦ Χετταίου, κατέναντι Μαμβρῆ.

Γεν. 50,13 - τον επήραν έπειτα αυτοί μόνοι χωρίς την συνοδείαν των Αιγυπτίων, τον μετέφεραν από το αλώνι του Ατάδ, εις την Χαναάν, και τον έθαψαν στο διπλούν σπήλαιον, το απέναντι της Δρυός Μαμβρή, το οποίον ο Αβραάμ είχεν αγοράσει ως ιδιόκτητον μνημείον του από τον Εφρών τον Χετταίον.

Γεν. 50,14 - καὶ ὑπέστρεψεν Ἰωσὴφ εἰς Αἴγυπτον, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ οἱ συναναβάντες θάψαι τὸν πατέρα αὐτοῦ.

Γεν. 50,14 - Μετά δε τον ενταφιασμόν επέστρεψεν εις την Αίγυπτον ο Ιωσήφ, οι αδελφοί του και όλοι όσοι είχον έλθει μαζή του, δια να θάψουν τον πατέρα του.

Γεν. 50,15 - Ἰδόντες δὲ οἱ ἀδελφοὶ Ἰωσὴφ ὅτι τέθνηκεν ὁ πατὴρ αὐτῶν, εἶπαν· μή ποτε μνησικακήσῃ ἡμῖν Ἰωσὴφ καὶ ἀνταπόδομα ἀνταποδῷ ἡμῖν πάντα τὰ κακά, ἃ ἐνεδειξάμεθα εἰς αὐτόν.

Γεν. 50,15 - Οταν οι αδελφοί του Ιωσήφ είδον ότι απέθανε και δεν υπάρχει μεταξύ των ο πατέρας των, εφοβήθησαν και διηρωτήθησαν· “Μηπως μνησικακήση εναντίον μας ο Ιωσήφ και μας ανταποδώση όλα εκείνα τα κακά, τα οποία ημείς επράξαμεν εναντίον του;”

Γεν. 50,16 - καὶ παραγενόμενοι πρὸς Ἰωσὴφ εἶπαν· ὁ πατήρ σου ὥρκισε πρὸ τοῦ τελευτῆσαι αὐτὸν λέγων·

Γεν. 50,16 - Και με τον φόβον αυτόν προσήλθον όλοι προς τον Ιωσήφ και του είπαν· “ο πατήρ σου πριν αποθάνη, μας ώρκισε και μας είπε·

Γεν. 50,17 - οὕτως εἴπατε Ἰωσήφ· ἄφες αὐτοῖς τὴν ἀδικίαν καί τὴν ἁμαρτίαν αὐτῶν, ὅτι πονηρά σοι ἐνεδείξαντο· καὶ νῦν δέξαι τὴν ἀδικίαν τῶν θεραπόντων τοῦ Θεοῦ τοῦ πατρός σου. καὶ ἔκλαυσεν Ἰωσὴφ λαλούντων αὐτῶν πρὸς αὐτόν.

Γεν. 50,17 - Αυτά να πήτε στον Ιωσήφ· Συγχώρησε στους αδελφούς σου την αδικίαν και την αμαρτίαν των, διότι πράγματι σου έκαμαν μεγάλα κακά. Τωρα, λοιπόν, δέξου την μετάνοιάν των και συγχώρησε την αδικίαν των δούλων τούτων του Θεού και του πατρός σου”. Συνεκινήθη βαθύτατα ο Ιωσήφ και έκλαυσεν, ενώ εκείνοι του ωμιλούσαν ακόμη.

Γεν. 50,18 - καὶ ἐλθόντες πρὸς αὐτὸν εἶπαν· οἵδε ἡμεῖς σοὶ ἱκέται.

Γεν. 50,18 - Αυτοί επλησίασαν περισσότερον τον αδελφόν των και συντετριμμένοι του είπαν· “ιδού, ημείς είμεθα και θα μείνωμεν δούλοι σου”.

Γεν. 50,19 - καὶ εἶπεν αὐτοῖς Ἰωσήφ· μὴ φοβεῖσθε, τοῦ γὰρ Θεοῦ εἰμι ἐγώ.

Γεν. 50,19 - Απήντησε προς αυτούς ο Ιωσήφ· “μη φοβείσθε ! Του Θεού άνθρωπος είμαι εγώ, αγαθός και αμνησίκακος.

Γεν. 50,20 - ὑμεῖς ἐβουλεύσασθε κατ᾿ ἐμοῦ εἰς πονηρά, ὁ δὲ Θεὸς ἐβουλεύσατο περὶ ἐμοῦ εἰς ἀγαθά, ὅπως ἂν γενηθῇ ὡς σήμερον καὶ τραφῇ λαὸς πολύς.

Γεν. 50,20 - Σεις εσκεφθήκατε και απεφασίσατε κακά εναντίον μου. Ο δε Θεός εσκέφθη αγαθά δι' εμέ, δια να γίνη αυτό το οποίον και έγινε μέχρι τώρα, να διατραφούν δηλαδή χάρις εις εμέ πολλοί λαοί”.

Γεν. 50,21 - καὶ εἶπεν αὐτοῖς· μὴ φοβεῖσθε· ἐγὼ διαθρέψω ὑμᾶς καὶ τὰς οἰκίας ὑμῶν. καὶ παρεκάλεσεν αὐτοὺς καὶ ἐλάλησεν αὐτῶν εἰς τὴν καρδίαν.

Γεν. 50,21 - Και επανέλαβε προς αυτούς· “μη φοβείσθε ! Εγώ, όχι μόνον δεν θα σας εκδικηθώ, αλλά θα διαθρέψω και σας και τας οικογενείας σας”. Τους παρηγόρησε, τους ενεθάρρυνε και ωμίλησε με αυτόν τον καλόν τρόπον εις τας καρδίας των.

Γεν. 50,22 - Καὶ κατῴκησεν Ἰωσὴφ ἐν Αἰγύπτῳ, αὐτὸς καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ πανοικία τοῦ πατρὸς αὐτοῦ. καὶ ἔζησεν Ἰωσὴφ ἔτη ἑκατὸν δέκα.

Γεν. 50,22 - Και μετά τα γεγονότα αυτά παρέμεινεν ο Ιωσήφ εις την Αίγυπτον αυτός και οι αδελφοί του και όλη η οικογένεια του πατρός του. Εζησε δε ο Ιωσήφ εκατόν δέκα έτη.

Γεν. 50,23 - καὶ εἶδεν Ἰωσὴφ Ἐφραῒμ παιδία ἕως τρίτης γενεᾶς, καὶ οἱ υἱοὶ Μαχεὶρ τοῦ υἱοῦ Μανασσῆ ἐτέχθησαν ἐπὶ μηρῶν Ἰωσήφ.

Γεν. 50,23 - Και είδε παιδιά του υιού του Εφραίμ μέχρι τρίτης γενεάς. Και τα παιδιά του Μαχείρ, υιού του Μανασσή, εγεννήθησαν εις τα γόνατα του Ιωσήφ.

Γεν. 50,24 - καὶ εἶπεν Ἰωσήφ τοῖς ἀδελφοῖς αὐτοῦ λέγων· ἐγὼ ἀποθνήσκω· ἐπισκοπῇ δὲ ἐπισκέψεται ὁ Θεὸς ὑμᾶς καὶ ἀνάξει ὑμᾶς ἐκ τῆς γῆς ταύτης εἰς τὴν γῆν, ἣν ὤμοσεν ὁ Θεὸς τοῖς πατράσιν ἡμῶν, Ἀβραάμ, Ἰσαὰκ καὶ Ἰακώβ.

Γεν. 50,24 - Οταν δε επλησίασεν ο καιρός της τελευτής του, είπεν στους αδελφούς του ο Ιωσήφ· “εγώ αποθνήσκω. Γνωρίζω όμως καλά, ότι ο πανάγαθος Θεός θα σας επισκεφθή ως προστάτης και από την γην αυτήν θα σας επαναφέρη εις την χώραν, την οποίαν δι' όρκου έχει υποσχεθή ίστους πατέρας μας, στον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ”.

Γεν. 50,25 - καὶ ὥρκισεν Ἰωσὴφ τοὺς υἱοὺς Ἰσραὴλ λέγων· ἐν τῇ ἐπισκοπῇ, ᾗ ἐπισκέψηται ὁ Θεὸς ὑμᾶς, καὶ συνανοίσετε τὰ ὀστᾶ μου ἐντεῦθεν μεθ᾿ ὑμῶν.

Γεν. 50,25 - Αμέσως δε μετά τους λόγους αυτούς ώρκισεν ο Ιωσήφ τους αδελφούς του λέγων· “όταν ο Θεός σας επισκεφθή και σας επαναφέρη εις την γην Χαναάν, θα πάρετε από εδώ και θα φέρετε μαζή σας εκεί τα οστά μου”

Γεν. 50,26 - καὶ ἐτελεύτησεν Ἰωσὴφ ἐτῶν ἑκατὸν δέκα· καὶ ἔθαψαν αὐτὸν καὶ ἔθηκαν ἐν τῇ σορῷ ἐν Αἰγύπτῳ.

Γεν. 50,26 - Και απέθανεν ο Ιωσήφ εις ηλικίαν εκατόν δέκα ετών. Εταρίχευσαν αυτόν εις την Αίγυπτον και τον έθεσαν εις την λάρνακα.

**ΕΞΟΔΟΣ**

ΕΞΟΔΟΣ 1

Εξ. 1,1 - Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσπεπορευμένων εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν, ἕκαστος πανοικὶ αὐτῶν εἰσήλθοσαν.
Εξ. 1,1 - Αυτά είναι τα ονόματα των υιών του Ιακώβ, οι οποίοι εισήλθον εις την Αίγυπτον μαζή με τον πατέρα αυτών και με ολόκληρον την οικογένειάν του έκαστος.
Εξ. 1,2 - Ῥουβήν, Συμεών, Λευΐ, Ἰούδας,
Εξ. 1,2 - Ρουβήν, Συμεών, Λευϊ, Ιούδας,
Εξ. 1,3 - Ἰσσάχαρ, Ζαβουλὼν καὶ Βενιαμίν,
Εξ. 1,3 - Ισσάχαρ, Ζαβουλών και Βενιαμίν,
Εξ. 1,4 - Δὰν καὶ Νεφαθλείμ, Γὰδ καὶ Ἀσήρ.
Εξ. 1,4 - Δαν και Νεφθαλείμ, Γαδ και Ασήρ.
Εξ. 1,5 - Ἰωσὴφ δὲ ἦν ἐν Αἰγύπτῳ. ἦσαν δὲ πᾶσαι ψυχαὶ ἐξ Ἰακὼβ πέντε καὶ ἑβδομήκοντα.
Εξ. 1,5 - Ο δε Ιωσήφ ευρίσκετο τότε εις την Αίγυπτον. Ολοι δε οι υιοί και οι απόγονοι του Ιακώβ, που εισήλθον εις την Αίγυπτον, ήσαν εβδομήκοντα πέντε.
Εξ. 1,6 - ἐτελεύτησε δὲ Ἰωσὴφ καὶ πάντες οἱ ἀδελφοὶ αὐτοῦ καὶ πᾶσα ἡ γενεὰ ἐκείνη.
Εξ. 1,6 - Εν τη παρόδω των ετών απέθανεν ο Ιωσήφ και οι αδελφοί αυτού. Και όλη η γενεά εκείνη.
Εξ. 1,7 - οἱ δὲ υἱοὶ Ἰσραὴλ ηὐξήθησαν καὶ ἐπληθύνθησαν καὶ χυδαῖοι ἐγένοντο. καὶ κατίσχυον σφόδρα σφόδρα, ἐπλήθυνε δὲ ἡ γῆ αὐτούς.
Εξ. 1,7 - Οι απόγονοί των όμως, οι Ισραηλίται, ηυξήθησαν και επληθύνθησαν εις την Αίγυπτον, έγιναν πλήθος πολύ. Χαρις δε στο πλήθος των και την άλλην πρόοδόν των έγιναν πάρα πολύ ισχυροί, διότι τους ηυνόησεν και η χώρα εις την αύξησιν και την ισχύν των.
Εξ. 1,8 - Ἀνέστη δὲ βασιλεὺς ἕτερος ἐπ᾿ Αἴγυπτον, ὃς οὐκ ᾔδει τὸν Ἰωσήφ.
Εξ. 1,8 - Αλλά, μετά καιρούς, ήλθεν άλλος βασιλεύς εις την Αίγυπτον, ο οποίος δεν εγνώριζε τίποτε περί του Ιωσήφ ούτε και δια τας υπηρεσίας, τας οποίας εκείνος είχε προσφέρει εις την Αίγυπτον.
Εξ. 1,9 - εἶπε δὲ τῷ ἔθνει αὐτοῦ· ἰδοὺ τὸ γένος τῶν υἱῶν Ἰσραὴλ μέγα πλῆθος καὶ ἰσχύει ὑπὲρ ἡμᾶς·
Εξ. 1,9 - Δυσμενώς δε διατεθειμένος προς τους υιούς Ισραήλ είπεν στον λαόν του· “ιδού, η φυλή των Ισραηλιτών είναι μεγάλη εις πληθυσμόν και ισχυροτέρα από ημάς.

Εξ. 1,10 - δεῦτε οὖν κατασοφισώμεθα αὐτούς, μή ποτε πληθυνθῇ, καὶ ἡνίκα ἂν συμβῇ ἡμῖν πόλεμος, προστεθήσονται καὶ οὗτοι πρὸς τοὺς ὑπεναντίους καὶ ἐκπολεμήσαντες ἡμᾶς ἐξελεύσονται ἐκ τῆς γῆς.

Εξ. 1,10 - Ελάτε λοιπόν και να επινοήσωμεν ταλαιπωρίας εις κατάθλιψιν αυτών και μείωσιν του πληθυσμού των, δια να μη αυξηθούν περισσότερον. Τούτο δέ, διότι υπάρχει φόβος, αν τυχόν κανένα άλλο έθνος μας πολεμήση, να προστεθούν και ούτοι με τους εχθρούς μας, να πολεμήσουν εναντίον μας και να μας νικήσουν, οπότε νικηταί θα φύγουν ελεύθεροι από την χώραν μας και θα στερηθώμεν ημείς από τας εργασίας των".

Εξ. 1,11 - καὶ ἐπέστησεν αὐτοῖς ἐπιστάτας τῶν ἔργων, ἵνα κακώσωσιν αὐτοὺς ἐν τοῖς ἔργοις· καὶ ᾠκοδόμησαν πόλεις ὀχυρὰς τῷ Φαραώ, τήν τε Πειθὼμ καὶ Ῥαμεσσῆ καὶ Ὤν, ἥ ἐστιν Ἡλιούπολις.

Εξ. 1,11 - Προς τούτο κατέστησεν ο βασιλεύς επιστάτας στους εργαζομένους Ισραηλίτας, δια να τους ταλαιπωρούν και τους βασανίζουν με πολλά και σκληρά έργα. Τοτε και ανοικοδόμησαν οι Ισραηλίται πόλεις οχυράς προς χάριν του Φαραώ, την Πειθώ, την Ραμεσσή και την Ων· η Ων είναι η άλλως καλουμένη Ηλιούπολις.

Εξ. 1,12 - καθότι δὲ αὐτοὺς ἐταπείνουν, τοσούτῳ πλείους ἐγίγνοντο, καὶ ἴσχυον σφόδρα σφόδρα· καὶ ἐβδελύσσοντο οἱ Αἰγύπτιοι ἀπὸ τῶν υἱῶν Ἰσραήλ.

Εξ. 1,12 - Αλλά, όσον περισσότερον οι επιστάται κατεπίεζον τους Ισραηλίτας, τόσον περισσότεροι αυτοί εγίνοντο και εδυνάμωναν πάρα πολύ.

Εξ. 1,13 - καὶ κατεδυνάστευον οἱ Αἰγύπτιοι τοὺς υἱοὺς Ἰσραὴλ βίᾳ

Εξ. 1,13 - Δια τούτο και το μίσος των Αιγυπτίων, εναντίον των Ισραηλιτών ήτο άσβεστον.

Εξ. 1,14 - καὶ κατωδύνων αὐτῶν τὴν ζωὴν ἐν τοῖς ἔργοις τοῖς σκληροῖς, τῷ πηλῷ καὶ τῇ πλινθείᾳ καὶ πᾶσι τοῖς ἔργοις τοῖς ἐν τοῖς πεδίοις, κατὰ πάντα τὰ ἔργα, ὧν κατεδουλοῦντο αὐτοὺς μετὰ βίας.

Εξ. 1,14 - Κατέθλιβον ακόμη σκληρότερον την ζωήν των με τας βασανιστικάς βαρείας εργασίας της ζυμώσεως του πηλού, της κατασκευής πλίνθων και με όλα τα άλλα έργα, τα οποία έκαμνον οι Ισραηλίται εις τας πεδιάδας της Αιγύπτου και τα οποία ως δούλους τους υπεχρέωναν να εκτελούν δια της βίας.

Εξ. 1,15 - Καὶ εἶπεν ὁ βασιλεὺς τῶν Αἰγυπτίων ταῖς μαίαις τῶν Ἑβραίων· τῇ μιᾷ αὐτῶν ὄνομα Σεπφώρα, καὶ τὸ ὄνομα τῆς δευτέρας Φουά,

Εξ. 1,15 - Είπε δε ο βασιλεύς αυτός εις τας Αιγυπτίας μαίας, που εξυπηρετούσαν τας Εβραίας γυναίκας- η μία από αυτάς ωνομάζετο Σεπφώρα και η άλλη Φουά-

Εξ. 1,16 - καὶ εἶπεν· ὅταν μαιοῦσθε τὰς Ἑβραίας καὶ ὦσι πρὸς τῷ τίκτειν, ἐὰν μὲν ἄρσεν ᾖ, ἀποκτείνατε αὐτό, ἐὰν δὲ θῆλυ, περιποιεῖσθε αὐτό.

Εξ. 1,16 - “όταν πηγαίνετε να ξεγεννήσετε τας επιτόκους Εβραίας, την στιγμήν που το βρέφος γεννάται, εάν μεν είναι αρσενικόν φονεύσατέ το, εάν είναι θηλυκόν, περιποιηθήτε το”.

Εξ. 1,17 - ἐφοβήθησαν δὲ αἱ μαῖαι τὸν Θεὸν καὶ οὐκ ἐποίησαν καθότι συνέταξεν αὐταῖς ὁ βασιλεὺς Αἰγύπτου, καὶ ἐζωογόνουν τὰ ἄρσενα.

Εξ. 1,17 - Αι μαίαι όμως αυταί, ευλαβείς καθώς ήσαν, εφοβήθησαν τον Θεόν και δεν έκαμαν το έγκλημα, που τας είχε διατάξει ο βασιλεύς, αλλά άφηναν εις την ζωήν και τα αρσενικά παιδιά.

Εξ. 1,18 - ἐκάλεσε δὲ ὁ βασιλεὺς Αἰγύπτου τὰς μαίας καὶ εἶπεν αὐταῖς· τί ὅτι ἐποιήσατε τὸ πρᾶγμα τοῦτο καὶ ἐζωογονεῖτε τὰ ἄρσενα;

Εξ. 1,18 - Εκάλεσε πάλιν ο βασιλεύς της Αιγύπτου τας μαίας και είπεν εις αυτάς· “τι είναι αυτό το οποίον εκάματε; Αφήνατε να ζουν και τα άρρενα τέκνα των Εβραίων;”

Εξ. 1,19 - εἶπαν δὲ αἱ μαῖαι τῷ Φαραώ· οὐχ ὡς γυναῖκες Αἰγύπτου αἱ Ἑβραῖαι, τίκτουσι γὰρ πρὶν ἢ εἰσελθεῖν πρὸς αὐτὰς τὰς μαίας· καὶ ἔτικτον.

Εξ. 1,19 - Αι μαίαι απήντησαν στον Φαραώ· “δεν είναι, όπως αι γυναίκες των Αιγυπτίων αι Εβραίαι γυναίκες, διότι αυταί γεννούν, πριν φθάσουν προς αυτάς αι μαίαι”. Και έτσι εγεννούσαν αφόβως αι γυναίκες των Εβραίων.

Εξ. 1,20 - εὖ δὲ ἐποίει ὁ Θεὸς τὰς μαίας, καὶ ἐπλήθυνεν ὁ λαὸς καὶ ἴσχυε σφόδρα.

Εξ. 1,20 - Ο Θεός ηυλόγει τας μαίας δια την καλήν αυτήν πράξιν των, ο δε ισραηλιτικός λαός επληθύνετο και εγίνετο ολονέν ισχυρότερος.

Εξ. 1,21 - ἐπεὶ δὲ ἐφοβοῦντο αἱ μαῖαι τὸν Θεόν, ἐποίησαν ἑαυταῖς οἰκίας.

Εξ. 1,21 - Επειδή δε αι μαίαι εφοβούντο τον Θεόν, τας ευηργέτησεν ο Θεός, ώστε να αποκτήσουν ευτυχείς οικογενείας.

Εξ. 1,22 - συνέταξε δὲ Φαραὼ παντὶ τῷ λαῷ αὐτοῦ λέγων· πᾶν ἄρσεν, ὃ ἐὰν τεχθῇ τοῖς Ἑβραίοις, εἰς τὸν ποταμὸν ρίψατε· καὶ πᾶν θῆλυ, ζωογονεῖτε αὐτό.

Εξ. 1,22 - Τοτε ο Φαραώ διέταξεν όλον τον λαόν του λέγων· “κάθε νεογέννητον αρσενικόν τέκνον των Εβραίων ρίψατέ το στον ποταμόν. Καθε δε θηλυκόν περιποιηθήτε το, ώστε να ζήση”.

## ΕΞΟΔΟΣ 2

Εξ. 2,1 - Ἦν δέ τις ἐκ τῆς φυλῆς Λευΐ, ὃς ἔλαβε τῶν θυγατέρων Λευΐ,

Εξ. 2,1 - Υπήρχε τότε ένας εκ των απογόνων της φυλής Λευϊ, ο οποίος επήρεν ως σύζυγον γυναίκα εκ της φυλής του.

Εξ. 2,2 - καὶ ἐν γαστρὶ ἔλαβε καὶ ἔτεκεν ἄρσεν· ἰδόντες δὲ αὐτὸ ἀστεῖον ἐσκέπασαν αὐτὸ μῆνας τρεῖς.

Εξ. 2,2 - Αυτή συνέλαβε και εγέννησεν αρσενικόν. Οι γονείς του, ιδόντες ότι αυτό ήτο ωραίον, το έκρυψαν επί τρεις μήνας.

Εξ. 2,3 - ἐπεὶ δὲ οὐκ ἠδύναντο αὐτὸ ἔτι κρύπτειν, ἔλαβεν αὐτῷ ἡ μήτηρ αὐτοῦ θῖβιν καὶ κατέχρισεν αὐτὴν ἀσφαλτοπίσσῃ καὶ ἐνέβαλε τὸ παιδίον εἰς αὐτὴν καὶ ἔθηκεν αὐτὴν εἰς τὸ ἕλος παρὰ τὸν ποταμόν.

Εξ. 2,3 - Επειδή δε δεν ημπορούσαν επί περισσότερον χρόνον να το κρύπτουν, απεφάσισαν να το ρίψουν στον ποταμόν. Ελαβεν η μητέρα του ένα καλάθι, το ήλειψε με πολλήν άσφαλτον και πίσσαν, έβαλε μέσα εις αυτό το παιδίον και έθεσε το καλάθι στο έλος, κοντά στον Νείλον ποταμόν.

Εξ. 2,4 - καὶ κατεσκόπευεν ἡ ἀδελφὴ αὐτοῦ μακρόθεν μαθεῖν, τί τὸ ἀποβησόμενον αὐτῷ.

Εξ. 2,4 - Η αδελφή του βρέφους παρακολουθούσε μετά προσοχής εκ του μακρόθεν κρυμμένη, δια να ίδη τι θα συνέβαινεν στο παιδίον.

Εξ. 2,5 - κατέβη δὲ ἡ θυγάτηρ Φαραὼ λούσασθαι ἐπὶ τὸν ποταμόν, καὶ αἱ ἅβραι αὐτῆς παρεπορεύοντο παρὰ τὸν ποταμόν. καὶ ἰδοῦσα τὴν θῖβιν ἐν τῷ ἕλει, ἀποστείλασα τὴν ἅβραν ἀνείλατο αὐτήν.

Εξ. 2,5 - Κατά την ώραν εκείνην κατέβη από τα ανάκτορά της η θυγάτηρ του Φαραώ, δια να λουσθή στον ποταμόν. Οταν μαζή με τας θεραπαινίδας της, που την ακολουθούσαν, έφθασαν στον ποταμόν, εβάδιζαν παρά την όχθην του. Η θυγάτηρ του Φαραώ είδε το καλάθι στο έλος, απέστειλε μίαν υπηρέτριάν της και το επήρε.

Εξ. 2,6 - ἀνοίξασα δὲ ὁρᾷ παιδίον κλαῖον ἐν τῇ θίβει, καὶ ἐφείσατο αὐτοῦ ἡ θυγάτηρ Φαραὼ καὶ ἔφη· ἀπὸ τῶν παιδίων τῶν Ἑβραίων τοῦτο.

Εξ. 2,6 - Οταν το άνοιξε, είδε μέσα στο καλάθι ένα παιδί να κλαίη. Το ελυπήθη η θυγάτηρ του Φαραώ και είπε· "αυτό ασφαλώς είναι από τα παιδιά των Εβραίων".

Εξ. 2,7 - καὶ εἶπεν ἡ ἀδελφὴ αὐτοῦ τῇ θυγατρὶ Φαραώ· θέλεις καλέσω σοι γυναῖκα τροφεύουσαν ἐκ τῶν Ἑβραίων καὶ θηλάσει σοι τὸ παιδίον;

Εξ. 2,7 - Η κρυμμένη αδελφή του βρέφους παρουσιάσθη τότε εις την θυγατέρα του Φαραώ και την ηρώτησε· "θέλεις να σου φωνάξω μια γυναίκα από τας Εβραίας, τροφόν δια να θηλάση προς λογαριασμόν σου το παιδί αυτό;"

Εξ. 2,8 - ἡ δὲ εἶπεν ἡ θυγάτηρ Φαραώ· πορεύου. ἐλθοῦσα δὲ ἡ νεᾶνις ἐκάλεσε τὴν μητέρα τοῦ παιδίου.

Εξ. 2,8 - Η θυγάτηρ του Φαραώ απήντησε· "ναι πήγαινε κάλεσέ την". Ηλθεν η νεάνις και εκάλεσε την μητέρα του παιδιού.

Εξ. 2,9 - εἶπε δὲ πρὸς αὐτὴν ἡ θυγάτηρ Φαραώ· διατήρησόν μοι τὸ παιδίον τοῦτο καὶ θήλασόν μοι αὐτό, ἐγὼ δὲ δώσω σοι τὸν μισθόν. ἔλαβε δὲ ἡ γυνὴ τὸ παιδίον καὶ ἐθήλαζεν αὐτό.

Εξ. 2,9 - Η θυγάτηρ του Φαραώ είπε· “ανάλαβε την συντήρησιν αυτού του παιδιού, θήλασέ μου το και εγώ θα σου δώσω την αμοιβήν σου”. Επήρε η γυναίκα το παιδί και το εθήλαζε.

Εξ. 2,10 - ἁδρυνθέντος δὲ τοῦ παιδίου, εἰσήγαγεν αὐτὸ πρὸς τὴν θυγατέρα Φαραώ, καὶ ἐγενήθη αὐτῇ εἰς υἱόν· ἐπωνόμασε δὲ τὸ ὄνομα αὐτοῦ Μωυσῆν λέγουσα· ἐκ τοῦ ὕδατος αὐτὸν ἀνειλόμην.

Εξ. 2,10 - Οταν το παιδί εμεγάλωσε, το ωδήγησεν η μητέρα του προς την θυγατέρα του Φαραώ. Εκείνη δε το επήρε ως υιόν της, το υιοθέτησε και το ωνόμασε Μωϋσήν, λέγουσα ότι “του δίνω αυτό το όνομα, διότι το έβγαλα από το νερό· είναι υδατόσωστος”.

Εξ. 2,11 - Ἐγένετο δὲ ἐν ταῖς ἡμέραις ταῖς πολλαῖς ἐκείναις μέγας γενόμενος Μωυσῆς, ἐξῆλθε πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἰσραήλ. κατανοήσας δὲ τὸν πόνον αὐτῶν ὁρᾷ ἄνθρωπον Αἰγύπτιον τύπτοντά τινα Ἑβραῖον τῶν ἑαυτοῦ ἀδελφῶν τῶν υἱῶν Ἰσραήλ·

Εξ. 2,11 - Μετά πάροδον όμως αρκετού χρόνου, όταν ο Μωϋσής έγινε μέγας δια την σοφίαν και την δύναμιν, εξήλθεν από τα ανάκτορα και επεσκέφθη τους ομοεθνείς του, τους Ισραηλίτας. Ενώ παρακολουθούσε και έβλεπε την ταλαιπωρίαν και την θλίψιν των, είδεν ένα Αιγύπτιον να κτυπά Εβραίον, ένα από τους αδελφούς του, τους Ισραηλίτας.

Εξ. 2,12 - περιβλεψάμενος δὲ ὧδε καὶ ὧδε οὐχ ὁρᾷ οὐδένα καὶ πατάξας τὸν Αἰγύπτιον, ἔκρυψεν αὐτὸν ἐν τῇ ἄμμῳ.

Εξ. 2,12 - Ο Μωϋσής, εκύτταξεν ολόγυρά του από εδώ και από εκεί, δεν είδε κανένα και κτυπήσας θανασίμως τον Αιγύπτιον τον εφόνευσε, και έκρυψε το πτώμα του εις την άμμον.

Εξ. 2,13 - ἐξελθὼν δὲ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ὁρᾷ δύο ἄνδρας Ἑβραίους διαπληκτιζομένους καὶ λέγει τῷ ἀδικοῦντι· διὰ τί σὺ τύπτεις τὸν πλησίον;

Εξ. 2,13 - Την άλλην ημέραν εξήλθε πάλιν ο Μωϋσής, είδε δύο Εβραίους να διαπληκτίζωνται και λέγει στον αδικούντα· “διατί συ κτυπάς τον πλησίον σου;”

Εξ. 2,14 - ὁ δὲ εἶπε· τίς σε κατέστησεν ἄρχοντα καὶ δικαστὴν ἐφ᾿ ἡμῶν; μὴ ἀνελεῖν με σὺ θέλεις, ὃν τρόπον ἀνεῖλες χθὲς τὸν Αἰγύπτιον; ἐφοβήθη δὲ Μωυσῆς, καὶ εἶπεν· εἰ οὕτως ἐμφανὲς γέγονε τὸ ῥῆμα τοῦτο;

Εξ. 2,14 - Εκείνος του απήντησε με αναίδειαν· “ποίος σε διώρισεν άρχοντα και δικαστήν εις ημάς; Μηπως θέλεις να φονεύσης και εμέ, όπως χθες εφόνευσες τον Αιγύπτιον;” Εφοβήθη ο Μωϋσής από τους λόγους αυτούς και είπε· “λοιπόν, έγινε τόσον γνωστή η χθεσινή μου πράξις;”

Εξ. 2,15 - ἤκουσε δὲ Φαραὼ τὸ ῥῆμα τοῦτο καὶ ἐζήτει ἀνελεῖν Μωυσῆν· ἀνεχώρησε δὲ Μωυσῆς ἀπὸ προσώπου Φαραὼ καὶ ᾤκησεν ἐν γῇ Μαδιάμ, ἐλθὼν δὲ εἰς γῆν Μαδιὰμ ἐκάθισεν ἐπὶ τοῦ φρέατος.

Εξ. 2,15 - Πράγματι δε ο Φαραώ είχε πληροφορηθή την πράξιν αυτήν και εζήτει να θανατώση τον Μωϋσέα. Ο Μωϋσής τότε ανεχώρησε μακράν από τον Φαραώ, ήλθεν εις την γην Μαδιάμ, όπου και εγκατεστάθη. Οταν δε έφθασε εις την χώραν Μαδιάμ, εκάθησεν εις ένα φρέαρ.

Εξ. 2,16 - τῷ δὲ ἱερεῖ Μαδιὰμ ἦσαν ἑπτὰ θυγατέρες ποιμαίνουσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰοθόρ· παραγενόμεναι δὲ ἤντλουν ἕως ἔπλησαν τὰς δεξαμενὰς ποτίσαι τὰ πρόβατα τοῦ πατρὸς αὐτῶν Ἰοθόρ.

Εξ. 2,16 - Ο ιερεύς της Μαδιάμ, ο Ιοθόρ, είχεν επτά θυγατέρας, αι οποίαι έβοσκαν τα πρόβατα του πατρός των. Αυταί ήλθαν στο φρέαρ, ήντλησαν νερό και εγέμισαν τα ποτιστήρια των προβάτων, δια να ποτίσουν το κοπάδι του πατρός των.

Εξ. 2,17 - παραγενόμενοι δὲ οἱ ποιμένες ἐξέβαλλον αὐτάς· ἀναστὰς δὲ Μωυσῆς ἐῤῥύσατο αὐτὰς καὶ ἤντλησεν αὐταῖς καὶ ἐπότισε τὰ πρόβατα αὐτῶν·

Εξ. 2,17 - Αλλά ελθόντες οι άλλοι ποιμένες τας εξεδίωκον. Εσηκώθη όμως τότε ο Μωϋσής τας υπερήσπισε και τας εγλύτωσε από τους ποιμένας· ήντλησεν ο ίδιος νερό και επότυσε τα πρόβατά των.

Εξ. 2,18 - παρεγένοντο δὲ πρὸς Ῥαγουὴλ τὸν πατέρα αὐτῶν. ὁ δὲ εἶπεν αὐταῖς· διατί ἐταχύνατε τοῦ παραγενέσθαι σήμερον;

Εξ. 2,18 - Εκείναι επέστρεψαν προς τον πατέρα των τον Ραγουήλ, ο οποίος και τας ηρώτησε· “διατί τόσον ενωρίς επεστρέψατε σήμερον;”

Εξ. 2,19 - αἱ δὲ εἶπαν· ἄνθρωπος Αἰγύπτιος ἐῤῥύσατο ἡμᾶς ἀπὸ τῶν ποιμένων καὶ ἤντλησεν ἡμῖν καὶ ἐπότισε τὰ πρόβατα ἡμῶν.

Εξ. 2,19 - Αυταί απήντησαν· “ένας Αιγύπτιος μας υπερήσπισε και μας εφύλαξεν από τους άλλους ποιμένας, έβγαλε δε νερό από το φρέαρ και επότισε τα πρόβατά μας”.

Εξ. 2,20 - ὁ δὲ εἶπε ταῖς θυγατράσιν αὐτοῦ· καὶ ποῦ ἐστι; καὶ ἱνατί οὕτως καταλελοίπατε τὸν ἄνθρωπον; καλέσατε οὖν αὐτόν, ὅπως φάγῃ ἄρτον.

Εξ. 2,20 - Ο ιερεύς ηρώτησε τας θυγατέρας του· “και που είναι τώρα αυτός ο άνθρωπος; Διατί, αφού τόσον σας εξυπηρέτησε, τον εγκατελείψατε; Πηγαίνετε και καλέσατέ τον να φάγη άρτον μαζή μας”.

Εξ. 2,21 - κατῳκίσθη δὲ Μωυσῆς παρὰ τῷ ἀνθρώπῳ, καὶ ἐξέδοτο Σεπφώραν τὴν θυγατέρα αὐτοῦ Μωυσῇ γυναῖκα.

Εξ. 2,21 - Ο Μωϋσής εγνωρίσθη με την οικογένειαν του Ιοθόρ, κατώκησε πλησίον αυτού, ο οποίος και του έδωσεν ως σύζυγον την θυγατέρα του, την Σεπφώραν.

Εξ. 2,22 - ἐν γαστρὶ δὲ λαβοῦσα ἡ γυνὴ ἔτεκεν υἱόν, καὶ ἐπωνόμασε Μωυσῆς τὸ ὄνομα αὐτοῦ Γηρσὰμ λέγων· ὅτι πάροικός εἰμι ἐν γῇ ἀλλοτρίᾳ.

Εξ. 2,22 - Η Σεπφώρα συνέλαβε και εγέννησεν υιόν. Ο Μωϋσής ωνόμασεν αυτόν Γηρσάμ, λέγων ότι του δίνω αυτό το όνομα “διότι είμαι προσωρινός εις την ξένην αυτήν χώραν”.

Εξ. 2,23 - Μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου. καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν ἔργων καὶ ἀνεβόησαν, καὶ ἀνέβη ἡ βοὴ αὐτῶν πρὸς τὸν Θεὸν ἀπὸ τῶν ἔργων.

Εξ. 2,23 - Επειτα από αρκετόν χρόνον απέθανεν ο βασιλεύς εκείνος της Αιγύπτου, ο οποίος κατέθλιβε τους Ισραηλίτας με τον πολύν φόρτον σκληρών εργασιών. Ανεστέναξαν βαθύτατα οι Ισραηλίται εξ αιτίας της θλίψεως των καταναγκαστικών έργων, εβόησαν προς τον Θεόν και η κραυγή των έφθασεν στον Θεόν.

Εξ. 2,24 - καὶ εἰσήκουσεν ὁ Θεὸς τὸν στεναγμὸν αὐτῶν, καὶ ἐμνήσθη ὁ Θεὸς τῆς διαθήκης αὐτοῦ τῆς πρὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

Εξ. 2,24 - Ηκουσεν ο Θεός τον στεναγμόν των, ενεθυμήθη την υπόσχεσίν που είχε δώσει προς τον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ.

Εξ. 2,25 - καὶ ἐπεῖδεν ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ καὶ ἐγνώσθη αὐτοῖς.

Εξ. 2,25 - Ερριψεν ένα βλέμμα ευσπλαγχνίας προς τους ταλαιπωρουμένους Ισραηλίτας και έγινε γνωστός εις αυτούς ως υπερασπιστής και λυτρωτής των.

## ΕΞΟΔΟΣ 3

Εξ. 3,1 - Καὶ Μωυσῆς ἦν ποιμαίνων τὰ πρόβατα Ἰοθόρ τοῦ γαμβροῦ αὐτοῦ τοῦ ἱερέως Μαδιὰμ καὶ ἤγαγε τὰ πρόβατα ὑπὸ τὴν ἔρημον καὶ ἦλθεν εἰς τὸ ὄρος Χωρήβ.

Εξ. 3,1 - Ο Μωϋσής εποίμαινε τα πρόβατα του πενθερού του Ιοθόρ, του ιερέως αυτού της χώρας Μαδιάμ και έφερεν αυτά κάποτε πέραν από την έρημον στο όρος Χωρήβ.

Εξ. 3,2 - ὤφθη δὲ αὐτῷ ἄγγελος Κυρίου ἐν πυρὶ φλογὸς ἐκ τοῦ βάτου, καὶ ὁρᾷ ὅτι ὁ βάτος καίεται πυρί, ὁ δὲ βάτος οὐ κατεκαίετο.

Εξ. 3,2 - Εκεί εφανερώθη προς αυτόν άγγελος Κυρίου εις φλόγα πυρός, η οποία εξήρχετο από την βάτον. Παραδόξως η βάτος εκείνη εφλέγετο, άλλα δεν κατεκαίετο.

Εξ. 3,3 - εἶπε δὲ Μωυσῆς· παρελθὼν ὄψομαι τὸ ὅραμα τὸ μέγα τοῦτο, ὅτι οὐ κατακαίεται ὁ βάτος.

Εξ. 3,3 - Ιδών τούτο ο Μωϋσής είπεν· “ας πλησιάσω εκεί να ίδω το θαυμαστόν τούτο φαινόμενον της βάτου, η οποία φλέγεται αλλά δεν κατακαίεται”.

Εξ. 3,4 - ὡς δὲ εἶδε Κύριος ὅτι προσάγει ἰδεῖν, ἐκάλεσεν αὐτὸν ὁ Κύριος ἐκ τοῦ βάτου λέγων· Μωυσῆ, Μωυσῆ. ὁ δὲ εἶπε· τί ἐστι;

Εξ. 3,4 - Οταν ο Κυριος είδεν ότι ο Μωϋσής πλησιάζει να ίδη το φαινόμενον, εκάλεσεν αυτόν από την βάτον λέγων· “Μωϋσή, Μωυσή” ! Εκείνος δε είπε· “τι είναι; Τι συμβαίνει;”

Εξ. 3,5 - ὁ δὲ εἶπε· μή ἐγγίσῃς ὧδε. λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας, γῆ ἁγία ἐστί.

Εξ. 3,5 - Ο Θεός απήντησε· "μη πλησιάσης εδώ· λύσε και βγάλε τα υποδήματά σου, διότι ο τόπος, όπου ίστασαι, είναι γη αγία"!

Εξ. 3,6 - καὶ εἶπεν· ἐγώ εἰμι ὁ Θεὸς τοῦ πατρός σου, Θεὸς Ἀβραὰμ καὶ Θεὸς Ἰσαὰκ καὶ Θεὸς Ἰακώβ. ἀπέστρεψε δὲ Μωυσῆς τὸ πρόσωπον αὐτοῦ· εὐλαβεῖτο γὰρ κατεμβλέψαι ἐνώπιον τοῦ Θεοῦ.

Εξ. 3,6 - Και προσέθεσεν εν συνεχεία· "εγώ είμαι ο Θεός του πατρός σου, ο Θεός του Αβραάμ, ο Θεός του Ισαάκ και ο Θεός του Ιακώβ". Γεμάτος ιερόν δέος ο Μωϋσής εγύρισεν αλλού το πρόσωπον, διότι ένεκα φόβου και σεβασμού δεν ετόλμα να ρίψη τα βλέμματά του προς τον Θεόν, που ήτο ενώπιόν του.

Εξ. 3,7 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἰδὼν εἶδον τὴν κάκωσιν τοῦ λαοῦ μου τοῦ ἐν Αἰγύπτῳ καὶ τῆς κραυγῆς αὐτῶν ἀκήκοα ἀπὸ τῶν ἐργοδιωκτῶν· οἶδα γὰρ τὴν ὀδύνην αὐτῶν,

Εξ. 3,7 - Είπεν ο Κυριος προς τον Μωϋσήν· "είδα πολύ καλά και εγνώρισα την βαρείαν ταλαιπωρίαν του λαού μου εις την Αίγυπτον και ήκουσα την κραυγήν των, η οποία βγαίνει από τα στήθη των εξ αιτίας της σκληράς καταπιέσεως των επιστατών εις τα έργα. Εγνώρισα πολύ καλά την οδύνην αυτών,

Εξ. 3,8 - καὶ κατέβην ἐξελέσθαι αὐτοὺς ἐκ χειρὸς τῶν Αἰγυπτίων καὶ ἐξαγαγεῖν αὐτοὺς ἐκ τῆς γῆς ἐκείνης καὶ εἰσαγαγεῖν αὐτοὺς εἰς γῆν ἀγαθὴν καὶ πολλήν, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι, εἰς τὸν τόπον τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμοῤῥαίων καὶ Φερεζαίων καὶ Γεργεσαίων καὶ Εὐαίων καὶ Ἰεβουσαίων

Εξ. 3,8 - και κατέβηκα να ελευθερώσω αυτούς από την δουλείαν των Αιγυπτίων, να τους βγάλω από την χώραν της Αιγύπτου και να τους οδηγήσω εις χώραν εύφορον και μεγάλην, εις γην ρέουσαν γάλα και μέλι, στον τόπον τον οποίον σήμερον κατέχουν οι Χαναναίοι, οι Χετταίοι, οι Αμορραίοι, οι Φερεζαίοι, οι Γεργεσαίοι, οι Ευαίοι και οι Ιεβουσαίοι.

Εξ. 3,9 - καὶ νῦν ἰδοὺ κραυγὴ τῶν υἱῶν Ἰσραὴλ ἥκει πρός με, κἀγὼ ἑώρακα τὸν θλιμμόν, ὃν οἱ Αἰγύπτιοι θλίβουσιν αὐτούς.

Εξ. 3,9 - Και τώρα ιδού, η γοερά κραυγή των Ισραηλιτών έχει φθάσει προς εμέ, και είδα εγώ την μεγάλην των θλίψιν, με την οποίαν οι Αιγύπτιοι τους καταθλίβουν.

Εξ. 3,10 - καὶ νῦν δεῦρο ἀποστείλω σε πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ἐξάξεις τὸν λαόν μου τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.

Εξ. 3,10 - Ελα, λοιπόν, τώρα και θα σε στείλω προς τον Φαραώ τον βασιλέα της Αιγύπτου, δια να βγάλης συ από την χώραν της Αιγύπτου τον λαόν μου, τους Ισραηλίτας".

Εξ. 3,11 - καὶ εἶπε Μωυσῆς πρὸς τὸν Θεόν· τίς εἰμι ἐγώ, ὅτι πορεύσομαι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, καὶ ὅτι ἐξάξω τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου;

Εξ. 3,11 - Απήντησεν ο Μωϋσής προς τον Θεόν· "τι είμαι εγώ, Κυριε, ώστε να μεταβώ προς τον Φαραώ τον βασιλέα της Αιγύπτου και να βγάλω τους Ισραηλίτας από την Αίγυπτον;"

Εξ. 3,12 - εἶπε δὲ ὁ Θεὸς Μωυσῇ λέγων· ὅτι ἔσομαι μετὰ σοῦ, καὶ τοῦτό σοι τὸ σημεῖον, ὅτι ἐγώ σε ἐξαποστέλλω ἐν τῷ ἐξαγαγεῖν σε τὸν λαόν μου ἐξ Αἰγύπτου καὶ λατρεύσετε τῷ Θεῷ ἐν τῷ ὄρει τούτῳ.

Εξ. 3,12 - Ο Θεός είπε προς τον Μωϋσέα· "θα πράξης τούτο, διότι εγώ θα είμαι μαζή σου. Αυτό δε θα είναι δια σε σημεισν και απόδειξις ότι εγώ σε αποστέλλω, δια να ελευθερώσης συ τον λαόν μου από την Αίγυπτον και λατρεύσετε τον Θεόν στο όρος τούτο".

Εξ. 3,13 - καὶ εἶπε Μωυσῆς πρὸς τὸν Θεόν· ἰδοὺ ἐγὼ ἐξελεύσομαι πρὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐρῶ πρὸς αὐτούς· ὁ Θεὸς τῶν πατέρων ἡμῶν ἀπέσταλκέ με πρὸς ὑμᾶς. ἐρωτήσουσί με· τί ὄνομα αὐτῷ; τί ἐρῶ πρὸς αὐτούς;

Εξ. 3,13 - Ο Μωϋσής είπε προς τον Θεόν· "ναι, Κυριε, άλλα όταν εγώ μεταβώ προς τους Ισραηλίτας και είπω προς αυτούς ότι ο Θεός των πατέρων μας με έστειλε προς σας, εκείνοι θα με ερωτήσουν· Ποιό είναι το όνομά του; Εγώ τι θα απαντήσω προς αυτούς;"

Εξ. 3,14 - καὶ εἶπεν ὁ Θεὸς πρὸς Μωυσῆν λέγων· ἐγώ εἰμι ὁ ὤν. καὶ εἶπεν· οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· ὁ ὢν ἀπέσταλκέ με πρὸς ὑμᾶς.

Εξ. 3,14 - Είπε προς αυτόν ο Θεός· "Εγώ είμαι ο Ων, ο υπάρχων, ο έχων από τον εαυτόν μου και στον εαυτόν μου την απειροτελείαν και αιωνίαν ύπαρξιν. Ετσι θα ομιλήσης προς τους Ισραηλίτας· Ο Ων με έχει αποστείλει προς σας".

Εξ. 3,15 - καὶ εἶπεν ὁ Θεὸς πάλιν πρὸς Μωυσῆν· οὕτως ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· Κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν, Θεὸς Ἀβραὰμ καὶ Θεὸς Ἰσαὰκ καὶ Θεὸς Ἰακὼβ ἀπέσταλκέ με πρὸς ὑμᾶς· τοῦτό μού ἐστιν ὄνομα αἰώνιον καὶ μνημόσυνον γενεῶν γενεαῖς.

Εξ. 3,15 - Είπε πάλιν ο Θεός προς τον Μωϋσέα· "κατ' αυτόν τον τρόπον θα ομιλήσης προς τους Ισραηλίτας· Κυριος ο Θεός των πατέρων μας, ο Θεός του Αβραάμ, ο Θεός του Ισαάκ, και ο Θεός του Ιακώβ με έχει στείλει προς σας· τούτο το όνομά μου, "ο Ων" θα είναι όνομα αιώνιον και με αυτό θα με ενθυμούνται όλαι αι γενεαί των γενεών.

Εξ. 3,16 - ἐλθὼν οὖν συνάγαγε τὴν γερουσίαν τῶν υἱῶν Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· Κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν ὦπταί μοι, Θεὸς Ἀβραὰμ καὶ Θεὸς Ἰσαὰκ καὶ Θεὸς Ἰακώβ, λέγων· ἐπισκοπῇ ἐπέσκεμμαι ὑμᾶς καὶ ὅσα συμβέβηκεν ὑμῖν ἐν Αἰγύπτῳ.

Εξ. 3,16 - Πηγαινε, λοιπόν, εις την Αίγυπτον, συγκέντρωσε τους γεροντοτέρους από τους Ισραηλίτας και ειπέ εις αυτούς· Κυριος ο Θεός των πατέρων μας εφανερώθη εις εμέ, ο Θεός του Αβραάμ, ο Θεός του Ισαάκ και ο Θεός του Ιακώβ και μου είπε· Εχω παρακολουθήσει με πολύ ενδιαφέρον και προσοχήν και είδα τας συμφοράς, που σας έχουν συμβή εις την Αίγυπτον".

Εξ. 3,17 - καὶ εἶπεν· ἀναβιβάσω ὑμᾶς ἐκ τῆς κακώσεως τῶν Αἰγυπτίων εἰς τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμοῤῥαίων καὶ Φερεζαίων καὶ Γεργεσαίων καὶ Εὐαίων καὶ Ἰεβουσαίων, εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι.

Εξ. 3,17 - Και είπεν εν συνεχεία ο Θεός· "θα σας ελευθερώσω από την ταλαιπωρίαν και την θλίψιν των Αιγυπτίων και θα σας οδηγήσω εις την χώραν των Χαναναίων, των Χετταίων, των Αμορραίων, των Φερεζαίων, του Γεργεσαίων, των Ευαίων και των Ιεβουσαίων, εις χώραν ρέουσαν γάλα και μέλι.

Εξ. 3,18 - καὶ εἰσακούσονταί σου τῆς φωνῆς· καὶ εἰσελεύσῃ σὺ καὶ ἡ γερουσία Ἰσραὴλ πρὸς Φαραὼ βασιλέα Αἰγύπτου καὶ ἐρεῖς πρὸς αὐτόν· ὁ Θεὸς τῶν Ἑβραίων προσκέκληται ἡμᾶς· πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ἵνα θύσωμεν τῷ Θεῷ ἡμῶν.

Εξ. 3,18 - Εκείνοι θα ακούσουν τα λόγια σου. Και τότε συ και οι γεροντότεροι από τους Ισραηλίτας θα προσέλθετε προς τον Φαραώ, τον βασιλέα της Αιγύπτου, και θα είπης προς αυτόν· Ο Θεός των Εβραίων μας έχει καλέσει να τον λατρεύσωμεν. Θα μεταβώμεν, λοιπόν, εις την έρημον, πορείαν τριών ημερών, δια να προσφέρωμεν θυσίας στον Θεόν μας.

Εξ. 3,19 - ἐγὼ δὲ οἶδα ὅτι οὐ προήσεται ὑμᾶς Φαραὼ βασιλεὺς Αἰγύπτου πορευθῆναι, ἐὰν μὴ μετὰ χειρὸς κραταιᾶς.

Εξ. 3,19 - Εγώ όμως γνωρίζω καλά, ότι ο Φαραώ, ο βασιλεύς της Αιγύπτου, δεν θα σας αφήση να αναχωρήσετε, εάν εγώ δεν κτυπήσω αυτόν με την παντοδύναμον δεξιάν μου.

Εξ. 3,20 - καὶ ἐκτείνας τὴν χεῖρα πατάξω τοὺς Αἰγυπτίους ἐν πᾶσι τοῖς θαυμασίοις μου, οἷς ποιήσω ἐν αὐτοῖς, καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς.

Εξ. 3,20 - Θα απλώσω την χείρα μου και θα κτυπήσω τους Αιγυπτίους με έργα θαυμαστά και καταπληκτικά, και κατόπιν θα σας αφήση ο Φαραώ να φύγετε.

Εξ. 3,21 - καὶ δώσω χάριν τῷ λαῷ τούτῳ ἐναντίον τῶν Αἰγυπτίων· ὅταν δὲ ἀποτρέχητε, οὐκ ἀπελεύσεσθε κενοί·

Εξ. 3,21 - Οταν δε θα πρόκειται να φύγετε, θα δώσω δια τον λαόν τούτον των Εβραίων τέτοιαν εύνοιαν εκ μέρους των Αιγυπτίων, ώστε όταν αναχωρήσετε από την Αίγυπτον να μη φύγετε με κενάς τας χείρας·

Εξ. 3,22 - ἀλλὰ αἰτήσει γυνὴ παρὰ γείτονος καὶ συσκήνου αὐτῆς σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν, καὶ ἐπιθήσετε ἐπὶ τοὺς υἱοὺς ὑμῶν καὶ ἐπὶ τὰς θυγατέρας ὑμῶν καὶ σκυλεύσετε τούς Αἰγυπτίους.

Εξ. 3,22 - αλλά κάθε Εβραία γυναίκα θα ζητήση από την γείτονα η την σύνοικόν της Αιγυπτίαν σκεύη αργυρά και χρυσά και ιματισμόν, τα οποία θα φορτώσετε στους υιούς σας και τας θυγατέρας σας. Κατ' αυτόν τον τρόπον θα λαφυραγωγήσετε τους Αιγυπτίους και θα απέλθετε με πλούσια λάφυρα”.

## ΕΞΟΔΟΣ 4

Εξ. 4,1 - Ἀπεκρίθη δὲ Μωυσῆς καὶ εἶπεν· ἐὰν μὴ πιστεύσωσί μοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς μου, ἐροῦσι γάρ, ὅτι οὐκ ὦπταί σοι ὁ Θεός, τί ἐρῶ πρὸς αὐτούς;

Εξ. 4,1 - Ο Μωϋσής απήντησε προς τον Θεόν· “εάν δεν με πιστεύσουν, εάν δεν υπακούσουν εις τα λόγια μου, διότι είναι ενδεχόμενον να είπουν ότι δεν εφανερώθη εις σε ο Θεός, τι θα απαντήσω εγώ τότε προς αυτούς;”

Εξ. 4,2 - εἶπε δὲ αὐτῷ Κύριος· τί τοῦτό ἐστι τὸ ἐν τῇ χειρί σου; ὁ δὲ εἶπε· ῥάβδος.

Εξ. 4,2 - Του είπε δε ο Κυριος· “τι είναι αυτό που κρατάς στο χέρι σου;” Εκείνος είπε· “ράβδος”.

Εξ. 4,3 - καὶ εἶπε· ῥίψον αὐτὴν ἐπὶ τὴν γῆν. καὶ ἔῤῥιψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις· καὶ ἔφυγε Μωυσῆς ἀπ᾿ αὐτοῦ.

Εξ. 4,3 - Του είπεν ο Θεός· “ρίψε αυτήν κατά γης”. Ο Μωϋσής την έρριψεν εις την γην και η ράβδος έγινεν όφις. Ο Μωϋσής φοβηθείς έφυγεν από τον όφιν αυτόν.

Εξ. 4,4 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἔκτεινον τὴν χεῖρα καὶ ἐπιλαβοῦ τῆς κέρκου· ἐκτείνας οὖν τὴν χεῖρα ἐπελάβετο τῆς κέρκου, καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρὶ αὐτοῦ·

Εξ. 4,4 - Είπε τότε ο Θεός στον Μωϋσήν· “άπλωσε το χέρι σου και πιάσε το φίδι από την ουράν”. Οταν ο Μωϋσής το έπιασεν, έγινεν ο όφις στο χέρι του πάλιν ράβδος.

Εξ. 4,5 - ἵνα πιστεύσωσί σοι ὅτι ὦπταί σοι ὁ Θεὸς τῶν πατέρων αὐτῶν, Θεὸς Ἀβραὰμ καὶ Θεὸς Ἰσαὰκ καὶ Θεὸς Ἰακώβ.

Εξ. 4,5 - “Αυτό το σημείον θα κάμης, δια να πιστεύσουν τους λόγους σου οι Εβραίοι, ότι όντως εφανερώθη εις σε ο Θεός του Αβραάμ, ο Θεός του Ισαάκ και ο Θεός του Ιακώβ”.

Εξ. 4,6 - εἶπε δὲ αὐτῷ Κύριος πάλιν· εἰσένεγκον τὴν χεῖρά σου εἰς τὸν κόλπον σου. καὶ εἰσήνεγκε τὴν χεῖρα αὐτοῦ εἰς τὸν κόλπον αὐτοῦ· καὶ ἐξήνεγκε τὴν χεῖρα αὐτοῦ ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ ἐγενήθη ἡ χεὶρ αὐτοῦ ὡσεὶ χιών.

Εξ. 4,6 - Είπε δε πάλιν εις αυτόν ο Κυριος· “βάλε το χέρι σου στον κόρφον σου”. Ο Μωϋσής εισήγαγε το χέρι του στον κόρφον του, το έβγαλε από τον κόρφον του και έγινε το χέρι του λευκό, ωσάν το χιόνι.

Εξ. 4,7 - καὶ εἶπε πάλιν· εἰσένεγκον τὴν χεῖρά σου εἰς τὸν κόλπον σου. καὶ εἰσήνεγκε τὴν χεῖρα εἰς τὸν κόλπον αὐτοῦ· καὶ ἐξήνεγκεν αὐτὴν ἐκ τοῦ κόλπου αὐτοῦ, καὶ πάλιν ἀποκατέστη εἰς τὴν χρόαν τῆς σαρκὸς αὐτῆς.

Εξ. 4,7 - Του είπε πάλιν ο Θεός· "βάλε το χέρι σου στον κόρφον σου". Εβαλε το χέρι του στον κόρφον του, το έβγαλεν από εκεί, και το χέρι του αποκατεστάθη και πάλιν εις την φυσικήν του προτέραν υγιά χροιάν.

Εξ. 4,8 - ἐὰν δὲ μὴ πιστεύσωσί σοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς τοῦ σημείου τοῦ πρώτου, πιστεύσουσί σοι τῆς φωνῆς τοῦ σημείου τοῦ δευτέρου.

Εξ. 4,8 - "Εάν δε δεν σε πιστεύσουν, και δεν πεισθούν εις την μαρτυρίαν του πρώτου θαύματος, θα πιστεύσουν εις την μαρτυρίαν του δευτέρου θαύματος.

Εξ. 4,9 - καὶ ἔσται ἐὰν μὴ πιστεύσωσί σοι τοῖς δυσὶ σημείοις τούτοις, μηδὲ εἰσακούσωσι τῆς φωνῆς σου, λήψῃ ἀπὸ τοῦ ὕδατος τοῦ ποταμοῦ καὶ ἐκχεεῖς ἐπὶ τὸ ξηρόν, καὶ ἔσται τὸ ὕδωρ, ὃ ἐὰν λάβῃς ἀπὸ τοῦ ποταμοῦ, αἷμα ἐπὶ τοῦ ξηροῦ.

Εξ. 4,9 - Εάν όμως δεν πιστεύσουν εις τα δύο αυτά σημεία και δεν υπακούσουν εις τα λόγια σου, τότε θα πάρης νερό από τον ποταμόν, θα το χύσης στο ξηρόν έδαφος και θα γίνη το νερό, που θα έχης λάβει από τον ποταμόν, αίμα επάνω στο ξηρόν έδαφος".

Εξ. 4,10 - εἶπε δὲ Μωυσῆς πρὸς Κύριον· δέομαι, Κύριε, οὐχ ἱκανός εἰμι πρὸ τῆς χθές, οὐδὲ πρὸ τῆς τρίτης ἡμέρας, οὐδὲ ἀφ᾿ οὗ ἤρξω λαλεῖν τῷ θεράποντί σου· ἰσχνόφωνος καὶ βραδύγλωσσος ἐγώ εἰμι.

Εξ. 4,10 - Περιδεής ο Μωϋσής δια την σοβαρότητα της αποστολής του είπε προς τον Θεόν· "Κυριε, σε παρακαλώ θερμώς, δεν έχω την ικανότητα εγώ να ομιλώ ούτε από την χθεσινήν ημέραν ούτε από την προχθεσινήν, από πολύν δηλαδή χρόνον, και μάλιστα από την στιγμήν, που ήρχισες συ ο Θεός να ομιλής προς εμέ τον δούλον σου! Εγώ έχω αδύνατον την φωνήν, είμαι δε και βραδύγλωσσος".

Εξ. 4,11 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· τίς ἔδωκε στόμα ἀνθρώπῳ, καὶ τίς ἐποίησε δύσκωφον καὶ κωφόν, βλέποντα καὶ τυφλόν; οὐκ ἐγὼ ὁ Θεός;

Εξ. 4,11 - Είπεν ο Κυριος προς τον Μωϋσήν· "ποιός έδωκε στόμα στον άνθρωπον, ποιός έκαμε βαρήκοον και κωφόν, βλέποντα η τυφλόν; Ουχί εγώ ο Θεός;

Εξ. 4,12 - καὶ νῦν πορεύου, καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου, καὶ συμβιβάσω σε, ὃ μέλλεις λαλῆσαι.

Εξ. 4,12 - Και τώρα πήγαινε και εγώ θα ανοίξω το στόμα σου και θα σε καθοδηγήσω περί του τι πρέπει να είπης".

Εξ. 4,13 - καὶ εἶπε Μωυσῆς· δέομαι, Κύριε, προχείρισαι δυνάμενον ἄλλον, ὃν ἀποστελεῖς.

Εξ. 4,13 - Παλιν ο Μωϋσής είπε· “θερμώς σε παρακαλώ, Κυριε, ανάδειξε κάποιον άλλον ικανόν, τον οποίον και να αποστείλης δια το έργον αυτό”.

Εξ. 4,14 - καὶ θυμωθεὶς ὀργῇ Κύριος ἐπὶ Μωυσῆν εἶπεν· οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου ὁ Λευΐτης; ἐπίσταμαι ὅτι λαλῶν λαλήσει αὐτός σοι· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ.

Εξ. 4,14 - Ωργίσθη ο Θεός εναντίον του Μωϋσέως και του είπεν· “ιδού ο Ααρών ο Λευΐτης δεν είναι αδελφός σου; Σου καθιστώ γνωστόν ότι αυτός αντί σου θα ομιλή. Αυτός θα εξέλθη εις συνάντησίν σου και όταν σε ίδη, θα χαρή με όλην του την καρδιά.

Εξ. 4,15 - καὶ ἐρεῖς πρὸς αὐτὸν καὶ δώσεις τὰ ῥήματά μου εἰς τὸ στόμα αὐτοῦ· καὶ ἐγὼ ἀνοίξω τὸ στόμα σου καὶ τὸ στόμα αὐτοῦ καὶ συμβιβάσω ὑμᾶς ἃ ποιήσετε.

Εξ. 4,15 - Συ θα ομιλής προς αυτόν και θα θέτης τα λόγια μου στο στόμα του. Εγώ θα ανοίξω το στόμα σου και το στόμα εκείνου και θα σας καθοδηγήσω εις εκείνα, τα οποία θα κάμετε.

Εξ. 4,16 - καὶ αὐτός σοι λαλήσει πρὸς τὸν λαόν, καὶ αὐτὸς ἔσται σου στόμα, σὺ δὲ αὐτῷ ἔσῃ τὰ πρὸς τὸν Θεόν.

Εξ. 4,16 - Αυτός θα ομιλή αντί σου προς τον λαόν, αυτός θα είναι το στόμα σου, συ δε θα είσαι εις αυτόν αντί του Θεού, διότι από εμέ θα λαμβάνης και θα μεταφέρης τας εντολάς.

Εξ. 4,17 - καὶ τὴν ῥάβδον ταύτην τὴν στραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί σου, ἐν ᾗ ποιήσεις ἐν αὐτῇ τὰ σημεῖα.

Εξ. 4,17 - Την δε ράβδον αυτήν, η οποία μετεβλήθη εις όφιν, θα πάρης στο χέρι σου, και με αυτήν θα κάμης τα σημεία, που σου είπα”.

Εξ. 4,18 - Ἐπορεύθη δὲ Μωυσῆς καὶ ἀπέστρεψε πρὸς Ἰοθὸρ τὸν γαμβρὸν αὐτοῦ καὶ λέγει· πορεύσομαι καὶ ἀποστρέψω πρὸς τοὺς ἀδελφούς μου τοὺς ἐν Αἰγύπτῳ καὶ ὄψομαι, εἰ ἔτι ζῶσι. καὶ εἶπεν Ἰοθὸρ Μωυσῇ· βάδιζε ὑγιαίνων. μετὰ δὲ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου.

Εξ. 4,18 - Υπήκουσεν ο Μωϋσής εις την διαταγήν του Θεού, ανεχώρησεν από εκεί, επέστρεψε προς τον πενθερόν του τον Ιοθόρ και του είπε· “θα υπάγω και θα επανέλθω προς τους αδελφούς μου εις την Αίγυπτον, δια να ίδω, εάν ακόμη ζουν”. Ο Ιοθόρ είπε προς τον Μωϋσήν· “πήγαινε στο καλό». Επειτα από ικανόν χρόνον, απέθανε κατά τας ημέρας εκείνας ο βασιλεύς της Αιγύπτου.

Εξ. 4,19 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν ἐν Μαδιάμ· βάδιζε, ἄπελθε εἰς Αἴγυπτον· τεθνήκασι γὰρ πάντες οἱ ζητοῦντές σου τὴν ψυχήν.

Εξ. 4,19 - Είπε δε ο Κυριος προς τον Μωϋσήν, ο οποίος ευρίσκετο ακόμη εις την Μαδιάμ· “βάδιζε και πήγαινε εις την Αίγυπτον, διότι έχουν πλέον

αποθάνει, εκείνοι, οι οποίοι εζητούσαν την ζωήν σου”.

Εξ. 4,20 - ἀναλαβὼν δὲ Μωυσῆς τὴν γυναῖκα καὶ τὰ παιδία ἀνεβίβασεν αὐτὰ ἐπὶ τὰ ὑποζύγια καὶ ἐπέστρεψεν εἰς Αἴγυπτον· ἔλαβε δὲ Μωυσῆς τὴν ῥάβδον τὴν παρὰ τοῦ Θεοῦ ἐν τῇ χειρὶ αὐτοῦ.

Εξ. 4,20 - Παρέλαβεν ο Μωϋσής την γυναίκα και τα παιδιά του, ανεβίβασε τα παιδιά του εις τα υποζύγια και επέστρεψεν εις την Αίγυπτον. Είχε δε στο χέρι του την ράβδον του Θεού.

Εξ. 4,21 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· πορευομένου σου καὶ ἀποστρέφοντος εἰς Αἴγυπτον, ὅρα πάντα τὰ τέρατα, ἃ δέδωκα ἐν ταῖς χερσί σου, ποιήσεις αὐτὰ ἐναντίον Φαραώ· ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν αὐτοῦ, καὶ οὐ μὴ ἐξαποστείλῃ τὸν λαόν.

Εξ. 4,21 - Είπε δε προς τον Μωυσήν ο Θεός· “τώρα, που μεταβαίνεις και επιστρέφεις εις την Αίγυπτον, πρόσεξε, ώστε να κάμης ενώπιον του Φαραώ όλα τα μεγάλα θαύματα, που έδωσα εις τα χέρια σου. Σου προαναγγέλλω όμως ότι εγώ θα αφήσω να σκληρυνθή η καρδία του, ώστε εκείνος να μη συγκατατεθή και αφήση αμέσως ελεύθερον τον λαόν μου.

Εξ. 4,22 - σὺ δὲ ἐρεῖς τῷ Φαραώ· τάδε λέγει Κύριος· υἱὸς πρωτότοκός μου Ἰσραήλ·

Εξ. 4,22 - Αλλά συ θα είπης στον Φαραώ· Αυτά λέγει ο Κυριος προς σέ· ο ισραηλιτικός λαός είναι ο πρωτότοκος υιός μου·

Εξ. 4,23 - εἶπα δέ σοι· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσῃ· εἰ μὲν οὖν μὴ βούλει ἐξαποστεῖλαι αὐτούς, ὅρα οὖν, ἐγὼ ἀποκτενῶ τὸν υἱόν σου τὸν πρωτότοκον.

Εξ. 4,23 - σε διατάσσω, άφησε τον λαόν μου ελεύθερον να αναχωρήση, δια να με λατρεύση εκεί που εγώ θα τον οδηγήσω. Εάν δε και δεν θελήσης να αφήσης αυτούς ελευθέρους, πρόσεξε πολύ, εγώ θα φονεύσω τον πρωτότοκον υιόν σου”.

Εξ. 4,24 - ἐγένετο δὲ ἐν τῇ ὁδῷ ἐν τῷ καταλύματι συνήντησεν αὐτῷ ἄγγελος Κυρίου καὶ ἐζήτει αὐτὸν ἀποκτεῖναι.

Εξ. 4,24 - Ενώ ο Μωϋσής εβάδιζε προς την Αίγυπτον, καθ' οδόν, εις κάποιο κατάλυμα, συνήντησεν αυτόν άγγελος Κυρίου και εζήτει να τον θανατώση- διότι το παιδί του ήτο απερίτμητον.

Εξ. 4,25 - καὶ λαβοῦσα Σεπφώρα ψῆφον περιέτεμε τὴν ἀκροβυστίαν τοῦ υἱοῦ αὐτῆς καὶ προσέπεσε πρὸς τοὺς πόδας αὐτοῦ καὶ εἶπεν· ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου.

Εξ. 4,25 - Η Σεπφώρα έλαβε τότε μίαν κοπτερήν πέτραν, περιέταμε τον υιόν της, έπεσεν εμπρός εις τα πόδια του αγγέλου και του είπεν· “η περιτομή ετελείωσε, διότι εσταμάτησεν η αιμορραγία από την περιτομήν του παιδιού”.

Εξ. 4,26 - καὶ ἀπῆλθεν ἀπ᾽ αὐτοῦ, διότι εἶπεν· ἔστη τὸ αἷμα τῆς περιτομῆς τοῦ παιδίου μου.

Εξ. 4,26 - Ο άγγελος του Κυρίου ανεχώρησε, διότι η γυνή του Μωϋσέως του είπεν· Εσταμάτησεν η αιμορροή από την περιτομήν του παιδιού μου, γεγονός το οποίον μαρτυρεί ότι η περιτομή ωλοκληρώθη.

Εξ. 4,27 - Εἶπε δὲ Κύριος πρὸς Ἀαρών· πορεύθητι εἰς συνάντησιν Μωυσῆ εἰς τὴν ἔρημον· καὶ ἐπορεύθη καὶ συνήντησεν αὐτῷ ἐν τῷ ὄρει τοῦ Θεοῦ, καὶ κατεφίλησαν ἀλλήλους.

Εξ. 4,27 - Καθ' ον χρόνον ο Μωϋσής εβάδιζε προς την Αίγυπτον, είπεν ο Κυριος προς τον Ααρών· “πήγαινε να συναντήσης τον Μωϋσήν εις την έρημον”. Επορεύθη ο Ααρών, συνήντησε τον Μωϋσήν στο όρος του Θεού, στο Σινά, και κατεφίλησεν ο ένας τον άλλον.

Εξ. 4,28 - καὶ ἀνήγγειλε Μωυσῆς τῷ Ἀαρὼν πάντας τοὺς λόγους Κυρίου, οὓς ἀπέστειλε, καὶ πάντα τὰ σημεῖα, ἃ ἐνετείλατο αὐτῷ.

Εξ. 4,28 - Ανήγγειλεν ο Μωϋσής στον Ααρών όλα όσα του είχεν είπει ο Κυριος και όλα τα σημεία, τα οποία τον διέταξε να κάμη.

Εξ. 4,29 - ἐπορεύθη δὲ Μωυσῆς καὶ Ἀαρὼν καὶ συνήγαγον τὴν γερουσίαν τῶν υἱῶν Ἰσραήλ.

Εξ. 4,29 - Επορεύθη ο Μωϋσής μαζή με τον Ααρών προς τους Ισραηλίτας, συνεκέντρωσαν την γερουσίαν των Ισραηλιτών,

Εξ. 4,30 - καὶ ἐλάλησεν Ἀαρὼν πάντα τὰ ῥήματα ταῦτα, ἃ ἐλάλησεν ὁ Θεὸς πρὸς Μωυσῆν, καὶ ἐποίησε τὰ σημεῖα ἐναντίον τοῦ λαοῦ.

Εξ. 4,30 - και ο Ααρών ανεκοίνωσεν εις αυτούς όλα αυτά τα λόγια, τα οποία είπεν ο Θεός προς τον Μωϋσήν, ο δε Μωϋσής έκαμεν ενώπιον του ισραηλιτικού λαού τα σημεία εκείνα.

Εξ. 4,31 - καὶ ἐπίστευσεν ὁ λαὸς καὶ ἐχάρη, ὅτι ἐπεσκέψατο ὁ Θεὸς τοὺς υἱοὺς Ἰσραὴλ καὶ ὅτι εἶδεν αὐτῶν τὴν θλίψιν· κύψας δὲ ὁ λαὸς προσεκύνησε.

Εξ. 4,31 - Ο ισραηλιτικός λαός επίστευσεν, εχάρη, διότι ο Θεός είδε τας ταλαιπωρίας των και επεσκέφθη τους Ισραηλίτας. Ολος ο λαός έσκυψε με ευγνωμοσύνην και σεβασμόν και προσεκύνησε τον Θεόν.

## ΕΞΟΔΟΣ 5

Εξ. 5,1 - Καὶ μετὰ ταῦτα εἰσῆλθε Μωυσῆς καὶ Ἀαρὼν πρὸς Φαραὼ καὶ εἶπαν αὐτῷ· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι ἑορτάσωσιν ἐν τῇ ἐρήμῳ.

Εξ. 5,1 - Μετά ταύτα εισήλθεν ο Μωϋσής με τον Ααρών εις τα ανάκτορα του Φαραώ και του είπαν· “τάδε λέγει Κυριος ο Θεός του ισραηλιτικού λαού· Αφησε τον λαόν μου ελεύθερον, δια να μεταβή εις την έρημον και τελέση εορτήν προς τιμήν μου”.

Εξ. 5,2 - καὶ εἶπε Φαραώ· τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραήλ; οὐκ οἶδα τὸν Κύριον καὶ τὸν Ἰσραὴλ οὐκ ἐξαποστέλλω.

Εξ. 5,2 - Ο Φαραώ απήντησε με αγερωχίαν· "ποιός είναι αυτός ο Κυριος και Θεός, εις την εντολήν του οποίου εγώ θα υπακούσω, ώστε να αφήσω ελευθέρους τους Ισραηλίτας; Δεν γνωρίζω εγώ αυτόν τον Κυριον και δεν θα αφήσω ελευθέρους τους Ισραηλίτας να αναχωρήσουν".

Εξ. 5,3 - καὶ λέγουσιν αὐτῷ· ὁ Θεὸς τῶν Ἑβραίων προσκέκληται ἡμᾶς· πορευσόμεθα οὖν ὁδὸν τριῶν ἡμερῶν εἰς τὴν ἔρημον, ὅπως θύσωμεν Κυρίῳ τῷ Θεῷ ἡμῶν, μή ποτε συναντήσῃ ἡμῖν θάνατος ἢ φόνος.

Εξ. 5,3 - Είπον προς αυτόν ο Μωϋσής και ο Ααρών· "ο Θεός των Εβραίων μας έχει καλέσει. Θα πορευθώμεν λοιπόν πορείαν τριών ημερών εις την έρημον, δια να προσφέρωμεν θυσίαν εις Κυριον τον Θεόν μας, ειδ' άλλως θα πέση επάνω μας θάνατος η θα εξοντωθώμεν από εχθρούς".

Εξ. 5,4 - καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς Αἰγύπτου· ἱνατί Μωυσῆ καὶ Ἀαρὼν διαστρέφετε τὸν λαὸν ἀπὸ τῶν ἔργων; ἀπέλθατε ἕκαστος ὑμῶν πρὸς τὰ ἔργα αὐτοῦ.

Εξ. 5,4 - Είπεν εις αυτούς ο βασιλεύς της Αιγύπτου· "διατί, Μωϋσή και Ααρών, αναταράσσετε τον λαόν και τον αποστρέφετε από τα έργα του; Πηγαίνετε ο καθένας σας εις τα έργα του".

Εξ. 5,5 - καὶ εἶπε Φαραώ· ἰδοὺ νῦν πολυπληθεῖ ὁ λαός· μὴ οὖν καταπαύσωμεν αὐτοὺς ἀπὸ τῶν ἔργων.

Εξ. 5,5 - Και, αφού εκείνοι έφυγαν, είπεν ο Φαραώ στους αυλικούς του· "ιδού τώρα, αυτός ο λαός ολονέν και πολλαπλασιάζεται. Ας μη τους αφήσωμεν να αναπαυθούν καθόλου από τας εργασίας των".

Εξ. 5,6 - συνέταξε δὲ Φαραὼ τοῖς ἐργοδιώκταις τοῦ λαοῦ καὶ τοῖς γραμματεῦσι λέγων·

Εξ. 5,6 - Διέταξε δε ο Φαραώ τους Αιγυπτίους επιστάτας επί των έργων, που έκανεν ο λαός, και τους Ισραηλίτας γραμματείς λέγων·

Εξ. 5,7 - οὐκέτι προστεθήσεσθε διδόναι ἄχυρον τῷ λαῷ εἰς τὴν πλινθουργίαν καθάπερ χθὲς καὶ τρίτην ἡμέραν· ἀλλ᾿ αὐτοὶ πορευέσθωσαν καὶ συναγαγέτωσαν ἑαυτοῖς ἄχυρα.

Εξ. 5,7 - "δεν θα συνεχίσετε από εδώ και στο εξής να δίδετε άχυρον στον λαόν δια την κατασκευήν των πλίνθων, όπως εκάνατε προηγουμένως. Αλλά οι ίδιοι οι Ισραηλίται ας πηγαίνουν να μαζεύουν μόνοι των τα άχυρα, που τους χρειάζονται.

Εξ. 5,8 - καὶ τὴν σύνταξιν τῆς πλινθείας, ἧς αὐτοὶ ποιοῦσι, καθ᾿ ἑκάστην ἡμέραν ἐπιβαλεῖς αὐτοῖς, οὐκ ἀφελεῖς οὐδέν· σχολάζουσι γάρ· διὰ τοῦτο κεκράγασι λέγοντες· ἐγερθῶμεν καὶ θύσωμεν τῷ Θεῷ ἡμῶν.

Εξ. 5,8 - Και το ποσόν των πλίνθων, τους οποίους έως τώρα έκαμνον, θα τους υποχρεώσης να τους παρασκευάζουν κάθε ημέραν όπως και πρότερον. Δεν θα μειώσης καθόλου την εργασίαν των. Μένουν αργοί και δια τούτο κραυγάζουν λέγοντες· Θα υπάγωμεν να θυσιάσωμε στον Θεόν μας.

Εξ. 5,9 - βαρυνέσθω τὰ ἔργα τῶν ἀνθρώπων τούτων, καὶ μεριμνάτωσαν ταῦτα καὶ μὴ μεριμνάτωσαν ἐν λόγοις κενοῖς.

Εξ. 5,9 - Επιβαρύνατε τους ανθρώπους τούτους με περισσότερα και δυσκολώτερα έργα και δώστε τους να εννοήσουν ότι πρέπει να φροντίζουν δι' αυτά και να μη κατατρίβωνται εις κούφια λόγια”.

Εξ. 5,10 - κατέσπευδον δὲ αὐτοὺς οἱ ἐργοδιῶκται καὶ οἱ γραμματεῖς καὶ ἔλεγον πρὸς τὸν λαὸν λέγοντες· τάδε λέγει Φαραώ· οὐκέτι δίδωμι ὑμῖν ἄχυρα·

Εξ. 5,10 - Τοιαύτας εντολάς λαβόντες οι Αιγύπτιοι επιστάται και οι Ισραηλίται γραμματείς, κατεπίεζαν τους Ισραηλίτας να σπεύδουν εις τα έργα των και έλεγον προς αυτούς· “αυτά διέταζεν ο Φαραώ· Δεν σας δίδομεν πλέον άχυρα δια τους πλίνθους.

Εξ. 5,11 - αὐτοὶ ὑμεῖς πορευόμενοι συλλέγετε ἑαυτοῖς ἄχυρα, ὅθεν ἐὰν εὕρητε, οὐ γὰρ ἀφαιρεῖται ἀπὸ τῆς συντάξεως ὑμῶν οὐδέν.

Εξ. 5,11 - Σεις οι ίδιοι πηγαίνετε και μαζεύετε, όπου εύρετε άχυρα, δια την εργασίαν σας. Δεν θα μειώσωμεν όμως καθόλου το ποσόν της εργασίας σας”.

Εξ. 5,12 - καὶ διεσπάρη ὁ λαὸς ἐν ὅλῃ γῇ Αἰγύπτῳ, συναγαγεῖν καλάμην εἰς ἄχυρα·

Εξ. 5,12 - Διεσκορπίσθησαν οι Ισραηλίται εις όλην την Αίγυπτον να μαζεύουν καλαμιές δι' άχυρα.

Εξ. 5,13 - οἱ δὲ ἐργοδιῶκται κατέσπευδον αὐτοὺς λέγοντες· συντελεῖτε τὰ ἔργα τὰ καθήκοντα καθ᾿ ἡμέραν, καθάπερ καὶ ὅτε τὸ ἄχυρον ἐδίδοτο ὑμῖν.

Εξ. 5,13 - Οι επιστάται δε των έργων τους κατεπίεζον λέγοντες· “εκτελείτε τα έργα της κάθε ημέρας, όπως και όταν σας εδίδετο το άχυρον”.

Εξ. 5,14 - καὶ ἐμαστιγώθησαν οἱ γραμματεῖς τοῦ γένους τῶν υἱῶν Ἰσραήλ, οἱ κατασταθέντες ἐπ᾿ αὐτοὺς ὑπὸ τῶν ἐπιστατῶν τοῦ Φαραώ, λέγοντες· διατί οὐ συνετελέσατε τὰς συντάξεις ὑμῶν τῆς πλινθείας καθάπερ χθὲς καὶ τρίτην ἡμέραν, καὶ τὸ τῆς σήμερον;

Εξ. 5,14 - Οι επιστάται δε του Φαραώ εμαστίγωσαν τους Ισραηλίτας γραμματείς, τους οποίους είχαν καταστήσει οι ιδιοί ως επόπτας στον λαόν, και τους έλεγαν· “διατί δεν επραγματοποιήσατε κατά την σημερινήν ημέραν παραγωγήν πλίνθων, όσην είχατε πραγματοποιήσει προηγουμένως;”

Εξ. 5,15 - εἰσελθόντες δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ κατεβόησαν πρὸς Φαραὼ λέγοντες· ἱνατί σὺ οὕτως ποιεῖς τοῖς σοῖς οἰκέταις;

Εξ. 5,15 - Οι γραμματείς των Ισραηλιτών εισήλθον εις τα ανάκτορα και με γοεράν φωνήν παρεπονέθησαν στον Φαραώ λέγοντες· “διατί συ κατ' αυτόν τον τρόπον μεταχειρίζεσαι τους δούλους σου;

Εξ. 5,16 - ἄχυρον οὐ δίδοται τοῖς οἰκέταις σου, καὶ τὴν πλίνθον ἡμῖν λέγουσι ποιεῖν, καὶ ἰδοὺ οἱ παῖδές σου μεμαστίγωνται· ἀδικήσεις οὖν τὸν λαόν σου.

Εξ. 5,16 - Αχυρον δεν δίδεται στους δούλους σου και οι επιστάται σου μας διατάσσουν να κατασκευάσωμεν το αυτό ποσόν των πλίνθων. Επειδή όμως αυτό είναι αδύνατον, οι δούλοι σου, ημείς εμαστιγώθημεν. Θα αδικήσης λοιπόν τον λαόν σου!”

Εξ. 5,17 - καὶ εἶπεν αὐτοῖς· σχολάζετε, σχολασταί ἐστε· διὰ τοῦτο λέγετε· πορευθῶμεν, θύσωμεν τῷ Θεῷ ἡμῶν.

Εξ. 5,17 - Τους είπεν ο Φαραώ· “δεν εργάζεσθε, είσθε τεμπέληδες. Δι' αυτό και λέγετε· Θα πορευθώμεν εις την έρημον, δια να θυσιάσωμεν στον Θεόν μας.

Εξ. 5,18 - νῦν οὖν πορευθέντες ἐργάζεσθε· τὸ γὰρ ἄχυρον οὐ δοθήσεται ὑμῖν, καὶ τὴν σύνταξιν τῆς πλινθείας ἀποδώσετε.

Εξ. 5,18 - Τωρα λοιπόν πηγαίνετε αμέσως να εργασθήτε, το άχυρον δεν θα σας δοθή και το ποσόν των πλίνθων θα το αποδίδετε στο ακέραιον” !

Εξ. 5,19 - ἑώρων δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ ἑαυτοὺς ἐν κακοῖς λέγοντες· οὐκ ἀπολείψετε τῆς πλινθείας τὸ καθῆκον τῇ ἡμέρᾳ.

Εξ. 5,19 - Οι γραμματείς των Ισραηλιτών έβλεπον ότι ευρίσκονται εις πολύ δύσκολον θέσιν και έλεγον στον λαόν· “δεν θα μειώσετε καθόλου την καθημερινήν ποσότητα των πλίνθων”.

Εξ. 5,20 - συνήντησαν δὲ Μωυσῇ καὶ Ἀαρὼν ἐρχομένοις εἰς συνάντησιν αὐτοῖς, ἐκπορευομένων αὐτῶν ἀπὸ Φαραώ.

Εξ. 5,20 - Συνήντησαν δε τον Μωυσήν και Ααρών, που ήρχοντο εις συνάντησίν των, όταν αυτοί εξήρχοντο από τα ανάκτορα του Φαραώ.

Εξ. 5,21 - καὶ εἶπαν αὐτοῖς· ἴδοι ὁ Θεὸς ὑμᾶς καὶ κρίναι, ὅτι ἐβδελύξατε τὴν ὀσμὴν ἡμῶν ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, δοῦναι ῥομφαίαν εἰς τὰς χεῖρας αὐτοῦ, ἀποκτεῖναι ἡμᾶς.

Εξ. 5,21 - Είπαν δε προς αυτούς οι γραμματείς· “ο Θεός να ίδη και να σας κρίνη, διότι εκάματε αποκρουστικήν την παρουσίαν μας ενώπιον του Φαραώ και ενώπιον των αυλικών του. Εδώσατε εις τα χέρια του μάχαιραν, δια να μας φονεύση”.

Εξ. 5,22 - ἐπέστρεψε δὲ Μωυσῆς πρὸς Κύριον καὶ εἶπε· δέομαι, Κύριε· τί ἐκάκωσας τὸν λαὸν τοῦτον; καὶ ἱνατί ἀπέσταλκάς με;

Εξ. 5,22 - Ο Μωϋσής εστράφη προς τον Κυριον και με θερμήν προσευχήν του είπε· “θερμώς σε παρακαλώ, Κυριε· διατί τάσον πολύ ταλαιπωρείς τον λαόν αυτόν; Και διατί με απέστειλες προς τον Φαραώ;

Εξ. 5,23 - καὶ ἀφ᾽ οὗ πεπόρευμαι πρὸς Φαραὼ λαλῆσαι ἐπὶ τῷ σῷ ὀνόματι, ἐκάκωσε τὸν λαὸν τοῦτον, καὶ οὐκ ἐῤῥύσω τὸν λαόν σου.

Εξ. 5,23 - Από την ημέραν, που επορεύθην στον Φαραώ να του ομιλήσω εξ ονόματός σου, εκείνος έθλιψεν ακόμη περισσότερον τον λαόν τούτον· και συ δεν έσωσες και δεν απηλευθέρωσες τον λαόν από την σκληράν αυτήν τυραννίαν”.

ΕΞΟΔΟΣ 6

Εξ. 6,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἤδη ὄψει ἃ ποιήσω τῷ Φαραώ· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξαποστελεῖ αὐτοὺς καὶ ἐν βραχίονι ὑψηλῷ ἐκβαλεῖ αὐτοὺς ἐκ τῆς γῆς αὐτοῦ.

Εξ. 6,1 - Είπε τότε ο Κυριος προς τον Μωϋσήν· “τώρα θα ίδης, πόσα εγώ θα κάμω εναντίον του Φαραώ. Διότι τιμωρούμενος από την παντοδύναμον δεξιάν μου θα αναγκασθή να αφήση ελευθέρους τους Ισραηλίτας και εξουθενωμένος από την μεγαλοπρεπή δύναμίν μου ο ίδιος θα τους συστήση να φύγουν, όσον το δυνατόν συντομώτερον από την χώραν του” !

Εξ. 6,2 - Ἐλάλησε δὲ ὁ Θεὸς πρὸς Μωυσῆν καὶ εἶπε πρὸς αὐτόν· ἐγὼ Κύριος·

Εξ. 6,2 - Ωμίλησεν ακόμη ο Θεός προς τον Μωϋσήν και του είπεν· “εγώ είμαι ο Κυριος.

Εξ. 6,3 - καὶ ὤφθην πρὸς Ἁβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, Θεὸς ὢν αὐτῶν, καὶ τὸ ὄνομά μου Κύριος οὐκ ἐδήλωσα αὐτοῖς·

Εξ. 6,3 - Ενεφανίσθην στον Αβραάμ και τον Ισαάκ και τον Ιακώβ, ως ο Θεός των ο παντοδύναμος. Αλλά το όνομά μου Κυριος δεν το εγνωστοποίησα εις αυτούς.

Εξ. 6,4 - καὶ ἔστησα τὴν διαθήκην μου πρὸς αὐτοὺς ὥστε δοῦναι αὐτοῖς τὴν γῆν τῶν Χαναναίων, τὴν γῆν, ἣν παρῴκήκασιν, ἐν ᾗ καὶ παρῴκησαν ἐπ᾽ αὐτῆς.

Εξ. 6,4 - Εκαμα επίσημον συμφωνίαν με αυτούς και τους έδωσα την υπόσχεσιν, ότι θα τους δώσω την χώραν των Χαναναίων, την χώραν εις την οποίαν έζησαν ως προσωρινοί και πάροικοι.

Εξ. 6,5 - καὶ ἐγὼ εἰσήκουσα τὸν στεναγμὸν τῶν υἱῶν Ἰσραήλ, ὃν οἱ Αἰγύπτιοι καταδουλοῦνται αὐτούς, καὶ ἐμνήσθην τῆς διαθήκης ὑμῶν.

Εξ. 6,5 - Εγώ ήκουσα τον στεναγμόν των Ισραηλιτών, τον οποίον οι Αιγύπτιοι προκαλούν εις αυτούς με την σκληράν δουλείαν, εις την οποίαν τους υποβάλλουν. Ενεθυμήθην την υπόσχεσίν μου προς σας.

Εξ. 6,6 - βάδιζε, εἰπὸν τοῖς υἱοῖς Ἰσραὴλ λέγων· ἐγὼ Κύριος καὶ ἐξάξω ὑμᾶς ἀπὸ τῆς δυναστείας τῶν Αἰγυπτίων καὶ ῥύσομαι ὑμᾶς ἐκ τῆς δουλείας καὶ λυτρώσομαι ὑμᾶς ἐν βραχίονι ὑψηλῷ καὶ κρίσει μεγάλῃ

Εξ. 6,6 - Πηγαινε λοιπόν και ειπέ στους Ισραηλίτας· Εγώ είμαι ο Κυριος και εγώ θα σας βγάλω από την τυραννίαν των Αιγυπτίων, θα σας απολυτρώσω από την δουλείαν, και θα σας ελευθερώσω με την μεγαλοπρεπή δύναμίν μου και με την σκληράν τιμωρίαν που θα αποστείλω κατά των Αιγυπτίων.

Εξ. 6,7 - καὶ λήψομαι ἐμαυτῷ ὑμᾶς λαὸν ἐμοὶ καὶ ἔσομαι ὑμῶν Θεός, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ τῆς καταδυναστείας τῶν Αἰγυπτίων,

Εξ. 6,7 - Σας θα εκλέξω και θα σας έχω ως ιδιαίτερον λαόν μου· θα είμαι ο Θεός σας και θα μάθετε, ότι εγώ είμαι Κυριος ο Θεός σας, ο οποίος σας έβγαλα από την καταπίεσιν των Αιγυπτίων.

Εξ. 6,8 - καὶ εἰσάξω ὑμᾶς εἰς τὴν γῆν, εἰς ἣν ἐξέτεινα τὴν χεῖρά μου, δοῦναι αὐτὴν τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ δώσω ὑμῖν αὐτὴν ἐν κλήρῳ· ἐγὼ Κύριος.

Εξ. 6,8 - Θα σας οδηγήσω και θα σας εγκαταστήσω εις την χώραν, την οποίαν ωρκίσθην με υψωμένην την χείρα να δώσω στον Αβραάμ, στον Ισαάκ και στον Ιακώβ. Αυτήν λοιπόν την χώραν θα την δώσω προς σας ως κληρονομίαν. Εγώ είμαι ο Κυριος, ο οποίος εκπληρώνω πάντοτε όσα υπόσχομαι”.

Εξ. 6,9 - ἐλάλησε δὲ Μωυσῆς οὕτω τοῖς υἱοῖς Ἰσραήλ, καὶ οὐκ εἰσήκουσαν Μωυσῆ ἀπό τῆς ὀλιγοψυχίας καὶ ἀπὸ τῶν ἔργων τῶν σκληρῶν.

Εξ. 6,9 - Οπως ο Θεός διέταξεν, έτσι ωμίλησεν ο Μωϋσής στους Ισραηλίτας. Εκείνοι όμως δεν υπήκουσαν στον Μωϋσήν ένεκα της αποκαρδιώσεως, εις την οποίαν είχαν καταντήσει από τα σκληρά έργα. Είχαν χάσει το ηθικόν των.

Εξ. 6,10 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν λέγων·

Εξ. 6,10 - Ο Κυριος είπεν στον Μωυσήν·

Εξ. 6,11 - εἴσελθε, λάλησον Φαραὼ βασιλεῖ Αἰγύπτου, ἵνα ἐξαποστείλῃ τοὺς υἱοὺς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ.

Εξ. 6,11 - “πήγαινε εις τα ανάκτορα και ειπέ στον Φαραώ, τον βασιλέα της Αιγύπτου, να αφήση ελευθέρους τους Ισραηλίτας, δια να εξέλθουν από την χώραν του”.

Εξ. 6,12 - ἐλάλησε δὲ Μωυσῆς ἔναντι Κυρίου λέγων· ἰδοὺ οἱ υἱοὶ Ἰσραὴλ οὐκ εἰσήκουσάν μου, καὶ πῶς εἰσακούσεταί μου Φαραώ; ἐγὼ δὲ ἄλογός εἰμι.

Εξ. 6,12 - Ο Μωϋσής απήντησε προς τον Κυριον και του είπεν· “ιδού, οι ίδιοι οι Ισραηλίται δεν υπήκουσαν εις τα λόγια μου, και θα υπακούση εις εμέ ο Φαραώ; Αλλωστε εγώ δεν έχω και την ικανότητα του λόγου”.

Εξ. 6,13 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν καὶ συνέταξεν αὐτοῖς πρὸς Φαραὼ βασιλέα Αἰγύπτου, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.

Εξ. 6,13 - Είπε τότε ο Κυριος στον Μωϋσήν και στον Ααρών και τους διέταξε να ομιλήσουν προς τον Φαραώ τον βασιλέα Αιγύπτου, να αφήση ελευθέρους τους Ισραηλίτας, δια να αναχωρήσουν από την Αίγυπτον.

Εξ. 6,14 - Καὶ οὗτοι ἀρχηγοὶ οἴκων πατριῶν αὐτῶν. υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραήλ· Ἐνὼχ καὶ Φαλλούς, Ἀσρὼν καὶ Χαρμεί· αὕτη ἡ συγγένεια Ῥουβήν.

Εξ. 6,14 - Οι αρχηγοί δε των ισραηλιτικών οικογενειών κατά τας φυλάς αυτών ήσαν· Υιοί του Ρουβήν του πρωτοτόκου Ιακώβ ήσαν ο Ενώχ, ο Φαλλούς, ο Ασρών και ο Χαρμεί. Αυταί ήσαν αι οικογένειαι του Ρουβήν.

Εξ. 6,15 - καὶ υἱοὶ Συμεών· Ἰεμουὴλ καὶ Ἰαμεὶν καὶ Ἀὼδ καὶ Ἰαχεὶν καὶ Σαὰρ καὶ Σαοὺλ ὁ ἐκ τῆς Φοινίσσης· αὗται αἱ πατριαὶ τῶν υἱῶν Συμεών.

Εξ. 6,15 - Υιοί του Συμεών ήσαν· ο Ιεμουήλ, ο Ιαμείν, ο Αώδ, ο Ιαχείν, ο Σαάρ και ο Σαούλ ο γεννηθείς από Φοίνισσαν γυναίκα. Αυταί ήσαν αι πατριαρχικαί οικογένειαι των υιών του Συμεών.

Εξ. 6,16 - καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Λευὶ κατὰ συγγενείας αὐτῶν. Γεδσών, Καὰθ καὶ Μεραρεί· καὶ τὰ ἔτη τῆς ζωῆς Λευὶ ἑκατὸν τριακονταεπτά.

Εξ. 6,16 - Αυτά δε είναι τα ονόματα των υιών του Λευί κατά τας μεγάλας οικογενείας των· Γεδσών, Καάθ, και Μεραρεί· έζησε δε ο Λευί εκατόν τριάκοντα επτά έτη.

Εξ. 6,17 - καὶ οὗτοι υἱοὶ Γεδσών· Λοβενεὶ καὶ Σεμεεί, οἶκοι πατριᾶς αὐτῶν.

Εξ. 6,17 - Οι υιοί του Γεδσών ήσαν· ο Λοβενεί και Σεμεεί, αρχηγός ο καθένας και γενάρχης πατριαρχικής οικογενείας.

Εξ. 6,18 - καὶ υἱοὶ Καάθ· Ἀμβρὰμ καὶ Ἰσαάρ, Χεβρὼν καὶ Ὀζειήλ· καὶ τὰ ἔτη τῆς ζωῆς Καὰθ ἑκατὸν τριακοντατρία ἔτη.

Εξ. 6,18 - Οι υιοί του Καάθ ήσαν ο Αμβράμ, ο Ισσαάρ, ο Χεβρών και ο Οζειήλ. Εζησε δε ο Καάθ εκατόν τριάκοντα τρία έτη.

Εξ. 6,19 - καὶ υἱοὶ Μεραρεί· Μοολεὶ καὶ Ὁμουσεί. οὗτοι οἱ οἶκοι πατριῶν Λευὶ κατὰ συγγενείας αὐτῶν.

Εξ. 6,19 - Υιοί του Μεραρεί ήσαν· ο Μοολεί και ο Ομουσεί. Αυταί ήσαν αι μεγάλαι οικογένειαι της φυλής Λευϊ κατά τας συγγενείας αυτών.

Εξ. 6,20 - καὶ ἔλαβεν Ἀμβρὰμ τὴν Ἰωχαβὲδ θυγατέρα τοῦ ἀδελφοῦ τοῦ πατρὸς αὐτοῦ ἑαυτῷ εἰς γυναῖκα, καὶ ἐγέννησεν αὐτῷ τόν τε Ἀαρὼν καὶ τὸν Μωυσῆν καὶ Μαριὰμ τὴν ἀδελφὴν αὐτῶν· τὰ δὲ ἔτη τῆς ζωῆς Ἀμβρὰμ ἑκατὸν τριακονταδύο ἔτη.

Εξ. 6,20 - Ο Αμβράμ έλαβεν ως σύζυγον την Ιωχαβέδ, θυγατέρα του αδελφού του πατρός του, και απέκτησεν υιόν τον Ααρών, τον Μωϋσήν και την αδελφήν αυτών Μαριάμ. Εζησε δε ο Αμβράμ εκατόν τριάκοντα δύο έτη.

Εξ. 6,21 - καὶ υἱοὶ Ἰσσαάρ· Κορὲ καὶ Ναφὲκ καὶ Ζεχρεί.

Εξ. 6,21 - Υιοί του Ισσαάρ ήσαν· ο Κορέ, ο Ναφέκ και ο Ζεχρεί.

Εξ. 6,22 - καὶ υἱοὶ Ὀζειήλ· Μισαὴλ καὶ Ἐλισαφὰν καὶ Σεγρεί.

Εξ. 6,22 - Υιοί του Οζειήλ ήσαν· ο Μισαήλ, ο Ελισαφάν και ο Σεγρεί.

Εξ. 6,23 - ἔλαβε δὲ Ἀαρὼν τὴν Ἐλισαβὲθ θυγατέρα Ἀμειναδὰβ ἀδελφὴν Ναασσὼν αὐτῷ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τόν τε Ναδὰβ καὶ Ἀβιοὺδ καὶ τὸν Ἐλεάζαρ καὶ Ἰθάμαρ.

Εξ. 6,23 - Ο Ααρών έλαβεν ως σύζυγον την Ελισαβέθ, θυγατέρα του Αμειναδάβ και αδελφήν του Ναασσών. Απέκτησε δε από αυτήν υιούς τον Ναδάδ, τον Αβιούδ, τον Ελεάζαρ και τον Ιθάμαρ.

Εξ. 6,24 - υἱοὶ δὲ Κορέ· Ἀσεὶρ καὶ Ἑλκανὰ καὶ Ἀβιάσαφ· αὗται αἱ γενέσεις Κορέ.

Εξ. 6,24 - Υιοί του Κορέ ήσαν· ο Ασείρ, ο Ελκανά και ο Αβιάσαφ. Αυτοί ήσαν οι απόγονοι του Κορέ.

Εξ. 6,25 - καὶ Ἐλεάζαρ ὁ τοῦ Ἀαρὼν ἔλαβε τῶν θυγατέρων Φουτιὴλ αὐτῷ γυναῖκα, καὶ ἔτεκεν αὐτῷ τὸν Φινεές. αὗται αἱ ἀρχαὶ πατριᾶς Λευιτῶν κατὰ γενέσεις αὐτῶν.

Εξ. 6,25 - Ο Ελεάζαρ, ο υιός του Ααρών επήρεν ως σύζυγον μίαν από τας θυγατέρας του Φουτιήλ και απέκτησεν από αυτήν υιόν, τον Φινεές. Αυταί είναι αι αρχαί των μεγάλων λευϊτικών οικογενειών κατά τας γενέσεις αυτών.

Εξ. 6,26 - οὗτος Ἀαρὼν καὶ Μωυσῆς, οἷς εἶπεν αὐτοῖς ὁ Θεὸς ἐξαγαγεῖν τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν·

Εξ. 6,26 - Αυτός είναι ο Ααρών και ο Μωϋσής, στους οποίους είπεν ο Θεός να βγάλουν τον ισραηλιτικόν λαόν, με τον στρατόν αυτού, από την χώραν της Αιγύπτου.

Εξ. 6,27 - οὗτοί εἰσιν οἱ διαλεγόμενοι πρὸς Φαραὼ βασιλέα Αἰγύπτου καὶ ἐξήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου· αὐτὸς Ἀαρὼν καὶ Μωυσῆς.

Εξ. 6,27 - Αυτοί ήσαν εκείνοι, οι οποίοι ωμίλησαν προς τον Φαραώ βασιλέα της Αιγύπτου και έβγαλαν τον ισραηλιτικόν λαόν από την Αίγυπτον. Αυτός ήτο ο Ααρών και ο Μωϋσής.

Εξ. 6,28 - Ἧ ἡμέρᾳ ἐλάλησε Κύριος Μωυσῇ ἐν γῇ Αἰγύπτῳ,

Εξ. 6,28 - Κατά την ημέραν, κατά την οποίαν ο Κυριος ωμίλησεν στον Μωϋσήν εις την Αίγυπτον,

Εξ. 6,29 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων· ἐγὼ Κύριος· λάλησον πρὸς Φαραὼ βασιλέα Αἰγύπτου ὅσα ἐγὼ λέγω πρὸς σέ.

Εξ. 6,29 - του είπεν· “εγώ είμαι ο Κυριος. Εγώ σου δίδω εντολήν· ανακοίνωσε στον Φαραώ βασιλέα της Αιγύπτου, όσα εγώ θα σου λέγω”.

Εξ. 6,30 - καὶ εἶπε Μωυσῆς ἐναντίον Κυρίου· ἰδοὺ ἐγὼ ἰσχνόφωνός εἰμι, καὶ πῶς εἰσακούσεταί μου Φαραώ;

Εξ. 6,30 - Ο Μωϋσής είπεν ενώπιον του Κυρίου· “ιδού εγώ έχω αδύνατον την φωνήν και πως θα δώση προσοχήν εις εμέ και θα με ακούση ο Φαραώ;”

## ΕΞΟΔΟΣ 7

Εξ. 7,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν λέγων· ἰδοὺ δέδωκά σε θεὸν Φαραώ, καὶ Ἀαρὼν ὁ ἀδελφός σου ἔσται σου προφήτης·

Εξ. 7,1 - Ο Κυριος είπεν στον Μωϋσήν· “ιδού σε καθιστώ είδος θεού, κύριον και κριτήν του Φαραώ, ο δε αδελφός σου ο Ααρών θα είναι αυτός που θα ομιλή αντί σου.

Εξ. 7,2 - σὺ δὲ λαλήσεις αὐτῷ πάντα, ὅσα σοι ἐντέλλομαι, ὁ δὲ Ἀαρὼν ὁ ἀδελφός σου λαλήσει πρὸς Φαραώ, ὥστε ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ τῆς γῆς αὐτοῦ.

Εξ. 7,2 - Συ θα ανακοινώνης στον Ααρών όσα εγώ θα διατάσσω, ο δε Ααρών ο αδελφός σου θα λέγη αυτά προς τον Φαραώ, δια να αφήση ελευθέρους τους Ισραηλίτας και αναχωρήσουν από την χώραν του.

Εξ. 7,3 - ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραὼ καὶ πληθυνῶ τὰ σημεῖά μου καὶ τὰ τέρατα ἐν γῇ Αἰγύπτῳ.

Εξ. 7,3 - Σου προαναγγέλλω όμως ότι εγώ θα αφήσω να σκληρυνθή δια τας κακίας του η καρδία του Φαραώ, θα κάμω δε πάρα πολλά σημεία και θαύματα προς τιμωρίαν του εις την χώραν της Αιγύπτου.

Εξ. 7,4 - καὶ οὐκ εἰσακούσεται ὑμῶν Φαραώ· καὶ ἐπιβαλῶ τὴν χεῖρά μου ἐπ᾿ Αἴγυπτον καὶ ἐξάξω σὺν δυνάμει μου τὸν λαόν μου τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου σὺν ἐκδικήσει μεγάλῃ.

Εξ. 7,4 - Παρ' όλα αυτά δεν θα υπακούση εις σας ο Φαραώ. Τοτε θα απλώσω την παντοδύναμον χείρα μου και θα επιφέρω μεγάλην τιμωρίαν εις την Αίγυπτον και θα βγάλω από εκεί τον στρατόν μου και τον λαόν μου, όλους τους Ισραηλίτας.

Εξ. 7,5 - καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι, ὅτι ἐγώ εἰμι Κύριος ἐκτείνων τὴν χεῖρά μου ἐπ᾿ Αἴγυπτον, καὶ ἐξάξω τοὺς υἱοὺς Ἰσραὴλ ἐκ μέσου αὐτῶν.

Εξ. 7,5 - Και θα μάθουν όλοι οι Αιγύπτιοι ότι εγώ είμαι ο παντοδύναμος Κυριος, ο οποίος εξέτεινα την ακατανίκητον δεξιάν μου εναντίον των και έβγαλα τους Ισραηλίτας εκ μέσου αυτών”.

Εξ. 7,6 - ἐποίησε δὲ Μωυσῆς καὶ Ἀαρὼν καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος, οὕτως ἐποίησαν.

Εξ. 7,6 - Ο Μωϋσής και ο Ααρών έκαμαν, όπως τους είχε διατάξει ο Θεός. Ετσι ακριβώς έκαμαν.

Εξ. 7,7 - Μωυσῆς δὲ ἦν ἐτῶν ὀγδοήκοντα, Ἀαρὼν δὲ ὁ ἀδελφὸς αὐτοῦ ἐτῶν ὀγδοηκοντατριῶν, ἡνίκα ἐλάλησε πρὸς Φαραώ.

Εξ. 7,7 - Ητο δε τότε ο Μωϋσής ογδοήκοντα ετών, ο δε αδελφός του Ααρών ογδοήκοντα τριών, όταν ο Θεός τους έδωσε την εντολήν να ομιλήσουν προς τον Φαραώ.

Εξ. 7,8 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Εξ. 7,8 - Είπε δε ο Κυριος προς τον Μωϋσήν και τον Ααρών·

Εξ. 7,9 - καὶ ἐὰν λαλήσῃ πρὸς ὑμᾶς Φαραὼ λέγων· δότε ἡμῖν σημεῖον ἢ τέρας, καὶ ἐρεῖς Ἀαρὼν τῷ ἀδελφῷ σου· λάβε τὴν ῥάβδον καὶ ῥίψον ἐπὶ τὴν γῆν ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ ἔσται δράκων.

Εξ. 7,9 - “εάν ο Φαραώ σας είπη, δόστε μου ένα σημείον η κάμετε ένα θαύμα, δια να πιστεύσω ότι σας στέλλει ο Θεός, θα είπης στον Ααρών τον αδελφόν σου· πάρε την ράδδον μου και ρίψε αυτήν κατά γης ενώπιον του Φαραώ και ενώπιον των αυλικών αυτού και θα γίνη μέγας όφις”.

Εξ. 7,10 - εἰσῆλθε δὲ Μωυσῆς καὶ Ἀαρὼν ἐναντίον Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ καὶ ἐποίησαν οὕτως, καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος· καὶ ἔῤῥιψεν Ἀαρὼν τὴν ῥάβδον ἐναντίον Φαραώ, καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ, καὶ ἐγένετο δράκων.

Εξ. 7,10 - Ο Μωϋσής και ο Ααρών παρουσιάσθησαν ενώπιον του Φαραώ και των αυλικών αυτού και έκαμαν, όπως τους είχε δώσει εντολήν ο Κυριος. Ερριψεν ο Ααρών την ράβδον ενώπιον του Φαραώ και των αυλικών του και αυτή έγινε μεγάλος όφις.

Εξ. 7,11 - συνεκάλεσε δὲ Φαραὼ τοὺς σοφιστὰς Αἰγύπτου καὶ τοὺς φαρμακούς, καὶ ἐποίησαν καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν ὡσαύτως.

Εξ. 7,11 - Δυσπιστος ο Φαραώ δια την θείαν αποστολήν του Μωϋσή και Ααρών προσεκάλεσε τους μάντεις και τους μάγους της Αιγύπτου. Αυτοί, μάγοι και εξορκισταί των Αιγυπτίων, έκαμαν το ίδιο με τας μαγείας των.

Εξ. 7,12 - καὶ ἔῤῥιψαν ἕκαστος τὴν ῥάβδον αὐτῶν, καὶ ἐγένοντο δράκοντες· καὶ κατέπιεν ἡ ῥάβδος ἡ Ἀαρὼν τὰς ἐκείνων ῥάβδους.

Εξ. 7,12 - Ερριψαν δηλαδή ο καθένας την ράβδον του και έγιναν όλαι μεγάλοι όφεις. Αλλά η ράβδος του Ααρών, που είχε γίνει όφις, κατέπιε τας ράβδους των μάγων, αι οποίαι επίσης είχον γίνει όφεις.

Εξ. 7,13 - καὶ κατίσχυσεν ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος.

Εξ. 7,13 - Εσκληρύνθη η καρδία του Φαραώ και δεν υπήκουσεν στον Μωϋσήν και Ααρών, δια να κάμη όσα δια μέσου αυτών διέταξεν ο Θεός.

Εξ. 7,14 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· βεβάρηται ἡ καρδία Φαραὼ τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαόν.

Εξ. 7,14 - Ο Κυριος είπε προς τον Μωϋσήν· “η καρδία του Φαραώ έχει σκληρυνθή και δεν θέλει να αφήση ελεύθερον τον λαόν.

Εξ. 7,15 - βάδισον πρὸς Φαραὼ τὸ πρωΐ· ἰδοὺ αὐτὸς ἐκπορεύεται ἐπὶ τὸ ὕδωρ, καὶ ἔσῃ συναντῶν αὐτῷ ἐπὶ τὸ χεῖλος τοῦ ποταμοῦ καὶ τὴν ῥάβδον τὴν στραφεῖσαν εἰς ὄφιν λήψῃ ἐν τῇ χειρί σου.

Εξ. 7,15 - Πηγαινε στον Φαραώ το πρωϊ. Είναι η στιγμή κατά την οποίαν εκείνος εξέρχεται, δια να μεταβή προς το ύδωρ του Νείλου, θα τον συναντήσης εις την όχθην του ποταμού, θα πάρης στο χέρι σου την ράβδον, η οποία είχε γίνει όφις,

Εξ. 7,16 - καὶ ἐρεῖς πρὸς αὐτόν· Κύριος ὁ Θεὸς τῶν Ἑβραίων ἀπέσταλκέ με πρὸς σὲ λέγων· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσῃ ἐν τῇ ἐρήμῳ· καὶ ἰδοὺ οὐκ εἰσήκουσας ἕως τούτου.

Εξ. 7,16 - και θα είπης προς αυτόν· Κυριος ο Θεός των Εβραίων με απέστειλε προς σε δια να σου είπω εκ μέρους του· άφησε τον λαόν μου ελεύθερον, δια να με λατρεύση εις την έρημον. Και ιδού ότι συ μέχρι της ώρας αυτής δεν υπήκουσες.

Εξ. 7,17 - τάδε λέγει Κύριος· ἐν τούτῳ γνώσῃ ὅτι ἐγὼ Κύριος· ἰδοὺ ἐγὼ τύπτω τῇ ῥάβδῳ τῇ ἐν χειρί μου ἐπὶ τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ, καὶ μεταβαλεῖ εἰς αἷμα·

Εξ. 7,17 - Δια τούτο τάδε λέγει Κυριος· Με το σημείον, που θα επακολουθήση, θα μάθης ότι εγώ είμαι ο Κυριος. Ιδού εγώ κτυπώ με την ράβδον, που κρατώ στο χέρι μου, το ύδωρ του ποταμού, και αυτό θα μεταβληθή εις αίμα.

Εξ. 7,18 - καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ τελευτήσουσι, καὶ ἐποζέσει ὁ ποταμός, καὶ οὐ δυνήσονται οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ.

Εξ. 7,18 - Οι ιχθύες του ποταμού θα ψοφήσουν, ο ποταμός θα βρωμήση και δεν θα ημπορούν οι Αιγύπτιοι να πίνουν νερό από τον ποταμόν”.

Εξ. 7,19 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· εἰπὸν Ἀαρὼν τῷ ἀδελφῷ σου· λάβε τὴν ῥάβδον σου ἐν τῇ χειρί σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἐπὶ τοὺς ποταμοὺς αὐτῶν καὶ ἐπὶ τὰς διώρυγας αὐτῶν καὶ ἐπὶ τὰ ἕλη αὐτῶν καὶ ἐπὶ πᾶν συνεστηκὸς ὕδωρ αὐτῶν, καὶ ἔσται αἷμα, καὶ ἐγένετο αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου ἔν τε τοῖς ξύλοις καὶ ἐν τοῖς λίθοις.

Εξ. 7,19 - Είπεν ακόμη ο Κυριος προς τον Μωϋσήν· “ειπέ στον αδελφόν σου, τον Ααρών· Παρε στο χέρι σου την ράβδον σου, άπλωσε το χέρι σου προς όλα τα ύδατα της Αιγύπτου, στους ποταμούς της, εις τας διώρυγας και τα έλη της και γενικώς εις κάθε σημείον, όπου υπάρχει συγκεντρωμένον

νερό, και θα μεταβληθούν τα ύδατα αυτά εις αίμα. Θα γίνη αίμα εις όλην την Αίγυπτον και αυτό ακόμη το ύδωρ, που υπάρχει μέσα εις τα ξύλινα και τα λίθινα δοχεία”.

Εξ. 7,20 - καὶ ἐποίησαν οὕτως Μωυσῆς καὶ Ἀαρών, καθάπερ ἐνετείλατο αὐτοῖς Κύριος· καὶ ἐπάρας τῇ ῥάβδῳ αὐτοῦ ἐπάταξε τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ καὶ μετέβαλε πᾶν τὸ ὕδωρ τὸ ἐν τῷ ποταμῷ εἰς αἷμα.

Εξ. 7,20 - Ο Μωϋσής και ο Ααρών έκαμαν, όπως ακριβώς τους είχε διατάξει ο Κυριος· ύψωσε δηλαδή την ράβδον του ο Ααρών, εκτύπησε το ύδωρ του ποταμού ενώπιον του Φαραώ και ενώπιον των αυλικών του και μετέβαλεν όλον το ύδωρ του ποταμού εις αίμα.

Εξ. 7,21 - καὶ οἱ ἰχθύες οἱ ἐν τῷ ποταμῷ ἐτελεύτησαν, καὶ ἐπώζεσεν ὁ ποταμός, καὶ οὐκ ἠδύναντο οἱ Αἰγύπτιοι πιεῖν ὕδωρ ἐκ τοῦ ποταμοῦ, καὶ ἦν τὸ αἷμα ἐν πάσῃ γῇ Αἰγύπτου.

Εξ. 7,21 - Οι ιχθύες του ποταμού εψόφησαν, εβρώμησεν όλος ο ποταμός και οι Αιγύπτιοι δεν ημπορούσαν να πίουν νερό εκ του ποταμού. Το αίμα ήτο εις όλα τα νερά της Αιγύπτου.

Εξ. 7,22 - ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν· καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ εἶπε Κύριος.

Εξ. 7,22 - Αλλά και οι μάγοι των Αιγυπτίων έκαμαν το ίδιο με τας μαγείας των. Η καρδία του Φαραώ εσκληρύνθη και δεν υπήκουσεν στον Μωϋσήν και Ααρών, εις όσα δηλαδή είχε διατάξει ο Κυριος.

Εξ. 7,23 - ἐπιστραφεὶς δὲ Φαραὼ εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ καὶ οὐκ ἐπέστησε τὸν νοῦν αὐτοῦ οὐδὲ ἐπὶ τούτῳ.

Εξ. 7,23 - Ο Φαραώ επέστρεψεν εσκληρυμμένος εις τα ανάκτορά του και δεν εσκέπτετο πλέον το ζήτημα αυτό, το να αφήση δηλαδή ελευθέρους τους Ισραηλίτας, ούτε και κοτόπιν από αυτό το θαύμα.

Εξ. 7,24 - ὤρυξαν δὲ πάντες οἱ Αἰγύπτιοι κύκλῳ τοῦ ποταμοῦ ὥστε πιεῖν ὕδωρ, καὶ οὐκ ἠδύναντο πιεῖν ὕδωρ ἀπὸ τοῦ ποταμοῦ.

Εξ. 7,24 - Ολοι οι Αιγύπτιοι εν τω μεταξύ έσκαψαν λάκκους και ήνοιξαν φρέατα γύρω από τον Νείλον ποταμόν, δια να εύρουν πόσιμον ύδωρ, επειδή δεν ημπορούσαν να πίουν ύδωρ από τον ποταμόν.

Εξ. 7,25 - καὶ ἀνεπληρώθησαν ἑπτὰ ἡμέραι μετὰ τὸ πατάξαι Κύριον τὸν ποταμόν.

Εξ. 7,25 - Επέρασαν επτά ημέραι από την ημέραν που εκτύπησεν ο Κυριος τον ποταμόν και μετέβαλε τα ύδατά του εις αίμα.

Εξ. 7,26 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· εἴσελθε πρὸς Φαραὼ καὶ ἐρεῖς πρὸς αὐτόν· τάδε λέγει Κύριος· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσωσιν·

Εξ. 7,26 - Είπε δε ο Κυριος προς τον Μωϋσήν· “πήγαινε στον Φαραώ και ειπέ του· Αυτά διατάσσει ο Κυριος. Αφησε ελεύθερον τον λαόν μου δια να με λατρεύση εις την έρημον.

Εξ. 7,27 - εἰ δὲ μὴ βούλει σὺ ἐξαποστεῖλαι, ἰδοὺ ἐγὼ τύπτω πάντα τὰ ὅριά σου τοῖς βατράχοις.

Εξ. 7,27 - Εάν δε και δεν θελήσης να τον αφήσης ελεύθερον, ιδού εγώ πλήττω όλην την χώραν σου από τα όριά της και εντεύθεν δια βατράχων.

Εξ. 7,28 - καὶ ἐξερεύξεται ὁ ποταμὸς βατράχους, καὶ ἀναβάντες εἰσελεύσονται εἰς τοὺς οἴκους σου καὶ εἰς τὰ ταμιεῖα τῶν κοιτώνων σου καὶ ἐπὶ τῶν κλινῶν σου καὶ ἐπὶ τοὺς οἴκους τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου καὶ ἐν τοῖς φυράμασί σου καὶ ἐν τοῖς κλιβάνοις σου·

Εξ. 7,28 - Ο Νείλος ποταμός θα βγάλη βατράχους, οι οποίοι, ατελείωτα πλήθη, θα ανεβούν από αυτόν, θα εισέλθουν εις τα ανάκτορά σου, εις τα δωμάτια του ύπνου σου, επάνω εις τα κρεββάτια σου, εις τα σπίτια των αυλικών σου και του λαού σου, εις τα ζυμάρια του αλεύρου και στους φούρνους σου.

Εξ. 7,29 - καὶ ἐπὶ σὲ καὶ ἐπὶ τοὺς θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου ἀναβήσονται οἱ βάτραχοι.

Εξ. 7,29 - Θα ανεβούν επάνω σου, επάνω στους αυλικούς σου, θα ανεβούν επάνω στους κατοίκους της Αιγύπτου.

## ΕΞΟΔΟΣ 8

Εξ. 8,1 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· εἰπὸν Ἀαρὼν τῷ ἀδελφῷ σου· ἔκτεινον τῇ χειρὶ τὴν ῥάβδον σου ἐπὶ τοὺς ποταμοὺς καὶ ἐπὶ τὰς διώρυγας καὶ ἐπὶ τὰ ἕλη καὶ ἀνάγαγε τοὺς βατράχους·

Εξ. 8,1 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “ειπέ στον αδελφόν σου τον Ααρών· Απλωσε με το χέρι την ράβδον σου στους ποταμούς και εις τας διώρυγας και εις τα έλη και βγάλε από εκεί βατράχους”.

Εξ. 8,2 - καὶ ἐξέτεινεν Ἀαρὼν τὴν χεῖρα ἐπὶ τὰ ὕδατα Αἰγύπτου καὶ ἀνήγαγε τοὺς βατράχους· καὶ ἀνεβιβάσθη ὁ βάτραχος καὶ ἐκάλυψε τὴν γῆν Αἰγύπτου.

Εξ. 8,2 - Ο Ααρών εξέτεινε την χείρα του με την ράβδον εις τα ύδατα της Αιγύπτου και έβγαλε βατράχους. Ανέβησαν οι βάτραχοι από τα ύδατα και εσκέπασαν όλην την χώραν της Αιγύπτου.

Εξ. 8,3 - ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ τῶν Αἰγυπτίων ταῖς φαρμακείαις αὐτῶν καὶ ἀνήγαγον τοὺς βατράχους ἐπὶ γῆν Αἰγύπτου.

Εξ. 8,3 - Αλλά και οι μάγοι των Αιγυπτίων έκαμαν τα ίδια με τας μαγείας των και έφεραν βατράχους εις την γην της Αιγύπτου.

Εξ. 8,4 - καὶ ἐκάλεσε Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν καὶ εἶπεν· εὔξασθε περὶ ἐμοῦ πρὸς Κύριον, καὶ περιελέτω τοὺς βατράχους ἀπ᾿ ἐμοῦ καὶ ἀπὸ τοῦ ἐμοῦ λαοῦ, καὶ ἐξαποστελῶ αὐτούς, καὶ θύσωσι τῷ Κυρίῳ.

Εξ. 8,4 - Καταπτοημένος ο Φαραώ από την πληγήν αυτήν εκάλεσε τον Μωϋσήν και τον Ααρών και τους είπε· “προσευχηθήτε δι' εμέ στον Θεόν, δια να αποσύρη και απομακρύνη τους βατράχους από εμέ και από τον λαόν μου, και εγώ θα αφήσω ελευθέρους τους Ισραηλίτας να προσφέρουν τας θυσίας των προς τον Κυριον”.

Εξ. 8,5 - εἶπε δὲ Μωυσῆς πρὸς Φαραώ· τάξαι πρός με πότε εὔξομαι περὶ σοῦ καὶ περὶ τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου ἀφανίσαι τοὺς βατράχους ἀπὸ σοῦ καὶ ἀπὸ τοῦ λαοῦ σου καὶ ἐκ τῶν οἰκιῶν ὑμῶν, πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται.

Εξ. 8,5 - Είπε δε ο Μωϋσής, προς τον Φαραώ· “όρισέ μου, πότε θέλεις να προσευχηθώ δια σέ, δια τους αυλικούς και τον λαόν σου, δια να εξαφανίση ο Θεός τους βατράχους από σένα, από τον λαόν σου και από τας οικίας σας. Δεν θα μείνουν παρά μόνον στον Νείλον ποταμόν”.

Εξ. 8,6 - ὁ δὲ εἶπεν· εἰς αὔριον. εἶπεν οὖν· ὡς εἴρηκας, ἵνα εἰδῇς ὅτι οὐκ ἔστι ἄλλος πλὴν Κυρίου·

Εξ. 8,6 - “Αύριον”, απήντησεν ο Φαραώ. Ο Μωϋσής είπε· “θα κάμω, όπως μου είπες, δια να μάθης καλά ότι δεν υπάρχει άλλος Θεός πλην του Κυρίου ημών.

Εξ. 8,7 - καὶ περιαιρεθήσονται οἱ βάτραχοι ἀπὸ σοῦ καὶ ἀπὸ τῶν οἰκιῶν ὑμῶν καὶ ἀπὸ τῶν ἐπαύλεων καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ σου, πλὴν ἐν τῷ ποταμῷ ὑπολειφθήσονται.

Εξ. 8,7 - Οι βάτραχοι θα περιμαζευθούν και θα απομακρυνθούν από σε, από τα σπίτια σας, από τα εξοχικά σας σπίτια, από τους αυλικούς σου και από τον λαόν σου. Δεν θα μείνουν παρά μόνον στον Νείλον ποταμόν”.

Εξ. 8,8 - ἐξῆλθε δὲ Μωυσῆς καὶ Ἀαρὼν ἀπὸ Φαραώ· καὶ ἐβόησε Μωυσῆς πρὸς Κύριον περὶ τοῦ ὁρισμοῦ τῶν βατράχων, ὡς ἐτάξατο Φαραώ.

Εξ. 8,8 - Εξήλθον ο Μωϋσής και ο Ααρών από τα ανάκτορα του Φαραώ. Ο Μωϋσής προσηυχήθη θερμώς προς τον Κυριον δια την εκδίωξιν των βατράχων, όπως είχεν υποσχεθή στον Φαραώ.

Εξ. 8,9 - ἐποίησε δὲ Κύριος καθάπερ εἶπε Μωυσῆς καὶ ἐτελεύτησαν οἱ βάτραχοι ἐκ τῶν οἰκιῶν καὶ ἐκ τῶν ἐπαύλεων καὶ ἐκ τῶν ἀγρῶν·

Εξ. 8,9 - Ο Κυριος έκαμεν όπως τον είχε παρακαλέσει ο Μωϋσής και εψόφησαν οι βάτραχοι, που υπήρχον εις τας οικίας, εις τα αγροτικά σπίτια και εις την ύπαιθρον.

Εξ. 8,10 - καὶ συνήγαγον αὐτοὺς θημωνίας θημωνίας, καὶ ὤζεσεν ἡ γῆ.

Εξ. 8,10 - Τους εμαζεψαν εις σωρούς-σωρούς οι Αιγύπτιοι και εγέμισεν η χώρα από την κακοσμίαν των αποσυντεθειμένων βατράχων.

Εξ. 8,11 - ἰδὼν δὲ Φαραὼ ὅτι γέγονεν ἀνάψυξις, ἐβαρύνθη ἡ καρδία αὐτοῦ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησε Κύριος.

Εξ. 8,11 - Ο Φαραώ όμως, όταν είδε ότι ήλθεν αναψυχή εις αυτόν και τον λαόν του από την εξαφάνισιν των βατράχων, εσικληρήνθη πάλιν και δεν υπήκουσεν εις όσα ο Κυριος είχε διατάξει δια του Μωϋσέως και του Ααρών.

Εξ. 8,12 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· εἰπὸν Ἀαρών, ἔκτεινον τῇ χειρὶ τὴν ῥάβδον σου καὶ πάταξον τὸ χῶμα τῆς γῆς, καὶ ἔσονται σκνῖφες ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι καὶ ἐν πάσῃ γῇ Αἰγύπτου.

Εξ. 8,12 - Είπε τότε ο Κυριος προς τον Μωϋσήν· “ειπέ στον Ααρών· Απλωσε με το χέρι την ράβδον σου και κτύπησε το χώμα της γης, και θα γίνουν σκνίπες, αι οποίαι θα επιπέσουν στους ανθρώπους και εις τα τετράποδα καθ' όλην την χώραν της Αιγύπτου”.

Εξ. 8,13 - ἐξέτεινεν οὖν Ἀαρὼν τῇ χειρὶ τὴν ῥάβδον καὶ ἐπάταξε τὸ χῶμα τῆς γῆς, καὶ ἐγένοντο οἱ σκνῖφες ἐν τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι, καὶ ἐν παντὶ χώματι τῆς γῆς ἐγένοντο οἱ σκνῖφες.

Εξ. 8,13 - Ηπλωσεν ο Ααρών δια της χειρός του την ράβδον, εκτύπησε το χώμα της γης και έγιναν σκνίπες. Εις τους ανθρώπους, εις τα τετράποδα, εις όλον το χώμα της γης έγιναν σκνίπες.

Εξ. 8,14 - ἐποίησαν δὲ ὡσαύτως καὶ οἱ ἐπαοιδοὶ ταῖς φαρμακείαις αὐτῶν ἐξαγαγεῖν τὸν σκνῖφα καὶ οὐκ ἠδύναντο. καὶ ἐγένοντο οἱ σκνῖφες ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσιν.

Εξ. 8,14 - Προσπάθησαν και οι μάγοι της Αιγύπτου με τας μαγείας των να βγάλουν σκνίπες από την γην, αλλά δεν το κατώρθωσαν. Αι σκνίπες όμως, που με το χέρι του Ααρών ανεπήδησαν εις ατελείωτα σμήνη από την γην, επέπεσαν στους ανθρώπους και εις τα ζώα.

Εξ. 8,15 - εἶπαν οὖν οἱ ἐπαοιδοὶ τῷ Φαραώ· δάκτυλος Θεοῦ ἐστι τοῦτο. καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθάπερ ἐλάλησε Κύριος.

Εξ. 8,15 - Είπαν τότε οι μάγοι προς τον Φαραώ· “δάκτυλος Θεού είναι τούτο”. Αλλά η καρδία του Φαραώ εοκληρύνθη περισσότερον και δεν υπήκουσεν εις όσα δια του Μωϋσέως και Ααρών διέταξεν ο Κυριος.

Εξ. 8,16 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ὄρθρισον τὸ πρωῒ καὶ στῆθι ἐναντίον Φαραώ· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται ἐπὶ τὸ ὕδωρ, καὶ ἐρεῖς πρὸς αὐτόν· τάδε λέγει Κύριος· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσωσιν ἐν τῇ ἐρήμῳ·

Εξ. 8,16 - Είπε πάλιν ο Κυριος προς τον Μωϋσήν· “Σηκω πολύ πρωί και στάσου ενώπιον του Φαραώ. Κατά την ώραν εκείνην αυτός θα εξέλθη προς

το ύδωρ του Νείλου και είπε προς αυτόν· Αυτά διατάσσει ο Κυριος· άφησε ελεύθερον τον λαόν μου να με λατρεύση εις την έρημον.

Εξ. 8,17 - ἐὰν δὲ μὴ βούλῃ ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐξαποστέλλω ἐπὶ σὲ καὶ ἐπὶ τοὺς θεράποντάς σου καὶ ἐπὶ τὸν λαόν σου καὶ ἐπὶ τοὺς οἴκους ὑμῶν κυνόμυιαν, καὶ πλησθήσονται αἱ οἰκίαι τῶν Αἰγυπτίων τῆς κυνομυίης καὶ εἰς τὴν γῆν, ἐφ᾿ ἧς εἰσιν ἐπ᾿ αὐτῆς.

Εξ. 8,17 - Εάν δεν θελήσης να αφήσης ελεύθερον τον λαόν μου, εγώ θα εξαποστείλω εναντίον σου και εναντίον των αυλικών σου και εναντίον του λαού σου και εις τα σπίτια σας σκυλόμυιγα, που κεντά οδυνηρώς ανθρώπους και ζώα. Τα σπίτια των Αιγυπτίων θα γεμίσουν από αυτήν την σκυλόμυιγαν εις κάθε μέρος της χώρας, όπου υπάρχουν Αιγύπτιοι·

Εξ. 8,18 - καὶ παραδοξάσω ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τὴν γῆν Γεσέμ, ἐφ᾿ ἧς ὁ λαός μου ἔπεστιν ἐπ᾿ αὐτῆς, ἐφ᾿ ἧς οὐκ ἔσται ἐκεῖ ἡ κυνόμυια, ἵνα εἰδῇς ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς πάσης τῆς γῆς.

Εξ. 8,18 - την ημέραν εκείνην θα δοξάσω πολύ εγώ την χώραν Γεσέμ, όπου κατοικεί ο λαός μου. Εις αυτήν μόνον δεν θα υπάρξη σκυλόμυιγα. Και τούτο, δια να μάθης ότι εγώ είμαι Κυριος ο Θεός όλης της γης.

Εξ. 8,19 - καὶ δώσω διαστολὴν ἀνὰ μέσον τοῦ ἐμοῦ λαοῦ καὶ ἀνὰ μέσον τοῦ σοῦ λαοῦ· ἐν δὲ τῇ αὔριον ἔσται τὸ σημεῖον τοῦτο ἐπὶ τῆς γῆς.

Εξ. 8,19 - Και θα διαχωρίσω τον λαόν μου από τον λαόν σου αύριον θα γίνη το σημείον τούτο εις την χώραν σου, δια του οποίου οι Αιγύπτιοι μόνον, και όχι οι Εβραίοι, θα τιμωρηθούν”.

Εξ. 8,20 - ἐποίησε δὲ Κύριος οὕτως, καὶ παρεγένετο ἡ κυνόμυια πλῆθος εἰς τοὺς οἴκους Φαραὼ καὶ εἰς τοὺς οἴκους τῶν θεραπόντων αὐτοῦ καὶ εἰς πᾶσαν τὴν γῆν Αἰγύπτου, καὶ ἐξωλοθρεύθη ἡ γῆ ἀπὸ τῆς κυνομυίης.

Εξ. 8,20 - Εκαμεν ο Κυριος όπως προείπε. Και ήλθαν σμήνη από σκυλόμυιγαν μέσα εις τα ανάκτορα του Φαραώ, εις τα σπίτια των αυλικών του, ηπλώθησαν εις όλην την γην της Αιγύπτου. Και κατεστράφη η χώρα της Αιγύπτου από την σκυλόμυιγαν.

Εξ. 8,21 - ἐκάλεσε δὲ Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν λέγων· ἐλθόντες θύσατε Κυρίῳ τῷ Θεῷ ὑμῶν ἐν τῇ γῇ.

Εξ. 8,21 - Εκάλεσεν ο Φαραώ τον Μωϋσήν και τον Ααρών και τους είπε· “πηγαίνετε και θυσιάσετε στον Κυριον και Θεόν σας, όχι όμως εις την έρημον αλλά εντός της χώρας της Αιγύπτου”.

Εξ. 8,22 - καὶ εἶπε Μωυσῆς· οὐ δυνατὸν γενέσθαι οὕτως· τὰ γὰρ βδελύγματα τῶν Αἰγυπτίων θύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν· ἐὰν γὰρ θύσωμεν τὰ βδελύγματα τῶν Αἰγυπτίων ἐναντίον αὐτῶν, λιθοβοληθησόμεθα.

Εξ. 8,22 - Ο Μωϋσής απήντησε· “δεν είναι δυνατόν να γίνη όπως λέγεις. Διότι ημείς θα θυσιάσωμεν στον Κυριον και Θεόν μας ζώα, των οποίων η

σφαγή θα θεωρηθή αποκρουστικόν και μισητόν γεγονός ενώπιον των Αιγυπτίων και θα τους εξερεθίση, ώστε να μας λιθοβολήσουν.

Εξ. 8,23 - ὁδὸν τριῶν ἡμερῶν πορευσόμεθα εἰς τὴν ἔρημον καὶ θύσομεν τῷ Θεῷ ἡμῶν, καθάπερ εἶπε Κύριος ἡμῖν.

Εξ. 8,23 - Θα δαδίσωμεν τρεις ημέρας προς την έρημον εκτός της Αιγύπτου και εκεί θα θυσιάσωμεν, όπως μας έχει διατάξει ο Κυριος".

Εξ. 8,24 - καὶ εἶπε Φαραώ· ἐγὼ ἀποστέλλω ὑμᾶς, καὶ θύσατε τῷ Θεῷ ὑμῶν ἐν τῇ ἐρήμῳ, ἀλλ᾿ οὐ μακρὰν ἀποτενεῖτε πορευθῆναι· εὔξασθε οὖν περὶ ἐμοῦ πρὸς Κύριον.

Εξ. 8,24 - Είπε τότε ο Φαραώ· "συγκατατίθεμαι. Εγώ σας αφήνω ελευθέρους να αναχωρήσετε. Θυσιάσατε εις την έρημον προς τον Θεόν σας, αλλά μη συνεχίσετε την πορείαν σας και πέραν της ερήμου. Προσευχηθήτε λοιπόν και περί εμού στον Κυριον".

Εξ. 8,25 - εἶπε δὲ Μωυσῆς· Ὅδε ἐγὼ ἐξελεύσομαι ἀπὸ σοῦ καὶ εὔξομαι πρὸς τὸν Θεόν, καὶ ἀπελεύσεται ἡ κυνόμυια καὶ ἀπὸ τῶν θεραπόντων σου καὶ ἀπὸ τοῦ λαοῦ σου αὔριον· μὴ προσθῇς ἔτι, Φαραώ, ἐξαπατῆσαι τοῦ μὴ ἐξαποστεῖλαι τὸν λαὸν θῦσαι Κυρίῳ.

Εξ. 8,25 - Είπεν ο Μωυσής· "μάλιστα· ιδού εγώ θα εξέλθω από τα ανάκτορά σου, θα προσευχηθώ προς τον Θεόν και θα εξαφανισθή αύριον η σκυλόμυιγα από τους αυλικούς σου και από τον λαόν σου. Αλλά μη θελήσης και πάλιν, Φαραώ, να μας εξαπατήσης και να μη αφήσης ελεύθερον τον λαόν να θυσιάση προς τον Κυριον".

Εξ. 8,26 - ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραὼ καὶ ηὔξατο πρὸς τὸν Θεόν·

Εξ. 8,26 - Εξήλθεν ο Μωϋσής από τα ανάκτορα του Φαραώ και προσηυχήθη προς τον Θεόν.

Εξ. 8,27 - ἐποίησε δὲ Κύριος καθάπερ εἶπε Μωυσῆς, καὶ περιεῖλε τὴν κυνόμυιαν ἀπὸ Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ καὶ τοῦ λαοῦ αὐτοῦ, καὶ οὐ κατελείφθη οὐδεμία.

Εξ. 8,27 - Ο δε Κυριος εξεπλήρωσε την προσευχήν του Μωϋσέως και απεμάκρυνε την σκυλόμυιγαν από τον Φαραώ, από τους αυλικούς του, από τον λαόν του, ώστε ούτε μία πλέον να μη υπολειφθή.

Εξ. 8,28 - καὶ ἐβάρυνε Φαραὼ τὴν καρδίαν αὐτοῦ καὶ ἐπὶ τοῦ καιροῦ τούτου, καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τὸν λ Εξ. 8,28 - Η καρδία όμως του Φαραώ και κατά την περίστασιν αυτήν εσκληρύνθη πάλιν και δεν ηθέλησε να αποστείλη ελεύθερον τον ισραηλιτικόν λαόν.

## ΕΞΟΔΟΣ 9

Εξ. 9,1 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· εἴσελθε πρὸς Φαραὼ καὶ ἐρεῖς αὐτῷ· τάδε λέγει Κύριος ὁ Θεὸς τῶν Ἑβραίων· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα μοι λατρεύσωσιν·

Εξ. 9,1 - Είπε τότε ο Κυριος προς τον Μωϋσήν· “πήγαινε πάλιν προς τον Φαραώ και είπέ του· Αυτά λέγει Κυριος ο Θεός των Εβραίων· άφησε ελεύθερον τον λαόν μου, δια να με λατρεύση.

Εξ. 9,2 - εἰ μὲν οὖν μή βούλει ἐξαποστεῖλαι τὸν λαόν μου, ἀλλὰ ἔτι ἐγκρατεῖς αὐτοῦ,

Εξ. 9,2 - Εάν όμως δεν θελήσης να αποστείλης ελεύθερον τον λαόν μου, αλλά επιχειρήσης και πάλιν να τον κατακρατήσης,

Εξ. 9,3 - ἰδοὺ χεὶρ Κυρίου ἐπέσται ἐν τοῖς κτήνεσί σου τοῖς ἐν τοῖς πεδίοις, ἔν τε τοῖς ἵπποις καὶ ἐν τοῖς ὑποζυγίοις καὶ ταῖς καμήλοις καὶ βουσὶ καὶ προβάτοις, θάνατος μέγας σφόδρα.

Εξ. 9,3 - ιδού η τιμωρός χειρ του Κυρίου θα επέλθη εις τα ζώα σου που βόσκουν εις τας πεδιάδας, στους ίππους, εις τα υποζύγια, εις τας καμήλους, εις τα βόδια και εις τα πρόβατα, και θα επιπέση εις αυτά θανατικό, πολύ μεγάλη καταστροφή.

Εξ. 9,4 - καὶ παραδοξάσω ἐγὼ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνὰ μέσον τῶν κτηνῶν τῶν Αἰγυπτίων καὶ ἀνὰ μέσον τῶν κτηνῶν τῶν υἱῶν Ἰσραήλ· οὐ τελευτήσει ἀπὸ πάντων τῶν τοῦ Ἰσραὴλ υἱῶν ῥητόν.

Εξ. 9,4 - Παλιν όμως εγώ και εις την περίστασιν αυτήν κατά τρόπον θαυματουργικόν και εις δόξαν του λαού μου, θα χωρίσω τα κτήνη των Αιγυπτίων από τα κτήνη του ισραηλιτικού λαού, ώστε κανένα από τα ζώα των υιών του Ισραήλ να μη αποθάνη”.

Εξ. 9,5 - καὶ ἔδωκεν ὁ Θεὸς ὅρον λέγων· ἐν τῇ αὔριον ποιήσει Κύριος τὸ ῥῆμα τοῦτο ἐπὶ τῆς γῆς.

Εξ. 9,5 - Ωρισε δε ο Θεός και τον χρόνον του θαύματος και είπε· “κατά την αυριανήν ημέραν θα πραγματοποιήση ο Κυριος τον λόγον του αυτόν εις την χώραν της Αιγύπτου”.

Εξ. 9,6 - καὶ ἐποίησε Κύριος τὸ ῥῆμα τοῦτο τῇ ἐπαύριον, καὶ ἐτελεύτησε πάντα τὰ κτήνη τῶν Αἰγυπτίων, ἀπὸ δὲ τῶν κτηνῶν τῶν υἱῶν Ἰσραὴλ οὐκ ἐτελεύτησεν οὐδέν.

Εξ. 9,6 - Επραγματοποίησεν όντως ο Κυριος την απειλήν του αυτήν κατά την επομένην ημέραν και εψόφησαν όλα τα ζώα των Αιγυπτίων, ενώ από τα ζώα των Ισραηλιτών δεν απέθανεν ούτε ένα.

Εξ. 9,7 - ἰδὼν δὲ Φαραὼ ὅτι οὐκ ἐτελεύτησεν ἀπὸ πάντων τῶν κτηνῶν τῶν υἱῶν Ἰσραὴλ οὐδέν, ἐβαρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ ἐξαπέστειλε τὸν λαόν.

Εξ. 9,7 - Οταν επληροφορήθη ο Φαραώ ότι κανένα από τα ζώα των Ισραηλιτών δεν απέθανε, σκεφθείς ίσως ότι αρκούν αυτά δια τους

Αιγυπτίους, εσκλήρυνε την καρδίαν του και δεν αφήκε ελεύθερον τον ισραηλιτικόν λαόν να αναχωρήση.

Εξ. 9,8 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων· λάβετε ὑμεῖς πλήρεις τὰς χεῖρας αἰθάλης καμιναίας, καὶ πασάτω Μωυσῆς εἰς τὸν οὐρανὸν ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ,

Εξ. 9,8 - Ο Κυριος είπε τότε προς τον Μωϋσήν και τον Ααρών· “πάρετε και γεμίστε τα χέρια σας από καπνιά καμίνου και ας σκορπίση αυτήν ο Μωϋσής στον ουρανόν ενώπιον του Φαραώ και ενώπιον των αυλικών αυτού.

Εξ. 9,9 - καὶ γενηθήτω κονιορτὸς ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου, καὶ ἔσται ἐπὶ τούς ἀνθρώπους καὶ ἐπὶ τὰ τετράποδα ἕλκη, φλυκτίδες ἀναζέουσαι, ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι καὶ ἐν πάσῃ γῇ Αἰγύπτου.

Εξ. 9,9 - Και θα γίνη κονιορτός εις όλην την χώραν της Αιγύπτου. Αυτός ο κονιορτός, καθώς θα πέφτη επάνω στους ανθρώπους και εις τα τετράποδα, θα προκαλέση έλκη και καυτερές φουσκάλες εις ανθρώπους και εις ζώα καθ' όλην την χώραν της Αιγύπτου”.

Εξ. 9,10 - καὶ ἔλαβε τὴν αἰθάλην τῆς καμιναίας ἐναντίον Φαραώ, καὶ ἔπασεν αὐτὴν Μωυσῆς εἰς τὸν οὐρανόν, καὶ ἐγένετο ἕλκη, φλυκτίδες ἀναζέουσαι, ἔν τε τοῖς ἀνθρώποις καὶ ἐν τοῖς τετράποσι.

Εξ. 9,10 - Ο Μωϋσής επήρε την καπνιάν από την κάμινον και ενώπιον του Φαραώ εσκόρπισεν αυτήν στον ουρανόν. Αμέσως δε παρουσιάσθησαν πληγαί και καυτερές φουσκάλες στους ανθρώπους και εις τα τετράποδα.

Εξ. 9,11 - καὶ οὐκ ἠδύναντο οἱ φαρμακοὶ στῆναι ἐναντίον Μωυσῆ διὰ τὰ ἕλκη· ἐγένετο γὰρ τὰ ἕλκη ἐν τοῖς φαρμακοῖς καὶ ἐν πάσῃ γῇ Αἰγύπτῳ.

Εξ. 9,11 - Και οι ίδιοι οι μάγοι δεν ημπορούσαν να σταθούν ενώπιον του Μωϋσέως εξ αιτίας των πληγών των. Διότι αι πληγαί αυταί επροξενήθησαν στους μάγους και εις ολόκληρον την Αίγυπτον.

Εξ. 9,12 - ἐσκλήρυνε δὲ Κύριος τὴν καρδίαν Φαραώ, καὶ οὐκ εἰσήκουσεν αὐτῶν, καθὰ συνέταξε Κύριος.

Εξ. 9,12 - Ο Κυριος επέτρεψε να σκληρυνθή και πάλιν η καρδία του αμετανοήτου Φαραώ και έτσι εκείνος δεν υπήκουσεν στον Μωϋσέα και στον Ααρών, που του διεβίβασαν την εντολήν του Κυρίου.

Εξ. 9,13 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ὄρθρισον τὸ πρωΐ καὶ στῆθι ἐναντίον Φαραὼ καὶ ἐρεῖς πρὸς αὐτόν· τάδε λέγει Κύριος ὁ Θεὸς τῶν Ἑβραίων· ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι·

Εξ. 9,13 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “σήκω πολύ πρωϊ, στάσου ενώπιον του Φαραώ και είπε προς αυτόν· Ταδε λέγει Κυριος ο Θεός των Εβραίων· απόστειλε ελεύθερον τον λαόν μου, δια να με λατρεύσουν.

Εξ. 9,14 - ἐν τῷ γὰρ νῦν καιρῷ ἐγὼ ἐξαποστέλλω πάντα τὰ συναντήματά μου εἰς τὴν καρδίαν σου καὶ τῶν θεραπόντων σου καὶ τοῦ λαοῦ σου, ἵνα εἰδῇς ὅτι οὐκ ἔστιν ὡς ἐγὼ ἄλλος ἐν πάσῃ τῇ γῇ·

Εξ. 9,14 - Εάν όμως και πάλιν παρακούσης, θα αποστείλω κατά τον καιρόν αυτόν όλας τας τιμωρίας μου εις την καρδίαν σου, εις την καρδίαν των αυλικών σου και του λαού σου, δια να μάθης ότι δεν υπάρχει εις όλην την γην άλλος Θεός, όπως εγώ.

Εξ. 9,15 - νῦν γὰρ ἀποστείλας τὴν χεῖρα πατάξω σε, καὶ τὸν λαόν σου θανατώσω, καὶ ἐκτριβήσῃ ἀπὸ τῆς γῆς·

Εξ. 9,15 - Διότι τώρα θα απλώσω το παντοδύναμο χέρι μου, θα κτυπήσω σέ, θα θανατώσω τον λαόν σου, και θα ξεπαστρευθής από την γην.

Εξ. 9,16 - καὶ ἕνεκεν τούτου διετηρήθης, ἵνα ἐνδείξωμαι ἐν σοὶ τὴν ἰσχύν μου, καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ.

Εξ. 9,16 - Μέχρι τώρα διετηρήθης εις την ζωήν, δια να σου δείξω την άπειρον δύναμίν μου και να δοξασθή το όνομά μου εις όλην την οικουμένην.

Εξ. 9,17 - ἔτι οὖν σὺ ἐμποιῇ τοῦ λαοῦ μου τοῦ μὴ ἐξαποστεῖλαι αὐτούς;

Εξ. 9,17 - Ακόμη λοιπόν συ θα πράξης τα ίδια εναντίον του λαού μου και δεν θα τον αποστείλης ελεύθερον;

Εξ. 9,18 - ἰδοὺ ἐγὼ ὕω ταύτην τὴν ὥραν αὔριον χάλαζαν πολλὴν σφόδρα, ἥτις τοιαύτη οὐ γέγονεν ἐν Αἰγύπτῳ, ἀφ᾿ ἧς ἡμέρας ἔκτισται ἕως τῆς ἡμέρας ταύτης.

Εξ. 9,18 - Ιδού εγώ ρίπτω αυτήν την ώραν αύριον πυκνήν και μεγάλην χάλαζαν, τόσην πολλήν όση ποτέ δεν έχει πέσει επί της Αιγύπτου, από την ημέραν που εκτίσθη μέχρι σήμερον.

Εξ. 9,19 - νῦν οὖν κατάσπευσον συναγαγεῖν τὰ κτήνη σου καὶ ὅσα σοί ἐστιν ἐν τῷ πεδίῳ· πάντες γὰρ οἱ ἄνθρωποι καὶ τὰ κτήνη, ὅσα ἐὰν εὑρεθῇ ἐν τοῖς πεδίοις καὶ μὴ εἰσέλθῃ εἰς οἰκίαν, πέσῃ δὲ ἐπ᾿ αὐτὰ ἡ χάλαζα, τελευτήσει.

Εξ. 9,19 - Τωρα λοιπόν σπεύσε χωρίς αργοπορίαν να μαζέψης τα κατοικίδια ζώα σου και όσα άλλα ακόμη ευρίσκονται εις τας πεδιάδας, διότι όλοι, άνθρωποι και ζώα, που θα ευρεθούν εις τας πεδιάδας και δεν θα εισέλθουν εις τας οικίας, θα πέση δε χάλαζα επάνω των, θα θανατωθούν”.

Εξ. 9,20 - ὁ φοβούμενος τὸ ῥῆμα Κυρίου τῶν θεραπόντων Φαραὼ συνήγαγε τὰ κτήνη αὐτοῦ εἰς τοὺς οἴκους·

Εξ. 9,20 - Καθένας από τους αυλικούς του Φαραώ, που ευλαβείτο τα λόγια του Κυρίου εμάζευσε τα ζώα του στους σταύλους των.

Εξ. 9,21 - ὃς δὲ μὴ προσέσχε τῇ διανοίᾳ εἰς τὸ ῥῆμα Κυρίου, ἀφῆκε τὰ κτήνη ἐν τοῖς πεδίοις.

Εξ. 9,21 - Οποιος όμως δεν έδωσε προσοχήν στον λόγον του Κυρίου, αφήκε τα ζώα του εις τας πεδιάδας.

Εξ. 9,22 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἔκτεινον τὴν χεῖρά σου εἰς τὸν οὐρανόν, καὶ ἔσται χάλαζα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου, ἐπί τε τοὺς ἀνθρώπους καὶ τὰ κτήνη καὶ ἐπὶ πᾶσαν βοτάνην τὴν ἐπὶ τῆς γῆς.

Εξ. 9,22 - Την άλλην ημέραν είπεν ο Κυριος προς τον Μωϋσήν· "άπλωσε το χέρι σου στον ουρανόν και θα πέση χάλαζα εις όλην την Αίγυπτον εναντίον των ανθρώπων, και των ζώων και επάνω εις όλην την χλόην της γης".

Εξ. 9,23 - ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα εἰς τὸν οὐρανόν, καὶ Κύριος ἔδωκε φωνὰς καὶ χάλαζαν, καὶ διέτρεχε τὸ πῦρ ἐπὶ τῆς γῆς, καὶ ἔβρεξε Κύριος χάλαζαν ἐπὶ πᾶσαν γῆν Αἰγύπτου.

Εξ. 9,23 - Ηπλωσεν ο Μωυσής το χέρι του στον ουρανόν, και ο Κυριος έδωσε βροντάς και έβρεξε χάλαζαν, ενώ το πυρ των αστραπών διέτρεχε την γην. Και έβρεξεν ο Κυριος φοβεράν χάλαζαν εις όλην την χώραν της Αιγύπτου.

Εξ. 9,24 - ἦν δὲ ἡ χάλαζα καὶ τὸ πῦρ φλογίζον ἐν τῇ χαλάζῃ· ἡ δὲ χάλαζα πολλὴ σφόδρα, ἥτις τοιαύτη οὐ γέγονεν ἐν Αἰγύπτῳ, ἀφ᾿ ἧς ἡμέρας γεγένηται ἐπ᾿ αὐτῆς ἔθνος.

Εξ. 9,24 - Καθώς δε η χάλαζα έπιπτεν εις την γην φλόγες αστραπών ανεμιγνύοντο με αυτήν. Η χάλαζα ήτο πολλή πάρα πολλή, ομοία της οποίας ποτέ άλλοτε δεν είχε πέσει εις την Αίγυπτον από της εποχής, κατά την οποίαν ωργανώθη εις αυτήν το κράτος των Αιγυπτίων.

Εξ. 9,25 - ἐπάταξε δὲ ἡ χάλαζα ἐν πάσῃ γῇ Αἰγύπτου ἀπὸ ἀνθρώπου ἕως κτήνους, καὶ πᾶσαν βοτάνην τὴν ἐν τῷ πεδίῳ ἐπάταξεν ἡ χάλαζα, καὶ πάντα τὰ ξύλα τὰ ἐν τοῖς πεδίοις συνέτριψεν ἡ χάλαζα·

Εξ. 9,25 - Εκτύπησεν η χάλαζα και εφόνευσεν εις όλην την Αίγυπτον ανθρώπους και ζώα. Εκτύπησε και κατέστρεψε όλην την χλόην των πεδιάδων και συνέτριψεν όλα τα δένδρα της χώρας.

Εξ. 9,26 - πλὴν ἐν γῇ Γεσέμ, οὗ ἦσαν οἱ υἱοὶ Ἰσραήλ, οὐκ ἐγένετο ἡ χάλαζα.

Εξ. 9,26 - Εις την Γεσέμ όμως, όπου ήσαν οι Ισραηλίται, δεν έπεσε χάλαζα.

Εξ. 9,27 - ἀποστείλας δὲ Φαραὼ ἐκάλεσε Μωυσῆν καὶ Ἀαρὼν καὶ εἶπεν αὐτοῖς· ἡμάρτηκα τὸ νῦν· ὁ Κύριος δίκαιος, ἐγὼ δὲ καὶ ὁ λαός μου ἀσεβεῖς.

Εξ. 9,27 - Καθ' ον χρόνον έπιπτεν η καταστρεπτική χάλαζα, έστειλεν ο Φαραώ ανθρώπους, εκάλεσε τον Μωϋσήν και τον Ααρών και καταφοβισμένος από την φοβεράν πληγήν τους είπεν· "ημάρτησα αυτήν την φοράν ενώπιον του Κυρίου. Ο Θεός είναι δίκαιος, εγώ δε και ο λαός μου είμεθα ασεβείς.

Εξ. 9,28 - εὔξασθε οὖν περὶ ἐμοῦ πρὸς Κύριον, καὶ παυσάσθω τοῦ γενηθῆναι φωνὰς Θεοῦ καὶ χάλαζαν καὶ πῦρ· καὶ ἐξαποστελῶ ὑμᾶς, καὶ

οὐκέτι προστεθήσεσθε μένειν.

Εξ. 9,28 - Προχευχηθήτε, λοιπόν, υπέρ εμού προς τον Θεόν δια να παύσουν αι βρονταί του Θεού, η χάλαζα και το πυρ και εγώ θα σας αφήσω ελευθέρους να αναχωρήσετε. Δεν θα μείνετε πλέον εδώ”.

Εξ. 9,29 - εἶπε δὲ αὐτῷ Μωυσῆς· ὡς ἂν ἐξέλθω τὴν πόλιν, ἐκπετάσω τὰς χεῖράς μου πρὸς τὸν Κύριον, καὶ αἱ φωναὶ παύσονται, καὶ ἡ χάλαζα καὶ ὁ ὑετὸς οὐκ ἔσται ἔτι, ἵνα γνῷς ὅτι τοῦ Κυρίου ἡ γῆ.

Εξ. 9,29 - Ο Μωϋσής του απήντησεν· “αμέσως μόλις εξέλθω από την πόλιν θα υψώσω τα χέρια μου προς τον Κυριον και θα παύσουν αι βρονταί, θα σταματήση η χάλαζα και η βροχή, δια να μάθης ότι η γη όλη ανηκεί στον Κυριον.

Εξ. 9,30 - καὶ σὺ καὶ οἱ θεράποντές σου, ἐπίσταμαι ὅτι οὐδέπω πεφόβησθε τὸν Κύριον.

Εξ. 9,30 - Αλλά γνωρίζω καλά ότι δεν έχετε άκομη φοβηθή τον Κυριον, ούτε συ, ούτε οι αυλικοί σου”.

Εξ. 9,31 - τὸ δὲ λίνον καὶ ἡ κριθὴ ἐπλήγη· ἡ γὰρ κριθὴ παρεστηκυῖα, τὸ δὲ λίνον σπερματίζον.

Εξ. 9,31 - Από την χάλαζαν είχε καταστραφή και το λινάρι και η κριθή· διότι η μεν κριθή είχε πετάξει τότε μεγάλον βλαστόν, το δε λινάρι είχε δέσει τα σπέρματά του.

Εξ. 9,32 - ὁ δὲ πυρὸς καὶ ἡ ὀλύρα οὐκ ἐπλήγησαν, ὄψιμα γὰρ ἦν.

Εξ. 9,32 - Ο σίτος όμως και η ολύρα (είδος λευκού σίτου) δεν κατεστράφησαν, διότι ήσαν όψιμα.

Εξ. 9,33 - ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραὼ ἐκτὸς τῆς πόλεως καὶ ἐξέτεινε τὰς χεῖρας πρὸς Κύριον, καὶ αἱ φωναὶ ἐπαύσαντο καὶ ἡ χάλαζα, καὶ ὁ ὑετὸς οὐκ ἔσταξεν ἔτι ἐπὶ τὴν γῆν.

Εξ. 9,33 - Εξήλθεν ο Μωϋσής από τα ανάκτορα του Φαραώ και, έξω από την πόλιν, ύψωσε τα χέρια του προς τον Θεόν. Αμέσως δε αι βρονταί και η χάλαζα εσταμάτησαν και ούτε σταγών βροχής δεν έσταξεν εις την γην.

Εξ. 9,34 - ἰδὼν δὲ Φαραὼ ὅτι πέπαυται ὁ ὑετὸς καὶ ἡ χάλαζα καὶ αἱ φωναί, προσέθετο τοῦ ἁμαρτάνειν καὶ ἐβάρυνεν αὐτοῦ τὴν καρδίαν καὶ τῶν θεραπόντων αὐτοῦ.

Εξ. 9,34 - Ο Φαραώ ειδών ότι εσταμάτησαν η βροχή και η χάλαζα και οι κεραυνοί, ημάρτησε και πάλιν ενώπιον του Θεού, και εσκληρύνθη η καρδία αυτού και των αυλικών του.

Εξ. 9,35 - καὶ ἐσκληρύνθη ἡ καρδία Φαραώ, καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς Ἰσραήλ, καθάπερ ἐλάλησε Κύριος τῷ Μωυσῇ.

Εξ. 9,35 - Εσκληρύνθη η καρδία του Φαραώ και δεν αφήκεν ελευθέρους τους Ισραηλίτας να αναχωρήσουν, όπως τον είχε διατάξει δια του Μωϋσέως ο Θεός.

ΕΞΟΔΟΣ 10

Εξ. 10,1 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν λέγων· εἴσελθε πρὸς Φαραώ· ἐγὼ γὰρ ἐσκλήρυνα αὐτοῦ τὴν καρδίαν καὶ τῶν θεραπόντων αὐτοῦ, ἵνα ἑξῆς ἐπέλθῃ τὰ σημεῖα ταῦτα ἐπ᾿ αὐτούς·

Εξ. 10,1 - Είπεν ο Κυριος προς τον Μωϋσήν· "είσελθε εις τα ανάκτορα προς τον Φαραώ. Εγώ δια την κακότητά του παρεχώρησα να σκληρυνθή η καρδία αυτού και των αυλικών του δια να έλθουν εναντίον αυτών ως τιμωρία εν συνεχεία τα θαύματά μου.

Εξ. 10,2 - ὅπως διηγήσησθε εἰς τὰ ὦτα τῶν τέκνων ὑμῶν καὶ τοῖς τέκνοις τῶν τέκνων ὑμῶν, ὅσα ἐμπέπαιχα τοῖς Αἰγυπτίοις, καὶ τὰ σημεῖά μου, ἃ ἐποίησα ἐν αὐτοῖς, καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος.

Εξ. 10,2 - Θα γίνουν αυτά, δια να διηγήσθε και σεις εις τα τέκνα σας και εις τα παιδιά των τέκνων σας, πως και με πόσας τιμωρίας επαίδευσα εγώ τους Αιγυπτίους, να αναφέρετε τα θαύματά μου, τα οποία έκαμα εις αυτούς, δια να μάθετε ότι εγώ είμαι ο παντοδύναμος Κυριος".

Εξ. 10,3 - εἰσῆλθε δὲ Μωυσῆς καὶ Ἀαρὼν ἐναντίον Φαραὼ καὶ εἶπαν αὐτῷ· τάδε λέγει Κύριος ὁ Θεὸς τῶν Ἑβραίων· ἕως τίνος οὐ βούλῃ ἐντραπῆναί με; ἐξαπόστειλον τὸν λαόν μου, ἵνα λατρεύσωσί μοι.

Εξ. 10,3 - Ανήλθεν ο Μωϋσής και ο Ααρών εις τα ανάκτορα του Φαραώ, παρουσιάσθησαν ενώπιον αυτού και του είπαν· "Αυτά λέγει Κυριος ο Θεός των Εβραίων· Εως πότε δεν θέλεις να υποχωρήσης εις εμέ; Αφησε ελεύθερον τον λαόν μου, δια να με λατρεύσουν.

Εξ. 10,4 - ἐὰν δὲ μὴ θέλῃς σὺ ἐξαποστεῖλαι τὸν λαόν μου, ἰδοὺ ἐγὼ ἐπάγω ταύτην τὴν ὥραν αὔριον ἀκρίδα πολλὴν ἐπὶ πάντα τὰ ὅριά σου,

Εξ. 10,4 - Εάν όμως δεν θελήσης να αποστείλης ελεύθερον τον λαόν μου, ιδού εγώ επιφέρω αύριον αυτήν την ώραν πολλήν ακρίδα επάνω εις όλην την έκτασιν της χώρας σου.

Εξ. 10,5 - καὶ καλύψει τὴν ὄψιν τῆς γῆς, καὶ οὐ δυνήσῃ κατιδεῖν τὴν γῆν, καὶ κατέδεται πᾶν τὸ περισσὸν τῆς γῆς τὸ καταλειφθέν, ὃ κατέλιπεν ὑμῖν ἡ χάλαζα, καὶ κατέδεται πᾶν ξύλον τὸ φυόμενον ὑμῖν ἐπὶ τῆς γῆς·

Εξ. 10,5 - Και θα σκεπάση αυτή την επιφάνειαν της γης και δεν θα ημπορής να ίδης το έδαφος. Αυτή θα καταφάγη ο,τι απέμεινεν εις την χώραν σου, ο,τι χλωρό σας αφήκε η χάλαζα. Θα καταφάγη και κάθε δένδρον, το οποίον φυτρώνει εις την χώραν σας.

Εξ. 10,6 - καὶ πλησθήσονταί σου αἱ οἰκίαι καὶ αἱ οἰκίαι τῶν θεραπόντων σου καὶ πᾶσαι αἱ οἰκίαι ἐν πάσῃ γῇ τῶν Αἰγυπτίων, ἃ οὐδέποτε ἑωράκασιν οἱ πατέρες σου, οὐδ᾿ οἱ πρόπαπποι αὐτῶν, ἀφ᾿ ἧς ἡμέρας γεγόνασιν ἐπὶ

τῆς γῆς ἕως τῆς ἡμέρας ταύτης. καὶ ἐκκλίνας Μωυσῆς ἐξῆλθεν ἀπὸ Φαραώ.

Εξ. 10,6 - Από το πλήθος των ακρίδων θα γεμίσουν τα ανάκτορά σου, αι οικίαι των αυλικών σου και όλαι αι οικίαι εις όλην την χώραν της Αιγύπτου. Γεγονότα τα οποία ποτέ δεν είδαν οι πατέρες σου, ούτε οι προπάπποι αυτών από την ημέραν που εγεννήθησαν εις την χώραν αυτήν μέχρι σήμερον, θα πραγματοποιηθούν αύριον". Είπεν ο Μωϋσής και στραφείς ανεχώρησεν από τα ανάκτορα του Φαραώ.

Εξ. 10,7 - καὶ λέγουσιν οἱ θεράποντες Φαραὼ πρὸς αὐτόν· ἕως τίνος ἔσται τοῦτο ἡμῖν σκῶλον; ἐξαπόστειλον τοὺς ἀνθρώπους, ὅπως λατρεύσωσι τῷ Θεῷ αὐτῶν· ἢ εἰδέναι βούλῃ ὅτι ἀπόλωλεν Αἴγυπτος;

Εξ. 10,7 - Οι αυλικοί του Φαραώ είπαν τότε προς αυτόν· "έως πότε θα έχωμεν αυτό το βάσανο με τους Ισραηλίτας; Στειλε τους ελευθέρους τους ανθρώπους αυτούς να λατρεύσουν τον Θεόν των· η θέλεις να μάθης ότι κατεστράφη η Αίγυπτος και έπειτα να τους αφήσης;"

Εξ. 10,8 - καὶ ἀπέστρεψαν τόν τε Μωυσῆν καὶ Ἀαρὼν πρὸς Φαραώ, καὶ εἶπεν αὐτοῖς· πορεύεσθε καὶ λατρεύσατε Κυρίῳ τῷ Θεῷ ὑμῶν· τίνες δὲ καὶ τίνες εἰσὶν οἱ πορευόμενοι;

Εξ. 10,8 - Οι αυλικοί του Φαραώ τρομοκρατημένοι από τας μέχρι της ημέρας εκείνης πληγάς ωδήγησαν πάλιν τον Μωϋσήν και τον Ααρών προς τον Φαραώ. Ο οποίος και τους είπε· "πηγαίνετε να λατρεύσετε Κυριον τον Θεόν σας. Αλλά ποίοι και ποίοι είναι εκείνοι, οι οποίοι θα πορευθούν δια τον σκοπόν αυτόν;"

Εξ. 10,9 - καὶ λέγει Μωυσῆς· σὺν τοῖς νεανίσκοις καὶ πρεσβυτέροις πορευσόμεθα, σὺν τοῖς υἱοῖς καὶ θυγατράσι καὶ προβάτοις καὶ βουσὶν ἡμῶν· ἔστι γὰρ ἑορτὴ Κυρίου τοῦ Θεοῦ ἡμῶν.

Εξ. 10,9 - Ο Μωϋσής του απήντησε· "θα πορευθώμεν μαζή με τους νέους και τους γέροντας, με τους υιούς και τας θυγατέρας μας, με τα πρόβατα και τα βόδια μας και τούτο, διότι η ημέρα αυτή θα είναι εορτή Κυρίου του Θεού μας".

Εξ. 10,10 - καὶ εἶπε πρὸς αὐτούς· ἔστω οὕτω, Κύριος μεθ᾽ ὑμῶν· καθότι ἀποστέλλω ὑμᾶς, μὴ καὶ τὴν ἀποσκευὴν ὑμῶν; ἴδετε ὅτι πονηρία πρόσκειται ὑμῖν.

Εξ. 10,10 - Ο Φαραώ είπε προς αυτούς· "ας γίνη όπως είπατε, ο Κυριος ας είναι μαζή σας· επειδή αφήνω σας ελευθέρους να αναχωρήσετε, μήπως σκέπτεσθε να πάρετε μαζή σας και τα παιδιά σας; Προσέξατε, διότι πιθανόν να κρύπτη κάποιαν πονηρίαν η πάνδημος αυτή αναχώρησίς σας. Ισως σκέπτεσθε να δραπετεύσετε.

Εξ. 10,11 - μὴ οὕτως· πορευέσθωσαν δὲ οἱ ἄνδρες, καὶ λατρευσάτωσαν τῷ Θεῷ· τοῦτο γὰρ αὐτοὶ ἐκζητεῖτε. ἐξέβαλον δὲ αὐτοὺς ἀπὸ προσώπου Φαραώ.

Εξ. 10,11 - Αλλά δεν θα γίνη έτσι η αναχώρησίς σας. Ας πορευθούν μόνον οι άνδρες, και αυτοί ας λατρεύσουν τον Θεόν. Αλλωστε σεις οι ίδιοι αυτό ζητείτε”. Επειδή όμως ο Μωϋσής και ο Ααρών επέμενον εις την πρότασίν των, τους εξεδίωξαν από τα ανάκτορα του Φαραώ.

Εξ. 10,12 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἔκτεινον τὴν χεῖρα ἐπὶ γῆν Αἰγύπτου, καὶ ἀναβήτω ἀκρὶς ἐπὶ τὴν γῆν καὶ κατέδεται πᾶσαν βοτάνην τῆς γῆς καὶ πάντα τὸν καρπὸν τῶν ξύλων, ὃν ὑπελίπετο ἡ χάλαζα.

Εξ. 10,12 - Είπε τότε ο Κυριος προς τον Μωϋσήν· “άπλωσε το χέρι σου προς όλην την γην της Αιγύπτου· θα αναβούν και θα επιπέσουν ακρίδες καθ' όλην την έκτασιν της χώρας, αι οποίαι θα καταφάγουν κάθε χλόην της γης και κάθε καρπόν δένδρου, που αφήκεν η χάλαζα”.

Εξ. 10,13 - καὶ ἐπῇρε Μωυσῆς τὴν ῥάβδον εἰς τὸν οὐρανόν, καὶ Κύριος ἐπήγαγεν ἄνεμον νότον ἐπὶ τὴν γῆν, ὅλην τὴν ἡμέραν ἐκείνην καὶ ὅλην τὴν νύκτα· τὸ πρωΐ ἐγενήθη, καὶ ὁ ἄνεμος ὁ νότος ἀνέλαβε τὴν ἀκρίδα

Εξ. 10,13 - Υψωσεν ο Μωϋσής την ράβδον του στον ουρανόν, και ο Κυριος ήγειρε νότιον άνεμον εις την γην της Αιγύπτου όλην την ημέραν εκείνην και όλην την νύκτα· έγινε πρωϊ και ο νότιος άνεμος παρέσυρε τας ακρίδας,

Εξ. 10,14 - καὶ ἀνήγαγεν αὐτὴν ἐπὶ πᾶσαν τὴν γῆν Αἰγύπτου, καὶ κατέπαυσεν ἐπὶ πάντα τὰ ὅρια Αἰγύπτου πολλὴ σφόδρα· προτέρα αὐτῆς οὐ γέγονε τοιαύτη ἀκρὶς καὶ μετὰ ταῦτα οὐκ ἔσται οὕτως.

Εξ. 10,14 - και τας έφερεν εις όλην την Αίγυπτον. Αυταί δε επέπεσαν και εκάλυψαν όλην την περιοχήν της Αιγύπτου εις σμήνη απειροπληθή. Ουδέποτε προηγουμένως παρουσιάσθη τόση πολλή ακρίς και ούτε μετά ταύτα θα παρουσιασθή τόσον πλήθος.

Εξ. 10,15 - καὶ ἐκάλυψε τὴν ὄψιν τῆς γῆς, καὶ ἐφθάρη ἡ γῆ· καὶ κατέφαγε πᾶσαν βοτάνην τῆς γῆς καὶ πάντα τὸν καρπὸν τῶν ξύλων, ὃς ὑπελείφθη ἀπὸ τῆς χαλάζης· οὐχ ὑπελείφθη χλωρὸν οὐδὲν ἐν τοῖς ξύλοις καὶ ἐν πάσῃ βοτάνῃ τοῦ πεδίου, ἐν πάσῃ γῇ Αἰγύπτου.

Εξ. 10,15 - Τα σμήνη των ακρίδων εσκέπασαν την όψιν της Αιγύπτου και κατεστράφη η χώρα εκείνη, διότι αι ακρίδες κατέφαγον όλον το χόρτον της γης και όλους τους καρπούς των δένδρων, όσα είχον απομείνει από την χάλαζαν. Και δεν έμεινε πλέον τίποτε το χλωρόν ούτε εις τα δένδρα ούτε εις τα χόρτα των πεδιάδων καθ' όλην την έκτασιν της Αιγύπτου.

Εξ. 10,16 - κατέσπευδε δὲ Φαραὼ καλέσαι Μωυσῆν καὶ Ἀαρὼν λέγων· ἡμάρτηκα ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν καὶ εἰς ὑμᾶς·

Εξ. 10,16 - Εστειλε τότε εσπευσμένως ο Φαραώ, εκάλεσε τον Μωϋσήν και τον Ααρών και τους είπε· “ημάρτησα ενώπιον Κυρίου του Θεού σας και ενώπιόν σας.

Εξ. 10,17 - προσδέξασθε οὖν μου τὴν ἁμαρτίαν ἔτι νῦν καὶ προσεύξασθε πρὸς Κύριον τὸν Θεὸν ὑμῶν, καὶ περιελέτω ἀπ᾿ ἐμοῦ τὸν θάνατον τοῦτον.

Εξ. 10,17 - Δεχθήτε την μετάνοιάν μου και συγχωρήσατέ μου πάλιν την παρούσαν αμαρτίαν. Προσευχηθήτε προς τον Κυριον τον Θεόν σας, δια να ευδοκήση και απομακρύνη από εμέ αυτήν την θανάσιμον καταστροφήν".

Εξ. 10,18 - ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραὼ καὶ ηὔξατο πρὸς τὸν Θεόν.

Εξ. 10,18 - Εφυγεν ο Μωϋσής από τα ανάκτορα το Φαραώ και προσηυχήθη προς τον Θεόν.

Εξ. 10,19 - καὶ μετέβαλε Κύριος ἄνεμον ἀπὸ θαλάσσης σφοδρόν, καὶ ἀνέλαβε τὸν ἀκρίδα καὶ ἔβαλεν αὐτὴν εἰς τὴν ἐρυθρὰν θάλασσαν, καὶ οὐχ ὑπελείφθη ἀκρὶς μία ἐν πάσῃ γῇ Αἰγύπτου.

Εξ. 10,19 - Και ο Κυριος ήγειρεν άνεμον σφοδρόν από την Μεσόγειον θάλασσαν, ο οποίος παρέσυρε την ακρίδα και την έρριψεν εις την Ερυθράν θάλασσαν, ώστε καιμμία ακρίς δεν απέμεινεν εις όλην την γην της Αιγύπτου.

Εξ. 10,20 - καὶ ἐσκλήρυνε Κύριος τὴν καρδίαν Φαραώ. καὶ οὐκ ἐξαπέστειλε τοὺς υἱοὺς Ἰσραήλ.

Εξ. 10,20 - Ο Κυριος παρεχώρησε και εσκληρύνθη πάλιν η καρδία του Φαραώ και δεν αφήκεν ελευθέρους τους υιούς Ισραήλ να αναχωρήσουν.

Εξ. 10,21 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἔκτεινον τὴν χεῖρά σου εἰς τὸν οὐρανόν, καὶ γενηθήτω σκότος ἐπὶ γῆς Αἰγύπτου, ψηλαφητὸν σκότος.

Εξ. 10,21 - Ο Κυριος είπεν στον Μωϋσήν· "άπλωσε το χέρι σου στον ουρανόν και ας απλωθή σκότος εις όλην την χώραν της Αιγύπτου· πυκνό, ψηλαφητό σκοτάδι".

Εξ. 10,22 - ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα εἰς τὸν οὐρανόν, καὶ ἐγένετο σκότος γνόφος, θύελλα ἐπὶ πᾶσαν γῆν Αἰγύπτου τρεῖς ἡμέρας,

Εξ. 10,22 - Ηπλωσεν ο Μωϋσής την χείρα του στον ουρανόν και έγινε κατ' αρχάς ελαφρό σκοτάδι, έπειτα βαθύ σκοτάδι και θύελλα εις όλην την γην της Αιγύπτου επί τρεις ημέρας.

Εξ. 10,23 - καὶ οὐκ εἶδεν οὐδεὶς τὸν ἀδελφὸν αὐτοῦ τρεῖς ἡμέρας, καὶ οὐκ ἐξανέστη οὐδεὶς ἐκ τῆς κοίτης αὐτοῦ τρεῖς ἡμέρας· πᾶσι δὲ τοῖς υἱοῖς Ἰσραὴλ φῶς ἦν ἐν πᾶσιν, οἷς κατεγίνοντο.

Εξ. 10,23 - Εξ αιτίας του πυκνοτάτου αυτού σκότους κανείς δεν είδεν ούτε τον πλησίον αδελφόν του και κανείς δεν εσηκώθη από την κλίνην του κατά τας τρεις αυτάς ημέρας. Μονον δε εις την περιοχήν, εις την οποίαν κατοικούσαν οι Ισραηλίται, ήτο φως και εις όλα τα έργα, με τα οποία ησχολούντο.

Εξ. 10,24 - καὶ ἐκάλεσε Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν λέγων· βαδίζετε, λατρεύσατε Κυρίῳ τῷ Θεῷ ὑμῶν, πλὴν τῶν προβάτων καὶ τῶν βοῶν ὑπολείπεσθε· καὶ ἡ ἀποσκευὴ ὑμῶν ἀποτρεχέτω μεθ᾿ ὑμῶν,

Εξ. 10,24 - Εκάλεσε πάλιν ο Φαραώ τον Μωϋσήν και τον Ααρών και τους είπε· “πηγαίνετε όπου θέλετε, λατρεύσατε Κυριον τον Θεόν σας, πάρετε μαζή σας και τα παιδιά σας, αλλά τα πρόβατα και τα βόδια σας θα τα αφήσετε εδώ”.

Εξ. 10,25 - καὶ εἶπε Μωυσῆς· ἀλλὰ καὶ σὺ δώσεις ἡμῖν ὁλοκαυτώματα καὶ θυσίας, ἃ ποιήσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν·

Εξ. 10,25 - Του είπε τότε ο Μωϋσής· “όχι μόνον θα πάρωμε μαζή μας τα πρόβατα και τα βόδια μας, αλλά και συ ο ίδιος θα μας δώσης ζώα δια τα ολοκαυτώματά μας και δια τας άλλας θυσίας, τας οποίας θα προσφέρωμεν στον Κυριον και Θεόν μας.

Εξ. 10,26 - καὶ τὰ κτήνη ἡμῶν πορεύσεται μεθ᾿ ἡμῶν, καὶ οὐχ ὑπολειψόμεθα ὁπλήν· ἀπ᾿ αὐτῶν γὰρ ληψόμεθα λατρεῦσαι Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἡμεῖς δὲ οὐκ οἴδαμεν τί λατρεύσομεν Κυρίῳ τῷ Θεῷ ἡμῶν, ἕως τοῦ ἐλθεῖν ἡμᾶς ἐκεῖ.

Εξ. 10,26 - Λοιπόν και τα ζώα μας θα έλθουν μαζή μας, και δεν θα αφήσωμεν ούτε ένα νύχι των. Διότι από αυτά τα ζώα θα πάρωμεν, δια να προσφέρωμεν θυσίαν εις Κυριον τον Θεόν μας. Ημείς, άλλωστε, δεν γνωρίζομεν ποία ζώα θα προσφέρωμεν θυσίαν εις Κυριον τον Θεόν μας, έως ότου φθάσωμεν εκεί, όπου θα πρασφερθή η θυσία”.

Εξ. 10,27 - ἐσκλήρυνε δὲ Κύριος τὴν καρδίαν Φαραὼ καὶ οὐκ ἐβουλήθη ἐξαποστεῖλαι αὐτούς.

Εξ. 10,27 - Ο Κυριος παρεχώρησε και πάλιν να σκληρυνθή δια την κακότητά της η καρδιά του Φαραώ, ο οποίος και δεν ηθέλησε να αφήση ελευθέρους τους Ισραηλίτας.

Εξ. 10,28 - καὶ λέγει Φαραώ· ἄπελθε ἀπ᾿ ἐμοῦ· πρόσεχε σεαυτῷ ἔτι προσθεῖναι ἰδεῖν μου τὸ πρόσωπον· ᾗ δ᾿ ἂν ἡμέρᾳ ὀφθῇς μοι, ἀποθανῇ.

Εξ. 10,28 - Γεμάτος δε οργήν εφώναξε προς τον Μωϋσήν “φύγε από εμπρός μου. Πρόσεχε, μήπως τυχόν και θελήσης να ξαναδής το πρόσωπόν μου. Την ημέραν που θα τολμήσης να παρουσιασθής εμπρός μου,θα θανατωθής”.

Εξ. 10,29 - λέγει δὲ Μωυσῆς· εἴρηκας· οὐκ ἔτι ὀφθήσομαί σοι εἰς πρόσωπον.

Εξ. 10,29 - Ο Μωϋσής με δικαίαν αγανάκτησιν του απήντησε· “το είπες ! Δεν θα παρουσιασθώ πλέον ενώπιόν σου”.

## ΕΞΟΔΟΣ 11

Εξ. 11,1 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἔτι μίαν πληγὴν ἐγὼ ἐπάξω ἐπὶ Φαραὼ καὶ ἐπ᾿ Αἴγυπτον, καὶ μετὰ ταῦτα ἐξαποστελεῖ ὑμᾶς ἐντεῦθεν· ὅταν δὲ ἐξαποστέλλῃ ὑμᾶς, σὺν παντὶ ἐκβαλεῖ ὑμᾶς ἐκβολῇ.

Εξ. 11,1 - Επειτα από τα γεγονότα αυτά είπεν ο Κυριος προς τον Μωϋσήν· “μίαν ακόμη πληγήν θα επιφέρω εγώ εναντίον του Φαραώ και της Αιγύπτου, και μετά ταύτα θα σας αφήση ελευθέρους να φύγετε από εδώ. Οταν δε θα σας αποστείλη, θα σας αφήση να φύγετε με όλα τα υπάρχοντά σας.

Εξ. 11,2 - λάλησον οὖν κρυφῇ εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ αἰτησάτω ἕκαστος παρὰ τοῦ πλησίον σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν.

Εξ. 11,2 - Λαλησε λοιπόν κρυφίως εις τα αυτιά του λαού σου και ειπέ εις αυτούς να ζητήση ο καθένας από τον γείτονά του Αιγύπτιον αργυρά και χρυσά σκεύη και ιματιαμόν”.

Εξ. 11,3 - Κύριος δὲ ἔδωκε τὴν χάριν τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων, καὶ ἔχρησαν αὐτοῖς· καὶ ὁ ἄνθρωπος Μωυσῆς μέγας ἐγενήθη σφόδρα ἐναντίον τῶν Αἰγυπτίων καὶ ἐναντίον Φαραὼ καὶ ἐναντίον τῶν θεραπόντων αὐτοῦ.

Εξ. 11,3 - Εδωκεν ο Κυριος αυτήν την χάριν στον λαόν του απέναντι των Αιγυπτίων, ώστε εκείνοι έδωσαν εις αυτούς όσα τους εχρειάζοντο. Ο δε Μωϋσής ανεδείχθη μέγας, πολύ μέγας και ένδοξος ενώπιον των Αιγυπτίων, ενώπιον του Φαραώ και ενώπιον των αυλικών αυτού.

Εξ. 11,4 - Καὶ εἶπε Μωυσῆς· τάδε λέγει Κύριος· περὶ μέσας νύκτας ἐγὼ εἰσπορεύομαι εἰς μέσον Αἰγύπτου,

Εξ. 11,4 - Είπε δε ο Μωϋσής στον Φαραώ· “αυτά λέγει ο Κυριος· Κατά το μεσονύκτιον εισέρχομαι εις την Αίγυπτον.

Εξ. 11,5 - καὶ τελευτήσει πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπὸ πρωτοτόκου Φαραώ, ὃς κάθηται ἐπὶ τοῦ θρόνου, καὶ ἕως πρωτοτόκου τῆς θεραπαίνης τῆς παρὰ τὸν μύλον καὶ ἕως πρωτοτόκου παντὸς κτήνους,

Εξ. 11,5 - Και θα αποθάνη κάθε πρωτότοκον εις όλην την χώραν της Αιγύπτου, από το πρωτότοκον του Φαραώ, ο οποίος, κάθεται στον βασιλικόν θρόνον, έως το πρωτότοκον της δούλης η οποία κάθεται στον χειρόμυλόν της, και μέχρι το πρωτότοκον παντός ζώου.

Εξ. 11,6 - καὶ ἔσται κραυγὴ μεγάλη κατὰ πᾶσαν γῆν Αἰγύπτου, ἥτις τοιαύτη οὐ γέγονε καὶ τοιαύτη οὐκ ἔτι προστεθήσεται.

Εξ. 11,6 - Εξ αιτίας του θανάτου των πρωτοτόκων θα γίνη μεγάλη γοερά κραυγή καθ' όλην την χώραν της Αιγύπτου, τέτοια, οποία δεν έγινε μέχρι τώρα και ούτε θα γίνη στο μέλλον.

Εξ. 11,7 - καὶ ἐν πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ οὐ γρύξει κύων τῇ γλώσσῃ αὐτοῦ ἀπὸ ἀνθρώπου ἕως κτήνους, ὅπως εἰδῇς ὅσα παραδοξάσει Κύριος ἀνὰ μέσον τῶν Αἰγυπτίων καί τοῦ Ἰσραήλ.

Εξ. 11,7 - Μεταξύ όμως των Ισραηλιτών ούτε κύων δεν θα μουρμουρίση με την γλώσσαν του. Θα επικρατήση απόλυτος ηρεμία από ανθρώπου έως κτήνους. Αυτά δε όλα θα γίνουν, δια να γνωρίσης πόσα θαύματα κάμνει ο Θεός δια να δοξάση τους Ισραηλίτας απέναντι των Αιγυπτίων.

Εξ. 11,8 - καὶ καταβήσονται πάντες οἱ παῖδές σου οὗτοι πρός με καὶ προσκυνήσουσί με λέγοντες· ἔξελθε σὺ καὶ πᾶς ὁ λαός σου, οὗ σύ ἀφηγῇ· καὶ μετὰ ταῦτα ἐξελεύσομαι. ἐξῆλθε δὲ Μωυσῆς ἀπὸ Φαραὼ μετὰ θυμοῦ.

Εξ. 11,8 - Επειτα από αυτά όλοι οι δούλοι σου θα έλθουν προς εμέ, θα με προσκυνήσουν και θα είπουν· Αναχώρησε από την χώραν μας συ και όλος ο λαός, του οποίου είσαι αρχηγός. Και έπειτα από αυτά θα αναχωρήσω ελεύθερος πλέον από την Αίγυπτον”. Γεμάτος δε ιεράν αγανάκτησα εξήλθεν ο Μωϋσής από τα ανάκτορα του Φαραώ.

Εξ. 11,9 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· οὐκ εἰσακούσεται ὑμῶν Φαραώ, ἵνα πληθύνων πληθυνῶ μου τὰ σημεῖα καὶ τὰ τέρατα ἐν γῇ Αἰγύπτῳ.

Εξ. 11,9 - Είπεν ο Κυριος στον Μωϋσήν· “Δεν θα σας ακούση και πάλιν ο Φαραύ· ώστε εγώ θα αναγκασθώ να πληθύνω ακόμη περισσότερον τα σημεία και τα τέρατα εις την Αίγυπτον”.

Εξ. 11,10 - Μωυσῆς δὲ καὶ Ἀαρὼν ἐποίησαν πάντα τὰ σημεῖα καὶ τὰ τέρατα ταῦτα ἐν γῇ Αἰγύπτῳ ἐναντίον Φαραώ· ἐσκλήρυνε δὲ Κύριος τὴν καρδίαν Φαραώ, καὶ οὐκ εἰσήκουσεν ἐξαποστεῖλαι τούς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.

Εξ. 11,10 - Ο Μωϋσής και ο Ααρών έκαμαν όλα αυτά τα καταπληκτικά σημεία και τέρατα εις την χώραν της Αιγύπτου εναντίον του Φαραώ. Ο δε Κυριος παρεχώρησε να σκληρυνθή η καρδία του Φαραώ, ο οποίος και δεν υπήκουσεν εις την θείαν εντολήν να αποστείλη ελευθέρους τους Ισραηλίτας από την γην της Αιγύπτου.

## ΕΞΟΔΟΣ 12

Εξ. 12,1 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν ἐν γῇ Αἰγύπτου λέγων.

Εξ. 12,1 - Είπεν ο Κυριος προς τον Μωϋσήν και τον Ααρών, όταν ακόμη ήσαν εις την Αίγυπτον·

Εξ. 12,2 - ὁ μὴν οὗτος ὑμῖν ἀρχὴ μηνῶν, πρῶτός ἐστιν ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ.

Εξ. 12,2 - “ο μην αυτός θα είναι δια σας η αρχή των άλλων μηνών, ο πρώτος μεταξύ των μηνών του έτους.

Εξ. 12,3 - λάλησον πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγων· τῇ δεκάτῃ τοῦ μηνὸς τούτου λαβέτωσαν ἕκαστος πρόβατον κατ᾽ οἴκους πατριῶν, ἕκαστος πρόβατον κατ᾽ οἰκίαν.

Εξ. 12,3 - Λαλησε προς όλον το πλήθος των Ισραηλιτών και ειπέ εις αυτούς· Την δεκάτην αυτού του μηνός θα πάρη κάθε οικογενειάρχης ανά εν πρόβατον δια την οικογένειάν του, δια την οικίαν του.

Εξ. 12,4 - ἐὰν δὲ ὀλιγοστοὶ ὦσιν ἐν τῇ οἰκίᾳ, ὥστε μὴ εἶναι ἱκανοὺς εἰς πρόβατον, συλλήψεται μεθ᾿ ἑαυτοῦ τὸν γείτονα τὸν πλησίον αὐτοῦ κατὰ ἀριθμὸν ψυχῶν· ἕκαστος τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται εἰς πρόβατον.

Εξ. 12,4 - Εάν δε τα μέλη της οικογενείας του είναι ολίγα, ώστε να μη ημπορούν να φάγουν τα πρόβατον, ο οικογενειάρχης θα προσκαλέση από την οικογένειαν του γείτονός του ανάλογον αριθμόν ανθρώπων, εις έκαστον από των οποίων θα υπολογισθή η ανάλογος μερίς από το πρόβατον.

Εξ. 12,5 - πρόβατον τέλειον, ἄρσεν, ἐνιαύσιον ἔσται ὑμῖν· ἀπὸ τῶν ἀρνῶν καὶ τῶν ἐρίφων λήψεσθε.

Εξ. 12,5 - Το πρόβατον θα είναι αρτιμελές, χωρίς σωματικήν τινα βλάβην, αρσενικόν ενός έτους. Ημπορείτε να πάρετε η αμνόν η ερίφιον.

Εξ. 12,6 - καὶ ἔσται ὑμῖν διατετηρημένον ἕως τῆς τεσσαρεσκαιδεκάτης τοῦ μηνὸς τούτου, καὶ σφάξουσιν αὐτὸ πᾶν τὸ πλῆθος συναγωγῆς υἱῶν Ἰσραὴλ πρὸς ἑσπέραν.

Εξ. 12,6 - Τούτο θα διατηρηθή εν ζωή μέχρι της δεκάτης τετάρτης του μηνός, οπότε όλοι οι Ισραηλίται θα σφάξουν αυτό κατά την εσπέραν της ημέρας αυτής.

Εξ. 12,7 - καὶ λήψονται ἀπὸ τοῦ αἵματος καὶ θήσουσιν ἐπὶ τῶν δύο σταθμῶν καὶ ἐπὶ τὴν φλιὰν ἐν τοῖς οἴκοις, ἐν οἷς ἐὰν φάγωσιν αὐτὰ ἐν αὐτοῖς,

Εξ. 12,7 - Οι οικογενειάρχαι θα πάρουν από το αίμα του σφαγίου αυτού και θα θέσουν στους δύο παραστάτας και στο ανώφλιον των θυρών των οικιών των, εντός των οποίων αυτοί θα φάγουν τον αμνόν η το ερίφιον.

Εξ. 12,8 - καὶ φάγονται τὰ κρέα τῇ νυκτὶ ταύτῃ· ὀπτὰ πυρὶ καὶ ἄζυμα ἐπὶ πικρίδων ἔδονται.

Εξ. 12,8 - Θα φάγουν δε το κρέας κατά την νύκτα αυτήν, ψημένον εις την φωτιά. Θα το φάγουν με άζυμον άρτον και πικρά χόρτα.

Εξ. 12,9 - οὐκ ἔδεσθε ἀπ᾿ αὐτῶν ὠμὸν οὐδὲ ἡψημένον ἐν ὕδατι, ἀλλ᾿ ἢ ὀπτὰ πυρί, κεφαλὴν σὺν τοῖς ποσὶ καὶ τοῖς ἐνδοσθίοις.

Εξ. 12,9 - Δεν θα φάγετε το κρέας ωμόν η, βραστόν αλλά ψημένον εις την φωτιάν. Και θα φάγετε όλον τον αμνόν και το κεφάλι και τα πόδια και τα εντόσθια.

Εξ. 12,10 - οὐκ ἀπολείψετε ἀπ᾿ αὐτοῦ ἕως πρωΐ καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ᾿ αὐτοῦ· τὰ δὲ καταλειπόμενα ἀπ᾿ αὐτοῦ ἕως πρωΐ ἐν πυρὶ κατακαύσετε.

Εξ. 12,10 - Εως το πρωϊ τίποτε δεν θα αφήσετε από αυτό και οστούν δεν θα συντρίψετε από αυτό. Εάν όμως και μείνη κάτι μέχρι το πρωϊ, θα το καύσετε εις την φωτιάν.

Εξ. 12,11 - οὕτω δὲ φάγεσθε αὐτό· αἱ ὀσφύες ὑμῶν περιεζωσμέναι, καὶ τὰ ὑποδήματα ἐν τοῖς ποσὶν ὑμῶν, καὶ αἱ βακτηρίαι ἐν ταῖς χερσὶν ὑμῶν·

καὶ ἔδεσθε αὐτὸ μετὰ σπουδῆς· πάσχα ἐστὶ Κυρίῳ.

Εξ. 12,11 - Κατ' αυτόν τον τρόπον θα το φάγετε· η μέση σας θα είναι ζωσμένη, τα υποδήματά σας φορεμένα εις τα πόδια σας και αι ράβδοι εις τα χέρια σας. Θα φάτε αυτό βιαστικά. Αυτό είναι Πασχα (=Διάβασις) Κυρίου.

Εξ. 12,12 - καί διελεύσομαι ἐν γῇ Αἰγύπτῳ ἐν τῇ νυκτὶ ταύτῃ καὶ πατάξω πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἐν πᾶσι τοῖς θεοῖς τῶν Αἰγυπτίων ποιήσω τὴν ἐκδίκησιν· ἐγὼ Κύριος.

Εξ. 12,12 - Διότι κατά την νύκτα αυτήν θα περάσω την χώραν της Αιγύπτου και θα θανατώσω κάθε πρωτότοκον της Αιγύπτου από ανθρώπου έως ζώου και θα εκδικηθώ όλους τους ψευδείς θεούς των Αιγυπτίων. Εγώ είμαι ο Κυριος και Θεός.

Εξ. 12,13 - καὶ ἔσται τὸ αἷμα ὑμῖν ἐν σημείῳ ἐπὶ τῶν οἰκιῶν, ἐν αἷς ὑμεῖς ἐστε ἐκεῖ, καὶ ὄψομαι τὸ αἷμα καὶ σκεπάσω ὑμᾶς, καὶ οὐκ ἔσται ἐν ὑμῖν πληγὴ τοῦ ἐκτριβῆναι, ὅταν παίω ἐν γῇ Αἰγύπτῳ.

Εξ. 12,13 - Το αίμα τούτο του αμνού εις τας οικίας σας, εις τας οποίας μένετε, θα είναι σημείον δι' εμέ. Θα ίδω το αίμα τούτο, θα σας προφυλάξω από την τιμωρίαν και δεν θα σας κτυπήση η θανατική πληγή, όταν εγώ θα κτυπώ την χώραν της Αιγύπτου.

Εξ. 12,14 - καὶ ἔσται ἡ ἡμέρα ὑμῖν αὕτη μνημόσυνον· καὶ ἑορτάσετε αὐτὴν ἑορτὴν Κυρίῳ εἰς πάσας τὰς γενεὰς ὑμῶν· νόμιμον αἰώνιον ἑορτάσετε αὐτήν.

Εξ. 12,14 - Την ημέραν αυτήν του Πασχα πρέπει να την ενθυμήσθε πάντοτε. Θα την καθιερώσετε ως εορτήν προς τιμήν και δόξαν του Κυρίου εις όλας τας δια μέσου των αιώνων γενεάς σας. Θα την ορίσετε και θα την εορτάζετε ως αιώνιον απαράβατον νόμον.

Εξ. 12,15 - ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε, ἀπὸ δὲ τῆς ἡμέρας τῆς πρώτης ἀφανιεῖτε ζύμην ἐκ τῶν οἰκιῶν ὑμῶν· πᾶς ὃς ἂν φάγῃ ζύμην, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραὴλ ἀπὸ τῆς ἡμέρας τῆς πρώτης ἕως τῆς ἡμέρας τῆς ἑβδόμης.

Εξ. 12,15 - Επί επτά ημέρας θα τρώγετε άζυμα, ψωμί χωρίς προζύμι. Από την πρώτην ημέραν θα εξαφανίζετε από το σπίτι σας κάθε ένζυμον άρτον. Οποιος θα φάγη ένζυμον άρτον (ψωμί ζυμωμένο με προζύμι) από την πρώτην μέχρι την εβδόμην ημέραν του Πασχα θα εξολοθρευθή ο άνθρωπος εκείνος εκ μέσου των Ισραηλιτών.

Εξ. 12,16 - καὶ ἡ ἡμέρα ἡ πρώτη κληθήσεται ἁγία, καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐταῖς, πλὴν ὅσα ποιηθήσεται πάσῃ ψυχῇ, τοῦτο μόνον ποιηθήσεται ὑμῖν.

Εξ. 12,16 - Η πρώτη ημέρα θα θεωρηθή και θα κληθή αγία και επίσημος, όπως επίσης αγία και επίσημος θα είναι και η εβδόμη ημέρα. Κατά τας ημέρας της εορτής του Πασχα δεν θα επιδοθήτε εις έργα, που απαιτούν

ολόκληρον την φροντίδα σας, πλην μόνον εις εκείνα που είναι απαραίτητα δια την συντήρησίν σας. Αυτά μόνον τα έργα θα κάμνετε.

Εξ. 12,17 - καὶ φυλάξετε τὴν ἐντολὴν ταύτην· ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξάξω τὴν δύναμιν ὑμῶν ἐκ γῆς Αἰγύπτου, καὶ ποιήσετε τὴν ἡμέραν ταύτην εἰς γενεὰς ὑμῶν νόμιμον αἰώνιον.

Εξ. 12,17 - Θα φυλάξετε αυτήν την εντολήν δια την εορτήν του Πασχα, διότι κατά την ημέραν αυτήν θα απελευθερώσω την δύναμίν σας και θα σας βγάλω από την Αίγυπτον, και θα καθιερώσετε την ημέραν αυτήν εις όλας τας γενεάς σας ως παντοτεινήν εορτήν.

Εξ. 12,18 - ἐναρχόμενοι τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου ἀφ᾿ ἑσπέρας ἔδεσθε ἄζυμα ἕως ἡμέρας μιᾶς καὶ εἰκάδος τοῦ μηνός, ἕως ἑσπέρας.

Εξ. 12,18 - Θα αρχίσετε να τρώγετε άζυμα από την εσπέραν που αρχίζει η δεκάτη τετάρτη του πρώτου μηνός μέχρι της εσπέρας της εικοστής πρώτης του αυτού μηνός.

Εξ. 12,19 - ἑπτὰ ἡμέρας ζύμη οὐχ εὑρεθήσεται ἐν ταῖς οἰκίαις ὑμῶν· πᾶς ὃς ἂν φάγῃ ζυμωτόν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ συναγωγῆς Ἰσραήλ, ἔν τε τοῖς γειώραις καὶ αὐτόχθοσι τῆς γῆς·

Εξ. 12,19 - Επί επτά ημέρας δεν θα ευρεθή ένζυμος άρτος εις τας οικίας σας. Οποιος δε φάγη ένζυμον άρτον, θα εξολοθρευθή ο άνθρωπος αυτός εκ μέσου του ισραηλιτικού λαού, είτε ως ξένος παρεπιδημεί εις την χώραν σας είτε ανήκει στους εντοπίους.

Εξ. 12,20 - πᾶν ζυμωτὸν οὐκ ἔδεσθε, ἐν παντὶ δὲ κατοικητηρίῳ ὑμῶν ἔδεσθε ἄζυμα.

Εξ. 12,20 - Τιποτε το ενζυμον δεν θα φάγετε. Εις όλας δε τας κατοικίας σας θα τρώγετε άζυμον άρτον".

Εξ. 12,21 - Ἐκάλεσε δὲ Μωυσῆς πᾶσαν γερουσίαν υἱῶν Ἰσραὴλ καὶ εἶπε πρὸς αὐτούς· ἀπελθόντες λάβετε ὑμῖν αὐτοῖς πρόβατον κατὰ συγγενείας ὑμῶν καὶ θύσατε τὸ πάσχα.

Εξ. 12,21 - Προσεκάλεσεν ο Μωϋσής όλην την γερουσίαν των Ισραηλιτών και τους είπε· "πηγαίνετε και πάρετε ο καθένας δια την οικογένειάν του ανά εν πρόβατον και θυσιάσατε τον πασχάλιον αυτόν αμνόν.

Εξ. 12,22 - λήψεσθε δὲ δέσμην ὑσσώπου, καὶ βάψαντες ἀπὸ τοῦ αἵματος τοῦ παρὰ τὴν θύραν καθίξετε τῆς φλιᾶς καὶ ἐπ᾿ ἀμφοτέρων τῶν σταθμῶν ἀπὸ τοῦ αἵματος, ὅ ἐστι παρὰ τὴν θύραν· ὑμεῖς δὲ οὐκ ἐξελεύσεσθε ἕκαστος τὴν θύραν τοῦ οἴκου αὐτοῦ ἕως πρωΐ.

Εξ. 12,22 - Θα λάβετε δέσμην από ύσσωπον θα βυθίσετε αυτήν στο αίμα, που θα το έχετε εντός δοχείου πλησίον της θύρας. θα αλείψετε το ανώφλιον της θύρας και τους δύο παραστάτας αυτής με το αίμα, που θα

είναι πλησίον εις την θύραν. Κανείς δε από σας δεν θα βγη από την θύραν του σπιτιού του μέχρι της πρωΐας.

Εξ. 12,23 - καὶ παρελεύσεται Κύριος πατάξαι τοὺς Αἰγυπτίους καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς καὶ ἐπ᾿ ἀμφοτέρων τῶν σταθμῶν, καὶ παρελεύσεται Κύριος τὴν θύραν καὶ οὐκ ἀφήσει τὸν ὀλοθρεύοντα εἰσελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πατάξαι.

Εξ. 12,23 - Διότι θα διέλθη ο Κυριος και θα θανατώση τα πρωτότοκα των Αιγυπτίων. Θα ίδη δε το αίμα στο ανώφλιον και στους δύο παραστάτας της θύρας και θα προσπεράση ο Κυριος την θύραν σας. Δεν θα αφήση τον εξολοθρευτήν άγγελον να εισέλθη εις τας οικίας σας και να πλήξη δια θανάτου.

Εξ. 12,24 - καὶ φυλάξασθε τὸ ῥῆμα τοῦτο νόμιμον σεαυτῷ, καὶ τοῖς υἱοῖς σου ἕως αἰῶνος.

Εξ. 12,24 - Θα φυλάξετε αυτήν την εντολήν ως νόμον απαράβατον δια τον εαυτόν σας και τους απογόνους σας στους αιώνας.

Εξ. 12,25 - ἐὰν δὲ εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἂν δῷ Κύριος ὑμῖν, καθότι ἐλάλησε, φυλάξασθε τὴν λατρείαν ταύτην.

Εξ. 12,25 - Οταν δε εισέλθετε εις την γην, την οποίαν ο Κυριος, καθώς έχει υποσχεθή, θα σας δώση, θα φυλάξετε την εορτήν αυτήν.

Εξ. 12,26 - καὶ ἔσται ἐὰν λέγωσι πρὸς ὑμᾶς οἱ υἱοὶ ὑμῶν· τίς ἡ λατρεία αὕτη;

Εξ. 12,26 - Οταν δε σας ερωτούν τα παιδιά σας, τι είναι και τι σημαίνει αυτή η εορτή;

Εξ. 12,27 - καὶ ἐρεῖτε αὐτοῖς· θυσία τὸ πάσχα τοῦτο Κυρίῳ, ὡς ἐσκέπασε τοὺς οἴκους τῶν υἱῶν Ἰσραὴλ ἐν Αἰγύπτῳ, ἡνίκα ἐπάταξε τοὺς Αἰγυπτίους, τοὺς δὲ οἴκους ἡμῶν ἐῤῥύσατο. καὶ κύψας ὁ λαὸς προσεκύνησε.

Εξ. 12,27 - Θα απαντήσετε εις αυτά· το Πασχα τούτο είναι θυσία προς τον Κυριον, ο οποίος επροστάτευσε τας οικογενείας των Ισραηλιτών εις την Αίγυπτον, όταν εθανάτωσε τα πρωτότοκα των Αιγυπτίων, τας δε ιδικάς μας οικογενείας επροφύλαξεν από τον όλεθρον”. Ηκουσεν αυτά ο λαός, έσκυψαν με ευλάβειαν και με ευγνωμοσύνην προσεκύνησαν τον Κυριον.

Εξ. 12,28 - καὶ ἀπελθόντες ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ ἐνετείλατο Κύριος τῷ Μωυσῇ καὶ Ἀαρών, οὕτως ἐποίησαν.

Εξ. 12,28 - Απεχώρησαν οι Ισραηλίται και έκαμαν όσα είχε διατάξει ο Κυριος στον Μωϋσήν και τον Ααρών. Ετσι ακριβώς έκαμαν.

Εξ. 12,29 - Ἐγενήθη δὲ μεσούσης τῆς νυκτὸς καὶ Κύριος ἐπάταξε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπὸ πρωτοτόκου Φαραὼ τοῦ καθημένου ἐπὶ τοῦ θρόνου ἕως πρωτοτόκου τῆς αἰχμαλωτίδος τῆς ἐν τῷ λάκκῳ καὶ ἕως πρωτοτόκου παντὸς κτήνους.

Εξ. 12,29 - Οταν δε ήλθε το μεσονύκτιον της νυκτός εκείνης, εκτύπησεν ο Κυριος δια θανάτου κάθε πρωτότοκον εις την χώραν της Αιγύπτου, από το πρωτότοκον του Φαραώ που κάθεται στον θρόνον, έως το πρωτότοκον της αιχμαλώτου που είναι φυλακισμένη στον λάκκον, μέχρι και του πρωτοτόκου παντός κτήνους.

Εξ. 12,30 - καὶ ἀναστὰς Φαραὼ νυκτὸς καὶ οἱ θεράποντες αὐτοῦ καὶ πάντες οἱ Αἰγύπτιοι καὶ ἐγενήθη κραυγή μεγάλη ἐν πάσῃ γῇ Αἰγύπτῳ· οὐ γὰρ ἦν οἰκία, ἐν ᾗ οὐκ ἦν ἐν αὐτῇ τεθνηκώς.

Εξ. 12,30 - Κατά την νύκτα εκείνην ηγέρθη ο Φαραώ και όλοι οι αυλικοί αυτού και όλοι οι Αιγύπτιοι και έγινε μεγάλη γοερά κραυγή εις όλην την χώραν της Αιγύπτου, διότι δεν υπήρχεν οικία, όπου δεν κατέκειτο και ένας νεκρός.

Εξ. 12,31 - καὶ ἐκάλεσε Φαραὼ Μωυσῆν καὶ Ἀαρὼν νυκτὸς καὶ εἶπεν αὐτοῖς· ἀνάστητε καὶ ἐξέλθετε ἐκ τοῦ λαοῦ μου καὶ ὑμεῖς καὶ οἱ υἱοὶ Ἰσραήλ· βαδίζετε καὶ λατρεύσατε Κυρίῳ τῷ Θεῷ ὑμῶν, καθὰ λέγετε·

Εξ. 12,31 - Ο Φαραώ εκάλεσε κατά την νύκτα τον Μωϋσήν και τον Ααρών και τους είπε· "σηκωθήτε και φύγετε εκ μέσου του λαού μου και σεις και όλοι οι Ισραηλίται. Πηγαίνετε και λατρεύσατε Κυριον τον Θεόν σας, όπως είπατε.

Εξ. 12,32 - καὶ τὰ πρόβατα καὶ τοὺς βόας ὑμῶν ἀναλαβόντες πορεύεσθε, εὐλογήσατε δὲ κἀμέ.

Εξ. 12,32 - Παρετε μαζή σας τα πρόβατα και τα βόδια σας και πηγαίνετε· προσευχηθήτε δε και υπέρ εμού".

Εξ. 12,33 - καὶ κατεβιάζοντο οἱ Αἰγύπτιοι τὸν λαὸν σπουδῇ ἐκβαλεῖν αὐτοὺς ἐκ τῆς γῆς· εἶπαν γάρ, ὅτι πάντες ἡμεῖς ἀποθνήσκομεν.

Εξ. 12,33 - Και οι Αιγύπτιοι επιμόνως εβίαζον τους Ισραηλίτας να φύγουν όσον το δυνατόν συντομώτερον από την χώραν των, διότι έλεγον· "αν δεν φύγουν αυτοί από την Αίγυπτον, ημείς όλοι θα αποθάνωμεν".

Εξ. 12,34 - ἀνέλαβε δὲ ὁ λαὸς τὸ σταῖς αὐτῶν πρὸ τοῦ ζυμωθῆναι τὰ φυράματα αὐτῶν ἐνδεδεμένα ἐν τοῖς ἱματίοις αὐτῶν ἐπὶ τῶν ὤμων.

Εξ. 12,34 - Ο ισραηλιτικός λαός χωρίς αργοπορίαν έσπευσε να αναχωρήση. Και εν τη βία των ετύλιξαν εις τα ιμάτιά των το ζυμάρι πριν ακόμη αυτό ζυμωθή με την ζύμην, το εφορτώθησαν στους ώμους των και εξεκίνησαν.

Εξ. 12,35 - οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐποίησαν καθὰ συνέταξεν αὐτοῖς Μωυσῆς, καὶ ᾔτησαν παρὰ τῶν Αἰγυπτίων σκεύη ἀργυρᾶ καὶ χρυσᾶ καὶ ἱματισμόν·

Εξ. 12,35 - Οι Ισραηλίται έκαμαν προηγουμένως όπως τους είχε συμβουλεύσει ο Μωϋσής· εζήτησαν δηλαδή από τους Αιγυπτίους αργυρά και χρυσά σκεύη, όπως επίσης και ιματισμόν.

Εξ. 12,36 - καὶ ἔδωκε Κύριος τὴν χάριν τῷ λαῷ αὐτοῦ ἐναντίον τῶν Αἰγυπτίων, καὶ ἔχρησαν αὐτοῖς· καὶ ἐσκύλευσαν τοὺς Αἰγυπτίους.

Εξ. 12,36 - Ο δε Κυριος έδωκε κάποιαν ιδιαιτέραν χάριν στον λαόν του ενώπιον των Αιγυπτίων, και οι Αιγύπτιοι προθύμως έδωκαν εις αυτούς ο,τι τους είχαν ζητήσει. Ετσι δε οι Ισραηλίται επήραν μαζή των, ωσάν λάφυρα, πολλά αντικείμενα αξίας από τους Αιγυπτίους.

Εξ. 12,37 - Ἀπάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ εἰς Σοκχώθ εἰς ἑξακοσίας χιλιάδας πεζῶν, οἱ ἄνδρες, πλὴν τῆς ἀποσκευῆς,

Εξ. 12,37 - Εξεκίνησαν λοιπόν οι Ισραηλίται από την περιοχήν Ραμεσσή και ήλθον εις Σοκχώθ. Οι άνδρες, οι οποίοι απετέλουν τον πεζικόν στρατόν, ήσαν εξακόσιαι χιλιάδες, πλην, φυσικά, των παιδιών και του αμάχου πληθυσμού.

Εξ. 12,38 - καὶ ἐπίμικτος πολὺς συνανέβη αὐτοῖς καὶ πρόβατα καὶ βόες καὶ κτήνη πολλὰ σφόδρα.

Εξ. 12,38 - Μαζή με τους Ισραηλίτας έφυγε και άλλος ανάμικτος λαός από Αιγυπτίους και ετέρους αλλοεθνείς. Παρέλαβον δε οι Ισραηλίται μαζή των και τα πρόβατα και τα βόδια και τα κτήνη των, κοπάδια πολλά.

Εξ. 12,39 - καὶ ἔπεψαν τὸ σταῖς, ὃ ἐξήνεγκαν ἐξ Αἰγύπτου, ἐγκρυφίας ἀζύμους· οὐ γὰρ ἐζυμώθη· ἐξέβαλον γὰρ αὐτοὺς οἱ Αἰγύπτιοι, καὶ οὐκ ἠδυνήθησαν ἐπιμεῖναι οὐδὲ ἐπισιτισμὸν ἐποίησαν ἑαυτοῖς εἰς τὴν ὁδόν.

Εξ. 12,39 - Εζύμωσαν δε εις Σοκχώθ τα προζύμια, που είχαν πάρει μαζή των από την Αίγυπτον και έψησαν λαγάνες εις την φωτιάν. Το φύραμα δεν είχε υποστή ζύμωσιν την ώραν, που οι Αιγύπτιοι τους εξηνάγκασαν να φύγουν, αυτοί δε δεν ημπορούσαν να παραμείνουν ώστε να ζυμώσουν αυτό, ούτε δε και επρόλαβαν να παραλάβουν τρόφιμα δια τον δρόμον των.

Εξ. 12,40 - ἡ δὲ κατοίκησις τῶν υἱῶν Ἰσραήλ, ἣν κατῴκησαν ἐν γῇ Αἰγύπτῳ καὶ ἐν γῇ Χαναάν, ἔτη τετρακόσια τριάκοντα.

Εξ. 12,40 - Ο χρόνος της παραμονής των Ισραηλιτών εις την Αίγυπτον, από τότε που έφυγαν από την Χαναάν, ήσαν τετρακόσια τριάκοντα έτη.

Εξ. 12,41 - καὶ ἐγένετο μετὰ τὰ τετρακόσια τριάκοντα ἔτη, ἐξῆλθε πᾶσα ἡ δύναμις Κυρίου ἐκ γῆς Αἰγύπτου νυκτός.

Εξ. 12,41 - Επειτα δε από τα τετρακόσια τριάκοντα αυτά έτη εξήλθεν όλος αυτός ο στρατός του Κυρίου από την Αίγυπτον εν καιρώ νυκτός.

Εξ. 12,42 - προφυλακή ἐστι τῷ Κυρίῳ, ὥστε ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ἐκείνη ἡ νὺξ αὕτη προφυλακὴ Κυρίῳ, ὥστε πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ εἶναι εἰς γενεὰς αὐτῶν.

Εξ. 12,42 - Αγρυπνοι κατά διαταγήν του Κυρίου έμειναν οι Ισραηλίται κατά την νύκτα εκείνην, κατά την οποίαν ο Θεός τους εξήγαγεν από την Αίγυπτον. Νυξ αγρυπνίας θα είναι η ημερομηνία αυτή στο μέλλον χάριν του Κυρίου, ώστε όλοι οι Ισραηλίται να την τιμούν ως εορτήν εις όλας αυτών τας γενεάς.

Εξ. 12,43 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρών· οὗτος ὁ νόμος τοῦ πάσχα· πᾶς ἀλλογενὴς οὐκ ἔδεται ἀπ᾿ αὐτοῦ·

Εξ. 12,43 - Ο Κυριος είπε τότε στον Μωϋσήν και τον Ααρών· “αυτός είναι ο νόμος του Πασχα· κανείς αλλοεθνής δεν θα τρώγη από αυτό.

Εξ. 12,44 - καὶ πάντα οἰκέτην ἢ ἀργυρώνητον περιτεμεῖς αὐτόν, καὶ τότε φάγεται ἀπ᾿ αὐτοῦ·

Εξ. 12,44 - Καθε δούλον η δια χρημάτων αγορασθέντα δούλον θα τον περιτάμης και τότε θα έχη το δικαίωμα να φάγη από τον πασχάλιον αμνόν.

Εξ. 12,45 - πάροικος ἢ μισθωτὸς οὐκ ἔδεται ἀπ᾿ αὐτοῦ.

Εξ. 12,45 - Ο ξένος, όπως και ο ημερομίσθιος εργάτης δεν θα φάγουν από αυτό.

Εξ. 12,46 - ἐν οἰκίᾳ μιᾷ βρωθήσεται, καὶ οὐκ ἐξοίσετε ἐκ τῆς οἰκίας τῶν κρεῶν ἔξω· καὶ ὀστοῦν οὐ συντρίψετε ἀπ᾿ αὐτοῦ.

Εξ. 12,46 - Μέσα εις την ιδίαν οικίαν θα φαγωθή και εκτός της οικίας δεν θα εξέλθη κρέας. Δεν θα σπάσετε κανένα οστούν από τον πασχάλιον αμνόν.

Εξ. 12,47 - πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ποιήσει αὐτό.

Εξ. 12,47 - Αυτό θα κάμουν όλοι οι Ισραηλίται.

Εξ. 12,48 - ἐὰν δέ τις προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ποιῆσαι τὸ πάσχα Κυρίῳ, περιτεμεῖς αὐτοῦ πᾶν ἀρσενικόν, καὶ τότε προσελεύσεται ποιῆσαι αὐτὸ καὶ ἔσται ὥσπερ καὶ ὁ αὐτόχθων τῆς γῆς· πᾶς ἀπερίτμητος οὐκ ἔδεται ἀπ᾿ αὐτοῦ.

Εξ. 12,48 - Εάν δε από άλλην τινά χώραν έλθη προς σας ξένος να κάμη το Πασχα Κυρίου, θα περιτάμη κάθε αρσενικόν αυτού και κατόπιν θα προσέλθη να κάμη το Πασχα τούτο με τα ίδια δικαιώματα, που έχει και ο Εβραίος. Αλλά κανείς απερίτμητος δεν θα φάγη από τον αμνόν του Πασχα.

Εξ. 12,49 - νόμος εἷς ἔσται τῷ ἐγχωρίῳ καὶ τῷ προσελθόντι προσηλύτῳ ἐν ὑμῖν.

Εξ. 12,49 - Ο ίδιος νόμος θα είναι δια τον εντόπιον Εβραίον και δια τον προσελθόντα μεταξύ σας ξένον προς εορτασμόν του Πασχα”.

Εξ. 12,50 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καθὰ ἐνετείλατο Κύριος τῷ Μωυσῇ καὶ Ἀαρὼν πρὸς αὐτούς, οὕτως ἐποίησαν.

Εξ. 12,50 - Οι Ισραηλίται έκαμαν, όπως ο Θεός δια του Μωϋσέως και του Ααρών τους είχε διατάξει. Ετσι ακριβώς έκαμαν.

Εξ. 12,51 - καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξήγαγε Κύριος τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν.

Εξ. 12,51 - Κατά την ημέραν εκείνην απηλευθέρωσεν ο Κυριος τους Ισραηλίτας και τους έβγαλεν από την γην της Αιγύπτου με όλην αυτών την δύναμιν.

## ΕΞΟΔΟΣ 13

Εξ. 13,1 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν λέγων·

Εξ. 13,1 - Είπεν ακόμη ο Κυριος προς τον Μωϋσήν·

Εξ. 13,2 - ἁγίασόν μοι πᾶν πρωτότοκον πρωτογενὲς διανοῖγον πᾶσαν μήτραν ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἀπὸ ἀνθρώπου ἕως κτήνους· ἐμοί ἐστιν.

Εξ. 13,2 - “να αφιερώσης εις εμέ κάθε πρωτότοκον, κάθε πρωτογέννητον μεταξύ των Ισραηλιτών από ανθρώπου έως κτήνους, το οποίον ανοίγει μήτραν, διότι τούτο ανήκει εις εμέ”.

Εξ. 13,3 - Εἶπε δὲ Μωυσῆς πρὸς τὸν λαόν· μνημονεύετε τὴν ἡμέραν ταύτην, ἐν ᾗ ἐξήλθετε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγεν ὑμᾶς Κύριος ἐντεῦθεν· καὶ οὐ βρωθήσεται ζύμη.

Εξ. 13,3 - Είπεν ο Μωϋσής προς τον λαόν· “να ενθυμήσθε την ημέραν αυτήν, κατά την οποίον εξήλθατε από την χώραν της Αιγύπτου, από τον οίκον αυτόν της φοβεράς δουλείας. Διότι κατά την ημέραν αυτήν δια της παντοδυνάμου δεξιάς του σας έβγαλεν ο Θεός από εδώ. Κατά την ημέραν αυτήν δεν θα φάγεται άρτον, που έχει προζύμι.

Εξ. 13,4 - ἐν γὰρ τῇ σήμερον ὑμεῖς ἐκπορεύεσθε ἐν μηνὶ τῶν νέων.

Εξ. 13,4 - Διότι σήμερον κατά τον μήνα τούτον των νέων σιτηρών εξέρχεσθε σεις ελεύθεροι από την Αίγυπτον.

Εξ. 13,5 - καὶ ἔσται ἡνίκα ἐὰν εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων καὶ Χετταίων καὶ Ἀμοῤῥαίων καὶ Εὐαίων καὶ Ἰεβουσαίων καὶ Γεργεσαίων καὶ Φερεζαίων, ἣν ὤμοσε τοῖς πατράσι σου δοῦναί σοι γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ ποιήσεις τὴν λατρείαν ταύτην ἐν τῷ μηνὶ τούτῳ.

Εξ. 13,5 - Οταν δε Κυριος ο Θεός σε εισαγάγη εις την χώραν των Χαναναίων, των Χετταίων, των Αμορραίων, των Ευαίων, των Ιεβουσαίων, των Γεργεσαίων και των Φερεζαίων, εις την χώραν την οποίαν δι' όρκου υπεσχέθη στους πατέρας σου να δώση εις σέ, και εις την οποίαν ρέει γάλα και μέλι, πρέπει να προσφέρης την λατρείαν αυτήν κατά τον μήνα τούτον.

Εξ. 13,6 - ἓξ ἡμέρας ἔδεσθε ἄζυμα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἑορτὴ Κυρίου·

Εξ. 13,6 - Επί εξ ημέρας θα τρώγετε άρτον χωρίς προζύμι. Η εβδόμη ημέρα- όπως και η πρώτη- θα είναι επίσημος εορτή του Κυρίου.

Εξ. 13,7 - ἄζυμα ἔδεσθε ἑπτὰ ἡμέρας, οὐκ ὀφθήσεταί σοι ζυμωτόν, οὐδὲ ἔσται σοι ζύμη ἐν πᾶσι τοῖς ὁρίοις σου.

Εξ. 13,7 - Αρτον χωρίς προζύμι θα τρώγετε επί επτά ημέρας. Δεν θα παρουσιασθή άρτος ένζυμος στο τραπέζι σου, ούτε θα υπάρξη ένζυμος άρτος εις την περιοχήν σου.

Εξ. 13,8 - καὶ ἀναγγελεῖς τῷ υἱῷ σου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· διὰ τοῦτο ἐποίησε Κύριος ὁ Θεός μοι, ὡς ἐξεπορευόμην ἐξ Αἰγύπτου.

Εξ. 13,8 - Κατά την ημέραν εκείνον θα πληροφορήσης τον υιόν σου, ότι τούτο γίνεται εις ανάμνησιν εκείνου, το οποίον έκαμεν υπέρ ημών ο Θεός, όταν με την ιδικήν του προστασίαν εξηρχόμεθα ελεύθεροι από την Αίγυπτον.

Εξ. 13,9 - καὶ ἔσται σοι σημεῖον ἐπὶ τῆς χειρός σου καὶ μνημόσυνον πρὸ ὀφθαλμῶν σου, ὅπως ἂν γένηται ὁ νόμος Κυρίου ἐν τῷ στόματί σου· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε Κύριος ὁ Θεὸς ἐξ Αἰγύπτου.

Εξ. 13,9 - Θα βάλης δε και κάποιο σημάδι στο χέρι σου, δια να το βλέπης και να ενθυμήσαι το γεγονός αυτό της απελευθερώσεώς σου. Ετσι δε ο Νομος του Κυρίου θα ευρίσκεται πάντοτε στο στόμα σου. Διότι με την παντοδύναμον δεξιάν του σε έβγαλεν ο Κυριος ελεύθερον από την Αίγυπτον.

Εξ. 13,10 - καὶ φυλάξασθε τὸν νόμον τοῦτον κατὰ καιροὺς ὡρῶν, ἀφ᾽ ἡμερῶν εἰς ἡμέρας.

Εξ. 13,10 - Θα φυλάξετε αυτόν τον Νομον κάθε χρόνον και εις τας ημέρας του μηνός, που έχει ορίσει ο Κυριος.

Εξ. 13,11 - καὶ ἔσται ὡς ἂν εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ δώσει σοι αὐτήν,

Εξ. 13,11 - Οταν δε Κυριος ο Θεός σε εγκαταστήση εις την γην των Χαναναίων και δώση εις σε αυτήν την χώραν σύμφωνα με την ένορκον υπόσχεσίν του προς τους πατέρας σου,

Εξ. 13,12 - καὶ ἀφελεῖς πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικά, τῷ Κυρίῳ· πᾶν διανοῖγον μήτραν ἐκ βουκολίων ἢ ἐν τοῖς κτήνεσί σου, ὅσα ἐὰν γένηταί σοι, τὰ ἀρσενικὰ ἁγιάσεις τῷ Κυρίῳ.

Εξ. 13,12 - θα βάλης κατά μέρος και θα αφιερώσης προς τον Κυριον κάθε αρσενικόν πρωτογέννητον. Καθε, λοιπόν, πρωτογέννητον αρσενικόν από τα βόδια σου και από τα ζώα σου, όσα θα γεννηθούν μεταξύ σας, θα τα αφιερώσης στον Κυριον.

Εξ. 13,13 - πᾶν διανοῖγον μήτραν ὄνου ἀλλάξεις προβάτῳ· ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό. πᾶν πρωτότοκον ἀνθρώπου τῶν υἱῶν σου λυτρώσῃ.

Εξ. 13,13 - Ομως κάθε πρωτογέννητον όνου θα το αντικαταστήσης με πρόβατον. Εάν δεν το αντικαταστήσης με πρόβατον, θα προσφέρης αντ' αυτού το ανάλογον χρήμα. Επίσης δια καθ' πρωτότοκον ανθρώπου θα καταβάλης στον ναόν το καθοριζόμενον χρήμα.

Εξ. 13,14 - ἐὰν δὲ ἐρωτήσῃ σε ὁ υἱός σου μετὰ ταῦτα λέγων· τί τοῦτο; καὶ ἐρεῖς αὐτῷ, ὅτι ἐν χειρὶ κραταιᾷ ἐξήγαγε Κύριος ἡμᾶς ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας·

Εξ. 13,14 - Εάν μετά ταύτα σε ερωτήση ο υιός σου· Τι είναι αυτό που κάνεις; Θα του απαντήσης· αυτό το κάμνω, δια να ενθυμούμεθα πάντοτε ότι ο Κυριος με το παντοδύναμον χέρι του μας έβγαλεν ελευθέρους από την Αίγυπτον, από την χώραν της δουλείας.

Εξ. 13,15 - ἡνίκα δὲ ἐσκλήρυνε Φαραὼ ἐξαποστεῖλαι ἡμᾶς, ἀπέκτεινε πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἀπὸ πρωτοτόκων ἀνθρώπων ἕως πρωτοτόκων κτηνῶν· καὶ διὰ τοῦτο ἐγὼ θύω πᾶν διανοῖγον μήτραν, τὰ ἀρσενικά, τῷ Κυρίῳ, καὶ πᾶν πρωτότοκον τῶν υἱῶν μου λυτρώσομαι.

Εξ. 13,15 - Οταν ο Φαραώ εσκληρύνετο απέναντί μας και με κανένα τρόπον δεν ήθελε να μας αφήση ελευθέρους, ο Θεός, δια να τον εξαναγκάση, εθανάτωσε κάθε πρωτότοκον εις την χώραν των Αιγυπτίων από ανθρώπου μέχρι κτήνους. Δια τούτο και εγώ κάθε αρσενικόν πρωτότοκον από τα ζώα το προσφέρω θυσίαν στον Κυριον, δια κάθε δε πρωτότοκον των υιών Ισραήλ καταβάλλομεν εις εξαγοράν χρήμα στον ναόν, ώστε το πρωτότοκον να μένη στον οίκον του πατρός του.

Εξ. 13,16 - καὶ ἔσται εἰς σημεῖον ἐπὶ τῆς χειρός σου καὶ ἀσάλευτον πρὸ ὀφθαλμῶν σου· ἐν γὰρ χειρὶ κραταιᾷ ἐξήγαγέ σε Κύριος ἐξ Αἰγύπτου.

Εξ. 13,16 - Και εις ανάμνησιν αυτού του γεγονότος θα έχης κάποιο σημείον στο χέρι σου, το οποίον βλέπων πάντοτε, θα ενθυμήσαι ότι ο Κυριος με το παντοδύναμον χέρι του σε έβγαλεν ελεύθερον από την Αίγυπτον”.

Εξ. 13,17 - Ὡς δὲ ἐξαπέστειλε Φαραὼ τὸν λαόν, οὐχ ὡδήγησεν αὐτοὺς ὁ Θεὸς ὁδὸν γῆς Φυλιστιείμ, ὅτι ἐγγὺς ἦν· εἶπε γὰρ ὁ Θεός· μήποτε μεταμελήσῃ τῷ λαῷ ἰδόντι πόλεμον, καὶ ἀποστρέψῃ εἰς Αἴγυπτον.

Εξ. 13,17 - Οταν δε ο Φαραώ αφήκεν ελεύθερον τον ισραηλιτικόν λαόν, ο Θεός δεν τους ωδήγησε κατ' ευθείαν εις την Χαναάν δια μέσου της χώρας των Φιλισταίων, διότι η χώρα αυτή ήτο πλησίον της Αιγύπτου. Ο Θεός εσκέφθη, μήπως τυχόν συναντήση πόλεμον εκ μέρους των Φιλισταίων ο ισραηλιτικός λαός και μεταμεληθείς επιστρέψη εις την Αίγυπτον.

Εξ. 13,18 - καὶ ἐκύκλωσεν ὁ Θεὸς τὸν λαὸν ὁδὸν τὴν εἰς τὴν ἔρημον, εἰς τὴν ἐρυθρὰν θάλασσαν, πέμπτῃ δὲ γενεᾷ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου.

Εξ. 13,18 - Δι' αυτό διέταξεν ο Θεός να πορευθούν οι Ισραηλίται κυκλικώς δια της οδού, που οδηγεί εις την έρημον και εις την Ερυθράν Θαλασσαν. Οι Ισραηλίται κατά την πέμπτην γενεάν, από τότε που εισήλθον εις την Αίγυπτον, εξήλθον από αυτήν.

Εξ. 13,19 - καὶ ἔλαβε Μωυσῆς τὰ ὀστᾶ Ἰωσὴφ μεθ᾿ ἑαυτοῦ· ὅρκῳ γὰρ ὥρκισε τοὺς υἱοὺς Ἰσραὴλ λέγων· ἐπισκοπῇ ἐπισκέψεται ὑμᾶς Κύριος καὶ συνανοίσετέ μου τὰ ὀστᾶ ἐντεῦθεν μεθ᾿ ὑμῶν.

Εξ. 13,19 - Ο δε Μωϋσής επήρε μαζή του και τα οστά του Ιωσήφ, διότι ο Ιωσήφ είχεν ορκίσει τους Ισραηλίτας λέγων· “θα σας επισκεφθή ασφαλώς και βεβαίως ο παντοδύναμος Κυριος, δια να σας επαναφέρη εις την Χαναάν. Να πάρετε τότε μαζή σας από εδώ τα οστά μου”.

Εξ. 13,20 - ἐξάραντες δὲ οἱ υἱοὶ Ἰσραὴλ ἐκ Σοκχὼθ ἐστρατοπέδευσαν ἐν Ὀθὼμ παρὰ τὴν ἔρημον.

Εξ. 13,20 - Εξεκίνησαν οι Ισραηλίται από την Σοκχώθ και στρατοπέδευσαν εις Οθώμ, πλησίον της ερήμου.

Εξ. 13,21 - ὁ δὲ Θεὸς ἡγεῖτο αὐτῶν, ἡμέρας μὲν ἐν στύλῳ νεφέλης, δεῖξαι αὐτοῖς τὴν ὁδόν, τὴν δὲ νύκτα ἐν στύλῳ πυρός·

Εξ. 13,21 - Ο δε Θεός ωδηγούσεν αυτούς και τους εδείκνυε την οδόν κατά μεν την ημέραν με νεφέλην υπό μορφήν στύλου, την δε νύκτα με πύρινον στύλον, ώστε και να τους φωτίζη.

Εξ. 13,22 - οὐκ ἐξέλιπε δὲ ὁ στῦλος τῆς νεφέλης ἡμέρας καὶ ὁ στῦλος τοῦ πυρὸς νυκτὸς ἐναντίον τοῦ λαοῦ παντός.

Εξ. 13,22 - Ποτέ δε ο στύλος της νεφέλης κατά την ημέραν και ο στύλος του πυρός κατά την νύκτα δεν έλειψαν ενώπιον του ισραηλιτικού λαού.

## ΕΞΟΔΟΣ 14

Εξ. 14,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Εξ. 14,1 - Ελάλησεν ο Κυριος προς τον Μωϋσήν και του είπε·

Εξ. 14,2 - λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἀποστρέψαντες στρατοπεδευσάτωσαν ἀπέναντι τῆς ἐπαύλεως, ἀνὰ μέσον Μαγδώλου καὶ ἀνὰ μέσον τῆς θαλάσσης, ἐξεναντίας Βεελσεπφῶν, ἐνώπιον αὐτῶν στρατοπεδεύσεις ἐπὶ τῆς θαλάσσης.

Εξ. 14,2 - “ειπέ στους Ισραηλίτας να επιστρέψουν από την Οθώμ και να στρατοπεδεύσουν απέναντι, της Επαύλεως, που κείται μεταξύ της Μαγδώλου και της Ερυθράς Θαλάσσης, καταντικρύ της Βεελσεπφών. Απέναντι αυτών θα στρατοπεδεύσης, πλησίον της Ερυθράς Θαλάσσης.

Εξ. 14,3 - καὶ ἐρεῖ Φαραὼ τῷ λαῷ αὐτοῦ· οἱ υἱοὶ Ἰσραὴλ πλανῶνται οὗτοι ἐν τῇ γῇ· συγκέκλεικε γὰρ αὐτοὺς ἡ ἔρημος.

Εξ. 14,3 - Ο Φαραώ, όταν ίδη τούτο, θα είπη στον λαόν του· Αυτοί οι Ισραηλίται περιπλανώνται εις την περιοχήν εκείνην, διότι τους έχει κλείσει η έρημος και δεν γνωρίζουν που να κατευθυνθούν.

Εξ. 14,4 - ἐγὼ δὲ σκληρυνῶ τὴν καρδίαν Φαραώ, καὶ καταδιώξεται ὀπίσω αὐτῶν· καὶ ἐνδοξασθήσομαι ἐν Φαραὼ καὶ ἐν πᾶσι τῇ στρατιᾷ αὐτοῦ, καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι ἐγώ εἰμι Κύριος. καὶ ἐποίησαν οὕτως.

Εξ. 14,4 - Εγώ θα παραχωρήσω να σκληρυνθή η καρδία του Φαραώ και παρά τας τιμωρίας που έλαβε, θα εξέλθη αμετανόητος εις καταδίωξιν των Ισραηλιτών. Τοτε θα δοξασθώ εγώ δια τις ολοκληρωτικής συντριβής του Φαραώ και όλου του στρατού του, και θα μάθουν όλοι οι Αιγύπτιοι, ότι εγώ είμαι ο Κυριος”. Οι Ισραηλίται έκαμαν όπως διέταξεν ο Θεός.

Εξ. 14,5 - καὶ ἀνηγγέλη τῷ βασιλεῖ τῶν Αἰγυπτίων ὅτι πέφευγεν ὁ λαός· καὶ μετεστράφη ἡ καρδία Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ ἐπὶ τὸν λαόν, καὶ εἶπαν· τί τοῦτο ἐποιήσαμεν τοῦ ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραήλ, τοῦ μὴ δουλεύειν ἡμῖν;

Εξ. 14,5 - Ανηγγέλθη στον βασιλέα των Αιγυπτίων, ότι έχει φύγει ο ισραηλιτικός λαός και μετεστράφη η καρδία αυτού και των αυλικών του εναντίον του Ισραηλιτικού λαού, και είπαν· “τι είναι αυτό που εκάμαμεν, να αφήσωμεν ελευθέρους να φύγουν τους Ισραηλίτας και έτσι να μη εργάζονται δι' ημάς ως δούλοι;”

Εξ. 14,6 - ἔζευξεν οὖν Φαραὼ τὰ ἅρματα αὐτοῦ καὶ πάντα τὸν λαὸν αὐτοῦ συναπήγαγε μεθ᾽ ἑαυτοῦ

Εξ. 14,6 - Ο Φαραώ διέταξε και έζευξαν τα πολεμικά του άρματα και παρέλαβε μαζή του όλον τον στρατόν του.

Εξ. 14,7 - καὶ λαβὼν ἑξακόσια ἅρματα ἐκλεκτὰ καὶ πᾶσαν τὴν ἵππον τῶν Αἰγυπτίων καὶ τριστάτας ἐπὶ πάντων.

Εξ. 14,7 - Ελαβεν εξακόσια εκλεκτά άρματα, όλον το ιππικόν των Αιγυπτίων και τους εμπείρους εις πόλεμον αρχηγούς, και εξήλθε εναντίον των Ισραηλιτών.

Εξ. 14,8 - καὶ ἐσκλήρυνε Κύριος τὴν καρδίαν Φαραὼ βασιλέως Αἰγύπτου καὶ τῶν θεραπόντων αὐτοῦ, καὶ κατεδίωξεν ὀπίσω τῶν υἱῶν Ἰσραήλ· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐξεπορεύοντο ἐν χειρὶ ὑψηλῇ.

Εξ. 14,8 - Ο Κυριος είχε παραχωρήσει να σκληρυνθή η καρδία του βασιλέως της Αιγύπτου και των αυλικών του, και έτσι αμετανόητος ο Φαραώ από τας τόσας τιμωρίας εκινήθη οπίσω των Ισραηλιτών εις καταδίωξιν αυτών. Οι Ισραηλίται όμως επροχωρούσαν προστατευόμενοι από την ένδοξον και παντοδύναμον χείρα του Θεού.

Εξ. 14,9 - καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι ὀπίσω αὐτῶν καὶ εὕροσαν αὐτοὺς παρεμβεβληκότας παρὰ τὴν θάλασσαν, καὶ πᾶσα ἡ ἵππος καὶ τὰ ἅρματα Φαραὼ καὶ οἱ ἱππεῖς καὶ ἡ στρατιὰ αὐτοῦ ἀπέναντι τῆς ἐπαύλεως ἐξεναντίας Βεελσεπφῶν.

Εξ. 14,9 - Οι Αιγύπτιοι τους εκυνήγησαν και τους έφθασαν στρατοπεδευμένους πλησίον της Ερυθράς Θαλάσσης. Ολον το ιππικόν, τα άρματα του Φαραώ, οι ιππείς και όλη η στρατιά αυτού εστρατοπέδευσαν πλησίον της Επαύλεως απέναντι από την Βεελσεπφών.

Εξ. 14,10 - καὶ Φαραὼ προσῆγε· καὶ ἀναβλέψαντες οἱ υἱοὶ Ἰσραὴλ τοῖς ὀφθαλμοῖς ὁρῶσι, καὶ οἱ Αἰγύπτιοι ἐστρατοπέδευσαν ὀπίσω αὐτῶν, καὶ ἐφοβήθησαν σφόδρα· ἀνεβόησαν δὲ οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον,

Εξ. 14,10 - Ο Φαραώ ωδηγούσε το στράτευμά του. Οι Ισραηλίται υψώσαντες τα βλέμματά των είδον κατάπληκτοι ότι οι Αιγύπτιοι είχον στρατοπεδεύσει όπισθεν αυτών. Τρομαγμένοι εβόησαν προς τον Κυριον·

Εξ. 14,11 - καὶ εἶπαν πρὸς Μωυσῆν· παρὰ τὸ μὴ ὑπάρχειν μνήματα ἐν γῇ Αἰγύπτῳ ἐξήγαγες ἡμᾶς θανατῶσαι ἐν τῇ ἐρήμῳ; τί τοῦτο ἐποίησας ἡμῖν ἐξαγαγὼν ἐξ Αἰγύπτου;

Εξ. 14,11 - και φοβούμενοι σφαγήν των εις την έρημον είπον εν τη ολιγοπιστία των προς τον Μωϋσήν· “μήπως, επειδή δεν υπάρχουν τάφοι εις την Αίγυπτον, μας έβγαλες να φονευθώμεν εις την έρημον; Τι είναι αυτό που μας έκαμες βγάζοντας ημάς από την Αίγυπτον;

Εξ. 14,12 - οὐ τοῦτο ἦν τὸ ῥῆμα, ὃ ἐλαλήσαμεν πρὸς σὲ ἐν Αἰγύπτῳ, λέγοντες· πάρες ἡμᾶς, ὅπως δουλεύσωμεν τοῖς Αἰγυπτίοις; κρεῖσσον γὰρ ἡμᾶς δουλεύειν τοῖς Αἰγυπτίοις ἢ ἀποθανεῖν ἐν τῇ ἐρήμῳ ταύτῃ.

Εξ. 14,12 - Μηπως ημείς, όταν ευρισκόμεθα εις την Αίγυπτον, δεν σου είχαμεν είπει, άφησέ μας εδώ να είμεθα και να εργαζώμεθα ως δούλοι δια τους Αιγυπτίους; Διότι είναι προτιμότερον να είμεθα δούλοι στους Αιγυπτίους, παρά να αποθάνωμεν εις αυτήν την έρημον”.

Εξ. 14,13 - εἶπε δὲ Μωυσῆς πρὸς τὸν λαόν· θαρσεῖτε, στῆτε καὶ ὁρᾶτε τὴν σωτηρίαν τὴν παρὰ τοῦ Κυρίου, ἣν ποιήσει ἡμῖν σήμερον· ὃν τρόπον γὰρ ἑωράκατε τοὺς Αἰγυπτίους σήμερον, οὐ προσθήσεσθε ἔτι ἰδεῖν αὐτοὺς εἰς τὸν αἰῶνα χρόνον·

Εξ. 14,13 - Απήντησε δε ο Μωϋσής προς τον λαόν· “έχετε θάρρος. Σταθήτε ακλόνητοι και ανδρείοι και θα ιδήτε την σωτηρίαν, την οποίαν σήμερον θα πραγματοποιήση ο Θεός προς χάριν σας. Διότι, όπως βλέπετε τα αιγυπτιακά στρατεύματα σήμερον, δεν πρόκειται ποτέ πλέον να τα ίδετε στο μέλλον.

Εξ. 14,14 - Κύριος πολεμήσει περὶ ὑμῶν, καὶ ὑμεῖς σιγήσετε.

Εξ. 14,14 - Ο Κυριος θα πολεμήση δια την σωτηρίαν σας. Λοιπόν σταματήσατε τα παράπονα και περιμένετε με πίστιν”. Και ο Μωϋσής επεδόθη εις θερμήν προσευχήν προς τον Κυριον.

Εξ. 14,15 - Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· τί βοᾷς πρός με; λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἀναζευξάτωσαν·

Εξ. 14,15 - Του είπε δε ο Κυριος· “τι φωνάζεις προς εμέ προσευχόμενος; Ειπέ στους Ισραηλίτας να ετοιμασθούν δια να αναχωρήσουν.

Εξ. 14,16 - καὶ σὺ ἔπαρον τῇ ῥάβδῳ σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν καὶ ῥῆξον αὐτήν, καὶ εἰσελθάτωσαν οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν.

Εξ. 14,16 - Συ δε σήκωσε την ράβδον σου, άπλωσε το χέρι σου εις την θάλασσαν και διαχώρισε αυτήν εις τα δύο. Και αφού διαχωρισθή η θάλασσα, ας εισέλθουν οι Ισραηλίται εις την ξηράν δια μέσου αυτής οδόν.

Εξ. 14,17 - καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ καὶ τῶν Αἰγυπτίων πάντων, καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν· καὶ ἐνδοξασθήσομαι

ἐν Φαραὼ καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ καὶ ἐν τοῖς ἅρμασι καὶ ἐν τοῖς ἵπποις αὐτοῦ.

Εξ. 14,17 - Εγώ δε θα παραχωρήσω να σκληρυνθή η καρδία του Φαραώ και όλων των Αιγυπτίων, ώστε αμετανόητοι αυτοί και από τούτο το θαύμα να εισέλθουν εις την θάλασσαν οπίσω από τους Ισραηλίτας. Τοτε θα φανή η δόξα μου, διότι ο Φαραώ και όλη η στρατιά του και τα άρματα και το ιππικόν του θα πνιγούν εις την θάλασσαν, ενώ σεις θα σωθήτε υγιείς εις την απέναντι ακτήν.

Εξ. 14,18 - καὶ γνώσονται πάντες οἱ Αἰγύπτιοι ὅτι ἐγώ εἰμι Κύριος, ἐνδοξαζομένου μου ἐν Φαραὼ καὶ ἐν τοῖς ἅρμασι καὶ ἵπποις αὐτοῦ.

Εξ. 14,18 - Και όταν έτσι δοξασθώ με την καταστροφήν του Φαραώ και των αρμάτων και του ιππικού, θα μάθουν όλοι οι Αιγύπτιοι ότι εγώ είμαι Κυριος ο Θεός”.

Εξ. 14,19 - ἐξῇρε δὲ ὁ ἄγγελος τοῦ Θεοῦ ὁ προπορευόμενος τῆς παρεμβολῆς τῶν υἱῶν Ἰσραὴλ καὶ ἐπορεύθη ἐκ τῶν ὄπισθεν· ἐξῇρε δὲ καὶ ὁ στῦλος τῆς νεφέλης ἀπὸ προσώπου αὐτῶν καὶ ἔστη ἐκ τῶν ὀπίσω αὐτῶν.

Εξ. 14,19 - Επειτα από αυτά ο άγγελος του Θεού, ο οποίος επροπορεύετο από το στρατόπεδον των Ισραηλιτών ανήλθε προς τα άνω και μετέβη όπισθεν του στρατοπέδου. Υψώθη επίσης και η στήλη της νεφέλης που ευρίσκετο εμπρός από αυτούς και εστάθη όπισθεν αυτών.

Εξ. 14,20 - καὶ εἰσῆλθεν ἀνὰ μέσον τῆς παρεμβολῆς τῶν Αἰγυπτίων καὶ ἀνὰ μέσον τῆς παρεμβολῆς Ἰσραὴλ καὶ ἔστη· καὶ ἐγένετο σκότος καὶ γνόφος, καὶ διῆλθεν ἡ νύξ, καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα·

Εξ. 14,20 - Η νεφέλη δηλαδή αυτή παρενετέθη μεταξύ του στρατοπέδου των Αιγυπτίων και του στρατοπέδου των Ισραηλιτών και εκεί εστάθη. Εγινε δε σκότος και πυκνή ομίχλη. Επέρασεν η νύκτα και δεν ήλθον εις επαφήν το ένα με το άλλο τα δύο στρατόπεδα.

Εξ. 14,21 - ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ὑπήγαγε Κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ ὅλην τὴν νύκτα καὶ ἐποίησε τὴν θάλασσαν ξηράν, καὶ ἐσχίσθη τὸ ὕδωρ.

Εξ. 14,21 - Ο Μωϋσής άπλωσε το χέρι του εις την Ερυθράν Θαλασσαν και αμέσως ο Θεός εξαπέλυσε καθ' όλην την νύκτα ισχυρότατον νότιον άνεμον εις την θάλασσαν, διηρέθη το ύδωρ εις δύο και έκαμε ξηρόν τον πυθμένα της θαλάσσης.

Εξ. 14,22 - καὶ εἰσῆλθον οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν, καὶ τὸ ὕδωρ αὐτῆς τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων·

Εξ. 14,22 - Οι Ισραηλίται εισήλθαν εις την ξηράν αυτήν οδόν του πυθμένος της θαλάσσης, τα δε ύδατα αυτής εκατέρωθεν της διόδου είχαν γίνει ακίνητα ωσάν δύο τείχη, ένα εκ δεξιών και ένα εξ αριστερών, δια τους διερχομένους Ισραηλίτας.

Εξ. 14,23 - καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι καὶ εἰσῆλθον ὀπίσω αὐτῶν, πᾶς ἵππος Φαραὼ καὶ τὰ ἅρματα καὶ οἱ ἀναβάται, εἰς μέσον τῆς θαλάσσης.

Εξ. 14,23 - Οι Αιγύπτιοι κατεδίωξαν τους Ισραηλίτας, ηκολούθησαν οπίσω αυτών, όλον τα ιππικόν του Φαραώ και τα άρματα και οι αναβάται και επροχωρούσαν δια του ξηρού βυθού μεταξύ των διαχωρισμένων υδάτων της Ερυθράς Θαλάσσης.

Εξ. 14,24 - ἐγενήθη δὲ ἐν τῇ φυλακῇ τῇ ἑωθινῇ καὶ ἐπέβλεψε Κύριος ἐπὶ τὴν παρεμβολὴν τῶν Αἰγυπτίων ἐν στύλῳ πυρὸς καὶ νεφέλης καὶ συνετάραξε τὴν παρεμβολὴν τῶν Αἰγυπτίων

Εξ. 14,24 - Κατά τας μεταμεσονυκτίους ώρας και προς το γλυκοχάραμα έρριψεν ο Θεός δια του πυρίνου στύλου ωργισμένον βλέμμα κατά των Αιγυπτίων και επροκάλεσε ταραχήν και σύγχυσιν στον στρατόν των.

Εξ. 14,25 - καὶ συνέδησε τοὺς ἄξονας τῶν ἁρμάτων αὐτῶν καὶ ἤγαγεν αὐτοὺς μετὰ βίας. καὶ εἶπαν οἱ Αἰγύπτιοι· φύγωμεν ἀπὸ προσώπου Ἰσραήλ, ὁ γὰρ Κύριος πολεμεῖ περὶ αὐτῶν τοὺς Αἰγυπτίους.

Εξ. 14,25 - Ενέπλεξε τους άξονας και τους τροχούς των αρμάτων μάχης μεταξύ των και ώθησεν αυτούς ορμητικώς εις καταστροφήν. Εντρομοι τότε οι Αιγύπτιοι είπαν· “ας φύγωμεν από τους Ισραηλίτας, διότι ο Κυριος πολεμεί εναντίον μας εις υπεράσπισιν αυτών”.

Εξ. 14,26 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκαταστήτω τὸ ὕδωρ καὶ ἐπικαλυψάτω τοὺς Αἰγυπτίους, ἐπί τε τὰ ἅρματα καὶ τοὺς ἀναβάτας.

Εξ. 14,26 - Οταν δε εξήλθον οι Ισραηλίται από την θάλασσαν εις την αντίπεραν ακτήν, είπεν ο Κυριος στον Μωϋσήν· “άπλωσε το χέρι σου εις την θάλασσαν, και εγώ θα επαναφέρω τα ύδατα εις την θέσιν των και θα καταποντίσω τους Αιγυπτίους, τα άρματά των και τους αναβάτας αυτών”.

Εξ. 14,27 - ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν, καὶ ἀποκατέστη τὸ ὕδωρ πρὸς ἡμέραν ἐπὶ χώρας· οἱ δὲ Αἰγύπτιοι ἔφυγον ὑπὸ τὸ ὕδωρ, καὶ ἐξετίναξε Κύριος τοὺς Αἰγυπτίους μέσον τῆς θαλάσσης.

Εξ. 14,27 - Απλωσε πράγματι το χέρι του ο Μωϋσής εις την θάλασσαν και το ύδωρ αποκατεστάθη κατά την πρωΐαν, εις την προτέραν αυτού θέσιν. Οι Αιγύπτιοι προσεπάθησαν να διαφύγουν από το κατακαλύπτον αυτούς ύδωρ. Ο Κυριος όμως εξετίναξε τους Αιγυπτίους με τα επερχόμενα κύματα και τους διεσκόρπισεν εντός της θαλάσσης.

Εξ. 14,28 - καὶ ἐπαναστραφὲν τὸ ὕδωρ ἐκάλυψε τὰ ἅρματα καὶ τοὺς ἀναβάτας καὶ πᾶσαν τὴν δύναμιν Φαραώ, τοὺς εἰσπορευομένους ὀπίσω αὐτῶν, εἰς τὴν θάλασσαν, καὶ οὐ κατελήφθη ἐξ αὐτῶν οὐδὲ εἷς.

Εξ. 14,28 - Τα ύδατα επανελθόντα εις την προτέραν των θέσιν εσκέπασαν τα πολεμικά άρματα, τους αναβάτας αυτών, όλην την δύναμιν

του Φαραώ, όλους εκείνους που είχαν εισέλθει εις την θάλασσαν, δια να καταδιώξουν τους Ισραηλίτας. Δεν απέμεινεν ούτε ένας από αυτούς.

Εξ. 14,29 - οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης, τὸ δὲ ὕδωρ αὐτῆς τεῖχος ἐκ δεξιῶν, καὶ τεῖχος ἐξ εὐωνύμων.

Εξ. 14,29 - Οι δε Ισραηλίται επροχώρησαν χαίροντες δια της ξηράς του βυθού εν μέσω της θαλάσσης, τα δε ύδατα αυτής είχον σταθή ακίνητα, τείχος εκ δεξιών και τείχος εξ αριστερών.

Εξ. 14,30 - καὶ ἐῤῥύσατο Κύριος τὸν Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρὸς τῶν Αἰγυπτίων· καὶ εἶδεν Ἰσραὴλ τοὺς Αἰγυπτίους τεθνηκότας παρὰ τὸ χεῖλος τῆς θαλάσσης.

Εξ. 14,30 - Και έσωσεν έτσι ο Κυριος τους Ισραηλίτας κατά την ημέραν εκείνην από τα χέρια των Αιγυπτίων. Είδον οι Ισραηλίται νεκρούς πλέον τους Αιγυπτίους να εκβράζωνται από τα κύματα εις την παραλίαν,

Εξ. 14,31 - εἶδε δὲ Ἰσραὴλ τὴν χεῖρα τὴν μεγάλην, ἃ ἐποίησε Κύριος τοῖς Αἰγυπτίοις· ἐφοβήθη δὲ ὁ λαὸς τὸν Κύριον καὶ ἐπίστευσαν τῷ Θεῷ καὶ Μωυσῇ τῷ θεράποντι αὐτοῦ.

Εξ. 14,31 - Είδον όμως ακόμη και το παντοδύναμον χέρι του Θεού· όσα ο παντοδύναμος Κυριος δια την προστασίαν αυτών έπραξε κατά των Αιγυπτίων. Εφοβήθησαν το Κυριον, επίστευσαν εις αυτόν περισσότερον και στον δούλον του τον Μωϋσήν.

## ΕΞΟΔΟΣ 15

Εξ. 15,1 - Τότε ᾖσε Μωυσῆς καὶ οἱ υἱοὶ Ἰσραὴλ τὴν ᾠδὴν ταύτην τῷ Θεῷ καὶ εἶπαν λέγοντες· ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.

Εξ. 15,1 - Τοτε έψαλεν ο Μωϋσής, και ίμαζή με αυτού οι Ισραηλίται, αυτόν τον ευχαριστήριον ύμνον προς τον Θεόν λέγοντες· “ας ψάλωμεν και ας δοξολογήσωμεν τον Κυριον, διότι με θαυμαστόν τρόπον μεγάλως εδοξάσθη. Ερριψε και κατεπόντισεν εις την θάλασσαν τους ίππους των Αιγυπτίων μαζή με τους ιππείς.

Εξ. 15,2 - βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι εἰς σωτηρίαν· οὗτός μου Θεός, καὶ δοξάσω αὐτόν, Θεὸς τοῦ πατρός μου, καὶ ὑψώσω αὐτόν.

Εξ. 15,2 - Εις ημάς όμως έγινε βοηθός και προστάτης και μας εχάρισε σωτηρίαν και ασφάλειαν. Αυτός είναι ο Θεός μας και αυτόν θα δοξάσωμεν. Είναι ο Θεός των πατέρων μας και αυτόν θα μεγαλύνωμεν.

Εξ. 15,3 - Κύριος συντρίβων πολέμους, Κύριος ὄνομα αὐτῷ.

Εξ. 15,3 - Είναι ο Κυριος, που συντρίβει τους εχθρούς και νικά στους πολέμους. Κυριος είναι το όνομά του.

Εξ. 15,4 - ἅρματα Φαραὼ καὶ τὴν δύναμιν αὐτοῦ ἔῤῥιψεν εἰς θάλασσαν, ἐπιλέκτους ἀναβάτας τριστάτας κατεπόντισεν ἐν ἐρυθρᾷ θαλάσσῃ,

Εξ. 15,4 - Τα πολεμικά άρματα του Φαραώ και την πολεμικήν του δύναμιν έρριψε και κατεπόντισεν εις την θάλασσαν, εκλεκτούς άνδρας των πολεμικών αρμάτων, μεγάλους και εμπείρους ερχηγούς εβύθισεν εις την Ερυθράν Θαλασσαν.

Εξ. 15,5 - πόντῳ ἐκάλυψεν αὐτούς, κατέδυσαν εἰς βυθὸν ὡσεὶ λίθος.

Εξ. 15,5 - Τους εσκέπασε το πέλαγος, εβυθίσθησαν στον πυθμένα σαν λίθος.

Εξ. 15,6 - ἡ δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύϊ· ἡ δεξιά σου χείρ, Κύριε, ἔθραυσεν ἐχθρούς.

Εξ. 15,6 - Η παντοδύναμος δεξιά σου, Κυριε, εδοξάσθη δια της δυνάμεώς της, η δεξιά σου χείρ, Κυριε, συνέτριψε τους εχθρούς.

Εξ. 15,7 - καὶ τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους· ἀπέστειλας τὴν ὀργήν σου καὶ κατέφαγεν αὐτοὺς ὡς καλάμην.

Εξ. 15,7 - Με την απέραντον θεϊκήν σου δόξαν κατέστρεψες τους αντιθέτους. Εξαπέστειλες εναντίον αυτών την οργήν σου και τους κατέφαγεν εξ ολοκλήρου, όπως η φλόγα κατατρώγει την καλαμιά.

Εξ. 15,8 - καὶ διὰ πνεύματος τοῦ θυμοῦ σου διέστη τὸ ὕδωρ· ἐπάγη ὡσεὶ τεῖχος τὰ ὕδατα, ἐπάγη τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης.

Εξ. 15,8 - Με την πνοήν και μόνον του θυμού σου διηρέθη εις δύο το ύδωρ της θαλάσσης, τα ύδατα αυτής έγιναν στερεά ωσάν τείχος, έγιναν σαν πάγος σκληρά τα κύματά της εν τω μέσω αυτής.

Εξ. 15,9 - εἶπεν ὁ ἐχθρός, διώξας καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου, ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου.

Εξ. 15,9 - Ο Αιγύπτιος εχθρός είπε τότε· Θα καταδιώξω και θα συλλάβω τους Ισραηλίτας, θα πάρω και θα μοιράσω την περιουσίαν των σαν λάφυρα, θα χορτάση η ψυχή μου, θα σφάξω με το μαχαίρι μου, θα κυριεύση το χέρι μου αυτούς και τα υπάρχοντά των.

Εξ. 15,10 - ἀπέστειλας τὸ πνεῦμά σου, ἐκάλυψεν αὐτοὺς θάλασσα· ἔδυσαν ὡσεὶ μόλιβος ἐν ὕδατι σφοδρῷ.

Εξ. 15,10 - Συ όμως εξαπέλυσες τον άνεμον, ωσάν ιδικήν σου πνοήν, και τους εσκέπασεν η θάλασσα. Εβυθίσθησαν εις απροσμέτρητον βάθος βαρείς σαν το μολύβι.

Εξ. 15,11 - τίς ὅμοιός σοι ἐν θεοῖς, Κύριε; τίς ὅμοιός σοι, δεδοξασμένος ἐν ἁγίοις, θαυμαστὸς ἐν δόξαις, ποιῶν τέρατα.

Εξ. 15,11 - Ποιός από τους άλλους θεούς είναι όμοιος με σένα, Κυριε; Ποιός είναι όμοιός σου, τόσον πολύ ένδοξος στους αγίους, τόσον θαυμαστός εις ενδόξους ενεργείας, δημιουργός τόσων καπληκτικών θαυμάτων;

Εξ. 15,12 - ἐξέτεινας τὴν δεξιάν σου, κατέπιεν αὐτοὺς γῆ.

Εξ. 15,12 - Απλωσες την παντοδύναμον δεξιάν σου και κατέπιεν η γη τους Αιγυπτίους.

Εξ. 15,13 - ὡδήγησας τῇ δικαιοσύνῃ σου τὸν λαόν σου τοῦτον, ὃν ἐλυτρώσω, παρεκάλεσας τῇ ἰσχύϊ σου εἰς κατάλυμα ἅγιόν σου.

Εξ. 15,13 - Ωδήγησες με την χάριν και την αγαθότητά σου τον λαόν τούτον, τον οποίον ηλευθέρωσες από την τυραννίαν των Αιγυπτίων. Λιπόψυχον και αποκαρδιωμένον, τον ενίσχυσες με την δύναμίν σου και τον φέρεις τώρα εις τόπον άγιον, εις την γην της επαγγελίας.

Εξ. 15,14 - ἤκουσαν ἔθνη καὶ ὠργίσθησαν· ὠδῖνες ἔλαβον κατοικοῦντας Φυλιστιείμ.

Εξ. 15,14 - Τα καταπληκτικά αυτά γεγονότα τα επληροφορήθησαν ειδωλολατρικά έθνη και συνεταράχθησαν. Φοβοι και πόνοι κατέλαβαν τους κατοικούντας την χώραν των Φιλισταίων.

Εξ. 15,15 - τότε ἔσπευσαν ἡγεμόνες Ἐδώμ, καὶ ἄρχοντες Μωαβιτῶν, ἔλαβεν αὐτοὺς τρόμος, ἐτάκησαν πάντες οἱ κατοικοῦντες Χαναάν.

Εξ. 15,15 - Ανεστατώθησαν τότε οι ηγεμόνες της Ιδουμαίας και οι άρχοντες των Μωαβιτών, διότι κατέλαβεν αυτούς τρόμος· έλυωσαν από τον πανικόν των όλοι οι κάτοικοι της Χαναάν.

Εξ. 15,16 - ἐπιπέσοι ἐπ᾿ αὐτοὺς τρόμος καὶ φόβος, μεγέθει βραχίονός σου ἀπολιθωθήτωσαν, ἕως ἂν παρέλθῃ ὁ λαός σου, Κύριε, ἕως ἂν παρέλθῃ ὁ λαός σου οὗτος, ὃν ἐκτήσω.

Εξ. 15,16 - Ας πέση επάνω των φόβος και τρόμος· ας απολιθωθούν, καθώς θα αντικρύζουν την μεγαλοπρεπή δύναμιν της παντοδυνάμου δεξιάς σου και ας μένουν παράλυτοι από τον πανικόν των, έως ότου διαβή ο λαός σου, αυτός ο λαός σου τον οποίον συ έκαμες ιδικόν σου, έως ότου διαβή και εισέλθη εις την γην της επαγγελίας.

Εξ. 15,17 - εἰσαγαγὼν καταφύτευσον αὐτοὺς εἰς ὄρος κληρονομίας σου, εἰς ἕτοιμον κατοικητήριόν σου, ὃ κατηρτίσω, Κύριε, ἁγίασμα, Κύριε, ὃ ἡτοίμασαν αἱ χεῖρές σου.

Εξ. 15,17 - Οταν δε οδηγήσης μέσα εις την γην της επαγγελίας τους Ισραηλίτας, εγκατάστησε αυτούς μονίμως και ασφαλώς εις την περιοχήν, την οποίαν συ τους έδωσες κληρονομίαν των, εις κατοικητήριόν σου έτοιμον, το οποίον συ δι' αυτούς, Κυριε, ητοίμασες, στο αγίασμα το οποίον έχουν ετοιμάσει αι χείρες σου.

Εξ. 15,18 - Κύριος βασιλεύων τὸν αἰῶνα καὶ ἐπ᾿ αἰῶνα καὶ ἔτι.

Εξ. 15,18 - Ο Κυριος είναι αυτός, που βασιλεύει πάντοτε εις όλους τους αιώνας και πέραν των αιώνων.

Εξ. 15,19 - ὅτι εἰσῆλθεν ἵππος Φαραὼ σὺν ἅρμασι καὶ ἀναβάταις εἰς θάλασσαν, καὶ ἐπήγαγεν ἐπ᾿ αὐτοὺς Κύριος τὸ ὕδωρ τῆς θαλάσσης· οἱ δὲ υἱοὶ Ἰσραὴλ ἐπορεύθησαν διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης.

Εξ. 15,19 - Ας είναι δοξασμένος ο Θεός, διότι αυτός εξαπέλυσε τα ύδατα εναντίον του Φαραώ και των αρμάτων του και των αναβατών, όταν αυτοί εισήλθον εις την θάλασσαν, δια να καταδιώξουν τους Ισραηλίτας. Οι Ισραηλίται όμως επρρεύθησαν δια ξηράς ανάμεσα εις την θάλασσαν".

Εξ. 15,20 - Λαβοῦσα δὲ Μαριάμ, ἡ προφῆτις, ἡ ἀδελφὴ Ἀαρών, τὸ τύμπανον ἐν τῇ χειρὶ αὐτῆς, καὶ ἐξήλθοσαν πᾶσαι αἱ γυναῖκες ὀπίσω αὐτῆς μετὰ τυμπάνων καὶ χορῶν,

Εξ. 15,20 - Η Μαριάμ, η προφήτις, αδελφή του Ααρών, επήρεν στο χέρι της τύμπανον, και μαζή με αυτήν και οπίσω από αυτήν εβγήκαν όλαι αι γυναίκες των Ισραηλιτών με τύμπανα και χορούς, δια να πανηγυρίσουν την θαυμαστήν σωτηρίαν των.

Εξ. 15,21 - ἐξῆρχε δὲ αὐτῶν Μαριὰμ λέγουσα· ᾄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· ἵππον καὶ ἀναβάτην ἔῤῥιψεν εἰς θάλασσαν.

Εξ. 15,21 - Επρωτοστατούσε μεταξύ αυτών η Μαριάμ και όλαι αντιφωνικώς έψαλλον· "ας υμνολογήσωμεν και ας δοξάσωμεν τον Κυριον, διότι μεγάλως εδοξάσθη· ίππους και ιππείς έρριψεν εις την θάλασσαν".

Εξ. 15,22 - Ἐξῇρε δὲ Μωυσῆς τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ θαλάσσης ἐρυθρᾶς καὶ ἤγαγεν αὐτοὺς εἰς τὴν ἔρημον Σούρ· καὶ ἐπορεύοντο τρεῖς ἡμέρας ἐν τῇ ἐρήμῳ καὶ οὐχ ηὕρισκον ὕδωρ ὥστε πιεῖν.

Εξ. 15,22 - Επειτα από αυτά ανέλαβε και ωδήγησεν ο Μωϋσής τους Ισραηλίτας από την Ερυθράν Θαλασσαν και τους έφερεν εις την έρημον Σούρ. Τρεις ημέρας εβάδιζαν εις την έρημον αυτήν και δεν εύρισκον νερό να πίουν.

Εξ. 15,23 - ἦλθον δὲ εἰς Μεῤῥᾶ καὶ οὐκ ἠδύναντο πιεῖν ἐκ Μεῤῥᾶς, πικρὸν γὰρ ἦν· διὰ τοῦτο ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πικρία.

Εξ. 15,23 - Ηλθον εις Μερρά, όπου υπήρχεν ύδωρ αλλά δεν ημπορούσαν να το πίουν, διότι ήτο πικρόν. Δια τούτο έδωσε ένα άλλο όνομα στον τόπον αυτόν ο Μωϋσής, το όνομα "Πικρία".

Εξ. 15,24 - καὶ διεγόγγυζεν ὁ λαὸς ἐπὶ Μωυσῇ λέγοντες· τί πιόμεθα;

Εξ. 15,24 - Ο λαός ένεκα της δίψης, που τον εβασάνιζεν, ήρχισε να γογγύζη κατά του Μωϋσέως λέγων, "τι θα πίωμεν;"

Εξ. 15,25 - ἐβόησε δὲ Μωυσῆς πρὸς Κύριον, καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον, καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ, καὶ ἐγλυκάνθη τὸ ὕδωρ. ἐκεῖ ἔθετο αὐτῷ δικαιώματα καὶ κρίσεις καὶ ἐκεῖ αὐτὸν ἐπείρασε.

Εξ. 15,25 - Ο Μωϋσής προσηυχήθη βαθύτατα προς τον Κυριον, και ο Κυριος απαντών εις την προσευχήν του έδειξεν εις αυτόν ένα ξύλον και έβαλεν ο Μωυσής αυτό στο ύδωρ και αμέσως το ύδωρ έγινε εύγευστον, πόσιμον. Εκεί δε δ Θεός έδωσε δια του Μωυσέως εις τον λαόν εντολάς, αλλά και δοκιμασίας, δια να φανή η πίστις και η υπακοή του.

Εξ. 15,26 - καὶ εἶπεν· ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου καὶ τὰ ἀρεστὰ ἐναντίον αὐτοῦ ποιήσῃς καὶ ἐνωτίσῃ ταῖς ἐντολαῖς

αὐτοῦ καὶ φυλάξῃς πάντα τὰ δικαιώματα αὐτοῦ, πᾶσαν νόσον, ἣν ἐπήγαγον τοῖς Αἰγυπτίοις, οὐκ ἐπάξω ἐπὶ σέ· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου ὁ ἰώμενός σε.

Εξ. 15,26 - Είπε δηλαδή· “εάν με προσοχήν υπακούσης εις τας εντολάς αυτάς του Κυρίου και Θεού σου και πράξης όσα είναι ευάρεστα εις αυτόν και βάλης μέσα εις την καρδίαν σου τας εντολάς του και φυλάξης όλα τα προστάγματά του, τότε δεν θα επιφέρω εναντίον σου καμμίαν ασθένειαν, από εκείνας που επέφερα κατά των Αιγυπτίων. Διότι εγώ είμαι Κυριος ο Θεός σου, που έχω την δύναμιν να σε θεραπεύω και να σε προφυλάσσω από νόσους και συμφοράς” !

Εξ. 15,27 - Καὶ ἤλθοσαν εἰς Αἰλείμ, καὶ ἦσαν ἐκεῖ δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στελέχη φοινίκων· παρενέβαλον δὲ ἐκεῖ παρὰ τὰ ὕδατα.

Εξ. 15,27 - Οι Ισραηλίται ανεχώρησαν από την Μερράν και ήλθον εις Αιλείμ, όπου υπήρχον δώδεκα πηγαί υδάτων και εβδομήκοντα φοίνικες. Εκεί, πλησίον εις τα ύδατα εστρατοπέδευσαν οι Ισραηλίται.

## ΕΞΟΔΟΣ 16

Εξ. 16,1 - Ἀπῆραν δὲ ἐξ Αἰλεὶμ καὶ ἤλθοσαν πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς τὴν ἔρημον Σίν, ὅ ἐστιν ἀνὰ μέσον Αἰλεὶμ καὶ ἀνὰ μέσον Σινά. τῇ δὲ πεντεκαιδεκάτῃ ἡμέρᾳ τῷ μηνὶ τῷ δευτέρῳ ἐξεληλυθότων αὐτῶν ἐκ γῆς Αἰγύπτου,

Εξ. 16,1 - Ολος ο λαός των Ισραηλιτών ανεχώρησαν από την Αιλείμ και ήλθον εις την έρημον Σιν, η οποία ευρίσκεται μεταξύ της Αιλείμ και του όρους Σινά. Εκεί, κατά την δεκάτην πέμπτην του δευτέρου μηνός από της αναχωρήσεώς των εκ της Αιγύπτου,

Εξ. 16,2 - διεγόγγυζε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἐπὶ Μωυσῆν καὶ Ἀαρών,

Εξ. 16,2 - εγόγγυζεν όλον το πλήθος των Ισραηλιτών κατά του Μωϋσέως και του Ααρών και είπαν εις αυτούς· “καλύτερα να είχαμε πεθάνει εις την Αίγυπτον κτυπημένοι με μίαν από τας πληγάς, που είχε στείλει εκεί ο Κυριος εις την Αίγυπτον, όπου επί τέλους εκαθήμεθα πλησίον εις τα καζάνια τα γεμάτα κρέας και εχορταίναμεν ψωμί και φαγητόν,

Εξ. 16,3 - καὶ εἶπαν πρὸς αὐτοὺς οἱ υἱοὶ Ἰσραήλ· ὄφελον ἀπεθάνομεν πληγέντες ὑπὸ Κυρίου ἐν γῇ Αἰγύπτῳ, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν καὶ ἠσθίομεν ἄρτους εἰς πλησμονήν· ὅτι ἐξηγάγετε ἡμᾶς εἰς τὴν ἔρημον ταύτην ἀποκτεῖναι πᾶσαν τὴν συναγωγὴν ταύτην ἐν λιμῷ.

Εξ. 16,3 - παρά που μας εβγάλατε εις την έρημον αυτήν να μας θανατώσετε όλους με την πείναν”.

Εξ. 16,4 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἰδοὺ ἐγὼ ὕω ὑμῖν ἄρτους ἐκ τοῦ οὐρανοῦ, καὶ ἐξελεύσεται ὁ λαὸς καὶ συλλέξουσι τὸ τῆς ἡμέρας εἰς ἡμέραν, ὅπως πειράσω αὐτούς, εἰ πορεύσονται τῷ νόμῳ μου ἢ οὔ·

Εξ. 16,4 - Είπεν ο Κυριος προς τον Μωϋσήν· "ιδού εγώ θα βρέξω δια σας άρτους από τον ουρανόν. Και ο ισραηλιτικός λαός θα εξέλθη και θα συλλέγουν όλοι κάθε ημέραν όσον τους είναι αρκετόν δια την ημέραν. Η εντολή μου αυτή είναι και δοκιμασία δι' αυτούς, δια να ίδω, εάν θα συμμορφωθούν με αυτήν η, όχι.

Εξ. 16,5 - καὶ ἔσται ἐν τῇ ἡμέρᾳ τῇ ἕκτῃ καὶ ἑτοιμάσουσιν ὃ ἂν εἰσενέγκωσι, καὶ ἔσται διπλοῦν ὃ ἐὰν συναγάγωσι τὸ καθ᾿ ἡμέραν εἰς ἡμέραν.

Εξ. 16,5 - Κατά την έκτην όμως ημέραν, την παραμονήν δηλαδή του Σαβάτου, θα προμηθευθούν και θα φέρουν στο σπίτι των μεγαλυτέραν ποσότητα· διπλήν από εκείνην την οποίαν συλλέγουν κατά τας άλλας ημέρας".

Εξ. 16,6 - καὶ εἶπε Μωυσῆς καὶ Ἀαρὼν πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ· ἑσπέρας γνώσεσθε ὅτι Κύριος ἐξήγαγεν ὑμᾶς ἐκ γῆς Αἰγύπτου,

Εξ. 16,6 - Ο Μωϋσής και ο Ααρών είπαν προς όλον το πλήθος των Ισραηλιτών· "αυτήν την εσπέραν θα μάθετε, ότι ο Κυριος σας έβγαλεν από την Αίγυπτον, όχι δια να σας θανατώση με την πείναν.

Εξ. 16,7 - καὶ πρωΐ ὄψεσθε τὴν δόξαν Κυρίου ἐν τῷ εἰσακοῦσαι τὸν γογγυσμὸν ὑμῶν ἐπὶ τῷ Θεῷ· ἡμεῖς δὲ τί ἐσμεν ὅτι διαγογγύζετε καθ᾿ ἡμῶν;

Εξ. 16,7 - Αύριον το πρωϊ θα ιδήτε την δόξαν του Κυρίου, ο οποίος ήκουσε τον εναντίον του γογγυσμόν σας, διότι οι γογγυσμοί σας εναντίον αυτού στρέφονται. Ημείς τι είμεθα, ώστε να γογγύζετε εναντίον μας;"

Εξ. 16,8 - καὶ εἶπε Μωυσῆς· ἐν τῷ διδόναι Κύριον ὑμῖν ἑσπέρας κρέα φαγεῖν καὶ ἄρτους τὸ πρωΐ εἰς πλησμονὴν διὰ τὸ εἰσακοῦσαι Κύριον τὸν γογγυσμὸν ὑμῶν, ὃν ὑμεῖς διαγογγύζετε καθ᾿ ἡμῶν· ἡμεῖς δὲ τί ἐσμεν; οὐ γὰρ καθ᾿ ἡμῶν ἐστιν ὁ γογγυσμὸς ὑμῶν· ἀλλ᾿ ἢ κατὰ τοῦ Θεοῦ.

Εξ. 16,8 - Και προσέθεσεν ακόμη ο Μωϋσής· "θα ιδήτε την πανάγαθον πρρστασίαν του Κυρίου, όταν την μεν εσπέραν θα σας δώση κρέατα να φάγετε, το δε πρωϊ άφθονο ψωμί, ώστε να χορτάσετε, διότι ήκουσε τους γογγυσμούς σας εναντίον ημών. Τι είμεθα ημείς και γογγύζετε εναντίον μας; Είμεθα απλοί υπηρέται του Θεού. Επομένως ο γογγυαμός σας δεν στρέφεται εναντίον μας, αλλά εναντίον του Θεού".

Εξ. 16,9 - εἶπε δὲ Μωυσῆς πρὸς Ἀαρών· εἰπὸν πάσῃ συναγωγῇ υἱῶν Ἰσραήλ· προσέλθετε ἐναντίον τοῦ Θεοῦ· εἰσακήκοε γὰρ τὸν γογγυσμὸν ὑμῶν.

Εξ. 16,9 - Ο Μωϋσής είπεν στον Ααρών· “ειπέ εις όλους τους Ισραηλίτας· Προσέλθετε ενώπιον του Κυρίου, παβρουσιασθήτε εις αυτόν με ευλάβειαν, διότι ήκουσε τους γογγυσμούς σας”.

Εξ. 16,10 - ἡνίκα δὲ ἐλάλει Ἀαρὼν πάσῃ συναγωγῇ υἱῶν Ἰσραήλ, καὶ ἐπεστράφησαν εἰς τὴν ἔρημον, καὶ ἡ δόξα Κυρίου ὤφθη ἐν νεφέλῃ.

Εξ. 16,10 - Την ώραν, που ο Ααρών ωμιλούσεν στο πλήθος των Ισραηλιτών, έστρεψαν εκείνοι τα βλέμματά των εις την έρημον και ιδού, εφάνηκε η δόξα του Κυρίου υπό μορφήν νεφέλης.

Εξ. 16,11 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Εξ. 16,11 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και είπεν·

Εξ. 16,12 - εἰσακήκοα τὸν γογγυσμὸν τῶν υἱῶν Ἰσραήλ· λάλησον πρὸς αὐτοὺς λέγων· τὸ πρὸς ἑσπέραν ἔδεσθε κρέα καὶ τὸ πρωΐ πλησθήσεσθε ἄρτων· καὶ γνώσεσθε ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Εξ. 16,12 - “ήκουσα τον γογγυσμόν των Ισραηλιτών. Ειπέ εις αυτούς· Την εσπέραν θα φάγετε κρέατα και το πρωϊ θα χορτάσετε από άρτους· έτσι θα μάθετε ότι εγώ είμαι Κυριος ο Θεός σας.

Εξ. 16,13 - ἐγένετο δὲ ἑσπέρα, καὶ ἀνέβη ὀρτυγομήτρα καὶ ἐκάλυψε τὴν παρεμβολήν· τὸ πρωΐ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς

Εξ. 16,13 - Οταν ήλθεν η εσπέρα, έπεσαν πλήθος ορτύκια εις την περιοχήν, τόσα πολλά ώστε εσκέπασαν την κατασκήνωσιν των Εβραίων. Την δε πρωΐαν, καθώς έπαυεν η πτώσις της δρόσου γύρω από την κατασκήνωσιν,

Εξ. 16,14 - καὶ ἰδοὺ ἐπὶ πρόσωπον τῆς ἐρήμου λεπτὸν ὡσεὶ κόριον λευκόν, ὡσεὶ πάγος ἐπὶ τῆς γῆς.

Εξ. 16,14 - εφάνη αίφνης απλωμένον εις την έρημον κάτι λεπτόν, όπως είναι οι σπόροι από το κεχρί, και λευκόν όπως ο πάγος επάνω εις την γην.

Εξ. 16,15 - ἰδόντες δὲ αὐτὸ οἱ υἱοὶ Ἰσραὴλ εἶπαν ἕτερος τῷ ἑτέρῳ· τί ἐστι τοῦτο; οὐ γὰρ ᾔδεισαν, τί ἦν. εἶπε δὲ Μωυσῆς αὐτοῖς· οὗτος ὁ ἄρτος, ὃν ἔδωκε Κύριος ὑμῖν φαγεῖν·

Εξ. 16,15 - Οταν το είδον οι Ισραηλίται, ερωτούσαν ο ένας τον άλλον· “τι είναι τούτο;” Διότι δεν εγνώριζαν τι πράγματι ήτο εκείνο. Ο Μωϋσής όμως τους είπεν· “αυτός είναι ο άρτος, τον οποίον ο Κυριος σας έδωκε να φάγετε.

Εξ. 16,16 - τοῦτο τὸ ῥῆμα ὃ συνέταξε Κύριος· συναγάγετε ἀπ᾿ αὐτοῦ ἕκαστος εἰς τοὺς καθήκοντας, γομὸρ κατὰ κεφαλὴν κατὰ ἀριθμὸν ψυχῶν ὑμῶν, ἕκαστος σὺν τοῖς συσκηνίοις ὑμῶν συλλέξατε.

Εξ. 16,16 - Αυτή δε είναι η εντολή, που σας έδωσεν ο Κυριος· Συλλέξατε από αυτό ο καθένας τόσον, όσον είναι αρκετόν δια τα μέλη της οικογενείας σας. Ενα γομόρ θα συλλέγετε δια το κάθε μέλος της οικογενείας σας, δια τον κάθε ομόσκηνόν σας”.

Εξ. 16,17 - ἐποίησαν δὲ οὕτως οἱ υἱοὶ Ἰσραὴλ καὶ συνέλεξαν ὁ τὸ πολὺ καὶ ὁ τὸ ἔλαττον.

Εξ. 16,17 - Ετσι έκαμαν οι Ισραηλίται και εμάζεψαν άλλος πολύ και άλλος ολίγον

Εξ. 16,18 - καὶ μετρήσαντες γομόρ, οὐκ ἐπλεόνασεν ὁ τὸ πολύ, καὶ ὁ τὸ ἔλαττον οὐκ ἠλαττόνησεν· ἕκαστος εἰς τοὺς καθήκοντας παρ᾿ ἑαυτῷ συνέλεξαν.

Εξ. 16,18 - Οταν όμως εμέτρησαν το συλλεγέν ποσόν δια του δοχείου, που εχωρούσεν ένα γομόρ, είδαν ότι όποιος είχε συλλέξει πολύ δεν εξεπέρασε το ένα γομόρ, και όποιος εμάζεψεν ολίγον δεν είχεν ολιγώτερον από ένα γομόρ. Ο καθένας δηλαδή είχεν εις την διάθεσίν του ένα γομόρ δια το κάθε άτομον της οικογενείας του

Εξ. 16,19 - εἶπε δὲ Μωυσῆς πρὸς αὐτούς· μηδεὶς καταλειπέτω ἀπ᾿ αὐτοῦ εἰς τὸ πρωΐ.

Εξ. 16,19 - Είπε δε προς αυτούς ο Μωϋσής· “κανείς δεν θα αφήση περίσσευμα από αυτό δια την επομένην ημέραν”.

Εξ. 16,20 - καὶ οὐκ εἰσήκουσαν Μωυσῇ, ἀλλὰ κατέλιπόν τινες ἀπ᾿ αὐτοῦ εἰς τὸ πρωΐ· καὶ ἐξέζεσε σκώληκας καὶ ἐπώζεσε· καὶ ἐπικράνθη ἐπ᾿ αὐτοῖς Μωυσῆς.

Εξ. 16,20 - Μερικοί όμως δεν υπήκουσαν στον Μωυσήν και αφήκαν περίσσευμα δια το άλλο πρωϊ. Αυτό όμως έβγαλε σκουλήκια και εβρώμησε. Επικράνθη ο Μωϋσής από την παρακοήν των αυτήν.

Εξ. 16,21 - καὶ συνέλεξαν αὐτὸ πρωΐ πρωΐ, ἕκαστος τὸ καθῆκον αὐτῷ· ἡνίκα δὲ διεθέρμαινεν ὁ ἥλιος, ἐτήκετο.

Εξ. 16,21 - Καθε πρωϊ οι Ιοραηλίται συνέλεγαν αυτό. Καθένας το καθωρισμένον δια την οικογένειάν του ποσόν. Οταν δε ανέτελλεν ο ήλιος και ηύξανεν η θερμότης, αυτό έλυωνε.

Εξ. 16,22 - ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ ἕκτῃ, συνέλεξαν τὰ δέοντα διπλᾶ, δύο γομὸρ τῷ ἑνί· εἰσήλθοσαν δὲ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς καὶ ἀνήγγειλαν Μωυσῇ·

Εξ. 16,22 - Κατά την έκτην ημέραν συνέλεξαν διπλήν ποσότητα, δύο γομόρ περί τα εξ κιλά) δια κάθε άτομον. Οι άρχοντες των Ισραηλιτών επληροφόρησαν τον Μωϋσέα σχετικώς.

Εξ. 16,23 - εἶπε δὲ Μωυσῆς πρὸς αὐτούς· οὐ τοῦτο τὸ ῥῆμά ἐστιν, ὃ ἐλάλησε Κύριος; σάββατα ἀνάπαυσις ἁγία τῷ Κυρίῳ αὔριον· ὅσα ἐὰν πέσσητε, πέσσετε, καὶ ὅσα ἐὰν ἕψητε, ἕψετε· καὶ πᾶν τὸ πλεονάζον καταλείπετε αὐτὸ εἰς ἀποθήκην εἰς τὸ πρωΐ.

Εξ. 16,23 - Ο δε Μωϋσής τους είπεν· “αυτή δεν είναι η εντολή, που σας έδωσεν ο Κυριος; Αύριον είναι Σαββατον, ημέρα αναπαύσεως, αφιερωμένη στον Κυριον. Οσος άρτος σας χρειάζεται να ζυμώσετε δια τας δύο ημέρας,

ζυμώσατέ τους σήμερον· και όσα έχετε να ψήσετε, ψήσατέ τα σήμερον. Οσα δε από αυτά, αφού φάγετε σήμερον, σας περισσεύσουν, φυλάξατέ τα ως απόθεμα δια την αυριανήν ημέραν”.

Εξ. 16,24 - καὶ κατελίποσαν ἀπ᾿ αὐτοῦ εἰς τὸ πρωΐ, καθὼς συνέταξεν αὐτοῖς Μωυσῆς· καὶ οὐκ ἐπώζεσεν, οὐδὲ σκώληξ ἐγένετο ἐν αὐτῷ.

Εξ. 16,24 - Αφήκαν το περισσεύσαν από αυτό μέχρι την άλλην ημέραν, όπως τους είχε διατάξει ο Μωϋσής. Είδαν δε ότι ούτε εβρώμησεν ούτε έβγαλε σκώληκας.

Εξ. 16,25 - εἶπε δὲ Μωυσῆς· φάγετε σήμερον, ἔστι γὰρ σάββατα σήμερον τῷ Κυρίῳ· οὐχ εὑρεθήσεται ἐν τῷ πεδίῳ.

Εξ. 16,25 - Τους είπεν ο Μωϋσής· “φάγετε σήμερον από το χθεσινόν περίσσευμα, διότι σήμερον είναι Σαββατον, αφιερωμένον στον Κυριον και δεν θα υπάρξη μάνα εις την πεδιάδα.

Εξ. 16,26 - ἓξ ἡμέρας συλλέξετε· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ὅτι οὐκ ἔσται ἐν αὐτῇ.

Εξ. 16,26 - Εξ ημέρας θα συλλέγετε, την εβδόμην την ημέραν είναι Σαββατον, ανάπαυσις· δεν θα υπάρχη εις την πεδιάδα ο άρτος αυτός”.

Εξ. 16,27 - ἐγένετο δὲ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐξήλθοσάν τινες ἐκ τοῦ λαοῦ συλλέξαι καὶ οὐχ εὗρον.

Εξ. 16,27 - Εν τούτοις κατά την εβδόμην ημέραν εξήλθον μερικοί από την κατασκήνωσιν του λαού, δια να συλλέξουν από αυτόν τον άρτον, αλλά δεν ευρήκαν.

Εξ. 16,28 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἕως τίνος οὐ βούλεσθε εἰσακούειν τὰς ἐντολάς μου καὶ τὸν νόμον μου;

Εξ. 16,28 - Ο Κυριος είπε προς τον Μωϋσήν· “έως πότε δεν θέλετε να υπακούετε εις τας έντρλάς μου και στον νόμον μου;

Εξ. 16,29 - ἴδετε, ὁ γὰρ Κύριος ἔδωκεν ὑμῖν σάββατα τὴν ἡμέραν ταύτην· διὰ τοῦτο αὐτὸς ἔδωκεν ὑμῖν τῇ ἡμέρᾳ τῇ ἕκτῃ ἄρτους δύο ἡμερῶν· καθήσεσθε ἕκαστος εἰς τοὺς οἴκους ὑμῶν, μηδεὶς ἐκπορευέσθω ἐκ τοῦ τόπου αὐτοῦ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ.

Εξ. 16,29 - Ιδέτε, ο Κυριος σας διέταξε να τηρήτε αργίαν κατά την ημέραν αυτήν του Σαββάτου. Δια τούτο και την έκτην ημέραν, την Παρασκευήν, σας έδωκεν άρτους δια δύο ημέρας. Καθήσατε λοιπόν όλοι μέσα εις τας κατοικίας σας. Κανείς δεν θα εξέλθη από τον τόπον του κατά την εβδόμην ημέραν”.

Εξ. 16,30 - καὶ ἐσαββάτισεν ὁ λαὸς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ.

Εξ. 16,30 - Υπήκουσεν ο λαός και ετήρησεν αργίαν, κατά την εβδόμην ημέραν.

Εξ. 16,31 - καὶ ἐπωνόμασαν οἱ υἱοὶ Ἰσραὴλ τὸ ὄνομα αὐτοῦ, μάν· ἦν δὲ ὡσεὶ σπέρμα κορίου λευκόν, τὸ δὲ γεῦμα αὐτοῦ ὡς ἐγκρὶς ἐν μέλιτι.

Εξ. 16,31 - Οι Ισραηλίται ωνόμασαν αυτόν τον άρτον “μανά”. Ητο δε λευκόν σαν σπόροι κορίου, η δε γεύσις του σαν τηγανίτα με μέλι.

Εξ. 16,32 - εἶπε δὲ Μωυσῆς· τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε Κύριος· πλήσατε τὸ γομὸρ τοῦ μὰν εἰς ἀποθήκην εἰς τὰς γενεὰς ὑμῶν, ἵνα ἴδωσι τὸν ἄρτον, ὃν ἐφάγετε ὑμεῖς ἐν τῇ ἐρήμῳ, ὡς ἐξήγαγεν ὑμᾶς Κύριος ἐκ γῆς Αἰγύπτου.

Εξ. 16,32 - Ο Μωϋσής είπεν· “ακούστε την εντολήν, που έδωσεν ο Κυριος· γεμίσατε ένα γομόρ από το μάνα και φυλάξατέ το δια τας γενεάς, που θα έλθουν ύστερον από σας, να ίδουν τον άρτον τον οποίον εφάγατε σεις εις την έρημον, όταν σας έβγαλεν ελευθέρους ο Κυριος από την χώραν της Αιγύπτου”.

Εξ. 16,33 - καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρών· λάβε στάμνον χρυσοῦν ἕνα καὶ ἔμβαλε εἰς αὐτὸν πλῆρες τὸ γομὸρ τοῦ μὰν καὶ ἀποθήσεις αὐτὸ ἐναντίον τοῦ Θεοῦ εἰς διατήρησιν εἰς τὰς γενεὰς ὑμῶν.

Εξ. 16,33 - Εις δε τον Ααρών είπεν ο Μωϋσής· “πάρε μίαν χρυσήν στάμναν και βάλε εις αυτήν ένα γομόρ από το μάνα. Τοποθέτησε αυτήν εις την σκηνήν του Μαρτυρίου ενώπιον του Κυρίου, δια να διατηρηθή εις τας επερχομένας γενεάς σας”.

Εξ. 16,34 - ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ, καὶ ἀπέθηκεν Ἀαρὼν ἐναντίον τοῦ μαρτυρίου εἰς διατήρησιν.

Εξ. 16,34 - Οπως διέταξεν ο Θεός τον Μωϋσήν, έτσι και έκαμεν ο Ααρών· επήρε την χρυσήν στάμναν με το μάνα και έθεσεν αυτήν εις την σκηνήν του Μαρτυρίου προς διαφύλαξιν.

Εξ. 16,35 - οἱ δὲ υἱοὶ Ἰσραὴλ ἔφαγον τὸ μὰν ἔτη τεσσαράκοντα, ἕως ἦλθον εἰς γῆν οἰκουμένην· ἐφάγοσαν τὸ μάν, ἕως παρεγένοντο εἰς μέρος τῆς Φοινίκης.

Εξ. 16,35 - Οι Ισραηλίται έτρωγον κατά συνέχειαν το μάνα επί σαράντα έτη εις την έρημον έως ότου ήλθον εις χώραν κατοικουμένην· έφαγον το μάνα, έως ότου ήλθαν εις περιοχήν της Φοινίκης.

Εξ. 16,36 - τὸ δὲ γομὸρ τὸ δέκατον τῶν τριῶν μέτρων ἦν.

Εξ. 16,36 - Το γομόρ είναι, το εν δέκατον των τριών μέτρων.

## ΕΞΟΔΟΣ 17

Εξ. 17,1 - Καὶ ἀπῇρε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἐκ τῆς ἐρήμου Σὶν κατὰ παρεμβολὰς αὐτῶν διά ῥήματος Κυρίου καὶ παρενεβάλοσαν ἐν Ῥαφιδείν· οὐκ ἦν δὲ ὕδωρ τῷ λαῷ πιεῖν.

Εξ. 17,1 - Ολον το πλήθος των Ισραηλιτών, κατόπιν εντολής του Κυρίου, εξεκίνησαν από την έρημον Σιν κατά τμήματα και κατεσκήνωσαν εις Ραφιδείν. Εκεί όμως δεν υπήρχε νερό, δια να πίη ο λαός.

Εξ. 17,2 - καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωυσῆν λέγοντες· δὸς ἡμῖν ὕδωρ, ἵνα πίωμεν. καὶ εἶπεν αὐτοῖς Μωυσῆς· τί λοιδορεῖσθέ μοι, καὶ τί πειράζετε Κύριον;

Εξ. 17,2 - Και οι ' Ισραηλίται ύβριζον τον Μωϋσήν λέγοντες· “δος μας νερό να πιούμε” ! Και εκείνος τους απήντησε· “διατί με υβρίζετε; Διατί πειράζετε τον Κυριον;”

Εξ. 17,3 - ἐδίψησε δὲ ἐκεῖ ὁ λαὸς ὕδατι, καὶ διεγόγγυζεν ἐκεῖ ὁ λαὸς πρὸς Μωυσῆν λέγοντες· ἱνατί τοῦτο; ἀνεβίβασας ἡμᾶς ἐξ Αἰγύπτου ἀποκτεῖναι ἡμᾶς καὶ τὰ τέκνα ἡμῶν καὶ τὰ κτήνη τῷ δίψει;

Εξ. 17,3 - Ο ισραηλιτικός λαός εδίψησε πολύ εκεί για νερό και εγόγγυζων εναντίον του Μωϋσέως λέγοντες· “διατί μας το έκαμες αυτό; Μας έβγαλες από την Αίγυπτον, δια να φονεύσης ημάς και τα παιδιά μας και τα ζώα μας με την φοβεράν δίψαν;”

Εξ. 17,4 - ἐβόησε δὲ Μωυσῆς πρὸς Κύριον λέγων· τί ποιήσω τῷ λαῷ τούτῳ; ἔτι μικρὸν καὶ καταλιθοβολήσουσί με.

Εξ. 17,4 - Με θερμήν προσευχήν ετόνισεν ο Μωϋσής προς τον Θεόν· “τι να κάμω, Κυριε, στον λαόν αυτόν; Ολίγον ακόμη και θα με λιθοβολήσουν με μανίαν”.

Εξ. 17,5 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· προπορεύου τοῦ λαοῦ τούτου, λαβὲ δὲ σεαυτῷ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ· καὶ τὴν ῥάβδον, ἐν ᾗ ἐπάταξας τὸν ποταμόν, λαβὲ ἐν τῇ χειρί σου καὶ πορεύσῃ.

Εξ. 17,5 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “προχώρησε εμπρός από τον λαόν αυτόν, πάρε μαζή σου μερικούς από τους γεροντοτέρους του λαού· πάρε εις τα χέρια σου την ράβδον, με την οποίαν εκτύπησες τον Νείλον ποταμόν, και προχώρει.

Εξ. 17,6 - ὅδε ἐγὼ ἕστηκα ἐκεῖ πρὸ τοῦ σε ἐπὶ τῆς πέτρας ἐν Χωρήβ· καὶ πατάξεις τὴν πέτραν, καὶ ἐξελεύσεται ἐξ αὐτῆς ὕδωρ, καὶ πίεται ὁ λαός. ἐποίησε δὲ Μωυσῆς οὕτως ἐναντίον τῶν υἱῶν Ἰσραήλ.

Εξ. 17,6 - Εγώ δε θα έχώ σταθή εκεί πριν από σε εις την γυμνήν πέτραν του όρους Χωρήβ. Κτύπησε την πέτραν και θα αναπηδήση ύδωρ από αυτήν, δια να πίη όλος ο λαός”. Οπως είπεν ο Θεός, έτσι έκαμεν ο Μωϋσής ενώπιον των Ισραηλιτών.

Εξ. 17,7 - καὶ ἐπωνόμασε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πειρασμὸς καὶ Λοιδόρησις, διὰ τὴν λοιδορίαν τῶν υἱῶν Ἰσραὴλ καὶ διὰ τὸ πειράζειν Κύριον λέγοντας· εἰ ἔστι Κύριος ἐν ἡμῖν ἢ οὔ;

Εξ. 17,7 - Εδωσε δε στον τόπον εκείνον το όνομα “Πειρασμός και Λοιδόρησις” δια τας ύβρεις των υιών Ισραήλ και διότι επίκραναν τον Κυριον λέγοντες· “είναι άραγε ο Θεός μαζή μας η όχι;”

Εξ. 17,8 - Ἦλθε δὲ Ἀμαλὴκ καὶ ἐπολέμει Ἰσραὴλ ἐν Ῥαφιδείν.

Εξ. 17,8 - Εκεί δε εις την Ραφιδείν επήλθον οι Αμαληκίται και επολεμούσαν τους Ισραηλίτας.

Εξ. 17,9 - εἶπε δὲ Μωυσῆς τῷ Ἰησοῦ· ἐπίλεξον σεαυτῷ ἄνδρας δυνατοὺς καὶ ἐξελθὼν παράταξαι τῷ Ἀμαλὴκ αὔριον, καὶ ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς κορυφῆς τοῦ βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ Θεοῦ ἐν τῇ χειρί μου.

Εξ. 17,9 - Είπε δε ο Μωϋσής στον Ιησούν, τον υιόν του Ναυή· "διάλεξε και πάρε μαζή σου άνδρας δυνατούς και αύριον έβγα να αντιπαραταχθής εις πόλεμον εναντίον των Αμαληκιτών. Εγώ δε θα είμαι εις την κορυφήν του λόφου και η ράβδος του Θεού θα είναι στο χέρι μου".

Εξ. 17,10 - καὶ ἐποίησεν Ἰησοῦς καθάπερ εἶπεν αὐτῷ Μωυσῆς, καὶ ἐξελθὼν παρετάξατο τῷ Ἀμαλήκ· καὶ Μωυσῆς καὶ Ἀαρὼν καὶ Ὢρ ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ.

Εξ. 17,10 - Εκαμεν ο Ιησούς του Ναυη, όπως του είπεν ο Μωϋσής· έξήλθεν από το στρατόπεδον των Εβραίων και ήρχισε πόλεμον κατά των Αμαληκιτών. Ο Μωϋσής, ο Ααρών και ο Ωρ ανέβησαν εις την κορυφήν του λόφου.

Εξ. 17,11 - καὶ ἐγίνετο ὅταν ἐπῇρε Μωυσῆς τὰς χεῖρας, κατίσχυεν Ἰσραήλ· ὅταν δὲ καθῆκε τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ.

Εξ. 17,11 - Και συνέβαινε τούτο το παράδοξον· όταν ο Μωϋσής προσευχόμενος ύψωνε τας χείρας, ενικούσαν οι Ισραηλίται. Οταν δε κατεβίβαζε τας χείρας του, ενικούσαν οι Αμαληκίται.

Εξ. 17,12 - αἱ δὲ χεῖρες Μωυσῆ βαρεῖαι· καὶ λαβόντες λίθον ὑπέθηκαν ὑπ᾽ αὐτόν, καὶ ἐκάθητο ἐπ᾽ αὐτοῦ, καὶ Ἀαρὼν καὶ Ὢρ ἐστήριζον τὰς χεῖρας αὐτοῦ, ἐντεῦθεν εἷς καὶ ἐντεῦθεν εἷς· καὶ ἐγένοντο αἱ χεῖρες Μωυσῆ ἐστηριγμέναι ἕως δυσμῶν ἡλίου.

Εξ. 17,12 - Αι χείρες όμως του Μωϋσέως, γέροντος πλέον, ήσαν αδύνατοι, του εφαίνοντο βαρείαι και οψούμεναι τον εκούραζον. Δια τούτο έλαβον λίθον και τον έθεσαν κάτω από τον Μωϋσήν, όπου αυτός εκάθισεν. Ο δε Ααρών και ο Ωρ, ο ένας από το ένα μέρος και ο άλλος από το άλλο εστήριζον τας υψωμένας χείρας του Μωϋσέως. Ετσι δε αι υψωμέναι χείρες του προσευχομένου Μωϋσή υπεβαστάζοντο μέχρι της δύσεως του ηλίου.

Εξ. 17,13 - καὶ ἐτρέψατο Ἰησοῦς τὸν Ἀμαλὴκ καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν φόνῳ μαχαίρας.

Εξ. 17,13 - Κατά τας ώρας δε αυτάς ο Ιησούς του Ναυή έτρεψεν εις φυγήν τους Αμαληκίτας στρατιώτας και όλον αυτόν τον λαόν τον εφόνευσε με μαχαίρας.

Εξ. 17,14 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· κατάγραψον τοῦτο εἰς μνημόσυνον ἐν βιβλίῳ καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῦ, ὅτι ἀλοιφῇ ἐξαλείψω τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν.

Εξ. 17,14 - Ο Κυριος είπε προς τον Μωϋσήν· “γράψε αυτό το γεγονός εις βιβλίον, δια να μένη πάντοτε εις ανάμνησιν και ειπέ στον Ιησούν του Ναυή να το ακούση καλά ότι οπωσδήποτε θα εξαλείψω την μνήμην των Αμαληκιτών από όλην την γην, την υπό τον ουρανόν”.

Εξ. 17,15 - καὶ ᾠκοδόμησε Μωυσῆς θυσιαστήριον Κυρίῳ καὶ ἐπωνόμασε τὸ ὄνομα αὐτοῦ Κύριος καταφυγή μου·

Εξ. 17,15 - Οικοδήμησεν εκεί ο Μωϋσής θυσιαστήριον προς τιμήν και λατρείαν του Κυρίου και ωνόμασεν αυτό “Κυριος καταφυγή μου”.

Εξ. 17,16 - ὅτι ἐν χειρὶ κρυφαίᾳ πολεμεῖ Κύριος ἐπὶ Ἀμαλὴκ ἀπὸ γενεῶν εἰς γενεάς.

Εξ. 17,16 - Διότι ο Κυριος αοράτως και μυστικώς με το παντοδύναμο χέρι του πολεμεί τους Αμαληκίτας από γενεών εις γενεάς.

ΕΞΟΔΟΣ 18

Εξ. 18,1 - Ἤκουσε δὲ Ἰοθὸρ ἱερεὺς Μαδιὰμ ὁ γαμβρὸς Μωυσῆ πάντα ὅσα ἐποίησε Κύριος Ἰσραὴλ τῷ ἑαυτοῦ λαῷ· ἐξήγαγε γὰρ Κύριος τὸν Ἰσραὴλ ἐξ Αἰγύπτου.

Εξ. 18,1 - Ο Ισθόρ, ο ιερεύς εις την Μαδιάμ, ο πενθερός του Μωϋσέως, επληροφορήθη όσα μεγάλα και θαυμαστά έκαμεν ο Κυριος στον ιδικόν του λαόν τον ισραηλιτικόν, ότι δηλαδή απηλευθέρωσε και έβγαλε τον λαόν αυτόν κατά τρόπον θαυμαστόν από την Αίγυπτον.

Εξ. 18,2 - ἔλαβε δὲ Ἰοθὸρ ὁ γαμβρὸς Μωυσῆ Σεπφώραν τὴν γυναῖκα Μωυσῆ μετὰ τὴν ἄφεσιν αὐτῆς

Εξ. 18,2 - Ο Ιοθόρ, ο πενθερός του Μωϋσέως, επήρε μαζή του την Σεπφώραν, την γυναίκα του Μωϋσέως, η οποία μετά την απομάκρυνσίν της δεν είχεν επανέλθει προς τον Μωϋσήν,

Εξ. 18,3 - καὶ τοὺς δύο υἱοὺς αὐτῆς· ὄνομα τῷ ἑνὶ αὐτῶν Γηρσὰμ λέγων· πάροικος ἤμην ἐν γῇ ἀλλοτρίᾳ·

Εξ. 18,3 - επήρε επίσης και τους δύο υιούς αυτής. Τον ένα εξ αυτών είχεν ονομάσει ο Μωϋσής Γηρσάμ δηλώνων με αυτό ότι “ξένος ήμην εις ξένην γην”.

Εξ. 18,4 - καὶ τὸ ὄνομα τοῦ δευτέρου Ἑλιέζερ λέγων· ὁ γὰρ Θεὸς τοῦ πατρός μου βοηθός μου καὶ ἐξείλατό με ἐκ χειρὸς Φαραώ.

Εξ. 18,4 - Τον δεύτερον ωνόμασεν Ελιέζερ λέγων· “ο Θεός του πατρός μου είναι βοηθός μου και με έβγαλε από το χέρι του Φαραώ”.

Εξ. 18,5 - καὶ ἐξῆλθεν Ἰοθὸρ ὁ γαμβρὸς Μωυσῆ καὶ οἱ υἱοὶ καὶ ἡ γυνὴ πρὸς Μωυσῆν εἰς τὴν ἔρημον, οὗ παρενέβαλεν ἐπ᾿ ὄρους τοῦ Θεοῦ.

Εξ. 18,5 - Ο Ιοθόρ, λοιπόν, ο πενθερός του Μωϋσέως, τα παιδιά και η γυναίκα του Μωϋσέως, εξήλθον εις την έρημον, όπου ο Μωϋσής είχε

κατασκηνώσει στους πρόποδας του όρους του Θεού, δηλαδή του Σινά.

Εξ. 18,6 - ἀνηγγέλη δὲ Μωυσῇ λέγοντες· ἰδοὺ ὁ γαμβρός σου Ἰοθὸρ παραγίνεται πρὸς σέ, καὶ ἡ γυνὴ καὶ οἱ δύο υἱοί σου μετ᾿ αὐτοῦ.

Εξ. 18,6 - Μερικοί Ισραηλίται ανήγγειλαν στον Μωϋσήν λέγοντες· “ιδού, ο πενθερός σου ο Ιοθόρ έρχεται εις επίσκεψίν σου, και μαζή με αυτόν είναι η σύζυγός σου και τα δύο παιδιά σου”.

Εξ. 18,7 - ἐξῆλθε δὲ Μωυσῆς εἰς συνάντησιν τῷ γαμβρῷ καὶ προσεκύνησεν αὐτῷ καὶ ἐφίλησεν αὐτόν, καὶ ἠσπάσαντο ἀλλήλους· καὶ εἰσήγαγεν αὐτοὺς εἰς τὴν σκηνήν.

Εξ. 18,7 - Ο Μωϋσής εβγήκεν αμέσως προς συνάντησιν του πενθερού του, και όταν τον συνήντησε τον προσεκύνησε και τον εφίλησε· και οι δύο ησπάσθησαν ο ένας τον άλλον. Ο Μωϋσής ωδήγησεν αυτούς εις την σκηνήν του.

Εξ. 18,8 - καὶ διηγήσατο Μωυσῆς τῷ γαμβρῷ πάντα, ὅσα ἐποίησε Κύριος τῷ Φαραὼ καὶ πᾶσι τοῖς Αἰγυπτίοις ἕνεκεν τοῦ Ἰσραήλ, καὶ πάντα τὸν μόχθον τὸν γενόμενον αὐτοῖς ἐν τῇ ὁδῷ καὶ ὅτι ἐξείλατο αὐτοὺς Κύριος ἐκ χειρὸς Φαραὼ καὶ ἐκ χειρὸς τῶν Αἰγυπτίων.

Εξ. 18,8 - Διηγήθη δε ο Μωϋσής στον πενθερόν του όσα θαυμαστά έκαμεν ο Θεός εναντίον του Φαραώ και όλων των Αιγυπτίων δια την απελευθέρωσιν των Ισραηλιτών, όλας τας ταλαιπωρίας, τας οποίας υπέστησαν καθ' οδόν, και προ παντός ότι έβγαλεν αυτούς ο Κυριος ελευθέρους από τα χέρια του Φαραώ και των Αιγυπτίων.

Εξ. 18,9 - ἐξέστη δὲ Ἰοθὸρ ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς, οἷς ἐποίησεν αὐτοῖς Κύριος, ὅτι ἐξείλατο αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐκ χειρὸς Φαραώ.

Εξ. 18,9 - Εξεπλάγη δε πολύ ο Ιοθόρ δι' όλας τας ευεργεσίας, τας οποίας έκαμεν εις αυτούς ο Κυριος και ιδίως διότι τους απηλευθέρωσεν από τας χείρας των Αιγυπτίων και του Φαραώ.

Εξ. 18,10 - καί εἶπεν Ἰοθόρ· εὐλογητὸς Κύριος, ὅτι ἐξείλατο αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐκ χειρὸς Φαραώ·

Εξ. 18,10 - Είπε δε γεμάτος θαυμασμόν ο Ιοθόρ· “δοξασμένος ας είναι ο Κυριος, διότι σας εγλύτωσεν από τα χέρια των Αιγυπτίων και από τα χέρια του Φαραώ.

Εξ. 18,11 - νῦν ἔγνων ὅτι μέγας Κύριος παρὰ πάντας τοὺς θεούς, ἕνεκεν τούτου ὅτι ἐπέθεντο αὐτοῖς.

Εξ. 18,11 - Τωρα κατάλαβα καλά ότι είναι μέγας ο Κυριος υπεράνω από όλους τους ψευδείς θεούς, διότι παντοδύναμος παρουσιάσθη αυτός, όταν κατεδούλωναν και κατεπίεζον τους Ισραηλίτας οι Αιγύπτιοι”.

Εξ. 18,12 - καὶ ἔλαβεν Ἰοθὸρ ὁ γαμβρὸς Μωυσῆ ὁλοκαυτώματα καὶ θυσίας τῷ Θεῷ· παρεγένετο δὲ Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ συμφαγεῖν ἄρτον μετὰ τοῦ γαμβροῦ Μωυσῆ ἐναντίον τοῦ Θεοῦ.

Εξ. 18,12 - Ο Ιοθόρ, ο πενθερός του Μωϋσέως, επήρε και προσέφερεν ολοκαυτώματα και θυσίας στον Θεόν. Ηλθον δε ο Ααρών και όλοι οι γεροντότεροι από τους Ισραηλίτας και συνέφαγον εις κοινόν συμπόσιον με τον πενθερόν του Μωϋσέως ενώπιον του Θεού.

Εξ. 18,13 - Καὶ ἐγένετο μετὰ τὴν ἐπαύριον συνεκάθισε Μωυσῆς κρίνειν τὸν λαόν· παρειστήκει δὲ πᾶς ὁ λαὸς Μωυσῇ ἀπὸ πρωΐθεν ἕως δείλης.

Εξ. 18,13 - Κατά την επομένην ημέραν εκάθισεν ο Μωϋσής να δικάση τας διαφοράς του λαού, ο οποίος και παρουσιάζετο ενώπιόν του, από το πρωϊ έως το βράδυ.

Εξ. 18,14 - καὶ ἰδὼν Ἰοθὸρ πάντα ὅσα ποιεῖ τῷ λαῷ, λέγει· τί τοῦτο, ὃ σὺ ποιεῖς τῷ λαῷ; διατί σὺ κάθησαι μόνος, πᾶς δὲ ὁ λαὸς παρέστηκέ σοι ἀπὸ πρωΐθεν ἕως δείλης;

Εξ. 18,14 - Οταν είδεν ο Ιοθόρ όλα όσα έκαμνεν ο Μωϋσής στον λαόν, του είπε· "τι είναι αυτό, το οποίον κάμνεις συ στον λαόν; Διατί κάθεσαι και δικάζεις συ αυτοπροσώπως όλας τας υποθέσεις, και ο λαός στέκει όρθιος από το πρωϊ έως το βραδύ;"

Εξ. 18,15 - καὶ λέγει Μωυσῆς τῷ γαμβρῷ, ὅτι παραγίνεται πρός με ὁ λαὸς ἐκζητῆσαι κρίσιν παρὰ τοῦ Θεοῦ.

Εξ. 18,15 - Είπεν ο Μωϋσής στον πενθερόν του· "πράττω αυτό, διότι εις εμέ έρχεται ο λαός να ζητήση, σαν από αντιπρόσωπον του Θεού, το δίκαιόν του.

Εξ. 18,16 - ὅταν γὰρ γένηται αὐτοῖς ἀντιλογία καὶ ἔλθωσι πρός με, διακρίνω ἕκαστον καὶ συμβιβάζω αὐτοὺς τὰ προστάγματα τοῦ Θεοῦ καὶ τὸν νόμον αὐτοῦ.

Εξ. 18,16 - Διότι όταν έχουν διαφοράς και φιλονεικίας και έλθουν προς εμέ, εγώ δικάζω τον καθένα και συγχρόνως διδάσκω αυτούς τας εντολάς του Θεού και τον νόμον του".

Εξ. 18,17 - εἶπε δὲ ὁ γαμβρὸς Μωυσῆ πρὸς αὐτόν· οὐκ ὀρθῶς σὺ ποιεῖς τὸ ῥῆμα τοῦτο·

Εξ. 18,17 - Είπεν ο πενθερός του Μωϋσέως προς αυτόν· "Δεν πράττεις ορθώς εις την περίστασιν αυτήν,

Εξ. 18,18 - φθορᾷ καταφθαρήσῃ ἀνυπομονήτῳ καὶ σὺ καὶ πᾶς ὁ λαὸς οὗτος, ὅς ἐστι μετὰ σοῦ· βαρύ σοι τὸ ῥῆμα τοῦτο, οὐ δυνήσῃ ποιεῖν σὺ μόνος.

Εξ. 18,18 - διότι με την συνεχή αυτήν εργασίαν θα αποκάμης και θα καταβληθής και όλος αυτός ο λαός, που είναι μαζή σου. Είναι βαρύ το έργον αυτό και δεν δύνασαι να το εκτελής μόνος σου.

Εξ. 18,19 - νῦν οὖν ἄκουσόν μου καὶ συμβουλεύσω σοι, καὶ ἔσται ὁ Θεὸς μετὰ σοῦ. γίνου σὺ τῷ λαῷ τὰ πρὸς τὸν Θεὸν καὶ ἀνοίσεις τοὺς λόγους αὐτῶν πρὸς τὸν Θεόν,

Εξ. 18,19 - Τωρα, λοιπόν, θα σου δώσω μίαν συμβουλήν· άκουσέ με και ο Θεός θα είναι μαζή σου· γίνε συ δια τον λαόν αυτόν αντιπρόσωπος του Θεού και ανάφερε προς τον Θεόν τας υποθέσστου λαού του.

Εξ. 18,20 - καὶ διαμαρτύρῃ αὐτοῖς τὰ προστάγματα τοῦ Θεοῦ καὶ τὸν νόμον αὐτοῦ καὶ σημανεῖς αὐτοῖς τὰς ὁδούς, ἐν αἷς πορεύσονται ἐν αὐταῖς, καὶ τὰ ἔργα ἃ ποιήσουσι.

Εξ. 18,20 - Συ, εντόνως θα καθιστάς εις αυτούς γνωστάς τας εντολάς του Θεού και τον Νομον του και θα δεικνύης εις αυτούς τας οδούς, όπου πρέπει να πορεύωνται, και τα έργα τα οποία πρέπει να πράττουν.

Εξ. 18,21 - καὶ σὺ σεαυτῷ σκέψαι ἀπὸ παντὸς τοῦ λαοῦ ἄνδρας δυνατούς, θεοσεβεῖς, ἄνδρας δικαίους, μισοῦντας ὑπερηφανίαν, καὶ καταστήσεις ἐπ᾿ αὐτὸν χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκαδάρχους,

Εξ. 18,21 - Σκέψου όμως και έκλεξε με πολλήν προσοχήν, ως βοηθούς σου, άνδρας από όλον τον λαόν σου, ικανούς και θεοσεβείς, άνδρας δικαίους, ταπεινούς και αποστρεφομένους την υπερηφάνειαν, τους οποίους θα διορίσης στον λαόν σου αρχηγούς και δικαστάς, άλλους μεν επί χλίων ανθρώπων, άλλους επί εκατόν, άλλους εις πεντήκοντα και άλλους επί δέκα.

Εξ. 18,22 - καὶ κρινοῦσι τὸν λαὸν πᾶσαν ὥραν· τὸ δὲ ῥῆμα τὸ ὑπέρογκον ἀνοίσουσιν ἐπὶ σέ, τὰ δὲ βραχέα τῶν κριμάτων κρινοῦσιν αὐτοὶ καὶ κουφιοῦσιν ἀπὸ σοῦ καὶ συναντιλήψονταί σοι.

Εξ. 18,22 - Αυτοί θα δικάζουν τον λαόν πάντοτε. Τας σπουδαίας όμως υποθέσεις θα τας αναφέρουν εις σέ, ενώ τα ελαφρότερα πλημμελήματα θα τα δικάζουν αυτοί. Ετσι δε θα σε ξεκουράσουν και θα σε βοηθήσουν.

Εξ. 18,23 - ἐὰν τὸ ῥῆμα τοῦτο ποιήσῃς, κατισχύσει σε ὁ Θεός, καὶ δυνήσῃ παραστῆναι, καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὸν ἑαυτοῦ τόπον μετ᾿ εἰρήνης ἥξει.

Εξ. 18,23 - Εάν εφαρμήσης αυτό το σύστημα, θα σε ενισχύση ο Θεός και θα ημπορέσης να ανθέξης, και όλος αυτός ο λαός θα επιστρέψη με ειρήνην εις τας σκηνάς του".

Εξ. 18,24 - ἤκουσε δὲ Μωυσῆς τῆς φωνῆς τοῦ γαμβροῦ καὶ ἐποίησεν ὅσα εἶπεν αὐτῷ.

Εξ. 18,24 - Ο Μωϋσής εδέχθη την συμβουλήν του πενθερού του και έθεσεν εις εφαρμογήν όσα εκείνος του είπε.

Εξ. 18,25 - καὶ ἐπέλεξε Μωυσῆς ἄνδρας δυνατοὺς ἀπὸ παντὸς Ἰσραὴλ καὶ ἐποίησεν αὐτοὺς ἐπ᾿ αὐτῶν χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκαδάρχους.

Εξ. 18,25 - Εξέλεξεν ο Μωϋσής από όλους τους Ισραηλίτας άνδρας ικανούς και τους διώρισεν επί των Ισραηλιτών ως χιλιάρχους, εκατοντάρχους, πεντηκοντάρχους και δεκαδάρχους.

Εξ. 18,26 - καὶ ἐκρίνοσαν τὸν λαὸν πᾶσαν ὥραν· πᾶν δὲ ῥῆμα ὑπέρογκον ἀνεφέροσαν ἐπὶ Μωυσῆν, πᾶν δὲ ῥῆμα ἐλαφρὸν ἐκρίνοσαν αὐτοί.
Εξ. 18,26 - Αυτοί εδίκαζαν τας υποθέσστου λαού πάντοτε. Τας μεν σοβαράς υποθέσεις ανέφερον στον Μωϋσήν, τας δε ελαφράς εδίκαζαν εκείνοι.
Εξ. 18,27 - ἐξαπέστειλε δὲ Μωυσῆς τὸν ἑαυτοῦ γαμβρόν, καὶ ἀπῆλθεν εἰς τὴν γῆν αὐτοῦ.
Εξ. 18,27 - Επειτα από αυτά κατευώδωσεν ο Μωϋσής τον πενθερόν του, ο οποίος και επανήλθεν εις την χώραν του.

## ΕΞΟΔΟΣ 19

Εξ. 19,1 - Τοῦ δὲ μηνὸς τοῦ τρίτου τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου τῇ ἡμέρᾳ ταύτῃ ἤλθοσαν εἰς τὴν ἔρημον τοῦ Σινά.
Εξ. 19,1 - Κατά τον τρίτον μήνα της εξόδου των Ισραηλιτών από την Αίγυπτον, ηλθαν οι Ισραηλίται αυθημερόν από την Ραφιδείν εις την έρημον Σινά.
Εξ. 19,2 - καὶ ἀπῆραν ἐκ Ῥαφιδεὶν καὶ ἤλθοσαν εἰς τὴν ἔρημον τοῦ Σινά, καὶ παρενέβαλεν ἐκεῖ Ἰσραὴλ κατέναντι τοῦ ὄρους.
Εξ. 19,2 - Εξεκίνησαν από την Ραφιδείν, ήλθον εις την έρημον του όρους Σινά και κατεσκήνωσαν απέναντι από το όρος.
Εξ. 19,3 - καὶ Μωυσῆς ἀνέβη εἰς τὸ ὄρος τοῦ Θεοῦ· καὶ ἐκάλεσεν αὐτὸν ὁ Θεός ἐκ τοῦ ὄρους λέγων· τάδε ἐρεῖς τῷ οἴκῳ Ἰακὼβ καὶ ἀναγγελεῖς τοῖς υἱοῖς Ἰσραήλ·
Εξ. 19,3 - Ο Μωϋσής ανέβη στο όρος του Θεού. Εκάλεσεν αυτόν ο Θεός από το όρος και του είπεν· "αυτά θα είπης στους απογόνους του Ιακώβ, αυτά θα αναγγείλης στους απογόνους του Ισραήλ.
Εξ. 19,4 - αὐτοὶ ἑωράκατε ὅσα πεποίηκα τοῖς Αἰγυπτίοις, καὶ ἀνέλαβον ὑμᾶς ὡσεὶ ἐπὶ πτερύγων ἀετῶν καὶ προσηγαγόμην ὑμᾶς πρὸς ἐμαυτόν.
Εξ. 19,4 - Σεις οι ίδιοι με τα ίδια σας τα μάτια είδατε πόσα εγώ έκαμα εις τιμωρίαν των Αιγυπτίων, πως δε επήρα σας ωσάν εις πτέρυγας αετών και σας έκαμα ιδικούς μου, λαόν ιδικόν μου.
Εξ. 19,5 - καὶ νῦν ἐὰν ἀκοῇ ἀκούσητε τῆς ἐμῆς φωνῆς καὶ φυλάξητε τὴν διαθήκην μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπό πάντων τῶν ἐθνῶν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ·
Εξ. 19,5 - Και τώρα εάν προσεκτικά ακούσετε την εντολήν μου και φυλάξετε την διαθήκην μου, θα είσθε εις εμέ λαός εκλεκτός μεταξύ όλων των

άλλων εθνών, τα οποία, είτε το θέλουν είτε όχι, είναι και αυτά υπό την εξουσίαν μου, διότι ιδική μου είναι όλη η γη.

Εξ. 19,6 - ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον. ταῦτα τὰ ῥήματα ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ.

Εξ. 19,6 - Σεις όμως θα είσθε ιδικόν μου ιδιαίτερον βασίλειον ιερέων και έθνος άγιον. Αυτά τα λόγια θα πης στους Ισραηλίτας”.

Εξ. 19,7 - ἦλθε δὲ Μωυσῆς καὶ ἐκάλεσε τοὺς πρεσβυτέρους τοῦ λαοῦ καὶ παρέθηκεν αὐτοῖς πάντας τοὺς λόγους τούτους, οὓς συνέταξεν αὐτῷ ὁ Θεός.

Εξ. 19,7 - Ηλθεν ο Μωϋσής, εκάλεσε τους γεροντοτέρους του λαού και έθεσεν ενώπιον αυτών όλους αυτούς τους λόγους, που είχε παραγγείλει εις αυτόν ο Θεός.

Εξ. 19,8 - ἀπεκρίθη δὲ πᾶς ὁ λαὸς ὁμοθυμαδὸν καὶ εἶπαν· πάντα, ὅσα εἶπεν ὁ Θεός, ποιήσομεν καὶ ἀκουσόμεθα. ἀνήνεγκε δὲ Μωυσῆς τοὺς λόγους τούτους πρὸς τὸν Θεόν.

Εξ. 19,8 - Ολος ο λαός με μίαν ψυχήν και φωνήν απεκρίθη· “όλα όσα διέταξεν ο Θεός θα εφαρμόσωμεν και θα υπακούσωμεν”. Ανέφερεν ο Μωϋσής την απάντησιν αυτήν των Ισραηλιτών στον Θεόν.

Εξ. 19,9 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· ἰδοὺ ἐγὼ παραγίνομαι πρὸς σὲ ἐν στύλῳ νεφέλης, ἵνα ἀκούσῃ ὁ λαὸς λαλοῦντός μου πρὸς σὲ καὶ σοὶ πιστεύσωσιν εἰς τὸν αἰῶνα. ἀνήγγειλε δὲ Μωυσῆς τὰ ῥήματα τοῦ λαοῦ πρὸς Κύριον.

Εξ. 19,9 - Ο Κυριος είπε προς τον Μωϋσήν· “ιδού εγώ θα έλθω προς σε δια στύλου νεφέλης, δια να με ακούση ο λαός, όταν λαλώ προς σε και αποκτήση έτσι ισόβιον ακλόνητον εμπιστοσύνην προς σέ”. Ο Μωϋσής ανήγγειλε την απάντησιν του λαού προς τον Κυριον.

Εξ. 19,10 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· καταβὰς διαμάρτυραι τῷ λαῷ καὶ ἅγνισον αὐτοὺς σήμερον καὶ αὔριον, καὶ πλυνάτωσαν τὰ ἱμάτια·

Εξ. 19,10 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “κατέβα, εντόνως μίλησε προς τον λαόν να καθαρισθούν σωματικώς και ψυχικώς σήμερον και αύριον, να πλύνουν τα ιμάτιά των,

Εξ. 19,11 - καὶ ἔστωσαν ἕτοιμοι εἰς τὴν ἡμέραν τὴν τρίτην· τῇ γὰρ ἡμέρᾳ τῇ τρίτῃ καταβήσεται Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινὰ ἐναντίον παντὸς τοῦ λαοῦ.

Εξ. 19,11 - και να είναι έτοιμοι την τρίτην ημέραν. Διότι κατά την τρίτην ημέραν θα καταβή ο Κυριος στο όρος Σινά ενώπιον όλου του λαού.

Εξ. 19,12 - καὶ ἀφοριεῖς τὸν λαὸν κύκλῳ λέγων· προσέχετε ἑαυτοῖς τοῦ ἀναβῆναι εἰς τὸ ὄρος καὶ θίγειν τι αὐτοῦ· πᾶς ὁ ἁψάμενος τοῦ ὄρους θανάτῳ τελευτήσει.

Εξ. 19,12 - Θα περιορίσης και θα τοποθετήσης τον λαόν εις μικράν απόστασιν κύκλω από το όρος Σινά και θα τους είπης· Προσέχετε πολύ, μήπως τυχόν και αναβή κανείς στο όρος και εγγίση κάτι από αυτό. Εκείνος που θα εγγίση τα όρος, θα θανατωθή αμέσως.

Εξ. 19,13 - οὐχ ἅψετε αὐτοῦ χείρ· ἐν γὰρ λίθοις λιθοβοληθήσεται ἢ βολίδι κατατοξευθήσεται· ἐάν τε κτῆνος ἐάν τε ἄνθρωπος, οὐ ζήσεται. ὅταν αἱ φωναὶ καὶ αἱ σάλπιγγες καὶ ἡ νεφέλη ἀπέλθῃ ἀπὸ τοῦ ὄρους, ἐκεῖνοι ἀναβήσονται ἐπὶ τὸ ὄρος.

Εξ. 19,13 - Καμμία χειρ δεν θα εγγίση αυτό. Οποιος το εγγίση, θα λιθοβοληθή η θα τοξευθή με βέλος και θα φονευθή. Είτε ζώον είναι αυτό, είτε άνθρωπος, δεν θα ζήση. Οταν αι βρονται και οι ήχοι των σαλπίγγων παύσουν να ακούωνται στο όρος και η νεφέλη απέλθη, τότε οι Ισραηλίται θα αναβούν εις αυτό”.

Εξ. 19,14 - κατέβη δὲ Μωυσῆς ἐκ τοῦ ὄρους πρὸς τὸν λαὸν καὶ ἡγίασεν αὐτούς, καὶ ἔπλυναν τὰ ἱμάτια.

Εξ. 19,14 - Κατέβη ο Μωϋσής από το όρος, ήλθε προς τον λαόν και τους ανήγγειλεν όσα του είπεν ο Θεός. Εκείνοι εκαθαρίσθησαν, έπλυναν τα ιμάτιά των και ητοιμάσθησαν.

Εξ. 19,15 - καὶ εἶπε τῷ λαῷ· γίνεσθε ἕτοιμοι τρεῖς ἡμέρας, μὴ προσέλθητε γυναικί.

Εξ. 19,15 - Είπεν ακόμη ο Μωϋσής προς τον λαόν· “να είσθε έτοιμοι επί τρεις ημέρας και μη πλησιάσετε γυναίκα”.

Εξ. 19,16 - ἐγένετο δὲ τῇ ἡμέρᾳ τῇ τρίτῃ γενηθέντος πρὸς ὄρθρον καὶ ἐγίνοντο φωναὶ καὶ ἀστραπαὶ καὶ νεφέλη γνοφώδης ἐπ᾿ ὄρους Σινά, φωνὴ τῆς σάλπιγγος ἤχει μέγα· καὶ ἐπτοήθη πᾶς ὁ λαὸς ὁ ἐν τῇ παρεμβολῇ.

Εξ. 19,16 - Ενωρίς το πρωϊ κατά την τρίτην ημέραν έγιναν βρονταί και αστραπαί και νεφέλη σκοτεινή επάνω στο όρος Σινά, ο ήχος της σάλπιγγος αντηχούσε πολύ δυνατά. Ολος ο λαός, που ευρίσκετο ακόμη εις την κατασκήνωσίν του, εφοβήθη και ετρόμαξε.

Εξ. 19,17 - καὶ ἐξήγαγε Μωυσῆς τὸν λαὸν εἰς συνάντησιν τοῦ Θεοῦ ἐκ τῆς παρεμβολῆς, καὶ παρέστησαν ὑπὸ τὸ ὄρος.

Εξ. 19,17 - Εδωσεν εντολήν ο Μωϋσής στον ισραηλιτικόν λαόν να εξέλθη από την κατασκήνωσίν του προς συνάντησιν του Θεού. Εξήλθον πράγματι και εσταμάτησαν όρθιοι στους πρόποδας του όρους.

Εξ. 19,18 - τὸ ὄρος τὸ Σινὰ ἐκαπνίζετο ὅλον διὰ τὸ καταβεβηκέναι ἐπ᾿ αὐτὸ τὸν Θεὸν ἐν πυρί, καὶ ἀνέβαινεν ὁ καπνὸς ὡσεὶ καπνὸς καμίνου, καὶ ἐξέστη πᾶς ὁ λαὸς σφόδρα·

Εξ. 19,18 - Το όρος Σινά εκάπνιζεν όλο, διότι ωσάν πυρ είχε καταβή επάνω εις αυτό ο Θεός. Ανέβαινεν ο καπνός πυκνός όπως ο καπνός της ασβεστοκαμίνου. Ο ισραηλιτικός λαός εκυριεύθη από κατάπληξιν και δέος πολύ.

Εξ. 19,19 - ἐγίνοντο δὲ αἱ φωναὶ τῆς σάλπιγγος προβαίνουσαι ἰσχυρότεραι σφόδρα· Μωυσῆς ἐλάλει, ὁ δὲ Θεὸς ἀπεκρίνατο αὐτῷ φωνῇ·

Εξ. 19,19 - Οι ήχοι των σαλπίγγων εγίνοντο ολονέν και δυνατώτεροι. Κατά την ώραν αυτήν ο Μωϋσής ηρώτα τον Θεόν και ο Θεός απεκρίνετο προς αυτόν με φωνήν.

Εξ. 19,20 - κατέβη δὲ Κύριος ἐπὶ τὸ ὄρος τὸ Σινὰ ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· καὶ ἐκάλεσε Κύριος Μωυσῆν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους, καὶ ἀνέβη Μωυσῆς.

Εξ. 19,20 - Ο Κυριος κατέβη εις την κορυφήν του όρους Σινά. Εκάλεσε τον Μωϋσήν εις την κορυφήν του όρους και ο Μωϋσής ανέβη.

Εξ. 19,21 - καὶ εἶπεν ὁ Θεὸς πρὸς Μωυσῆν λέγων· καταβὰς διαμάρτυραι τῷ λαῷ, μή ποτε ἐγγίσωσι πρὸς τὸν Θεὸν κατανοῆσαι καὶ πέσωσιν ἐξ αὐτῶν πλῆθος·

Εξ. 19,21 - Είπε δε προς αυτόν ο Θεός· "κατέβα και εντόνως είπε στον λαόν να μη πλησιάσουν, δια να ίδουν τον Θεόν, και ότι αν παρακούσουν, θα φονευθούν πολλοί από αυτούς.

Εξ. 19,22 - καὶ οἱ ἱερεῖς οἱ ἐγγίζοντες Κυρίῳ τῷ Θεῷ ἁγιασθήτωσαν, μή ποτε ἀπαλλάξῃ ἀπ᾿ αὐτῶν Κύριος.

Εξ. 19,22 - Και οι ιερείς, οι οποίοι πλησιάζουν τον Θεόν και υπηρετούν αυτόν, ας καθαρισθούν ψυχικώς και σωματικώς δια να μη αφαιρέση και από αυτούς την ζωήν αν τον παρακούσουν".

Εξ. 19,23 - καὶ εἶπε Μωυσῆς πρὸς τὸν Θεόν· οὐ δυνήσεται ὁ λαὸς προσαναβῆναι πρὸς τὸ ὄρος τὸ Σινά· σὺ γὰρ διαμεμαρτύρησαι ἡμῖν λέγων· ἀφόρισαι τὸ ὄρος καὶ ἁγίασαι αὐτό.

Εξ. 19,23 - Ο Μωϋσής είπε προς τον Θεόν· "ο λαός υπακούων εις την εντολήν σου, δεν θα αναβή στο όρος Σινά· διότι συ ρητώς μας έχεις διατάξει, χώρισε τον λαόν από το όρος και κήρυξε αυτό άγιον και άβατον".

Εξ. 19,24 - εἶπε δὲ αὐτῷ Κύριος· βάδιζε, κατάβηθι καὶ ἀνάβηθι σὺ καὶ Ἀαρὼν μετὰ σοῦ· οἱ δὲ ἱερεῖς καὶ ὁ λαὸς μὴ βιαζέσθωσαν ἀναβῆναι πρὸς τὸν Θεόν, μή ποτε ἀπολέσῃ ἀπ᾿ αὐτῶν Κύριος.

Εξ. 19,24 - Είπεν εις αυτόν ο Κυριος· "πήγαινε, κατέβα από το όρος και ανέβα πάλιν έχων μαζή σου και τον Ααρών. Οι δε ιερείς και ο λαός ας μη βιασθούν να ανεβούν προς τον Θεόν, δια να μη τους εξολοθρεύση ο Κυριος".

Εξ. 19,25 - κατέβη δὲ Μωυσῆς πρὸς τὸν λαὸν καὶ εἶπεν αὐτοῖς.

Εξ. 19,25 - Ο Μωϋσής κατέβη, ήλθε προς τον λαόν και διεβίβασεν εις αυτούς τας εντολάς του Θεού.

## ΕΞΟΔΟΣ 20

Εξ. 20,1 - Καὶ ἐλάλησε Κύριος πάντας τοὺς λόγους τούτους λέγων·

Εξ. 20,1 - Και ελάλησε τότε ο Κυριος όλους τους λόγους τούτους λέγων·

Εξ. 20,2 - ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὅστις ἐξήγαγόν σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

Εξ. 20,2 - Εγώ είμαι Κυριος ο Θεός σου, ο οποίος σε έβγαλα από την Αίγυπτον, από την χώραν εκείνην της δουλείας.

Εξ. 20,3 - οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πλὴν ἐμοῦ.

Εξ. 20,3 - Δεν θα υπάρχουν δια σε άλλοι θεοί πλην εμού.

Εξ. 20,4 - οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς.

Εξ. 20,4 - Δεν θα κατασκευάσης ποτέ δια τον εαυτόν σου είδωλον ούτε εικόνα από όσα υπάρχουν στον ουρανόν άνω, όσα εις την γην κάτω και όσα εις τα ύδατα κάτω από την γην.

Εξ. 20,5 - οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσεις αὐτοῖς· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα, ἕως τρίτης καὶ τετάρτης γενεᾶς τοῖς μισοῦσί με

Εξ. 20,5 - Δεν θα προσκυνήσης αυτά, ούτε θα τα λατρεύσης· διότι Εγώ είμαι Κυριος ο Θεός σου, Θεός ζηλότυπος, ο οποίος επιβάλλει τιμωρίας εις τα τέκνα δια τας αμαρτίας των γονέων των μέχρι τρίτης και τετάρτης γενεάς, εις όσους με μισούν.

Εξ. 20,6 - καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

Εξ. 20,6 - Αλλά στέλλω το έλεός μου εις τας χιλιάδας εκείνων, που με αγαπούν και φυλάσσουν τας εντολάς μου.

Εξ. 20,7 - οὐ λήψει τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπί ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ Κύριος ὁ Θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

Εξ. 20,7 - Δεν θα πάρης στο στόμα σου το όνομα του Κυρίου ματαίως και χωρίς λόγον, διότι ο Κυριος δεν θα θεωρήση αθώον εκείνον, ο οποίος προφέρει το όνομά του ματαίως και ανευλαβώς.

Εξ. 20,8 - μνήσθητι τὴν ἡμέρα τῶν σαββάτων ἁγιάζειν αὐτήν.

Εξ. 20,8 - Ενθυμήσου να αφιερώνης την ημέραν του Σαββάτου εις εμέ και να τηρής κατά την ημέραν αυτήν αργίαν.

Εξ. 20,9 - ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα σου·

Εξ. 20,9 - Εξ ημέρας πρέπει να εργάζεσαι και να κάνης όλα τα έργα σου·

Εξ. 20,10 - τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα Κυρίῳ τῷ Θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς

σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου καὶ πᾶν κτῆνός σου καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί.

Εξ. 20,10 - την δε ημέραν την εβδόμην, ημέραν αναπαύσεως, θα την αφιερώνης εις Κυριον τον Θεόν σου. Κατ' αυτήν δεν θα κάμης κανένα έργον συ και ο υιός σου και η θυγάτηρ σου και ο δούλος σου και η δούλη σου, το βόδι σου, το υποζύγιόν σου και κάθε ζώον σου· και αυτός ακόμη ο ξένος, ο οποίος παραμένει προσωρινώς κοντά σου.

Εξ. 20,11 - ἐν γὰρ ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ κατέπαυσε τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· διὰ τοῦτο εὐλόγησε Κύριος τὴν ἡμέραν τὴν ἑβδόμην καὶ ἡγίασεν αὐτήν.

Εξ. 20,11 - Διότι εις εξ ημέρας εδημιούργησεν ο Θεός τον ουρανόν, την γην, την θάλασσαν και όλα όσα υπάρχουν εις αυτά. Και κατέπαυσε κατά την εβδόμην ημέραν. Δια τούτο ο Κυριος ευλόγησε την εβδόμην ημέραν και την έκαμε και δι' ημάς αγίαν, αφιερωμένην εις αυτόν.

Εξ. 20,12 - τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

Εξ. 20,12 - Τιμα τον πατέρα σου και την μητέρα σου, δια να ευημερήσης και γίνης μακροχρόνιος εις την πλουσίαν και εύφορον χώραν, την οποίαν θα σου δώση ο Κυριος.

Εξ. 20,13 - οὐ μοιχεύσεις.

Εξ. 20,13 - Δεν θα μοιχεύσης.

Εξ. 20,14 - οὐ κλέψεις.

Εξ. 20,14 - Δεν θα κλέψης.

Εξ. 20,15 - οὐ φονεύσεις.

Εξ. 20,15 - Δεν θα φονεύσης.

Εξ. 20,16 - οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Εξ. 20,16 - Δεν θα καταθέσης ποτε μαρτυρίαν ψευδή εναντίον του πλησίον σου.

Εξ. 20,17 - οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου. οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου οὔτε τὸν ἀγρὸν αὐτοῦ οὔτε τὸν παῖδα αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑποζυγίου αὐτοῦ οὔτε παντὸς κτήνους αὐτοῦ οὔτε ὅσα τῷ πλησίον σου ἐστί.

Εξ. 20,17 - Δεν θα επιθυμήσης την γυναίκα του πλησίον σου. Δεν θα επιθυμήσης την οικίαν του πλησίον σου, ούτε τον αγρόν του, ούτε τον δούλον του, ούτε την δούλην του, ούτε το βόδι του, ούτε το υποζύγιόν του,

ούτε κανένα άλλο από τα κτήνη του και γενικώς τίποτε από όσα ανήκουν στον πλησίον σου”.

Εξ. 20,18 - Καὶ πᾶς ὁ λαὸς ἑώρα τὴν φωνὴν καὶ τὰς λαμπάδας καὶ τὴν φωνὴν τῆς σάλπιγγος καὶ τὸ ὄρος τὸ καπνίζον· φοβηθέντες δὲ πᾶς ὁ λαὸς ἔστησαν μακρόθεν.

Εξ. 20,18 - Ολος ο λαός ήκουε την φωνήν του Θεού και τον ήχον των σαλπίγγων, έβλεπε τας φλόγας και το καπνίζον όρος Σινά, εφοβήθησαν δε όλοι και εστάθησαν μακράν από το όρος Σινά.

Εξ. 20,19 - καὶ εἶπαν πρὸς Μωυσῆν· λάλησον σὺ ἡμῖν, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεός, μὴ ἀποθάνωμεν.

Εξ. 20,19 - Καταπτοημένοι τότε οι Ισραηλίται είπαν προς τον Μωϋσήν· “μίλησε συ προς ημάς και ας μη λαλή ο Θεός προς ημάς, δια να μη αποθάνωμεν”.

Εξ. 20,20 - καὶ λέγει αὐτοῖς Μωυσῆς· θαρσεῖτε, ἕνεκεν γὰρ τοῦ πειράσαι ὑμᾶς παρεγενήθη ὁ Θεὸς πρὸς ὑμᾶς, ὅπως ἂν γένηται ὁ φόβος αὐτοῦ ἐν ὑμῖν, ἵνα μὴ ἁμαρτάνητε.

Εξ. 20,20 - Απήντησε προς αυτούς ο Μωϋσής· “έχετε θάρρος ! Ηλθεν ο Θεός κοντά σας, δια να σας θέση υπό δοκιμασίαν, δια να αισθανθήτε μέσα σας τον φόβον του και να μη αμαρτάνετε πλέον”.

Εξ. 20,21 - εἱστήκει δὲ ὁ λαὸς μακρόθεν, Μωυσῆς δὲ εἰσῆλθεν εἰς τὸν γνόφον, οὗ ἦν ὁ Θεός.

Εξ. 20,21 - Ο λαός εστέκετο όρθιος μακράν από το όρος, ο δε Μωϋσής εισήλθεν εις την σκιεράν νεφέλην, όπου ήτο ο Θεός.

Εξ. 20,22 - εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· τάδε ἐρεῖς τῷ οἴκῳ Ἰακὼβ καὶ ἀναγγελεῖς τοῖς υἱοῖς Ἰσραήλ· ὑμεῖς ἑωράκατε ὅτι ἐκ τοῦ οὐρανοῦ λελάληκα πρὸς ὑμᾶς·

Εξ. 20,22 - Είπε δε ο Κυριος προς τον Μωϋσήν· “αυτά θα πης στο έθνος του Ιακώβ, αυτά θα αναγγείλης στους απογόνους του Ισραήλ· Με τα ίδια σας τα μάτια είδατε ότι σας ωμίλησα εγώ ο Θεός από τον ουρανόν !

Εξ. 20,23 - οὐ ποιήσετε ὑμῖν αὐτοῖς θεοὺς ἀργυροῦς καὶ θεοὺς χρυσοῦς οὐ ποιήσετε ὑμῖν αὐτοῖς.

Εξ. 20,23 - Λοιπόν, δεν θα κατασκευάσετε δια τον εαυτόν σας θεούς ασημένιους, ούτε θεούς χρυσούς θα κάμετε δια τον εαυτόν σας.

Εξ. 20,24 - θυσιαστήριον ἐκ γῆς ποιήσετέ μοι καὶ θύσετε ἐπ᾿ αὐτοῦ τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ σωτήρια ὑμῶν καὶ τὰ πρόβατα καὶ τοὺς μόσχους ὑμῶν ἐν παντὶ τόπῳ, οὗ ἐὰν ἐπονομάσω τὸ ὄνομά μου ἐκεῖ, καὶ ἥξω πρὸς σὲ καὶ εὐλογήσω σε.

Εξ. 20,24 - Θα κτίσετε δι' εμέ θυσιαστήριον από χώμα και επάνω εις αυτό θα θυσιάζετε τα ολοκαυτώματά σας, θα προσφέρετε τας ευχαριστηρίους δια την σωτηρίαν σας θυσίας, τα προς θυσίαν πρόβατα, τα βόδια σας και τα

μοσχάρια σας. Εις κάθε τόπον, τον οποίον εγώ θα θελήσω να αφιερωθή στο όνομά μου, εκεί θα έρχωμαι προς σε και θα σε ευλογώ.

Εξ. 20,25 - ἐὰν δὲ θυσιαστήριον ἐκ λίθων ποιῇς μοι, οὐκ οἰκοδομήσεις αὐτοὺς τμητούς· τὸ γὰρ ἐγχειρίδιόν σου ἐπιβέβληκας ἐπ᾿ αὐτούς, καὶ μεμίανται.

Εξ. 20,25 - Εάν δε κατασκευάσης θυσιαοτήριον από λίθους, δεν θα πελεκήσης αυτούς τους λίθους, διότι, εάν θα έχης βάλει σμίλην στους λίθους αυτούς, θα είναι αυτοί μολυσμένοι.

Εξ. 20,26 - οὐκ ἀναβήσῃ ἐν ἀναβαθμίσιν ἐπὶ τὸ θυσιαστήριόν μου, ὅπως ἂν μὴ ἀποκαλύψῃς τὴν ἀσχημοσύνην σου ἐπ᾿ αὐτοῦ.

Εξ. 20,26 - Δεν θα ανέλθης στο θυσιαστήριόν μου με σκαλοπάτια, δια να μη φανή επάνω εις αυτό η γυμνότης και απρέπεια των ποδών σου.

## ΕΞΟΔΟΣ 21

Εξ. 21,1 - Καὶ ταῦτα τὰ δικαιώματα, ἃ παραθήσῃ ἐνώπιον αὐτῶν.

Εξ. 21,1 - Αυταί είναι, αι εντολαί, τας οποίας θα παραθέσης ενώπιον των Ισραηλιτών.

Εξ. 21,2 - ἐὰν κτήσῃ παῖδα Ἑβραῖον, ἓξ ἔτη δουλεύσει σοι· τῷ δὲ ἑβδόμῳ ἔτει ἀπελεύσεται ἐλεύθερος δωρεάν.

Εξ. 21,2 - Εάν αποκτήσης Εβραίον ως δούλον, εξ έτη θα είναι δούλος σου. Κατά το έβδομον έτος θα απέλθη ελεύθερος δωρεάν, χωρίς να καταβάλη εις σε εξαγοράν.

Εξ. 21,3 - ἐὰν αὐτὸς μόνος εἰσέλθῃ, καὶ μόνος ἐξελεύσεται· ἐὰν δὲ γυνὴ συνεισέλθῃ μετ᾿ αὐτοῦ, ἐξελεύσεται καὶ ἡ γυνὴ αὐτοῦ.

Εξ. 21,3 - Εάν αυτός μόνος, χωρίς σύζυγον και τέκνα, άγαμος γίνη δούλος σου, μόνος πάλιν θα απέλθη από σε ελεύθερος. Εάν όμως, όταν θα γίνη εις σε δούλος, έχη μαζή του και την σύζυγόν του, θα εξέλθη ελεύθερος κατά το έβδομον έτος μαζή με την σύζυγόν του.

Εξ. 21,4 - καὶ ἐὰν δὲ ὁ κύριος δῷ αὐτῷ γυναῖκα, καὶ τέκῃ αὐτῷ υἱοὺς ἢ θυγατέρας, ἡ γυνὴ καὶ τὰ παιδία ἔσται τῷ κυρίῳ αὐτοῦ, αὐτὸς δὲ μόνος ἐξελεύσεται.

Εξ. 21,4 - Εάν όμως ο κύριος του αγάμου δούλου του δώση σύζυγον και αποκτήση ο δούλος υιούς και θυγατέρας, η γυνή και τα παιδιά θα ανήκουν στον κύριον. Οταν δε αυτός, ο Εβραίος δούλος, κατά το έβδομον έτος εξέλθη ελεύθερος, μόνος θα αναχωρήση χωρίς την σύζυγον και τα παιδιά.

Εξ. 21,5 - ἐὰν δὲ ἀποκριθεὶς εἴπῃ ὁ παῖς, ἠγάπηκα τὸν κύριόν μου καὶ τὴν γυναῖκα καὶ τὰ παιδία, οὐκ ἀποτρέχω ἐλεύθερος·

Εξ. 21,5 - Εάν όμως ο δούλος αυτός είπη· Εγώ έχω αγαπήσει τον κύριόν μου και την γυναίκα μου και τα παιδιά μου και δεν θέλω να φύγω, δια να

ζήσω ελεύθερος,

Εξ. 21,6 - προσάξει αὐτὸν ὁ κύριος αὐτοῦ πρὸς τὸ κριτήριον τοῦ Θεοῦ καὶ τότε προσάξει αὐτὸν ἐπὶ τὴν θύραν ἐπὶ τὸν σταθμόν, καὶ τρυπήσει ὁ κύριος αὐτοῦ τὸ οὖς τῷ ὀπητίῳ, καὶ δουλεύσει αὐτῷ εἰς τὸν αἰῶνα.

Εξ. 21,6 - ο κύριός του θα τον οδηγήση ενώπιον των δικαστών, τους οποίους ο Θεός ώρισε, δια να ομολογήση εκεί ο δούλος την απόφασίν του. Επειτα θα τον φέρη εις την θύραν της οικίας του, πλησίον του παραστάτου, και θα τρυπήση το αυτί του δούλου εκείνου με σουβλάκι, και έτσι ο Εβραίος αυτός θα μείνη ισοβίως, σύμφωνα με την θέλησίν του, δούλος στον κύριόν του.

Εξ. 21,7 - ἐὰν δέ τις ἀποδῶται τὴν ἑαυτοῦ θυγατέρα οἰκέτιν, οὐκ ἀπελεύσεται, ὥσπερ ἀποτρέχουσιν αἱ δοῦλαι.

Εξ. 21,7 - Εάν Εβραίος πωλήση εις άλλον Εβραίον την θυγατέρα του ως δούλην, αυτή δεν θα εξέλθη ελευθέρα, όπως εξέρχονται αι δούλαι των ειδωλολατρών,

Εξ. 21,8 - ἐὰν μὴ εὐαρεστήσῃ τῷ κυρίῳ αὐτῆς ἣν αὐτῷ καθωμολογήσατο, ἀπολυτρώσει αὐτήν· ἔθνει δὲ ἀλλοτρίῳ οὐ κύριός ἐστι πωλεῖν αὐτήν, ὅτι ἠθέτησεν ἐν αὐτῇ.

Εξ. 21,8 - αλλά εάν δεν ευχαριστήση τον κύριόν της, στον οποίον αυτή έχει δοθή ως δούλη, η ως σύζυγος δευτέρας σειράς, δύναται ο κύριός της να την πωλήση εις ομοεθνή του. Δεν έχει όμως το δικαίωμα, επειδή την κατεφρόνησε και την απέρριψε, να την πωλήση εις ειδωλολάτρην.

Εξ. 21,9 - ἐὰν δὲ τῷ υἱῷ καθομολογήσηται αὐτήν, κατὰ τὸ δικαίωμα τῶν θυγατέρων ποιήσει αὐτῇ.

Εξ. 21,9 - Εάν ο κύριος της δούλης υπανδρεύση αυτήν με τον υιόν του, θα θεωρή αυτήν ως θυγατέρα του και έτσι θα φέρεται προς αυτήν.

Εξ. 21,10 - ἐὰν δὲ ἄλλην λάβῃ ἑαυτῷ, τὰ δέοντα καὶ τὸν ἱματισμὸν καὶ τὴν ὁμιλίαν αὐτῆς οὐκ ἀποστερήσει.

Εξ. 21,10 - Εάν ο κύριος ούτος λάβη άλλην ως σύζυγον, δεν θα στερήση αυτήν από τα μέσα της συντηρήσεως της, από τον ιματισμόν και τα συζυγικά του προς αυτήν καθήκοντα.

Εξ. 21,11 - ἐὰν δὲ τὰ τρία ταῦτα μὴ ποιήσῃ αὐτῇ, ἐξελεύσεται δωρεὰν ἄνευ ἀργυρίου.

Εξ. 21,11 - Εάν δεν εκπληρώση ο κύριος τας τρεις αυτάς προς εκείνην υποχρεώσστου, δύναται αυτή να αναχωρήση δωρεάν, χωρίς να καταβάλη χρηματικόν τι ποσόν.

Εξ. 21,12 - Ἐὰν δὲ πατάξῃ τίς τινα, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω·

Εξ. 21,12 - Εάν κανείς κτυπήση κάποιον και αποθάνη, ο φονεύς θα τιμωρηθή με θάνατον.

Εξ. 21,13 - ὁ δὲ οὐχ ἑκών, ἀλλ᾿ ὁ Θεὸς παρέδωκεν εἰς τὰς χεῖρας αὐτοῦ, δώσω σοι τόπον, οὗ φεύξεται ἐκεῖ ὁ φονεύσας.

Εξ. 21,13 - Εκείνος όμως, που θα φονεύση χωρίς να το θέλη, αλλά διότι ο Θεός παρεχώρησε να γίνη κάτι τέτοιο, δια τον ακούσιον αυτόν φονέα θα παραχωρήσω εις σε ωρισμένον τόπον, όπου θα καταφύγη προς ασφάλειάν του.

Εξ. 21,14 - ἐὰν δέ τις ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ καὶ καταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου μου λήψῃ αὐτὸν θανατῶσαι.

Εξ. 21,14 - Εάν κανείς εκ προμελέτης αποφασίση φόνον και δια δόλου φονεύση τον πλησίον του, καταφύγη δε στο θυσιαστήριόν μου δια να σωθή, θα τον πάρης από το θυσιαστήριον αυτό, δια να δικασθή και θανατωθή.

Εξ. 21,15 - ὃς τύπτει πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω.

Εξ. 21,15 - Εκείνος που κτυπά τον πατέρα του η την μητέρα του, να τιμωρήται με θάνατον.

Εξ. 21,16 - ὁ κακολογῶν πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ τελευτήσει θανάτῳ.

Εξ. 21,16 - Εκείνος επίσης που υβρίζει τον πατέρα του η την μητέρα του, να τιμωρήται με θάνατον.

Εξ. 21,17 - ὃς ἐὰν κλέψῃ τίς τινα τῶν υἱῶν Ἰσραὴλ καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, καὶ εὑρεθῇ ἐν αὐτῷ, θανάτῳ τελευτάτω.

Εξ. 21,17 - Εκείνός που θα αρπάξη κρυφίως ένα Ισραηλίτην και τον βασανίση και τον πωλήση κατόπιν ως δούλον θα τιμωρήται με θάνατον, εάν αποδειχθή η ενοχή του.

Εξ. 21,18 - ἐὰν δὲ λοιδορῶνται δύο ἄνδρες καὶ πατάξῃ τις τὸν πλησίον λίθῳ ἢ πυγμῇ, καὶ μὴ ἀποθάνῃ, κατακλιθῇ δὲ ἐπὶ τὴν κοίτην,

Εξ. 21,18 - Εάν δύο άνδρες φιλονεικούν και ο ένας κτυπήση τον άλλον με λιθάρι η με την γροθιάν του, και ο κτυπηθείς δεν αποθάνη, αλλά μείνη εις την κλίνην του,

Εξ. 21,19 - ἐὰν ἐξαναστὰς ὁ ἄνθρωπος περιπατήσῃ ἔξω ἐπὶ ῥάβδου, ἀθῷος ἔσται ὁ πατάξας· πλὴν τῆς ἀργίας αὐτοῦ ἀποτίσει καὶ τὰ ἰατρεῖα.

Εξ. 21,19 - κατόπιν δε εγερθή και περιπατήση στηριζόμενος εις την ράδδον του, ο κτυπήσας αυτόν θα είναι αθώος· μόνον θα πληρώση εις αυτόν τα νοσήλεια και τας ημέρας της αργίας του.

Εξ. 21,20 - ἐὰν δέ τις πατάξῃ τὸν παῖδα αὐτοῦ ἢ τὴν παιδίσκην αὐτοῦ ἐν ῥάβδῳ καὶ ἀποθάνῃ ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκῃ ἐκδικηθήσεται.

Εξ. 21,20 - Εάν κανείς κτυπήση με ράβδον τον δούλον του η την δούλην του και αποθάνη κατά την ώραν που δέρεται, θα τιμωρηθή ο κύριος ούτος, διότι είναι ένοχος.

Εξ. 21,21 - ἐὰν δὲ διαβιώσῃ ἡμέραν μίαν ἢ δύο, οὐκ ἐκδικηθήσεται· τὸ γὰρ ἀργύριον αὐτοῦ ἐστιν.

Εξ. 21,21 - Εάν όμως ο δούλος ούτος ζήση μίαν η δύο ημέρας, δεν θα τιμωρηθή ο κύριος ούτος, διότι ο δούλος θεωρείται ότι είναι χρήμα του, ιδιοκτησία του.

Εξ. 21,22 - ἐὰν δὲ μάχωνται δύο ἄνδρες καὶ πατάξωσι γυναῖκα ἐν γαστρὶ ἔχουσαν καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται· καθότι ἂν ἐπιβάλῃ ὁ ἀνὴρ τῆς γυναικός, δώσει μετὰ ἀξιώματος·

Εξ. 21,22 - Εάν συμπλακούν δύο άνδρες και κτυπήσουν γυναίκα έγκυον, εξέλθη δε το παιδίον ασχημάτιστον, ο ένοχος θα πληρώση αποζημίωσιν, την οποίαν θα ζητήση ο σύζυγος της γυναικός και την οποίαν θα επιβάλη το δικαστήριον.

Εξ. 21,23 - ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς,

Εξ. 21,23 - Εάν όμως το παιδί είναι τελείως διαμορφωμένον, ο ένοχος θα δώση ζωήν αντί ζωής· θα καταδικασθή εις θάνατον, σύμφωνα με τον νόμον της ανταποδόσεως,

Εξ. 21,24 - ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρός, πόδα ἀντὶ ποδός,

Εξ. 21,24 - οφθαλμόν αντί οφθαλμού, οδόντα αντί οδόντος, χείρα αντί χειρός, πόδα αντί ποδός,

Εξ. 21,25 - κατάκαυμα ἀντὶ κατακαύματος, τραῦμα ἀντὶ τραύματος, μώλωπα ἀντὶ μώλωπος.

Εξ. 21,25 - έγκαυμα αντί εγκαύματος, τραύμα αντί τραύματος, μώλωπα αντί μώλωπος.

Εξ. 21,26 - ἐὰν δέ τις πατάξῃ τὸν ὀφθαλμὸν τοῦ οἰκέτου αὐτοῦ ἢ τὸν ὀφθαλμὸν τῆς θεραπαίνης αὐτοῦ, καὶ ἐκτυφλώσῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀφθαλμοῦ αὐτῶν.

Εξ. 21,26 - Εάν κανείς κτυπήση και καταστρέψη τον οφθαλμόν του δούλου του η κτυπήση τον οφθαλμόν της δούλης του και τους τυφλώση, θα τους αφήση ελευθέρους αντί του οφθαλμού των.

Εξ. 21,27 - ἐὰν δὲ τὸν ὀδόντα τοῦ οἰκέτου ἢ τὸν ὀδόντα τῆς θεραπαίνης αὐτοῦ ἐκκόψῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀδόντος αὐτῶν.

Εξ. 21,27 - Εάν κανείς ξερριζώση το δόντι του δούλου του η της δούλης του, θα τους αφήση ελευθέρους αντί του καταστραφέντος δοντιού.

Εξ. 21,28 - Ἐὰν δὲ κερατίσῃ ταῦρος ἄνδρα ἢ γυναῖκα καὶ ἀποθάνῃ, λίθοις λιθοβοληθήσεται ὁ ταῦρος, καὶ οὐ βρωθήσεται τὰ κρέα αὐτοῦ· ὁ δὲ κύριος τοῦ ταύρου ἀθῷος ἔσται.

Εξ. 21,28 - Εάν ταύρος κτυπήση και θανατώση με τα κέρατα αυτού άνδρα η γυναίκα, ο ταύρος αυτός πρέπει να λιθοβοληθή και το κρέας του δεν

θα φαγωθή. Ο κύριος όμως του ταύρου θα είναι αθώος.
Εξ. 21,29 - ἐὰν δὲ ὁ ταῦρος κερατιστὴς ᾖ πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης, καὶ διαμαρτύρωνται τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτόν, ἀνέλῃ δὲ ἄνδρα ἢ γυναῖκα, ὁ ταῦρος λιθοβοληθήσεται καὶ ὁ κύριος αὐτοῦ προσαποθανεῖται.
Εξ. 21,29 - Εάν όμως ο ταύρος από αρκετού χρόνου εκτυπούσε με τα κέρατα και έγιναν διαμαρτυρίαι στον κύριόν του, εκείνος δε δεν ηθέλησε να φονεύση τον ταύρον, όταν ο ταύρος αυτός φονεύση άνδρα η γυναίκα, θα φονευθή δια λιθοβολισμού, μαζή δε με αυτόν θα θανατωθή και ο κύριός του.
Εξ. 21,30 - ἐὰν δὲ λύτρα ἐπιβληθῇ αὐτῷ, δώσει λύτρα τῆς ψυχῆς αὐτοῦ ὅσα ἐὰν ἐπιβάλωσιν αὐτῷ.
Εξ. 21,30 - Εάν όμως επιβάλλουν στον κύριον του ταύρου αυτού χρηματικήν αποζημίωσιν, θα πληρώση αυτήν, δια να γλυτώση έτσι την ζωήν του.
Εξ. 21,31 - ἐὰν δὲ υἱὸν ἢ θυγατέρα κερατίσῃ, κατὰ τὸ δικαίωμα τοῦτο ποιήσωσιν αὐτῷ.
Εξ. 21,31 - Εάν ο ταύρος κτυπήση και θανατώση υιόν η θυγατέρα, ο ίδιος νόμος θα εφαρμοσθή και εις την περίστασιν αυτήν.
Εξ. 21,32 - ἐὰν δὲ παῖδα κερατίσῃ ὁ ταῦρος ἢ παιδίσκην, ἀργυρίου τριάκοντα δίδραχμα δώσει τῷ κυρίῳ αὐτῶν, καὶ ὁ ταῦρος λιθοβοληθήσεται.
Εξ. 21,32 - Εάν ο ταύρος κτυπήση με τα κέρατα δούλον η δούλην, ο μεν ταύρος θα φονευθή δια λιθοβολισμού, ο δε κύριος του ταύρου θα πληρώση στον κύριον του δούλου τριάκοντα αργυρά δίδραχμα.
Εξ. 21,33 - ἐὰν δέ τις ἀνοίξῃ λάκκον ἢ λατομήσῃ λάκκον καὶ μὴ καλύψῃ αὐτόν, καὶ ἐμπέσῃ ἐκεῖ μόσχος ἢ ὄνος,
Εξ. 21,33 - Εάν κανείς ανοίξη λάκκον η λατομήση εις πετρώδη περιοχήν και δεν σκεπάση τον λάκκον, πέση δε εκεί και φονευθή μοσχάρι η όνος,
Εξ. 21,34 - ὁ κύριος τοῦ λάκκου ἀποτίσει· ἀργύριον δώσει τῷ κυρίῳ αὐτῶν, τὸ δὲ τετελευτηκὸς αὐτῷ ἔσται.
Εξ. 21,34 - αυτός που ήνοιξε τον λάκκον θα πληρώση πρόστιμον στον κύριον του ζώου, το δε συντριβέν ζώον θα ανήκη εις αυτόν.
Εξ. 21,35 - ἐὰν δὲ κερατίσῃ τινὸς ταῦρος τὸν ταῦρον τοῦ πλησίον καὶ τελευτήσῃ, ἀποδώσονται τὸν ταῦρον τὸν ζῶντα καὶ διελοῦνται τὸ ἀργύριον αὐτοῦ, καὶ τὸν ταῦρον τὸν τεθνηκότα διελοῦνται.
Εξ. 21,35 - Εάν ένας ταύρος κτυπήση με τα κέρατα και φονεύση τον ταύρον του πλησίον, θα πωληθή ο ζων ταύρος και θα μοιρασθούν το χρήμα οι κύριοι των ταύρων, οι οποίοι θα μοιρασθούν επίσης και τα κρέας του φονευθέντος ταύρου.
Εξ. 21,36 - ἐὰν δὲ γνωρίζηται ὁ ταῦρος ὅτι κερατιστής ἐστι πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης ἡμέρας, καὶ διαμεμαρτυρημένοι ὦσι τῷ κυρίῳ αὐτοῦ, καὶ

μὴ ἀφανίσῃ αὐτόν, ἀποτίσει ταῦρον ἀντὶ ταύρου, ὁ δὲ τετελευτηκὼς αὐτῷ ἔσται.

Εξ. 21,36 - Εάν όμως ήτο γνωστόν ότι ο κερατίσας ταύρος από αρκετού χρόνου εκτυπούσε με τα κέρατα και είχον διαμαρτυρηθή οι άλλοι άνθρωποι στον κύριόν του, εκείνος δε δεν τον εξηφάνισε, θα δώση τον ζώντα ταύρον αντί του φονευθέντος και ο φονευθείς ταύρος θα ανήκη πάλιν στον κύριόν του.

## ΕΞΟΔΟΣ 22

Εξ. 22,1 - Ἐὰν δέ τις κλέψῃ μόσχον ἢ πρόβατον καὶ σφάξῃ ἢ ἀποδῶται, πέντε μόσχους ἀποτίσει ἀντὶ τοῦ μόσχου καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου.

Εξ. 22,1 - Εάν κανείς κλέψη μοσχάρι η πρόβατον και το σφάξη, δια να το φάγη η το πωλήση, θα πληρώση πέντε μόσχους αντί του ενός και τέσσαρα πρόβατα αντί του ενός προβάτου.

Εξ. 22,2 - ἐὰν δὲ ἐν τῷ διορύγματι εὑρεθῇ ὁ κλέπτης καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος·

Εξ. 22,2 - Εάν δε ο κλέπτης γίνη αντιληπτός την ώραν, που επιχειρεί την διάρρηξιν, και κτυπηθείς αποθάνη, δεν θα καταλογισθή ενοχή φόνου στον φονέα.

Εξ. 22,3 - ἐὰν δὲ ἀνατείλῃ ὁ ἥλιος ἐπ᾿ αὐτῷ, ἔνοχός ἐστιν, ἀνταποθανεῖται. ἐὰν δὲ μὴ ὑπάρχῃ αὐτῷ, πραθήτω ἀντὶ τοῦ κλέμματος.

Εξ. 22,3 - Εάν όμως φονεύση κανείς τον νυκτερινόν κλέπτην μετά την ανατολήν του ηλίου, ο φονεύς είναι ένοχος και θα καταδικασθή εις θάνατον. Εάν ο κλέπτης δεν έχη να πληρώση την επιβληθείσαν ποινήν, να πωληθή ως δούλος, δια να πληρώση το κλοπιμαίον.

Εξ. 22,4 - ἐὰν δὲ καταληφθῇ καὶ εὑρεθῇ ἐν τῇ χειρὶ αὐτοῦ τὸ κλέμμα ἀπό τε ὄνου ἕως προβάτου ζῶντα, διπλᾶ αὐτὰ ἀποτίσει.

Εξ. 22,4 - Εάν ο κλέπτης συλληφθή και ευρεθή εις την κατοχήν του το κλεμμένον ζώον, από όνου μέχρι προβάτου, θα πληρώση στο διπλούν αυτά που έκλεψε.

Εξ. 22,5 - ἐὰν δὲ καταβοσκήσῃ τις ἀγρὸν ἢ ἀμπελῶνα καὶ ἀφῇ τὸ κτῆνος αὐτοῦ καταβοσκῆσαι ἀγρὸν ἕτερον, ἀποτίσει ἐκ τοῦ ἀγροῦ αὐτοῦ κατὰ τὸ γέννημα αὐτοῦ· ἐὰν δὲ πάντα τὸν ἀγρὸν καταβοσκήσῃ, τὰ βέλτιστα τοῦ ἀγροῦ αὐτοῦ καὶ τὰ βέλτιστα τοῦ ἀμπελῶνος αὐτοῦ ἀποτίσει.

Εξ. 22,5 - Εάν κανείς βόσκη το ζώον του στον αγρόν η την άμπελόν του και το αφήση να βοσκήση άλλον αγρόν, θα πληρώση από τον ιδικόν του αγρόν την ζημία, την οποίαν έχει προκαλέσει στον άλλον. Εάν δε βοσκήση

και καταστρέψη όλον τον αγρόν, θα καταβάλη ως αποζημίωσιν τα καλύτερα προϊόντα του αγρού του και του αμπελώνας του.

Εξ. 22,6 - ἐὰν δὲ ἐξελθὸν πῦρ εὕρῃ ἀκάνθας καὶ προσεμπρήσῃ ἅλωνα ἢ στάχυς ἢ πεδίον, ἀποτίσει ὁ τὸ πῦρ ἐκκαύσας.

Εξ. 22,6 - Εάν κανείς ανάψη φωτιά, αυτή δε επεκταθή εις ακάνθας και γίνη πυρκαϊά και καταστρέψη αλώνι η χωράφι με στάχεις η πεδιάδα, θα πληρώση πρόστιμον αυτός που ήναψε την φωτιάν.

Εξ. 22,7 - ἐὰν δέ τις δῷ τῷ πλησίον ἀργύριον ἢ σκεύη φυλάξαι, καὶ κλαπῇ ἐκ τῆς οἰκίας τοῦ ἀνθρώπου, ἐὰν εὑρεθῇ ὁ κλέψας, ἀποτίσει τὸ διπλοῦν·

Εξ. 22,7 - Εάν κανείς δώση στον πλησίον του χρήματα η σκεύη προς φύλαξιν, και κλαπούν από την οικίαν του ανθρώπου αυτού, εάν ο κλέπτης συλληφθή θα καταβάλη εκείνος στον ιδιοκτήτην τα διπλάσια

Εξ. 22,8 - ἐὰν δὲ μὴ εὑρεθῇ ὁ κλέψας, προσελεύσεται ὁ κύριος τῆς οἰκίας ἐνώπιον τοῦ Θεοῦ καὶ ὀμεῖται ἦ μὴν μὴ αὐτὸν πεπονηρεῦσθαι ἐφ᾿ ὅλης τῆς παρακαταθήκης τοῦ πλησίον.

Εξ. 22,8 - Εάν όμως δεν ευρεθή ο κλέπτης, θα παρουσιασθή ο κύριος της οικίας ενώπιον του υπό του Θεού ορισθέντος δικαστηρίου και θα ορκισθή ότι ουδέποτε εσκέφθη κάτι πονηρόν, δεν εσκέφθη ποτέ να καταχρασθή την κατάθεσιν του πλησίον.

Εξ. 22,9 - κατὰ πᾶν ῥητὸν ἀδίκημα, περί τε μόσχου καὶ ὑποζυγίου καὶ προβάτου καὶ ἱματίου καὶ πάσης ἀπωλείας τῆς ἐγκαλουμένης, ὅ,τι οὖν ἂν ᾖ, ἐνώπιον τοῦ Θεοῦ ἐλεύσεται ἡ κρίσις ἀμφοτέρων, καὶ ὁ ἁλοὺς διὰ τοῦ Θεοῦ ἀποτίσει διπλοῦν τῷ πλησίον·

Εξ. 22,9 - Αυτό θα γίνεται δια κάθε αδίκημα, είτε το κλαπέν είναι μόσχος η υποζύγιον η πρόβατον η ιμάτιον, δια κάθε καταγγελλομένην απώλειαν, οποιαδήποτε και αν είναι αυτή, ενώπιον του Θεού θα γίνη η κρίσις των αντιδίκων. Εάν από το δικαστήριον ευρεθή ένοχος κατακρατήσεως ξένης περιουσίας εκείνος στον οποίον είχε γίνει η κατάθεσις, θα καταδικασθή να πληρώση στον πλησίον του διπλασίαν την αξίαν του απολεσθέντος.

Εξ. 22,10 - ἐὰν δέ τις δῷ τῷ πλησίον ὑποζύγιον ἢ μόσχον ἢ πρόβατον ἢ πᾶν κτῆνος φυλάξαι, καὶ συντριβῇ ἢ τελευτήσῃ ἢ αἰχμάλωτον γένηται, καὶ μηδεὶς γνῷ,

Εξ. 22,10 - Εάν κανείς δώση στον πλησίον του προς φύλαξιν υποζύγιον η μοσχάρι η πρόβατον η οιονδήποτε άλλο κατοικίδιον ζώον, και συμβή ώστε αυτό να πάθη κάταγμα η να αποθάνη η να κλαπή και δεν υπάρχη κανείς μάρτυς να επιβεβαίωση τούτο,

Εξ. 22,11 - ὅρκος ἔσται τοῦ Θεοῦ ἀνὰ μέσον ἀμφοτέρων, ἦ μὴν μὴ αὐτὸν πεπονηρεῦσθαι καθόλου τῆς παρακαταθήκης τοῦ πλησίον· καὶ οὕτως προσδέξεται ὁ κύριος αὐτοῦ, καὶ οὐκ ἀποτίσει.

Εξ. 22,11 - θα γίνη ενώπιον του δικαστηρίου του Θεού όρκος από τον λαβόντα προς φύλαξιν το απολεσθέν ζώον, ότι ποτέ δεν είχε σκεφθή κάτι το πονηρόν εις βάρος της εμπιστευθείσης εις αυτόν καταθέσεως. Η ένορκος αυτή διαβεβαίωσις πρέπει να γίνη δεκτή και θα απαλλαγή πάσης αποζημιώσεως ο ορκισθείς.

Εξ. 22,12 - ἐὰν δὲ κλαπῇ παρ᾿ αὐτοῦ, ἀποτίσει τῷ κυρίῳ.

Εξ. 22,12 - Εάν όμως αποδειχθή ότι ο φύλαξ του ζώου το έκλεψε, θα πληρώση στον κύριον του ζώου αποζημίωσιν.

Εξ. 22,13 - ἐὰν δὲ θηριάλωτον γένηται, ἄξει αὐτὸν ἐπὶ τὴν θήραν καὶ οὐκ ἀποτίσει.

Εξ. 22,13 - Εάν το παραδοθέν προς φάλαξιν ζώον κατασπαραχθή υπό θηρίου, θα οδηγήση ο φύλαξ τον κύριον του ζώου εκεί, όπου αυτό είχε φαγωθή από το θηρίον, και δεν θα πληρώση αποζημίωσιν.

Εξ. 22,14 - ἐὰν δὲ αἰτήσῃ τις παρὰ τοῦ πλησίον, καὶ συντριβῇ ἢ ἀποθάνῃ ἢ αἰχμάλωτον γένηται, ὁ δὲ κύριος μὴ ᾖ μετ᾿ αὐτοῦ, ἀποτίσει·

Εξ. 22,14 - Εάν ζητήση κανείς και πάρη από τον πλησίον σκεύος η ζώον και συμβή ώστε το σκεύος να συντριβή η το ζώον να αποθάνη η κλαπή, αν ο δανεισθείς δεν ευρίσκετο εις την περιοχήν εκείνην, θα πληρώση αποζημίωσιν.

Εξ. 22,15 - ἐὰν δὲ ὁ κύριος ᾖ μετ᾿ αὐτοῦ, οὐκ ἀποτίσει· ἐὰν δὲ μισθωτὸς ᾖ, ἔσται αὐτῷ ἀντὶ τοῦ μισθοῦ αὐτοῦ.

Εξ. 22,15 - Εάν όμως ο δανεισθείς ήτο πλησίον των δανεισθέντων και αυτά χαθούν, δεν θα πληρώση αποζημίωσιν. Εάν ο λαβών ήτο ημερομίσθιος εργάτης, θα κρατηθή ο μισθός αυτού ως αποζημίωσις δια το απολεσθέν αντικείμενον.

Εξ. 22,16 - Ἐὰν δὲ ἀπατήσῃ τις παρθένον ἀμνήστευτον καὶ κοιμηθῇ μετ᾿ αὐτῆς, φερνῇ φερνιεῖ αὐτὴν αὐτῷ γυναῖκα.

Εξ. 22,16 - Εάν κανείς απατήση παρθένον, η οποία δεν έχει μνηστευθή και κοιμηθή με αυτήν, θα καταβάλη την προίκα της στον πατέρα της και θα την νυμφευθή.

Εξ. 22,17 - ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ καὶ μὴ βούληται ὁ πατὴρ αὐτῆς δοῦναι αὐτὴν αὐτῷ γυναῖκα, ἀργύριον ἀποτίσει τῷ πατρὶ καθ᾿ ὅσον ἐστὶν ἡ φερνὴ τῶν παρθένων.

Εξ. 22,17 - Εάν όμως ο πατήρ επιμόνως αρνήται και δεν συγκατατίθεται να δώση την θυγατέρα του εις εκείνον γυναίκα, εκείνος θα καταβάλη στον πατέρα την κανονικήν προίκα των παρθένων.

Εξ. 22,18 - φαρμακοὺς οὐ περιποιήσετε.

Εξ. 22,18 - Μαγους δεν θα αφήσετε να ζουν.

Εξ. 22,19 - πᾶν κοιμώμενον μετὰ κτήνους, θανάτῳ ἀποκτενεῖτε αὐτούς.

Εξ. 22,19 - Καθε κτηνοβάτην θα τον τιμωρήτε με θάνατον.

Εξ. 22,20 - ὁ θυσιάζων θεοῖς θανάτῳ ἐξολοθρευθήσεται, πλὴν Κυρίῳ μόνῳ.

Εξ. 22,20 - Εκείνος που προσφέρει θυσίαν εις τα είδωλα, θα καταδικάζεται, και θα εξολοθρεύεται δια θανάτου. Μονον στον Κυριον θα προσφέρετε θυσίας.

Εξ. 22,21 - καὶ προσήλυτον οὐ κακώσετε, οὐδὲ μὴ θλίψητε αὐτόν· ἦτε γὰρ προσήλυτοι ἐν γῇ Αἰγύπτῳ.

Εξ. 22,21 - Δεν θα αδικήσετε και δεν θα στενοχωρήσετε ξένον, διότι και σεις υπήρξατε κάποτε ξένοι εις την Αίγυπτον.

Εξ. 22,22 - πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε·

Εξ. 22,22 - Καμμίαν χήραν και κανένα ορφανόν δεν θα αδικήσετε.

Εξ. 22,23 - ἐὰν δὲ κακίᾳ κακώσητε αὐτούς, καὶ κεκράξαντες καταβοήσωσι πρός με, ἀκοῇ εἰσακούσομαι τῆς φωνῆς αὐτῶν

Εξ. 22,23 - Εάν αδικήσετε αυτούς και κράξουν προς εμέ εναντίον σας, εγώ θα ακούσω την φωνήν των

Εξ. 22,24 - καὶ ὀργισθήσομαι θυμῷ καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι καὶ τὰ παιδία ὑμῶν ὀρφανά.

Εξ. 22,24 - και θα οργισθώ, και θα επιτρέψω να φονευθήτε εν στόματι μαχαίρας και έτσι αι γυναίκες σας θα γίνουν χήραι και τα παιδιά σας ορφανά, ωσάν εκείνα που σεις ηδικήσατε.

Εξ. 22,25 - ἐὰν δὲ ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ τῷ πενιχρῷ παρὰ σοί, οὐκ ἔσῃ αὐτὸν κατεπείγων, οὐκ ἐπιθήσεις αὐτῷ τόκον.

Εξ. 22,25 - Εάν δανείσης χρήματα στον πτωχόν αδελφόν σου, δεν θα καταπιέσης αυτόν να σου επιστρέψη το δάνειον, ούτε θα του επιβάλης τόκον.

Εξ. 22 ,26 - ἐὰν δὲ ἐνεχύρασμα ἐνεχυράσῃς τὸ ἱμάτιον τοῦ πλησίον, πρὸ δυσμῶν ἡλίου ἀποδώσεις αὐτῷ·

Εξ. 22,26 - Εάν δε πάρης ως ενέχυρον το ιμάτιον του πλησίον, να του το επιστρέψης πριν δύση ο ήλιος.

Εξ. 22,27 - ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτοῦ, μόνον τοῦτο τὸ ἱμάτιον ἀσχημοσύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν καταβοήσῃ πρός με, εἰσακούσομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι.

Εξ. 22,27 - Διότι αυτό είναι το σκέπασμά του στον ύπνον του, το μοναδικόν του ένδυμα, με το οποίον καλύπτει την γύμνωσίν του. Αν εσύ το κρατήσης, με τι εκείνος θα σκεπασθή; Εάν δε κράξη αυτός προς εμέ εναντίον σου, εγώ θα ακούσω την φωνήν του, διότι είμαι εύσπλαγχνος.

Εξ. 22,28 - θεοὺς οὐ κακολογήσεις καὶ ἄρχοντα τοῦ λαοῦ σου οὐ κακῶς ἐρεῖς.

Εξ. 22,28 - Να μην κακολογής τους δικαστάς και γενικώς τους ανωτέρους σου, ούτε να κατακρίνης τον άρχοντα του λαού σου.

Εξ. 22,29 - ἀπαρχὰς ἅλωνος καὶ ληνοῦ σου οὐ καθυστερήσεις· τὰ πρωτότοκα τῶν υἱῶν σου δώσεις ἐμοί.

Εξ. 22,29 - Τας απαρχάς του σίτου από το αλώνι σου και του οίνου από τον ληνόν σου δεν πρέπει να καθυστερήσης να τα δώσης στον Κυριον. Τα πρωτοτόκα εκ των παιδιών σου θα τα δώσης εις εμέ.

Εξ. 22,30 - οὕτω ποιήσεις τὸν μόσχον σου καὶ τὸ πρόβατόν σου καὶ τὸ ὑποζύγιόν σου· ἑπτὰ ἡμέρας ἔσται ὑπὸ τὴν μητέρα, τῇ δὲ ὀγδόῃ ἡμέρᾳ ἀποδώσεις μοι αὐτό.

Εξ. 22,30 - Το ίδιο επίσης θα κάμης και δια το μοσχάρι σου και δια το πρόβατόν σου και δια το μεταφορικόν σου μέσον. Επτά ημέρας θα θηλάζη την μητέρα του, κατά δε την ογδόην ημέραν θα το προσφέρης εις εμέ.

Εξ. 22,31 - καὶ ἄνδρες ἅγιοι ἔσεσθέ μοι. καὶ κρέας θηριάλωτον οὐκ ἔδεσθε, τῷ κυνὶ ἀποῤῥίψατε αὐτό.

Εξ. 22,31 - Εάν τηρήσετε όλα αυτά, θα είσθε αγνοί και καθαροί ενώπιόν μου. Κρέας ζώου κατασπαραχθέντος από θηρίον δεν θα το φάγετε, θα το ρίψετε στο σκυλί.

## ΕΞΟΔΟΣ 23

Εξ. 23,1 - Οὐ παραδέξῃ ἀκοὴν ματαίαν. οὐ συγκαταθήσῃ μετὰ τοῦ ἀδίκου γενέσθαι μάρτυς ἄδικος.

Εξ. 23,1 - Εάν είσαι δικαστής, δεν πρέπει να παραδεχθής ποτέ επιπολαίαν και αναπόδεικτον κατηγορίαν. Εάν κληθής ως μάρτυς, ποτέ δεν πρέπει να έλθης εις συμφωνίαν με τον αδικησαντα, ώστε να γίνης ψευδομάρτυς.

Εξ. 23,2 - οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίᾳ. οὐ προστεθήσῃ μετὰ πλήθους ἐκκλῖναι μετὰ τῶν πλειόνων, ὥστε ἐκκλῖναι κρίσιν.

Εξ. 23,2 - Ποτέ δεν θα συνταυτισθής με την πλειοψηφίαν, δια να κάμης κάτι κακόν. Δεν θα ακολουθήσης το πολύ πλήθος, ώστε να παρεκτροπής και συ με τους πολλούς και να παρεκκλίνης από την δικαίαν κρίσιν. Ο καθένας είναι υπεύθυνος δια τας πράξστου.

Εξ. 23,3 - καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει.

Εξ. 23,3 - Ούτε παρασυρόμενος από συμπάθειαν θα μεροληπτήσης υπέρ του πτωχού κατά την δίκην.

Εξ. 23,4 - ἐὰν δὲ συναντήσῃς τῷ βοΐ τοῦ ἐχθροῦ σου ἢ τῷ ὑποζυγίῳ αὐτοῦ πλανωμένοις, ἀποστρέψας ἀποδώσεις αὐτῷ.

Εξ. 23,4 - Εάν συναντήσης το βόδι του εχθρού σου η το υποζύγιον του εχθρού σου περιπλανώμενα, γύρισέ τα και δόσε τα εις αυτόν.

Εξ. 23,5 - ἐὰν δὲ ἴδῃς τὸ ὑποζύγιον τοῦ ἐχθροῦ σου πεπτωκὸς ὑπὸ τὸν γόμον αὐτοῦ, οὐ παρελεύσῃ αὐτό, ἀλλὰ συναρεῖς αὐτὸ μετ᾽ αὐτοῦ.

Εξ. 23,5 - Εάν ίδης το υποζύγιον του εχθρού σου να έχει πέσει υπό το βάρος του φορτίου του, δεν θα το προσπεράσης με αδιαφορίαν, αλλά μαζή με αυτόν θα το σηκώσης.

Εξ. 23,6 - οὐ διαστρέψεις κρίμα πένητος ἐν κρίσει αὐτοῦ.

Εξ. 23,6 - Δεν θα διαστρέψης και δεν θα καταπατήσης το δίκαιον του πτωχού κατά την δίκην.

Εξ. 23,7 - ἀπὸ παντὸς ῥήματος ἀδίκου ἀποστήσῃ· ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς καὶ οὐ δικαιώσεις τὸν ἀσεβῆ ἕνεκεν δώρων.

Εξ. 23,7 - Φυγε μακράν από κάθε αδικίαν. Δεν θα καταδικάσης εις θάνατον αθώον και δίκαιον. Δεν θα δικαιώσης τον ασεβή δελεαζόμενος από τα δώρα του.

Εξ. 23,8 - καὶ δῶρα οὐ λήψῃ· τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων καὶ λυμαίνεται ῥήματα δίκαια.

Εξ. 23,8 - Ως δικαστής δεν θα λάβης ποτέ δώρα, διότι τα δώρα τυφλώνουν τους οφθαλμούς και αυτών ακόμη των συνετών ανθρώπων και γίνονται αφορμή καταδολιεύσεως της δικαιοσύνης.

Εξ. 23,9 - καὶ προσήλυτον οὐ θλίψετε· ὑμεῖς γὰρ οἴδατε τὴν ψυχὴν τοῦ προσηλύτου· αὐτοὶ γὰρ προσήλυτοι ἦτε ἐν γῇ Αἰγύπτῳ.

Εξ. 23,9 - Δεν θα στενοχωρήσετε ξένον. Διότι και σεις γνωρίζετε την ζωήν του ξένου, επειδή και οι ίδιοι εζήσατε ως ξένοι εις την Αίγυπτον.

Εξ. 23,10 - Ἓξ ἔτη σπερεῖς τὴν γῆν σου καὶ συνάξεις τὰ γεννήματα αὐτῆς·

Εξ. 23,10 - Εξ έτη κατά συνέχειαν θα σπείρης τους αγρούς σου και θα μαζεύης τα γεννήματά των.

Εξ. 23,11 - τῷ δὲ ἑβδόμῳ ἄφεσιν ποιήσεις καὶ ἀνήσεις αὐτήν, καὶ ἔδονται οἱ πτωχοὶ τοῦ ἔθνους σου, τὰ δὲ ὑπολειπόμενα ἔδεται τὰ ἄγρια θηρία. οὕτω ποιήσεις τὸν ἀμπελῶνά σου καὶ τὸν ἐλαιῶνά σου.

Εξ. 23,11 - Κατά το έβδομον όμως έτος θα αφήσης αυτούς ακαλλιεργήτους, τα δε αυτοφυή προϊόντα των αγρών σου κατά το έτος τούτο θα τα φάγουν οι πτωχοί, και όσα υπολειφθούν θα τα φάγουν τα άγρια θηρία. Το ίδιο πράγμα θα κάμης και δια τον αμπελώνά σου και δια τον ελαιώνά σου.

Εξ. 23,12 - ἓξ ἡμέρας ποιήσεις τὰ ἔργα σου, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀνάπαυσις, ἵνα ἀναπαύσηται ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου, καὶ ἵνα ἀναψύξῃ ὁ υἱὸς τῆς παιδίσκης σου καὶ ὁ προσήλυτος.

Εξ. 23,12 - Εξ ημέρας θα εκτελής όλα τα έργα σου, κατά δε την εβδόμην ημέραν θα γίνεται ανάπαυσις, δια να αναπαυθή το βόδι σου και το υποζύγιόν σου, να εύρη αναψυχήν το παιδί της δούλης σου και ο ξένος, που εργάζεται κοντά σου.

Εξ. 23,13 - πάντα, ὅσα εἴρηκα πρὸς ὑμᾶς, φυλάξασθε. Καὶ ὄνομα θεῶν ἑτέρων οὐκ ἀναμνησθήσεσθε, οὐδὲ μὴ ἀκουσθῇ ἐκ τοῦ στόματος ὑμῶν.

Εξ. 23,13 - Ολα όσα σας έχω πει θα τα φυλάξετε. Ονομα άλλων θεών δεν θα φέρετε εις την μνήμην σας ούτε πρέπει να ακουσθή λεγόμενον από το στόμα σας.

Εξ. 23,14 - τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ἑορτάσατέ μοι.

Εξ. 23,14 - Εις τρεις εποχάς του έτους θα εμού αφιερώσετε εορτάς.

Εξ. 23,15 - τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξασθε ποιεῖν· ἑπτὰ ἡμέρας ἔδεσθε ἄζυμα, καθάπερ ἐνετειλάμην σοι, κατὰ τὸν καιρὸν τοῦ μηνὸς τῶν νέων· ἐν γὰρ αὐτῷ ἐξῆλθες ἐξ Αἰγύπτου, οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός.

Εξ. 23,15 - Προσέξατε, ώστε να τηρήτε την εορτήν των αζύμων, δηλαδή το Πασχα. Επί επτά ημέρας, όπως σας έχω διατάξει, θα τρώγετε άζυμον άρτον κατά την εποχήν του μηνός των νέων γεννημάτων, διότι κατά τον καιρόν αυτόν εξήλθες ελεύθερος από την Αίγυπτον. Δεν θα εμφανισθής στο θυσιαστήριον ενώπιόν μου με τα χέρια αδειανά, χωρίς προσφοράν θυσίας.

Εξ. 23,16 - καὶ ἑορτὴν θερισμοῦ πρωτογεννημάτων ποιήσεις τῶν ἔργων σου, ὧν ἐὰν σπείρῃς ἐν τῷ ἀγρῷ σου, καὶ ἑορτὴν συντελείας ἐπ᾿ ἐξόδου τοῦ ἐνιαυτοῦ ἐν τῇ συναγωγῇ τῶν ἔργων σου τῶν ἐκ τοῦ ἀγροῦ σου.

Εξ. 23,16 - Θα εορτάσης επίσης εορτήν θερισμού των πρωτογεννημάτων από τα σιτηρά, τα οποία έσπειρες στον αγρόν σου και άλλην εορτήν κατά το τέλος του γεωργικού έτους με την συγκομιδήν των προϊόντων του αγρού σου.

Εξ. 23,17 - τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου.

Εξ. 23,17 - Κατά τας εορτάς των τριών αυτών εποχών θα παρουσιάσης ενώπιον του Κυρίου κάθε αρσενικόν εις την Σκηνήν του Μαρτυρίου.

Εξ. 23,18 - ὅταν γὰρ ἐκβάλω τὰ ἔθνη ἀπὸ προσώπου σου καὶ ἐμπλατύνω τὰ ὅριά σου, οὐ θύσεις ἐπὶ ζύμῃ αἷμα θυσιάσματός μου, οὐ δὲ μὴ κοιμηθῇ στέαρ τῆς ἑορτῆς μου ἕως πρωΐ.

Εξ. 23,18 - Οταν διώξω εγώ προς χάριν σας από την γην Χαναάν όλα τα ειδωλολατρικά έθνη και μεγαλώσω τα όρια της χώρας σου, δεν θα προσφέρης αιματηράν κατά το Πασχα θυσίαν προς εμέ με ένζυμον άρτον· ούτε θα μείνουν μέχρι πρωΐας τα λίπη και τα κρέατα των θυσιαζομένων κατά την εορτήν μου (κατά το Πασχα) αμνών, αλλά θα φαγωθούν κατά την διάρκειαν της νυκτός.

Εξ. 23,19 - τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων τῆς γῆς σου εἰσοίσεις εἰς τὸν οἶκον Κυρίου τοῦ Θεοῦ σου. οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ.

Εξ. 23,19 - Τα πρωτογεννήματα από τους αγρούς σου θα τα προσφέρης αφιέρωμα στον οίκον Κυρίου του Θεού σου- εις την Σκηνήν του Μαρτυρίου και βραδύτερον στον ναόν. Δεν θα βράσης αρνί μέσα στο γάλα της μητρός του.

Εξ. 23,20 - Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάξῃ σε ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σε εἰς τὴν γῆν, ἣν ἡτοίμασά σοι.

Εξ. 23,20 - Ιδού εγώ στέλλω εμπρός από σε τον άγγελόν μου, δια να σε προφυλάξη εις την οδόν σου, να σε οδηγήση και εγκαταστήση εις την χώραν, την οποίαν έχω ετοιμάσει δια σέ.

Εξ. 23,21 - πρόσεχε σεαυτῷ καὶ εἰσάκουε αὐτοῦ καὶ μὴ ἀπείθει αὐτῷ· οὐ γὰρ μὴ ὑποστείληταί σε, τὸ γὰρ ὄνομά μού ἐστιν ἐπ᾽ αὐτῷ.

Εξ. 23,21 - Πρόσεχε στον εαυτόν σου, ακούε πάντοτε τον οδηγόν σου άγγελον και μη δείξης απείθειαν προς αυτόν. Διότι αυτός δεν θα υποχωρή εις τας παραβάσεις και τας ανομίας σου, επειδή θα ενεργή εξ ονόματός μου.

Εξ. 23,22 - ἐὰν ἀκοῇ ἀκούσητε τῆς ἐμῆς φωνῆς καὶ ποιήσῃς πάντα, ὅσα ἂν ἐντείλωμαί σοι, καὶ φυλάξητε τὴν διαθήκην μου, ἔσεσθέ μοι λαὸς περιούσιος ἀπὸ πάντων τῶν ἐθνῶν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ, ὑμεῖς δὲ ἔσεσθέ μοι βασίλειον ἱεράτευμα καὶ ἔθνος ἅγιον. ταῦτα τὰ ῥήματα ἐρεῖς τοῖς υἱοῖς Ἰσραήλ· ἐὰν ἀκοῇ ἀκούσητε τῆς φωνῆς μου καὶ ποιήσητε πάντα ὅσα ἂν εἴπω σοι, ἐχθρεύσω τοῖς ἐχθροῖς σου καὶ ἀντικείσομαι τοῖς ἀντικειμένοις σοι·

Εξ. 23,22 - Εάν ακούσετε με προσοχήν τους λόγους μου και κάμετε όσα εγώ διατάσσω και φυλάξετε την διαθήκην μου, θα είσθε δι' εμέ ο εκλεκτός λαός μεταξύ όλων των άλλων εθνών. Ιδική μου βέβαια είναι η γη και όλα τα έθνη, αλλά σεις μόνον θα είσθε δι' εμέ βασίλειον ιερέων, έθνος άγιον, θεοκρατικός λαός. Αυτά θα είπης στους Ισραηλίτας· Εάν υπακούσετε στους λόγους μου και κάμετε όλα όσα θα σας είπω, θα είμαι εχθρός στους εχθρούς σας και θα αντιπαρατάσσωμαι εναντίον εκείνων, που ανθίστανται εις σας. Θα έχετε δε αυτήν την προστασίαν μου,

Εξ. 23,23 - πορεύσεται γὰρ ὁ ἄγγελός μου ἡγούμενός σου καὶ εἰσάξει σε πρὸς τὸν Ἀμοῤῥαῖον καὶ Χετταῖον καὶ Φερεζαῖον καὶ Χαναναῖον καὶ Γεργεσαῖον καὶ Εὐαῖον καὶ Ἰεβουσαῖον, καὶ ἐκτρίψω αὐτούς.

Εξ. 23,23 - διότι ο άγγελός μου θα προπορεύεται ως οδηγός σας και θα σας εισαγάγη εις την Χαναάν, όπου σήμερον κατοικούν οι Αμορραίοι, οι Χετταίοι, οι Φερεζαίοι, οι Χαναναίοι, οι Γεργεσαίοι, οι Ευαίοι και οι Ιεβουσαίοι. Αυτούς εγώ θα τους ξεπαστρέψω.

Εξ. 23,24 - οὐ προσκυνήσεις τοῖς θεοῖς αὐτῶν, οὐ δὲ μὴ λατρεύσῃς αὐτοῖς· οὐ ποιήσεις κατὰ τὰ ἔργα αὐτῶν, ἀλλὰ καθαιρέσει καθελεῖς καὶ συντρίβων συντρίψεις τὰς στήλας αὐτῶν.

Εξ. 23,24 - Προσέξατε, δεν θα προσκυνήσετε τους θεούς αυτών ούτε θα τους λατρεύσετε, ούτε θα κάμετε τα έργα, που εκείνοι κάμνουν, αλλά θα κρημνίσετε εκ θεμελίων και θα συντρίψετε εξ ολοκλήρου τας ειδωλολατρικάς των στήλας.

Εξ. 23,25 - καὶ λατρεύσεις Κυρίῳ τῷ Θεῷ σου, καὶ εὐλογήσω τὸν ἄρτον σου καὶ τὸν οἶνόν σου καὶ τὸ ὕδωρ σου, καὶ ἀποστρέψω μαλακίαν ἀφ᾿ ὑμῶν.

Εξ. 23,25 - Θα λατρεύσετε μόνον Κυριον τον Θεόν σας και εγώ θα ευλογήσω και θα πληθύνω τον άρτον σας, τον οίνον σας, τα ύδατά σας και θα απομακρύνω από σας και την πιο μικράν αδιαθεσίαν.

Εξ. 23,26 - οὐκ ἔσται ἄγονος οὐδὲ στείρα ἐπὶ τῆς γῆς σου· τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρῶν ἀναπληρώσω.

Εξ. 23,26 - Δεν θα υπάρχη εις την χώραν σου άγονος ανήρ ούτε στείρα γυνή. Θα μεγαλώνω πάντοτε τα έτη της ζωής σας και θα γίνουν πλήρη ευτυχισμένων ημερών.

Εξ. 23,27 - καὶ τὸν φόβον ἀποστελῶ ἡγούμενόν σου καὶ ἐκστήσω πάντα τά ἔθνη, εἰς οὓς σὺ εἰσπορεύῃ εἰς αὐτούς, καὶ δώσω πάντας τούς ὑπεναντίους σου φυγάδας.

Εξ. 23,27 - Καθώς σεις θα προχωρήτε δια την γην της επαγγελίας, θα στείλω εμπρός από σας τον φόβον μου, θα κατατρομάξω όλα τα έθνη, όπου σεις θα εισέλθετε, και θα εμβάλω πανικόν στους εχθρούς σας, ώστε να τραπούν εις φυγήν.

Εξ. 23,28 - καὶ ἀποστελῶ τὰς σφηκίας προτέρας σου, καὶ ἐκβαλεῖς τοὺς Ἀμοῤῥαίους καὶ τοὺς Εὐαίους καὶ τοὺς Χαναναίους καὶ τοὺς Χετταίους ἀπό σοῦ.

Εξ. 23,28 - Θα στείλω εμπρός από σας εναντίον των εχθρών σας σμήνη από σφήκας, ώστε σεις εύκολα να εκδιώξετε από εμπρός σας τους Αμορραίους, τους Ευαίους, τους Χαναναίους και τους Χετταίους.

Εξ. 23,29 - οὐκ ἐκβαλῶ αὐτοὺς ἐν ἐνιαυτῷ ἑνί, ἵνα μὴ γένηται ἡ γῆ ἔρημος καὶ πολλὰ γένηται ἐπὶ σὲ τὰ θηρία τῆς γῆς.

Εξ. 23,29 - Αλλά δεν θα εκδιώξω αυτούς εντός ενός έτους, δια να μη μείνη έρημος και ακαλλιέργητος η χώρα και πολλαπλασιασθούν τα θηρία της γης εναντίον σας.

Εξ. 23,30 - κατὰ μικρὸν ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ, ἕως ἂν αὐξηθῇς καὶ κληρονομήσῃς τὴν γῆν.

Εξ. 23,30 - Ολίγον κατ' ολίγον θα τους εκδιώκω, έως ότου σεις αυξηθήτε και απλωθήτε και κληρονομήσετε όλην την χώραν.

Εξ. 23,31 - καὶ θήσω τὰ ὅριά σου ἀπὸ τῆς ἐρυθρᾶς θαλάσσης, ἕως τῆς θαλάσσης τῆς Φυλιστιεὶμ καὶ ἀπὸ τῆς ἐρήμου ἕως τοῦ μεγάλου ποταμοῦ Εὐφράτου· καὶ παραδώσω εἰς τὰς χεῖρας ὑμῶν τοὺς ἐγκαθημένους ἐν τῇ γῇ καὶ ἐκβαλῶ αὐτοὺς ἀπὸ σοῦ.

Εξ. 23,31 - Θα εκτείνω και θα θέσω τα όρια της χώρας σας από την Ερυθράν Θαλασσαν έως την θάλασσαν των Φιλισταίων, την Μεσόγειον Θαλασσαν, και από την έρημον Σουρ έως τον Ευφράτην, τον μεγάλον

ποταμόν. Και θα παραδώσω εις τας χείρας σας τους κατοίκους της χώρας αυτής, ενώ άλλους από αυτούς θα τους εκδιώξω από έμπροσθέν σας.

Εξ. 23,32 - οὐ συγκαταθήσῃ αὐτοῖς καὶ τοῖς θεοῖς αὐτῶν διαθήκην,

Εξ. 23,32 - Δεν θα συνάψετε με αυτούς ούτε με τους θεούς των καμμίαν διαθήκην.

Εξ. 23,33 - καὶ οὐκ ἐγκαθήσονται ἐν τῇ γῇ σου, ἵνα μὴ ἁμαρτεῖν σε ποιήσωσι πρός με· ἐὰν γὰρ δουλεύσῃς τοῖς θεοῖς αὐτῶν, οὗτοι ἔσονταί σοι πρόσκομμα.

Εξ. 23,33 - Δεν θα παραμείνουν αυτοί εις την χώραν σας, δια να μη σας παρασύρουν και αμαρτήσετε ενώπιόν μου. Διότι εάν σεις λατρεύσετε και υπηρετήσετε τους θεούς των, θα γίνουν αυτοί πρόσκομμα εις σας".

## ΕΞΟΔΟΣ 24

Εξ. 24,1 - Καὶ Μωυσῇ εἶπεν· ἀνάβηθι πρὸς τὸν Κύριον σὺ καὶ Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ καὶ ἑβδημήκοντα τῶν πρεσβυτέρων Ἰσραήλ, καὶ προσκυνήσουσι μακρόθεν τῷ Κυρίῳ·

Εξ. 24,1 - Είπεν ο Θεός στον Μωϋσήν· "άνεβα στο όρος προς εμέ συ, ο Ααρών, ο Ναδάβ, ο Αδιούδ και οι εβδομήκοντα από τους γεροντοτέρους Ισραηλίτας. Θα προσκυνήσουν εμέ τον Κυριον από μακρυνής αποστάσεως.

Εξ. 24,2 - καὶ ἐγγιεῖ Μωυσῆς μόνος πρὸς τὸν Θεόν, αὐτοὶ δὲ οὐκ ἐγγιοῦσιν· ὁ δὲ λαὸς οὐ συναναβήσεται μετ᾿ αὐτῶν.

Εξ. 24,2 - Συ, ο Μωϋσής, μόνον θα έλθης πλησίον προς εμέ τον Θεόν εις την κορυφήν του όρους· οι άλλοι συνοδοί σου δεν θα πλησιάσουν. Ο δε λαός δεν θα ανεβή καθόλου στο όρος μαζή των, αλλά θα παραμείνη στους πρόποδας".

Εξ. 24,3 - εἰσῆλθε δὲ Μωυσῆς καὶ διηγήσατο τῷ λαῷ πάντα τὰ ῥήματα τοῦ Θεοῦ καὶ τὰ δικαιώματα· ἀπεκρίθη δὲ πᾶς ὁ λαὸς φωνῇ μιᾷ λέγοντες· πάντας τοὺς λόγους, οὓς ἐλάλησε Κύριος, ποιήσομεν καὶ ἀκουσόμεθα.

Εξ. 24,3 - Ο Μωϋσής ήλθεν εις την κατασκήνωσιν των Ισραηλιτών και διηγήθη στον λαόν όλους τους λόγους του Θεού και τας εντολάς. Συσσωμος ο λαός απεκρίθη με μίαν φωνήν λέγων· "όλους τους λόγους, τους οποίους μίλησε ο Κυριος, θα εφαρμόσωμεν και θα υπακούσωμεν".

Εξ. 24,4 - καὶ ἔγραψε Μωυσῆς πάντα τὰ ῥήματα Κυρίου. ὀρθρίσας δὲ Μωυσῆς τὸ πρωΐ ᾠκοδόμησε θυσιαστήριον ὑπὸ τὸ ὄρος καὶ δώδεκα λίθους εἰς τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ·

Εξ. 24,4 - Εγραψεν ο Μωϋσής όλας αυτάς τας εντολάς του Κυρίου. Εγερθείς δε πολύ πρωϊ έκτισε κατά την πρωΐαν θυσιαστήριον στους πρόποδας του όρους και ετοποθέτησε δώδεκα λίθους δια τας δώδεκα φυλάς του Ισραήλ.

Εξ. 24,5 - καὶ ἐξαπέστειλε τοὺς νεανίσκους τῶν υἱῶν Ἰσραήλ, καὶ ἀνήνεγκαν ὁλοκαυτώματα καὶ ἔθυσαν θυσίαν σωτηρίου τῷ Θεῷ μοσχάρια.

Εξ. 24,5 - Απέστειλε κατόπιν νεαρούς Ισραηλίτας και έφεραν μοσχάρια, τα οποία προσέφεραν ολοκαυτώματα ως θυσίαν ευχαριστίας προς τον Θεόν δια την σωτηρίαν των.

Εξ. 24,6 - λαβὼν δὲ Μωυσῆς τὸ ἥμισυ τοῦ αἵματος ἐνέχεεν εἰς κρατῆρας, τὸ δὲ ἥμισυ τοῦ αἵματος προσέχεε πρὸς τὸ θυσιαστήριον.

Εξ. 24,6 - Ο Μωϋσής έλαβε το ήμισυ από το αίμα των θυσιασθέντων ζώων και το έθεσεν εις δοχεία, το δε άλλο ήμισυ το έχυσε πλησίον στο θυσιαστήριον.

Εξ. 24,7 - καὶ λαβὼν τὸ βιβλίον τῆς διαθήκης ἀνέγνω εἰς τὰ ὦτα τοῦ λαοῦ, καὶ εἶπαν· πάντα ὅσα ἐλάλησε Κύριος, ποιήσομεν καὶ ἀκουσόμεθα.

Εξ. 24,7 - Ελαβε κατόπιν το βιβλίον της Διαθήκης, όπου είχε γράψει τας εντολάς, ανέγνωσεν αυτό εις επήκοον του λαού και οι Ισραηλίται είπαν· “όλα όσα διέταξεν ο Κυριος, θα εφαρμόσωμεν και θα ακούσωμεν”.

Εξ. 24,8 - λαβὼν δὲ Μωυσῆς τὸ αἷμα κατεσκέδασε τοῦ λαοῦ καὶ εἶπεν· ἰδοὺ τὸ αἷμα τῆς διαθήκης, ἧς διέθετο Κύριος πρὸς ὑμᾶς περὶ πάντων τῶν λόγων τούτων.

Εξ. 24,8 - Λαβών έπειτα ο Μωϋσής τα δοχεία με το αίμα ερράντισε με αυτό τον λαόν και είπεν· “ιδού το αίμα της Διαθήκης, την οποίαν έκαμεν ο Κυριος προς σας, δια να εφαρμόσετε όλας αυτάς τας εντολάς του”.

Εξ. 24,9 - Καὶ ἀνέβη Μωυσῆς καὶ Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ καὶ ἑβδομήκοντα τῆς γερουσίας Ἰσραήλ

Εξ. 24,9 - Ανέβη κατόπιν ο Μωϋσής στο όρος και μαζή με αυτόν ο Ααρών, ο Ναδάβ, ο Αβιούδ και εβδαμήκοντα από την γερουσίαν των Ισραηλιτών. Εκεί αυτοί δεν είδον τον Θεόν.

Εξ. 24,10 - καὶ εἶδον τὸν τόπον, οὗ εἱστήκει ὁ Θεὸς τοῦ Ἰσραήλ· καὶ τά ὑπὸ τοὺς πόδας αὐτοῦ ὡσεὶ ἔργον πλίνθου σαπφείρου καὶ ὥσπερ εἶδος στερεώματος τοῦ οὐρανοῦ τῇ καθαριότητι.

Εξ. 24,10 - Είδον όμως τον τόπον, όπου εστάθη ο Θεός του Ισραήλ. Και ο τόπος αυτός εφαίνετο σαν να ήτο κατασκευασμένος από πλίνθους σαπφείρου. Είχε δε την διαύγειαν και την λάμψιν του καθαρού ουρανού.

Εξ. 24,11 - καὶ τῶν ἐπιλέκτων τοῦ Ἰσραὴλ οὐ διεφώνησεν οὐδὲ εἷς· καὶ ὤφθησαν ἐν τῷ τόπῳ τοῦ Θεοῦ καὶ ἔφαγον καὶ ἔπιον.

Εξ. 24,11 - Κανείς από τους άρχοντας του ισραηλιτικού λαού, που ανέβησαν στο όρος όχι μόνον δεν απέθανεν αλλ' ουδέ την φωνήν του έχασε από την παρουσίαν του Θεού. Οι άνδρες αυτοί, στον θείον εκείνον τόπον έφαγον και έπιον φιλοξενηθέντες εις θείον συμπόσιον.

Εξ. 24,12 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἀνάβηθι πρός με εἰς τὸ ὄρος καὶ ἴσθι ἐκεῖ· καὶ δώσω σοι τὰ πυξία τὰ λίθινα, τὸν νόμον καὶ τὰς ἐντολάς,

ἃς ἔγραψα νομοθετῆσαι αὐτοῖς.

Εξ. 24,12 - Είπε κατόπιν ο Κυριος προς τον Μωϋσήν· “ανέβα προς εμέ στο υψηλότερον μέρος του όρους και μείνε εκεί. Θα σου δώσω τας λιθίνας πλάκας, εις τας οποίας είναι γραμμένος ο νόμος και αι εντολαί μου, τας οποίας έγραψα ως νομοθεσίαν δια τους Ισραηλίτας”.

Εξ. 24,13 - καὶ ἀναστὰς Μωυσῆς καὶ Ἰησοῦς ὁ παρεστηκὼς αὐτῷ ἀνέβησαν εἰς τὸ ὄρος τοῦ Θεοῦ·

Εξ. 24,13 - Ηγέρθη ο Μωϋσής και ο ακόλουθος αυτού Ιησούς του Ναυή και ανέβησαν στο υψηλότερον μέρος του όρους του Θεού.

Εξ. 24,14 - καὶ τοῖς πρεσβυτέροις εἶπαν· ἡσυχάζετε αὐτοῦ, ἕως ἀναστρέψωμεν πρὸς ὑμᾶς· καὶ ἰδοὺ Ἀαρὼν καὶ ῍Ωρ μεθ᾿ ὑμῶν· ἐάν τινι συμβῇ κρίσις, προσπορευέσθωσαν αὐτοῖς.

Εξ. 24,14 - Εις δε τους πρεσβυτέρους είπαν· “μείνατε ήσυχοι στο μέρος αυτό, έως ότου επιστρέψωμεν προς σας. Ο Ααρών και ο Ωρ ιδού είναι μαζή σας. Εάν συμβή καμμιά διαφορά, κανένα ζήτημα εις Ισραηλίτην, ας πορευθούν αυτοί προς εκείνους δια να εξομαλύνουν την διαφοράν”.

Εξ. 24,15 - καὶ ἀνέβη Μωυσῆς καὶ Ἰησοῦς εἰς τό ὄρος, καί ἐκάλυψεν ἡ νεφέλη τὸ ὄρος.

Εξ. 24,15 - Ο Μωϋσής και ο Ιησούς του Ναυή ανέβησαν στο όρος και η νεφέλη εσκέπασεν αυτό.

Εξ. 24,16 - καὶ κατέβη ἡ δόξα τοῦ Θεοῦ ἐπὶ τὸ ὄρος τὸ Σινά, καὶ ἐκάλυψεν αὐτὸ ἡ νεφέλη ἓξ ἡμέρας· καὶ ἐκάλεσε Κύριος τὸν Μωυσῆν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐκ μέσου τῆς νεφέλης.

Εξ. 24,16 - Κατέβη ως λάμψις η δόξα του Θεού στο όρος Σινά και εσκέπασεν αυτό η νεφέλη επί εξ ημέρας. Την εβδόμην ημέραν ο Κυριος μέσα από την νεφέλην εκάλεσε τον Μωϋσήν.

Εξ. 24,17 - τὸ δὲ εἶδος τῆς δόξης Κυρίου ὡσεὶ πῦρ φλέγον ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους ἐναντίον τῶν υἱῶν Ἰσραήλ.

Εξ. 24,17 - Το είδος της δόξης του Κυρίου ήτο σαν πυρ που εκπέμπει συνεχώς φλόγας επάνω εις την κορυφήν του όρους, ορατόν από όλους τους Ισραηλίτας.

Εξ. 24,18 - καὶ εἰσῆλθε Μωυσῆς εἰς τὸ μέσον τῆς νεφέλης καὶ ἀνέβη εἰς τὸ ὄρος καὶ ἦν ἐκεῖ ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας.

Εξ. 24,18 - Ο Μωϋσής, κατόπιν της προσκλήσεως του Θεού, εισήλθε μέσα εις την νεφέλην, ανέβη στο υψηλότερον σημείον του όρους και ήτο εκεί τεσσαράκοντα ημερονύκτια.

## ΕΞΟΔΟΣ 25

Εξ. 25,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·
Εξ. 25,1 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν και είπεν·
Εξ. 25,2 - εἰπὸν τοῖς υἱοῖς Ἰσραήλ, καὶ λάβετε ἀπαρχὰς παρὰ πάντων, οἷς ἂν δόξῃ τῇ καρδίᾳ, καὶ λήψεσθε τὰς ἀπαρχάς μου.
Εξ. 25,2 - “ειπέ στους Ισραηλίτας να φέρουν όλοι συνεισφοράς, ελευθέρως και αυτοπροαιρέτως κατά την διάθεσιν της καρδίας του έκαστος, και θα λάβετε σεις δι' εμέ αυτάς τας συνεισφοράς.
Εξ. 25,3 - καὶ αὕτη ἐστὶν ἡ ἀπαρχή, ἣν λήψεσθε παρ᾿ αὐτῶν· χρυσίον καὶ ἀργύριον καὶ χαλκὸν
Εξ. 25,3 - Αυτή η συνεισφορά, που θα λάβετε από αυτούς, θα είναι χρυσός, άργυρος και χαλκός,
Εξ. 25,4 - καὶ ὑάκινθον καὶ πορφύραν καὶ κόκκινον διπλοῦν καὶ βύσσον κεκλωσμένην καὶ τρίχας αἰγείας
Εξ. 25,4 - πορφύρα κυανή, πορφύρα ροδίνη, πορφύρα βαθέως ερυθρά δύο φοράς βαμμένη, κλωστές εκ βύσσου, τρίχας από αίγας,
Εξ. 25,5 - καὶ δέρματα κριῶν ἠρυθροδανωμένα καὶ δέρματα ὑακίνθινα καὶ ξύλα ἄσηπτα
Εξ. 25,5 - δέρματα κριών βαμμένα κόκκινα και άλλα δέρματα βαμμένα κυανά και ξύλα, που δεν σαπίζουν.
Εξ. 25,6 - καὶ λίθους σαρδίου καὶ λίθους εἰς τὴν γλυφὴν εἰς τὴν ἐπωμίδα καὶ τὸν ποδήρη.
Εξ. 25,6 - Θα λάβετε επίσης πολυτίμους λίθους σαρδίρυ και άλλους πολυτίμους λίθους δια την ανάγλυφον διακόσμησιν της επωμίδος και του ποδήρους χιτώνος.
Εξ. 25,7 - καὶ ποιήσεις μοι ἁγίασμα, καὶ ὀφθήσομαι ἐν ὑμῖν·
Εξ. 25,7 - Θα κατασκευάσης δι' εμέ Σκηνήν, εις τόπον άγιον, όπου θα εμφανίζωμαι εις σας.
Εξ. 25,8 - καὶ ποιήσεις μοι κατὰ πάντα ὅσα σοι δεικνύω ἐν τῷ ὄρει, τὸ παράδειγμα τῆς σκηνῆς καὶ τὸ παράδειγμα πάντων τῶν σκευῶν αὐτῆς· οὕτω ποιήσεις.
Εξ. 25,8 - Θα κατασκευάσης αυτά σύμφωνα με εκείνα, που θα σου δείξω εγώ τώρα στο όρος, καττά το υπόδειγμα της Σκηνής και κατά το υπόδειγμα των σκευών αυτής, που θα σου δείξω. Ετσι θα τα κάμης.
Εξ. 25,9 - Καὶ ποιήσεις κιβωτὸν μαρτυρίου ἐκ ξύλων ἀσήπτων, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος καὶ πήχεως καὶ ἡμίσους τὸ πλάτος καὶ πήχεως καὶ ἡμίσους τὸ ὕψος.
Εξ. 25,9 - Θα κάμης την κιβωτόν του Μαρτυρίου από ξύλα, που δεν σαπίζουν. Το μήκος της θα είναι δυόμισυ πήχεις, το πλάτος της ένας και ήμισυς πήχυς και το ύψος της ένας και ήμισυς πήχυς.

Εξ. 25,10 - καὶ καταχρυσώσεις αὐτὴν χρυσίῳ καθαρῷ, ἔσωθεν καὶ ἔξωθεν χρυσώσεις αὐτήν· καὶ ποιήσεις αὐτῇ κυμάτια χρυσᾶ στρεπτὰ κύκλῳ.

Εξ. 25,10 - Θα καλύψης αυτήν με καθαρόν χρυσίον, θα την χρυσώσης από μέσα και απ' έξω, θα κατασκευάσης και θα τοποθετήσης γύρω από αυτήν χρυσήν στεφάνην που θα φαίνεται σαν συστρεφόμενα κυμάτια.

Εξ. 25,11 - καὶ ἐλάσεις αὐτῇ τέσσαρας δακτυλίους χρυσοῦς καὶ ἐπιθήσεις ἐπὶ τὰ τέσσαρα κλίτη, δύο δακτυλίους ἐπὶ τὸ κλίτος τὸ ἓν καὶ δύο δακτυλίους ἐπὶ τὸ κλίτος τὸ δεύτερον.

Εξ. 25,11 - Θα χύσης δι' αυτήν τέσσαρας χρυσούς κρίκους και θα τους προσαρμόσης εις τας τέσσαρας γωνίας, δύο κρίκους εις την μίαν πλευράν και δύο κρίκους εις την άλλην.

Εξ. 25,12 - ποιήσεις δὲ ἀναφορεῖς ξύλα ἄσηπτα καὶ καταχρυσώσεις αὐτὰ χρυσίῳ·

Εξ. 25,12 - Θα κατασκευάσης δια την μεταφοράν της κιβωτού μοχλούς από ξύλον άσηπτον, τους οποίους θα καλύψης με χρυσόν

Εξ. 25,13 - καὶ εἰσάξεις τοὺς ἀναφορεῖς εἰς τοὺς δακτυλίους τοὺς ἐν τοῖς κλίτεσι τῆς κιβωτοῦ αἴρειν τὴν κιβωτὸν ἐν αὐτοῖς·

Εξ. 25,13 - και θα εισάγης τους μοχλούς αυτούς στους κρίκους των δύο πλευρών της κιβωτού, δια να σηκώνεται και μεταφέρεται δι' αυτών η κιβωτός.

Εξ. 25,14 - ἐν τοῖς δακτυλίοις τῆς κιβωτοῦ ἔσονται οἱ ἀναφορεῖς ἀκίνητοι.

Εξ. 25,14 - Οι μοχλοί αυτοί θα είναι μόνιμοι στους κρίκους της κιβωτού.

Εξ. 25,15 - καὶ ἐμβαλεῖς εἰς τὴν κιβωτὸν τὰ μαρτύρια, ἃ ἂν δῷ σοι.

Εξ. 25,15 - Μέσα δε εις την κιβωτόν θα θέσης αντικείμενα, που μαρτυρούν την παρουσίαν μου και τα οποία εγώ θα σου δώσω.

Εξ. 25,16 - καὶ ποιήσεις ἱλαστήριον ἐπίθεμα χρυσίου καθαροῦ, δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος καί πήχεως καὶ ἡμίσους τὸ πλάτος.

Εξ. 25,16 - Το σκέπασμα της κιβωτού, το ιλαστήριον, θα το κατασκευάσης από καθαρόν χρυσόν. Θα έχη μήκος μεν δύο και ήμισυν πήχεις, πλάτος δε ένα και ήμισυν πήχυν.

Εξ. 25,17 - καὶ ποιήσεις δύο Χερουβὶμ χρυσοτορευτὰ καὶ ἐπιθήσεις αὐτὰ ἐξ ἀμφοτέρων τῶν κλιτῶν τοῦ ἱλαστηρίου.

Εξ. 25,17 - Θα κατασκευάσης δύο Χερουβίμ σκαλιστά εκ χρυσού και θα τοποθετήσης αυτά απέναντι αλλήλων, το ένα εις την μίαν πλευράν του ιλαστηρίου και το έτερον εις την άλλην.

Εξ. 25,18 - ποιηθήσονται Χεροὺβ εἷς ἐκ τοῦ κλίτους τούτου καὶ Χεροὺβ εἷς ἐκ τοῦ κλίτους τοῦ δευτέρου τοῦ ἱλαστηρίου· καὶ ποιήσεις τοὺς δύο Χερουβὶμ ἐπὶ τὰ δύο κλίτη.

Εξ. 25,18 - Θα κατασκευασθούν δύο Χερουβίμ και θα τοποθετηθούν ένα από την μίαν πλευράν του ιλαστηρίου, το δεύτερον από την άλλην πλευράν. Ετσι τα δύο Χερουβίμ θα ευρίσκωνται απέναντι αλλήλων εις τας δύο πλευράς του ιλαστηρίου.

Εξ. 25,19 - ἔσονται οἱ Χερουβὶμ ἐκτείνοντες τὰς πτέρυγας ἐπάνωθεν, συσκιάζοντες ἐν ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τοῦ ἱλαστηρίου, καὶ τὰ πρόσωπα αὐτῶν εἰς ἄλληλα· εἰς τὸ ἱλαστήριον ἔσονται τὰ πρόσωπα τῶν Χερουβίμ.

Εξ. 25,19 - Θα έχουν απλωμένας τας πτέρυγάς των επάνω από το ιλαστήριον, θα ριπτούν την σκιαν των πτερύγων των επ' αυτού και τα πρόσωπά των θα είναι το ένα απέναντι του άλλου. Θα είναι δε εστραμμένα κάτω, ώστε να βλέπουν το ιλαστήριον.

Εξ. 25,20 - καὶ ἐπιθήσεις τὸ ἱλαστήριον ἐπὶ τὴν κιβωτὸν ἄνωθεν· καὶ εἰς τὴν κιβωτὸν ἐμβαλεῖς τὰ μαρτύρια, ἃ ἂν δῶ σοι.

Εξ. 25,20 - Το ιλαστήριον θα το τοποθετήσης επάνω εις την κιβωτόν του Μαρτυρίου· μέσα δε εις την κιβωτόν θα βάλης αντικείμενα, που μαρτυρούν την παρουσίαν μου και τα οποία εγώ θα σου δώσω.

Εξ. 25,21 - καὶ γνωσθήσομαί σοι ἐκεῖθεν καὶ λαλήσω σοι ἄνωθεν τοῦ ἱλαστηρίου ἀνὰ μέσον τῶν δύο Χερουβὶμ τῶν ὄντων ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου καὶ κατὰ πάντα, ὅσα ἐὰν ἐντείλωμαί σοι πρὸς τοὺς υἱοὺς Ἰσραήλ.

Εξ. 25,21 - Θα φανερώνωμαι και θα γίνωμαι γνωστός εις σε από εκεί, και θα σου ομιλώ δια του άνωθεν της κιβωτού ιλαστηρίου από το μέσον των δύο χερουβίμ, τα οποία θα ευρίσκωνται εις την κιβωτόν του Μαρτυρίου. Θα λέγω εις σε όλα όσα θα σε διατάσσω να λέγης προς τους Ισραηλίτας.

Εξ. 25,22 - Καὶ ποιήσεις τράπεζαν χρυσῆν χρυσίου καθαροῦ, δύο πήχεων τὸ μῆκος καὶ πήχεως τὸ εὖρος καὶ πήχεως καὶ ἡμίσους τὸ ὕψος.

Εξ. 25,22 - Θα κατασκευάσης χρυσήν τράπεζαν από καθαρόν χρυσόν, της οποίας το μήκος θα είναι δύο πήχεις, το πλάτος ένας πήχυς, το δε ύψος ένας και ήμισυς πήχυς.

Εξ. 25,23 - καὶ ποιήσεις αὐτῇ στρεπτὰ κυμάτια χρυσᾶ κύκλῳ. καὶ ποιήσεις αὐτῇ στεφάνην παλαιστοῦ κύκλῳ·

Εξ. 25,23 - Και θα περιβάλης αυτήν με χρυσήν στεφάνην, που θα έχη συστρεφόμενα κυμάτια. Θα κάμης και άλλην στεφάνην πέριξ του χείλους αυτής, πλάτους μιας παλάμης.

Εξ. 25,24 - καὶ ποιήσεις στρεπτὸν κυμάτιον τῇ στεφάνῃ κύκλῳ.

Εξ. 25,24 - Θα κατασκευάσης και επί της στεφάνης αυτής γύρω συστρεφόμενα κυμάτια.

Εξ. 25,25 - καὶ ποιήσεις τέσσαρας δακτυλίους χρυσοῦς καὶ ἐπιθήσεις τοὺς τέσσαρας δακτυλίους ἐπὶ τὰ τέσσερα μέρη τῶν ποδῶν αὐτῆς ὑπὸ τὴν στεφάνην,

Εξ. 25,25 - Θα κατασκευάσης τέσσαρας χρυσούς κρίκους, τους οποίους θα τοποθετήσης στους τέσσαρας πόδας της τραπέζης υπό την στεφάνην.

Εξ. 25,26 - καὶ ἔσονται οἱ δακτύλιοι εἰς θήκας τοῖς ἀναφορεῦσιν, ὥστε αἴρειν ἐν αὐτοῖς τὴν τράπεζαν.

Εξ. 25,26 - Οι δακτύλιοι αυτοί θα είναι θήκη δια τους αναφορείς, ώστε να σηκώνουν και να μεταφέρουν δι' αυτών την τράπεζαν.

Εξ. 25,27 - καὶ ποιήσεις τοὺς ἀναφορεῖς ἐκ ξύλων ἀσήπτων καὶ καταχρυσώσεις αὐτούς χρυσίῳ καθαρῷ, καὶ ἀρθήσεται ἐν αὐτοῖς ἡ τράπεζα.

Εξ. 25,27 - Αυτούς δε τους αναφορείς, τους μοχλούς, θα τους καττασκευάσης από ξύλα άσηπτα και θα τους καλύψης με καθαρόν χρυσίον. Δι' αυτών θα σηκώνεται και θα μεταφέρεται η τράπεζα.

Εξ. 25,28 - καὶ ποιήσεις τὰ τρυβλία αὐτῆς καὶ τὰς θυΐσκας καὶ τὰ σπονδεῖα καὶ τοὺς κιάθους, ἐν οἷς σπείσεις ἐν αὐτοῖς· ἐκ χρυσίου καθαροῦ ποιήσεις αὐτά.

Εξ. 25,28 - Θα κατασκευάσης τους δίσκους, τας θήκας δια το λιβάνι, τας φιάλας και τα ποτήρια δια την τέλεσιν των σπονδών. Από καθαρόν χρυσόν θα κάμης αυτά.

Εξ. 25,29 - καὶ ἐπιθήσεις ἐπὶ τὴν τράπεζαν ἄρτους ἐνωπίους ἐναντίον μου διαπαντός.

Εξ. 25,29 - Επάνω εις την τράπεζαν θα θέσης άρτους, οι οποίοι θα ευρίσκωνται δια παντός ενώπιόν μου και θα αντικαθίστανται κατά περιόδους.

Εξ. 25,30 - Καὶ ποιήσεις λυχνίαν ἐκ χρυσίου καθαροῦ, τορευτὴν ποιήσεις τὴν λυχνίαν· ὁ καυλὸς αὐτῆς καὶ οἱ καλαμίσκοι καὶ οἱ κρατῆρες καὶ οἱ σφαιρωτῆρες καὶ τὰ κρίνα ἐξ αὐτῆς ἔσται.

Εξ. 25,30 - Θα κατασκευάσης λυχνίαν από καθαρόν χρυσόν, σκαλιστήν θα κάμης την λυχνίαν. Αυτή θα έχη κύριον στέλεχος και εκατέρωθεν αυτού βραχίονας. Τα ομοιώματα των ποτηρίων και αι σφαιρικαί διογκώσεις και τα ομοιώματα των κρίνων θα είναι όλα από την αυτήν ύλην, από χρυσόν.

Εξ. 25,31 - ἓξ δὲ καλαμίσκοι ἐκπορευόμενοι ἐκ πλαγίων, τρεῖς καλαμίσκοι τῆς λυχνίας ἐκ τοῦ κλίτους τοῦ ἑνὸς αὐτῆς καὶ τρεῖς καλαμίσκοι τῆς λυχνίας ἐκ τοῦ κλίτους τοῦ δευτέρου.

Εξ. 25,31 - Εξ βραχίονες θα εξέρχωνται εκ των πλαγίων του κεντρικού στελέχους, τρεις βραχίονες από το ένα κλίτος της λυχνίας και τρεις βραχίονες από το άλλο.

Εξ. 25,32 - καὶ τρεῖς κρατῆρες ἐκτετυπωμένοι καρυΐσκους ἐν τῷ ἑνὶ καλαμίσκῳ, σφαιρωτὴρ καὶ κρίνον· οὕτω τοῖς ἓξ καλαμίσκοις τοῖς ἐκπορευομένοις ἐκ τῆς λυχνίας.

Εξ. 25,32 - Τρία ποτήρια έχοντα σχήμα καρυδιού θα ευρίσκωνται ανάγλυφα στον κάθε βραχίονα. Εις κάθε βραχίονα επίσης πλησίον των

ποτηρίων, θα υπάρχουν σφαιροειδείς διογκώσεις και ομοιώματα κρίνων. Ετσι θα είναι και οι εξ βραχίονες της λυχνίας.

Εξ. 25,33 - καὶ ἐν τῇ λυχνίᾳ τέσσαρες κρατῆρες ἐκτετυπωμένοι καρυΐσκους· ἐν τῷ ἑνὶ καλαμίσκῳ σφαιρωτῆρες καὶ τὰ κρίνα αὐτῆς.

Εξ. 25,33 - Εις το κεντρικόν στέλεχος της λυχνίας θα υπάρχουν τέσσαρα ανάγλυφα ποτήρια υπό μορφήν καρυδιού. Εις το αυτό στέλεχος θα υπάρχουν σφαιρικαί διογκώσεις και ομοιώματα κρίνων.

Εξ. 25,34 - ὁ σφαιρωτὴρ ὑπὸ τοὺς δύο καλαμίσκους ἐξ αὐτῆς, καὶ σφαιρωτὴρ ὑπὸ τούς τέσσαρας καλαμίσκους ἐξ αὐτῆς· οὕτω τοῖς ἓξ καλαμίσκοις τοῖς ἐκπορευομένοις ἐκ τῆς λυχνίας.

Εξ. 25,34 - Εις το κύριον αυτό στέλεχος θα υπάρχη η πρώτη σφαιρική διόγκωσις, που θα συνδέη τους δύο εκατέρωθεν βραχίονας, και άλλαι δύο σφαιρικαί διογκώσεις, που θα συνδέουν με το κεντρικόν στέλεχος τους άλλους τέσσαρας βραχίονας. Ετσι θα συνδέωνται οι εξ βραχίονες, οι εξερχόμενοι από το κεντρικόν στέλεχος της λυχνίας.

Εξ. 25,35 - καὶ ἐν τῇ λυχνίᾳ τέσσαρες κρατῆρες ἐκτετυπωμένοι καρυΐσκους.

Εξ. 25,35 - Εις το κεντρικόν στέλεχος της λυχνίας θα υπάρχουν ανάγλυφα τέσσαρα ομοιώματα ποτηρίων υπό μορφήν καρυδιού.

Εξ. 25,36 - οἱ σφαιρωτῆρες καὶ οἱ καλαμίσκοι ἐξ αὐτῆς ἔστωσαν· ὅλη τορευτὴ ἐξ ἑνὸς χρυσίου καθαροῦ.

Εξ. 25,36 - Αι σφαιρικαί διογκώσεις και οι βραχίονες θα εξέρχωνται από το στέλεχος της λυχνίας. Ολη δε η λυχνία θα είναι σκαλιστή από χρυσόν καθαρόν.

Εξ. 25,37 - καὶ ποιήσεις τοὺς λύχνους αὐτῆς ἑπτά· καὶ ἐπιθήσεις τοὺς λύχνους, καὶ φανοῦσιν ἐκ τοῦ ἑνὸς προσώπου.

Εξ. 25,37 - Θα κατασκευάσης τους επτά λύχνους αυτής και θα τους θέσης στο άνω μέρος των καλαμίσκων και του κεντρικού στελέχους και θα φωτίζουν εις την μίαν πρόσοψιν προς τα άγια των αγίων.

Εξ. 25,38 - καὶ τὸν ἐπαρυστῆρα αὐτῆς καὶ τὰ ὑποθέματα αὐτῆς ἐκ χρυσίου καθαροῦ ποιήσεις.

Εξ. 25,38 - Τα λυχνοψάλιδα και τα δοχεία των απορριμμάτων αυτής θα τα κατασκευάσης από καθαρόν χρυσόν.

Εξ. 25,39 - πάντα τὰ σκεύη ταῦτα τάλαντον χρυσίου καθαροῦ.

Εξ. 25,39 - Ολα αυτά μαζή τα χρυσά σκεύη θα είναι βάρους ενός ταλάντου χρυσού.

Εξ. 25,40 - ὅρα, ποιήσεις κατὰ τὸν τύπον τὸν δεδειγμένον σοι ἐν τῷ ὄρει.

Εξ. 25,40 - Πρόσεχε, θα κατασκευάσης όλα αυτά κατά το σχέδιον, που σου υπεδείχθη επί του όρους.

ΕΞΟΔΟΣ 26

Εξ. 26,1 - Καὶ τὴν σκηνὴν ποιήσεις δέκα αὐλαίας ἐκ βύσσου κεκλωσμένης καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου· Χερουβὶμ ἐργασίᾳ ὑφάντου ποιήσεις αὐτάς.
Εξ. 26,1 - Δια το πρώτον εσωτερικόν κάλυμμα της σκηνής θα κατασκευάσης δέκα τεμάχια από ύφασμα λινόν υφασμένον με στριμμένην κλωστήν χρώματος κυανού, βαθέως ερυθρού και κόκκινου. Επάνω εις αυτά θα υφάνης μορφάς χερουβίμ.
Εξ. 26,2 - μῆκος τῆς αὐλαίας τῆς μιᾶς ὀκτὼ καὶ εἴκοσι πήχεων καὶ εὖρος τεσσάρων πήχεων ἡ αὐλαία ἡ μία ἔσται· μέτρον τὸ αὐτὸ ἔσται πάσαις ταῖς αὐλαίαις.
Εξ. 26,2 - Το μήκος του ενός τεμαχίου υφάσματος θα είναι είκοσι οκτώ πήχεις, το δε πλάτος τέσσαρες πήχεις. Αι διαστάσεις αυταί θα είναι και δια τα άλλα εννέα τεμάχια.
Εξ. 26,3 - πέντε δὲ αὐλαῖαι ἔσονται ἐξ ἀλλήλων ἐχόμεναι ἡ ἑτέρα ἐκ τῆς ἑτέρας, καὶ πέντε αὐλαῖαι ἔσονται συνεχόμενοι ἑτέρα τῇ ἑτέρᾳ.
Εξ. 26,3 - Τα πέντε από τα τεμάχια αυτά θα ραφούν το ένα με το άλλο, ώστε να αποτελούν ένα τεμάχιον, μίαν αυλαίαν. Ομοίως και τα άλλα πέντε τεμάχια θα ραφούν το ένα με το άλλο, δια να αποτελέσουν δευτέραν αυλαίαν.
Εξ. 26,4 - καὶ ποιήσεις αὐταῖς ἀγκύλας ὑακινθίνας ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς μιᾶς ἐκ τοῦ ἑνὸς μέρους εἰς τὴν συμβολὴν καὶ οὕτω ποιήσεις ἐπὶ τοῦ χείλους τῆς αὐλαίας τῆς ἐξωτέρας πρὸς τῇ συμβολῇ τῇ δευτέρᾳ.
Εξ. 26,4 - Θα κατασκευάσης, δια τα δύο αυτά, λωρία συνδέσεως χρώματος κυανού, τα οποία θα τοποθετήσης στο άκρον του ενός μεγάλου τεμαχίου, εκεί όπου θα γίνη η σύνδεσις με το άλλο τεμάχιον. Το αυτό θα κάμης και δια το άκρον του άλλου μεγάλου τεμαχίου.
Εξ. 26,5 - πεντήκοντα ἀγκύλας ποιήσεις τῇ αὐλαίᾳ τῇ μιᾷ, καὶ πεντήκοντα ἀγκύλας ποιήσεις ἐκ τοῦ μέρους τῆς αὐλαίας κατὰ τὴν συμβολὴν τῆς δευτέρας, ἀντιπρόσωποι ἀντιπίπτουσαι ἀλλήλαις εἰς ἑκάστην.
Εξ. 26,5 - Πεντήκοντα τέτοια λωρία συνδέσεως θα κάμης δια την μίαν αυλαίαν και άλλα πεντήκοντα λωρία δια την άλλην, εκεί όπου θα γίνεται η σύνδεσις. Τα λωρία συνδέσεως εκάστης αυλαίας θα είναι το ένα απέναντι του άλλου.
Εξ. 26,6 - καὶ ποιήσεις κρίκους πεντήκοντα χρυσοῦς. καὶ συνάψεις τὰς αὐλαίας ἑτέραν τῇ ἑτέρᾳ τοῖς κρίκοις. καὶ ἔσται ἡ σκηνὴ μία.

Εξ. 26,6 - Θα κατασκευάσης πεντήκοντα χρυσούς κρίκους και με αυτούς δια των λωρίων, που έχουν αι δύο αυλαίαι, θα συνδέσης αυτάς εις μίαν. Ούτω το πρώτον εσωτερικόν κάλυμμα της σκηνής θα είναι ένα.

Εξ. 26,7 - καὶ ποιήσεις δέῤῥεις τριχίνας σκέπην ἐπὶ τῆς σκηνῆς, ἕνδεκα δέῤῥεις ποιήσεις αὐτάς.

Εξ. 26,7 - Εις κάλυψιν του πρώτου θα κατασκευάσης δεύτερον κάλυμμα. Ενδεκα τρίχινα τέτοια παραπετάσματα θα κατασκευάσης.

Εξ. 26,8 - τὸ μῆκος τῆς δέῤῥεως τῆς μιᾶς, τριάκοντα πήχεων, καὶ τεσσάρων πήχεων τὸ εὖρος τῆς δέῤῥεως τῆς μιᾶς· τὸ αὐτὸ μέτρον ἔσται ταῖς ἕνδεκα δέῤῥεσι.

Εξ. 26,8 - Το μήκος του παραπετάσματος θα είναι τριάκοντα πήχστο δε πλάτος αυτού θα είναι τέσσαρες πήχεις. Τας αυτάς διαστάσεις θα έχουν και το καθένα από τα ένδεκα αυτά παραπετάσματα.

Εξ. 26,9 - καὶ συνάψεις τὰς πέντε δέῤῥεις ἐπὶ τὸ αὐτό, καὶ τὰς ἓξ δέῤῥεις ἐπὶ τὸ αὐτό. καὶ ἐπιδιπλώσεις τὴν δέῤῥιν τὴν ἕκτην κατὰ πρόσωπον τῆς σκηνῆς.

Εξ. 26,9 - Θα ράψης τα πέντε παραπετάσματα εις ένα και τα άλλα εξ εις άλλο ένα. Το έκτον τεμάχιον του μεγάλου αυτού παραπετάσματος θα το διπλώσης εις την είσοδον της σκηνής.

Εξ. 26,10 - καὶ ποιήσεις ἀγκύλας πεντήκοντα ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως τῆς μιᾶς, τῆς ἀνὰ μέσον κατὰ συμβολήν. καὶ πεντήκοντα ἀγκύλας ποιήσεις ἐπὶ τοῦ χείλους τῆς δέῤῥεως, τῆς συναπτούσης τῆς δευτέρας.

Εξ. 26,10 - Θα κατασκευάσης στο άκρον του ενός παραπετάσματος πεντήκοντα λωρία συνδέσεως, εκεί όπου θα γίνεται η σύνδεσις με το άλλο, και πεντήκοντα κρίκους στο άκρον του άλλου παραπετάσματος εκεί όπου αυτό θα συνδέεται με το πρώτον.

Εξ. 26,11 - καὶ ποιήσεις κρίκους χαλκοῦς πεντήκοντα. καὶ συνάψεις τοὺς κρίκους ἐκ τῶν ἀγκυλῶν, καὶ συνάψεις τὰς δέῤῥεις, καὶ ἔσται ἕν.

Εξ. 26,11 - Θα κατασκευάσης πεντήκοντα χαλκούς κρίκους και δια μέσου αυτών θα συνδέσης τα λωρία συνδέσεως, ώστε τα δύο παραπετάσματα να γίνουν ένα κάλυμμα.

Εξ. 26,12 - καὶ ὑποθήσεις τὸ πλεονάζον ἐν ταῖς δέῤῥεσι τῆς σκηνῆς. τὸ ἥμισυ τῆς δέῤῥεως τὸ ὑπολελειμμένον ὑποκαλύψεις εἰς τὸ πλεονάζον τῶν δέῤῥεων τῆς σκηνῆς. ὑποκαλύψεις ὀπίσω τῆς σκηνῆς.

Εξ. 26,12 - Μετά την κάλυψιν της σκηνής, το πλεονάζον τμήμα των παραπετασμάτων θα πέση εις τα πλάγια της σκηνής. Το ήμισυ του παραπετάσματος, το οποίον περισσεύει, θα κρέμαται άνωθεν και όπισθεν της σκηνής. Ούτω θα καλύψης το όπισθεν αυτής μέρος.

Εξ. 26,13 - πῆχυν ἐκ τούτου, καὶ πῆχυν ἐκ τούτου, ἐκ τοῦ ὑπερέχοντος τῶν δέῤῥεων, ἐκ τοῦ μήκους τῶν δέῤῥεων τῆς σκηνῆς, ἔσται συγκαλύπτον

ἐπὶ τὰ πλάγια τῆς σκηνῆς ἔνθεν καὶ ἔνθεν, ἵνα καλύπτῃ.

Εξ. 26,13 - Εκ δε των δύο πήχεων, κατά τους οποίους είναι μεγαλύτερον το τρίχινον κάλυμμα από το εσωτερικόν λίνον κάλυμμα κατά πλάτος, θα καλύψης τα πλάγια της σκηνής, ένα πήχυν από εδώ και ένα πήχυν από εκεί.

Εξ. 26,14 - καὶ ποιήσεις κατακάλυμμα τῇ σκηνῇ δέρματα κριῶν ἠρυθροδανωμένα, καὶ ἐπικαλύμματα δέρματα ὑακίνθινα ἐπάνωθεν.

Εξ. 26,14 - Επάνω από το τρίχινον αυτό δεύτερον κάλυμμα θα κατασκευάσης και τρίτον κάλυμμα δια την σκηνήν από δέρματα κριών βαμμένα ερυθρά με ερυθρόδανον. Και τέταρτον ακόμη δερμάτινον κάλυμμα χρώματος κυανού θα κατασκευάσης.

Εξ. 26,15 - καὶ ποιήσεις στύλους τῆς σκηνῆς ἐκ ξύλων ἀσήπτων.

Εξ. 26,15 - Θα κατασκευάσης στύλους, σανιδώματα, δια το στήριγμα της σκηνής από ξύλα, που δεν σήπονται.

Εξ. 26,16 - δέκα πήχεων ποιήσεις τὸν στύλον τὸν ἕνα, καὶ πήχεως ἑνὸς καὶ ἡμίσους τὸ πλάτος τοῦ στύλου τοῦ ἑνός.

Εξ. 26,16 - Καθε στύλος θα έχη μήκος μεν δέκα πήχεις, πλάτος δε ένα και ήμισυ πήχυν.

Εξ. 26,17 - δύο ἀγκωνίσκους τῷ στύλῳ τῷ ἑνί, ἀντιπίπτοντας ἕτερον τῷ ἑτέρῳ. οὕτω ποιήσεις πᾶσι τοῖς στύλοις τῆς σκηνῆς.

Εξ. 26,17 - Εκαστος από τους στύλους θα έχει στο κάτω άκρον δύο προεξοχάς την μίαν απέναντι της άλλης. Ετσι θα κατασκευάσης όλους τους στύλους της σκηνής.

Εξ. 26,18 - καὶ ποιήσεις στύλους τῇ σκηνῇ, εἴκοσι στύλους ἐκ τοῦ κλίτους τοῦ πρὸς βοῤῥᾶν.

Εξ. 26,18 - Είκοσι τέτοια σανιδώματα θα κατασκευάσης δια την βορείαν πλευράν της σκηνής.

Εξ. 26,19 - καὶ τεσσαράκοντα βάσεις ἀργυρᾶς ποιήσεις τοῖς εἴκοσι στύλοις. δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ. καὶ δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ.

Εξ. 26,19 - Δια τους είκοσι αυτούς στύλους θα κατασκευάσης τεσσαράκοντα αργυράς βάσεις. Δυο βάσεις δια τον κάθε στύλον εις τα δύο μέρη αυτού.

Εξ. 26,20 - καὶ τὸ κλίτος τὸ δεύτερον τὸ πρὸς νότον, εἴκοσι στύλους.

Εξ. 26,20 - Η δευτέρα πλευρά, η προς νότον, θα έχη είκοσι επίσης στύλους.

Εξ. 26,21 - καὶ τεσσαράκοντα βάσεις αὐτῶν ἀργυρᾶς. δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ, καὶ δύο βάσεις τῷ στύλῳ τῷ ἑνὶ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ.

Εξ. 26,21 - Θα κατασκευάσης επίσης δι' αυτούς τεσσαράκοντα βάσεις αργυράς· δύο βάσεις δι' αμφοτέρας τας προεξοχάς του ενός στύλου, και ανά

δύο βάσεις δια τον καθένα από τους άλλους.

Εξ. 26,22 - καὶ ἐκ τῶν ὀπίσω τῆς σκηνῆς κατὰ τὸ μέρος τὸ πρὸς θάλασσαν ποιήσεις ἓξ στύλους.

Εξ. 26,22 - Εις το όπισθεν μέρος της σκηνής το προς την θάλασσαν θα κατασκευάσης εξ επίσης στύλους.

Εξ. 26,23 - καὶ δύο στύλους ποιήσεις ἐπὶ τῶν γωνιῶν τῆς σκηνῆς ἐκ τῶν ὀπισθίων.

Εξ. 26,23 - Θα κατασκευάσης δύο στύλους εις τας γωνίας του όπισθεν μέρους της σκηνής.

Εξ. 26,24 - καὶ ἔσται ἐξ ἴσου κάτωθεν. κατὰ τὸ αὐτὸ ἔσονται ἴσοι ἐκ τῶν κεφαλῶν εἰς σύμβλησιν μίαν. οὕτω ποιήσεις ἀμφοτέραις ταῖς δυσὶ γωνίαις. ἴσαι ἔστωσαν.

Εξ. 26,24 - Οι στύλοι αυτοί θα είναι ίσου πάχους από κάτω έως άνω, ώστε θα αποτελούν ένα σώμα με τους γωνιαίους στύλους. Ετσι θα κάμης και δια τους δύο γωνιαίους στύλους. Θα είναι ίσου πάχους και ύψους.

Εξ. 26,25 - καὶ ἔσονται ὀκτὼ στύλοι, καὶ αἱ βάσεις αὐτῶν ἀργυραῖ δέκα ἕξ. δύο βάσεις τῷ ἑνὶ στύλῳ εἰς ἀμφότερα τὰ μέρη αὐτοῦ, καὶ δύο βάσεις τῷ στύλῳ τῷ ἑνί.

Εξ. 26,25 - Κατ' αυτόν τον τρόπον προς δυσμάς θα υπάρχουν οκτώ στύλοι και δέκα εξ αργυραί βάσεις, δύο βάσεις δι' αμφοτέρας τας προεξοχάς εκάστου στύλου.

Εξ. 26,26 - καὶ ποιήσεις μοχλοὺς ἐκ ξύλων ἀσήπτων· πέντε τῷ ἑνὶ στύλῳ ἐκ τοῦ ἑνὸς μέρους τῆς σκηνῆς,

Εξ. 26,26 - Θα κατασκευάσης μοχλούς από ξύλα άσηπτα. Πέντε μοχλοί θα διέρχωνται από κάθε στύλον από το ένα μέρος της σκηνής, το βόρειον.

Εξ. 26,27 - καὶ πέντε μοχλοὺς τῷ στύλῳ τῷ ἑνὶ κλίτει τῆς σκηνῆς τῷ δευτέρῳ, καὶ πέντε μοχλοὺς τῷ στύλῳ τῷ ὀπισθίῳ τῷ κλίτει τῆς σκηνῆς τῷ πρὸς θάλασσαν.

Εξ. 26,27 - Πέντε μοχλοί θα διέρχωνται από κάθε στύλον του δευτέρου κλίτους, του νοτίου, και πέντε επίσης μοχλοί από κάθε στύλον του όπισθεν μέρους της σκηνής, του δυτικού του προς την θάλασσαν.

Εξ. 26,28 - καὶ ὁ μοχλὸς ὁ μέσος ἀναμέσον τῶν στύλων διικνείσθω ἀπὸ τοῦ ἑνὸς κλίτους εἰς τὸ ἕτερον κλίτος.

Εξ. 26,28 - Ο μεσαίος μοχλός, ο κεντρικός, θα διέρχεται ανά μέσον των στύλων από την μίαν πλευράν εις την άλλην.

Εξ. 26,29 - καὶ τοὺς στύλους καταχρυσώσεις χρυσίῳ. καὶ τοὺς δακτυλίους ποιήσεις χρυσοῦς, εἰς οὓς εἰσάξεις τοὺς μοχλούς. καὶ καταχρυσώσεις τοὺς μοχλοὺς χρυσίῳ.

Εξ. 26,29 - Τους στύλους αυτούς θα τους επιχρυσώσης. Τους δακτυλίους, από τους οποίους θα διέρχωνται οι μοχλοί, θα τους κάμης

χρυσούς. Και τους μοχλούς επίσης θα επιχρυσώσης.

Εξ. 26,30 - καὶ ἀναστήσεις τὴν σκηνὴν κατὰ τὸ εἶδος τὸ δεδειγμένον σοι ἐν τῷ ὄρει.

Εξ. 26,30 - Θα στήσης την σκηνήν σύμφωνα με το υπόδειγμα, το οποίον σου εδείχθη στο όρος Σινά.

Εξ. 26,31 - καὶ ποιήσεις καταπέτασμα ἐξ ὑακίνθου, καὶ πορφύρας, καὶ κοκκίνου κεκλωσμένου, καί βύσσου νενησμένης. ἔργον ὑφαντὸν ποιήσεις αὐτὸ Χερουβίμ.

Εξ. 26,31 - Θα κατασκευάσης καταπέτασμα από στριμμένον νήμα χρώματος κυανού, βαθέος ερυθρού και κοκκίνου. Το ύφασμα θα είναι από γνεσμένον λινόν. Θα υφάνης δε εις αυτό μορφάς Χερουβίμ.

Εξ. 26,32 - καὶ ἐπιθήσεις αὐτὸ ἐπί τεσσάρων στύλων ἀσήπτων κεχρυσωμένων χρυσίῳ. καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες ἀργυραῖ.

Εξ. 26,32 - Το καταπέτασμα αυτό θα κρεμάσης από τέσσαρας επιχρυσωμένους στύλους ασήπτου ξύλου. Αι κεφαλαί αυτών θα είναι χρυσαί και αι τέσσαρες βάσεις των αργυραί.

Εξ. 26,33 - καὶ θήσεις τὸ καταπέτασμα ἐπὶ τῶν στύλων. καὶ εἰσοίσεις ἐκεῖ ἐσώτερον τοῦ καταπετάσματος τὴν κιβωτὸν τοῦ μαρτυρίου. καὶ διοριεῖ τό καταπέτασμα ὑμῖν ἀνὰ μέσον τοῦ ἁγίου καὶ ἀνὰ μέσον τοῦ ἁγίου τῶν ἁγίων.

Εξ. 26,33 - Το καταπέτασμα θα το κρεμάσης στους στύλους, όπισθεν του καταπετάσματος, στο εσωτερικόν, θα τοποθετήσης την Κιβωτόν του Μαρτυρίου. Το καταπέτασμα θα χωρίζη τα Αγια από τα Αγια των Αγίων.

Εξ. 26,34 - καὶ κατακαλύψεις τῷ καταπετάσματι τὴν κιβωτὸν τοῦ μαρτυρίου ἐν τῷ ἁγίῳ τῶν ἁγίων.

Εξ. 26,34 - Ετσι, με το καταπέτασμα αυτό θα αποκρύψης από τα ιμάτια των ανθρώπων την Κιβωτόν του Μαρτυρίου, η οποία θα ευρίσκεται εις τα Αγια των Αγίων.

Εξ. 26,35 - καὶ θήσεις τὴν τράπεζαν ἔξωθεν τοῦ καταπετάσματος καὶ τὴν λυχνίαν ἀπέναντι τῆς τραπέζης ἐπὶ μέρους τῆς σκηνῆς τὸ πρὸς νότον καὶ τὴν τράπεζαν θήσεις ἐπὶ μέρους τῆς σκηνῆς τὸ πρὸς βοῤῥᾶν.

Εξ. 26,35 - Εξω από το καταπέτασμα θα τοποθετήσης την τράπεζαν της Προθέσεως και απέναντι της τραπέζης την επτάφωτον λυχνίαν προς το νότιον μέρος της σκηνής. Εις το βόρειον μέρος θα τοποθετήσης την τράπεζαν.

Εξ. 26,36 - καὶ ποιήσεις ἐπίσπαστρον τῇ θύρᾳ τῆς σκηνῆς ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου καὶ βύσσου κεκλωσμένης, ἔργον ποικιλτοῦ.

Εξ. 26,36 - Θα κατασκευάσης εις την θύραν της σκηνής του Μαρτυρίου ένα άλλο παραπέτασμα από ύφασμα εκ στριμμένου νήματος χρώματος κυανού, βσθέος ερυθρού και κοκκίνου. Αυτό θα είναι εξαίρετον λινόν υφασμα, από στριμμένον νήμα, έργον ειδικού διακοσμητού.

Εξ. 26,37 - καὶ ποιήσεις τῷ καταπετάσματι πέντε στύλους καὶ χρυσώσεις αὐτοὺς χρυσίῳ, καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ χωνεύσεις αὐτοῖς πέντε βάσεις χαλκᾶς.

Εξ. 26,37 - Δια το ύφασμα αυτό θα κατασκευάσης πέντε στύλους, τους οποίους θα επιχρυσώσης, ενώ αι κεφαλαί αυτών, τα κιονόκρανα, θα είναι χρυσά, αι δε πέντε αυτών βάσεις θα είναι χυταί από χαλκόν.

ΕΞΟΔΟΣ 27

Εξ. 27,1 - Καὶ ποιήσεις θυσιαστήριον ἐκ ξύλων ἀσήπτων, πέντε πήχεων τὸ μῆκος καὶ πέντε πήχεων τὸ εὖρος, τετράγωνον ἔσται τὸ θυσιαστήριον, καὶ τριῶν πήχεων τὸ ὕψος αὐτοῦ.

Εξ. 27,1 - Θα κατασκευάσης θυσιαστήριον από ξύλα άσηπτα. Το μήκος του θα είναι πέντε πήχεις και πέντε πήχστο πλάτος, θα είναι τετράγωνον, το δε ύψος του θα είναι τρεις πήχεις.

Εξ. 27,2 - καὶ ποιήσεις τὰ κέρατα ἐπὶ τῶν τεσσάρων γωνιῶν· ἐξ αὐτοῦ ἔσται τὰ κέρατα· καὶ καλύψεις αὐτὰ χαλκῷ.

Εξ. 27,2 - Επάνω εις τας τέσσαρας αυτού γωνίας θα τοποθετήσης τέσσαρα εξέχοντα κέρατα, τα οποία θα καλύψης με χαλκόν.

Εξ. 27,3 - καὶ ποιήσεις στεφάνην τῷ θυσιαστηρίῳ καὶ τὸν καλυπτῆρα αὐτοῦ καὶ τὰς φιάλας αὐτοῦ καὶ τὰς κρεάγρας αὐτοῦ καὶ τὸ πυρεῖον αὐτοῦ· καὶ πάντα τὰ σκεύη αὐτοῦ ποιήσεις χαλκᾶ.

Εξ. 27,3 - Εις το θυσιαστήριον θα κατασκευάσης στεφάνην, όπως επίσης και τον καλυπτήρα αυτού. Θα κατασκευάσης τας φιάλας, τας λαβίδας δια τα κρέατα και το πυραδοχείον, όλα αυτά θα είναι χάλκινα.

Εξ. 27,4 - καὶ ποιήσεις αὐτῷ ἐσχάραν ἔργῳ δικτυωτῷ χαλκῆν· καὶ ποιήσεις τῇ ἐσχάρᾳ τέσσαρας δακτυλίους χαλκοῦς ὑπὸ τὰ τέσσαρα κλίτη.

Εξ. 27,4 - Θα κατασκευάσης επί του θυσιαστηρίου τούτου δυκτυωτήν εσχάραν από χαλκόν. Εις τας τέσσαρας πλευράς αυτής θα κατασκευάσης τέσσαρας χαλκίνους κρίκους.

Εξ. 27,5 - καὶ ὑποθήσεις αὐτοὺς ὑπὸ τὴν ἐσχάραν τοῦ θυσιαστηρίου κάτωθεν· ἔσται δὲ ἡ ἐσχάρα ἕως τοῦ ἡμίσους τοῦ θυσιαστηρίου.

Εξ. 27,5 - Θα θέσης τους χαλκίνους αυτούς κρίκους κάτω από την εσχάραν του θυσιαστηρίου, θα φθάνη δε αυτή μέχρι την μέσην του θυσιαστηρίου.

Εξ. 27,6 - καὶ ποιήσεις τῷ θυσιαστηρίῳ ἀναφορεῖς ἐκ ξύλων ἀσήπτων καὶ περιχαλκώσεις αὐτούς χαλκῷ.

Εξ. 27,6 - Θα κατασκευάσης δια το θυσιαστήριον αναφορείς από ξύλον άσηπτον, τους οποίους θα περιβάλης με χαλκόν.

Εξ. 27,7 - καὶ εἰσάξεις τοὺς ἀναφορεῖς εἰς τοὺς δακτυλίους, καὶ ἔστωσαν ἀναφορεῖς κατὰ πλευρὰ τοῦ θυσιαστηρίου ἐν τῷ αἴρειν αὐτό.

Εξ. 27,7 - Θα εισάγης τους αναφορείς αυτούς στους δακτυλίους και θα υπάρχουν αυτοί εις τα πλευρά του θυσιαστηρίου, όταν θα το σηκώνουν δια να το μεταφέρουν.

Εξ. 27,8 - κοῖλον σανιδωτὸν ποιήσεις αὐτό· κατὰ τὸ παραδειχθέν σοι ἐν τῷ ὄρει, οὕτω ποιήσεις αὐτό.

Εξ. 27,8 - Το θυσιαστήριον τούτο θα το κατασκευάσης με σανίδας εσωτερικώς κοίλον, όχι συμπαγές, σύμφωνα, με το υποδειγμα, που σου έδειξα στο όρος Σινά. Ετσι θα το κάμης.

Εξ. 27,9 - Καὶ ποιήσεις αὐλὴν τῇ σκηνῇ· εἰς τὸ κλίτος τό πρὸς λίβα ἱστία τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης, μῆκος ἑκατὸν πήχεων τῷ ἑνὶ κλίτει·

Εξ. 27,9 - Θα κάμης αυλήν δια την σκηνήν. Την νοτίαν αυτής πλευράν θα κλείσης με παραπετάσματα από λινόν ύφασμα εκ κλωστής στριμμένης. Το μήκος της πλευράς θα είναι εκατόν πήχεις.

Εξ. 27,10 - καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ, καὶ οἱ κρίκοι αὐτῶν καὶ αἱ ψαλίδες ἀργυραῖ.

Εξ. 27,10 - Οι στύλοι των παραπετασμάτων αυτών θα είναι είκοσι και αι βάσεις των στύλων χαλκαί, είκοσι. Οι δε κρίκοι και τα άγκιστρα αναρτήσεως αργυρά.

Εξ. 27,11 - οὕτως τῷ κλίτει τῷ πρὸς ἀπηλιώτην ἱστία, ἑκατὸν πήχεων μῆκος· καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι καὶ αἱ βάσεις αὐτῶν εἴκοσι χαλκαῖ, καὶ οἱ κρίκοι καὶ αἱ ψαλίδες τῶν στύλων, καὶ αἱ βάσεις αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ.

Εξ. 27,11 - Ετσι θα είναι και η πλευρά η προς βορράν, μήκους εκατόν πήχεων. Οι στύλοι των παραπετασμάτων και αυτής της πλευράς θα είναι είκοσι, αι βάσεις αυτών χαλκαί, οι κρίκοι και τα άγκιστρα αναρτήσεως επηργυρωμένα.

Εξ. 27,12 - τὸ δὲ εὖρος τῆς αὐλῆς τὸ κατὰ θάλασσαν ἱστία πεντήκοντα πήχεων· στῦλοι αὐτῶν δέκα, καὶ βάσεις αὐτῶν δέκα.

Εξ. 27,12 - Εις τον χώρον της αυλής, προς δυσμάς, τα παραπετάσματα θα είναι μήκους πεντήκοντα πήχεων, οι στύλοι αυτών δέκα και αι βάσεις των δέκα.

Εξ. 27,13 - καὶ εὖρος τῆς αὐλῆς τῆς πρὸς νότον, ἱστία πεντήκοντα πήχεων· στῦλοι αὐτῶν δέκα, καὶ βάσεις αὐτῶν δέκα.

Εξ. 27,13 - Εις τον χώρον της αυλής, τον προς νότον (αλ. γρ. ανατολάς), τα παραπετάσματα θα εκτείνωνται εις πεντήκοντα πήχεις. Οι στύλοι αυτών θα είναι δέκα και αι βάσεις των στύλων δέκα.

Εξ. 27,14 - καὶ πεντεκαίδεκα πήχεων τὸ ὕψος τῶν ἱστίων τῷ κλίτει τῷ ἑνί· στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς.

Εξ. 27,14 - Εκατέρωθεν της πύλης της ανατολικής αυτής πλευράς θα υπάρχουν δύο κλίτη. Το ύψος των παραπετασμάτων του ενός θα είναι δέκα πέντε πήχεων, οι δε στύλοι των παραπετασμάτων θα είναι τρεις, και τρεις αι βάσεις των.

Εξ. 27,15 - καὶ τὸ κλίτος τὸ δεύτερον δεκαπέντε πήχεων τῶν ἱστίων τὸ ὕψος· στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς.

Εξ. 27,15 - Το άλλο κλίτος της πύλης θα έχη παραπετάσματα ύψους δεκαπέντε επίσης πήχεων, οι στύλοι αυτών θα είναι τρεις και αι βάσεις των στύλων τρεις.

Εξ. 27,16 - καὶ τῇ πύλῃ τῆς αὐλῆς κάλυμμα, εἴκοσι πήχεων τὸ ὕψος, ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου καὶ βύσσου κεκλωσμένης τῇ ποικιλίᾳ τοῦ ῥαφιδευτοῦ· στῦλοι αὐτῶν τέσσαρες καὶ αἱ βάσεις αὐτῶν τέσσαρες.

Εξ. 27,16 - Εις το κέντρον της πλευράς, όπου ευρίσκεται η πύλη η εισάγουσα εις την αυλήν, θα υπάρχη παραπέτασμα. Το ύψος αυτού θα είναι είκοσι πήχεων, το δε ύφασμά του θα είναι κυανούν, βαθέως ερυθρόν και κόκκινον, υφασμένον από στρμμμένα νήματα λινού, κεντημένου από ειδικόν τεχνίτην. Οι στύλοι αυτών θα είναι τέσσαρες και αι βάσεις των στύλων τέσσαρες.

Εξ. 27,17 - πάντες οἱ στῦλοι τῆς αὐλῆς κύκλῳ κατηργυρωμένοι ἀργυρίῳ, καὶ αἱ κεφαλίδες αὐτῶν ἀργυραῖ, καὶ αἱ βάσεις αὐτῶν χαλκαῖ.

Εξ. 27,17 - Ολοι οι στύλοι κύκλω της αυλής θα είναι επηργυρωμένοι· τα κιονόκρανα αυτών θα είναι αργυρά και αι βάσεις των χάλκιναι.

Εξ. 27,18 - τὸ δὲ μῆκος τῆς αὐλῆς ἑκατὸν ἐφ᾽ ἑκατόν, καὶ εὖρος πεντήκοντα ἐπὶ πεντήκοντα, καὶ ὕψος πέντε πήχεων, ἐκ βύσσου κεκλωσμένης, καὶ αἱ βάσεις αὐτῶν χαλκαῖ.

Εξ. 27,18 - Το μήκος της αυλής θα είναι εκατόν πήχεις προς βορράν και εκατόν προς νότον, το δε πλάτος θα είναι πεντήκοντα προς δυσμάς και πεντήκοντα προς ανατολάς. Το ύψος των παραπετασμάτων της αυλής θα είναι πέντε πήχεις. Αυτά τα παραπετάσματα θα είναι από στριμμένον νήμα λινού αι δε βάσεις των στύλων χαλκαί.

Εξ. 27,19 - καὶ πᾶσα ἡ κατασκευὴ καὶ πάντα τὰ ἐργαλεῖα καὶ οἱ πάσσαλοι τῆς αὐλῆς χαλκοῖ.

Εξ. 27,19 - Ολη αυτή η κατασκευή και όλα τα εργαλεία και οι πάσσαλοι της αυλής θα είναι από χαλκόν.

Εξ. 27,20 - Καὶ σὺ σύνταξον τοῖς υἱοῖς Ἰσραὴλ καὶ λαβέτωσάν σοι ἔλαιον ἐξ ἐλαιῶν ἄτρυγον καθαρὸν κεκομμένον εἰς φῶς καῦσαι, ἵνα καίηται λύχνος διαπαντός.

Εξ. 27,20 - Δώσε συ εντολήν στους Ισραηλίτας να σου φέρουν ελαιόλαδον χωρίς κατακάθι, καθαρόν, από κοπανισμένας ελαίας, προς φωτισμόν, δια να καίεται με το λάδι αυτό δια παντός η επτάφωτος λυχνία.

Εξ. 27,21 - ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἔξωθεν τοῦ καταπετάσματος τοῦ ἐπὶ τῆς διαθήκης καύσει αὐτὸ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀφ᾿ ἑσπέρας ἕως πρωΐ ἐναντίον Κυρίου· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν παρὰ τῶν υἱῶν Ἰσραήλ.

Εξ. 27,21 - Εντός της σκηνής του Μαρτυρίου, έξω από το καταπέτασμα, το οποίον κρύπτει από τους οφθαλμούς σας την Κιβωτόν του Μαρτυρίου, ο Ααρών και οι απόγονοί του θα καίουν το έλαιον τούτο από το βράδυ έως το πρωϊ ενώπιον του Κυρίου. Αυτό θα είναι αιώνιος νόμος δι' όλας τας γενεάς των Ισραηλιτών.

## ΕΞΟΔΟΣ 28

Εξ. 28,1 - Καὶ σὺ προσαγάγου πρὸς σεαυτὸν τόν τε Ἀαρὼν τὸν ἀδελφόν σου καὶ τοὺς υἱοὺς αὐτοῦ ἐκ τῶν υἱῶν Ἰσραὴλ ἱερατεύειν μοι, Ἀαρὼν καὶ Ναδὰβ καὶ Ἀβιοὺδ καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ υἱοὺς Ἀαρών.

Εξ. 28,1 - Καλεσε από όλους τους Ισραηλίτας να προσέλθουν εις σέ, ο αδελφός σου ο Ααρών και οι υιοί του, δια να αναλάβουν ως έργον και αποστολήν των να ιερατεύουν εις εμέ· ο Ααρών και οι υιοί του Ναβάδ, Αδιούδ, Ελεάζαρ και Ιθάμαρ αυτοί θα είναι ιερείς.

Εξ. 28,2 - καὶ ποιήσεις στολὴν ἁγίαν Ἀαρὼν τῷ ἀδελφῷ σου εἰς τιμὴν καὶ δόξαν.

Εξ. 28,2 - Θα κατασκευάσης ιερατικήν στολήν δια τον αδελφόν σου τον Ααρών προς τιμήν και δόξαν του ιερατικού του έργου.

Εξ. 28,3 - καὶ σὺ λάλησον πᾶσι τοῖς σοφοῖς τῇ διανοίᾳ, οὓς ἐνέπλησα πνεύματος σοφίας καὶ αἰσθήσεως, καὶ ποιήσουσι τὴν στολὴν τὴν ἁγίαν Ἀαρὼν εἰς τὸ ἅγιον, ἐν ᾗ ἱερατεύσει μοι.

Εξ. 28,3 - Προς τούτο ομίλησε προς όλους τους σοφούς κατά την διάνοιαν, τους οποίους εγώ εγέμισα με πνεύμα σοφίας και καλαισθησίας, να κατασκευάσουν αγίας ιερατικάς στολάς του Ααρών δια τον ναόν, όπου αυτός θα ιερουργή εις λατρείαν ιδικήν μου.

Εξ. 28,4 - καὶ αὗται αἱ στολαί, ἃς ποιήσουσι· τὸ περιστήθιον καὶ τὴν ἐπωμίδα καὶ τὸν ποδήρη καὶ χιτῶνα κοσυμβωτὸν καὶ κίδαριν καὶ ζώνην· καὶ ποιήσουσι στολὰς ἁγίας Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ εἰς τὸ ἱερατεύειν μοι.

Εξ. 28,4 - Αυταί θα είναι αι στολαί, τας οποίας θα κατασκευάσουν· Το περιστήθιον, η επωμίς, ο ποδήρης χιτών, ο κροσσωτός χιτών, η μίτρα και η ζώνη. Οι ειδικοί τεχνίται θα κατασκευάσουν τας ιερατικάς στολάς του Ααρών και των τέκνων του, δια να ιερουργούν εις εμέ.

Εξ. 28,5 - καὶ αὐτοὶ λήψονται τὸ χρυσίον καὶ τὸν ὑάκινθον καὶ τὴν πορφύραν καὶ τὸ κόκκινον καὶ τὴν βύσσον.

Εξ. 28,5 - Οι τεχνίται δια την κατασκευήν αυτών των στολών θα πάρουν χρυσόν, και βαφάς κυανάς, βαθέως ερυθράς, κοκκίνας και λευκόν λινόν ύφασμα.

Εξ. 28,6 - καὶ ποιήσουσι τὴν ἐπωμίδα ἐκ βύσσου κεκλωσμένης, ἔργον ὑφαντὸν ποικιλτοῦ·

Εξ. 28,6 - Θα κατασκευάσουν την επωμίδα από στριμμένον λινόν ύφασμα, το οποίον θα υφάνη ειδικός διακοσμητής.

Εξ. 28,7 - δύο ἐπωμίδες συνέχουσαι ἔσονται αὐτῷ ἑτέρα τὴν ἑτέραν, ἐπὶ τοῖς δυσὶ μέρεσιν ἐξηρτημέναι·

Εξ. 28,7 - Η επωμίς θα αποτελήται από δύο τεμάχια συγκρατούμενα το ένα με το άλλο επί του ώμου και θα πίπτουν το εν έμπροσθεν και το άλλο όπισθεν του ώμου του αρχιερέως.

Εξ. 28,8 - καὶ τὸ ὕφασμα τῶν ἐπωμίδων, ὅ ἐστιν ἐπ᾽ αὐτῷ, κατὰ τὴν ποίησιν ἐξ αὐτοῦ ἔσται ἐκ χρυσίου καθαροῦ καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης·

Εξ. 28,8 - Το ύφασμα των τεμαχίων αυτών της επωμίδος κατά την κατασκευήν του θα γίνεται από καθαρόν χρυσόν, από κλωστάς χρώματος κυανού, βαθέος ερυθρού, και κοκκίνου και από λινήν κλωστήν στριμμένην.

Εξ. 28,9 - καὶ λήψῃ τοὺς δύο λίθους, λίθους σμαράγδου, καὶ γλύψεις ἐν αὐτοῖς τὰ ὀνόματα τῶν υἱῶν Ἰσραήλ,

Εξ. 28,9 - Θα λάβης τους δύο πολυτίμους λίθους σμαράγδου και θα χαράξης επάνω εις αυτούς τα δώδεκα ονόματα των υιών Ισραήλ.

Εξ. 28,10 - ἓξ ὀνόματα ἐπὶ τὸν λίθον τὸν ἕνα καὶ τὰ ἓξ ὀνόματα τὰ λοιπὰ ἐπὶ τὸν λίθον τὸν δεύτερον κατὰ τὰς γενέσεις αὐτῶν.

Εξ. 28,10 - Εξ ονόματα στον ένα λίθον και τα υπόλοιπα εξ στον άλλον λίθον κατά την χρονολογίαν της γεννήσεως των.

Εξ. 28,11 - ἔργον λιθουργικῆς τέχνης, γλύμμα σφραγῖδος, διαγλύψεις τοὺς δύο λίθους ἐπὶ τοῖς ὀνόμασι τῶν υἱῶν Ἰσραήλ.

Εξ. 28,11 - Αυτό θα είναι έργον γλυπτικής τέχνης, ώστε να έχουν ανάγλυφον όψιν σφραγίδος· θα χαράξης στους δύο αυτούς πολυτίμους λίθους τα ονόματα των υιών του Ιακώβ.

Εξ. 28,12 - καὶ θήσεις τοὺς δύο λίθους ἐπὶ τῶν ὤμων τῆς ἐπωμίδος· λίθοι μνημοσύνου εἰσὶ τοῖς υἱοῖς Ἰσραήλ· καὶ ἀναλήψεται Ἀαρὼν τὰ

ὀνόματα τῶν υἱῶν Ἰσραὴλ ἔναντι Κυρίου ἐπὶ τῶν δύο ὤμων αὐτοῦ, μνημόσυνον περὶ αὐτῶν.

Εξ. 28,12 - Θα τοποθετήσης τους δύο αυτούς πολυτίμους λίθους στους δύο ώμους της επωμίδος. Οι δύο αυτοί πολύτιμοι λίθοι θα είναι εις υπόμνησιν προς τον Θεόν δια τους υιούς Ισραήλ. Και έτσι ο Ααρών θα φέρη επί των δύο ώμων του τα ονόματα των υιών του Ιακώβ ενώπιον του Κυρίου, δια να ενθυμήται ο Θεός πάντοτε τους Ισραηλίτας.

Εξ. 28,13 - καὶ ποιήσεις ἀσπιδίσκας ἐκ χρυσίου καθαροῦ·

Εξ. 28,13 - Θα κατασκευάσης από καθαρόν χρυσόν πόρπας εις σχήμα μικρών ασπίδων.

Εξ. 28,14 - καὶ ποιήσεις δύο κροσσωτὰ ἐκ χρυσίου καθαροῦ, καταμεμιγμένα ἐν ἄνθεσιν, ἔργον πλοκῆς· καὶ ἐπιθήσεις τὰ κροσσωτὰ τὰ πεπλεγμένα ἐπὶ τὰς ἀσπιδίσκας κατὰ τὰς παρωμίδας αὐτῶν ἐκ τῶν ἐμπροσθίων.

Εξ. 28,14 - Θα πλέξης από καθαρόν χρυσόν δύο αλυσίδας, αι οποίαι θα έχουν εις τα άκρα κρόσσια, ποικιλμένα με ομοιώματα ανθέων. Θα δέσης τας πλεγμένας αυτάς χρυσάς αλυσίδας εις τας πόρπας, αι οποίαι θα είναι στερεωμέναι πλησίον των ώμων προς το μέρος του στήθους.

Εξ. 28,15 - καὶ ποιήσεις λογεῖον τῶν κρίσεων, ἔργον ποικιλτοῦ· κατὰ τὸν ῥυθμὸν τῆς ἐπωμίδος ποιήσεις αὐτό· ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου κεκλωσμένου καὶ βύσσου κεκλωσμένης ποιήσεις αὐτό.

Εξ. 28,15 - Θα κατασκευάσης επίσης το Λογείον των Κρίσεων, πολύχρωμον έργον ειδικού διακοσμητού. Θα το κάμης όμοιον από απόψεως υλικού και μορφής με την επωμίδα, δηλαδή από χρυσήν κλωστήν και από λινόν ύφασμα χρώματος κυανού, βαθέος ερυθρού, και κοκκίνου στριμμένον και από λευκόν λινόν επίσης στριμμένον.

Εξ. 28,16 - τετράγωνον ἔσται, διπλοῦν, σπιθαμῆς τὸ μῆκος αὐτοῦ καὶ σπιθαμῆς τὸ εὖρος.

Εξ. 28,16 - Θα είναι τετράγωνον, διπλωνόμενον εις δύο, μήκους και πλάτους μιας σπιθαμής.

Εξ. 28,17 - καὶ καθυφανεῖς ἐν αὐτῷ ὕφασμα κατάλιθον τετράστιχον. στίχος λίθων ἔσται, σάρδιον, τοπάζιον καὶ σμάραγδος, ὁ στίχος ὁ εἷς·

Εξ. 28,17 - Θα υφάνης στο πλέγμα αυτό τέσσαρας σειράς πολυτίμων λίθων. Η πρώτη σειρά θα έχη υφαισμένους λίθους· Σαρδιον, τοπάζιον και σμάραγδον.

Εξ. 28,18 - καὶ ὁ στίχος ὁ δεύτερος, ἄνθραξ καὶ σάπφειρος καὶ ἴασπις·

Εξ. 28,18 - Η δευτέρα σειρά θα περιέχη πολύτιμον άνθρακα, σάπφειρον και ίασπιν.

Εξ. 28,19 - καὶ ὁ στίχος ὁ τρίτος, λιγύριον, ἀχάτης καὶ ἀμέθυστος·

Εξ. 28,19 - Η τρίτη σειρά θα περιέχη λιγύριον, αχάτην και αμέθυστον.

Εξ. 28,20 - καὶ ὁ στίχος ὁ τέταρτος, χρυσόλιθος καὶ βηρύλλιον καὶ ὀνύχιον· περικεκαλυμμένα χρυσίῳ, συνδεδεμένα ἐν χρυσίῳ, ἔστωσαν κατὰ στίχον αὐτῶν.

Εξ. 28,20 - Και η τετάρτη σειρά θα περιέχη χρυσόλιθον, βηρύλλιον και ονύχιον. Ούτοι θα είναι περιχρυσωμένοι και συνδεδεμένοι με χρυσόν ειδικόν πλέγμα κατά την σειράν των.

Εξ. 28,21 - καὶ οἱ λίθοι ἔστωσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραὴλ δεκαδύο κατὰ τὰ ὀνόματα αὐτῶν· γλυφαὶ σφραγίδων, ἕκαστος κατὰ τὸ ὄνομα, ἔστωσαν εἰς δεκαδύο φυλάς.

Εξ. 28,21 - Οι πολύτιμοι αυτοί λίθοι θα είναι δώδεκα, όσα είναι τα ονόματα των υιών Ιακώ. Θα είναι ανάγλυφοι ως σφραγίδες, καθένας από τους οποίους θα αναγράφη και εν όνομα των υιών Ιακώβ. Δωδεκα λίθοι δια τας δώδεκα φυλάς του Ιακώβ.

Εξ. 28,22 - καὶ ποιήσεις ἐπὶ τὸ λογεῖον κρωσσοὺς συμπεπλεγμένους, ἔργον ἁλυσιδωτὸν ἐκ χρυσίου καθαροῦ.

Εξ. 28,22 - Δια να συνδέσης το Λογείον με την επωμίδα θα κατασκευάσης από νήματα καθαρού χρυσού αλυσιδωτόν πλέγμα.

Εξ. 28,23 - καὶ λήψεται Ἀαρὼν τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τοῦ λογείου τῆς κρίσεως ἐπὶ τοῦ στήθους, εἰσιόντι εἰς τὸ ἅγιον, μνημόσυνον ἐναντίον τοῦ Θεοῦ.

Εξ. 28,23 - Ο Ααρών θα φέρη τα ονόματα των υιών του Ιακώβ στο Λογείον της Κρίσεως, το οποίον θα είναι επί του στήθους του, δια να ενθυμήται ο Θεός τους Ισραηλίτας, όταν ο Ααρών εισέρχεται εις την σκηνήν.

Εξ. 28,24 - καὶ θήσεις ἐπὶ τὸ λογεῖον τῆς κρίσεως τοὺς κρωσσούς· τὰ ἁλυσιδωτὰ ἐπ᾽ ἀμφοτέρων τῶν κλιτῶν τοῦ λογείου ἐπιθήσεις

Εξ. 28,24 - Θα θέσης στο Λογείον τούτο της Κρίσεως τας κροσσωτάς αλυσίδας, θα θέσης αυτάς εις τα άκρα της άνω πλευράς του Λογείου,

Εξ. 28,25 - καὶ τὰς δύο ἀσπιδίσκας ἐπιθήσεις ἐπ᾽ ἀμφοτέρους τοὺς ὤμους τῆς ἐπωμίδος κατὰ πρόσωπον.

Εξ. 28,25 - και θα συνδέσης αυτάς με τας δύο ασπυδοειδείς πόρπας, αι οποίαι ευρίσκονται στο εμπρόσθιον, το προς το στήθος, μέρος της επωιμίδος.

Εξ. 28,26 - καὶ ἐπιθήσεις ἐπὶ τὸ λογεῖον τῆς κρίσεως τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν, καὶ ἔσται ἐπὶ τοῦ στήθους Ἀαρών, ὅταν εἰσπορεύηται εἰς τὸ ἅγιον ἔναντι Κυρίου. καὶ οἴσει Ἀαρὼν τὰς κρίσεις τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τοῦ στήθους ἔναντι Κυρίου διαπαντός.

Εξ. 28,26 - Θα θέσης επί του Λογείου της Κρίσεως την Δηλωσιν, δια να συμβολίζη τα θεία μηνύματα, και την αλήθειαν, δια να συμβολίζη το αψευδές

αυτών. Αυτά θα είναι πάντοτε στο στήθος του Ααρών, όταν εισέρχεται ούτος στον άγιον χώρον ενώπιον του Κυρίου.

Εξ. 28,27 - καὶ ποιήσεις ὑποδύτην ποδήρη ὅλον ὑακίνθινον.

Εξ. 28,27 - Θα κατασκευάσης εσωτερικόν χιτώνα μέχρι των ποδών, ολόκληρον κυανού χρώματος.

Εξ. 28,28 - καὶ ἔσται τὸ περιστόμιον ἐξ αὐτοῦ μέσον, ὤαν ἔχον κύκλῳ τοῦ περιστομίου, ἔργον ὑφάντου, τὴν συμβολὴν συνυφασμένην ἐξ αὐτοῦ, ἵνα μὴ ῥαγῇ.

Εξ. 28,28 - Εις το άνω και μέσον αυτού θα έχη ανοιγμα, κύκλω του οποίου θα υπάρχη ούγια υφαντή. Η ένωσις ούγίας και περιοτομίου του ποδήρους χιτώνος θα είναι συνυφασμένα, δια να μη σχίζεται το πιριστόμιον.

Εξ. 28,29 - καὶ ποιήσεις ἐπὶ τὸ λῶμα τοῦ ὑποδύτου κάτωθεν, ὡσεὶ ἐξανθούσης ῥόας ῥοΐσκους ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης ἐπί τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ· τὸ αὐτὸ εἶδος ῥοΐσκους χρυσοῦς καὶ κώδωνας ἀναμέσον τούτων περικύκλῳ·

Εξ. 28,29 - Εις την κάτω άκραν του υποδύτου, γύρω από αυτόν θα κατασκευάσης από ύφασμα χρώματος κυανού, βαθέος ερυθρού και κοκκίνου, του οποίου η κλωστή θα είναι λινή στριμμένη, μικρά ομοιώματα ανθισμένης και καρπρφορούσης ροδιάς. Επίσης εις την αυτήν μορφήν θα κατασκευάσης χρυσά ομοιώματα μικρών καρπών ροδιάς και αναμέσον αυτών κωδωνίσκους χρυσούς κύκλω στον υποδύτην.

Εξ. 28,30 - παρὰ ῥοΐσκον χρυσοῦν κώδωνα καὶ ἄνθινον ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ.

Εξ. 28,30 - Εις κάθε χρυσούν ομοίωμα καρπού και άνθους ροδιάς επί του κάτω και ολόγυρα τμήματος του υποδύτου θα αντιστοιχή και ένας χρυσούς κώδων.

Εξ. 28,31 - καὶ ἔσται Ἀαρὼν ἐν τῷ λειτουργεῖν ἀκουστὴ ἡ φωνὴ αὐτοῦ, εἰσιόντι εἰς τὸ ἅγιον ἔναντι Κυρίου καὶ ἐξιόντι, ἵνα μὴ ἀποθάνῃ.

Εξ. 28,31 - Οταν δε ο Ααρών εισέρχεται, δια να λειτουργήση στον άγιον χώρον της Σκηνής, ενώπιον του Κυρίου είτε όταν εξέρχεται, θα ακούεται ο ήχος των κωδώνων, θα προσέξη, μήπως παραλείψη τούτο και τιμωρηθή δια θανάτου.

Εξ. 28,32 - καὶ ποιήσεις πέταλον χρυσοῦν καθαρὸν καὶ ἐκτυπώσεις ἐν αὐτῷ ἐκτύπωμα σφραγῖδος Ἁγίασμα Κυρίου.

Εξ. 28,32 - Θα κατασκευάσης έλασμα από καθαρόν χρυσόν εις σχήμα πετάλου και θα χαράξης εις αυτό αναγλύφους υπό μορφήν σφραγίδος τας λέξεις “Αγίασμα Κυρίου”· δηλαδή αφιερωμένον στον Κυριον.

Εξ. 28,33 - καὶ ἐπιθήσεις αὐτὸ ἐπὶ ὑακίνθου κεκλωσμένης, καὶ ἔσται ἐπί τῆς μίτρας· κατά πρόσωπον τῆς μίτρας ἔσται.

Εξ. 28,33 - Θα τοποθετήσης το χρυσούν αυτό έλασμα επάνω εις κυανούν λινόν ύφασμα καμωμένον από στριμμένην κλωστήν. Ολον δε αυτό θα το θέσης επί της μίτρας, στο εμπρόσθιον μέρος της μίτρας.

Εξ. 28,34 - καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρών, καὶ ἐξαρεῖ Ἀαρὼν τὰ ἁμαρτήματα τῶν ἁγίων, ὅσα ἂν ἁγιάσωσιν οἱ υἱοὶ Ἰσραήλ, παντὸς δόματος τῶν ἁγίων αὐτῶν· καὶ ἔσται ἐπὶ τοῦ μετώπου Ἀαρὼν διαπαντός, δεκτὸν αὐτοῖς ἔναντι Κυρίου.

Εξ. 28,34 - Αυτό θα υπάρχη στο μέτωπον του Ααρών, ο οποίος θα αφαιρή τας αμαρτίας των Ισραηλιτών, τας οποίας ήθελον διαπράξει αυτοί, καθ' ην στιγμήν θα προσέφεραν τας παντός είδους προσφοράς των. Αυτό θα είναι πάντοτε στο μέτωπον του Ααρών, δια να κάμνη δεκτάς ο Κυριος τας προσευχάς και τας προσφοράς των Ισραηλιτών.

Εξ. 28,35 - καὶ οἱ κοσυμβωτοὶ τῶν χιτώνων ἐκ βύσσου· καὶ ποιήσεις κίδαριν βυσσίνην καὶ ζώνην ποιήσεις, ἔργον ποικιλτοῦ.

Εξ. 28,35 - Ο εσωτερικός, ο φέρων κρόσσια, χιτών του αρχιερέως, θα είναι κατασκευασμένος από λινόν ύφασμα. Θα κάμης κίδαριν από λινόν ύφασμα και ζώνην ποικιλόχρωμον, έργον ειδικού διακοσμητού.

Εξ. 28,36 - καὶ τοῖς υἱοῖς Ἀαρὼν ποιήσεις χιτῶνας καὶ ζώνας καὶ κιδάρεις ποιήσεις αὐτοῖς εἰς τιμὴν καὶ δόξαν.

Εξ. 28,36 - Και δια τους υιούς του Ααρών θα κατασκευάσης ιερατικά άμφια, χιτώνας, ζώνας και κιδάρεις εις τιμήν και δόξαν της θείας λατρείας.

Εξ. 28,37 - καὶ ἐνδύσεις αὐτὰ Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ τοὺς υἱοὺς αὐτοῦ μετ᾿ αὐτοῦ· καὶ χρίσεις αὐτοὺς καὶ ἐμπλήσεις αὐτῶν τὰς χεῖρας καὶ ἁγιάσεις αὐτούς, ἵνα ἱερατεύωσί μοι.

Εξ. 28,37 - Με αυτά θα ενδύσης τον αδελφόν σου τον Ααρών και τους υιούς του. Θα χρίσης αυτούς με το ειδικόν έλαιον, θα γεμίσης τας χείρας των, θα καθαρίσης από κάθε ηθικόν μολυσμόν και θα τους αφιερώσης εις εμέ, δια να ιερουργούν εις λατρείαν μου.

Εξ. 28,38 - καὶ ποιήσεις αὐτοῖς περισκελῆ λινᾶ καλύψαι ἀσχημοσύνην χρωτὸς αὐτῶν· ἀπὸ ὀσφύος ἕως μηρῶν ἔσται.

Εξ. 28,38 - θα κατασκευάσης ακόμη δι' αυτούς περισκελίδας λινάς, δια να σκεπάζουν την γυμνότητα του δέρματός των από την μέσην μέχρι και των μηρών.

Εξ. 28,39 - καὶ ἕξει Ἀαρὼν αὐτὰ καὶ υἱοὶ αὐτοῦ, ὡς ἂν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἢ ὅταν προσπορεύωνται λειτουργεῖν πρὸς τὸ θυσιαστήριον τοῦ ἁγίου, καὶ οὐκ ἐπάξονται πρός ἑαυτοὺς ἁμαρτίαν, ἵνα μὴ ἀποθάνωσι· νόμιμον αἰώνιον αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ μετ᾿ αὐτόν.

Εξ. 28,39 - Θα φορούν αυτά ο Ααρών και οι υιοί του, όταν εισέρχωνται εις την Σκηνήν του Μαρτυρίου η όταν προπορεύωνται δια να προσφέρουν θυσίαν στο θυσιαστήριον των αγίων, δια να μην επισύρουν εις εαυτούς

αμαρτίαν και καταδικασθούν εις θάνατον. Τούτο θα είναι αιώνιος και απαράβατος νόμος δι' αυτόν και δια τους απογόνους του.

ΕΞΟΔΟΣ 29

Εξ. 29,1 - Καὶ ταῦτά ἐστιν, ἃ ποιήσεις αὐτοῖς ἁγιάσαι αὐτούς, ὥστε ἱερατεύειν μοι αὐτούς. λήψῃ μοσχάριον ἐκ βοῶν ἓν καὶ κριοὺς ἀμώμους δύο

Εξ. 29,1 - Είπεν ο Θεός εν συνεχεία προς τον Μωϋσήν· "αυτά είναι εκείνα τα οποία θα κάμης δια τον Ααρών και τους υιούς του, δια να τους χειροτονήσης και καθιερώσης, ώστε να με υπηρετούν ως ιερείς. Θα λάβης ένα μοσχάρι από τα βόδια και δύο αρτιμελείς κριούς.

Εξ. 29,2 - καὶ ἄρτους ἀζύμους πεφυραμένους ἐν ἐλαίῳ καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ· σεμίδαλιν ἐκ πυρῶν ποιήσεις αὐτά.

Εξ. 29,2 - Θα λάβης άρτους χωρίς προζύμι, ζυμωμένους με έλαιον, και λαγάνες χωρίς προζύμι αλειμμένες με έλαιον· αυτά θα τα κάμης από σημιγδάλι σίτου.

Εξ. 29,3 - καὶ ἐπιθήσεις αὐτὰ ἐπὶ κανοῦν ἓν καὶ προσοίσεις αὐτὰ ἐπὶ τῷ κανῷ καὶ τὸ μοσχάριον καὶ τοὺς δύο κριούς.

Εξ. 29,3 - Θα τα τοποθετήσης εις ένα κάνιστρον και θα μου τα προσφέρης με το κάνιστρον αυτό μαζή δε θα προσφέρστο μοσχάρι και τους δύο κριούς.

Εξ. 29,4 - καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ λούσεις αὐτοὺς ἐν ὕδατι.

Εξ. 29,4 - Θα οδηγήσης έπειτα τον Ααρών και τους υιούς του εις την θύραν της Σκηνής του Μαρτυρίου και θα τους λούσης, με νερό.

Εξ. 29,5 - καὶ λαβὼν τὰς στολάς ἐνδύσεις Ἀαρὼν τὸν ἀδελφόν σου καὶ τὸν χιτῶνα τὸν ποδήρη καὶ τὴν ἐπωμίδα καὶ τὸ λογεῖον καὶ συνάψεις αὐτῷ τὸ λογεῖον πρὸς τὴν ἐπωμίδα.

Εξ. 29,5 - Θα λάβης κατόπιν τας στολάς και θα ενδύσης τον αδελφόν σου Ααρών με τον ποδήρη χιτώνα, με την επωμίδα και το Λογείον. Θα συνδέσης το Λογείον με την επωμίδα επ' αυτού.

Εξ. 29,6 - καὶ ἐπιθήσεις τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἐπιθήσεις τὸ πέταλον τὸ Ἁγίασμα ἐπὶ τὴ μίτραν.

Εξ. 29,6 - Θα θέσης την μίτραν εις την κεφαλήν του και θα τοποθετήσης επί της μίτρας το χρυσούν μετάλλινον έλασμα το έχον την επιγραφήν "Αγίασμα".

Εξ. 29,7 - καὶ λήψῃ τοῦ ἐλαίου τοῦ χρίσματος καὶ ἐπιχεεῖς αὐτὸ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ χρίσεις αὐτόν.

Εξ. 29,7 - Θα λάβης από το προς χρίσιν έλαιον, θα χύσης εις την κεφαλήν του και θα χρίσης αυτόν.

Εξ. 29,8 - καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις καὶ ἐνδύσεις αὐτοὺς χιτῶνας

Εξ. 29,8 - Και τους υιούς του θα οδηγήσης προς την Σκηνήν, θα ενδύσης αυτούς με τους καθορισθέντας χιτώνας.

Εξ. 29,9 - καὶ ζώσεις αὐτοὺς ταῖς ζώναις, καὶ περιθήσεις αὐτοῖς τὰς κιδάρεις, καὶ ἔσται αὐτοῖς ἱερατεία μοι εἰς τὸν αἰῶνα. καὶ τελειώσεις Ἀαρὼν τὰς χεῖρας αὐτοῦ καὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ.

Εξ. 29,9 - Θα ζώσης αυτούς με τας ζώνας και θα φορέσης εις τας κεφαλάς των τας κιδάρεις. Και έτσι θα είναι εις αυτούς η ιερωσύνη παντοτεινή. Θα ολοκληρώσης έτσι και θα καθαγιάσης τας χείρας του Ααρών και τας χείρας των υιών του, ώστε να ιερουργούν.

Εξ. 29,10 - καὶ προσάξεις τὸν μόσχον ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐπιθήσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι Κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου·

Εξ. 29,10 - Θα φέρης το μοσχάρι εις την θύραν της Σκηνής του Μαρτυρίου και θα θέσουν ο Ααρών και οι υιοί του τας χείρας των επάνω εις την κεφαλήν του ενώπιον του Κυρίου, πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου.

Εξ. 29,11 - καὶ σφάξεις τὸν μόσχον ἔναντι Κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

Εξ. 29,11 - Θα σφάξης έπειτα τον μόσχον ενώπιον του Κυρίου πλησίον της θύρας της Σκηνής του Μαρτυρίου.

Εξ. 29,12 - καὶ λήψῃ ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ θήσεις ἐπὶ τῶν κεράτων τοῦ θυσιαστηρίου τῷ δακτύλῳ σου· τὸ δὲ λοιπὸν πᾶν αἷμα ἐκχεεῖς παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου.

Εξ. 29,12 - Θα λάβης από το αίμα του μόσχου και με τον δάκτυλόν σου θα θέσης εις τα κέρατα του θυσιαστηρίου των ολοκαυτωμάτων, όλον δε το υπόλοιπον αίμα του μόσχου θα το χύσης εις την βάσιν του θυσιαστηρίου.

Εξ. 29,13 - καὶ λήψῃ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας καὶ τὸν λοβὸν τοῦ ἥπατος καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾽ αὐτῶν καὶ ἐπιθήσεις ἐπὶ τὸ θυσιαστήριον.

Εξ. 29,13 - Θα λάβης όλον το λίπος που υπάρχει εις την κοιλίαν του μόσχου, τον λοβόν, το κάτω δηλαδή λεπτόν άκρον, από το σηκώτι, και τους δύο νεφρούς και το λίπος το επάνω αυτών και θα θέσης αυτά επάνω στο πυρ του θυσιαστηρίου.

Εξ. 29,14 - τὰ δὲ κρέατα τοῦ μόσχου καὶ τὸ δέρμα καὶ τὴν κόπρον κατακαύσεις πυρὶ ἔξω τῆς παρεμβολῆς· ἁμαρτίας γάρ ἐστι.

Εξ. 29,14 - Τα δε υπόλοιπα κρέατα του μόσχου, και το δέρμα και την κόπρον αυτού θα κατακαύσης έξω από την περιοχήν της κατασκηνώσεως· και τούτο διότι η θυσία αυτή είναι θυσία περί αμαρτίας.

Εξ. 29,15 - καὶ τὸν κριὸν λήψῃ τὸν ἕνα, καὶ ἐπιθήσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ·

Εξ. 29,15 - Θα λάβης έπειτα από τους δύο κριους τον ένα, επί της κεφαλής του οποίου θα θέσουν τα χέρια των ο Ααρών και οι υιοί του.

Εξ. 29,16 - καὶ σφάξεις αὐτὸν καὶ λαβὼν τὸ αἷμα προσχεεῖς πρὸς τὸ θυσιαστήριον κύκλῳ.

Εξ. 29,16 - Θα σφάξης αυτόν και το αίμα αυτού θα το χύσης κύκλω εις την βάσιν του θυσιαστηρίου.

Εξ. 29,17 - καὶ τὸν κριὸν διχοτομήσεις κατὰ μέλη καὶ πλυνεῖς τὰ ἐνδόσθια καὶ τούς πόδας ὕδατι καὶ ἐπιθήσεις ἐπὶ τὰ διχοτομήματα σὺν τῇ κεφαλῇ.

Εξ. 29,17 - Θα διαμελίσης τον κριον εις τεμάχια, θα πλύνης τα εντόσθια και τους πόδας με νερό και θα θέσης αυτά μαζή με την κεφαλήν επάνω εις τα άλλα τεμάχια.

Εξ. 29,18 - καὶ ἀνοίσεις ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον, ὁλοκαύτωμα τῷ Κυρίῳ εἰς ὀσμὴν εὐωδίας· θυσίασμα Κυρίῳ ἐστί.

Εξ. 29,18 - Θα προσφέρης όλον αυτόν τον κριον στο θασιαστήριον των ολοκαυτωμάτων ως ολοκαύτωμα στον Κυριον, εις οσμήν ευωδίας, διότι αυτή η θυσία είναι εξ ολοκλήρου αφιερωμένη εις Αυτόν.

Εξ. 29,19 - καὶ λήψῃ τὸν κριὸν τὸν δεύτερον, καὶ ἐπιθήσει Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ·

Εξ. 29,19 - Θα λάβης έπειτα τον δεύτερον κριόν. Ο Ααρών και οι υιοί του θα θέσουν τας χείρας των επάνω εις την κεφαλήν του κριου τούτου.

Εξ. 29,20 - καὶ σφάξεις αὐτόν, καὶ λήψῃ τοῦ αἵματος αὐτοῦ καὶ ἐπιθήσεις ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς Ἀαρὼν τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς δεξιᾶς χειρὸς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ, καὶ ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων τῶν υἱῶν αὐτοῦ τῶν δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν.

Εξ. 29,20 - Θα σφάξης αυτόν, θα λάβης από το αίμα του και θα, θέσης από αυτό στο κάτω άκρον του δεξιού αυτιού του Ααρών, στο άκρον της δεξιάς χειρός του και εις το άκρον του δεξιού ποδός του. Επίσης θα θέσης από το αίμα όχι το εις τα κάτω άκρα των δεξιών αυτιών και εις τα άκρα των δεξιών χειρών και εις τα άκρα των δεξιών ποδών των υιών του Ααρών.

Εξ. 29,21 - καὶ λήψῃ ἀπὸ τοῦ αἵματος τοῦ ἀπὸ τοῦ θυσιαστηρίου καὶ ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως καὶ ῥανεῖς ἐπὶ Ἀαρὼν καὶ ἐπὶ τὴν στολὴν αὐτοῦ καὶ ἐπὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐπὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ᾿ αὐτοῦ, καὶ ἁγιασθήσεται αὐτὸς καὶ ἡ στολὴ αὐτοῦ καὶ οἱ υἱοὶ αὐτοῦ καὶ αἱ

στολαὶ τῶν υἱῶν αὐτοῦ μετ᾿ αὐτοῦ· τὸ δὲ αἷμα τοῦ κριοῦ προσχεεῖς πρὸς τὸ θυσιαστήριον κύκλῳ.

Εξ. 29,21 - Θα λάβης από το αίμα του θυσιαστηρίου των ολοκαυτωμάτων και από το έλαιον της χρίσεως και θα ραντίσης με αυτά τον Ααρών και την στολήν του και μετά από αυτόν τους υιούς του και τας στολάς των και έτσι θα καθιερωθούν εις εμέ αυτός και η στολή του, και μαζή με αυτόν οι υιοί του και αι στολαί αυτών. Το υπόλοιπον αίμα του κριου θα το χύσης κύκλω εις την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων.

Εξ. 29,22 - καὶ λήψῃ ἀπὸ τοῦ κριοῦ τὸ στέαρ αὐτοῦ καὶ τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν καὶ τὸν λοβὸν τοῦ ἥπατος καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν καὶ τὸν βραχίονα τὸν δεξιόν· ἔστι γὰρ τελείωσις αὕτη·

Εξ. 29,22 - Θα λάβης από τον κριον το λίπος, το λίπος το καλύπτον την κοιλίαν, τον λοβόν του ήπατος, τους δύο νεφρούς και το λίπος το επάνω αυτών και την δεξιάν ωμοπλάτην. Η θυσία αυτή έγινε δια την χειροτονίαν και καθιέρωσιν του Ααρών και των υιών του·

Εξ. 29,23 - καὶ ἄρτον ἕνα ἐξ ἐλαίου καὶ λάγανον ἓν ἀπὸ τοῦ κανοῦ τῶν ἀζύμων τῶν προτεθειμένων ἔναντι Κυρίου

Εξ. 29,23 - θα λάβης από το κάνιστρον των αζύμων άρτων, που ευρίσκεται ενώπιον του Κυρίου, ένα χωρίς προζύμι άρτον ζυμωμένον με λάδι και μίαν λαγάναν·

Εξ. 29,24 - καὶ ἐπιθήσεις τὰ πάντα ἐπὶ τὰς χεῖρας Ἀαρὼν καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ καὶ ἀφοριεῖς αὐτὰ ἀφόρισμα ἔναντι Κυρίου.

Εξ. 29,24 - και θα θέσης όλα αυτά εις τα χέρια του Ααρών και εις τα χέρια των παιδιών του, θα τα ξεχωρίσης δηλαδή από τα άλλα, που υπάρχουν στο κάνιστρον, και θα τα προσφέρης ως αφιέρωμα προς τον Κυριον.

Εξ. 29,25 - καὶ λήψῃ αὐτὰ ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἀνοίσεις ἐπὶ τὸ θυσιαστήριον τῆς ὁλοκαυτώσεως εἰς ὀσμὴν εὐωδίας ἔναντι Κυρίου· κάρπωμά ἐστι Κυρίῳ.

Εξ. 29,25 - Θα τα λάβης από τα χέρια εκείνων και θα τα προσφέρης στο θυσιαστήριον των ολοκαυτωμάτων εις οσμήν ευωδίας ενώπιον του Κυρίου. Είναι αυτή θυσία δια τον Κυριον.

Εξ. 29,26 - καὶ λήψῃ τὸ στηθύνιον ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως, ὅ ἐστιν Ἀαρών, καὶ ἀφοριεῖς αὐτὸ ἀφόρισμα ἔναντι Κυρίου, καὶ ἔσται σοι ἐν μερίδι.

Εξ. 29,26 - Θα λάβης το στήθος από τον κριόν, τον προσφερθέντα δια την χειροτονίαν και καθιέρωσιν του Ααρών και θα το προσφέρης ως αφιέρωμα στον Κυριον. Και θα είναι τούτο ιδικόν σου μερίδιον.

Εξ. 29,27 - καὶ ἁγιάσεις τὸ στηθύνιον ἀφόρισμα καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος, ὃς ἀφώρισται καὶ ὃς ἀφῄρηται ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως

ἀπὸ τοῦ Ἀαρὼν καὶ ἀπὸ τῶν υἱῶν αὐτοῦ,

Εξ. 29,27 - Θα καθαγιάσης το χωρισθέν αυτό στήθος και την ωμοπλάτην του κριου, η οποία καθηγιάσθη και ετέθη χωριστά από τον κριον τον θυσιασθέντα δια την χειροτονίαν και καθιέρωσιν του Ααρών και των υιών του.

Εξ. 29,28 - καὶ ἔσται Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ νόμιμον αἰώνιον παρὰ τῶν υἱῶν Ἰσραήλ· ἔστι γὰρ ἀφαίρεμα τοῦτο καὶ ἀφαίρεμα ἔσται παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυμάτων τῶν σωτηρίων τῶν υἱῶν Ἰσραήλ, ἀφαίρεμα Κυρίῳ.

Εξ. 29,28 - Αυτό θα είναι αιώνιος νόμος δια τον Ααρών και τους υιούς αυτού μεταξύ όλων των Ισραηλιτών. Το στήθος και η ωμοπλάτη που αφαιρούνται τώρα, θα αφαιρούνται και στο μέλλον υπό των Ισραηλιτών από τας ευχαριστηρίους δια την σωτηρίαν των θυσίας και θα προσφέρωνται στον Κυριον.

Εξ. 29,29 - καὶ ἡ στολὴ τοῦ ἁγίου, ἥ ἐστιν Ἀαρών, ἔσται τοῖς υἱοῖς αὐτοῦ μετ᾿ αὐτόν, χρισθῆναι αὐτοὺς ἐν αὐτοῖς καὶ τελειῶσαι τὰς χεῖρας αὐτῶν.

Εξ. 29,29 - Η καθιερωμένη στολή, η οποία ανήκει στον Ααρών, θα περιέλθη στους υιούς του ύστερα απ' αυτόν, δια να χρισθούν αυτοί δια του ελαίου της χρίσεως μαζή με την στολήν αυτήν και καθαγιασθούν και τα χέρια αυτών.

Εξ. 29,30 - ἑπτὰ ἡμέρας ἐνδύσεται αὐτὰ ὁ ἱερεὺς ὁ ἀντ᾿ αὐτοῦ ἐκ τῶν υἱῶν αὐτοῦ, ὃς εἰσελεύσεται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λειτουργεῖν ἐν τοῖς ἁγίοις.

Εξ. 29,30 - Επί επτά ημέρας θα ενδύεται την ιεράν αυτήν στολήν ο αντικαταστάτης του Ααρών, ο οποίος θα προέρχεται από τους απογόνους του και θα εισέρχεται εις την Σκηνήν του Μαρτυρίου, δια να λειτουργή εις τα Αγια.

Εξ. 29,31 - καὶ τὸν κριὸν τῆς τελειώσεως λήψῃ καὶ ἑψήσεις τὰ κρέα ἐν τόπῳ ἁγίῳ,

Εξ. 29,31 - Θα πάρης τον κριον της καθιερώσεως του Ααρών και θα ψήσης τα κρέατα αυτού στον ιερόν τόπον.

Εξ. 29,32 - καὶ ἔδονται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰ κρέα τοῦ κριοῦ καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου·

Εξ. 29,32 - Ο Ααρών και οι υιοί αυτού θα φάγουν τα κρέατα του κριου και τους άρτους, οι οποίοι ευρίσκονται στο κάνιστρον, πλησίον της θύρας της Σκηνής του Μαρτυρίου.

Εξ. 29,33 - ἔδονται αὐτά, ἐν οἷς ἡγιάσθησαν ἐν αὐτοῖς τελειῶσαι τὰς χεῖρας αὐτῶν, ἁγιάσαι αὐτούς, καὶ ἀλλογενὴς οὐκ ἔδεται ἀπ᾿ αὐτῶν· ἔστι γὰρ ἅγια.

Εξ. 29,33 - Θα φάγουν αυτά, δια των οποίων εξιλεώθησαν, ώστε να καθιερωθούν ως ιερείς και να καταστούν ικαναί αι χείρες αυτών να προσφέρουν προς τον Κυριον. Κανείς ξένος δεν θα φάγη από τα κρέατα αυτά, διότι είναι ηγιασμένα.

Εξ. 29,34 - ἐὰν δὲ καταλειφθῇ ἀπὸ τῶν κρεῶν τῆς θυσίας τῆς τελειώσεως καὶ τῶν ἄρτων ἕως πρωΐ, κατακαύσεις τὰ λοιπὰ πυρί· οὐ βρωθήσεται, ἁγίασμα γάρ ἐστι.

Εξ. 29,34 - Εάν δε περισσεύσουν από τα κρέατα της θυσίας του καθαγιασμού του Ααρών και από τους άρτους έως το πρωϊ, αυτά τα υπόλοιπα θα τα καύσης στο πυρ. Δεν θα φαγωθούν διότι είναι ηγιασμένα.

Εξ. 29,35 - καὶ ποιήσεις Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ οὕτω κατὰ πάντα, ὅσα ἐνετειλάμην σοι· ἑπτὰ ἡμέρας τελειώσεις τὰς χεῖρας αὐτῶν.

Εξ. 29,35 - Κατ' αυτόν τον τρόπον θα κάμης όλα όσα σε διέταξα στον Ααρών και τους υιούς αυτού, ώστε να χειροτονηθούν και να είναι ιερείς.

Εξ. 29,36 - καὶ τὸ μοσχάριον τῆς ἁμαρτίας ποιήσεις τῇ ἡμέρᾳ τοῦ καθαρισμοῦ καὶ καθαριεῖς τὸ θυσιαστήριον ἐν τῷ ἁγιάζειν σε ἐπ᾿ αὐτῷ καὶ χρίσεις αὐτὸ ὥστε ἁγιάσαι αὐτό.

Εξ. 29,36 - Το μοσχάρι, το οποίον θα προσφέρετε θυσίαν δια την άφεσιν αμαρτιών, θα το προσφέρης κάθε ημέραν του καθαρισμού και θα καθαρίζης το θυσιαστήριον, δια να αγιάζης συ αυτό και θα το χρίης δια να είναι άγιον.

Εξ. 29,37 - ἑπτὰ ἡμέρας καθαριεῖς τὸ θυσιαστήριον καὶ ἁγιάσεις αὐτό, καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον τοῦ ἁγίου· πᾶς ὁ ἁπτόμενος τοῦ θυσιαστηρίου ἁγιασθήσεται.

Εξ. 29,37 - Επί επτά ημέρας θα καθαρίζης το θυσιαστήριον και θα το αγιάσης· τότε θα είναι αυτό αγιώτατον. Καθένας ο οποίος θα το εγγίζη με ευλάβειαν, θα αγιασθή.

Εξ. 29,38 - Καὶ ταῦτά ἐστιν, ἃ ποιήσεις ἐπὶ τοῦ θυσιαστηρίου· ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέραν ἐπὶ τὸ θυσιαστήριον ἐνδελεχῶς, κάρπωμα ἐνδελεχισμοῦ.

Εξ. 29,38 - Αυταί είναι αι θυσίαι, τας οποίας θα προσφέρης επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων. Εκάστην ημέραν θα προσφέρης δύο αμνούς αρτιμελείς, χωρίς κανένα ελάττωμα. Αυτή θα είναι και θα λέγεται θυσία καθημερινή.

Εξ. 29,39 - τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ πρωΐ καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν·

Εξ. 29,39 - Τον ένα αμνόν θα τον προσφέρης το πρωϊ και τον δεύτερον αμνόν το δειλινόν.

Εξ. 29,40 - καὶ δέκατον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ κεκομμένῳ τῷ τετάρτῳ τοῦ εἰν καὶ σπονδὴν τὸ τέταρτον τοῦ εἰν οἴνου τῷ ἀμνῷ τῷ ἑνί·

Εξ. 29,40 - Τέσσαρα κιλά σημιγδάλι ζυμωμένο με καθαρόν έλαιον ημίσεος περίπου κιλού και ήμισυ περίπου κιλόν οίνου προς σπονδήν θα προσφέρης δια κάθε αμνόν.

Εξ. 29,41 - καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ δειλινόν, κατὰ τὴν θυσίαν τὴν πρωϊνὴν καὶ κατὰ τὴν σπονδὴν αὐτοῦ ποιήσεις εἰς ὀσμὴν εὐωδίας, κάρπωμα Κυρίῳ,

Εξ. 29,41 - Τον δεύτερον αμνόν θα τον προσφέρης κατά το δειλινόν. Οπως προσέφερες την πρωϊνήν θυσίαν και σπονδήν, έτσι θα προσφέρης και την απογευματινήν θυσίαν εις ευάρεστον οσμήν ευωδίας, θυσίαν στον Κυριον.

Εξ. 29,42 - θυσίαν ἐνδελεχισμοῦ εἰς γενεὰς ὑμῶν, ἐπὶ θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖθεν, ὥστε λαλῆσαί σοι.

Εξ. 29,42 - Η καθημερινή αυτή θυσία θα προσφέρεται πάντοτε εις όλας τας γενεάς σας πλησίον της θύρας της Σκηνής του Μαρτυρίου ενώπιον του Κυρίου. Δια των θυσιών αυτών και από την Σκηνήν του Μαρτυρίου θα γίνομαι εγώ γνωστός εις σας και θα ομιλώ προς σας.

Εξ. 29,43 - καὶ τάξομαι ἐκεῖ τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἁγιασθήσομαι ἐν δόξῃ μου·

Εξ. 29,43 - Εκεί θα δίδω τας εντολάς μου και θα φαίνωμαι άγιος εις την δόξαν μου.

Εξ. 29,44 - καὶ ἁγιάσω τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὸ θυσιαστήριον καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ ἁγιάσω ἱερατεύειν μοι.

Εξ. 29,44 - Θα αγιάσω και θα δοξάσω την Σκηνήν του Μαρτυρίου και το θυσιαστήριον, όπως επίσης θα αγιάσω τον Ααρών και τους υιούς του, δια να ιερουργούν εις λατρείαν.

Εξ. 29,45 - καὶ ἐπικληθήσομαι ἐν τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἔσομαι αὐτῶν Θεός,

Εξ. 29,45 - Θα με επικαλούνται οι Ισραηλίται και θα είμαι ο Θεός των.

Εξ. 29,46 - καὶ γνώσονται ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν, ὁ ἐξαγαγὼν αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἐπικληθῆναι αὐτοῖς καὶ εἶναι αὐτῶν Θεός.

Εξ. 29,46 - Και θα μάθουν ότι εγώ είμαι Κυριος ο Θεός των, ο οποίος τους έβγαλα ελευθέρους από την Αίγυπτον, ώστε να με επικαλούνται και να είμαι ο Θεός των.

## ΕΞΟΔΟΣ 30

Εξ. 30,1 - Καὶ ποιήσεις θυσιαστήριον θυμιάματος ἐκ ξύλων ἀσήπτων·

Εξ. 30,1 - Θα κάμης θυσιαστήριον θυμιάματος από ξύλα, που δεν σήπονται.

Εξ. 30,2 - καὶ ποιήσεις αὐτὸ πήχεως τὸ μῆκος καὶ πήχεως τὸ εὖρος, τετράγωνον ἔσται, καὶ δύο πήχεων τὸ ὕψος· ἐξ αὐτοῦ ἔσται τὰ κέρατα αὐτοῦ.

Εξ. 30,2 - Το μήκος αυτού θα είναι ένας πήχυς και το πλάτος ένας επίσης πήχυς. Θα είναι τετράγωνον. Το δε ύψος του θα είναι δύο πήχεις. Από αυτό θα εξέχουν τα κέρατά του.

Εξ. 30,3 - καὶ καταχρυσώσεις αὐτὰ χρυσίῳ καθαρῷ, τὴν ἐσχάραν αὐτοῦ καὶ τοὺς τοίχους αὐτοῦ κύκλῳ καὶ τὰ κέρατα αὐτοῦ, καὶ ποιήσεις αὐτῷ στρεπτὴν στεφάνην χρυσῆν κύκλῳ.

Εξ. 30,3 - Θα επιχρυσώσης με καθαρόν χρυσίον τα μέρη του, δηλαδή την εσχάραν, τας κύκλω αυτού πλευράς και τα κέρατα αυτού. Θα κατασκευάσης κύκλω αυτού στεφάνην ελικοειδή.

Εξ. 30,4 - καὶ δύο δακτυλίους χρυσοῦς καθαροὺς ποιήσεις ὑπὸ τὴν στρεπτὴν στεφάνην αὐτοῦ, εἰς τὰ δύο κλίτη ποιήσεις ἐν τοῖς δυσὶ πλευροῖς· καὶ ἔσονται ψαλίδες ταῖς σκυτάλαις, ὥστε αἴρειν αὐτὸ ἐν αὐταῖς.

Εξ. 30,4 - Εις τας δύο γωνίας των πλευρών, κάτω από την ελικοειδή στεφάνην του, θα κάμης δύο κρίκους από καθαρόν χρυσόν δι' εκάστην των δύο πλευρών του. Δια τας δύο ράβδους, που θα χρησιμοποιούνται εις μεταφοράν του, θα υπάρχουν άγκιστρα.

Εξ. 30,5 - καὶ ποιήσεις σκυτάλας ἐκ ξύλων ἀσήπτων καὶ καταχρυσώσεις αὐτὰς χρυσίῳ.

Εξ. 30,5 - Θα κατασκευάσης από ξύλα άσηπτα τας ράβδους αυτάς, τας οποίας και θα επιχρυσώσης.

Εξ. 30,6 - καὶ θήσεις αὐτὸ ἀπέναντι τοῦ καταπετάσματος τοῦ ὄντος ἐπὶ τῆς κιβωτοῦ τῶν μαρτυρίων, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖθεν.

Εξ. 30,6 - Το θυσιαστήριον αυτό του θυμιάματος θα το θέσης απέναντι του καταπετάσματος, το οποίον ευρίσκεται προ της Κιβωτού των Μαρτυρίων, από όπου εγώ θα ομιλώ και θα γίνωμαι γνωστός εις σέ.

Εξ. 30,7 - καὶ θυμιάσει ἀπ᾽ αὐτοῦ Ἀαρὼν θυμίαμα σύνθετον λεπτόν· τὸ πρωῒ πρωΐ, ὅταν ἐπισκευάζῃ τοὺς λύχνους, θυμιάσει ἐπ᾽ αὐτοῦ,

Εξ. 30,7 - Επάνω εις αυτό θα προσφέρη ο Ααρών ειδικώς παρασκευασμένον λεπτόν θυμίαμα. Θα θυμιάζη δε επ' αυτού πρωϊ-πρωϊ, όταν ετοιμάζη τους λύχνους της επταφώτου λυχνίας.

Εξ. 30,8 - καὶ ὅταν ἐξάπτῃ Ἀαρὼν τοὺς λύχνους ὀψέ, θυμιάσει ἐπ᾽ αὐτοῦ· θυμίαμα ἐνδελεχισμοῦ διὰ παντὸς ἔναντι Κυρίου εἰς γενεὰς αὐτῶν.

Εξ. 30,8 - Και την εσπέραν, όταν θα ανάπτη τους λύχνους, θα θυμιάζη πάλιν επάνω εις αυτό. Το θυμίαμα αυτό θα γίνεται πάντοτε ενώπιον του Κυρίου εις όλας τας γενεάς σας.

Εξ. 30,9 - καὶ οὐκ ἀνοίσεις ἐπ᾽ αὐτοῦ θυμίαμα ἕτερον, κάρπωμα, θυσίαν· καὶ σπονδὴν οὐ σπείσεις ἐπ᾽ αὐτοῦ.

Εξ. 30,9 - Δεν θα προσφέρης επάνω εις αυτό το θυσιαστήριον άλλου είδους θυμίαμα ούτε θα προσφέρης θυσίαν αιματηράν η αναίμακτον, ούτε σπονδήν οίνου θα προσφέρης εκεί.

Εξ. 30,10 - καὶ ἐξιλάσεται ἐπ᾽ αὐτοῦ Ἀαρὼν ἐπὶ τῶν κεράτων αὐτοῦ ἅπαξ τοῦ ἐνιαυτοῦ· ἀπὸ τοῦ αἵματος τοῦ καθαρισμοῦ καθαριεῖ αὐτὸ εἰς γενεὰς αὐτῶν· ἅγιον τῶν ἁγίων ἐστὶ Κυρίῳ.

Εξ. 30,10 - Επί των κεράτων του θυσιαστηρίου αυτού θα κάμνη ο Ααρών μίαν φοράν το έτος εξιλέωσιν των αμαρτιών. Με το αίμα της θυσίας υπέρ του καθαρισμού από τας αμαρτίας θα καθαρίση ο Ααρών τούτο το θυσιαστήριον. Αυτή δε η πράξις θα γίνεται εις όλας τας γενεάς σας. Το θυσιαστήριον τούτο είναι αγιώτατον αφιέρωμα στον Κυριον”.

Εξ. 30,11 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Εξ. 30,11 - Ωμίλησεν ακόμη ο Κυριος προς τον Μωϋσήν και είπεν·

Εξ. 30,12 - ἐὰν λάβῃς τὸν συλλογισμὸν τῶν υἱῶν Ἰσραὴλ ἐν τῇ ἐπισκοπῇ αὐτῶν, καὶ δώσουσιν ἕκαστος λύτρα τῆς ψυχῆς αὐτοῦ Κυρίῳ, καὶ οὐκ ἔσται ἐν αὐτοῖς πτῶσις ἐν τῇ ἐπισκοπῇ αὐτῶν.

Εξ. 30,12 - “εάν θελήσης να αριθμήσης τους Ισραηλίτας και να μάθης το πλήθος αυτών, ας δώση ο καθένας στον ναόν του Κυρίου ωρισμένον ποσόν χρημάτων ως λύτρον της ψυχής του και κανείς από αυτούς δεν θα πάθη τίποτε κατά την αρίθμησιν.

Εξ. 30,13 - καὶ τοῦτό ἐστιν ὃ δώσουσιν ὅσοι ἂν παραπορεύωνται τὴν ἐπίσκεψιν· τὸ ἥμισυ τοῦ διδράχμου, ὅ ἐστιν κατὰ τὸ δίδραχμον τὸ ἅγιον· εἴκοσιν ὀβολοὶ τὸ δίδραχμον, τὸ δὲ ἥμισυ τοῦ διδράχμου εἰσφορὰ Κυρίῳ.

Εξ. 30,13 - Οσοι θα συμπεριληφθούν εις την αρίθμησιν αυτήν, θα δώσουν ως λύτρον της ψυχής των τούτο· Το ήμισυ του διδράχμου, το οποίον κυκλοφορεί στον ναόν. Είκοσι οβολούς έχει τούτο το δίδραχμον. Το ήμισυ αυτού του διδράχμου θα δίδετε σεις ως προσφοράν στον Κυριον.

Εξ. 30,14 - πᾶς ὁ παραπορευόμενος εἰς τὴν ἐπίσκεψιν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, δώσουσι τὴν εἰσφορὰν Κυρίῳ.

Εξ. 30,14 - Εκείνος ο οποίος θα περάση εις την αρίθμησιν αυτήν, δηλαδή εκείνος που θα είναι είκοσι ετών και άνω, θα δώση αυτήν την εισφοράν στον Κυριον.

Εξ. 30,15 - ὁ πλουτῶν οὐ προσθήσει καὶ ὁ πενόμενος οὐκ ἐλαττονήσει ἀπὸ τοῦ ἡμίσους τοῦ διδράχμου ἐν τῷ διδόναι τὴν εἰσφορὰν Κυρίῳ ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν.

Εξ. 30,15 - Ο πλούσιος δεν θα δώση περισσότερα και ο πτωχός δεν θα δώση ολιγώτερα απο το ήμισυ ενός διδράχμου κατά την καταβολήν αυτής της εισφοράς σας στον Κυριον προς εξιλέωσιν των ψυχών σας.

Εξ. 30,16 - καὶ λήψῃ τὸ ἀργύριον τῆς εἰσφορᾶς παρὰ τῶν υἱῶν Ἰσραὴλ καὶ δώσεις αὐτὸ εἰς τὸ κάτεργον τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἔσται τοῖς υἱοῖς Ἰσραὴλ μνημόσυνον ἔναντι Κυρίου ἐξιλάσασθαι περὶ τῶν ψυχῶν ὑμῶν.

Εξ. 30,16 - Θα λάβης το αργύριον αυτό της προσφοράς των Ισραηλιτών και θα το δώσης δια την κατεργασίαν και κατασκευήν της Σκηνής του Μαρτυρίου. Η προσφορά αυτή θα γίνεται πάντοτε εκ μέρους των Ισραηλιτών, δια να σας ενθυμήται ο Θεός και να γίνεται ίλεως εις τας αμαρτίας σας υπέρ των ψυχών σας".

Εξ. 30,17 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Εξ. 30,17 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και είπε·

Εξ. 30,18 - ποίησον λουτῆρα χαλκοῦν καὶ βάσιν αὐτῷ χαλκῆν, ὥστε νίπτεσθαι· καὶ θήσεις αὐτὸν ἀνὰ μέσον τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ ἀνὰ μέσον τοῦ θυσιαστηρίου καὶ ἐκχεεῖς εἰς αὐτὸν ὕδωρ,

Εξ. 30,18 - "να κατασκευάσης λουτήρα χάλκινον και βάσιν εις αυτόν χαλκίνην, δια να νίπτεσθε. Θα τοποθετήσης αυτόν μεταξύ της Σκηνής του Μαρτυρίου και του θυσιαστηρίου, και θα χύσης εις αυτόν ύδωρ.

Εξ. 30,19 - καὶ νίψεται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἐξ αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας ὕδατι.

Εξ. 30,19 - Ο Ααρών και οι υιοί του θα νίψουν με το ύδωρ αυτού τας χείρας και τους πόδας.

Εξ. 30,20 - ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι καὶ οὐ μὴ ἀποθάνωσιν· ἢ ὅταν προσπορεύωνται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν καὶ ἀναφέρειν τὰ ὁλοκαυτώματα Κυρίῳ,

Εξ. 30,20 - Οταν εισέρχωνται εις την Σκηνήν του Μαρτυρίου, θα νίπτονται με νερό, δια να μη αποθάνουν η όταν προχωρούν προς το θυσιαστήριον των ολοκαυτωμάτων, δια να υπηρετήσουν εκεί και προσφέρουν τα ολοκαυτώματα στον Κυριον,

Εξ. 30,21 - νίψονται τὰς χεῖρας καὶ τοὺς πόδας ὕδατι· ὅταν εἰσπορεύωνται εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, νίψονται ὕδατι, ἵνα μὴ ἀποθάνωσι· καὶ ἔσται αὐτοῖς νόμιμον αἰώνιον, αὐτῷ καὶ ταῖς γενεαῖς αὐτοῦ μετ᾿ αὐτόν.

Εξ. 30,21 - θα πλύνουν τας χείρας και τους πόδας των με νερό. Οταν εισέρχωνται εις την Σκηνήν του Μαρτυρίου, θα πλύνωνται με νερό, δια να μη αποθάνουν. Αυτό θα είναι αιώνιος νόμος δια τον Ααρών και τους μετ' αυτόν απογόνους του εις όλας τας γενεάς".

Εξ. 30,22 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Εξ. 30,22 - Ωμίλησεν ακόμη ο Κυριος προς τον Μωϋσήν και είπε·

Εξ. 30,23 - καὶ σὺ λάβε ἡδύσματα, τὸ ἄνθος σμύρνης ἐκλεκτῆς πεντακοσίους σίκλους καὶ κινναμώμου εὐώδους τὸ ἥμισυ τούτου διακοσίους

πεντήκοντα καὶ καλάμου εὐώδους διακοσίους πεντήκοντα

Εξ. 30,23 - “πάρε τα εξής αρωματικά είδη· Ανθος από εκλεκτήν σμύρναν πεντακοσίους σίκλους (πεντέμισυ περίπου κιλά), ευώδη κανέλλαν το ήμισυ του ποσού τούτου δηλαδή διακοσίους πεντήκοντα σίκλους, ευώδη κάλαμον διακοσίους πεντήκοντα σίκλους

Εξ. 30,24 - καὶ ἴρεως πεντακοσίους σίκλους τοῦ ἁγίου καὶ ἔλαιον ἐξ ἐλαιῶν εἰν

Εξ. 30,24 - και κασσίαν πεντακοσίους σίκλους τους χρησιμοποιουμένους στο ιερόν και μίαν ειν ελαιόλαδον.

Εξ. 30,25 - καὶ ποιήσεις αὐτὸ ἔλαιον χρῖσμα ἅγιον, μύρον μυρεψικὸν τέχνῃ μυρεψοῦ· ἔλαιον χρῖσμα ἅγιον ἔσται.

Εξ. 30,25 - Με όλα αυτά θα κάμης έλαιον προς χρίσιν αγίαν, μύρον αρωματικόν δια της τέχνης του αρωματοποιού. Αυτό θα είναι έλαιον προς αγίαν χρίσιν.

Εξ. 30 ,26 - καὶ χρίσεις ἐξ αὐτοῦ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὴν κιβωτὸν τῆς σκηνῆς τοῦ μαρτυρίου

Εξ. 30,26 - Με αυτό θα χρίσης την Σκηνήν του Μαρτυρίου και την Κιβωτόν της Σκηνής του Μαρτυρίου,

Εξ. 30,27 - καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ τὴν λυχνίαν καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ τὸ θυσιαστήριον τοῦ θυμιάματος

Εξ. 30,27 - και όλα τα σκεύη αυτής, την λυχνίαν και όλα τα σκεύη της, το θυσιαστήριον του θυμιάματος,

Εξ. 30,28 - καὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων καὶ πάντα αὐτοῦ τὰ σκεύη καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ

Εξ. 30,28 - το θυσιαστήριον των ολοκαυτωμάτων και όλα τα σκεύη του, την τράπεζαν και όλα τα σκεύη της, τον λουτήρα και την βάσιν αυτού.

Εξ. 30,29 - καὶ ἁγιάσεις αὐτά, καὶ ἔσται ἅγια τῶν ἁγίων· πᾶς ὁ ἁπτόμενος αὐτῶν ἁγιασθήσεται.

Εξ. 30,29 - Θα καθαγιάσης αυτά και θα είναι αγιώτατα. Καθένας που θα τα εγγίζη με ευλάβειαν, θα αγιάζεται.

Εξ. 30,30 - καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ χρίσεις καὶ ἁγιάσεις αὐτοὺς ἱερατεύειν μοι.

Εξ. 30,30 - Θα χρίσης με το αρωματικόν αυτό έλαιον της χρίσεως τον Ααρών και τους υιούς του και θα τους καθαγιάσης, ώστε να ιερατεύουν εις εμέ.

Εξ. 30,31 - καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις λέγων· ἔλαιον ἄλειμμα χρίσεως ἅγιον ἔσται τοῦτο ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν.

Εξ. 30,31 - Θα ομιλήσης προς τους Ισραηλίτας και θα τους είπης· Το δια την χρίσιν αρωματικόν αυτό έλαιον θα είναι δια σας και δια τας γενεάς σας

εις χρίσιν αγίαν.
Εξ. 30,32 - ἐπὶ σάρκα ἀνθρώπου οὐ χρισθήσεται, καὶ κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς ὡσαύτως· ἅγιόν ἐστι καὶ ἁγίασμα ἔσται ὑμῖν.
Εξ. 30,32 - Με αυτό σάρκα ανθρώπου δεν θα χρισθή ποτέ και όμοιον προς αυτό ως προς την σύνθεσιν και παρασκευήν δεν θα κατασκευάσετε ποτέ δια τον εαυτόν σας προς ατομικήν σας χρήσιν. Είναι ηγιασμένον και προωρισμένον δι' αγίαν και ιεράν χρήσιν.
Εξ. 30,33 - ὃς ἂν ποιήσῃ ὡσαύτως, καὶ ὃς ἂν δῷ ἀπ᾽ αὐτοῦ ἀλλογενεῖ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτοῦ.
Εξ. 30,33 - Εκείνος που θα παρασκευάση όμοιον προς αυτό και θα το δώση προς χρήσιν εις κοσμικόν πρόσωπον, θα εξολοθρευθή εκ μέσου του λαού του”.
Εξ. 30,34 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· λάβε σεαυτῷ ἡδύσματα, στακτήν, ὄνυχα, χαλβάνην ἡδυσμοῦ καὶ λίβανον διαφανῆ, ἴσον ἴσῳ ἔσται·
Εξ. 30,34 - Είπεν ακόμη ο Κυριος προς τον Μωϋσήν· “πάρε δια τον εαυτόν σου αρωματικά είδη, δηλαδή στακτήν, όνυχα (αρωματικόν κογχύλιον), χαλβάνην ηδυσμού (αρωματώδη ρητίνην) και λιβάνι διαφανές, ίσην ποσότητα από κάθε είδος.
Εξ. 30,35 - καὶ ποιήσουσιν ἐν αὐτῷ θυμίαμα, μυρεψικὸν ἔργον μυρεψοῦ, μεμιγμένον, καθαρόν, ἔργον ἅγιον.
Εξ. 30,35 - Θα παρασκευάσουν με τα είδη αυτά θυμίαμα ευώδες, έργον ειδικού μυροποιού, σύνθετον από τας ανωτέρω ουσίας, καθαρόν, έργον αφιερωμένον στον Θεόν.
Εξ. 30,36 - καὶ συγκόψεις ἐκ τούτων λεπτὸν καὶ θήσεις ἀπέναντι τῶν μαρτυρίων ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ὅθεν γνωσθήσομαί σοι ἐκεῖθεν· ἅγιον τῶν ἁγίων ἔσται ὑμῖν.
Εξ. 30,36 - Θα κύψης και θα κοπανίσης αυτό εις λεπτά τεμάχια, θα το θέσης εις την Σκηνήν του Μαρτυρίου απέναντι της Κιβωτου, από όπου εγώ θα φανερώνωμαι προς σε και θα σου ομιλώ. Το θυμίαμα αυτά θα είναι αγιώτατον δια σας.
Εξ. 30,37 - θυμίαμα κατὰ τὴν σύνθεσιν ταύτην οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς· ἁγίασμα ἔσται ὑμῖν Κυρίῳ·
Εξ. 30,37 - Θυμίαμα όμοιον με αυτό κατά την σύνθεσιν δεν θα παρασκευάσετε σεις δια ταν εαυτόν σας. Θα είναι αφιερωμένον εκ μέρους σας προς τον Κυριον.
Εξ. 30,38 - ὃς ἂν ποιήσῃ ὡσαύτως ὥστε ὀσφραίνεσθαι ἐν αὐτῷ, ἀπολεῖται ἐκ τοῦ λαοῦ αὐτοῦ.
Εξ. 30,38 - Εκείνος που θα παρασκευάση παρόμοιον θυμίαμα, δια να το οσφραινεται ο ίδιος, θα εξολοθρευθή εκ μέσου του λαού”.

ΕΞΟΔΟΣ 31

Εξ. 31,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·
Εξ. 31,1 - Ωμίλησεν ακόμη ο Κυριος προς τον Μωϋσήν και είπεν·
Εξ. 31,2 - ἰδοὺ ἀνακέκλημαι ἐξ ὀνόματος τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρείου τὸν Ὤρ, ἐκ τῆς φυλῆς Ἰούδα,
Εξ. 31,2 - “ιδού ονομαστικώς έχω προσκαλέσει τον Βεσελεήλ, υιόν του Ουρείου, υιού του Ωρ από την φυλήν Ιούδα.
Εξ. 31,3 - καὶ ἐνέπλησα αὐτὸν πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης ἐν παντὶ ἔργῳ διανοεῖσθαι
Εξ. 31,3 - Αυτόν ενέπλησα με θείον Πνεύμα σοφίας και συνέσεως και επιστήμης, ώστε να σκέπτεται ορθώς δια κάθε ιερόν έργον που θα αναλάβη.
Εξ. 31,4 - καὶ ἀρχιτεκτονῆσαι, ἐργάζεσθαι τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν χαλκὸν καὶ τὴν ὑάκινθον καὶ τὴν πορφύραν καὶ τὸ κόκκινον τὸ νηστὸν
Εξ. 31,4 - Του έχω δώσει θείον Πνεύμα, ώστε να είναι ικανός αρχιτέκτων και να κατεργάζεται τον χρυσόν, τον άργυρον, τον χαλκόν, τα διάφορα είδη χρωμάτων, το κυανούν, το βαθέως ερυθρόν, το κόκκινον και το γνεσμένον ύφασμα·
Εξ. 31,5 - καὶ τὰ λιθουργικὰ καὶ εἰς τὰ ἔργα τὰ τεκτονικὰ τῶν ξύλων, ἐργάζεσθαι κατὰ πάντα τὰ ἔργα.
Εξ. 31,5 - να είναι ικανός εις την λιθουρνικήν, την ξυλουργικήν και να εκτελή με επιτυχίαν όλα τα έργα.
Εξ. 31,6 - καὶ ἐγὼ ἔδωκα αὐτὸν καὶ τὸν Ἐλιὰβ τὸν τοῦ Ἀχισαμὰχ ἐκ φυλῆς Δὰν καὶ παντὶ συνετῷ καρδίᾳ δέδωκα σύνεσιν, καὶ ποιήσουσι πάντα ὅσα συνέταξά σοι,
Εξ. 31,6 - Εγώ έδωκα εις αυτόν ως βοηθόν του τον Ελιάβ, υιόν του Αχισαμάχ από την φυλήν του Δαν, και εις πολλούς άλλους βοηθούς του συνετούς κατά την διάνοιαν έδωσα φωτισμόν και ικανότητα, δια να κάμουν όσα σε έχω διατάξει.
Εξ. 31,7 - τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὴν κιβωτὸν τῆς διαθήκης καὶ τὸ ἱλαστήριον τὸ ἐπ᾿ αὐτῆς καὶ τὴν διασκευὴν τῆς σκηνῆς
Εξ. 31,7 - Αυτοί θα κατασκευάσουν την Σκηνήν του Μαρτυρίου, την Κιβωτόν της Διαθήκης και το ιλαστήριον το επάνω αυτής και όσα άλλα χρειάζονται εις απαρτισμόν και εξυπηρέτησιν της Σκηνής, στύλους, καλυμιματα, καταπετάσματα·
Εξ. 31,8 - καὶ τὰ θυσιαστήρια καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ τὴν λυχνίαν τὴν καθαρὰν καὶ πάντα τὰ σκεύη αὐτῆς

Εξ. 31,8 - τα δύο θυσιαστήρια (των ολοκαυτωμάτων και του θυμιάματος), την τράπεζαν και όλα τα σκεύη αυτής, την καθαράν εκ χρυσού επτάφωτον λυχνίαν και όλα τα εξαρτήματά της,

Εξ. 31,9 - καὶ τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ

Εξ. 31,9 - τον χάλκινον λουτήρα και την βάσιν του,

Εξ. 31,10 - καὶ τὰς στολάς τὰς λειτουργικὰς Ἀαρὼν καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ ἱερατεύειν μοι

Εξ. 31,10 - τας ιερατικάς στολάς του Ααρών και των υιών του, δια να τας φορούν όταν θα λειτουργούν εις εμέ·

Εξ. 31,11 - καὶ τὸ ἔλαιον τῆς χρίσεως καὶ τὸ θυμίαμα τῆς συνθέσεως τοῦ ἁγίου· κατὰ πάντα, ὅσα ἐγὼ ἐνετειλάμην σοι, ποιήσουσι.

Εξ. 31,11 - το δια την χρίσιν έλαιον, το εκ πολλών αρωματικών ειδών σύνθετον θυμίαμα προς αγίαν χρήσιν και γενικώς αυτοί θα κάμουν όλα όσα εγώ σε διέταξα”.

Εξ. 31,12 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Εξ. 31,12 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και είπε·

Εξ. 31,13 - καὶ σὺ σύνταξον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· ὁρᾶτε, καὶ τὰ σάββατά μου φυλάξεσθε· σημεῖόν ἐστι παρ᾿ ἐμοὶ καὶ ἐν ἐμοὶ εἰς τὰς γενεὰς ὑμῶν, ἵνα γνῶτε ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων ὑμᾶς.

Εξ. 31,13 - “συ να διατάξης τους Ισραηλίτας και να τους είπης· Προσέχετε ! Φυλάξατε την ιερότητα και την αργίαν του Σαββάτου. Αυτή η τήρησις της αργίας του Σαββάτου θα είναι σημείον ιδικόν μου προς σας, τεθέν από εμέ δι' όλας τας γενεάς σας, δια να μάθετε και κατανοήσετε ότι εγώ είμαι ο Κυριος, ο οποίος σας αγιάζω.

Εξ. 31,14 - καὶ φυλάξεσθε τὰ σάββατα, ὅτι ἅγιον τοῦτό ἐστι Κυρίῳ ὑμῖν· ὁ βεβηλῶν αὐτὸ θανάτῳ θανατωθήσεται· πᾶς ὃς ποιήσει ἐν αὐτῷ ἔργον, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ μέσου τοῦ λαοῦ αὐτοῦ.

Εξ. 31,14 - Θα τηρήσετε την αργίαν και ιερότητα του Σαββάτου, διότι αυτό πρέπει να είναι από σας αφιερωμένον στον Κυριον. Εκείνος, που θα το βεβηλώση, θα θανατωθή. Εκείνος ο οποίος θα εργασθή κατά την ημέραν αυτήν, θα εξολοθρευθή εκ μέσου του λαού του.

Εξ. 31,15 - ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα, ἀνάπαυσις ἁγία τῷ Κυρίῳ· πᾶς ὃς ποιήσει ἔργον τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, θανατωθήσεται.

Εξ. 31,15 - Εξ ημέρας θα εργάζεσαι, κατά δε την εβδόμην ημέραν θα είναι Σαββατον, δηλαδή ημέρα αναπαύσεως, ημέρα αφιερωμένη στον Κυριον. Εκείνος ο οποίος θα εργασθή κατά την εβδόμην ημέραν, θα τιμωρηθή δια θανάτου.

Εξ. 31,16 - καὶ φυλάξουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰ σάββατα ποιεῖν αὐτὰ εἰς τὰς γενεὰς αὐτῶν· διαθήκη αἰώνιος.

Εξ. 31,16 - Οι Ισραηλίται πρέπει να φυλάξουν την αργίαν του Σαββάτου, όσα εγώ έχω νομοθετήσει δι' αυτό, εις όλας τας γενεάς των. Αυτή είναι αιωνία και ακατάλυτος διαθήκη μου.

Εξ. 31,17 - ἐν ἐμοὶ καὶ τοῖς υἱοῖς Ἰσραὴλ σημεῖόν ἐστιν ἐν ἐμοὶ αἰώνιον· ὅτι ἓξ ἡμέραις ἐποίησε Κύριος τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐπαύσατο καὶ κατέπαυσε.

Εξ. 31,17 - Μεταξύ εμού και των Ισραηλιτών θα είναι σημείον η αργία και ο αγιασμός του Σαββάτου, διότι εις εξ ημέρας ο Κυριος εδημιούργησε τον ουρανόν και την γην, κατά δε την εβδόμην ημέραν έπαυσε την δημιουργίαν και ανεπαύθη”.

Εξ. 31,18 - Καὶ ἔδωκε Μωυσῇ, ἡνίκα κατέπαυσε λαλῶν αὐτῷ ἐν τῷ ὄρει τῷ Σινά, τὰς δύο πλάκας τοῦ μαρτυρίου, πλάκας λιθίνας γεγραμμένας τῷ δακτύλῳ τοῦ Θεοῦ.

Εξ. 31,18 - Οταν έπαυσε να ομιλή προς τον Μωϋσήν ο Κυριος επάνω στο όρος Σινά, του έδωκε τας δύο πλάκας του μαρτυρίου, πλάκας λιθίνας, αι οποίαι είχαν γραφή θαυματουργικώς με το χέρι του Θεού.

## ΕΞΟΔΟΣ 32

Εξ. 32,1 - Καὶ ἰδὼν ὁ λαὸς ὅτι κεχρόνικε Μωυσῆς καταβῆναι ἐκ τοῦ ὄρους, συνέστη ὁ λαὸς ἐπὶ Ἀαρὼν καὶ λέγουσιν αὐτῷ· ἀνάστηθι καὶ ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωυσῆς οὗτος ὁ ἄνθρωπος, ὃς ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ.

Εξ. 32,1 - Ο ισραηλιτικός λαός ιδών ότι ο Μωϋσής εβράδυνε να κατεβή από το όρος Σινά, συνηθροίσθη αναστατωμένος γύρω από τον Ααρών και έλεγον προς αυτόν· “σήκω και κατασκεύασέ μας θεούς, οι οποίοι θα προπορεύονται και θα μας οδηγούν. Διότι δεν γνωρίζομεν τι έχει συμβή στον άνθρωπον αυτόν, τον Μωϋσέα, ο οποίος μας έβγαλε από την χώραν της Αιγύπτου”.

Εξ. 32,2 - καὶ λέγει αὐτοῖς Ἀαρών· περιέλεσθε τὰ ἐνώτια τὰ χρυσὰ τὰ ἐκ τοῖς ὠσὶ τῶν γυναικῶν ὑμῶν καὶ θυγατέρων καὶ ἐνέγκατε πρός με.

Εξ. 32,2 - Ο Ααρών απήντησεν εις αυτούς· “αφαιρέσατε από τα αυτιά των συζύγων σας και τον θυγατέρων σας τα χρυσά σκουλαρίκια και φέρετέ τα εις εμέ”.

Εξ. 32,3 - καὶ περιείλαντο πᾶς ὁ λαὸς τὰ ἐνώτια τὰ χρυσᾶ τὰ ἐν τοῖς ὠσὶν αὐτῶν καὶ ἤνεγκαν πρὸς Ἀαρών.

Εξ. 32,3 - Ολος ο λαός αφήρεσε προθύμως τα χρυσά σκουλαρίκια από τα αυτιά των γυναικών και τα έφεραν προς τον Ααρών.

Εξ. 32,4 - καὶ ἐδέξατο ἐκ τῶν χειρῶν αὐτῶν καὶ ἔπλασεν αὐτὰ ἐν τῇ γραφίδι καὶ ἐποίησεν αὐτὰ μόσχον χωνευτὸν καὶ εἶπεν· οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου.

Εξ. 32,4 - Εκείνος τα επήρε από τα χέρια των, τα επεξειργάσθη και τα εκαθάρισε με την σμίλην, τα έρριψε στο χυτήριον και έκαμε μόσχον χυτόν. Και είπεν στον λαόν· “Ισραηλίται, αυτοί είναι οι θεοί σου, οι οποίοι σε επήραν από την γην της Αιγύπτου και σε ανεβίβασαν εδώ”.

Εξ. 32,5 - καὶ ἰδὼν Ἀαρὼν ᾠκοδόμησε θυσιαστήριον κατέναντι αὐτοῦ, καὶ ἐκήρυξεν Ἀαρὼν λέγων· ἑορτὴν τοῦ Κυρίου αὔριον.

Εξ. 32,5 - Ιδών δε δ Ααρών ότι αυτό ηυχαρίστησε τους Ισραηλίτας έκτισε θυσιαστήριον απέναντι του χρυσού μόσχου και δια κήρυκος εφώναξε προς τον λαόν· “αύριον είναι εορτή προς τιμήν του Κυρίου” !

Εξ. 32,6 - καὶ ὀρθρίσας τῇ ἐπαύριον ἀνεβίβασεν ὁλοκαυτώματα καὶ προσήνεγκε θυσίαν σωτηρίου, καὶ ἐκάθισεν ὁ λαὸς φαγεῖν καὶ πιεῖν καὶ ἀνέστησαν παίζειν.

Εξ. 32,6 - Εγερθείς δε λίαν πρωί την επομένην ημέραν ανεβίβασεν στο θυσιαστήριον ολοκαυτώματα και προσέφερεν ευχαριστήριον θυσίαν δια την σωτηρίαν του λαού από την δουλείαν των Αιγυπτίων. Ο λαός μετά την προσφοράν των θυσιών εκάθισεν, έφαγε και έπιε και μετά το φαγοπότι εσηκώθησαν δια να παίξουν και να χορεύσουν.

Εξ. 32,7 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων· βάδιζε τὸ τάχος, κατάβηθι ἐντεῦθεν· ἠνόμησε γὰρ ὁ λαός σου, ὃν ἐξήγαγες ἐκ γῆς Αἰγύπτου·

Εξ. 32,7 - Ελάλησε τότε ο Κυριος προς τον Μωϋσήν και του είπε· “κατέβα από εδώ και πήγαινε ταχέως κάτω, διότι ο λαός σου, τον οποίον έβγαλες συ από την Αίγυπτον, κατεπάτησε τον νόμον και ημάρτησε.

Εξ. 32,8 - παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς ἐνετείλω αὐτοῖς· ἐποίησαν ἑαυτοῖς μόσχον καὶ προσκεκυνήκασιν αὐτῷ καὶ τεθύκασιν αὐτῷ καὶ εἶπαν· οὗτοι οἱ θεοί σου, Ἰσραήλ, οἵτινες ἀνεβίβασάν σε ἐκ γῆς Αἰγύπτου.

Εξ. 32,8 - Πολύ σύντομα έφυγαν από τον δρόμον, τον οποίον εγώ διέταξα εις αυτούς. Κατεσκεύασαν δια τον εαυτόν των μόσχον, προσεκύνησαν αυτόν, του προσέφεραν θυσίας και είπαν· Ισραηλίται, αυτοί είναι οι θεοί σου, οι οποίοι σε ανεβίβασαν εδώ από την γην της Αιγύπτου.

Εξ. 32,9 - καὶ νῦν ἔασόν με καὶ θυμωθεὶς ὀργῇ εἰς αὐτούς ἐκτρίψω αὐτοὺς

Εξ. 32,9 - Και τώρα άφησέ με να καταστρέψω αυτούς επάνω εις την δικαίαν μου οργήν,

Εξ. 32,10 - καὶ ποιήσω σε εἰς ἔθνος μέγα.

Εξ. 32,10 - και να κάμω σε και τους απογόνους σου έθνος μέγα”.

Εξ. 32,11 - καὶ ἐδεήθη Μωυσῆς ἔναντι Κυρίου τοῦ Θεοῦ καὶ εἶπεν· ἱνατί, Κύριε, θυμοῖ ὀργῇ εἰς τὸν λαόν σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν ἰσχύϊ

μεγάλῃ καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψηλῷ;

Εξ. 32,11 - Ο Μωυσής παρεκάλεσε θερμώς τον Κυριον και Θεόν και του είπε· “διατί, Κυριε, θυμώνεις και οργίζεσαι εναντίον του λαού σου, τον οποίον συ ηλευθέρωσες και έβγαλες από την χώραν της Αιγύπτου με ακατανίκητον δύναμιν και με την παντοδύναμον δεξιάν σου;

Εξ. 32,12 - μή ποτε εἴπωσιν οἱ Αἰγύπτιοι λέγοντες· μετὰ πονηρίας ἐξήγαγεν αὐτοὺς ἀποκτεῖναι ἐν τοῖς ὄρεσι καὶ ἐξαναλῶσαι αὐτοὺς ἀπὸ τῆς γῆς. παῦσαι τῆς ὀργῆς τοῦ θυμοῦ σου καὶ ἵλεως γενοῦ ἐπὶ τῇ κακίᾳ τοῦ λαοῦ σου,

Εξ. 32,12 - Δεν πρέπει να τους εξολοθρεύσης, δια να μη είπουν οι Αιγύπτιοι ότι με πονηρίαν τους έβγαλες από την χώραν των, δια να τους θανατώσης εις τα όρη και να τους ξεπαστρέψης από την γην. Παύσε την οργήν και τον θυμόν σου, γίνε ίλεως εις την κακίαν αυτήν του λαού σου.

Εξ. 32,13 - μνησθεὶς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν σῶν οἰκετῶν, οἷς ὤμοσας κατὰ σεαυτοῦ καὶ ἐλάλησας πρὸς αὐτοὺς λέγων· πολυπληθυνῶ τὸ σπέρμα ὑμῶν ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, καὶ πᾶσαν τὴν γῆν ταύτην, ἣν εἶπας δοῦναι τῷ σπέρματι αὐτῶν, καὶ καθέξουσιν αὐτὴν εἰς τὸν αἰῶνα.

Εξ. 32,13 - Ενθυμήσου τους δούλους σου, τον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ, στους οποίους ωρκίσθης επί του εαυτού σου και τους είπες· Θα αυξήσω και θα πολλαπλασιάσω εγώ τους απογόνους σας, θα τους αναδείξω αμέτρητον πλήθος, ωσάν το πλήθος των αστέρων του ουρανού, και υπεσχέθης ότι όλην αυτήν την χώραν θα την δώσης στους απογόνους των, δια να την έχουν πάντοτε υπό την κυριότητα και κατοχήν των”.

Εξ. 32,14 - καὶ ἱλάσθη Κύριος περὶ τῆς κακίας, ἧς εἶπε ποιῆσαι τὸν λαὸν αὐτοῦ.

Εξ. 32,14 - Ο Κυριος ήκουσε την δέησιν του Μωϋσέως, εφάνη ίλεως εις την κακίαν αυτήν των Ισραηλιτών, δια την οποίαν και ηθέλησε να τους τιμωρήση.

Εξ. 32,15 - Καὶ ἀποστρέψας Μωυσῆς κατέβη ἀπὸ τοῦ ὄρους, καὶ αἱ δύο πλάκες τοῦ μαρτυρίου ἐν ταῖς χερσὶν αὐτοῦ, πλάκες λίθιναι καταγεγραμμέναι ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῶν, ἔνθεν καὶ ἔνθεν ἦσαν γεγραμμέναι·

Εξ. 32,15 - Ο Μωϋσής επέστρεψε και κατέβη από το όρος κρατών εις τας χείρας του τας δύο πλάκας του μαρτυρίου. Αυταί αι πλάκες ήσαν λίθιναι γραμμέναι και από τας δύο πλευράς, από εδώ και από εκεί.

Εξ. 32,16 - καὶ αἱ πλάκες ἔργον Θεοῦ ἦσαν, καὶ ἡ γραφὴ γραφὴ Θεοῦ κεκολαμμένη ἐν ταῖς πλαξί.

Εξ. 32,16 - Ησαν δε έργον του Θεού, τα γεγραμμένα εις αυτάς ήσαν θεία γραφήη χαραγμένη επάνω εις τας πλάκας.

Εξ. 32,17 - καὶ ἀκούσας Ἰησοῦς τῆς φωνῆς τοῦ λαοῦ κραζόντων λέγει πρὸς Μωυσῆν· φωνὴ πολέμου ἐν τῇ παρεμβολῇ.

Εξ. 32,17 - Καθώς κατέβαιναν και επλησίαζον, ήκουσεν ο Ιησούς του Ναυή φωνάς του λαού, ο οποίος εκραύγαζε, και λέγει προς τον Μωϋσήν· "πολεμικαί κραυγαί ακούονται στο στρατόπεδόν μας" !

Εξ. 32,18 - καὶ λέγει· οὐκ ἔστι φωνὴ ἐξαρχόντων κατ᾿ ἰσχύν, οὐδὲ φωνὴ ἐξαρχόντων τροπῆς, ἀλλὰ φωνὴν ἐξαρχόντων οἴνου ἐγὼ ἀκούω.

Εξ. 32,18 - Ο Μωϋσής του απήντησε· "δεν είναι αυταί φωναί ανθρώπων, που αρχίζουν τον πόλεμον και αλαλάζουν δια την νίκην, ούτε κραυγαί ανθρώπων οι οποίοι ηττήθησαν και φεύγουν πανικόβλητοι, αλλ' εγώ ακούω φωνάς μεθυσμένων".

Εξ. 32,19 - καὶ ἡνίκα ἤγγιζε τῇ παρεμβολῇ, ὁρᾷ τὸν μόσχον καὶ τοὺς χορούς, καὶ ὀργισθεὶς θυμῷ Μωυσῆς ἔῤῥιψεν ἀπὸ τῶν χειρῶν αὐτοῦ τὰς δύο πλάκας, καὶ συνέτριψεν αὐτὰς ὑπὸ τὸ ὄρος.

Εξ. 32,19 - Οταν επλησίαζεν ο Μωϋσής στο στρατόπεδον, βλέπει τον μόσχον και τους χορούς και καταληφθείς από οργήν και θυμόν επέταξεν από τας χείρας του τας δύο πλάκας και τας συνέτριψεν στους πρόποδας του όρους.

Εξ. 32,20 - καὶ λαβὼν τὸν μόσχον, ὃν ἐποίησαν, κατέκαυσεν αὐτὸν ἐν πυρὶ καὶ κατήλεσεν αὐτὸν λεπτὸν καὶ ἔσπειρεν αὐτὸν ἐπὶ τὸ ὕδωρ καὶ ἐπότισεν αὐτὸ τοὺς υἱοὺς Ἰσραήλ.

Εξ. 32,20 - Αμέσως λαβών τον μόσχον, που είχαν κατασκευάσει οι Ισραηλίται, έρριψε και κατέκαυσεν αυτόν στο πυρ, τον άλεσε εις λεπτήν σκόνιν και έρριψεν αυτήν στο ύδωρ και με αυτό επότισε τους Ισραηλίτας.

Εξ. 32,21 - καὶ εἶπε Μωυσῆς τῷ Ἀαρών· τί ἐποίησέ σοι ὁ λαὸς οὗτος, ὅτι ἐπήγαγες ἐπ᾿ αὐτοὺς ἁμαρτίαν μεγάλην;

Εξ. 32,21 - Εκάλεσεν ο Μωϋσής τον Ααρών και του είπε· "τι σου έκαμε αυτός ο λαός και επέσυρες επάνω του τόσον μεγάλην αμαρτίαν και ενοχήν;"

Εξ. 32,22 - καὶ εἶπεν Ἀαρὼν πρὸς Μωυσῆν· μὴ ὀργίζου, κύριε· σὺ γὰρ οἶδας τὸ ὅρμημα τοῦ λαοῦ τούτου.

Εξ. 32,22 - Ο Ααρών απήντησε προς τον Μωϋσήν· "μη οργίζεσαι, κύριε, εναντίον μου, διότι συ γνωρίζεις πολύ καλά την ορμητικότητα αυτού του λαού.

Εξ. 32,23 - λέγουσι γάρ μοι· ποίησον ἡμῖν θεούς, οἳ προπορεύσονται ἡμῶν· ὁ γὰρ Μωυσῆς οὗτος ὁ ἄνθρωπος, ὃς ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου, οὐκ οἴδαμεν τί γέγονεν αὐτῷ.

Εξ. 32,23 - Αυτοί μου είπαν· Κατασκεύασε δι' ημάς θεούς, οι οποίοι θα πραπορεύωνται και θα μας οδηγούν, διότι δεν γνωρίζομεν, τι συνέβη στον Μωϋσήν, στον άνθρωπον αυτόν, ο οποίος μας έβγαλε από την Αίγυπτον.

Εξ. 32,24 - καὶ εἶπα αὐτοῖς· εἴ τινι ὑπάρχει χρυσία, περιέλεσθε. καὶ ἔδωκάν μοι· καὶ ἔῤῥιψα είς τὸ πῦρ, καὶ ἐξῆλθεν ὁ μόσχος οὗτος.

Εξ. 32,24 - Εγώ τότε τους είπα· Ο,τι χρυσάφι υπάρχει στον καθένα σας συγκεντρώσατέ το και δόστε το εις εμέ. Μου το έδωσαν, το έρριψα στο πυρ και από εκεί εβγήκε αυτός ο χρυσός μόσχος".

Εξ. 32,25 - καὶ ἰδὼν Μωυσῆς τὸν λαὸν ὅτι διεσκέδασται, διεσκέδασε γὰρ αὐτοὺς Ἀαρὼν ἐπίχαρμα τοῖς ὑπεναντίοις αὐτῶν,

Εξ. 32,25 - Είδεν ο Μωϋσής ότι ο μεθυσμένος πλέον λαός είχε διασκορπισθή, διότι τους έφερε εις έξαλλον κατάστασιν και τους διεσκόρπισεν ο Ααρών προς μεγάλην χαράν των εχθρών των,

Εξ. 32,26 - ἔστη δὲ Μωυσῆς ἐπὶ τῆς πύλης τῆς παρεμβολῆς καὶ εἶπε· τίς πρὸς Κύριον; ἴτω πρός με. συνῆλθον οὗν πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Λευί.

Εξ. 32,26 - εστάθη όρθιος ο Μωϋσής εις την είσοδον του στρατοπέδου και είπεν· "όποιος είναι με τον Κυριον, ας έλθη προς εμέ". Συνεκεντρώθησαν άμεσως γύρω από αυτόν όλοι οι της φυλής Λευϊ.

Εξ. 32,27 - καὶ λέγει αὐτοῖς· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· θέσθε ἕκαστος τὴν ἑαυτοῦ ῥομφαίαν ἐπὶ τὸν μηρὸν καὶ διέλθατε καὶ ἀνακάμψατε ἀπὸ πύλης ἐπὶ πύλην διά τῆς παρεμβολῆς καὶ ἀποκτείνατε ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ καὶ ἕκαστος τὸν πλησίον αὐτοῦ καὶ ἕκαστος τὸ ἔγγιστα αὐτοῦ.

Εξ. 32,27 - Είπε προς αυτούς Ο Μωϋσής· "τάδε λέγει Κυριος ο Θεός Ισραήλ· Ζωσθήτε ο καθένας σας και θέσατε την ρομφαίαν σας στον μηρόν, διέλθετε και επανέλθετε από την μίαν είσοδον του στρατοπέδου μέχρι της άλλης, περάσατε δια μέσου του στρατοπέδου και θανατώσατε καθένας τον ένοχον αδελφόν του, τον φίλον του, τον συγγενή του".

Εξ. 32,28 - καὶ ἐποίησαν οἱ υἱοὶ Λευὶ καθὰ ἐλάλησεν αὐτοῖς Μωυσῆς, καὶ ἔπεσαν ἐκ τοῦ λαοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ εἰς τρισχιλίους ἄνδρας.

Εξ. 32,28 - Οι Λευίται έκαμαν, όπως τους διέταξεν ο Μωϋσής, και εθανατώθησαν κατά την ημέραν εκείνην τρεις χιλιάδες άνδρες.

Εξ. 32,29 - καὶ εἶπεν αὐτοῖς Μωυσῆς· ἐπληρώσατε τὰς χεῖρας ὑμῶν σήμερον Κυρίῳ, ἕκαστος ἐν τῷ υἱῷ ἢ ἐν τῷ ἀδελφῷ αὐτοῦ, δοθῆναι ἐφ᾿ ὑμᾶς εὐλογίαν.

Εξ. 32,29 - Είπε τότε στους λευΐτας ο Μωϋσής· "σήμερόν με τους φόνους αυτούς εξεπληρώσατε με τας χείρας σας υπηρεσίαν προς τον Κυριον, θανατώσαντες ο άλλος τον υιόν του και άλλος τον αδελφόν του. Δι' αυτήν σας την πράξιν θα δοθή εις σας ειδική ευλογία του Θεού".

Εξ. 32,30 - Καὶ ἐγένετο μετὰ τὴν αὔριον εἶπε Μωυσῆς πρὸς τὸν λαόν· ὑμεῖς ἡμαρτήκατε ἁμαρτίαν μεγάλην· καὶ νῦν ἀναβήσομαι πρὸς τὸν Θεόν, ἵνα ἐξιλάσωμαι περὶ τῆς ἁμαρτίας ὑμῶν.

Εξ. 32,30 - Την επομένην ημέραν είπεν ο Μωϋσής προς τον λαόν· “σεις διεπράξατε αμαρτίαν μεγάλην· και τώρα θα αναβώ στον Θεόν, να τον παρακαλέσω να φανή ίλεως δια την αμαρτίαν σας αυτήν”.

Εξ. 32,31 - ὑπέστρεψε δὲ Μωυσῆς πρὸς Κύριον καὶ εἶπε· δέομαι, Κύριε· ἡμάρτηκεν ὁ λαὸς οὗτος ἁμαρτίαν μεγάλην καὶ ἐποίησαν ἑαυτοῖς θεοὺς χρυσοῦς.

Εξ. 32,31 - Επέστρεψεν ο Μωϋσής προς τον Κυριον και είπε· “Κυριε, θερμώς σε παρακαλώ· ο λαός αυτός υπέπεσεν εις βαρείαν αμαρτίαν, διότι ελησμόνησε σε και κατεσκεύασε δια τον εαυτόν του χρυσούς θεούς.

Εξ. 32,32 - καὶ νῦν εἰ μὲν ἀφεῖς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν, ἄφες· εἰ δὲ μή, ἐξάλειψόν με ἐκ τῆς βίβλου σου, ἧς ἔγραψας.

Εξ. 32,32 - Και τώρα εάν φανής ίλεως και συγχωρήσης την αμαρτίαν των αυτήν, συγχώρεσέ τους. Εάν όμως δεν τους συγχωρήσης, εξάλειψε μαζή με αυτούς και εμέ από το βιβλίον σου, στο οποίον με έχεις γραμμένον”.

Εξ. 32,33 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· εἴ τις ἡμάρτηκεν ἐνώπιόν μου, ἐξαλείψω αὐτοὺς ἐκ τῆς βίβλου μου.

Εξ. 32,33 - Ο Κυριος απήντησε προς τον Μωϋσήν· “εκείνον, ο οποίος έχει αμαρτήσει ενώπιόν μου, αυτόν θα εξαλείψω από το βιβλίον μου.

Εξ. 32,34 - νυνὶ δὲ βάδιζε, κατάβηθι καὶ ὁδήγησον τὸν λαὸν τοῦτον εἰς τὸν τόπον, ὃν εἶπά σοι· ἰδοὺ ὁ ἄγγελός μου προπορεύσεται πρὸ προσώπου σου· ᾗ δ᾿ ἂν ἡμέρᾳ ἐπισκέπτωμαι, ἐπάξω ἐπ᾿ αὐτοὺς τὴν ἁμαρτίαν αὐτῶν.

Εξ. 32,34 - Τωρα βάδιζε, κατέβα από το όρος και οδήγησε τον λαόν αυτόν στον τόπον, που σου είπα· ιδού ο άγγελός μου θα προπορεύεται ως οδηγός έμπροσθέν σου. Οταν δε αποφασίσω δια την ημέραν της τιμωρίας των, θα τους επισκεφθώ και θα επιφέρω επάνω των την τιμωρίαν δια την αμαρτίαν των αυτήν”.

Εξ. 32,35 - καὶ ἐπάταξε Κύριος τὸν λαὸν περὶ τῆς ποιήσεως τοῦ μόσχου, οὗ ἐποίησεν Ἀαρών.

Εξ. 32,35 - Και πράγματι, όταν ο Κυριος έκρινε κατάλληλον τον καιρόν, ετιμώρησε τον λαόν δια τον μόσχον, τον οποίον κατ' απαίτησίν των κατεσκεύασεν ο Ααρών.

## ΕΞΟΔΟΣ 33

Εξ. 33,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· προπορεύου, ἀνάβηθι ἐντεῦθεν σὺ καὶ ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου, εἰς τὴν γῆν, ἣν ὤμοσα τῷ Ἁβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ λέγων· τῷ σπέρματι ὑμῶν δώσω αὐτήν.

Εξ. 33,1 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “προχώρει, ανέβα από εδώ συ και ο λαός σου, τον οποίον έβγαλες από την γην της Αιγύπτου, και βάδιζε

δια την χώραν, την οποίαν ωρκίσθην να δώσω στον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ λέγων· Εις τους απογόνους σας θα δώσω αυτήν την χώραν.

Εξ. 33,2 - καὶ συναποστελῶ τὸν ἄγγελόν μου πρὸ προσώπου σου, καὶ ἐκβαλεῖ τὸν Ἀμοῤῥαῖον καὶ Χετταῖον καὶ Φερεζαῖον καὶ Γεργεσαῖον καὶ Εὐαῖον καὶ Ἰεβουσαῖον καὶ Χαναναῖον.

Εξ. 33,2 - Μαζή σου, ως οδηγόν σου, θα στείλω τον άγγελόν μου έμπροσθέν σου, ο οποίος θα εκδιώξη τον Αμορραίον, τον Χετταίον, τον Φερεζαίον, τον Γεργεσαίον, τον Ευαίον, τον Ιεβουσαίον και τον Χαναναίον.

Εξ. 33,3 - καὶ εἰσάξω σε εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι· οὐ γὰρ μὴ συναναβῶ μετὰ σοῦ, διὰ τὸ λαὸν σκληροτράχηλόν σε εἶναι, ἵνα μὴ ἐξαναλώσω σε ἐν τῇ ὁδῷ.

Εξ. 33,3 - Θα εισαγάγω και θα εγκαταστήσω σε εις την γην της επαγγελίας, εις χώραν ρέουσαν γάλα και μέλι. Αλλά εγώ δεν θα ανεβώ μαζή σου, ισραηλιτικέ λαέ, διότι είσαι σκληροκάρδιος και ανυπότακτος, δια να μη σε εξολοθρεύσω καθ' οδόν, αν τυχόν και αμαρτήσης απέναντί μου”.

Εξ. 33,4 - καὶ ἀκούσας ὁ λαὸς τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο, κατεπένθησεν ἐν πενθικοῖς.

Εξ. 33,4 - Ακούσας ο λαός την βαρείαν αυτήν απόφασιν του Θεού κατελήφθη από πένθος και εφόρεσε τα ενδύματα του πένθους.

Εξ. 33,5 - καὶ εἶπε Κύριος τοῖς υἱοῖς Ἰσραήλ· ὑμεῖς λαὸς σκληροτράχηλος· ὁρᾶτε, μὴ πληγὴν ἄλλην ἐπάξω ἐγὼ ἐφ᾿ ὑμᾶς καὶ ἐξαναλώσω ὑμᾶς. νῦν οὖν ἀφέλεσθε τὰς στολὰς τῶν δοξῶν ὑμῶν καὶ τόν κόσμον, καὶ δείξω σοι ἃ ποιήσω σοι.

Εξ. 33,5 - Οταν επέρασε το πένθος των και εφόρεσαν πάλιν τας λαμπράς στολάς των λησμονήσαντες την αμαρτίαν των, είπεν ο Κυριος προς αυτούς· “σεις είσθε λαός σκληροτράχηλος, προσέχετε, μήπως και αμαρτήσετε πάλιν ενώπιόν μου και επιφέρω εναντίον σας άλλην τιμωρίαν και σας εξολοθρεύσω όλους. Τωρα, λοιπόν, βγάλετε από πάνω σας τας λαμπράς στολάς σας και τα κοσμήματα και θα σας δείξω όσα εγώ θα πράξω προς χάριν σας”.

Εξ. 33,6 - καὶ περιείλαντο οἱ υἱοὶ Ἰσραὴλ τὸν κόσμον αὐτῶν καὶ τὴν περιστολὴν ἀπὸ τοῦ ὄρους τοῦ Χωρήβ.

Εξ. 33,6 - Οι Ισραηλίται πράγματι εκεί στο όρος Χωρήβ έβγαλαν τα κοσμήματα και τας λαμπράς στολάς των.

Εξ. 33,7 - Καὶ λαβὼν Μωυσῆς τὴν σκηνὴν αὐτοῦ ἔπηξεν ἔξω τῆς παρεμβολῆς, μακρὰν ἀπὸ τῆς παρεμβολῆς, καὶ ἐκλήθη σκηνὴ μαρτυρίου· καὶ ἐγένετο, πᾶς ὁ ζητῶν Κύριον ἐξεπορεύετο εἰς τὴν σκηνὴν τὴν ἔξω τῆς παρεμβολῆς.

Εξ. 33,7 - Ο Μωϋσής επήρε την σκηνήν του και την έστησεν έως και μακράν από την κατασκήνωσιν των Εβραίων, και ωνομάσθη η σκηνή του,

σκηνή μαρτυρίου. Καθένας δέ, ο οποίος εζήτει να προσέλθη στον Κυριον, έβγαινε έξω από την κατασκήνωσιν και επήγαινε εις την σκηνήν του Μωϋσέως.

Εξ. 33,8 - ἡνίκα δ᾿ ἂν εἰσεπορεύετο Μωυσῆς εἰς τὴν σκηνὴν ἔξω τῆς παρεμβολῆς, εἱστήκει πᾶς ὁ λαὸς σκοπεύοντες ἕκαστος παρὰ τὰς θύρας τῆς σκηνῆς αὐτοῦ καὶ κατενοοῦσαν ἀπιόντος Μωυσῆ ἕως τοῦ εἰσελθεῖν αὐτὸν εἰς τὴν σκηνήν.

Εξ. 33,8 - Οταν ο Μωϋσής εισήρχετο εις την έξω από το στρατόπεδον των Εδραίων σκηνήν του, όλος ο ισραηλιτικός λαός, ο καθένας όρθιος κοντά εις την θύραν της σκηνής του, παρετήρει με σεβασμόν τον Μωϋσήν, καθώς αυτός αναχωρούσεν από το στρατόπεδον, έως ότου εισήρχετο εις την σκηνήν του.

Εξ. 33,9 - ὡς δ᾿ ἂν εἰσῆλθε Μωυσῆς εἰς τὴν σκηνήν, κατέβαινεν ὁ στῦλος τῆς νεφέλης, καὶ ἵστατο ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ ἐλάλει Μωυσῇ·

Εξ. 33,9 - Οταν δε εισήρχετο ο Μωϋσής εις την σκηνήν, κατέβαινεν ο στύλος της νεφέλης και ίστατο εις την θύραν της σκηνής του, ο δε Θεός ωμίλει εκεί προς τον Μωϋσήν.

Εξ. 33,10 - καὶ ἑώρα πᾶς ὁ λαὸς τὸν στῦλον τῆς νεφέλης ἑστῶτα ἐπὶ τῆς θύρας τῆς σκηνῆς, καὶ στάντες πᾶς ὁ λαὸς προσεκύνησαν ἕκαστος ἀπὸ τῆς θύρας τῆς σκηνῆς αὐτοῦ.

Εξ. 33,10 - Ολος δε ο ισραηλιτικός λαός έβλεπε τον στύλον της νεφέλης να ίσταται εις την θύραν της σκηνής του Μωϋσέως και γεμάτοι σεβασμόν όλοι προσεκύνουν ο καθένας από την θύραν της σκηνής του την νεφέλην αυτήν του Θεού.

Εξ. 33,11 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἐνώπιος ἐνωπίῳ, ὡς εἴ τις λαλήσει πρὸς τὸν ἑαυτοῦ φίλον. καὶ ἀπελύετο εἰς τὴν παρεμβολήν, ὁ δὲ θεράπων Ἰησοῦς υἱὸς Ναυῆ νέος οὐκ ἐξεπορεύετο ἐκ τῆς σκηνῆς.

Εξ. 33,11 - Εκεί ωμίληοεν ο Κυριος προς τον Μωϋσήν κατά τρόπον προσωπικόν και οικείον, όπως ομιλεί κανείς προς τον φίλον του. Οταν ο Μωϋσής, αναχωρών από την σκηνήν του, επεσκέπτετο το στρατόπεδον, ο Ιησούς, ο υιός του Ναυή, νέος που τον υπηρέτει, δεν εξήρχετο από την σκηνήν, αλλά έμενε μέσα εις αυτήν.

Εξ. 33,12 - Καὶ εἶπε Μωυσῆς πρὸς Κύριον· ἰδοὺ σύ μοι λέγεις· ἀνάγαγε τὸν λαὸν τοῦτον, σὺ δὲ οὐκ ἐδήλωσάς μοι, ὃν συναποστελεῖς μετ᾿ ἐμοῦ· σὺ δέ μοι εἶπας· οἶδά σε παρὰ πάντας, καὶ χάριν ἔχεις παρ᾿ ἐμοί.

Εξ. 33,12 - Είπε δε ο Μωϋσής προς τον Κυριον· “ιδού, συ μου λέγεις· Οδήγησε τον λαόν αυτόν. Αλλά συ δεν μου εφανέρωσες, ποίος είναι εκείνος, τον οποίον θα αποστείλης μαζή μου. Συ μου είπες· Γνωρίζω ότι συ είσαι από όλους τους ανθρώπους ο πλέον εκλεκτός και δι' αυτό έχεις την αγάπην μου και την εύνοιάν μου.

Εξ. 33,13 - εἰ οὖν εὕρηκα χάριν ἐναντίον σου, ἐμφάνισόν μοι σεαυτὸν γνωστῶς, ἵνα ἴδω σε, ὅπως ἂν ὦ εὑρηκὼς χάριν ἐναντίον σου, καὶ ἵνα γνῶ ὅτι λαός σου τὸ ἔθνος τὸ μέγα τοῦτο.

Εξ. 33,13 - Εάν λοιπόν ευρήκα χάριν ενώπιόν σου, φανέρωσε εις εμέ τον εαυτόν σου κατά ένα τρόπον αισθητόν, δια να σε ίδω με τα ίδια μου τα μάτια και έτσι να πεισθώ ότι έχω εύρει χάριν ενώπιόν σου και ότι το μέγα τούτο έθνος είναι λαός ιδικός σου".

Εξ. 33,14 - καὶ λέγει· αὐτὸς προπορεύσομαί σου καὶ καταπαύσω σε.

Εξ. 33,14 - Ο Κυριος του απήντησεν· "εγώ θα προπορευθώ ως οδηγός, θα σε οδηγήσω και θα σε αναπαύσω εις την γην της επαγγελίας".

Εξ. 33,15 - καὶ λέγει πρὸς αὐτόν· εἰ μὴ αὐτὸς σὺ συμπορεύῃ, μή με ἀναγάγῃς ἐντεῦθεν·

Εξ. 33,15 - Είπεν ο Μωϋσής προς τον Θεόν· "εάν συ ο ίδιος δεν συμπορευθής μαζή μου, μη με μετακινήσης από εδώ.

Εξ. 33,16 - καὶ πῶς γνωστὸν ἔσται ἀληθῶς, ὅτι εὕρηκα χάριν παρὰ σοί, ἐγώ τε καὶ ὁ λαός σου, ἀλλ᾽ ἢ συμπορευομένου σου μεθ᾽ ἡμῶν; καὶ ἐνδοξασθήσομαι ἐγώ τε καὶ ὁ λαός σου παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ τῆς γῆς ἐστι.

Εξ. 33,16 - Πως δε θα μάθω και θα πεισθώ απολύτως ότι εγώ και ο λαός σου έχομεν εύρει χάριν ενώπιόν σου, παρά μόνον όταν συ συμπορεύεσαι μαζή μας; Τοτε θα δοξασθώ εγώ και ο λαός σου περισσότερον από όλα τα έθνη, που υπάρχουν επί της γης".

Εξ. 33,17 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· καὶ τοῦτόν σοι τὸν λόγον, ὃν εἴρηκας, ποιήσω· εὕρηκας γὰρ χάριν ἐνώπιον ἐμοῦ, καὶ οἶδά σε παρὰ πάντας.

Εξ. 33,17 - Είπεν ο Κυριος προς τον Μωϋσήν· "και αυτό το αίτημά σου, το οποίον μου είπες, θα το πραγματοποιήσω. Θα συμπορευθώ μαζή σας, διότι έχεις εύρει χάριν ενώπιόν μου και σε γνωρίζω ως εκλεκτόν και άξιον της αγάπης μου περισσότερον από κάθε άλλον".

Εξ. 33,18 - καὶ λέγει· ἐμφάνισόν μοι σεαυτόν,

Εξ. 33,18 - Τοτε ο Μωϋσής του είπε· "δείξε εις εμέ τον εαυτόν σου".

Εξ. 33,19 - καὶ εἶπεν· ἐγὼ παρελεύσομαι πρότερός σου τῇ δόξῃ μου καὶ καλέσω τῷ ὀνόματί μου, Κύριος ἐναντίον σου· καὶ ἐλεήσω ὃν ἂν ἐλεῶ, καὶ οἰκτειρήσω ὃν ἂν οἰκτείρω.

Εξ. 33,19 - Ο Κυριος απήντησεν· "εγώ θα διέλθω και θα προχωρήσω εμπρός από σε με την θείαν δόξαν μου, θα αναγγείλω και θα ακούσης το όνομά μου "Κυριος είναι ενώπιόν σου". Εγώ ελεώ εκείνον τον οποίον θέλω να ελεήσω, λυπούμαι και συμπαθώ εκείνον που θέλω να συμπαθήσω, χωρίς κανείς να με υποχρεώνη προς τούτο".

Εξ. 33,20 - καὶ εἶπεν· οὐ δυνήσῃ ἰδεῖν τὸ πρόσωπόν μου· οὐ γὰρ μὴ ἴδῃ ἄνθρωπος τὸ πρόσωπόν μου καὶ ζήσεται.

Εξ. 33,20 - Και ο Θεός εξηκολούθησε· “δεν θα ημπορέσης να ίδης το πρόσωπόν μου· διότι κανείς άνθρωπος δεν ημπορεί να με αντικρύση εις όλην μου την δόξαν και να ζήση”.

Εξ. 33,21 - καὶ εἶπε Κύριος· ἰδοὺ τόπος παρ᾿ ἐμοί, στήσῃ ἐπὶ τῆς πέτρας·

Εξ. 33,21 - Και συνέχισεν ο Κυριος· “ιδού τόπος εδώ πλησίον. Στάσου όρθιος επάνω εις αυτόν τον βράχον.

Εξ. 33,22 - ἡνίκα δ᾿ ἂν παρέλθῃ ἡ δόξα μου, καὶ θήσω σε εἰς ὀπὴν τῆς πέτρας καὶ σκεπάσω τῇ χειρί μου ἐπὶ σέ, ἕως ἂν παρέλθω·

Εξ. 33,22 - Οταν διέρχεται η θεία μου δόξα, θα σε θέσω εις την οπήν του βράχου, θα σκεπάσω με το χέρι μου το πρόσωπόν σου, έως ότου περάσω.

Εξ. 33,23 - καὶ ἀφελῶ τὴν χεῖρα, καὶ τότε ὄψει τὰ ὀπίσω μου, τὸ δὲ πρόσωπόν μου οὐκ ὀφθήσεταί σοι.

Εξ. 33,23 - Θα αφαιρέσω το χέρι μου από το πρόσωπόν σου και θα με ίδης εκ των όπισθεν, αλλά το πρόσωπόν μου δεν θα το ίδης”.

## ΕΞΟΔΟΣ 34

Εξ. 34,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· λάξευσον σεαυτῷ δύο πλάκας λιθίνας, καθὼς καὶ αἱ πρῶται καὶ ἀνάβηθι πρός με εἰς τὸ ὄρος, καὶ γράψω ἐπὶ τῶν πλακῶν τὰ ῥήματα, ἃ ἦν ἐν ταῖς πλαξὶ ταῖς πρώταις, αἷς συνέτριψας.

Εξ. 34,1 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “κόψε συ ο ίδιος και πελέκησε δύο λιθίνας πλάκας, ομοίας προς τας προηγουμένας, άνεβα προς εμέ στο όρος Σινά και εγώ θα γράψω επάνω εις αυτάς τας πλάκας τας εντολάς, αι οποίαι ήσαν γραμμέναι εις τας πρώτας πλάκας, που συ συνέτριψες.

Εξ. 34,2 - καὶ γίνου ἕτοιμος εἰς τὸ πρωΐ καὶ ἀναβήσῃ ἐπὶ τὸ ὄρος τὸ Σινὰ καὶ στήσει μοι ἐκεῖ ἐπ᾿ ἄκρου τοῦ ὄρους.

Εξ. 34,2 - Γινε έτοιμος το πρωϊ, διότι θα ανεβής στο όρος Σινά και εκεί εις την κορυφήν του όρους θα σταθής όρθιος κοντά μου.

Εξ. 34,3 - καὶ μηδεὶς ἀναβήτω μετὰ σοῦ μηδὲ ὀφθήτω ἐν παντὶ τῷ ὄρει· καὶ τὰ πρόβατα καὶ βόες μὴ νεμέσθωσαν πλησίον τοῦ ὄρους ἐκείνου.

Εξ. 34,3 - Κανείς άλλος δεν θα ανεβή μαζή σου ούτε και θα κάμη την εμφάνισίν του εις κανένα σημείον του όρους. Και τα πρόβατα και τα βόδια να μη τα αφήσετε να βοσκήσουν πλησίον του όρους”.

Εξ. 34,4 - καὶ ἐλάξευσε δύο πλάκας λιθίνας, καθάπερ καὶ αἱ πρῶται· καὶ ὀρθρίσας Μωυσῆς ἀνέβη εἰς τὸ ὄρος τὸ Σινά, καθότι συνέταξεν αὐτῷ

Κύριος· καὶ ἔλαβε Μωυσῆς τὰς δύο πλάκας τὰς λιθίνας.

Εξ. 34,4 - Ο Μωϋσής επελέκησε δύο λιθίνας πλάκας κατά τον τύπον των προηγουμένων και εγερθείς λίαν πρωϊ ανέβη στο όρος Σινά, όπως τον είχε διατάξει ο Κυριος. Επήρε δε μαζή του και τας δύο λιθίνας πλάκας

Εξ. 34,5 - καὶ κατέβη Κύριος ἐν νεφέλῃ καὶ παρέστη αὐτῷ ἐκεῖ· καὶ ἐκάλεσε τῷ ὀνόματι Κυρίου.

Εξ. 34,5 - ο Κυριος κατέβη τότε δια νεφέλης στο όρος. Ο Μωϋσής εστάθη όρθιος πλησίον του και επεκαλέσθη το όνομα του Κυρίου.

Εξ. 34,6 - καὶ παρῆλθε Κύριος πρὸ προσώπου αὐτοῦ καὶ ἐκάλεσε· Κύριος ὁ Θεὸς οἰκτίρμων καὶ ἐλεήμων, μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός,

Εξ. 34,6 - Ο Κυριος επέρασεν εμπρός από τον Μωϋσέα και ηκούσθησαν τα λόγια· “Κυριος ο Θεός είναι οικτίρμων και ελεήμων, μακρόθυμος και πολυέλεος και αληθινός.

Εξ. 34,7 - καὶ δικαιοσύνην διατηρῶν καὶ ἔλεος εἰς χιλιάδας, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ οὐ καθαριεῖ τὸν ἔνοχον, ἐπάγων ἀνομίας πατέρων ἐπὶ τέκνα καὶ ἐπὶ τέκνα τέκνων, ἐπὶ τρίτην καὶ τετάρτην γενεάν.

Εξ. 34,7 - Εφαρμόζει και εκδηλώνει πάντοτε όλας τας αρετάς του, μάλιστα δε την αγάπην και το έλεός του εις χιλιάδας ανθρώπων, συγχωρών ανομίας, αδικίας και αμαρτίας εις κάθε μετανοούντα. Αλλά δεν απαλλάσσει από την ενοχήν και από την τιμωρίαν τον αμετανόητον αμαρτωλόν, εξαποστέλλει την δικαίαν τιμωρίαν στους αμετανοήτους, τιμωρών τα τέκνα δια τας αμαρτίας των πατέρων μέχρις ακόμη τρίτης και τετάρτης γενεάς” !

Εξ. 34,8 - καὶ σπεύσας Μωυσῆς, κύψας ἐπὶ τὴν γῆν προσεκύνησε

Εξ. 34,8 - Εσπευσεν ο Μωϋσής και κύψας προς την γην προσεκύνησε τον Θεόν,

Εξ. 34,9 - καὶ εἶπεν· εἰ εὕρηκα χάριν ἐνώπιόν σου, συμπορευθήτω ὁ Κύριός μου μεθ᾽ ἡμῶν· ὁ λαὸς γὰρ σκληροτράχηλός ἐστι, καὶ ἀφελεῖς σὺ τὰς ἁμαρτίας ἡμῶν καὶ τὰς ἀνομίας ἡμῶν, καὶ ἐσόμεθα σοί.

Εξ. 34,9 - και είπεν· “εάν έχω εύρει χάριν ενώπιόν σου, ας πορευθής συ, ο Κυριος μου, μαζή μας έως την γην της επαγγελίας. Διότι ο ισραηλιτικος λαός είναι σκληροκάρδιος και ανυπότακτος εις τας εντολάς σου. Συ όμως ως ελεήμων και μακρύθυμος θα συγχωρήσης τας αμαρτίας μας και τας ανομίας μας, και έτσι θα είμεθα πάλιν ιδικοί σου”.

Εξ. 34,10 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἰδοὺ ἐγὼ τίθημί σοι διαθήκην· ἐνώπιον παντὸς τοῦ λαοῦ σου ποιήσω ἔνδοξα, ἃ οὐ γέγονεν ἐν πάσῃ τῇ γῇ καὶ ἐν παντὶ ἔθνει, καὶ ὄψεται πᾶς ὁ λαός, ἐν οἷς εἶ σύ, τὰ ἔργα Κυρίου, ὅτι θαυμαστά ἐστιν, ἃ ἐγὼ ποιήσω σοι.

Εξ. 34,10 - Ο Κυριος είπε προς τον Μωϋσήν· "ιδού εγώ σου δίδω μίαν επίσημον υπόσχεσιν ενώπιον όλου του λαού σου θα κάμω έργα θαυμαστά, τα οποία δεν έγιναν έως τώρα εις όλην την γην και εις κανένα άλλο έθνος. Ολος δε αυτός ο λαός, στον οποίον και συ ανήκεις, θα ίδη τα έργα του Κυρίου ότι είναι άξια παντός θαυμασμού, αυτά τα οποία θα κάμω εγώ προς χάριν σου.

Εξ. 34,11 - πρόσεχε σὺ πάντα, ὅσα ἐγὼ ἐντέλλομαί σοι. ἰδοὺ ἐγὼ ἐκβάλλω πρὸ προσώπου ὑμῶν τὸν Ἀμοῤῥαῖον καὶ Χαναναῖον καὶ Φερεζαῖον καὶ Χετταῖον καὶ Εὐαῖον καὶ Γεργεσαῖον καὶ Ἰεβουσαῖον·

Εξ. 34,11 - Συ δε πρόσεξε όλα όσα εγώ σε διατάσσω. Ιδού εγώ θα εκδιώξω από εμπρός σας τον Αμορραίον, τον Χαναναίον, τον Φερεζαίον, τον Χετταίον, τον Ευαίον, τον Γεργεσαίον και τον Ιεβουσαίον.

Εξ. 34,12 - πρόσεχε σεαυτῷ, μή ποτε θῇς διαθήκην τοῖς ἐγκαθημένοις ἐπὶ τῆς γῆς, εἰς ἣν εἰσπορεύῃ εἰς αὐτήν, μή σοι γένηται πρόσκομμα ἐν ὑμῖν.

Εξ. 34,12 - Προσέχετε τον εαυτόν σας, μη τυχόν παρασυρθήτε και συνάψετε συμφωνίαν τινα με τους κατοίκους της χώρας, εις την οποίον θα εισέλθετε, δια να μη γίνη η πράξις σας αυτή πρόσκομμα στον δρόμον σας και αιτία της καταστροφής σας.

Εξ. 34,13 - τούς βωμοὺς αὐτῶν καθελεῖτε καὶ τάς στήλας αὐτῶν συντρίψετε καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε, καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε ἐν πυρί·

Εξ. 34,13 - Αντιθέτως θα κρημνίσετε τους βωμούς των, θα συντρίψετε τας ειδωλολατρικάς στήλας των, θα κόψετε από την ρίζαν τα ιερά των δάση και θα κατακαύσετε στο πυρ τα ξυλόγλυπτα αγάλματα των θεών των.

Εξ. 34,14 - οὐ γὰρ μὴ προσκυνήσητε θεοῖς ἑτέροις· ὁ γὰρ Κύριος ὁ Θεὸς ζηλωτὸν ὄνομα, Θεὸς ζηλωτής ἐστι.

Εξ. 34,14 - Δεν θα προσκυνήσετε άλλους θεούς, διότι Κυριος ο Θεός ονομάζεται ζηλωτής, είναι Θεός ζηλότυπος, θέλει δηλαδή δια τον εαυτόν του την αγάπην σας.

Εξ. 34,15 - μή ποτε θῇς διαθήκην τοῖς ἐγκαθημένοις ἐπὶ τῆς γῆς, καὶ ἐκπορνεύσωσιν ὀπίσω τῶν θεῶν αὐτῶν καὶ θύσωσι τοῖς θεοῖς αὐτῶν, καὶ καλέσωσί σε, καὶ φάγῃς τῶν αἱμάτων αὐτῶν,

Εξ. 34,15 - Ουδέποτε θα συνάψης συμφωνίαν με τους κατοίκους της Χαναάν, δια να μη παρασυρθούν οι Ισραηλίται οπίσω από τους θεούς εκείνων και εκτραπούν εις διαφθοράν και προσφέρουν θυσίας στους θεούς των και σας καλέσωσιν εκείνοι εις τα θρησκευτικά των συμπόσια και φάγετε από τα αίματα των θυσιών των.

Εξ. 34,16 - καὶ λάβῃς τῶν θυγατέρων αὐτῶν τοῖς υἱοῖς σου καὶ τῶν θυγατέρων σου δῷς τοῖς υἱοῖς αὐτῶν, καὶ ἐκπορνεύσωσιν αἱ θυγατέρες

σου ὀπίσω τῶν θεῶν αὐτῶν, καὶ ἐκπορνεύσωσιν οἱ υἱοί σου ὀπίσω τῶν θεῶν αὐτῶν.

Εξ. 34,16 - Δεν θα πάρετε δια τους υιούς σας συζύγους από τας θυγατέρας των και τας θυγατέρας σου δεν θα τας δώσης συζύγους εις τα τέκνα εκείνων, δια να μη παρασυρθούν αι θυγατέρες σου και εκτραπούν εις ανομήματα οπίσω των θεών εκείνων, δια να μη παρασυρθούν οι υιοί σου οπίσω των θεών εκείνων και εκτραπούν εις ανομήματα.

Εξ. 34,17 - καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσεις σεαυτῷ.

Εξ. 34,17 - Δεν θα κατασκευάσης θεούς χωνευτούς εις χυτήρια, δια να μη παρασυρθής εις την ειδωλολατρείαν.

Εξ. 34,18 - καὶ τὴν ἑορτὴν τῶν ἀζύμων φυλάξῃ· ἑπτὰ ἡμέρας φαγῇ ἄζυμα, καθάπερ ἐντέταλμαί σοι, εἰς τὸν καιρὸν ἐν μηνὶ τῶν νέων· ἐν γὰρ μηνὶ τῶν νέων ἐξῆλθες ἐξ Αἰγύπτου.

Εξ. 34,18 - Θα τηρήσης την εορτήν των αζύμων, την εορτήν του Πασχα. Επτά ημέρας θα τρώγης άζυμα, όπως εγώ σε διέταξα, κατά τον μήνα που συμπίπτει με τα νέα σιτηρά. Διότι κατά τον μήνα των νέων σιτηρών εξήλθατε από την Αίγυπτον.

Εξ. 34,19 - πᾶν διανοῖγον μήτραν ἐμοί, τὰ ἀρσενικά, πᾶν πρωτότοκον μόσχου καὶ πρωτότοκον προβάτου.

Εξ. 34,19 - Καθε πρωτογέννητον αρσενικό παιδί ανήκει εις εμέ, όπως και κάθε πρωτογέννητον προβάτου και μόσχου.

Εξ. 34,20 - καὶ πρωτότοκον ὑποζυγίου λυτρώσῃ προβάτῳ· ἐὰν δὲ μὴ λυτρώσῃ αὐτό, τιμὴν δώσεις. πᾶν πρωτότοκον τῶν υἱῶν σου λυτρώσῃ· οὐκ ὀφθήσῃ ἐνώπιόν μου κενός.

Εξ. 34,20 - Καθε πρωτότοκον όνου θα το ανταλλάξης με πρόβατον. Εάν δε δεν το ανταλλάξης θα καταβάλης εις χρήμα την αξίαν του. Δια κάθε όμως πρωτότοκον εκ των υιών σας θα καταβάλλετε ωρισμένον χρηματικόν ποσόν στον ναόν. Δεν θα εμφανίζεσαι στον ναόν με αδειανά τα χέρια. Κατι θα πρέπει να προσφέρης.

Εξ. 34,21 - ἓξ ἡμέρας ἐργᾷ, τῇ δὲ ἑβδόμῃ καταπαύσεις· τῷ σπόρῳ καὶ τῷ ἀμήτῳ κατάπαυσις.

Εξ. 34,21 - Εξ ημέρας θα εργάζεσαι, την δε εβδόμην ημέραν θα παύσης από τα έργα σου και θα αναπαυθής. Κατά την ημέραν αυτήν θα γίνεται επίσης ανάπαυσις από την σποράν και τον θερισμόν.

Εξ. 34,22 - καὶ ἑορτὴν ἑβδομάδων ποιήσεις μοι, ἀρχὴν θερισμοῦ πυροῦ, καὶ ἑορτὴν συναγωγῆς μεσοῦντος τοῦ ἐνιαυτοῦ.

Εξ. 34,22 - Θα τελής επίσης δι' εμέ την εορτήν των εβδομάδων, την Πεντηκοστήν, κατά την οποίαν αρχίζει ο θερισμός των σιτηρών, όπως επίσης και την εορτήν της συγκομιδής των καρπών κατά το μέσον του έτους (δηλαδή κατά Οκτώβριον). Εξ.

Εξ. 34,23 - τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐνώπιον Κυρίου τοῦ Θεοῦ Ἰσραήλ·

34,23 - Τρεις εποχάς κατά το διάστημα του έτους θα εμφανίζεται κάθε ανήρ Ισραηλίτης ενώπιον Κυρίου του Θεού του Ισραήλ.

Εξ. 34,24 - ὅταν γὰρ ἐκβάλω τὰ ἔθνη πρὸ προσώπου σου καὶ πλατύνω τὰ ὅριά σου, οὐκ ἐπιθυμήσει οὐδεὶς τῆς γῆς σου, ἡνίκα ἂν ἀναβαίνῃς ὀφθῆναι ἐναντίον Κυρίου τοῦ Θεοῦ σου τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ.

Εξ. 34,24 - Διότι, όταν εκδιώξω από εμπρός σου τα ειδωλολατρικά έθνη και μεγαλώσω τα όρια του κράτους σου, κανείς δεν θα επιθυμίση καν την κατάκτησιν της χώρας σου, εφ' όσον συ αναβαίνεις κατά τας τρεις αυτάς εορτάς του έτους, δια να παρουσιασθής ενώπιον του Θεού σου.

Εξ. 34,25 - οὐ σφάξεις ἐπὶ ζύμῃ αἷμα θυσιασμάτων μου, καὶ οὐ κοιμηθήσεται εἰς τὸ πρωῒ θύματα ἑορτῆς τοῦ πάσχα.

Εξ. 34,25 - Δεν θα προσφέρης εις εμέ το αίμα των θυσιών σου μετά ενζύμου άρτου και δεν θα μείνουν μέχρι της πρωΐας υπολείμματα από τας θυσίας της εορτής του Πασχα. Θα τρώγωνται κατά την εσπέραν.

Εξ. 34,26 - τὰ πρωτογεννήματα τῆς γῆς σου θήσεις εἰς τὸν οἶκον Κυρίου τοῦ Θεοῦ σου. οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ.

Εξ. 34,26 - Τα πρωτογεννήματα των αγρών σου θα τα προσφέρης στον οίκον Κυρίου του Θεού σου. Δεν θα μαγειρεύσης αρνί με το γάλα της μητρός του".

Εξ. 34,27 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· γράψον σεαυτῷ τὰ ῥήματα ταῦτα· ἐπὶ γὰρ τῶν λόγων τούτων τέθειμαί σοι διαθήκην καὶ τῷ Ἰσραήλ.

Εξ. 34,27 - Ο Κυριος είπε στον Μωϋσήν· "γράψε συ ο ίδιος τα λόγια μου αυτά. Διότι επί των λόγων μου αυτών συνάπτω συμψωνίαν με σε και με τον ισραηλιτικόν λαόν".

Εξ. 34,28 - καὶ ἦν ἐκεῖ Μωυσῆς ἐναντίον Κυρίου τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας· ἄρτον οὐκ ἔφαγε καὶ ὕδωρ οὐκ ἔπιε· καὶ ἔγραψεν ἐπὶ τῶν πλακῶν τὰ ῥήματα ταῦτα τῆς διαθήκης, τοὺς δέκα λόγους.

Εξ. 34,28 - Ο Μωϋσής έμενεν εκεί εις την κορυφήν του όρους Σινά τεσσαράκοντα ημερονύκτια. Ούτε άρτον έφαγεν ούτε ύδωρ έπιεν. Εγραψεν επάνω εις τας πλάκας τους λόγους αυτούς της συμφωνίας του Θεού και του Ισραήλ, τον Δεκάλογον.

Εξ. 34,29 - ὡς δὲ κατέβαινε Μωυσῆς ἐκ τοῦ ὄρους, καὶ αἱ δύο πλάκες ἐπὶ τῶν χειρῶν Μωυσῆ· καταβαίνοντος δὲ αὐτοῦ ἐκ τοῦ ὄρους, Μωυσῆς οὐκ ᾔδει ὅτι δεδόξασται ἡ ὄψις τοῦ χρώματος τοῦ προσώπου αὐτοῦ ἐν τῷ λαλεῖν αὐτὸν αὐτῷ.

Εξ. 34,29 - Οταν δε κατέβη ο Μωϋσής από το όρος εκρατούσε εις τα χέρια του τας δύο πλάκας. Καταβαίνων δε από το όρος δεν εγνώριζεν ότι το

πρόσωπόν του είχεν αποκτήσει κάποιαν θείαν λάμψιν, την οποίαν έλαβε καθώς ωμιλούσε προς αυτόν ο Θεός.

Εξ. 34,30 - καὶ εἶδεν Ἀαρὼν καὶ πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ τὸν Μωυσῆν καὶ ἦν δεδοξασμένη ἡ ὄψις τοῦ χρώματος τοῦ προσώπου αὐτοῦ, καὶ ἐφοβήθησαν ἐγγίσαι αὐτῷ.

Εξ. 34,30 - Ο Ααρών όμως και όλοι οι πρεσβύτεροι του ισραηλιτικού λαού είδον ότι η όψις του προσώπου του Μωϋσέως ήτο λαμπρά και ακτινοβόλος και εφοβήθησαν να τον πλησιάσουν.

Εξ. 34,31 - καὶ ἐκάλεσεν αὐτοὺς Μωυσῆς, καὶ ἐπεστράφησαν πρὸς αὐτὸν Ἀαρὼν καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς, καὶ ἐλάλησεν αὐτοῖς Μωυσῆς.

Εξ. 34,31 - Ο Μωϋσής τους εκάλεσε και επλησίασαν προς αυτόν ο Ααρών και όλοι οι άρχοντες του λαού, προς τους οποίους και ωμίλησεν ο Μωϋσής.

Εξ. 34,32 - καὶ μετὰ ταῦτα προσῆλθον πρὸς αὐτὸν πάντες οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐνετείλατο αὐτοῖς πάντα, ὅσα ἐνετείλατο Κύριος πρὸς αὐτὸν ἐν τῷ ὄρει Σινά.

Εξ. 34,32 - Κατόπιν δε ήλθον προς τον Μωϋσήν όλοι οι Ισραηλίται και ανεκοίνωσεν εις αυτούς όλα όσα είχε διατάξει ο Κυριος προς αυτόν στο όρος Σινά.

Εξ. 34,33 - καὶ ἐπειδὴ κατέπαυσε λαλῶν πρὸς αὐτούς, ἐπέθηκεν ἐπὶ τὸ πρόσωπον αὐτοῦ κάλυμμα.

Εξ. 34,33 - Οταν έπαυσε να ομιλή προς αυτούς, έθεσε κάλυμμα στο πρόσωπόν του.

Εξ. 34,34 - ἡνίκα δ᾿ ἂν εἰσεπορεύετο Μωυσῆς ἔναντι Κυρίου λαλεῖν αὐτῷ, περιῃρεῖτο τὸ κάλυμμα ἕως τοῦ ἐκπορεύεσθαι. καὶ ἐξελθὼν ἐλάλει πᾶσι τοῖς υἱοῖς Ἰσραὴλ ὅσα ἐνετείλατο αὐτῷ Κύριος,

Εξ. 34,34 - Οσες όμως φορές ο Μωϋσής προσήρχετο ενώπιον του Κυρίου, δια να ομιλήση προς αυτόν, αφαιρούσε το κάλυμμα του προσώπου μέχρι της στιγμής, που εξήρχετο από τον Κυριον. Εξερχόμενος δε ανεκοίνωνε εις όλους τους Ισραηλίτας, όσας εντολάς έδιδεν εις αυτόν ο Θεός.

Εξ. 34,35 - καὶ εἶδον οἱ υἱοὶ Ἰσραὴλ τὸ πρόσωπον Μωυσέως ὅτι δεδόξασται, καὶ περιέθηκε Μωυσῆς κάλυμμα ἐπὶ τὸ πρόσωπον ἑαυτοῦ, ἕως ἂν εἰσέλθῃ συλλαλεῖν αὐτῷ.

Εξ. 34,35 - Εβλεπαν οι Ισραηλίται ότι το πρόσωπον του Μωϋσέως ακτινοβολούσε. Ο δε Μωϋσής περιέβαλλε με κάλυμμα το πρόσωπόν του, μέχρις ότου επέστρεφε προς τον Κυριον, δια να συνομιλή με αυτόν.

ΕΞΟΔΟΣ 35

Εξ. 35,1 - Καὶ συνήθροισε Μωυσῆς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ καὶ εἶπεν· οὗτοι οἱ λόγοι, οὓς εἶπε Κύριος ποιῆσαι αὐτούς.
Εξ. 35,1 - Συνεκέντρωσεν ο Μωϋσής όλον τον λαόν των Ισραηλιτών και είπεν· “αυτοί είναι οι λόγοι, τους οποίους διέταξεν ο Θεός να εφαρμόζωμεν·
Εξ. 35,2 - ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ κατάπαυσις, ἅγια σάββατα, ἀνάπαυσις Κυρίῳ· πᾶς ὁ ποιῶν ἔργον ἐν αὐτῇ τελευτάτω.
Εξ. 35,2 - Εξ ημέρας θα εργάζεσθε, κατά δε την ημέραν την εβδόμη θα καταπαύετε τας εργασίας σας, διότι αυτή θα είναι άγιον Σαββατον, ανάπαυσις χάριν του Κυρίου. Εκείνος δε ο οποίος θα εργασθή κατ' αυτήν, θα τιμωρηθή με θάνατον.
Εξ. 35,3 - οὐ καύσετε πῦρ ἐν πάσῃ κατοικίᾳ ὑμῶν τῇ ἡμέρᾳ τῶν σαββάτων· ἐγὼ Κύριος.
Εξ. 35,3 - Δεν θα ανάψετε φωτιά εις καμμίαν από τας κατοικίας σας κατά την ημέραν του Σαββάτου. Εγώ είμαι ο Κυριος, που διατάσσω”.
Εξ. 35,4 - Καὶ εἶπε Μωυσῆς πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγων· τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε Κύριος λέγων·
Εξ. 35,4 - Ο Μωϋσής είπε και αυτά ακόμη προς όλον το πλήθος των Ισραηλιτών· “αυτό, ομιλών προς εμέ, διέταξεν ο Κυριος·
Εξ. 35,5 - λάβετε παρ᾿ ὑμῶν αὐτῶν ἀφαίρεμα Κυρίῳ· πᾶς ὁ καταδεχόμενος τῇ καρδίᾳ οἴσουσι τὰς ἀπαρχὰς Κυρίῳ, χρυσίον, ἀργύριον, χαλκόν,
Εξ. 35,5 - Αφαιρέσατε από τον εαυτόν σας και συλλέξατε δια τον Κυριον αφιερώματα. Εκαστος κατά την ελευθέραν αυτού βούλησιν θα προσφέρη προς τον Κυριον τας δωρεάς του, χρυσόν, άργυρον, χαλκόν,
Εξ. 35,6 - ὑάκινθον, πορφύραν, κόκκινον διπλοῦν διανενησμένον καὶ βύσσον κεκλωσμένην καὶ τρίχας αἰγείας
Εξ. 35,6 - ύφασμα βαμμένον κυανούν, βαθέως ερυθρόν, κόκκινον, στριμμένον λινόν ύφασμα, τρίχας αιγών,
Εξ. 35,7 - καὶ δέρματα κριῶν ἠρυθροδανωμένα καὶ δέρματα ὑακίνθινα καὶ ξύλα ἄσηπτα.
Εξ. 35,7 - δέρματα κριών βαμμένα κόκκινα με ερυθρόδανον, δέρματα κυανά και ξύλα που δεν σαπίζουν.
Εξ. 35,8 - καὶ λίθους σαρδίου καὶ λίθους εἰς τὴν γλυφὴν εἰς τὴν ἐπωμίδα καὶ τὸν ποδήρη.
Εξ. 35,8 - Επίσης θα προσφέρετε πολυτίμους λίθους σαρδίου και άλλους πολυτίμους λίθους, δια να σκαλισθούν επάνω των ονόματα και χρησιμοποιηθούν δια την επωμίδα και τον ποδήρη χιτώνα.

Εξ. 35,9 - καὶ πᾶς σοφὸς τῇ καρδίᾳ ἐν ὑμῖν ἐλθὼν ἐργαζέσθω πάντα, ὅσα συνέταξε Κύριος·

Εξ. 35,9 - Καθε ευφυής κατά την διάνοιαν και ικανός εργάτης από σας ας έλθη να εργασθή δι' όλα τα ιερά σκεύη και έργα που διέταξεν ο Κυριος.

Εξ. 35,10 - τὴν σκηνὴν καὶ τὰ παραρύματα καὶ τὰ κατακαλύμματα καὶ τά διατόνια καὶ τοὺς μοχλοὺς καὶ τοὺς στύλους

Εξ. 35,10 - Δηλαδή δια το στήσιμο της Σκηνής, δια τα δερμάτινα και τα τρίχινα και από κλωστήν υφασμένα καλύμματα της Σκηνής, δια τας δοκούς της οροφής, δια τους μοχλούς και τους στύλους,

Εξ. 35,11 - καὶ τὴν κιβωτὸν τοῦ μαρτυρίου καὶ τοὺς ἀναφορεῖς αὐτῆς καὶ τὸ ἱλαστήριον αὐτῆς καὶ τὸ καταπέτασμα

Εξ. 35,11 - δια την Κιβωτόν του Μαρτυρίου, τους αναφοφορείς και το ιλαστήριον αυτής, δια το καταπέτασμα,

Εξ. 35,12 - καὶ τὰ ἱστία τῆς αὐλῆς καὶ τοὺς στύλους αὐτῆς

Εξ. 35,12 - δια τα παραπετάσματα της αυλής και τους στύλους αυτής,

Εξ. 35,13 - καὶ τοὺς λίθους τοὺς τῆς σμαράγδου

Εξ. 35,13 - τους πολύτιμους λίθους του σμαράγδου,

Εξ. 35,14 - καὶ τὸ θυμίαμα καὶ τὸ ἔλαιον τοῦ χρίσματος

Εξ. 35,14 - το θυμίαμα του ναού και το δια την χρίσιν ιερόν έλαιον,

Εξ. 35,15 - καὶ τὴν τράπεζαν καὶ πάντα τὰ σκεύη αὐτῆς

Εξ. 35,15 - δια την τράπεζαν και όλα τα σκεύη αυτής,

Εξ. 35,16 - καὶ τὴν λυχνίαν τοῦ φωτὸς καὶ πάντα τὰ σκεύη αὐτῆς

Εξ. 35,16 - την γρυσήν επτάφωτον λυχνίαν και όλα τα σκεύη της,

Εξ. 35,17 - καὶ τὸ θυσιαστήριον καὶ πάντα τὰ σκεύη αὐτοῦ

Εξ. 35,17 - το θυσιαστήριον των ολοκαυτωμάτων και όλα τα εξαρτήματά του,

Εξ. 35,18 - καὶ τὰς στολὰς τὰς ἁγίας Ἀαρὼν τοῦ ἱερέως καὶ τὰς στολάς, ἐν αἷς λειτουργήσουσιν ἐν αὐταῖς,

Εξ. 35,18 - τα ιερά άμφια του αρχιερέως Ααρών, και τας ιερατικάς στολάς των υιών του, με τας οποίας θα λειτουργούν,

Εξ. 35,19 - καὶ τοὺς χιτῶνας τοῖς υἱοῖς Ἀαρὼν τῆς ἱερατείας καὶ τὸ ἔλαιον τοῦ χρίσματος καὶ τὸ θυμίαμα τῆς συνθέσεως.

Εξ. 35,19 - δια τους ιερατικούς χιτώνας των υιών Ααρών, δια το προς χρίσιν άγιον έλαιον και δια το σύνθετον από πολλάς ευώδεις ουσίας θυιμίαμα”.

Εξ. 35,20 - καὶ ἐξῆλθε πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ ἀπὸ Μωυσῆ

Εξ. 35,20 - Ολον τότε το πλήθος των υιών Ισραήλ, όταν ήκουσαν αυτά, ανεχώρησαν από τον τόπον, όπου ίστατο ο Μωϋσής, δια να μεταβούν και φέρουν τα αφιερώματα.

Εξ. 35,21 - καὶ ἤνεγκαν ἕκαστος, ὧν ἔφερεν ἡ καρδία αὐτῶν, καὶ ὅσοις ἔδοξε τῇ ψυχῇ αὐτῶν, ἤνεγκαν ἀφαίρεμα Κυρίῳ εἰς πάντα τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ εἰς πάντα τὰ κάτεργα αὐτῆς, καὶ εἰς πάσας τὰς στολὰς τοῦ ἁγίου.

Εξ. 35,21 - Επιστρέψαντες δε έφερεν ο καθένας κατά την διάθεσιν της καρδίας του όσα ενόμισε καλόν ως προσφοράν προς τον Κυριον, δι' όλα τα έργα της Σκηνής του Μαρτυρίου, δι' όλα τα εξαρτήματα αυτής και δι' όλας τας ιερατικάς στολάς.

Εξ. 35,22 - καὶ ἤνεγκαν οἱ ἄνδρες παρὰ τῶν γυναικῶν, πᾶς ᾧ ἔδοξε τῇ διανοίᾳ, ἤνεγκαν σφραγῖδας καὶ ἐνώτια καὶ δακτυλίους καὶ ἐμπλόκια καὶ περιδέξια, πᾶν σκεῦος χρυσοῦν, καὶ πάντες ὅσοι ἤνεγκαν ἀφαιρέματα χρυσίου Κυρίῳ.

Εξ. 35,22 - Οι άνδρες έλαβον από τας γυναίκας των και έφεραν ο,τι ο καθένας εσκέφθη. Εφεραν σφραγίδας, σκουλαρίκια, δακτυλίδια, κοσμήματα γυναικείας κόμης, βραχιόλια, κάθε χρυσούν κόσμημα. Ολοι όσοι προσέφεραν, προσέφεραν αφιερώματα χρυσού δια τον Κυριον.

Εξ. 35,23 - καὶ παρ᾿ ᾧ εὑρέθη βύσσος καὶ δέρματα ὑακίνθινα καὶ δέρματα κριῶν ἠρυθροδανωμένα, ἤνεγκαν.

Εξ. 35,23 - Αλλά και καθένας ο οποίος είχε λινόν ύφασμα, δέρματα χρώματος κυανού, δέρματα κριών βαμμένα με ερυθρόδανον, τα προσέφεραν.

Εξ. 35,24 - καὶ πᾶς ὁ ἀφαιρῶν ἀφαίρεμα, ἤνεγκαν ἀργύριον καὶ χαλκόν, τὰ ἀφαιρέματα Κυρίῳ, καὶ παρ᾿ οἷς εὑρέθη ξύλα ἄσηπτα εἰς πάντα τὰ ἔργα τῆς παρασκευῆς ἤνεγκαν.

Εξ. 35,24 - Καθένας, που ηδύνατο να δώση κάποιαν προσφοράν αργυρίου και χαλκού, έδωσεν αυτά ως αφιέρωμα στον Κυριον. Οσοι είχαν ξύλα άσηπτα τα προσέφεραν δια τα έργα της κατασκευής.

Εξ. 35,25 - καὶ πᾶσα γυνὴ σοφὴ τῇ διανοίᾳ ταῖς χερσὶ νήθειν ἤνεγκαν νενησμένα, τὴν ὑάκινθον καὶ τὴν πορφύραν καὶ τὸ κόκκινον καὶ τὴν βύσσον·

Εξ. 35,25 - Καθε δε γυναίκα, συνετή και ικανή να γνέθη με τα χέρια, έφερε νήματα γνεσμένα και βαμμένα κυανά, βαθέως ερυθρά και κόκκινα, όπως επίσης και λινά λευκά.

Εξ. 35,26 - καὶ πᾶσαι αἱ γυναῖκες, αἷς ἔδοξε τῇ διανοίᾳ αὐτῶν ἐν σοφίᾳ, ἔνησαν τὰς τρίχας τὰς αἰγείας.

Εξ. 35,26 - Ολαι αι γυναίκες αι συνεταί και ικαναί έκλωσαν εις νήματα τας τρίχας των αιγών.

Εξ. 35,27 - καὶ οἱ ἄρχοντες ἤνεγκαν τοὺς λίθους τῆς σμαράγδου καὶ τοὺς λίθους τῆς πληρώσεως εἰς τὴν ἐπωμίδα καὶ τὸ λογεῖον

Εξ. 35,27 - Οι άρχοντες των Ισραηλιτών προσέφεραν πολυτίμους λίθους σμαράγδου και άλλους πολυτίμους λίθους δια τον απαρτισμόν της επωμίδος και του Λογείου,

Εξ. 35,28 - καὶ τὰς συνθέσεις, καὶ εἰς τὸ ἔλαιον τῆς χρίσεως καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος.

Εξ. 35,28 - και δια τας συνδέσεις αυτών. Προσέφεραν ακόμη τα υλικά δια την κατασκευήν του ιερού, έλαιον προς χρίσιν, και αρωματικάς ύλας δια την σύνθεσιν του θυμιάματος.

Εξ. 35,29 - καὶ πᾶς ἀνὴρ καὶ γυνή, ὧν ἔφερεν ἡ διάνοια αὐτῶν εἰσελθόντας ποιεῖν πάντα τὰ ἔργα, ὅσα συνέταξε Κύριος ποιῆσαι αὐτὰ διά Μωυσῆ, ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ ἀφαίρεμα Κυρίῳ.

Εξ. 35,29 - Καθε ανήρ και κάθε γυνή από τους Ισραηλίτας, των οποίων η καρδία επόθει να εισφέρουν εις την πραγιματοποίησιν όλων των έργων, που ο Θεός δια του Μωϋσέως διέταξε, προσέφερε το αφιέρωμά του στον Κυριον.

Εξ. 35,30 - Καὶ εἶπε Μωυσῆς τοῖς υἱοῖς Ἰσραήλ· ἰδοὺ ἀνακέκληκεν ὁ Θεὸς ἐξ ὀνόματος τὸν Βεσελεὴλ τὸν τοῦ Οὐρίου τὸν Ὤρ, ἐκ τῆς φυλῆς Ἰούδα,

Εξ. 35,30 - Είπεν ο Μωϋσής στους Ισραηλίτας· “ιδού, ο ίδιος ο Θεός εκάλεσεν ονομαστικώς τον Βεσελεήλ, υιόν του Ουρίου, έγγονον του Ωρ από την φυλήν του Ιούδα·

Εξ. 35,31 - καὶ ἐνέπλησεν αὐτὸν πνεῦμα θεῖον σοφίας καὶ συνέσεως καὶ ἐπιστήμης πάντων

Εξ. 35,31 - και εγέμισεν αυτόν με θείον Πνεύμα σοφίας και συνέσεως και αρτίας γνώσεως όλων των έργων,

Εξ. 35,32 - ἀρχιτεκτονεῖν κατὰ πάντα τὰ ἔργα τῆς ἀρχιτεκτονίας, ποιεῖν τὸ χρυσίον καὶ τὸ ἀργύριον καὶ τὸν χαλκὸν

Εξ. 35,32 - ώστε να είναι αυτός αρχιτέκτων εις όλα τα έργα της αρχιτεκτονικής, να έχη την ικανότητα κατεργασίας του χρυσού, του αργύρου και του χαλκού,

Εξ. 35,33 - καὶ λιθουργῆσαι τὸν λίθον καὶ κατεργάζεσθαι τὰ ξύλα καὶ ποιεῖν ἐν παντὶ ἔργῳ σοφίας·

Εξ. 35,33 - να πελεκά τον λίθον, να κατεργάζεται τα ξύλα και να κάμνη κάθε σοφόν έργον.

Εξ. 35,34 - καὶ προβιβάσαι γε ἔδωκεν ἐν τῇ διανοίᾳ αὐτῷ τε καὶ τῷ Ἐλιὰβ τῷ τοῦ Ἀχισαμάχ, ἐκ φυλῆς Δάν.

Εξ. 35,34 - Τον κατέστησεν ικανόν να διδάσκη και άλλους, όπως επίσης και τον βοηθόν αυτού τον Ελιάβ, τον υιόν του Αχισαμάχ από την φυλήν Δαν.

Εξ. 35,35 - καὶ ἐνέπλησεν αὐτοὺς σοφίας, συνέσεως, διανοίας, πάντα συνιέναι ποιῆσαι τὰ ἔργα τοῦ ἁγίου καὶ τὰ ὑφαντὰ καὶ ποικιλτὰ ὑφᾶναι τῷ κοκκίνῳ καὶ τῇ βύσσῳ, ποιεῖν πᾶν ἔργον ἀρχιτεκτονίας ποικιλίας.

Εξ. 35,35 - Εγέμισεν αυτούς με σοφίαν και σύνεσιν και νουν φωτισμένον, δια να είναι εις θέσιν να κάμνουν όλα τα έργα της Σκηνής του Μαρτυρίου, και τα υφαντά, ακόμη δε να υφαίνουν κεντητά υφάσματα με ερυθρά νήματα και με κλωστάς λινάς, και γενικώς να συνθέτουν κάθε έντεχνον έργον.

## ΕΞΟΔΟΣ 36

Εξ. 36,1 - Καὶ ἐποίησε Βεσελεὴλ καὶ Ἐλιὰβ καὶ πᾶς σοφὸς τῇ διανοίᾳ, ᾧ ἐδόθη σοφία καὶ ἐπιστήμη ἐν αὐτοῖς συνιέναι ποιεῖν πάντα τὰ ἔργα κατὰ τὰ ἅγια καθήκοντα, κατὰ πάντα ὅσα συνέταξε Κύριος.

Εξ. 36,1 - Ειργάσθη ο Βεσελεήλ, και ο Ελιάβ και κάθε Ισραηλίτης με εφευρετικήν διάνοιαν, στους οποίους ο Θεός έδωσε σοφίαν και επιστήμην, οστε να εμπνέωνται και να εκτελούν όλα τα έργα που εταίριαζαν εις τα άγια εκείνα ιδρύματα, να κάμνουν όλα όσα διέταξεν ο Κυριος.

Εξ. 36,2 - καὶ ἐκάλεσε Μωυσῆς Βεσελεὴλ καὶ Ἐλιὰβ καὶ πάντας τοὺς ἔχοντας τὴν σοφίαν, ᾧ ἔδωκεν ὁ Θεὸς ἐπιστήμην ἐν τῇ καρδίᾳ, καὶ πάντας τοὺς ἑκουσίως βουλομένους προσπορεύεσθαι πρὸς τὰ ἔργα, ὥστε συντελεῖν αὐτά,

Εξ. 36,2 - Ο Μωϋσής εκάλεσε τον Βεσελεήλ, τον Ελιάβ και καθένα που είχε ειδικήν ικανότητα, στον οποίον ο Θεός έδωσε σοφίαν δια τα έργα εκείνα, εκάλεσεν όλους όσοι εκουσίως προσεφέρθησαν να συνεργασθούν εις αποπεράτωσιν του έργου.

Εξ. 36,3 - καὶ ἔλαβον παρὰ Μωυσῆ πάντα τὰ ἀφαιρέματα, ἃ ἤνεγκαν οἱ υἱοὶ Ἰσραὴλ εἰς πάντα τὰ ἔργα τοῦ ἁγίου ποιεῖν αὐτά, καὶ αὐτοὶ προσεδέχοντο ἔτι τὰ προσφερόμενα παρὰ τῶν φερόντων τὸ πρωΐ.

Εξ. 36,3 - Ελαβον αυτοί από τον Μωϋσήν όλα τα αφιερώματα των υιών Ισραήλ, δια να κάμουν τα έργα της Σκηνής του Μαρτυρίου. Εκάστην δε πρωΐαν εδέχοντο και νέα αφιερώματα από τους ανθρώπους, οι οποίοι τα προσέφεραν.

Εξ. 36,4 - καὶ παρεγίνοντο πάντες οἱ σοφοὶ οἱ ποιοῦντες τὰ ἔργα τοῦ ἁγίου, ἕκαστος κατὰ τὸ αὐτοῦ ἔργον, ὃ εἰργάζοντο αὐτοί,

Εξ. 36,4 - Ολοι οι ικανοί εργάται, ο καθένας εις την ειδικότητα αυτού, προσήλθον δια το έργα της Σκηνής του Μαρτυρίου,

Εξ. 36,5 - καὶ εἶπαν πρὸς Μωυσῆν· ὅτι πλῆθος φέρει ὁ λαὸς κατὰ τὰ ἔργα, ὅσα συνέταξε Κύριος ποιῆσαι.

Εξ. 36,5 - και είπαν προς τον Μωϋσήν, ότι ο λαός προσφέρει δια τα έργα, τα οποία διέταξεν ο Κυριος πολλά αφιερώματα, περισσότερα από όσα χρειάζονται.

Εξ. 36,6 - καὶ προσέταξε Μωυσῆς καὶ ἐκήρυξεν ἐν τῇ παρεμβολῇ λέγων· ἀνὴρ καὶ γυνὴ μηκέτι ἐργαζέσθωσαν εἰς τὰς ἀπαρχὰς τοῦ ἁγίου· καὶ

ἐκωλύθη ὁ λαὸς ἔτι προσφέρειν.
Εξ. 36,6 - Τοτε ο Μωϋσής με κήρυκα διεκήρυξεν εις την κατασκήνωσιν λέγων· “οι άνδρες και αι γυναίκες, να σταματήσουν πλέον την προσφοράν αφιερωμάτων προς συγκρότησιν της Σκηνής του Μαρτυρίου”. Ετσι δε ημποδίσθη ο λαός και έπαυσε να προσφέρη άλλα αφιερώματα.
Εξ. 36,7 - καὶ τὰ ἔργα ἦν αὐτοῖς ἱκανὰ εἰς τὴν κατασκευὴν ποιῆσαι, καὶ προσκατέλιπον.
Εξ. 36,7 - Δια τα έργα, που έμελλαν να γίνουν, ήσαν αρκετά τα προσφερθέντα αφιερώματα, και μάλιστα επερίσσευσαν.
Εξ. 36,8 - Καὶ ἐποίησε πᾶς σοφὸς ἐν τοῖς ἐργαζομένοις (Κεφ. ΛΘ ,1—) τὰς στολὰς τῶν ἁγίων, αἵ εἰσιν Ἀαρὼν τῷ ἱερεῖ, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.
Εξ. 36,8 - Ο πλέον σοφός και ικανός καλλιτέχνης από τους εργάτας ανέλαβε και κατεσκεύασε τας ιερατικάς στολάς του αρχιερέως Ααρών, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.
Εξ. 36,9 - καὶ ἐποίησε τὴν ἐπωμίδα ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης.
Εξ. 36,9 - Κατεσκεύασε, δηλαδή, την επωμίδα από χρυσά νήματα, από ύφασμα χρώματος κυανού, βαθέως ερυθρού και κοκκίνου. Εχρησιμοποίησεν επίσης και ύφασμα από στριμμένον λινόν.
Εξ. 36,10 - καὶ ἐτμήθη τὰ πέταλα τοῦ χρυσίου τρίχες, ὥστε συνυφᾶναι σὺν τῇ ὑακίνθῳ καὶ τῇ πορφύρᾳ καὶ σὺν τῷ κοκκίνῳ τῷ διανενησμένῳ καὶ τῇ βύσσῳ τῇ κεκλωσμένῃ, ἔργον ὑφαντὸν ἐποίησαν αὐτό·
Εξ. 36,10 - Εκοψε δια την επωμίδα και ελέπτυνε φύλλα χρυσού εις τρίχας, ώστε να συνυφανθούν αυταί με το λινόν ύφασμα, χρώματος κυανού, βαθέως ερυθρού και κοκκίνου, κλωσμένου και στριμμένου· έργον υφαντόν ήτο αυτό που έκαμαν.
Εξ. 36,11 - ἐπωμίδας συνεχούσας ἐξ ἀμφοτέρων τῶν μερῶν, ἔργον ὑφαντὸν εἰς ἄλληλα συμπεπλεγμένον καθ᾿ ἑαυτὸ
Εξ. 36,11 - Κατεσκεύασαν τας επωμίδας, δύο υφάσματα, ώστε να πίπτουν έμπροσθεν και όπισθεν των ώμων, συνδεδεμένα μεταζύ των με ταινίας.
Εξ. 36,12 - ἐξ αὐτοῦ ἐποίησαν κατὰ τὴν αὐτοῦ ποίησιν ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.
Εξ. 36,12 - Τα τεμάχια αυτά είχον κατασκευασθή εκ της αυτής ύλης, δηλαδή με χρυσά νήματα, με νήματα λινού κυανά, πορφυρά, κόκκινα με κλωστάς στριμμένας, όπως είχε διατάξει ο Κυριος.
Εξ. 36,13 - καὶ ἐποίησαν ἀμφοτέρους τοὺς λίθους τῆς σμαράγδου συμπεπορπημένους καὶ περισεσιαλωμένους χρυσίῳ, γεγλυμμένους καὶ

ἐκκεκολαμμένους ἐγκόλαμμα σφραγῖδος ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραήλ·

Εξ. 36,13 - Εκαμαν και τους δύο λίθους του σμαράγδου να κουμβώνουν με πόρπην επιχρυσωμένους, λείους, επί των οποίων είχον σκαλίσει κατά τρόπον ανάγλυφον, όπως εις σφραγίδα, τα ονόματα των υιών Ιακώβ.

Εξ. 36,14 - καὶ ἐπέθηκεν αὐτοὺς ἐπὶ τοὺς ὤμους τῆς ἐπωμίδος, λίθους μνημοσύνου τῶν υἱῶν Ἰσραήλ, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 36,14 - Ετοποθέτησεν αυτούς στους ωμούς της επωμίδος, δια να ενθυμήται ο Θεός τας φυλάς του Ισραήλ, όπως ο ίδιος είχε διατάξει στον Μωϋσήν.

Εξ. 36,15 - Καὶ ἐποίησαν λογεῖον, ἔργον ὑφαντὸν ποικιλίᾳ κατὰ τὸ ἔργον τῆς ἐπωμίδος ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου διανενησμένου καὶ βύσσου κεκλωσμένης·

Εξ. 36,15 - Κατεσκεύασαν έπειτα το Λογείον, υφαντόν κεντητόν, επεξειργασμένον, όπως ήτο και η επωμίς, με χρυσά νήματα συνυφασμένα με λινά στριμμένα νήματα χρώματος κυανού και βαθέως ερυθρού και κοκκίνου.

Εξ. 36,16 - τετράγωνον διπλοῦν ἐποίησαν τὸ λογεῖον, σπιθαμῆς τὸ μῆκος καὶ σπιθαμῆς τὸ εὖρος, διπλοῦν.

Εξ. 36,16 - Διπλωνόμενον εις δύο το Λογείον είχε σχήμα τετράγωνον μιας σπιθαμής το μήκος και μιας σπιθαμής το πλάτος.

Εξ. 36,17 - καὶ συνυφάνθη ἐν αὐτῷ ὕφασμα κατάλιθον τετράστιχον· στίχος λίθων, σάρδιον καὶ τοπάζιον καὶ σμάραγδος, ὁ στίχος ὁ εἷς·

Εξ. 36,17 - Με αυτό συνυφάνθη και ύφασμα, γεμάτο από πολυτίμους λίθους εις τέσσαρας σειράς. Η πρώτη σειρά των πολυτίμων λίθων ήσαν· Σαρδιον, τοπάζιον και σμάραγδος.

Εξ. 36,18 - καὶ ὁ στίχος ὁ δεύτερος, ἄνθραξ καὶ σάπφειρος καὶ ἴασπις·

Εξ. 36,18 - Η δευτέρα σειρά ήτο· Ανθραξ πολύτιμος, σάπφειρος και ίασπις.

Εξ. 36,19 - καὶ ὁ στίχος ὁ τρίτος λιγύριον καὶ ἀχάτης καὶ ἀμέθυστος·

Εξ. 36,19 - Η τρίτη σειρά ήσαν λιγύριον, αχάτης και αμέθυστος.

Εξ. 36,20 - καὶ ὁ στίχος ὁ τέταρτος χρυσόλιθος καὶ βηρύλλιον καὶ ὀνύχιον· περικεκυκλωμένα χρυσίῳ καὶ συνδεδεμένα χρυσίῳ.

Εξ. 36,20 - Η τετάρτη σειρά ήτο· Χρυσόλιθος, βηρύλλιον και ονύχιον. Αυτά ήσαν περιχρυσωμένα και συνδεδεμένα μεταξύ των με χρυσά νήματα.

Εξ. 36,21 - καὶ οἱ λίθοι ἦσαν ἐκ τῶν ὀνομάτων τῶν υἱῶν Ἰσραὴλ δώδεκα ἐκ τῶν ὀνομάτων αὐτῶν, ἐγγεγλυμμένα εἰς σφραγῖδας, ἕκαστος ἐκ τοῦ ἑαυτοῦ ὀνόματος, εἰς τὰς δώδεκα φυλάς.

Εξ. 36,21 - Οι πολύτιμοι αυτοί λίθοι ήσαν δώδεκα κατά τον αριθμόν των δώδεκα φυλών του Ισραήλ, χαραγμένοι ωσάν σφραγίδες, έκαστος από τους

οποίους είχε σκαλισμένον ένα όνομα εκ των δώδεκα φυλών του Ισραήλ.

Εξ. 36,22 - καὶ ἐποίησαν ἐπὶ τὸ λογεῖον κρωσσοὺς συμπεπλεγμένους, ἔργον ἐμπλοκίου ἐκ χρυσίου καθαροῦ·

Εξ. 36,22 - Κατεσκεύασαν δια το Λογείον κρόσσια πλεγμένα μεταξύ των εν είδει πλεκτού σχοινίου από νήματα εκ καθαρού χρυσού.

Εξ. 36,23 - καὶ ἐποίησαν δύο ἀσπιδίσκας χρυσᾶς καὶ δύο δακτυλίους χρυσοῦς

Εξ. 36,23 - Κατεσκεύασαν δύο χρυσάς πόρπας, με μορφήν μιικράς ασπίδος και δύο χρυσούς δακτυλίους.

Εξ. 36,24 - καὶ ἐπέθηκαν τοὺς δύο δακτυλίους τοὺς χρυσοῦς ἐπ᾿ ἀμφοτέρας τὰς ἀρχάς τοῦ λογείου·

Εξ. 36,24 - Εθεσαν τους δύο χρυσούς δακτυλίους εις τας δύο άνω γωνίας του Λογείου,

Εξ. 36,25 - καὶ ἐπέθηκαν τὰ ἐμπλόκια ἐκ χρυσίου ἐπὶ τοὺς δακτυλίους ἐπ᾿ ἀμφοτέρων τῶν μερῶν τοῦ λογείου καὶ εἰς τὰς δύο συμβολάς τὰ δύο ἐμπλόκια

Εξ. 36,25 - επέρασαν τα χρυσά σχοινία στους δακτυλίους των δύο γωνιών του Λογείου και τα δύο άλλα άκρα των σχοινίων συνέδεσαν με δύο κρίκους,

Εξ. 36,26 - καὶ ἐπέθηκαν ἐπὶ τὰς δύο ἀσπιδίσκας καὶ ἐπέθηκαν ἐπὶ τοὺς ὤμους τῆς ἐπωμίδος ἐξεναντίας κατὰ πρόσωπον.

Εξ. 36,26 - που έθεσαν εις τας δύο πόρπας, τας υπό μορφήν μικρών ασπίδων, τας ευρισκομένας στους ώμους της επωμίδος προς το πρόσθιον μέρος. Ετσι δε συνέδεσαν το Λογείον και την επωμίδα στο άνω μέρος.

Εξ. 36,27 - καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς καὶ ἐπέθηκαν ἐπὶ τὰ δύο πτερύγια ἐπ᾿ ἄκρου τοῦ λογείου καὶ ἐπὶ τὸ ἄκρον τοῦ ὀπισθίου τῆς ἐπωμίδος ἔσωθεν.

Εξ. 36,27 - Κατεσκεύασαν ακόμη δύο άλλους χρυσούς δακτυλίους, τους οποίους έθεσαν εις τα δύο άλλα, τα κάτω, άκρα του Λογείου, εις τα άκρα του οπισθίου μέρους της επωμίδος έσωθεν.

Εξ. 36,28 - καὶ ἐποίησαν δύο δακτυλίους χρυσοῦς καὶ ἐπέθηκαν ἐπ᾿ ἀμφοτέρους τοὺς ὤμους τῆς ἐπωμίδος κάτωθεν αὐτοῦ κατὰ πρόσωπον κατὰ τὴν συμβολὴν ἄνωθεν τῆς συνυφῆς τῆς ἐπωμίδος.

Εξ. 36,28 - Κατεακεύασαν επίσης δύο άλλους δακτυλίους χρυσούς, τους οποίους έθεσαν εις τα δύο τμήματα της επωμίδος αριστερά και δεξιά εμπρός στο κάτω μέρος εκεί, όπου γίνεται η σύνδεσις Λογείου και επωμίδος άνωθεν της ζώνης, με την οποίαν δένεται η επωμίς.

Εξ. 36,29 - καὶ συνέσφιγξε τὸ λογεῖον ἀπὸ τῶν δακτυλίων τῶν ἐπ᾿ αὐτοῦ εἰς τοὺς δακτυλίους τῆς ἐπωμίδος, συνεχομένους ἐκ τῆς ὑακίνθου,

συμπεπλεγμένους εἰς τὸ ὕφασμα τῆς ἐπωμίδος, ἵνα μὴ χαλᾶται τὸ λογεῖον ἀπὸ τῆς ἐπωμίδος, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 36,29 - Συνέσφιξε το Λογείον δια των δακτυλίων του με τους δακτυλίους της επωμίδος, συνδεομένους μεταξύ των με ταινίαν κυανήν και προσδεδεμένους στο ύφασμα της επωμίδος, δια να μη χαλαρώνεται και πίπτει από την επωμίδα το Λογείον, όπως είχε διατάξει τον Μωϋσήν ο Κυριος.

Εξ. 36,30 - Καὶ ἐποίησαν τὸν ὑποδύτην ὑπὸ τὴν ἐπωμίδα, ἔργον ὑφαντόν, ὅλον ὑακίνθινον·

Εξ. 36,30 - Κατεσκεύασαν τον υποδύτην υπό την επωμίδα έργον υφαντόν εξ ολοκλήρου κυανούν.

Εξ. 36,31 - τὸ δὲ περιστόμιον τοῦ ὑποδύτου ἐν τῷ μέσῳ διϋφασμένον συμπλεκτόν, ὤαν ἔχον κύκλῳ τὸ περιστόμιον ἀδιάλυτον.

Εξ. 36,31 - Το περιστόμιον του υποδύτου ήτο στο μέσον αυτού ιδιαιτέρως υφασμένον, πλεκτόν και έχον κύκλω του περιστομίου ούγιαν αντοχής, ώστε να μη σχίζεται.

Εξ. 36,32 - καὶ ἐποίησαν ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κάτωθεν ὡς ἐξανθούσης ῥόας ῥοΐσκους, ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης

Εξ. 36,32 - Εις το κάτω μέρος του υποδύτου εκέντησαν ανθισμένης ροϊδιάς ροϊδάκια από νήμα λινόν γνεσμένον, χρώματος κυανού, πορφυρού και κοκκίνου από νήματα λινά στριμμένα.

Εξ. 36,33 - καὶ ἐποίησαν κώδωνας χρυσοῦς καὶ ἐπέθηκαν τοὺς κώδωνας ἐπὶ τὸ λῶμα τοῦ ὑποδύτου κύκλῳ ἀνὰ μέσον τῶν ῥοΐσκων·

Εξ. 36,33 - Κατεσκεύασαν μικρούς κώδωνας χρυσούς, τους οποίους έθεσαν κύκλω στο κάτω μέρος του υποδύτου ανάμεσα εις τα ομοιώματα των καρπών της ροδιάς.

Εξ. 36,34 - κώδων χρυσοῦς καὶ ῥοΐσκος ἐπὶ τοῦ λώματος τοῦ ὑποδύτου κύκλῳ εἰς τὸ λειτουργεῖν, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 36,34 - Ετσι δε κύκλω στο κάτω μέρος του υποδύτου υπήρχεν ανά ένας χρυσούς κωδωνίσκος και ανά εν ομοίωμα καρπού ροδιάς, δια να λειτουργή ο αρχιερεύς, φέρων τα άμφια αυτά, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.

Εξ. 36,35 - Καὶ ἐποίησαν χιτῶνας βυσσίνους, ἔργον ὑφαντόν, Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ

Εξ. 36,35 - Κατεσκεύασαν επίσης δια τον Ααρών και τους υιούς του χιτώνας από λινόν ύφασμα υφαντούς.

Εξ. 36,36 - καὶ τὰς κιδάρεις ἐκ βύσσου καὶ τὴν μίτραν ἐκ βύσσου καὶ τὰ περισκελῆ ἐκ βύσσου κεκλωσμένης

Εξ. 36,36 - Και τας κιδάρεις και την μίτραν από λινόν εκλεκτόν ύφασμα, όπως επίσης και τας περισκελίδας των από λεπτόν και στριμμένον λινόν ύφασμα,

Εξ. 36,37 - καὶ τὰς ζώνας αὐτῶν ἐκ βύσσου καὶ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου, ἔργον ποικιλτοῦ, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 36,37 - και τας ζώνας αυτών από νήματα στριμμένα λινά χρώματος κυανού, πορφυρού και κοκκίνου, έργον ειδικού τεχνίτου διακοσμητού, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.

Εξ. 36,38 - Καὶ ἐποίησαν τὸ πέταλον τὸ χρυσοῦν, ἀφόρισμα τοῦ ἁγίου, χρυσίου καθαροῦ·

Εξ. 36,38 - Κατεσκεύασαν από καθαρόν χρυσίον το χρυσούν πέταλον, αφιερωμένον στον άγιον Θεόν.

Εξ. 36,39 - καὶ ἔγραψεν ἐπ᾿ αὐτοῦ γράμματα ἐκτετυπωμένα σφραγῖδος Ἁγίασμα Κυρίῳ·

Εξ. 36,39 - Εχάραξε δε επ' αυτού ειδικός τεχνίτης ανάγλυφα γράμματα εις μορφήν σφραγίδος τας λέξεις “Αγίασμα Κυρίω”.

Εξ. 36,40 - καὶ ἐπέθηκαν ἐπὶ τὸ λῶμα ὑακίνθυνον, ὥστε ἐπικεῖσθαι ἐπὶ τὴν μίτραν ἄνωθεν, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 36,40 - Εις το κάτω μέρος αυτού έθυσαν κυανήν ταινίαν, ώστε να προσδένεται στερεά στο άνω μέρος της μίτρας, όπως διέταξεν ο Κυριος τον Μωϋσήν.

## ΕΞΟΔΟΣ 37 (Μασ.36, 8)

Εξ. 37,1 - Καὶ ἐποίησαν τῇ σκηνῇ δέκα αὐλαίας,

Εξ. 37,1 - Κατεσκεύασαν δια την Σκηνήν του Μαρτυρίου δέκα τεμάχια υφάσματος.

Εξ. 37,2 - ὀκτὼ καὶ εἴκοσι πήχεων μῆκος τῆς αὐλαίας τῆς μιᾶς (τὸ αὐτὸ ἦν πάσαις) καὶ τεσσάρων πήχεων τὸ εὖρος τῆς αὐλαίας τῆς μιᾶς.

Εξ. 37,2 - Το μήκος εκάστου από αυτά ήτο είκοσι οκτώ πήχεις και το πλάτος του τέσσαρες πήχεις, αυτάς τας διαστάσεις είχον όλα τα τεμάχια.

Εξ. 37,3 - καὶ ἐποίησαν τὸ καταπέτασμα ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης, ἔργον ὑφάντου Χερουβίμ,

Εξ. 37,3 - Κατεσκεύασαν το καταπέτασμα από λινόν γνεσμένον ύφασμα, χρώματος κυανού, πορφυρού και κοκκίνου, από λεπτόν λινόν στριμμένον ύφασμα. Επ' αυτού ειδικός τεχνίτης ύφανε Χερουβίμ.

Εξ. 37,4 - καὶ ἐπέθηκαν αὐτὸ ἐπὶ τέσσαρας στύλους ἀσήπτους κατακεχρυσωμένους ἐν χρυσίῳ καὶ αἱ κεφαλίδες αὐτῶν χρυσαῖ, καὶ αἱ

βάσεις αὐτῶν τέσσαρες ἀργυραῖ.

Εξ. 37,4 - Το καταπέτασμα τούτο έθεσαν εις τέσσαρας από ξύλα άσηπτα στύλους, επιχρυσωμένους και των οποίων τα κιονόκρανα ήσαν χρυσά, αι δε τέσσαρες βάσεις των αργυραί.

Εξ. 37,5 - καὶ ἐποίησαν τὸ καταπέτασμα τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης, ἔργον ὑφάντου Χερουβίμ,

Εξ. 37,5 - Κατεσκεύασαν το καταπέτασμα της θύρας της Σκηνής του Μαρτυρίου από νήματα χρώματος κυανού, πορφυρού και κοκκίνου, από λινόν στριμμένον ύφασμα, και επ' αυτού ειδικός τεχνίτης ύφανε Χερουβίμ.

Εξ. 37,6 - καὶ τοὺς στύλους αὐτοῦ πέντε καὶ τοὺς κρίκους· καὶ τὰς κεφαλίδας αὐτῶν καὶ τὰς ψαλίδας αὐτῶν κατεχρύσωσαν χρυσίῳ, καὶ αἱ βάσεις αὐτῶν πέντε χαλκαῖ. (Μασ. 38, 9)

Εξ. 37,6 - Δια την ανάρτησιν αυτού κατεσκεύασαν πέντε στύλους και τους κρίκους. Τα κιονόκρανα και τας ράβδους αναρτήσεως επεχρύσωσαν. Τα πέντε βάθρα, επί των οποίων εστηρίζοντο οι στύλοι, ήσαν χαλκά.

Εξ. 37,7 - Καὶ ἐποίησαν τὴν αὐλήν· τὰ πρὸς λίβα ἱστία τῆς αὐλῆς ἐκ βύσσου κεκλωσμένης ἑκατὸν ἐφ᾽ ἑκατόν,

Εξ. 37,7 - Κατεσκεύασαν την αυλήν. Τα προς νότον παραπετάσματα της αυλής ήσαν κατασκευασμένα από λινόν στριμμένον ύφασμα δια μήκος χώρου εκατόν πήχεων. Ομοίας κατασκευής και ίσων διαστάσεων ήσαν και τα παραπετάσματα της βορείου πλευράς.

Εξ. 37,8 - καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι·

Εξ. 37,8 - Οι στύλοι εκάστης πλευράς δια την ανάρτησιν των παραπετασμάτων ήσαν είκοσι, τα δε βάθρα των στύλων επίσης είκοσι.

Εξ. 37,9 - καὶ τὸ κλίτος τὸ πρὸς βοῤῥᾶν ἑκατὸν ἐφ᾽ ἑκατὸν καὶ τὸ κλίτος τὸ πρὸς νότον ἑκατὸν ἐφ᾽ ἑκατόν, καὶ οἱ στῦλοι αὐτῶν εἴκοσι, καὶ αἱ βάσεις αὐτῶν εἴκοσι·

Εξ. 37,9 - Η βορεία πλευρά της αυλής ήτο εκατόν πήχεων μήκους και η νοτία πλευρά αυτής εκατόν πήχεων μήκους. Οι στύλοι εκάστης πλευράς ήσαν είκοσι και τα βάθρα των στύλων είκοσι.

Εξ. 37,10 - καὶ τὸ κλίτος τὸ πρὸς θάλασσαν αὐλαῖαι πεντήκοντα πήχεων, στῦλοι αὐτῶν δέκα, καὶ αἱ βάσεις αὐτῶν δέκα·

Εξ. 37,10 - Προς δυσμάς ήσαν παραπετάσματα μήκους πεντήκοντα πήχεων, οι στύλοι αυτών δέκα και αι βάσεις των στύλων δέκα.

Εξ. 37,11 - καὶ τὸ κλίτος τὸ πρὸς ἀνατολὰς πεντήκοντα πήχεων, ἱστία

Εξ. 37,11 - Η ανατολική πλευρά ήτο μήκους πεντήκοντα πήχεων. Τα παραπετάσματα αυτής,

Εξ. 37,12 - πεντεκαίδεκα πήχεων τὸ κατὰ νώτου, καὶ οἱ στῦλοι αὐτῶν τρεῖς, καὶ αἱ βάσεις αὐτῶν τρεῖς,

Εξ. 37,12 - προς το εν μέρος ήσαν μήκους δεκαπέντε πήχεων, οι στύλοι αυτών ήσαν τρεις και τα βάθρα των στύλων τρία.

Εξ. 37,13 - καὶ ἐπὶ τοῦ νώτου τοῦ δευτέρου ἔνθεν καὶ ἔνθεν κατὰ τὴν πύλην τῆς αὐλῆς αὐλαῖαι πεντεκαίδεκα πήχεων, καὶ οἱ στῦλοι αὐτῶν τρεῖς καὶ αἱ βάσεις αὐτῶν τρεῖς.

Εξ. 37,13 - Το αυτό ήτο και δια το άλλο μέρος, ώστε εκατέρωθεν της πύλης της αυλής ήσαν παραπετάσματα μήκους δεκαπέντε πήχεων κρεμάμενα εις τρεις στύλους, οι οποίοι πάλιν εστηρίζοντο εις τρία βάθρα.

Εξ. 37,14 - πᾶσαι αἱ αὐλαῖαι τῆς σκηνῆς ἐκ βύσου κεκλωσμένης,

Εξ. 37,14 - Ολα τα παραπετάσματα της Σκηνής ήσαν από λινόν στριμμένον ύφασμα.

Εξ. 37,15 - καὶ αἱ βάσεις τῶν στύλων αὐτῶν χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ αἱ κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ, καὶ οἱ στῦλοι περιηργυρωμένοι ἀργυρίῳ, πάντες οἱ στῦλοι τῆς αὐλῆς.

Εξ. 37,15 - Αι βάσεις των στύλων ήσαν χαλκαί και τα άγκιστρα αυτών αργυρά, τα κιονόκρανά των επηργυρωμένα, όπως επίσης επηργυρωμένοι ήσαν όλοι οι στύλοι της αυλής.

Εξ. 37,16 - καὶ τὸ καταπέτασμα τῆς πύλης τῆς αὐλῆς ἔργον ποικιλτοῦ ἐξ ὑακίνθου καὶ πορφύρας καὶ κοκκίνου νενησμένου καὶ βύσσου κεκλωσμένης, εἴκοσι πήχεων τὸ μῆκος, καὶ τὸ ὕψος καὶ τὸ εὖρος πέντε πήχεων ἐξισούμενον τοῖς ἱστίοις τῆς αὐλῆς·

Εξ. 37,16 - Το παραπέτασμα της πύλης επί της ανατολικής πλευράς της αυλής ήτο έργον κεντητόν, από λινόν στριμμένον ύφασμα χρώματος κυανού, πορφυρού και κοκκίνου, μήκους είκοσι πήχεων. Το ύψος των στύλων, όπως και η μεταξύ των απόστασις, ήσαν πέντε πήχεις, όσον ήτο το ύψος των άλλων παραπετασμάτων της αυλής.

Εξ. 37,17 - καὶ οἱ στῦλοι αὐτῶν τέσσαρες, καὶ αἱ βάσεις αὐτῶν τέσσαρες χαλκαῖ, καὶ αἱ ἀγκύλαι αὐτῶν ἀργυραῖ, καὶ αἱ κεφαλίδες αὐτῶν περιηργυρωμέναι ἀργυρίῳ·

Εξ. 37,17 - Οι στύλοι της πύλης αυτής ήσαν τέσσαρες και τα βάθρα των τέσσαρα χαλκά, τα άγκιστρά των αργυρά, τα δε κιονόκρανά των επηργυρωμένα.

Εξ. 37,18 - καὶ πάντες οἱ πάσσαλοι τῆς αὐλῆς κύκλῳ χαλκοῖ, καὶ αὐτοὶ περιηργυρωμένοι ἀργυρίῳ.

Εξ. 37,18 - Ολοι οι πάσσαλοι γύρω από την αυλήν ήσαν χαλκοί ειτηργυρωμένοι.

Εξ. 37,19 - Καὶ αὕτη ἡ σύνταξις τῆς σκηνῆς τοῦ μαρτυρίου, καθὰ συνετάγη Μωυσῇ, τὴν λειτουργίαν εἶναι τῶν Λευιτῶν διὰ Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως.

Εξ. 37,19 - Αυτή ήτο η σύνθεσις, η κατασκευή, της Σκηνής του Μαρτυρίου σύμφωνα με την διαταγήν του Θεού προς τον Μωϋσήν, δια να λειτουργούν εις αυτήν οι Λευίται εποπτευόμενοι από τον Θαμαρ, υιόν του Ααρών του αρχιερέως.

Εξ. 37,20 - καὶ Βεσελεὴλ ὁ τοῦ Οὐρίου, ἐκ φυλῆς Ἰούδα, ἐποίησε καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ,

Εξ. 37,20 - Ο Βεσελεήλ, ο υιός του Ουρίου, από την φυλήν Ιούδα, έκαμεν, όπως διέταξεν ο Κυριος τον Μωϋσήν.

Εξ. 37,21 - καὶ Ἐλιὰβ ὁ τοῦ Ἀχισαμάχ, ἐκ φυλῆς Δάν, ὃς ἠρχιτεκτόνησε τὰ ὑφαντὰ καὶ τὰ ῥαφιδευτὰ καὶ ποικιλτικὰ ὑφᾶναι τῷ κοκκίνῳ καὶ τῇ βύσσῳ.

Εξ. 37,21 - Και ο Ελιάβ, ο υιός του Αχισαμάχ από την φυλήν του Δαν, ήτο εκείνος ο οποίος επρωτοστάτησε και επεστάτησεν εις τα υφαντά, τα ραπτά και τα κεντητά υφάσματα, χρώματος κοκκίνου και από νήματα λινού.

## ΕΞΟΔΟΣ 38 (Μασ. 37,1)

Εξ. 38,1 - Καὶ ἐποίησε Βεσελεὴλ τὴν κιβωτόν.

Εξ. 38,1 - Ο Βεσελεήλ κατεσκεύασεν ακόμη και την Κιβωτόν του Μαρτυρίου.

Εξ. 38,2 - καὶ κατεχρύσωσεν αὐτὴν χρυσίῳ καθαρῷ ἔσωθεν καὶ ἔξωθεν.

Εξ. 38,2 - Την επεχρύσωσεν εσωτερικώς και εξωτερικώς με καθαρόν χρυσόν.

Εξ. 38,3 - καὶ ἐχώνευσεν αὐτῇ τέσσαρας δακτυλίους χρυσοῦς, δύο ἐπὶ τὸ κλίτος τὸ ἓν καὶ δύο ἐπὶ τὸ κλίτος τὸ δεύτερον,

Εξ. 38,3 - Κατεσκεύασεν στο χυτήριον και ετοποθέτησεν εις αυτήν τέσσαρας χρυσούς δακτυλίους, δύο εις την μίαν πλευράν και δύο εις την άλλην,

Εξ. 38,4 - εὐρεῖς τοῖς διωστῆρσιν ὥστε αἴρειν αὐτὴν ἐν αὐτοῖς.

Εξ. 38,4 - ευρείς, ώστε να εισέρχωνται ευκόλως οι αναφορείς δια την άρσιν και μεταφοράν αυτής.

Εξ. 38,5 - καὶ ἐποίησε τὸ ἱλαστήριον ἐπάνωθεν τῆς κιβωτοῦ ἐκ χρυσίου καθαροῦ

Εξ. 38,5 - Επάνω εις την Κιβωτόν κατεσκεύασε το ιλαστήριον από καθαρόν χρυσόν,

Εξ. 38,6 - καὶ τοὺς δύο Χερουβὶμ χρυσοῦς,

Εξ. 38,6 - και τα δύο χρυσά Χερουβίμ.

Εξ. 38,7 - Χεροὺβ ἕνα ἐπί τὸ ἄκρον τοῦ ἱλαστηρίου τὸ ἓν καὶ Χεροὺβ ἕνα ἐπὶ τὸ ἄκρον τοῦ ἱλαστηρίου τὸ δεύτερον,

Εξ. 38,7 - Ενα Χερουβίμ στο ένα άκρον του ιλαστηρίου και άλλο Χερουβίμ στο άλλο άκρον,

Εξ. 38,8 - σκιάζοντα ταῖς πτέρυξιν αὐτῶν ἐπὶ τὸ ἱλαστήριον.

Εξ. 38,8 - τα οποία με τας πτέρυγας αυτών σκιάζουν το ιλαστήριον.

Εξ. 38,9 - Καὶ ἐποίησε τὴν τράπεζαν τὴν προκειμένην ἐκ χρυσίου καθαροῦ·

Εξ. 38,9 - Κατεσκεύασε την τράπεζαν της Προθέσεως από καθαρόν χρυσόν.

Εξ. 38,10 - καὶ ἐχώνευσεν αὐτῇ τέσσαρας δακτυλίους, δύο ἐπὶ τοῦ κλίτους τοῦ ἑνὸς καὶ δύο ἐπὶ τοῦ κλίτους τοῦ δευτέρου, εὐρεῖς ὥστε αἴρειν τοῖς διωστῆρσιν ἐν αὐτοῖς.

Εξ. 38,10 - Εις το χυτήριον κατασκεύασε τέσσαρες δακτυλίους και προσήρμοσε δύο επί της μιας πλευράς και δύο επί της άλλης, ευρείς, ώστε να διέρχωνται εντός αυτών οι αναφορείς δια την άρσιν και μεταφορών αυτής.

Εξ. 38,11 - καὶ τοὺς διωστῆρας τῆς κιβωτοῦ καὶ τῆς τραπέζης ἐποίησε καὶ κατεχρύσωσεν αὐτοὺς χρυσίῳ.

Εξ. 38,11 - Κατεσκεύασε τους αναφορείς της Κιβωτού και τους αναφορείς της Τραπέζης, τους οποίους και επεχρύσωσε.

Εξ. 38,12 - καὶ ἐποίησε τὰ σκεύη τῆς τραπέζης, τά τε τρυβλία καὶ τὰς θυΐσκας καὶ τοὺς κυάθους καὶ τὰ σπονδεῖα, ἐν οἷς σπείσει ἐν αὐτοῖς, χρυσᾶ.

Εξ. 38,12 - Κατεσκεύασε τα σκεύη της Τραπέζης, τα πινάκια, τας λιβανοθήκας, τα ποτήρια και τα άλλα ποτήρια δια τας σπονδάς του οίνου, που θα προσέφεραν οι ιερείς, όλα χρυσά.

Εξ. 38,13 - Καὶ ἐποίησε τὴν λυχνίαν, ἣ φωτίζει, χρυσῆν,

Εξ. 38,13 - Κατεσκεύασε την επτάφωτον λυχνίαν, η οποία φωτίζει, χρυσήν, στερεάν·

Εξ. 38,14 - στερεὰν τὸν καυλόν, καὶ τοὺς καλαμίσκους ἐξ ἀμφοτέρων τῶν μερῶν αὐτῆς·

Εξ. 38,14 - έκαμε τον κεντρικόν στύλον και τους πλαγίους βραχίονας εκατέρωθεν του κεντρικού στύλου.

Εξ. 38,15 - ἐκ τῶν καλαμίσκων αὐτῆς οἱ βλαστοὶ ἐξέχοντες, τρεῖς ἐκ τούτου, καὶ τρεῖς ἐκ τούτου, ἐξισούμενοι ἀλλήλοις·

Εξ. 38,15 - Οι βραχίονες ανήρχοντο ως βλαστοί πλαγίως και άνω, τρεις από το ένα μέρος και τρεις από το άλλο, καταλήγοντες στο αυτό ύψος μεταξύ των.

Εξ. 38,16 - καὶ τὰ λαμπάδια αὐτῶν, ἅ ἐστιν ἐπὶ τῶν ἄκρων, καρυωτὰ ἐξ αὐτῶν· καὶ τὰ ἐνθέμια ἐξ αὐτῶν, ἵνα ὦσιν οἱ λύχνοι ἐπ᾿ αὐτῶν, καὶ τὸ ἐνθέμιον τὸ ἕβδομον, τὸ ἐπ᾿ ἄκρου τοῦ λαμπαδίου, ἐπὶ τῆς κορυφῆς ἄνωθεν, στερεὸν ὅλον χρυσοῦν·

Εξ. 38,16 - Εις τα άνω άκρα αυτών υπήρχον ανοικτά εις σχήμα καρύου τα λαμπάδια. Εις τα λαμπάδια αυτά υπήρχον υποδοχαί, εντός των οποίων ετίθεντο οι λύχνοι του ελαίου. Η εβδόμη υποδοχή ευρίσκετο στο άκρον του λαμπαδίου άνω εις την κορυφήν. Η λυχνία αυτή είναι στερεά και εξ ολοκλήρου χρυσή.

Εξ. 38,17 - καὶ ἑπτὰ λύχνους ἐπ᾿ αὐτῆς χρυσοῦς καὶ τὰς λαβίδας αὐτῆς χρυσᾶς καὶ τὰς ἐπαρυστρίδας αὐτῶν χρυσᾶς. (Μασ. ΛΣΤ 34-36)

Εξ. 38,17 - Επάνω εις αυτήν την λυχνίαν υπήρχον επτά λύχνοι χρυσοί, όπως επίσης χρυσαί ήσαν οι λαβίδες και χρυσοί οι ελαιοχύται (τα λαδικά).

Εξ. 38,18 - Οὗτος περιηργύρωσε τοὺς στύλους καὶ ἐχώνευσε τῷ στύλῳ δακτυλίους χρυσοῦς καὶ ἐχρύσωσε τοὺς μοχλοὺς χρυσίῳ καὶ κατεχρύσωσε τοὺς στύλους τοῦ καταπετάσματος χρυσίῳ καὶ ἐποίησε τὰς ἀγκύλας χρυσᾶς.

Εξ. 38,18 - Ο Βεσελεήλ ούτος επηργύρωσε τους στύλους της Σκηνής και δι' έκαστον στύλον έκαμε χυτούς και προσήρμοσε χρυσούς δακτυλίους. Επεχρύσωσε τους μοχλούς, επεχρύσωσε τους στύλους του παραπετάσματος και κατεσκεύασε χρυσά τα άγκιστρα.

Εξ. 38,19 - οὗτος ἐποίησε καὶ τοὺς κρίκους τῆς σκηνῆς χρυσοῦς καὶ τοὺς κρίκους τῆς αὐλῆς καὶ κρίκους εἰς τὸ ἐκτείνειν τὸ κατακάλυμμα ἄνωθεν χαλκοῦς.

Εξ. 38,19 - Αυτός επίσης κατεσκεύασε χρυσούς τους κρίκους της Σκηνής και χαλκούς τους κρίκους της αυλής και τους κρίκους, δια των οποίων απλώνεται το επάνω σκέπασμα της Σκηνής.

Εξ. 38,20 - οὗτος ἐχώνευσε τὰς κεφαλίδας τὰς ἀργυρᾶς τῆς σκηνῆς καὶ τὰς κεφαλίδας τὰς χαλκᾶς τῆς θύρας τῆς σκηνῆς καὶ τὴν πύλην τῆς αὐλῆς καὶ ἀγκύλας ἐποίησε τοῖς στύλοις ἀργυρᾶς ἐπὶ τῶν στύλων· οὗτος περιηργύρωσεν αὐτάς. (Μασ. ΛΗ 20)

Εξ. 38,20 - Αυτός κατεσκεύασεν εις χυτήριον τα αργυρά κιονόκρανα των στύλων της Σκηνής και τα χαλκά κιονόκρανα των στύλων της θύρας της Σκηνής, της θύρας της αυλής και τα αργυρά άγκιστρα επί των στύλων. Αυτός τα επαργύρωσε.

Εξ. 38,21 - οὗτος ἐποίησε τοὺς πασσάλους τῆς σκηνῆς καὶ τοὺς πασσάλους τῆς αὐλῆς χαλκοῦς.

Εξ. 38,21 - Αυτός κατεσκεύασε τους πασσάλους της Σκηνής και τους πασσάλους της αυλής χαλκούς.

Εξ. 38,22 - οὗτος ἐποίησε τὸ θυσιαστήριον τὸ χαλκοῦν ἐκ τῶν πυρείων τῶν χαλκῶν, ἃ ἦσαν τοῖς ἀνδράσι τοῖς καταστασιάσασι μετὰ τῆς Κορὲ συναγωγῆς.

Εξ. 38,22 - Αυτός έκαμε το χαλκούν θυσιαστήριον των ολοκαυτωμάτων, από τα χαλκά πυροδοχεία, τα οποία ανήκον στους άνδρας, τους

επαναστατήσαντας κατά του Μωϋσέως μαζή με την ομάδα του Κορέ.

Εξ. 38,23 - οὗτος ἐποίησε πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου καὶ τὸ πυρεῖον αὐτοῦ καὶ τὴν βάσιν καὶ τὰς φιάλας καὶ τὰς κρεάγρας τὰς χαλκᾶς.

Εξ. 38,23 - Αυτός κατεσκεύασεν όλα τα σκεύη του θυσιαστηρίου, το πυροδοχείον, το βάθρον, τας φιάλας και τας χαλκάς λαβίδας του κρέατος.

Εξ. 38,24 - οὗτος ἐποίησε θυσιαστηρίῳ παράθεμα, ἔργον δικτυωτὸν κάτωθεν τοῦ πυρείου ὑπὸ αὐτὸ ἕως τοῦ ἡμίσους αὐτοῦ, καὶ ἐπέθηκεν αὐτῷ τέσσαρας δακτυλίους ἐκ τῶν τεσσάρων μερῶν τοῦ παραθέματος τοῦ θυσιαστηρίου χαλκοῦς, εὐρεῖς τοῖς μοχλοῖς ὥστε αἴρεν ἐν αὐτοῖς τὸ θυσιαστήριον. (Μασ. ΛΖ 29)

Εξ. 38,24 - Αυτός κατασκεύασε περικάλυμμα δια τας πλευράς του θυσιαστηρίου των ολοκαυτωμάτων, έργον δικτυωτόν κάτω από την εστίαν του πυρός. Αυτό έφθανε έως το ήμισυ ύψος του θυσιαστηρίου. Εις τας τέσσαρας γωνίας του δικτυωτού αυτού περικαλύμματος έθεσε τέσσαρας χαλκούς δακτυλίους, ευρείς, ώστε ευκόλως να εισέρχονται οι μοχλοί δια την άρσιν και μεταφοράν του θυσιαστηρίου.

Εξ. 38,25 - οὗτος ἐποίησε τὸ ἔλαιον τῆς χρίσεως τὸ ἅγιον καὶ τὴν σύνθεσιν τοῦ θυμιάματος, καθαρὸν ἔργον μυρεψοῦ. (Μασ. ΛΗ 8)

Εξ. 38,25 - Αυτός κατεσκεύασε το άγιον έλαιον της χρίσεως, όπως επίσης και το σύνθετον από ευώδεις ύλας θυμίαμα, αγνόν και σπουδαίον έργον αρωματοποιού.

Εξ. 38,26 - οὗτος ἐποίησε τὸν λουτῆρα τὸν χαλκοῦν καὶ τὴν βάσιν αὐτοῦ χαλκῆν ἐκ τῶν κατόπτρων τῶν νηστευσασῶν, αἳ ἐνήστευσαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐν ᾗ ἡμέρᾳ ἔπηξεν αὐτήν· (Μασ. Μ 30-31)

Εξ. 38,26 - Ο ίδιος κατεσκεύασε τον χαλκούν λουτήρα και την χαλκήν του βάσιν από τα χάλκινα κάτοπτρα των γυναικών, αι οποίαι μάλιστα ενήστευσαν πλησίον εις τας θύρας της Σκηνής του Μαρτυρίου, κατά την ημέραν κατά την οποίαν εστήνετο η Σκηνή.

Εξ. 38,27 - καὶ ἐποίησε τὸν λουτῆρα, ἵνα νίπτωνται ἐξ αὐτοῦ Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν καὶ τοὺς πόδας· εἰσπορευομένων αὐτῶν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἢ ὅταν προσπορεύωνται πρὸς τὸ θυσιαστήριον λειτουργεῖν, ἐνίπτοντο ἐξ αὐτοῦ, καθάπερ συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 38,27 - Κατεσκεύασε τον λουτήρα, δια να νίπτουν από το ύδωρ αυτού τας χείρας και τους πόδας των ο Μωϋσής, ο Ααρών και οι υιοί του. Αυτοί, όταν εισήρχοντο εις την Σκηνήν του Μαρτυρίου όταν πρασήρχοντο να προσφέρουν θυσίας στο θυσιαστήριον των ολοκαυτωμάτων, ενίπτοντο από το ύδωρ του λουτήρος, όπως είχε διατάξει ο Θεός στον Μωϋσήν.

ΕΞΟΔΟΣ 39 (Μασ. 38,24)

Εξ. 39,1 - Πᾶν τὸ χρυσίον, ὃ κατειργάσθη εἰς τὰ ἔργα κατὰ πᾶσαν τὴν ἐργασίαν τῶν ἁγίων, ἐγένετο χρυσίου τοῦ τῆς ἀπαρχῆς, ἐννέα καὶ εἴκοσι τάλαντα καὶ ἑπτακόσιοι εἴκοσι σίκλοι κατὰ τὸν σίκλον τὸν ἅγιον·

Εξ. 39,1 - Ολος ο χρυσός, ο οποίος εχρησιμοποιήθη δια την κατασκευήν όλων των ιερών σκευών προήρχετο από την αυθόρμητον προσφοράν του λαού. Εφθασε δε τα είκοσι εννέα τάλαντα και επτακοσίους είκοσι σίκλους, από αυτούς που κυκλοφορούν εις την ιεράν Σκηνήν.

Εξ. 39,2 - καὶ ἀργυρίου ἀφαίρεμα παρὰ τῶν ἐπεσκεμμένων ἀνδρῶν τῆς συναγωγῆς ἑκατὸν τάλαντα καὶ χίλιοι ἑπτακόσιοι ἑβδομήκοντα πέντε σίκλοι, δραχμὴ μία τῇ κεφαλῇ τὸ ἥμισυ τοῦ σίκλου, κατὰ τὸν σίκλον τὸν ἅγιον,

Εξ. 39,2 - Τα αφιερώματα του αργύρου από τους αριθμηθέντας άνδρας, κατά την απογραφήν, εκ του όλου πλήθους των Ισραηλιτών ανήλθον εις εκατόν τάλαντα και χιλίους επτακοσίους εβδομήκοντα πέντε σίκλους. Καθένας προσέφερε μίαν δραχμήν, η οποία ήτο το ήμισυ του σίκλου και ο οποίος σίκλος αυτός μόνος εγίνετο δεκτός εις την Σκηνήν.

Εξ. 39,3 - πᾶς ὁ παραπορευόμενος τὴν ἐπίσκεψιν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω εἰς τὰς ἑξήκοντα μυριάδας καὶ τρισχίλιοι πεντακόσιοι καὶ πεντήκοντα.

Εξ. 39,3 - Ητο δε το ποσόν του αργύρου τόσον, διότι όλοι οι Ισραηλίται οι αριθμηθέντες κατά την απογραφήν από εικοσαετούς και άνω ανήλθον εις εξακοσίας τρεις χιλιάδες πεντακοσίους πενήντα.

Εξ. 39,4 - καὶ ἐγενήθη τὰ ἑκατὸν τάλαντα τοῦ ἀργυρίου εἰς τὴν χώνευσιν τῶν ἑκατὸν κεφαλίδων τῆς σκηνῆς καὶ εἰς τὰς κεφαλίδας τοῦ καταπετάσματος,

Εξ. 39,4 - Τα εκατόν τάλαντα του προσφερθέντος αργύρου εχρησιμοποίησαν δια την χώνευσιν και χύσιν των εκατόν κιονοκράνων της Σκηνής και των εκατόν κιονοκράνων του παραπετάσματος.

Εξ. 39,5 - ἑκατὸν κεφαλίδες εἰς τὰ ἑκατὸν τάλαντα, τάλαντον τῇ κεφαλίδι.

Εξ. 39,5 - Εκατόν ήσαν τα κιονόκρανα, εκατόν ήσαν και τα διατεθέντα τάλαντα, ένα τάλαντον δια κάθε κιονόκρανον.

Εξ. 39,6 - καὶ τοὺς χιλίους ἑπτακοσίους ἑβδομήκοντα πέντε σίκλους ἐποίησεν εἰς τὰς ἀγκύλας τοῖς στύλοις, καὶ κατεχρύσωσε τὰς κεφαλίδας αὐτῶν καὶ κατεκόσμησεν αὐτούς.

Εξ. 39,6 - Τους δε χιλίους επτακοσίους εβδομήκοντα πέντε σίκλους εχρησιμοποίησε δια τα άγκιστρα (κρίκους). Αυτών δε των στύλων τα κιονόκρανα τα επεχρύσωσε, τους δε στύλους διακόσμησε.

Εξ. 39,7 - καὶ ὁ χαλκὸς τοῦ ἀφαιρέματος ἑβδομήκοντα τάλαντα καὶ χίλιοι πεντακόσιοι σίκλοι.

Εξ. 39,7 - Τα αφιερώματα του χαλκού έφθασαν τα εβδομήκοντα τάλαντα και τους χιλίους πεντακοσίους σίκλους.

Εξ. 39,8 - καὶ ἐποίησαν ἐξ αὐτοῦ τὰς βάσεις τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου

Εξ. 39,8 - Από τον χαλκόν αυτόν κατεσκεύασαν τας βάσεις της θύρας της Σκηνής του Μαρτυρίου,

Εξ. 39,9 - καὶ τὰς βάσεις τῆς αὐλῆς κύκλῳ καὶ τὰς βάσεις τῆς πύλης τῆς αὐλῆς καὶ τοὺς πασσάλους τῆς σκηνῆς καὶ τοὺς πασσάλους τῆς αὐλῆς κύκλῳ

Εξ. 39,9 - τας κύκλω από την αυλήν βάσεις, τας βάσεις της πύλης της αυλής, τους πασσάλους της Σκηνής και τους πασσάλους κύκλω της αυλής.

Εξ. 39,10 - καὶ τὸ παράθεμα τὸ χαλκοῦν τοῦ θυσιαστηρίου καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου καὶ πάντα τὰ ἐργαλεῖα τῆς σκηνῆς τοῦ μαρτυρίου. (Μασ. ΛΘ 32)

Εξ. 39,10 - Κατεσκεύασαν ακόμη και το δικτυωτόν περικάλυμμα των πλευρών του θυσιαστηρίου των ολοκαυτωμάτων, όλα τα σκεύη του θυσιαστηρίου και όλα τα εργαλεία της Σκηνής του Μαρτυρίου.

Εξ. 39,11 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν.

Εξ. 39,11 - Ολα δε αυτά τα κατεσκεύασαν οι Ισραηλίται, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.

Εξ. 39,12 - Τὸ δὲ λοιπὸν χρυσίον τοῦ ἀφαιρέματος ἐποίησαν σκεύη εἰς τὸ λειτουργεῖν ἐν αὐτοῖς ἔναντι Κυρίου.

Εξ. 39,12 - Με το υπόλοιπον χρυσίον των αφιερωμάτων κατεσκεύασαν ιερά σκεύη, δια να λειτουργούν με αυτά οι ιερείς ενώπιον του Κυρίου.

Εξ. 39,13 - καὶ τὴν καταλειφθεῖσαν ὑάκινθον καὶ πορφύραν καὶ τὸ κόκκινον ἐποίησαν στολὰς λειτουργικὰς Ἀαρών, ὥστε λειτουργεῖν ἐν αὐταῖς ἐν τῷ ἁγίῳ.

Εξ. 39,13 - Από το υπόλοιπον ύφασμα το κυανούν, το πορφυρούν και το κόκκινον κατεσκεύασαν ιερατικάς στολάς δια τον Ααρών, ώστε φορών αυτάς να λειτουργή εις την Σκηνήν του Μαρτυρίου.

Εξ. 39,14 - Καὶ ἤνεγκαν τὰς στολὰς πρὸς Μωυσῆν καὶ τὴν σκηνὴν καὶ τὰ σκεύη αὐτῆς καὶ τὰς βάσεις καὶ τοὺς μοχλοὺς αὐτῆς καὶ τοὺς στύλους

Εξ. 39,14 - Εφεραν στον Μωϋσήν τας ιερατικάς στολάς, την Σκηνήν του Μαρτυρίου, τα σκεύη αυτής, τα βάθρα, τους μοχλούς και τους στύλους της·

Εξ. 39,15 - καὶ τὴν κιβωτὸν τῆς διαθήκης καὶ τοὺς διωστῆρας αὐτῆς καὶ τὸ θυσιαστήριον καὶ πάντα τὰ σκεύη αὐτοῦ

Εξ. 39,15 - έφεραν την Κιβωτόν της Διαθήκης, τους αναφορείς αυτής, το θυσιαστήριον των ολοκαυτωμάτων και τα σκεύη αυτού·

Εξ. 39,16 - καὶ τὸ ἔλαιον τῆς χρίσεως καὶ τὸ θυμίαμα τῆς συνθέσεως καὶ τὴν λυχνίαν τὴν καθαρὰν

Εξ. 39,16 - το ιερόν έλαιον της χρίσεως, το παρασκευασθέν θυμίαμα, την από καθαρόν χρυσόν λυχνίαν,

Εξ. 39,17 - καὶ τοὺς λύχνους αὐτῆς, λύχνους τῆς καύσεως, καὶ τὸ ἔλαιον τοῦ φωτὸς

Εξ. 39,17 - τους λύχνους αυτής, τους λύχνους φωτισμού, το έλαιον το προοριζόμενον δια το φως·

Εξ. 39,18 - καὶ τὴν τράπεζαν τῆς προθέσεως καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ τοὺς ἄρτους τοὺς προκειμένους,

Εξ. 39,18 - την τράπεζαν της προθέσεως, όλα τα σκεύη αυτής και τους αποτεθειμένους εις αυτήν άρτους

Εξ. 39,19 - καὶ τὰς στολὰς τοῦ ἁγίου, αἵ εἰσιν Ἀαρών, καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ εἰς τὴν ἱερατείαν

Εξ. 39,19 - τας ιερατικάς στολάς δια την ιερουργίαν στον ιερόν τόπον, αι οποίαι είναι δια τον Ααρών και τας στολάς των υιών του, τας προς ιερατικήν χρήσιν.

Εξ. 39,20 - καὶ τὰ ἱστία τῆς αὐλῆς καὶ τοὺς στύλους καὶ τὸ καταπέτασμα τῆς θύρας τῆς σκηνῆς καί τῆς πύλης τῆς αὐλῆς,

Εξ. 39,20 - Εφεραν ακόμη τα παραπετάσματα της αυλής και τους στύλους, το καταπέτασμα της θύρας της σκηνής και της πύλης της αυλής,

Εξ. 39,21 - καὶ πάντα τὰ σκεύη τῆς σκηνῆς καὶ πάντα τὰ ἐργαλεῖα αυτῆς, καὶ τὰς διφθέρας δέρματα κριῶν ἠρυθροδανωμένα καὶ τὰ καλύμματα ὑακίνθινα καὶ τῶν λοιπῶν τὰ ἐπικαλύμματα καὶ τοὺς πασσάλους καὶ πάντα τὰ ἐργαλεῖα τὰ εἰς τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου·

Εξ. 39,21 - όλα τα σκεύη της Σκηνής και όλα τα εργαλεία αυτής, τα κατεργασμένα δέρματα των κριών, τα βαμμένα με ερυθρόδανον, τα κυανά καλύμματα και όλα τα άλλα επικαλύμματα, τους πασσάλους και όλα τα εργαλεία τα προοριζόμενα δια τα έργα της Σκηνής του Μαρτυρίου·

Εξ. 39,22 - ὅσα συνέταξε Κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ πᾶσαν τὴν ἀποσκευήν.

Εξ. 39,22 - όσα διέταξεν ο Κυριος στον Μωϋσήν, έτσι κατεσκεύασαν οι Ισραηλίται όλα τα ιερά αυτά σκεύη.

Εξ. 39,23 - καὶ εἶδε Μωυσῆς πάντα τὰ ἔργα, καὶ ἦσαν πεποιηκότες αὐτὰ ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν αὐτά· καὶ εὐλόγησεν αὐτοὺς Μωυσῆς.

Εξ. 39,23 - Ο Μωϋσής είδεν όλα αυτά τα έργα, και ότι αυτά είχον κατασκευασθή όπως ο Κυριος διέταξεν αυτόν. Κατ' αυτόν τον τρόπον τα κατεσκεύασαν οι Ισραηλίται. Και ο Μωϋσής ευλόγησεν αυτούς.

ΕΞΟΔΟΣ 40

Εξ. 40,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·
Εξ. 40,1 - Ο Κυριος ελάλησε προς τον Μωϋσήν και είπε·
Εξ. 40,2 - ἐν ἡμέρᾳ μιᾷ τοῦ μηνὸς τοῦ πρώτου νουμηνίᾳ στήσεις τὴν σκηνὴν τοῦ μαρτυρίου
Εξ. 40,2 - κατά την πρώτην ημέραν του πρώτου μηνός, εις την εορτήν της πρωτομηνιάς, θα στήσης την Σκηνήν του Μαρτυρίου.
Εξ. 40,3 - καὶ θήσεις τὴν κιβωτὸν τοῦ μαρτυρίου καὶ σκεπάσεις τὴν κιβωτὸν τῷ καταπετάσματι
Εξ. 40,3 - Θα θέσης εντός αυτής την Κιβωτόν του Μαρτυρίου και θα καλύψης την Κιβωτόν του Μαρτυρίου με το καταπέτασμα, το οποίον θα κρεμάσης εμπρός από αυτήν.
Εξ. 40,4 - καὶ εἰσοίσεις τὴν τράπεζαν καὶ προθήσεις τὴν πρόθεσιν αὐτῆς καὶ εἰσοίσεις τὴν λυχνίαν καὶ ἐπιθήσεις τοὺς λύχνους αὐτῆς.
Εξ. 40,4 - Θα φέρης εντός της Σκηνής την τράπεζαν και θα θέσης επάνω εις αυτήν τους άρτους της προθέσεως. Θα φέρης την επτάφωτον λυχνίαν και θα τοποθετήσης επάνω εις αυτήν τους λύχνους της.
Εξ. 40,5 - καὶ θήσεις τὸ θυσιαστήριον τὸ χρυσοῦν εἰς τὸ θυμιᾶν ἐναντίον τῆς κιβωτοῦ καὶ ἐπιθήσεις κάλυμμα καταπετάσματος ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου
Εξ. 40,5 - Θα θέσης το χρυσούν θυσιαστήριον του θυμιάματος, δια να θυμιάτε ενώπιον της Κιβωτού. Θα τοποθετήσης το άλλο καταπέτασμα εις την θύραν της Σκηνής του Μαρτυρίου.
Εξ. 40,6 - καὶ τὸ θυσιαστήριον τῶν καρπωμάτων θήσεις παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ περιθήσεις τὴν σκηνὴν καὶ πάντα τὰ αὐτῆς ἁγιάσεις κύκλῳ.
Εξ. 40,6 - Θα θέσης το θυσιαστήριον των ολοκαυτωμάτων πλησίον και απέναντι της θύρας της Σκηνής του Μαρτυρίου, θα σκεπάσης όλην την Σκηνήν του Μαρτυρίου, θα αγιάσης και θα καθιερώσης όλον τον κύκλω αυτής χώρον.
Εξ. 40,7 - καὶ λήψῃ τὸ ἔλαιον τοῦ χρίσματος καὶ χρίσεις τὴν σκηνὴν καὶ πάντα τὰ ἐν αὐτῇ καὶ ἁγιάσεις αὐτὴν καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ ἔσται ἁγία.
Εξ. 40,7 - Θα λάβης το προς χρίσιν άγιον έλαιον και θα χρίσης με αυτό την Σκηνήν του Μαρτυρίου και όλα όσα υπάρχουν εντός αυτής. Με την χρίσιν αυτήν θα αγιάσης και θα καθιερώσης αυτήν και όλα τα σκεύη αυτής και έτσι θα είναι η Σκηνή αγία.

Εξ. 40,8 - καὶ χρίσεις τὸ θυσιαστήριον τῶν καρπωμάτων καὶ πάντα τὰ σκεύη αὐτοῦ.

Εξ. 40,8 - Θα χρίσης με το άγιον αυτό έλαιον το θυσιαστήριον των ολοκαυτωμάτων και όλα τα σκεύη του.

Εξ. 40,9 - καὶ ἁγιάσεις τὸ θυσιαστήριον, καὶ ἔσται τὸ θυσιαστήριον ἅγιον τῶν ἁγίων.

Εξ. 40,9 - Ετσι θα αγιάσης το θυσιαστήριον τούτο και θα είναι αυτό αγιώτατον.

Εξ. 40,10 - καὶ προσάξεις Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ λούσεις αὐτοὺς ὕδατι

Εξ. 40,10 - Θα οδηγήσης τον Ααρών και τους υιούς αυτού εμπρός εις τας θύρας της Σκηνής του Μαρτυρίου και θα λούσης αυτούς με το ύδωρ.

Εξ. 40,11 - καὶ ἐνδύσεις Ἀαρὼν τὰς στολὰς τὰς ἁγίας καὶ χρίσεις αὐτὸν καὶ ἁγιάσεις αὐτόν, καὶ ἱερατεύσει μοι·

Εξ. 40,11 - Θα ενδύσης τον Ααρών με τας ιερατικάς στολάς, θα τον χρίσης με το ιερόν έλαιον, θα καθιερώσης έτσι αυτόν και τότε θα αξιωθή αυτός να λειτουργή εις εμέ.

Εξ. 40,12 - καὶ τοὺς υἱοὺς αὐτοῦ προσάξεις καὶ ἐνδύσεις αὐτοὺς χιτῶνας

Εξ. 40,12 - Θα οδηγήσης επίσης τους υιούς του εκεί προ της Σκηνής του Μαρτυρίου και θα ενδύσης αυτούς με τους ιερούς χιτώνας·

Εξ. 40,13 - καὶ ἀλείψεις αὐτούς, ὃν τρόπον ἤλειψας τὸν πατέρα αὐτῶν, καὶ ἱερατεύσουσί μοι· καὶ ἔσται ὥστε εἶναι αὐτοῖς χρῖσμα ἱερατείας εἰς τὸν αἰῶνα, εἰς τὰς γενεὰς αὐτῶν.

Εξ. 40,13 - θα χρίσης αυτούς, όπως έχρισες και τον πατέρα των, δια να αξιωθούν να ιερατεύουν δι' εμέ εις την Σκηνήν. Αυτό δε το χρίσμα με το ιερόν έλαιον θα είναι χρίσμα ιερωσύνης παντοτεινόν στους απογόνους αυτών”.

Εξ. 40,14 - καὶ ἐποίησε Μωυσῆς πάντα, ὅσα ἐνετείλατο αὐτῷ Κύριος, οὕτως ἐποίησε.

Εξ. 40,14 - Ο Μωϋσής εξετέλεσεν όλα όσα διέταξεν αυτόν ο Κυριος. Ετσι έκαμε.

Εξ. 40,15 - Καὶ ἐγένετο ἐν τῷ μηνὶ τῷ πρώτῳ, τῷ δευτέρῳ ἔτει, ἐκπορευομένων αὐτῶν ἐξ Αἰγύπτου, νουμηνίᾳ ἐστάθη ἡ σκηνή·

Εξ. 40,15 - Κατά τον πρώτον μήνα του δευτέρου έτους από της εξόδου των Ισραηλιτών εκ της Αιγύπτου κατά την εορτήν της πρωτομηνιάς έστηθη η Σκηνή.

Εξ. 40,16 - καὶ ἔστησε Μωυσῆς τὴν σκηνήν, καὶ ἐπέθηκε τὰς κεφαλίδας καὶ διενέβαλε τοὺς μοχλοὺς καὶ ἔστησε τοὺς στύλους

Εξ. 40,16 - Εστησεν ο Μωϋσής, (δια των ειδικών τεχνιτών) τους στύλους και τα άλλα ξύλα της Σκηνής, ετοποθέτησε τα κιονόκρανα των στύλων, και

διεπέρασε τους μοχλούς στους κρίκους των στύλων, αφού είχε στήσει τους στύλους.

Εξ. 40,17 - καὶ ἐξέτεινε τὰς αὐλαίας ἐπὶ τὴν σκηνήν, καὶ ἐπέθηκε τὸ κατακάλυμμα τῆς σκηνῆς ἐπ᾿ αὐτὴν ἄνωθεν, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 40,17 - Απλωσε επάνω εις την Σκηνήν τα εσωτερικά της καλύμματα και επάνω εις αυτά ετοποθέτησε τα εξωτερικά σκεπάσματα της Σκηνής, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.

Εξ. 40,18 - καὶ λαβὼν τὰ μαρτύρια ἐνέβαλεν εἰς τὴν κιβωτὸν καὶ ὑπέθηκε τοὺς διωστῆρας ὑπὸ τὴν κιβωτὸν

Εξ. 40,18 - Ελαβε τα Μαρτύρια, δηλαδή τας λιθίνας πλάκας των εντολών, τας έθεσε εντός της Κιβωτού, προσήρμοσε τους αναφορείς εις την Κιβωτόν,

Εξ. 40,19 - καί εἰσήνεγκε τὴν κιβωτὸν εἰς τὴν σκηνήν, καὶ ἐπέθηκε τὸ κατακάλυμμα τοῦ καταπετάσματος καὶ ἐσκέπασε τὴν κιβωτὸν τοῦ μαρτυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 40,19 - και εισήγαγε την Κιβωτόν εις την Σκηνήν (στον χώρον Αγια Αγίων). Ετοποθέτησε το καταπέτασιμα εμπρός και έτσι εσκέπασε την Κιβωτόν του Μαρτυρίου από τα μάτια των ανθρώπων, όπως είχε διατάξει ο Θεός τον Μωϋσήν.

Εξ. 40,20 - καὶ ἐπέθηκε τὴν τράπεζαν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἐπὶ τὸ κλίτος τῆς σκηνῆς τοῦ μαρτυρίου τὸ πρὸς βοῤῥᾶν, ἔξωθεν τοῦ καταπετάσματος τῆς σκηνῆς,

Εξ. 40,20 - Εθεσε την Τράπεζαν της προθέσεως εις την Σκηνήν του Μαρτυρίου (στον χώρον τον λεγόμενον Αγια) προς την βορείαν πλευράν της Σκηνής έξω από το καταπέτασμα, το οποίον χωρίζει τα Αγια των Αγίων από τα Αγια.

Εξ. 40,21 - καὶ προέθηκεν ἐπ᾿ αὐτῆς ἄρτους τῆς προθέσεως ἔναντι Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 40,21 - Επάνω εις την τράπεζαν αυτήν έθεσε τους άρτους της προθέσεως ενώπιον του Κυρίου, όπως είχε διατάξει ο Κυριος.

Εξ. 40,22 - καὶ ἔθηκε τὴν λυχνίαν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου εἰς τὸ κλίτος τῆς σκηνῆς τὸ πρὸς νότον

Εξ. 40,22 - Εθεσε την επτάφωτον χρυσήν λυχνίαν εντός της Σκηνής (εις τα Αγια) προς την νοτίαν πλευράν αυτής.

Εξ. 40,23 - καὶ ἐπέθηκε τοὺς λύχνους αὐτῆς ἔναντι Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 40,23 - Ετοποθέτησεν επί της λυχνίας αυτής τους λύχνους ενώπιον του Κυρίου, όπως είχε διατάξει ο Θεός τον Μωϋσήν.

Εξ. 40,24 - καὶ ἔθηκε τὸ θυσιαστήριον τὸ χρυσοῦν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἀπέναντι τοῦ καταπετάσματος

Εξ. 40,24 - Ετοποθέτησε το χρυσούν θυσιαστήριον εις τα Αγια εμπρός στο παραπέτασμα, που χωρίζει τα Αγια των Αγίων.

Εξ. 40,25 - καὶ ἐθυμίασεν ἐπ᾿ αὐτοῦ θυμίαμα τῆς συνθέσεως, καθάπερ συνέταξε Κύριος τῷ Μωυσῇ.

Εξ. 40,25 - Επάνω εις αυτό έρριψε το παρεσκευασμένον θυμίαμα και εθυμίασεν, όπως τον είχε διατάξει ο Κυριος.

Εξ. 40,26 - καὶ τὸ θυσιαστήριον τῶν καρπωμάτων ἔθηκε παρὰ τὰς θύρας τῆς σκηνῆς

Εξ. 40,26 - Εις την αυλήν απέναντι της θύρας της Σκηνής έθεσε το θυσιαστήριον των ολοκαυτωμάτων.

Εξ. 40,27 - καὶ ἔστησε τὴν αὐλὴν κύκλῳ τῆς σκηνῆς καὶ τοῦ θυσιαστηρίου. καὶ συνετέλεσε Μωυσῆς πάντα τὰ ἔργα.

Εξ. 40,27 - Κυκλω από την Σκηνήν και από το θυσιαστήριον των ολοκαυτωμάτων έστησε τα παραπετάσματα της Σκηνής. Ετσι ο Μωϋσής ετελείωσεν όλα αυτά τα έργα.

Εξ. 40,28 - Καὶ ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ δόξης Κυρίου ἐπλήσθη ἡ σκηνή·

Εξ. 40,28 - Και τότε η νεφέλη εσκέπασε την Σκηνήν του Μαρτυρίου, η οποία και εγέμισεν από θείον λάμψιν.

Εξ. 40,29 - καὶ οὐκ ἠδυνάσθη Μωυσῆς εἰσελθεῖν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ὅτι ἐπεσκίαζεν ἐπ᾿ αὐτὴν ἡ νεφέλη καὶ δόξης Κυρίου ἐνεπλήσθη ἡ σκηνή.

Εξ. 40,29 - Ο Μωϋσής δεν ημπόρεσε να εισέλθη εις την Σκηνήν του Μαρτυρίου κατά την ώραν εκείνην, διότι η νεφέλη εκάλυπτεν αυτήν και θεία λάμψις την εγέμιζεν.

Εξ. 40,30 - ἡνίκα δ᾿ ἂν ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς, ἀνεζεύγνυσαν οἱ υἱοὶ Ἰσραὴλ σὺν τῇ ἀπαρτίᾳ αὐτῶν·

Εξ. 40,30 - Οταν δε η νεφέλη υψώνετο από την Σκηνήν, τότε οι Ισραηλίται ανεχώρουν με όλα τα υπάρχοντά των.

Εξ. 40,31 - εἰ δὲ μὴ ἀνέβη ἡ νεφέλη, οὐκ ἀνεζεύγνυσαν ἕως ἡμέρας, ἧς ἀνέβη ἡ νεφέλη·

Εξ. 40,31 - Και στο εξής εάν δεν ανυψώνετο η νεφέλη, δεν ανεχώρουν οι Ισραηλίται μέχρι της ημέρας που θα ανυψώνετο η νεφέλη.

Εξ. 40,32 - νεφέλη γὰρ ἦν ἐπὶ τῆς σκηνῆς ἡμέρας καὶ πῦρ ἦν ἐπ᾿ αὐτῆς νυκτὸς ἐναντίον παντὸς Ἰσραήλ, ἐν πάσαις ταῖς ἀναζυγαῖς αὐτῶν.

Εξ. 40,32 - Διότι η νεφέλη ήτο υπεράνω της Σκηνής κατά την ημέραν, ενώ κατά την νύκτα ήτο υπεράνω αυτής πυρ ενώπιον όλων των Ισραηλιτών εις όλας τας στρατοπεδεύσεις και αναχωρήσεις αυτών.

**ΛΕΥΙΤΙΚΟΝ**

ΛΕΥΙΤΙΚΟΝ 1

Λευ. 1,1 - Καὶ ἀνεκάλεσε Μωυσῆν, καὶ ἐλάλησε Κύριος αὐτῷ ἐκ τῆς σκηνῆς τοῦ μαρτυρίου λέγων·
Λευ. 1,1 - Ο Κυριος προσεκάλεσε πάλιν τον Μωϋσήν, ωμίλησε προς αυτόν από την Σκηνήν του Μαρτυρίου λέγων·
Λευ. 1,2 - λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἄνθρωπος ἐξ ὑμῶν ἐὰν προσαγάγῃ δῶρα τῷ Κυρίῳ, ἀπὸ τῶν κτηνῶν καὶ ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προβάτων προσοίσετε τὰ δῶρα ὑμῶν.
Λευ. 1,2 - “λάλησε προς τους Ισραηλίτας και ειπέ προς αυτούς· Αν ένας από σας θελήση να προσφέρη θυσίαν προς τον Κυριον από τα θρέμματά σας, εκ των βοών και των προβάτων θα προσφέρετε τα δώρα σας έχοντες υπ' όψει τα εξής·
Λευ. 1,3 - ἐὰν ὁλοκαύτωμα τὸ δῶρον αὐτοῦ ἐκ τῶν βοῶν, ἄρσεν ἄμωμον προσάξει· πρὸς τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου προσοίσει αὐτὸ δεκτὸν ἐναντίον Κυρίου.
Λευ. 1,3 - Εάν η προσφορά είναι ολοκαύτωμα θα προσφέρη ο άνθρωπος αυτός από τα βόδια του μόσχον αρσενικόν, αρτιμελή, χωρίς κανένα σωματικόν ελάττωμα. Θα τον φέρη πλησίον της θύρας της Σκηνής του Μαρτυρίου ευλαβώς κατά τρόπον ευπρόσδεκτον στον Κυριον.
Λευ. 1,4 - καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ καρπώματος, δεκτὸν αὐτῷ ἐξιλάσασθαι περὶ αὐτοῦ.
Λευ. 1,4 - Ο προσφέρων θα θέση την χείρα του επάνω εις την κεφαλήν του προσφερομένου ζώου, δια να γίνη αυτό ευπρόσδεκτον από τον Θεόν και εξιλεωθούν αι αμαρτίαι του προσφέροντος.
Λευ. 1,5 - καὶ σφάξουσι τὸν μόσχον ἔναντι Κυρίου, καὶ προσοίσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα, καὶ προσχεοῦσι τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ τὸ ἐπὶ τῶν θυρῶν τῆς σκηνῆς τοῦ μαρτυρίου.
Λευ. 1,5 - Οι προσφέροντες θα σφάξουν τον μόσχον ενώπιον του Κυρίου, οι δε ιερείς, οι υιοί του Ααρών, θα λάβουν και θα χύσουν το αίμα του μόσχου κύκλω προς την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων, το οποίον ευρίσκεται πλησίον της θύρας της Σκηνής του Μαρτυρίου.
Λευ. 1,6 - καὶ ἐκδείραντες τὸ ὁλοκαύτωμα μελιοῦσιν αὐτὸ κατὰ μέλη,
Λευ. 1,6 - Αφού δε εκδάρουν το προς ολρκαύτωσιν ζώον, θα το τεμαχίσουν
Λευ. 1,7 - καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς πῦρ ἐπὶ τὸ θυσιαστήριον καὶ ἐπιστοιβάσουσι ξύλα ἐπὶ τὸ πῦρ.
Λευ. 1,7 - και οι υιοί του Ααρών, οι ιερείς, θα ανάψουν πυρ επάνω εις την εσχάραν του θυσιαστηρίου, θα στοιβάσουν ξύλα επάνω στο πυρ,

Λευ. 1,8 - καὶ ἐπιστοιβάσουσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὰ διχοτομήματα καὶ τὴν κεφαλὴν καὶ τὸ στέαρ ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς τὰ ὄντα ἐπὶ τοῦ θυσιαστηρίου,

Λευ. 1,8 - και οι υιοί του Ααρών, οι ιερείς, θα θέσουν τα τεμάχια του ζώου και την κεφαλήν και το λίπος επάνω εις τα αναμμένα ξύλα, που είναι επί του θυσιαστηρίου.

Λευ. 1,9 - τὰ δὲ ἐγκοίλια καὶ τοὺς πόδας πλυνοῦσιν ὕδατι, καὶ ἐπιθήσουσιν οἱ ἱερεῖς τὰ πάντα ἐπὶ τὸ θυσιαστήριον· κάρπωμά ἐστι, θυσία, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

Λευ. 1,9 - Τα εντόσθια, όπως και τους πόδας του ζώου, θα τα πλύνουν με νερό και οι ιερείς θα θέσουν και αυτά όλα επάνω στο θυσιαστήριον. Ολα θα τεθούν και θα καούν εκεί, διότι η θυσία αυτή είναι ολοκαύτωμα, ευχάριστος και ευπρόσδεκτος οσμή ευωδίας στον Κυριον.

Λευ. 1,10 - Ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ τῷ Κυρίῳ, ἀπό τε τῶν ἀρνῶν καὶ τῶν ἐρίφων, εἰς ὁλοκαυτώματα, ἄρσεν ἄμωμον προσάξει αὐτὸ καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

Λευ. 1,10 - Εάν η προσφορά του ολοκαυτώματος προς τον Κυριον είναι από τα αιγοπρόβατα, θα προσφέρονται από αυτά αμνός η ερίφιον, αρσενικόν, χωρίς κανένα σωματικόν ελάττωμα, και ο προσφέρων θα θέση την χείρα του επάνω εις την κεφαλήν του ζώου.

Λευ. 1,11 - καὶ σφάξουσιν αὐτὸ ἐκ πλαγίων τοῦ θυσιαστηρίου πρὸς βοῤῥᾶν ἔναντι Κυρίου καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

Λευ. 1,11 - Θα σφάξουν αυτό στο πλάγιον μέρος του θυσιαστηρίου, το προς βορράν, ενώπιον του Κυρίου και οι ιερείς, οι υιοί του Ααρών, θα λάβουν το αίμα και θα το χύσουν πλησίον και ολόγυρα από το θυσιαστήριον.

Λευ. 1,12 - καὶ διελοῦσιν αὐτὸ κατὰ μέλη καὶ τὴν κεφαλὴν καὶ τὸ στέαρ, καὶ ἐπιστοιβάσουσιν οἱ ἱερεῖς αὐτὰ ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρὸς τὰ ἐπὶ τοῦ θυσιαστηρίου.

Λευ. 1,12 - Θα τεμαχίσουν το προσφερόμενον ζώον και τα τεμάχια, την κεφαλήν και το λίπος, θα τα συσσωρεύσουν οι ιερείς επάνω εις τα αναμμένα ξύλα, τα ευρισκόμενα επί του θυσιαστηρίου των ολοκαυτωμάτων.

Λευ. 1,13 - καὶ τὰ ἐγκοίλια καὶ τοὺς πόδας πλυνοῦσιν ὕδατι. καὶ προσοίσει ὁ ἱερεὺς τὰ πάντα καὶ ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον· κάρπωμά ἐστι, θυσία, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

Λευ. 1,13 - Τα εντόσθια και τους πόδας θα πλύνουν με νερό, ο δε ιερεύς θα προσφέρη και θα θέση και αυτά όλα επάνω στο θυσιαστήριον. Θα θέση όλα αυτά εκεί, διότι η θυσία αυτή είναι ολοκαύτωμα, ευχάριστος και ευπρόσδεκτος οσμή ευωδίας στον Κυριον.

Λευ. 1,14 - Ἐὰν δὲ ἀπὸ τῶν πετεινῶν κάρπωμα προσφέρῃ δῶρον αὐτοῦ τῷ Κυρίῳ, καὶ προσοίσει ἀπὸ τῶν τρυγόνων, ἢ ἀπὸ τῶν περιστερῶν τὸ δῶρον αὐτοῦ.

Λευ. 1,14 - Εάν δε κανείς προσφέρη δώρον προς τον Κυριον, ολοκαύτωμα από τα πτηνά του, θα προσφέρη από τας τρυγόνας η από τας περιστεράς του.

Λευ. 1,15 - καὶ προσοίσει αὐτὸ ὁ ἱερεὺς πρὸς τὸ θυσιαστήριον καὶ ἀποκνίσει τὴν κεφαλήν, καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον καὶ στραγγιεῖ τὸ αἷμα πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου.

Λευ. 1,15 - Ο ιερεύς να προσφέρη αυτό στο θυσιαστήριον, θα κόψη την κεφαλήν του πτηνού και αφού στραγγίση το αίμα προς την βάσιν του θυσιαστηρίου, θα θέση το πτηνόν επάνω εις αυτό.

Λευ. 1,16 - καὶ ἀφελεῖ τὸν πρόλοβον σὺν τοῖς πτεροῖς καὶ ἐκβαλεῖ αὐτὸ παρὰ τὸ θυσιαστήριον κατὰ ἀνατολάς εἰς τὸν τόπον τῆς σποδοῦ.

Λευ. 1,16 - Θα αφαιρέση τον πρόλοβον του πτηνού μαζή με τα πτερά, τα οποία θα απορρίψη στο μέρος, όπου ρίπτεται η στάκτη, εις την ανατολικήν πλευράν του θυσιαστηρίου.

Λευ. 1,17 - καὶ ἐκκλάσει αὐτὸ ἐκ τῶν πτερύγων καὶ οὐ διελεῖ, καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον, ἐπὶ τὰ ξύλα τὰ ἐπὶ τοῦ πυρός· κάρπωμά ἐστι, θυσία, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

Λευ. 1,17 - Κρατών αυτό ο ιερεύς από τας πτέρυγας θα το σπάση και δεν θα το διαμελίση, θα το θέση επάνω εις τα αναμμένα ξύλα του θυσιαστηρίου και η αιματηρά αυτή θυσία είναι ολοκαύτωμα ευχάριστος και ευπρόσδεκτος οσμή ευωδίας στον Κυριον.

## ΛΕΥΙΤΙΚΟΝ 2

Λευ. 2,1 - Ἐὰν δὲ ψυχὴ προσφέρῃ δῶρον θυσίαν τῷ Κυρίῳ, σεμίδαλις ἔσται τὸ δῶρον αὐτοῦ, καὶ ἐπιχεεῖ ἐπ᾿ αὐτὸ ἔλαιον καὶ ἐπιθήσει ἐπ᾿ αὐτὸ λίβανον· θυσία ἐστί.

Λευ. 2,1 - Εάν δε κανείς προσφέρη ως δώρον προς τον Κυριον αναίμακτον θυσίαν, η προσφορά του θα είναι σημιγδάλι. Θα χύση επάνω εις αυτό έλαιον και θα θέση επ' αυτού λιβάνι. Η προσφορά αυτή είναι αναίμακτος θυσία.

Λευ. 2,2 - καὶ οἴσει πρὸς τοὺς υἱοὺς Ἀαρὼν τοὺς ἱερεῖς, καὶ δραξάμενος ἀπ᾿ αὐτῆς πλήρη τὴν δράκα ἀπὸ τῆς σεμιδάλεως σὺν τῷ ἐλαίῳ καὶ πάντα τὸν λίβανον αὐτῆς, καὶ ἐπιθήσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς ἐπὶ τὸ θυσιαστήριον· θυσία, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

Λευ. 2,2 - Θα φέρη τα προς θυσίαν δώρα του προς τους ιερείς, τους υιούς του Ααρών. Ενας δε από αυτούς θα πάρη από την προσφοράν αυτήν του σημιγδαλιού μίαν χούφταν, όλον το έλαιον και όλον το λιβάνι, θα θέση αυτά στο θυσιαστήριον των ολοκαυτωμάτων, δια να ενθυμηθή ο Θεός τον προσφέροντα. Είναι η προσφορά αυτή θυσία, οσμή ευωδίας ευχάριστος και ευπρόσδεκτος από τον Κυριον.

Λευ. 2,3 - καὶ τὸ λοιπὸν ἀπὸ τῆς θυσίας Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ· ἅγιον τῶν ἁγίων ἀπὸ τῶν θυσιῶν Κυρίου.

Λευ. 2,3 - Το υπολειφθέν από την χούφταν της προσφοράς σημιγδάλι θα ανήκη στον Ααρών και στους υιούς του. Είναι αυτή προσφορά αγιωτάτη από τας προσφερομένας στον Κυριον θυσίας.

Λευ. 2,4 - ἐὰν δὲ προσφέρῃ δῶρον θυσίαν πεπεμμένην ἐν κλιβάνῳ, δῶρον Κυρίῳ ἐκ σεμιδάλεως, ἄρτους ἀζύμους πεφυραμένους ἐν ἐλαίῳ καὶ λάγανα ἄζυμα διακεχρισμένα ἐν ἐλαίῳ.

Λευ. 2,4 - Εάν προσφέρη θυσίαν αναίμακτον, ζυμωμένην και ψημένην στον φούρνον, το προς τον Κυριον τούτο δώρον θα είναι χωρίς προζύμι άρτοι από σημιγδάλι ζυμωμένοι με λάδι, και λαγάνες χωρίς προζύμι αλειμμένες με λάδι.

Λευ. 2,5 - ἐὰν δὲ θυσία ἀπὸ τηγάνου τὸ δῶρόν σου, σεμίδαλις πεφυραμένη ἐν ἐλαίῳ, ἄζυμά ἐστι.

Λευ. 2,5 - Εάν δε η αναίμακτος προσφορά σου είναι από τηγάνι (τηγανόψωμο) και αυτή θα είναι σημιγδάλι ζυμωμένο με λάδι, χωρίς προζύμι.

Λευ. 2,6 - καὶ διαθρύψεις αὐτὰ κλάσματα, καὶ ἐπιχεεῖς ἐπ᾿ αὐτὰ ἔλαιον. θυσία ἐστὶ Κυρίῳ.

Λευ. 2,6 - Αυτό, το χωρίς προζύμι με σημιγδάλι και λάδι τηγανόψωμο, θα το κόψης εις τεμάχια, επάνω εις τα οποία θα χύσης λάδι. Είναι και αυτό αναίμακτος θυσία προς τον Κυριον.

Λευ. 2,7 - ἐὰν δὲ θυσία ἀπὸ τηγάνου τὸ δῶρόν σου, σεμίδαλις ἐν ἐλαίῳ ποιηθήσεται.

Λευ. 2,7 - Εάν η αναίμακτος θυσία σου, αυτό το δώρον σου, είναι από άλλο είδος τηγανιού, θα προσφέρης σημιγδάλι ζυμωμένον και βρασμένον στο λάδι.

Λευ. 2,8 - καὶ προσοίσει τὴν θυσίαν, ἣν ἂν ποιήσῃ ἐκ τούτων τῷ Κυρίῳ, καὶ προσοίσει πρὸς τὸν ἱερέα· καὶ προσεγγίσας πρὸς τὸ θυσιαστήριον

Λευ. 2,8 - Οποιανδήποτε από τας ανωτέρω αναιμάκτους θυσίας θελήση κανείς να προσφέρη προς τον Κυριον, θα την προσφέρη στον ιερέα· ο δε ιερεύς, αφού την λάβη, θα πλησίαση προς το θυσιαστήριον,

Λευ. 2,9 - ἀφελεῖ ὁ ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς, καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον· κάρπωμα, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

Λευ. 2,9 - θα αφαιρέση από αυτήν την θυσίαν το δια τον Θεόν προοριζόμενον μέρος εις μνημόσυνον του προσφέροντος και θα θέση αυτό

στο θυσιαστήριον. Θα είναι η θυσία αυτή οσμή ευωδίας ευχάριστος και ευπρόσδεκτος στον Κυριον.

Λευ. 2,10 - τὸ δὲ καταλειφθὲν ἀπὸ τῆς θυσίας, Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ· ἅγια τῶν ἁγίων ἀπὸ τῶν καρπωμάτων Κυρίου.

Λευ. 2,10 - Το δε υπόλοιπον από την θυσίαν θα ανήκη στον Ααρών και στους υιούς του τους ιερείς. Από τας προς τον Κυριον θυσίας θα είναι αυτή αγιωτάτη.

Λευ. 2,11 - Πᾶσαν θυσίαν, ἣν ἂν προσφέρητε Κυρίῳ, οὐ ποιήσετε ζυμωτόν· πᾶσαν γὰρ ζύμην καὶ πᾶν μέλι οὐ προσοίσετε ἀπ᾿ αὐτοῦ, καρπῶσαι Κυρίῳ.

Λευ. 2,11 - Καθε θυσία, που θα προσφέρετε στον Κυριον, θα είναι χωρίς προζύμι. Καμμίαν ένζυμον προσφοράν ούτε και μέλι θα προσφέρετε ως αναίμακτον θυσίαν προς τον Θεόν.

Λευ. 2,12 - δῶρον ἀπαρχῆς προσοίσετε αὐτὰ Κυρίῳ, ἐπὶ δὲ τὸ θυσιαστήριον οὐκ ἀναβιβασθήσεται εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

Λευ. 2,12 - Αυτά, ένζυμον δηλαδή προσφοράν και μέλι, θα προσφέρετε στον Κυριον από τα πρωτογεννήματα των αγρών σας. Εις δε το θυσιαστήριον δεν θα προσφερθούν αυτά ως θυσία, δια να τα οσφρανθή ο Θεός ως οσμήν ευωδίας.

Λευ. 2,13 - καὶ πᾶν δῶρον θυσίας ὑμῶν ἁλὶ ἁλισθήσεται· οὐ διαπαύσατε ἅλας διαθήκης Κυρίου ἀπὸ θυσιασμάτων ὑμῶν, ἐπὶ παντὸς δώρου ὑμῶν προσοίσετε Κυρίῳ τῷ Θεῷ ὑμῶν ἅλας.

Λευ. 2,13 - Καθε δώρον σας ως θυσία θα συνοδεύεται και από αλάτι, ουδέποτε θα παύσετε από τας θυσίας σας το άλας της συμφωνίας σας μετά του Θεού. Εις κάθε θυσίαν σας θα προσφέρετε προς Κυριον τον Θεόν σας και άλας.

Λευ. 2,14 - ἐὰν δὲ προσφέρῃς θυσίαν πρωτογεννημάτων τῷ Κυρίῳ, νέα πεφρυγμένα χίδρα ἐρικτὰ τῷ Κυρίῳ, καὶ προσοίσεις τὴν θυσίαν τῶν πρωτογεννημάτων

Λευ. 2,14 - Εάν δε προσφέρης θυσίαν προς τον Κυριον από τα πρωτογεννήματα, αυτή θα είναι από χλωρά καψαλισμένα στάχυα, χονδροκομμένος σίτος. Θα προσφέρης δε προς τον Κυριον την θυσίαν αυτήν από τα πρωτογεννήματα ως εξής·

Λευ. 2,15 - καὶ ἐπιχεεῖς ἐπ᾿ αὐτὴν ἔλαιον καὶ ἐπιθήσεις ἐπ᾿ αὐτὴν λίβανον· θυσία ἐστί.

Λευ. 2,15 - Θα χύσης επάνω εις αυτήν λάδι και θα θέσης επάνω εις αυτήν λιβάνι. Αυτό είναι θυσία προς τον Κυριον.

Λευ. 2,16 - καὶ ἀνοίσει ὁ ἱερεὺς τὸ μνημόσυνον αὐτῆς ἀπὸ τῶν χίδρων σὺν τῷ ἐλαίῳ καὶ πάντα τὸν λίβανον αὐτῆς· κάρπωμά ἐστι τῷ Κυρίῳ.

Λευ. 2,16 - Ο δε ιερεύς θα προσφέρη προς θυσίαν, εις ανάμνησιν του προσφέροντος μέρος από το χονδροκοπανισμένο αυτό σιτάρι και όλον το

έλαιον και όλον το λιβάνι. Είναι και τούτο θυσία αναίμακτος προς τον Κυριον.

ΛΕΥΙΤΙΚΟΝ 3

Λευ. 3,1 - Ἐὰν δὲ θυσία σωτηρίου τὸ δῶρον αὐτοῦ τῷ Κυρίῳ, ἐὰν μὲν ἐκ τῶν βοῶν αὐτοῦ προσαγάγῃ, ἐάν τε ἄρσεν, ἐάν τε θῆλυ, ἄμωμον προσάξει αὐτὸ ἔναντι Κυρίου.

Λευ. 3,1 - Εάν δε προσφέρη κανείς προς τον Κυριον αιματηράν θυσίαν ευχαριστήριον δια την διάσωσίν του, δύναται να προσφέρη αυτήν από τα βόδια του αρσενικόν η θηλυκόν· θα είναι όμως χωρίς κανένα σωματικόν ελάττωμα εκείνο που θα προσφέρη στον Κυριον.

Λευ. 3,2 - καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου, καὶ σφάξει αὐτὸ ἐναντίον Κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων κύκλῳ.

Λευ. 3,2 - Ο προσφέρων θα θέση τας χείρας του επάνω εις την κεφαλήν του ζώου και θα σφάξη αυτό ενώπιον του Κυρίου πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου. Οι δε ιερείς, οι υιοί του Ααρών, θα χύσουν το αίμα κύκλω κοντά στο θυσιαστήριον των ολοκαυτωμάτων.

Λευ. 3,3 - καὶ προσάξουσιν ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου κάρπωμα Κυρίῳ, τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας

Λευ. 3,3 - Από την ευχαριστήριον αυτήν προσφοράν θα προσφέρουν οι ιερείς στον Κυριον το λίπος, που καλύπτει την κοιλίαν, και όλον το λίπος που υπάρχει εις αυτήν.

Λευ. 3,4 - καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ.

Λευ. 3,4 - Θα προσφέρουν επίσης τους δύο νεφρούς και το επάνω εις αυτούς λίπος το οποίον φθάνει μέχρι του άνω μέρους των μηρών, και τον λοβόν του ήπατος μαζή με τους νεφρούς, τα οποία και θα αφαιρέση ο προσφέρων την θυσίαν και θα τα δώση στους ιερείς.

Λευ. 3,5 - καὶ ἀνοίσουσιν αὐτὰ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὰ ὁλοκαυτώματα ἐπὶ τὰ ξύλα τὰ ἐπί τοῦ πυρὸς ἐπὶ τοῦ θυσιαστηρίου· κάρπωμα, ὀσμὴν εὐωδίας Κυρίῳ.

Λευ. 3,5 - Οι υιοί του Ααρών, οι ιερείς, θα προσφέρουν αυτά στο θυσιαστήριον των ολοκαυτωμάτων, επάνω εις τα καιόμενα ξύλα του θυσιαστηρίου. Είναι τούτο θυσία εις άσμην ευωδίας προς τον Κυριον.

Λευ. 3,6 - Ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ θυσία σωτηρίου τῷ Κυρίῳ, ἄρσεν ἢ θῆλυ, ἄμωμον προσοίσει αὐτό.

Λευ. 3,6 - Εάν όμως προσφέρη κανείς ευχαριστήριον δια την διάσωσίν του θυσίαν προς τον Κυριον από τα πρόβατά του, δύναται το προσφερόμενον ζώον να είναι αρσενικόν η θηλυκόν, χωρίς όμως σωματικόν ελάττωμα.

Λευ. 3,7 - ἐὰν ἄρνα προσαγάγῃ τὸ δῶρον αὐτοῦ, προσάξει αὐτὸ ἔναντι Κυρίου,

Λευ. 3,7 - Εάν αυτή η προσφερομένη θυσία είναι αρνί, θα προσφέρη τούτο εις την Σκηνήν ενώπιον του Κυρίου,

Λευ. 3,8 - καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ δώρου αὐτοῦ καὶ σφάξει αὐτὸ παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

Λευ. 3,8 - θα θέση τας χείρας του επάνω εις την κεφαλήν του προσφερομένου δώρου και θα σφάξη αυτό πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου. Οι δε ιερείς, οι υιοί του Ααρών, θα πάρουν το αίμα της θυσίας και θα το χύσουν πλησίον κύκλω του θυσιαστηρίου.

Λευ. 3,9 - καὶ προσοίσει ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου κάρπωμα τῷ Κυρίῳ, τὸ στέαρ καὶ τὴν ὀσφὺν ἄμωμον (σὺν ταῖς ψόαις περιελεῖ αὐτό) καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν, καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας

Λευ. 3,9 - Από την αιματηράν αυτήν ευχαριστήριον θυσίαν ο προσφέρων αυτήν θα προσφέρη στον Κυριον τυ λίπος και ολύκληρον το κρέας το περί την οσφύν μαζή με τους μυς, που υπάρχουν από την οσφύν μέχρι και τα περί τα νεφρά κρέατα και λίπη (τα νεφρομήτορα θα αφαιρέση όλα) και όλον το λίπος που σκεπάζει την κοιλίαν και το εντός της κοιλίας λίπος·

Λευ. 3,10 - καὶ ἀμφοτέρους τοὺς νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελών,

Λευ. 3,10 - τους δύο νεφρούς και το επ' αυτών λίπος, το οποίον φθάνει μέχρι του άνω μέρους των μηρών, τον λοβόν του ήπατος μαζή με τους νεφρούς. Ολα έχη τα θα τα αφαιρέση από το θυσιαζόμενον ζώον και θα τα δώση στον ιερέα.

Λευ. 3,11 - ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον· ὀσμὴ εὐωδίας, κάρπωμα Κυρίῳ.

Λευ. 3,11 - Ο δε ιερεύς θα προσφέρη όλα αυτά επάνω στο θασιαστήριον των ολοκαυτωμάτων. Θα είναι αυτή θυσία εις οσμήν ευωδίας προς τον Κυριον.

Λευ. 3,12 - Ἐὰν δὲ ἀπὸ τῶν αἰγῶν τὸ δῶρον αὐτοῦ, καὶ προσάξει ἔναντι Κυρίου.

Λευ. 3,12 - Εάν το δια θυσίαν δώρον του πρασφερθέντος είναι από τας αίγας, θα προσφέρη και αυτό στο θυσιαστήριον ενώπιον του Κυρίου.

Λευ. 3,13 - καὶ ἐπιθήσει τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ σφάξουσιν αὐτὸ ἔναντι Κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προσχεοῦσιν οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

Λευ. 3,13 - Θα θέση τας χείρας του επάνω εις την κεφαλήν του ζώου. Θα σφάξουν αυτό ενώπιον του Κυρίου πλησίον της θύρας της Σκηνής του Μαρτυρίου και οι υιοί του Ααρών, οι ιερείς, θα λάβουν το αίμα του σφαζομένου ζώου και θα χύσουν αυτό πλησίον και κύκλω του θυσιαστηρίου των ολοκαυτωμάτων.

Λευ. 3,14 - καὶ ἀνοίσει ἀπ᾿ αὐτοῦ κάρπωμα Κυρίῳ τὸ στέαρ τὸ κατακαλύπτον τὴν κοιλίαν καὶ πᾶν τὸ στέαρ τὸ ἐπί τῆς κοιλίας

Λευ. 3,14 - Από την προσφοράν αυτήν, θα προσφερθή υπό του ιερέως ως θυσία προς τον Κυριον το λίπος, που σκεπάζει την κοιλίαν, και όλον γενικώς το λίπος το εντός της κοιλίας,

Λευ. 3,15 - καὶ ἀμφοτέρους τοὺς νεφροὺς καὶ πᾶν τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ.

Λευ. 3,15 - τους δύο νεφρούς, το επάνω εις αυτούς λίπος, και το στο επάνω μέρος των μηρών λίπος, και τον λοβόν του ήπατος, όλα αυτά μαζή με τους νεφρούς θα τα αφαιρέση,

Λευ. 3,16 - καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον· κάρπωμα, ὀσμὴ εὐωδίας τῷ Κυρίῳ. πᾶν τὸ στέαρ τῷ Κυρίῳ·

Λευ. 3,16 - και ο ιερεύς θα τα προσφέρη επάνω στο θυσιαστήριον. Είναι τούτο θυσία ευάρεστος και ευπρόσδεκτος οσμή ευωδίας προς τον Κυριον. Ολον το λίπος ανήκει στον Κυριον.

Λευ. 3,17 - νόμιμον εἰς τὸν αἰῶνα εἰς τὰς γενεὰς ὑμῶν, ἐν πάσῃ κατοικίᾳ ὑμῶν· πᾶν στέαρ καὶ πᾶν αἷμα οὐκ ἔδεσθε.

Λευ. 3,17 - Νομος απαράβατος και παντοτεινός εις τας γενεάς σας και εις όλους τους τύπους της διαμονής σας είναι τούτο· Ουδέποτε θα τρώγετε ούτε λίπος ούτε αίμα.

## ΛΕΥΙΤΙΚΟΝ 4

Λευ. 4,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 4,1 - Ελάλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Λευ. 4,2 - λάλησον πρὸς τοὺς υἱοὺς Ἰσραήλ, λέγων· ψυχὴ ἐὰν ἁμάρτῃ ἔναντι Κυρίου ἀκουσίως ἀπὸ πάντων τῶν προσταγμάτων Κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ ποιήσει ἕν τι ἀπ᾿ αὐτῶν·

Λευ. 4,2 - “μίλησε και ειπέ προς τους Ισραηλίτας, εάν κανείς εξ αγνοίας και χωρίς να το θέλη αμαρτήση απέναντι του Κυρίου και παραβή μίαν από τας θείας εντολάς και διαπράξη κάτι, το οποίον απαγορεύεται από αυτάς,

Λευ. 4,3 - ἐὰν μὲν ὁ ἀρχιερεὺς ὁ κεχρισμένος ἁμάρτῃ τοῦ τὸν λαὸν ἁμαρτεῖν, καὶ προσάξει περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, μόσχον ἐκ βοῶν ἄμωμον τῷ Κυρίῳ περὶ τῆς ἁμαρτίας.

Λευ. 4,3 - εάν μεν ο αμαρτήσας είναι αρχιερεύς, ο χρισθείς με το άγιον έλαιον, είναι ωσάν να αμαρτάνη όλος ο λαός. Δια την αμαρτίαν λοιπόν αυτήν, που διέπραξε, θα προσφέρη στον Κυριον ένα μόσχον αρτιμελή, χωρίς σωματικόν ελάττωμα.

Λευ. 4,4 - καὶ προσάξει τὸν μόσχον παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου, καὶ ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι Κυρίου, καὶ σφάξει τὸν μόσχον ἐνώπιον Κυρίου.

Λευ. 4,4 - Θα φέρη τον μόσχον πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου, ενώπιον του Κυρίου, θα θύση την χείρα αυτού επάνω εις την κεφαλήν του μόσχου και θα σφάξη εκεί τον μάσχον.

Λευ. 4,5 - καὶ λαβὼν ὁ ἱερεὺς ὁ χριστὸς ὁ τετελειωμένος τὰς χεῖρας ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ εἰσοίσει αὐτὸ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου

Λευ. 4,5 - Θα λάβη ο αρχιερεύς, ο οποίος έχει χρισθή όταν ελάμβανε την ιερωσύνην με το άγιον έλαιον, ο έχων ως εκ τούτου καθηγιασμένας τας χείρας, θα λάβη από το αίμα του θυσιαζομένου μόσχου και θα φέρη αυτό εντός της Σκηνής του Μαρτυρίου.

Λευ. 4,6 - καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον εἰς τὸ αἷμα, καὶ προσρανεῖ ἀπὸ τοῦ αἵματος ἑπτάκις ἔναντι Κυρίου, κατὰ τὸ καταπέτασμα τὸ ἅγιον·

Λευ. 4,6 - Θα βυθίση ο αρχιερεύς τον δάκτυλόν του στο αίμα και από το αίμα αυτό θα ραντίση επτά φορές ενώπιον του Κυρίου στο καταπέτασμα, το οποίον χωρίζει τα Αγια από τα Αγια των Αγίων.

Λευ. 4,7 - καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τοῦ θυμιάματος τῆς συνθέσεως τοῦ ἐναντίον Κυρίου, ὅ ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ πᾶν τὸ αἷμα τοῦ μόσχου ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων, ὅ ἐστι παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

Λευ. 4,7 - Θα θέση από το αίμα αυτό του μόσχου εις τα άκρα του θυσιαστηρίου του θυμιάματος, το οποίον ευρίσκεται εντός της Σκηνής του Μαρτυρίου και επί του οποίου προσφέρεται το παρεσκευασμένον θυμίαμα. Ολον δε το υπόλοιπον αίμα του μόσχου θα το χύση εις την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων, το οποίον υπάρχει πλησίον της θύρας της Σκηνής του Μαρτυρίου.

Λευ. 4,8 - καὶ πᾶν τὸ στέαρ τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας περιελεῖ ἀπ᾿ αὐτοῦ, τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐνδόσθια καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν

ἐνδοσθίων

Λευ. 4,8 - Από όλον δε το λίπος του θυσιαζομένου δια την αμαρτίαν αυτήν μόσχου θα αφαιρέση το λίπος, που καλύπτει τα εντόσθια και το λίπος που ευρίσκεται εντός αυτών,

Λευ. 4,9 - καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν, ὅ ἐστιν ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς περιελεῖ αὐτό,

Λευ. 4,9 - τους δύο νεφρούς και το επάνω εις αυτούς λίπος το οποίον φθάνει μέχρι του άνω μέρους των μηρών, θα αφαιρέση τον λοβόν του ήπατος μαζή με τους νεφρούς,

Λευ. 4,10 - ὃν τρόπον ἀφαιρεῖται αὐτὸ ἀπὸ τοῦ μόσχου τοῦ τῆς θυσίας τοῦ σωτηρίου, καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον τῆς καρπώσεως.

Λευ. 4,10 - όπως αυτό αφαιρείται από τον μόσχον τον προσφερόμενον ως ευχαριστήριος θυσία δια την σωτηρίαν, και θα προσφέρη αυτά ο ιερεύς στο θυσιαστήριον των ολοκαυτωμάτων.

Λευ. 4,11 - καὶ τὸ δέρμα τοῦ μόσχου καὶ πᾶσαν αὐτοῦ τήν σάρκα σὺν τῇ κεφαλῇ καὶ τοῖς ἀκρωτηρίοις καὶ τῇ κοιλίᾳ καὶ τῇ κόπρῳ

Λευ. 4,11 - Και όλον το δέρμα του μόσχου και όλην την σάρκα αυτού μαζή με τα οστά και την κεφαλήν και τους πόδας και την κοιλίαν και την κόπρον,

Λευ. 4,12 - καὶ ἐξοίσουσιν ὅλον τὸν μόσχον ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν, οὗ ἐκχεοῦσι τὴν σποδιάν, καὶ κατακαύσουσιν αὐτὸν ἐπὶ ξύλων ἐν πυρί· ἐπὶ τῆς ἐκχύσεως τῆς σποδιᾶς καυθήσεται.

Λευ. 4,12 - ολόκληρον τον μόσχον θα τον βγάλουν έξω από την κατασκήνωσιν, εις τόπον καθαρόν, όπου χύνουν την στάκτην και θα καύσουν αυτόν επάνω στο πυρ καιομένων ξύλων. Εκεί όπου χύνεται η στάκτη θα καυθή ο μόσχος.

Λευ. 4,13 - Ἐὰν δὲ πᾶσα συναγωγὴ Ἰσραὴλ ἀγνοήσῃ ἀκουσίως καὶ λάθῃ ῥῆμα ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς καὶ ποιήσωσι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσωσι,

Λευ. 4,13 - Εάν όμως όλον το πλήθος των Ισραηλιτών, εξ αγνοίας και χωρίς να το θέλη, πλανηθή και παραβή μίαν των εντολών του Κυρίου, πράγμα το οποίον δεν έπρεπε να γίνη, και τοιουτοτρόπως αμαρτήσουν,

Λευ. 4,14 - καὶ γνωσθῇ αὐτοῖς ἡ ἁμαρτία, ἣν ἥμαρτον ἐν αὐτῇ, καὶ προσάξει ἡ συναγωγὴ μόσχον ἐκ βοῶν ἄμωμον περὶ τῆς ἁμαρτίας, καὶ προσάξει αὐτὸν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

Λευ. 4,14 - αμέσως μόλις το πλήθος γνωρίση την αμαρτίαν, την οποίαν διέπραξαν και συναισθανθή το σφάλμα του πρέπει να προσφέρη δια την αμαρτίαν αυτήν μόσχον χωρίς κανένα σωματικόν ελάττωμα, να τον οδηγήση πλησίον της θύρας της Σκηνής του Μαρτυρίου.

Λευ. 4,15 - καὶ ἐπιθήσουσιν οἱ πρεσβύτεροι τῆς συναγωγῆς τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου ἔναντι Κυρίου καὶ σφάξουσι τὸν μόσχον ἔναντι Κυρίου

Λευ. 4,15 - Οι εκ του πλήθους γεροντότεροι θα επιθέσουν τας χείρας των επάνω εις την κεφαλήν του μόσχου και θα σφάξουν τον μόσχον ενώπιον της Σκηνής του Κυρίου.

Λευ. 4,16 - καὶ εἰσοίσει ὁ ἱερεὺς ὁ χριστὸς ἀπὸ τοῦ αἵματος τοῦ μόσχου εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου·

Λευ. 4,16 - Ο χρισθείς με το άγιον έλαιον αρχιερεύς θα πρασφέρη από το αίμα του μόσχου εις την Σκηνήν του Μαρτυρίου·

Λευ. 4,17 - καὶ βάψει ὁ ἱερεὺς τὸν δάκτυλον ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ ῥανεῖ ἑπτάκις ἔναντι Κυρίου, κατενώπιον τοῦ καταπετάσματος τοῦ ἁγίου·

Λευ. 4,17 - θα βάψη τον δάχτυλόν του στο αίμα του μόσχου και θα ραντίση επτά φορές ενώπιον του Κυρίου, δηλαδή ενώπιον του καταπετάσματος, το οποίον χωρίζει τα Αγια από τα Αγια των Αγίων.

Λευ. 4,18 - καὶ ἀπὸ τοῦ αἵματος ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων τῆς συνθέσεως, ὅ ἐστιν ἐνώπιον Κυρίου, ὅ ἐστιν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· καὶ τὸ πᾶν αἷμα ἐκχεεῖ πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν καρπώσεων, τοῦ πρὸς τῇ θύρᾳ τῆς σκηνῆς τοῦ μαρτυρίου.

Λευ. 4,18 - Από το αίμα αυτό θα θέση ο ιερεύς εις τα εξέχοντα τέσσερα άκρα του θυσιαστηρίου, επί του οποίου προσφέρεται το παρεσκευασμένον θυμίαμα, και το οποίον ευρίσκεται ενώπιον του Κυρίου, εντός δηλαδή της Σκηνής του Μαρτυρίου. Ολον δε το υπόλοιπον αίμα θα το χύση εις την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων, το οποίον ευρίσκεται εμπρός από την θύραν της Σκηνής του Μαρτυρίου.

Λευ. 4,19 - καὶ τὸ πᾶν στέαρ περιελεῖ ἀπ᾿ αὐτοῦ καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον.

Λευ. 4,19 - Ολον δε το λίπος θα το αφαιρέση από τον μόσχον και θα το προσφέρη στο θυσιαστήριον.

Λευ. 4,20 - καὶ ποιήσει τὸν μόσχον, ὃν τρόπον ἐποίησε τὸν μόσχον τὸν τῆς ἁμαρτίας, οὕτω ποιηθήσεται· καὶ ἐξιλάσεται περί αὐτῶν ὁ ἱερεύς, καὶ ἀφεθήσεται αὐτοῖς ἡ ἁμαρτία.

Λευ. 4,20 - Οπως δε έκαμε δια τον μόσχον τον προσφερθέντα δια την αμαρτίαν αρχιερέως, έτσι θα κάμη και δια τον μόσχον αυτόν τον προσφερόμενον δια την αμαρτίαν του πλήθους. Θα προσφέρη ο αρχιερεύς την εξιλαστικήν αυτήν θυσίαν περί του λαού, και θα συγχωρηθή η αμαρτία του.

Λευ. 4,21 - καὶ ἐξοίσουσι τὸν μόσχον ὅλον ἔξω τῆς παρεμβολῆς καὶ κατακαύσουσι τὸν μόσχον, ὃν τρόπον κατέκαυσαν τὸν μόσχον τὸν πρότερον. ἁμαρτία συναγωγῆς ἐστιν.

Λευ. 4,21 - Ολον τον μόσχον θα τον βγάλουν έξω από την κατασκήνωσιν, και θα τον κατακαύσουν, όπως κατέκαυσαν τον προηγούμενον μόσχον· διότι αυτή η θυσία του μόσχου προσφέρεται δια την εξιλέωσιν αμαρτίας όλου του λαού.

Λευ. 4,22 - ἐὰν δὲ ὁ ἄρχων ἁμάρτῃ, καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ἣ οὐ ποιηθήσεται, ἀκουσίως, καὶ ἁμάρτῃ καὶ πλημμελήσῃ,

Λευ. 4,22 - Εάν δε ένας άρχων αμαρτήση από άγνοιαν και ακουσίως και παραβή μία από τας εντολάς Κυρίου του Θεού του, την οποίαν δεν έπρεπε να παραβή, και αμαρτήση τοιουτοτρόπως κατά τροπον βέβαια συγγνωστόν,

Λευ. 4,23 - καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ προσοίσει τὸ δῶρον αὐτοῦ χίμαρον ἐξ αἰγῶν, ἄρσεν ἄμωμον.

Λευ. 4,23 - κατανοήση και συναισθανθή την αμαρτίαν, την οποίαν έκαμε, θα πρσσφέρη θυσίαν ένα τράγον ο οποίος δεν θα έχη κανένα σωματικόν ελάττωμα.

Λευ. 4,24 - καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου, καὶ σφάξουσιν αὐτὸν ἐν τόπῳ, οὗ σφάζουσι τὰ ὁλοκαυτώματα ἐνώπιον Κυρίου· ἁμαρτία ἐστί.

Λευ. 4,24 - Θα θέση την χείρα του επάνω εις την κεφαλήν του τράγου και οι προς τούτο εντεταλμένοι θα σφάξουν τον τράγον στον τόπον, όπου σφάζουν τα ζώα τα προοριζόμενα δι' ολοκαυτώματα ενώπιον του Κυρίου. Αυτή η θυσία είναι θυσία περί αμαρτίας.

Λευ. 4,25 - καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς ἁμαρτίας τῷ δακτύλῳ ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων καὶ τὸ πᾶν αἷμα αὐτοῦ ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων.

Λευ. 4,25 - Ο ιερεύς με το δάκτυλόν του θα θέση από το αίμα του θυσιασθέντος περί αμαρτίας ζώου εις τα εξέχοντα τέσσαρα άκρα του θυσιαστηρίου των ολοκαυτωμάτων και όλον το αίμα του θα το χύση εις την βάσιν του θυσιαστηρίου αυτού.

Λευ. 4,26 - καὶ τὸ πᾶν στέαρ αὐτοῦ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον, ὥσπερ τὸ στέαρ θυσίας σωτηρίου. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἀφεθήσεται αὐτῷ.

Λευ. 4,26 - Ολον το λίπος αυτού θα το προσφέρη στο θυσιαστήριον, όπως προσφέρεται το λίπος της ευχαριστηρίου θυσίας δια σωτηρίαν. Ετσι δε ο ιερεύς θα προσφέρη την θυσίαν δια την εξιλέωσιν της αμαρτίας του άρχοντος. Και θα του συγχωρηθή αυτή η αμαρτία.

Λευ. 4,27 - ἐὰν δὲ ψυχὴ μία ἁμάρτῃ ἀκουσίως ἐκ τοῦ λαοῦ τῆς γῆς, ἐν τῷ ποιῆσαι μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου, ἣ οὐ ποιηθήσεται, καὶ πλημμελήσῃ,

Λευ. 4,27 - Εάν ένας άνθρωπος από το πολύ πλήθος αμαρτήση ακουσίως και εξ αγνοίας και παραβή μίαν από τας εντολάς του Κυρίου, την οποίαν δεν έπρεπε να παραβή, και διαπράξη αμαρτίαν, όχι βέβαια βαρείαν,

Λευ. 4,28 - καὶ γνωσθῇ αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρτεν ἐν αὐτῇ, καὶ οἴσει χίμαιραν ἐξ αἰγῶν, θήλειαν ἄμωμον οἴσει περὶ τῆς ἁμαρτίας, ἧς ἥμαρτε.

Λευ. 4,28 - κατανοήση δε έπειτα και συναισθανθή την αμαρτίαν, την οποίαν διέπραξε με αυτήν του την παράβασιν, θα προσφέρη μίαν χωρίς κανένα σωματικόν ελάττωμα αίγα δια την αμαρτίαν, την οποίαν διέπραξε.

Λευ. 4,29 - καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ ἁμαρτήματος αὐτοῦ καὶ σφάξουσι τὴν χίμαιραν τὴν τῆς ἁμαρτίας ἐν τῷ τόπῳ, οὗ σφάζουσι τὰ ὁλοκαυτώματα.

Λευ. 4,29 - Θα θέση την χείρα του επάνω εις την κεφαλήν της αιγός, που προσφέρεται δια την αμαρτίαν του, και θα σφάξουν αυτήν οι εντεταλμένοι στον τόπον, όπου σφάζουν τα προς ολοκαύτωσιν ζώα.

Λευ. 4,30 - καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος αὐτῆς τῷ δακτύλῳ, καὶ ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῶν ὁλοκαυτωμάτων· καὶ πᾶν τὸ αἷμα αὐτῆς ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου.

Λευ. 4,30 - Ο ιερεύς θα λάβη με το δάκτυλόν του από το αίμα του σφαζομένου ζώου και θα θέση εις τα κέρατα του θυσιαστηρίου των ολοκαυτωμάτων. Ολον δε το άλλο αίμα της αιγός θα το χύση εις την βάσιν του θυσιαστηρίου.

Λευ. 4,31 - καὶ πᾶν τὸ στέαρ περιελεῖ, ὃν τρόπον περιαιρεῖται στέαρ ἀπὸ θυσίας σωτηρίου, καὶ ἀνοίσει ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον εἰς ὀσμὴν εὐωδίας Κυρίῳ· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεύς, καὶ ἀφεθήσεται αὐτῷ.

Λευ. 4,31 - Θα αφαιρέση από το σφαγέν ζώον όλον το λίπος, όπως αυτό αφαιρείται και από την ευχαριστήριον δια την σωτηρίαν θυσίαν, και θα το φέρη ο ιερεύς επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων εις οσμήν ευωδίας προς τον Κυριον. Θα προσφέρη έτσι ο ιερεύς την εξιλαστικήν δι' αυτόν θυσίαν και θα του συγχωρηθή η αμαρτία.

Λευ. 4,32 - ἐὰν δὲ πρόβατον προσενέγκῃ τὸ δῶρον αὐτοῦ περὶ τῆς ἁμαρτίας, θῆλυ ἄμωμον προσοίσει αὐτό.

Λευ. 4,32 - Εάν δε προσφέρη προς θυσίαν δια την αμαρτίαν του πρόβατον, αυτό θα είναι θήλυ, χωρίς κανένα σωματικόν ελάττωμα.

Λευ. 4,33 - καὶ ἐπιθήσει τὴν χεῖρα ἐπὶ τὴν κεφαλὴν τοῦ τῆς ἁμαρτίας, καὶ σφάξουσιν αὐτὸ ἐν τόπῳ, οὗ σφάζουσι τὰ ὁλοκαυτώματα.

Λευ. 4,33 - Θα θέση ο προσφέρων την χείρα του επάνω εις την κεφαλήν του προβάτου του προσφερομένου δι' αμαρτίαν και θα σφάξουν αυτό οι

εντεταλμένοι στον τόπον, όπου σφάζουν τα ολοκαυτώματα.

Λευ. 4,34 - καὶ λαβὼν ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς ἁμαρτίας τῷ δακτύλῳ, ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου τῆς ὁλοκαρπώσεως. καὶ πᾶν αὐτοῦ τὸ αἷμα ἐκχεεῖ παρὰ τὴν βάσιν τοῦ θυσιαστηρίου τῆς ὁλοκαυτώσεως.

Λευ. 4,34 - Ο ιερεύς θα λάβη με τον δάκτυλόν του από το αίμα του προβάτου του θυσιασθέντος δια την αμαρτίαν και θα θέση αυτό εις τα κέρατα του θυσιαστηρίου των ολοκαυτωμάτων. Ολον δε το άλλο αίμα θα χύση πλησίον εις την βάσιν του θυσιαστηρίου.

Λευ. 4,35 - καὶ πᾶν αὐτοῦ τὸ στέαρ περιελεῖ, ὃν τρόπον περιαιρεῖται στέαρ προβάτου ἐκ τῆς θυσίας τοῦ σωτηρίου, καὶ ἐπιθήσει αὐτὸ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον ἐπὶ τὸ ὁλοκαύτωμα Κυρίου. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας, ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ.

Λευ. 4,35 - Θα αφαιρέση όλον αυτού το λίπος, όπως αφαιρείται το λίπος προβάτου, του προσφερομένου ως ευχαριστήριος θυσία δια την σωτηρίαν, και θα θέση αυτό ο ιερεύς επάνω στο θυσιαστήριον του Κυρίου, το δια τα ολοκαυτώματα· έτσι δε ο ιερεύς θα προσφέρη την εξιλαστικήν θυσίαν δια την αμαρτίαν του προσφέροντος και θα του συγχωρηθή αυτή.

## ΛΕΥΙΤΙΚΟΝ 5

Λευ. 5,1 - Ἐὰν δὲ ψυχὴ ἁμάρτῃ, καὶ ἀκούσῃ φωνὴν ὁρκισμοῦ, καὶ οὗτος μάρτυς, ἢ ἑώρακεν, ἢ σύνοιδεν, ἐὰν μὴ ἀπαγγείλῃ, λήψεται τὴν ἁμαρτίαν.

Λευ. 5,1 - Εάν κανείς αμαρτήση δι' απόκρυψιν αληθείας, όταν καλούμενος ως αυτόπτης η ως πληροφορημένος εξ ακοής μάρτυς να καταθέση ενόρκως, αυτός δε αρνηθή να καταθέση ο,τι γνωρίζει, θα του καταλογισθή αμαρτία και ενοχή.

Λευ. 5,2 - ἡ ψυχὴ ἐκείνη, ἥτις ἐὰν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ θνησιμαίου, ἢ θηριαλώτου ἀκαθάρτου, ἢ τῶν θνησιμαίων βδελυγμάτων τῶν ἀκαθάρτων, ἢ τῶν θνησιμαίων κτηνῶν τῶν ἀκαθάρτων,

Λευ. 5,2 - Εάν κανείς εγγίση οιονδήποτε ακάθαρτον πράγμα, δηλαδή θνησιμαίον ζώον η ζώον κατασπαραχθέν υπό θηρίου, είτε τούτο είναι από τα βδελυκτά ακάθαρτα ζώα άλλων λαών είτε από τα συνήθη κατοικίδια ζώα των Εβραίων,

Λευ. 5,3 - ἢ ἅψηται ἀπὸ ἀκαθαρσίας ἀνθρώπου, ἀπὸ πάσης ἀκαθαρσίας αὐτοῦ, ἧς ἂν ἁψάμενος μιανθῇ, καί ἔλαθεν αὐτόν, μετὰ τοῦτο δὲ γνῷ, καὶ πλημμελήσῃ·

Λευ. 5,3 - η εγγίση ακαθαρσίαν ανθρώπου, κάθε είδος ακαθαρσίας αυτού, δια της οποίας ο εγγίσας μολύνεται, και έπραξε τούτο εξ αγνοίας, κατόπιν δε κατενόησε και συνησθάνθη τον μολυσμόν, είναι ένοχος ενώπιον του θείου Νομου και πρέπει να καθαρισθή.

Λευ. 5,4 - ἡ ψυχή, ἣ ἂν ὀμόσῃ διαστέλλουσα τοῖς χείλεσι κακοποιῆσαι ἢ καλῶς ποιῆσαι κατὰ πάντα, ὅσα ἐὰν διαστείλῃ ὁ ἄνθρωπος μεθ᾿ ὅρκου, καὶ λάθῃ αὐτὸν πρὸ ὀφθαλμῶν, καὶ οὗτος γνῷ, καὶ ἁμάρτῃ ἕν τι τούτων,

Λευ. 5,4 - Εάν κανείς υποσχεθή να κάμη τούτο η εκείνο και βεβαιώση την υπόσχεσίν του με προφορικόν όρκον οιονδήποτε και αν είναι αυτό που ενόρκως υπεσχέθη να κάμη, του διαφύγη όμως από τον νουν και το ενθυμηθή κατόπιν, είναι ένοχος δι' αυτό που ωρκίσθη να κάμη και δεν το έκαμε.

Λευ. 5,5 - καὶ ἐξαγορεύσει τὴν ἁμαρτίαν, περὶ ὧν ἡμάρτηκε κατ᾿ αὐτῆς,

Λευ. 5,5 - Αυτός πρέπει να ομολογήση την αμαρτίαν αυτήν, την οποίαν έκαμε λησμονήσας τον όρκον του.

Λευ. 5,6 - καὶ οἴσει περὶ ὧν ἐπλημμέλησε Κυρίῳ, περὶ τῆς ἁμαρτίας ἧς ἥμαρτε, θῆλυ ἀπὸ τῶν προβάτων, ἀμνάδα ἢ χίμαιραν ἐξ αἰγῶν, περὶ ἁμαρτίας· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία.

Λευ. 5,6 - Θα φέρη εις την Σκηνήν του Μαρτυρίου δια την διαπραχθείσαν αμαρτίαν του αμνάδα η αίγα δια την συγχώρησιν της αμαρτίας. Ο ιερεύς θα προσφέρη την περί αμαρτίας εξιλαστήριον αυτήν θυσίαν, και θα του συγχωρηθή αυτή η αμαρτία του.

Λευ. 5,7 - Ἐὰν δὲ μὴ ἰσχύῃ ἡ χεὶρ αὐτοῦ τὸ ἱκανὸν εἰς τὸ πρόβατον, οἴσει περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν Κυρίῳ, ἕνα περὶ ἁμαρτίας καὶ ἕνα εἰς ὁλοκαύτωμα.

Λευ. 5,7 - Εάν όμως ο παραβάτης δεν έχη την δυνατότητα και την οικονομικήν ευχέρειαν να δώση πρόβατον, θα προσφέρη δια την αμαρτίαν, την οποίαν διέπραξε, δύο τρυγόνας η δύο νεοσσούς περιστερών. Το ένα ως θυσίαν δια την αμαρτίαν και το άλλο ως ολοκαύτωμα προς τον Κυριον.

Λευ. 5,8 - καὶ οἴσει αὐτὰ πρὸς τὸν ἱερέα, καὶ προσάξει ὁ ἱερεὺς τὸ περὶ τῆς ἁμαρτίας πρότερον· καὶ ἀποκνίσει ὁ ἱερεὺς τὴν κεφαλὴν αὐτοῦ ἀπὸ τοῦ σφονδύλου, καὶ οὐ διελεῖ·

Λευ. 5,8 - Θα φέρη αυτάς προς τον ιερέα ο οποίος θα προσφέρη θυσίαν πρώτον το περί αμαρτίας. Θα αποκόψη με τα νύχια του την κεφαλήν του πτηνού από τον σπόνδυλον, χωρίς να την αποχωρίση από τον κορμόν.

Λευ. 5,9 - καὶ ῥανεῖ ἀπὸ τοῦ αἵματος τοῦ περὶ τῆς ἁμαρτίας ἐπὶ τὸν τοῖχον τοῦ θυσιαστηρίου, τὸ δὲ κατάλοιπον τοῦ αἵματος καταστραγγιεῖ ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου· ἁμαρτία γάρ ἐστι.

Λευ. 5,9 - Θα ραντίση από το αίμα του προσφερομένου πτηνού περί αμαρτίας εις την πλευράν του θυσιαστηρίου, το δε υπόλοιπον αίμα θα το στραγγίση εις την βάσιν του θυσιαστηρίου. Τούτο δέ, διότι η θυσία αυτή προσφέρεται δι' άφεσιν αμαρτίας.

Λευ. 5,10 - καὶ τὸ δεύτερον ποιήσει ὁλοκάρπωμα, ὡς καθήκει. καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ.

Λευ. 5,10 - Το δεύτερον πτηνόν θα το προσφέρη ολοκαύτωμα, όπως είναι καθωρισμένον και πρέπον. Και με τον τρόπον αυτόν θα εξιλεώση ο ιερεύς τον Θεόν δια την αμαρτίαν, την οποίαν ο προσφέρων και θα του συγχωρηθή αυτή.

Λευ. 5,11 - ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτοῦ ζεῦγος τρυγόνων, ἢ δύο νεοσσοὺς περιστερῶν, καὶ οἴσει τὸ δῶρον αὐτοῦ, περὶ οὗ ἥμαρτε, τὸ δέκατον τοῦ οἰφὶ σεμιδάλεως περὶ ἁμαρτίας· οὐκ ἐπιχεεῖ ἐπ᾿ αὐτὸ ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ᾿ αὐτῷ λίβανον, ὅτι περὶ ἁμαρτίας ἐστί·

Λευ. 5,11 - Εάν όμως δεν έχη την οικονομικήν δυνατότητα να αγοράση και προσφέρη ζεύγος τρυγόνων η δύο νεοσσούς περιστεριών, θα προσφέρη ως θυσίαν δια την αμαρτίαν, που διέπραξε το εν δέκατον του οιφί σημιγδάλι (δύο περίπου χιλιόγραμμα). Δεν θα χύση επάνω εις αυτό έλαιον ούτε θα θέση λιβάνι, διότι πρόκειται περί θυσίας εις εξιλέωσιν αμαρτίας.

Λευ. 5,12 - καὶ οἴσει αὐτὸ πρὸς τὸν ἱερέα. καὶ δραξάμενος ὁ ἱερεὺς ἀπ᾿ αὐτῆς πλήρη τὴν δράκα, τὸ μνημόσυνον αὐτῆς ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον τῶν ὁλοκαυτωμάτων Κυρίῳ· ἁμαρτία ἐστί.

Λευ. 5,12 - Θα φέρη αυτό στον ιερέα. Ο δε ιερεύς, εις ανάμνησιν υπέρ του προσφέροντας θα πάρη από αυτό μίαν γεμάτην χούφταν και θα το βάλη επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων δια τον Κυριον. Τούτο, επειδή η θυσία αυτή είναι περί αμαρτίας.

Λευ. 5,13 - καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἁμαρτίας αὐτοῦ, ἧς ἥμαρτεν, ἀφ᾿ ἑνὸς τούτων, καὶ ἀφεθήσεται αὐτῷ. τὸ δὲ καταλειφθὲν ἔσται τῷ ἱερεῖ, ὡς ἡ θυσία τῆς σεμιδάλεως.

Λευ. 5,13 - Ετσι δε ο ιερεύς θα εξιλεώση αυτόν δια την αμαρτίαν, την οποίαν διέπραξε και η οποία θα του συγχωρηθή. Το υπόλοιπον από την θυσίαν αλεύρι θα ανήκη στον ιερέα, όπως η θυσία του σημιγδαλιού”.

Λευ. 5,14 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν, λέγων·

Λευ. 5,14 - Ωμίλησεν ακόμη ο Κυριος προς τον Μωϋσήν και είπε·

Λευ. 5,15 - ψυχὴ ἣ ἂν λάθῃ αὐτὸν λήθῃ καὶ ἁμάρτῃ ἀκουσίως ἀπὸ τῶν ἁγίων Κυρίου, καὶ οἴσει τῆς πλημμελείας αὐτοῦ τῷ Κυρίῳ κριὸν ἄμωμον ἐκ τῶν προβάτων, τιμῆς ἀργυρίου σίκλων, τῷ σίκλῳ τῶν ἁγίων, περὶ οὗ ἐπλημμέλησε.

Λευ. 5,15 - “εάν κανείς ακουσίως και εξ αγνοίας αμαρτήση ασυναισθήτως εις τα άγια του Κυρίου πράγματα, θα προσφέρη θυσίαν προς τον Κυριον δια το εξ αγνοίας αυτό πλημμέλημά του ένα κριον από τα πρόβατά του, χωρίς κανένα σωματικόν ελάττωμα, αξίας δύο τουλάχιστον αργυρών σίκλων από τους σίκλους τους κυκλοφορούντας ως νόμισμα εις την περιοχήν της Σκηνής του Μαρτυρίου (τέσσαρες αττικαί δραχμαί).

Λευ. 5,16 - καὶ ὃ ἥμαρτεν ἀπὸ τῶν ἁγίων ἀποτίσει αὐτό. καὶ τὸ ἐπίπεμπτον προσθήσει ἐπ᾿ αὐτὸ καὶ δώσει αὐτὸ τῷ ἱερεῖ· καὶ ὁ ἱερεὺς ἐξιλάσεται περὶ αὐτοῦ ἐν τῷ κριῷ τῆς πλημμελείας, καὶ ἀφεθήσεται αὐτῷ.

Λευ. 5,16 - Θα πληρώση δε και την ζημίαν, που επροξένησεν εις τα άγια πράγματα, θα προσθέση επί πλέον και το εν πέμπτον της αξίας, αυτά δε θα τα δώση στον ιερέα. Ο ιερεύς προσφέρων τον κριον θυσίαν θα εξιλεώση αυτόν δια την αμαρτίαν του και θα του συγχωρηθή αυτή η αμαρτία.

Λευ. 5,17 - Καὶ ἡ ψυχὴ ἣ ἂν ἁμάρτῃ καὶ ποιήσῃ μίαν ἀπὸ πασῶν τῶν ἐντολῶν Κυρίου, ὧν οὐ δεῖ ποιεῖν, καὶ οὐκ ἔγνω, καὶ πλημμελήσῃ καὶ λάβῃ τὴν ἁμαρτίαν,

Λευ. 5,17 - Εάν κανείς από άγνοιαν αμαρτήση παραβαίνων μίαν από όλας τας εντολάς του Κυρίου, την οποίαν δεν θα έπρεπε να παραβή, είναι ένοχος δια την αμαρτίαν αυτήν.

Λευ. 5,18 - καὶ οἴσει κριὸν ἄμωμον ἐκ τῶν προβάτων, τιμῆς ἀργυρίου εἰς πλημμέλειαν πρὸς τὸν ἱερέα. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ τῆς ἀγνοίας αὐτοῦ, ἧς ἠγνόησε, καὶ αὐτὸς οὐκ ᾔδει, καὶ ἀφεθήσεται αὐτῷ·

Λευ. 5,18 - Δια την συγχώρησιν της αμαρτίας του θα προσφέρη από τα πρόβατά του αρτιμελή κριον αξίας ενός αργυρού σίκλου, προς τον ιερέα· ο δε ιερεύς προσφέρων αυτήν την θυσίαν θα εξιλεώση αυτόν δια την αμαρτίαν, την οποίαν αυτός εξ αγνοίας και χωρίς να γνωρίζη διέπραξε, η οποία και θα του συγχωρηθή.

Λευ. 5,19 - ἐπλημμέλησε γὰρ πλημμελείᾳ ἔναντι Κυρίου.

Λευ. 5,19 - Ημάρτησε, διότι εφάνη τόσον επιπόλαιος και αμελής ενώπιον του Κυρίου”.

Λευ. 5,20 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 5,20 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν και είπεν

Λευ. 5,21 - ψυχὴ ἣ ἐὰν ἁμάρτῃ καὶ παριδὼν παρίδῃ τὰς ἐντολὰς Κυρίου καὶ ψεύσηται τὰ πρὸς τὸν πλησίον ἐν παραθήκῃ ἢ περὶ κοινωνίας ἢ περὶ ἁρπαγῆς ἢ ἠδίκησέ τι τὸν πλησίον

Λευ. 5,21 - “εάν κανείς αμαρτήση παραβλέπων και παραβαίνων τας εντολάς του Κυρίου, και είπη ψέματα προς τον πλησίον του δια πράγμα που έχει κατατεθή εις αυτόν προς φύλαξιν η δι' ενέχυρον η δι' αρπαγήν η δι' άλλην τινά αδικίαν εναντίον του πλησίον,

Λευ. 5,22 - ἢ εὗρεν ἀπώλειαν καὶ ψεύσηται περὶ αὐτῆς καὶ ὀμόσῃ ἀδίκως περὶ ἑνὸς ἀπὸ πάντων, ὧν ἐὰν ποιήσῃ ὁ ἄνθρωπος, ὥστε

ἁμαρτεῖν ἐν τούτοις,

Λευ. 5,22 - η εύρε χαμένον πράγμα και είπη ψέματα δι' αυτό και ορκισθή ψευδώς, και γενικώς αν διαπράξη άλλην τινά αμαρτίαν παραβαίνων τας εντολάς του Κυρίου, ώστε να γίνη παραβάτης αυτών,

Λευ. 5,23 - καὶ ἔσται ἡνίκα ἐὰν ἁμάρτῃ καὶ πλημμελήσῃ, καὶ ἀποδῷ τὸ ἅρπαγμα, ὃ ἥρπασεν, ἢ τὸ ἀδίκημα, ὃ ἠδίκησεν, ἢ τὴν παραθήκην, ἥτις παρετέθη αὐτῷ, ἢ τὴν ἀπώλειαν, ἣν εὗρεν,

Λευ. 5,23 - εάν λοιπόν αμαρτήση και κατόπιν συναισθανθή το αμάρτημά του, θα αποδώση αυτό το οποίον ήρπασεν η θα αποκαταστήση την αδικίαν που διέπραξεν η θα επιοτρέψη την παρακαταθήκην που του είχαν εμπιστευθή η θα αποδώση το χαιμένον πράγμα που ευρήκεν στον κύριόν του,

Λευ. 5,24 - ἀπὸ παντὸς πράγματος, οὗ ὤμοσε περὶ αὐτοῦ ἀδίκως, καὶ ἀποτίσει αὐτὸ τὸ κεφάλαιον καὶ τὸ ἐπίπεμπτον προσθήσει ἐπ᾽ αὐτό· τίνος ἐστίν, αὐτῷ ἀποδώσει ᾗ ἡμέρᾳ ἐλεγχθῇ.

Λευ. 5,24 - δια κάθε γενικώς πράγμα, δια το οποίον εψευδόρκησε θα δώση ολόκληρον το κεφάλαιον και επί πλέον το εν πέμπτον του κεφαλαίου ως πρόστιμον. Θα επιστρέψη αυτό στον ιδιοκτήτην του, όταν συναισθανθή και κατανοήση το σφάλμα του.

Λευ. 5,25 - καὶ τῆς πλημμελείας αὐτοῦ οἴσει τῷ Κυρίῳ κριὸν ἀπὸ τῶν προβάτων ἄμωμον, τιμῆς, εἰς ὃ ἐπλημμέλησε.

Λευ. 5,25 - Δια την αδικίαν αυτήν, που διέπραξε, θα προσφέρη προς τον Κυριον από τα πρόβατά του προς θυσίαν κριον αρτιμελή αξίας αναλόγου προς την αδικίαν, που διέπραξε.

Λευ. 5,26 - καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου, καὶ ἀφεθήσεται αὐτῷ περὶ ἑνὸς ἀπὸ πάντων, ὧν ἐποίησε καὶ ἐπλημμέλησεν αὐτῷ.

Λευ. 5,26 - Ο ιερεύς δια της θυσίας του κριου θα εξιλεώση υπέρ αυτού τον Κυριον δια την παράβασιν και θα του συγχωρηθή η οιαδήποτε αμαρτία, την οποίαν διέπραξε.

## ΛΕΥΙΤΙΚΟΝ 6

Λευ. 6,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 6,1 - Ομίλησεν ο Κυριος προς τον Μωϋσήν και είπε·

Λευ. 6,2 - ἔντειλαι Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λέγων· οὗτος ὁ νόμος τῆς ὁλοκαυτώσεως· αὐτὴ ἡ ὁλοκαύτωσις ἐπὶ τῆς καύσεως αὐτῆς ἐπὶ τοῦ θυσιαστηρίου ὅλην τὴν νύκτα ἕως τὸ πρωΐ, καὶ τὸ πῦρ τοῦ θυσιαστηρίου καυθήσεται ἐπ᾽ αὐτοῦ, οὐ σβεσθήσεται.

Λευ. 6,2 - “Δώσε τας ακολούθους εντολάς στον Ααρών και τους υιούς του· Αυτός είναι ο Νομος δια την θυσίαν των ολοκαυτωμάτων. Το επί του θυσιαστηρίου προς ολοκαύτωσιν προσφερόμενον ζώον θα μείνη επί του θυσιαστηρίου καθ' όλην την νύκτα μέχρι της πρωΐας και καθ' όλον αυτό το διάστημα το πυρ του θυσιαστηρίου θα είναι αναμμένον και δεν θα σβήση.

Λευ. 6,3 - καὶ ἐνδύσεται ὁ ἱερεὺς χιτῶνα λινοῦν καὶ περισκελὲς λινοῦν ἐνδύσεται περὶ τὸ σῶμα αὐτοῦ, καὶ ἀφελεῖ τὴν κατακάρπωσιν, ἣν ἂν καταναλώσῃ τὸ πῦρ, τὴν ὁλοκαύτωσιν, ἀπὸ τοῦ θυσιαστηρίου, καὶ παραθήσει αὐτὸ ἐχόμενον τοῦ θυσιαστηρίου.

Λευ. 6,3 - Την πρωΐαν ο ιερεύς θα φορέση τον λινόν χιτώνα χαι επί της σαρκός αυτού θα φορέση την λινήν περιισκελίδα. Θα αφαιρέση από το θυσιαστήριον την στάκτην του καέντος ολοκαυτώματος και θα θέση αυτήν πλησίον του θυσιαστηρίου.

Λευ. 6,4 - καὶ ἐκδύσεται τὴν στολὴν αὐτοῦ καὶ ἐνδύσεται στολὴν ἄλλην, καὶ ἐξοίσει τὴν κατακάρπωσιν ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν.

Λευ. 6,4 - Κατόπιν θα αφαιρέση την ιερατικήν αυτήν στολήν και θα ενδυθή την άλλην, την καθημερινήν, και θα φέρη την στάκτην έξω από την κατασκήνωσιν εις καθαρόν ωρισμένον τόπον.

Λευ. 6,5 - καὶ πῦρ ἐπὶ τὸ θυσιαστήριον καυθήσεται ἀπ᾽ αὐτοῦ καὶ οὐ σβεσθήσεται, καὶ καύσει ἐπ᾽ αὐτοῦ ὁ ἱερεὺς ξύλα τὸ πρωΐ πρωΐ· καὶ στοιβάσει ἐπ᾽ αὐτοῦ τὴν ὁλοκαύτωσιν καὶ ἐπιθήσει ἐπ᾽ αὐτὸ τὸ στέαρ τοῦ σωτηρίου·

Λευ. 6,5 - Το πυρ επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων θα διατηρήται άσβεστον και δεν θα σβήση ποτέ. Προς τον σκοπόν τούτον ο ιερεύς κάθε πρωί και εν συνεχεία θα στοιβάζη ξύλα και θα θέση επάνω εις τα καιόμενα ξύλα το προς ολοκαύτωσιν προσφερθέν ζώον όπως επίσης και το λίπος του ζώου, όταν πρόκειται περί ευχαριστηρίου θυσίας.

Λευ. 6,6 - καὶ πῦρ διὰ παντὸς καυθήσεται ἐπὶ τὸ θυσιαστήριον, οὐ σβεσθήσεται.

Λευ. 6,6 - Το πυρ θα καίη πάντοτε νυχθημερόν επάνω στο θυσιαστήριον. Δεν θα σβησθή ποτέ.

Λευ. 6,7 - Οὗτος ὁ νόμος τῆς θυσίας, ἣν προσάξουσιν αὐτὴν οἱ υἱοὶ Ἀαρὼν ἔναντι Κυρίου ἀπέναντι τοῦ θυσιαστηρίου·

Λευ. 6,7 - Η τυπική διάταξις δια την θυσίαν, την οποίαν θα προσφέρουν ενώπιον του Κυρίου προ του θυσιαστηρίου οι υιοί του Ααρών, οι ιερείς, είναι η εξής·

Λευ. 6,8 - καὶ ἀφελεῖ ἀπ᾽ αὐτοῦ τῇ δρακὶ ἀπὸ τῆς σεμιδάλεως τῆς θυσίας σὺν τῷ ἐλαίῳ αὐτῆς καὶ σὺν παντὶ τῷ λιβάνῳ αὐτῆς τὰ ὄντα ἐπὶ τῆς θυσίας καὶ ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον κάρπωμα, ὀσμὴν εὐωδίας, τὸ μνημόσυνον αὐτῆς τῷ Κυρίῳ.

Λευ. 6,8 - Θα αφαιρέση ο ιερεύς από το προς θυσίαν προσφερθέν μίαν χούφταν από το σημιγδάλι το αναμεμιγμένον με το προσφερθέν έλαιον, θα πάρη ακόμη ολο το λιβάνι το προσφερθέν προς θυσίαν, και όλα αυτά θα τα φέρη ως ολοκαύτωσιν προς τον Κυριον. Αυτή θα είναι ευάρεστος και ευπρόσδεκτος οσμή προς τον Κυριον εις μνήμην του προσφέροντος.

Λευ. 6,9 - τὸ δὲ καταλειφθὲν ἀπ᾿ αὐτῆς ἔδεται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ· ἄζυμα βρωθήσεται ἐν τόπῳ ἁγίῳ, ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου ἔδονται αὐτήν.

Λευ. 6,9 - Το υπόλοιπον της θυσίας αυτής θα φάγουν ο Ααρών και οι υιοί του. Τα άζυμα αυτά θα φαγωθούν στον άγιον τόπον, δηλαδή εις την αυλήν της Σκηνής του Μαρτυρίου. Εκεί θα τα φάγουν.

Λευ. 6,10 - οὐ πεφθήσεται ἐζυμωμένη· μερίδα αὐτὴν ἔδωκα αὐτοῖς ἀπὸ τῶν καρπωμάτων Κυρίου· ἅγια ἁγίων ἐστίν, ὥσπερ τὸ τῆς ἁμαρτίας καὶ ὥσπερ τὸ τῆς πλημμελείας.

Λευ. 6,10 - Το σημιγδάλι, που προσφέρεται προς θυσίαν, δεν θα ψηθή ζυμωμένον με προζύμι. Το φύραμα θα είναι άζυμον. Αυτό το υπόλοιπον σημιγδάλι το έδωκα εις αυτούς ως μερίδιόν των από την προς τον Κυριον θυσίαν. Είναι αγιώτατον· το ίδιο θα γίνεται και όταν πρόκειται είτε περί θυσίας προσφερομένης υπέρ αμαρτίας ελαφράς είτε περί θυσίας προσφερομένης δια βαρυτέραν αμαρτίαν.

Λευ. 6,11 - πᾶν ἀρσενικὸν τῶν ἱερέων ἔδονται αὐτήν· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἀπὸ τῶν καρπωμάτων Κυρίου. πᾶς ὃς ἐὰν ἅψηται αὐτῶν, ἁγιασθήσεται.

Λευ. 6,11 - Καθε άρρεν μέλος των οικογενειών των ιερέων θα τρώγουν αυτήν. Αυτό είναι νόμος παντοτεινός εις όλας τας γενεάς σας σχετικώς με τας θυσίας τας προσφερομένας προς τον Κυριον. Καθε άλλος, ο οποίος ήθελεν εγγίσει τας θυσίας αυτάς, είναι υπεύθυνος και πρέπει να καθαρθή, να αγιασθή”.

Λευ. 6,12 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 6,12 - Ελάλησεν άκομη ο Κυριος προς τον Μωϋσήν και είπεν·

Λευ. 6,13 - τοῦτο τὸ δῶρον Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ, ὃ προσοίσουσι Κυρίῳ ἐν τῇ ἡμέρᾳ, ᾗ ἂν χρίσῃς αὐτόν· τὸ δέκατον τοῦ οἰφὶ σεμιδάλεως εἰς θυσίαν διὰ παντός, τὸ ἥμισυ αὐτῆς τὸ πρωΐ, καὶ τὸ ἥμισυ αὐτῆς τὸ δειλινόν.

Λευ. 6,13 - “αυτή θα είναι η προς θυσίαν προσφορά του Ααρών και των υιών του, που θα προσφέρουν αυτοί προς τον Κυριον την ημέραν κατά την οποίαν θα χρίσης ένα από αυτούς ως αρχιερέα. Θα προσφέρη αυτός το εν δέκατον του οιφί (δύο περίπου κιλά σημιγδάλι ως καθημερινήν θυσίαν, το ήμισυ από αυτό θα το προσφέρη το πρωϊ και το άλλο ήμισυ το δειλινόν.

Λευ. 6,14 - ἐπὶ τηγάνου ἐν ἐλαίῳ ποιηθήσεται, πεφυραμένην οἴσει αὐτήν, ἑλικτά, θυσίαν ἐκ κλασμάτων, θυσίαν εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

Λευ. 6,14 - Η θυσία αυτή ζυμωμένη με λάδι θα κατασκευασθή στο τηγάνι και θα την προσφέρης διπλωμένην εις τεμάχια χωριστά το καθένα. Αυτή είναι θυσία εις οσμήν ευωδίας προς τον Κυριον.

Λευ. 6,15 - ὁ ἱερεὺς ὁ χριστὸς ἀντ᾿ αὐτοῦ ἐκ τῶν υἱῶν αὐτοῦ ποιήσει αὐτήν· νόμος αἰώνιος, ἅπαν ἐπιτελεσθήσεται.

Λευ. 6,15 - Αυτήν την καθημερινήν θυσίαν θα την προσφέρη και ο υιός του Ααρών, ο διάδοχός του στο λειτούργημα της ιερωσύνης. Ο νόμος ούτος θα είναι παντοτεινός και απαράβατος και η θυσία αυτή θα προσφέρεται εξ ολοκλήρου στο θυσιαστήριον των ολοκαυτωμάτων.

Λευ. 6,16 - καὶ πᾶσα θυσία ἱερέως ὁλόκαυτος ἔσται καὶ οὐ βρωθήσεται.

Λευ. 6,16 - Καθε θυσία του ιερέως θα είναι ολοκαύτωμα στο θυσιαστήριον των ολοκαυτωμάτων. Θα καίεται εξ ολοκλήρου και κανένα μέρος αυτής δεν θα τρώγεται".

Λευ. 6,17 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 6,17 - Ο Κυριος ελάλησε προς τον Μωϋσήν και είπε·

Λευ. 6,18 - λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· οὗτος ὁ νόμος τῆς ἁμαρτίας· ἐν τόπῳ, οὗ σφάζουσι τὸ ὁλοκαύτωμα, σφάξουσι τὰ περὶ τῆς ἁμαρτίας ἔναντι Κυρίου· ἅγια ἁγίων ἐστίν.

Λευ. 6,18 - "Ειπέ στον Ααρών και τους υιούς του αυτά· Ούτος είναι ο νόμος, το τυπικόν, σύμφωνα με το οποίον θα προσφέρεται η θυσία δια την αμαρτίαν. Εκεί, όπου σφάζουν το προς ολοκαύτωσιν ζώον, θα σφάξουν και τα ζώα, που προσφέρονται ως θυσία περί αμαρτίας, δηλαδή εις την αυλήν ενώπιον της Σκηνής του Κυρίου· είναι αυτά αγιώτατα.

Λευ. 6,19 - ὁ ἱερεὺς ὁ ἀναφέρων αὐτὴν ἔδεται αὐτήν· ἐν τόπῳ ἁγίῳ βρωθήσεται, ἐν αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου.

Λευ. 6,19 - Ο ιερεύς, που προσφέρει την θυσίαν, θα φάγη αυτήν. Θα φαγωθή στον τόπον τον άγιον δηλαδή εις την αυλήν της Σκηνής του Μαρτυρίου.

Λευ. 6,20 - πᾶς ὁ ἁπτόμενος τῶν κρεῶν αὐτῆς ἁγιασθήσεται· καὶ ᾧ ἐὰν ἐπιῤῥαντισθῇ ἀπὸ τοῦ αἵματος αὐτῆς ἐπὶ τὸ ἱμάτιον, ὃς ἐὰν ῥαντισθῇ ἐπ᾿ αὐτό, πλυθήσεται ἐν τόπῳ ἁγίῳ.

Λευ. 6,20 - Καθε άλλος, που εγγίζει τα κρέατα αυτά, είναι υπεύθυνος και πρέπει να καθαρθή, να αγιασθή. Και εκείνός που θα ραντισθή με το αίμα αυτό της θυσίας, πρέπει να πλύνη το ιμάτιόν του στον ιερόν τόπον της Σκηνής του Μαρτυρίου.

Λευ. 6,21 - καὶ σκεῦος ὀστράκινον, οὗ ἐὰν ἑψηθῇ ἐν αὐτῷ, συντριβήσεται· ἐὰν δὲ ἐν σκεύει χαλκῷ ἑψηθῇ, ἐκτρίψει αὐτὸ καὶ ἐκκλύσει ὕδατι.

Λευ. 6,21 - πήλινον σκεύος, επί του οποίου θα ψηθή κάποια θυσία, πρέπει να συντρίβεται. Εάν δε το δοχείον, όπου θα ψηθή η θυσία, είναι χάλκινον, πρέπει να το τρίψης καλά και να το πλύνης με πολύ νερό.

Λευ. 6,22 - πᾶς ἄρσην ἐν τοῖς ἱερεῦσι φάγεται αὐτά· ἅγια ἁγίων ἐστὶ Κυρίῳ.

Λευ. 6,22 - Μονον αρσενικόν μέλος από την οικογένειαν των ιερέων θα φάγη αυτά, διότι είναι αγιώτατα, αφιερωμένα στον Κυριον.

Λευ. 6,23 - καὶ πάντα τὰ περὶ τῆς ἁμαρτίας, ὧν ἐὰν εἰσενεχθῇ ἀπὸ τοῦ αἵματος αὐτῶν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ, οὐ βρωθήσεται· ἐν πυρὶ κατακαυθήσεται.

Λευ. 6,23 - Από θυσίας, αι οποίαι προσφέρονται περί αμαρτίας και από το αίμα των ζώων, που φέρετε εμπρός εις τα άγια της Σκηνής του Μαρτυρίου προς εξιλασμόν, δεν θα φάγετε. Θα καίωνται εξ ολοκλήρου στο θυσιαστήριον.

## ΛΕΥΙΤΙΚΟΝ 7

Λευ. 7,1 - Καὶ οὗτος ὁ νόμος τοῦ κριοῦ τοῦ περὶ τῆς πλημμελείας· ἅγια ἁγίων ἐστίν.

Λευ. 7,1 - Αυτός είναι ο νόμος, η τυπική διάταξις, περί της προσφοράς θυσίας κριου δια βαρύτερον αμάρτημα. Η θυσία αυτή είναι αγιωτάτη.

Λευ. 7,2 - ἐν τόπῳ οὗ σφάζουσι τὸ ὁλοκαύτωμα, σφάξουσι τὸν κριὸν τῆς πλημμελείας ἔναντι Κυρίου, καὶ τὸ αἷμα προσχεεῖ ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου κύκλῳ.

Λευ. 7,2 - Εκεί όπου σφάζουν τα ολοκαυτώματα, εις την αυλήν της Σκηνής του Μαρτυρίου ενώπιον του Κυρίου, θα σφάξουν και τον κριον τον πρασφερόμενον δια σοβαρωτέραν τινα αμαρτίαν. Το αίμα τούτου θα χυθή υπό του ιερέως κύκλω περί την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων.

Λευ. 7,3 - καὶ πᾶν τὸ στέαρ αὐτοῦ προσοίσει ἀπ᾿ αὐτοῦ, καὶ τὴν ὀσφὺν καὶ πᾶν τὸ στέαρ τὸ κατακαλύπτον τὰ ἐνδόσθια καὶ πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐνδοσθίων

Λευ. 7,3 - Επάνω στο θυσιαστήριον θα προσφέρη ο ιερεύς όλον το λίπος του κριου, το περί την οσφύν κρέας, το λίπος το οποίον καλύπτει τα εντόσθια και όλον το λίπος το οποίον υπάρχει εσωτερικώς μεταξύ των εντοσθίων.

Λευ. 7,4 - καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν, τὸ ἐπὶ τῶν μηρίων, καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος σὺν τοῖς νεφροῖς, περιελεῖ αὐτά,

Λευ. 7,4 - Θα αφαιρέση προηγουμένως ο ιερεύς τους νεφρούς και το λίπος, που υπάρχει επάνω εις αυτούς και το οποίον φθάνει έως εις τα επάνω μέρη του μηρού. Θα προσφέρη τον λοβόν του συκωτιού μαζή με τα νεφρά.

Λευ. 7,5 - καὶ ἀνοίσει αὐτὰ ὁ ἱερεὺς ἐπὶ τὸ θυσιαστήριον κάρπωμα τῷ Κυρίῳ· περὶ πλημμελείας ἐστί.

Λευ. 7,5 - Ολα αυτά θα τα προσφέρη ο ιερεύς θυσίαν προς τον Κυριον στο θυσιαστήριον των ολοκαυτωμάτων. Αυτή προσφέρεται δια βαρυτέραν αμαρτίαν.

Λευ. 7,6 - πᾶς ἄρσην ἐκ τῶν ἱερέων ἔδεται αὐτά, ἐν τόπῳ ἁγίῳ ἔδονται αὐτά· ἅγια ἁγίων ἐστίν.

Λευ. 7,6 - Μονον οι άρρενες εκ των μελών της ιερατικής οικογενείας θα φάγουν αυτά και στον άγιον τόπον, διότι είναι αγιώτατα.

Λευ. 7,7 - ὥσπερ τὸ περὶ τῆς ἁμαρτίας, οὕτω καὶ τὸ τῆς πλημμελείας, νόμος εἷς αὐτῶν· ὁ ἱερεὺς ὅστις ἐξιλάσσεται ἐν αὐτῷ, αὐτῷ ἔσται.

Λευ. 7,7 - Οπως γίνεται η προσφορά θυσίας δι' ελαφρόν αμάρτημα, έτσι θα γίνεται και δια βαρυτέραν αμαρτίαν. Ενα τυπικόν θα διέπη αυτά. Ο ιερεύς δε ο οποίος θα προσφέρη προς εξιλέωσιν τας θυσίας αυτάς, θα παίρνη ως ιδικά του τα υπόλοιπα από αυτάς τας θυσίας.

Λευ. 7,8 - καὶ ὁ ἱερεὺς ὁ προσάγων ὁλοκαύτωμα ἀνθρώπου, τὸ δέρμα τῆς ὁλοκαυτώσεως, ἧς προσφέρει αὐτός, αὐτῷ ἔσται.

Λευ. 7,8 - Ο ιερεύς επίσης ο οποίος προσφέρει θυσίαν ολοκαυτώματος, προσφοράν Ισραηλίτου τινός, θα λαμβάνη το δέρμα του θυσιασθέντος ζώου.

Λευ. 7,9 - καὶ πᾶσα θυσία, ἥτις ποιηθήσεται ἐν τῷ κλιβάνῳ, καὶ πᾶσα, ἥτις ποιηθήσεται ἐπ᾿ ἐσχάρας ἢ ἐπὶ τηγάνου, τοῦ ἱερέως τοῦ προσφέροντος αὐτήν, αὐτῷ ἔσται.

Λευ. 7,9 - Αλλά και τα υπολείμματα πάσης άλλης θυσίας, η οποία θα γίνη στον κλίβανον και εκείνης η οποία θα γίνη εις την εσχάραν η το τηγάνι, ανήκουν στον ιερέα, ο οποίος τα προσέφερε.

Λευ. 7,10 - καὶ πᾶσα θυσία ἀναπεποιημένη ἐν ἐλαίῳ καὶ μὴ ἀναπεποιημένη πᾶσι τοῖς υἱοῖς Ἀαρὼν ἔσται, ἑκάστῳ τὸ ἴσον.

Λευ. 7,10 - Τα υπόλοιπα όμως πάσης άλλης θυσίας, η οποία είναι αναμεμιγμένη με έλαιον, η και δεν είναι αναμεμιγμένη με έλαιον, θα ανήκη εις όλους τους ιερείς τους υιούς του ' Ααρών, κατά ίσον μερίδιον εις καθένα από αυτούς.

Λευ. 7,11 - Οὗτος ὁ νόμος θυσίας σωτηρίου, ἣν προσοίσουσι Κυρίῳ.

Λευ. 7,11 - Ο κατωτέρω νόμος θα κανονίζη ευχαριστήριον δια σωτηρίαν θυσίαν, την οποίαν οι Ισραηλίται εις ένδειξιν ευγνωμοσύνης θα προσφέρουν στον Κυριον.

Λευ. 7,12 - ἐὰν μὲν περὶ αἰνέσεως προσφέρῃ αὐτήν, καὶ προσοίσει ἐπὶ τῆς θυσίας τῆς αἰνέσεως ἄρτους ἐκ σεμιδάλεως ἀναπεποιημένους ἐν ἐλαίῳ, λάγανα ἄζυμα διακεχρισμένα ἐν ἐλαίῳ καὶ σεμίδαλιν πεφυραμένην ἐν ἐλαίῳ·

Λευ. 7,12 - Εάν μεν προσφέρη κανείς αυτήν εις δοξολογίαν προς τον Θεόν, θα προσφέρη εις απαρτισμόν αυτής άρτους από σημιγδάλι αναμεμιγμένους με λάδι, λαγάνες χωρίς προζύμι αλειμμένες με λάδι και σημιγδάλι ζυμωμένον και ψημένον με λάδι.

Λευ. 7,13 - ἐπ᾿ ἄρτοις ζυμίταις προσοίσει τὰ δῶρα αὐτοῦ ἐπὶ θυσίᾳ αἰνέσεως σωτηρίου.

Λευ. 7,13 - Μαζή με ενζύμους άρτους θα προσφέρη αυτά τα δώρα του προς θυσίαν δοξολογίας στον Θεόν δια την σωτηρίαν.

Λευ. 7,14 - καὶ προσάξει ἓν ἀπὸ πάντων τῶν δώρων αὐτοῦ, ἀφαίρεμα Κυρίῳ. τῷ ἱερεῖ τῷ προσχέοντι τὸ αἷμα τοῦ σωτηρίου, αὐτῷ ἔσται.

Λευ. 7,14 - Ενα μέρος από τα δώρα, που θα προσφέρη προς τον Κυριον, θα ανήκη στον ιερέα, ο οποίος θα χύση το αίμα, της δια την σωτηρίαν αυτής θυσίας γύρω από την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων.

Λευ. 7,15 - καὶ τὰ κρέα θυσίας αἰνέσεως σωτηρίου αὐτῷ ἔσται, καὶ ἐν ᾗ ἡμέρᾳ δωρεῖται, βρωθήσεται· οὐ καταλείψουσιν ἀπ᾿ αὐτοῦ εἰς τὸ πρωΐ.

Λευ. 7,15 - Τα κρέατα της θυσίας προς δοξολογίαν του Κυρίου δια την σωτηρίαν θα ανήκουν στον ιερέα, που τα προσφέρει. Θα φαγωθούν δε κατά την ημέραν, κατά την οποίαν προσφέρονται και δεν θα αφεθή τίποτε από αυτά δια την επομένην ημέραν.

Λευ. 7,16 - καὶ ἐὰν εὐχὴ ᾖ, ἢ ἑκούσιον θυσιάζῃ τὸ δῶρον αὐτοῦ, ᾗ ἂν ἡμέρᾳ προσαγάγῃ τὴν θυσίαν αὐτοῦ, βρωθήσεται, καὶ τῇ αὔριον·

Λευ. 7,16 - Εάν προοφέρη κανείς θυσίαν, την οποίαν έκαμε τάμα η άλλην αυτοπροαίρετον, θα φαγωθή το προς βρώσιν μέρος της θυσίας κατά την ημέραν της προσφοράς και κατά την επομένην.

Λευ. 7,17 - καὶ τὸ καταλειφθὲν ἀπὸ τῶν κρεῶν τῆς θυσίας ἕως ἡμέρας τρίτης, ἐν πυρὶ κατακαυθήσεται.

Λευ. 7,17 - Το υπόλοιπον, το οποίον τυχόν θα μείνη από τα κρέατα της θυσίας δια την τρίτην ημέραν, θα καή εξ ολοκλήρου.

Λευ. 7,18 - ἐὰν δὲ φαγὼν φάγῃ ἀπὸ τῶν κρεῶν τῇ ἡμέρᾳ τῇ τρίτῃ, οὐ δεχθήσεται αὐτῷ τῷ προσφέροντι αὐτό, οὐ λογισθήσεται αὐτῷ, μίασμά ἐστιν· ἡ δὲ ψυχή, ἥτις ἐὰν φάγῃ ἀπ᾿ αὐτοῦ, τὴν ἁμαρτίαν λήψεται.

Λευ. 7,18 - Εάν δε κανείς φάγη από τα κρέατα της θυσίας αυτής κατά την τρίτην ημέραν, δεν θα γίνη δεκτή από τον Θεόν η θυσία αυτή και δεν θα του φέρη καμμίαν χάριν, δεν θα ληφθή υπ' όψει υπέρ αυτού, διότι έγινεν αυτή μολυσμός. Ο άνθρωπος, που θα φάγη από αυτήν κατά την τρίτην ημέραν, θα έχει ενοχήν ενώπιον του Θεού.

Λευ. 7,19 - καὶ κρέα ὅσα ἐὰν ἅψηται παντὸς ἀκαθάρτου, οὐ βρωθήσεται, ἐν πυρὶ κατακαυθήσεται. πᾶς καθαρὸς φάγεται κρέα.

Λευ. 7,19 - Κρέας, το οποίον θα ήρχετο εις έπαφήν με κάποιο ακάθαρτον αντικείμενον, δεν θα φαγωθή αλλά θα καί εξ ολοκλήρου. Μονον ο καθαρός, ο εξαγνισθείς, θα φάγη από τα κρέατα των προσφερομένων θυσιών.

Λευ. 7,20 - ἡ δὲ ψυχή, ἥτις ἐὰν φάγῃ ἀπὸ τῶν κρεῶν τῆς θυσίας τοῦ σωτηρίου, ὅ ἐστι Κυρίου, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ᾿ αὐτῷ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.

Λευ. 7,20 - Εάν δε κανείς είναι ακάθαρτος, και δεν έχη φροντίσει προηγουμένως να εξαγνισθή, φάγη δε από κρέας ευχαριστηρίου θυσίας προσφερθείσης στον Κυριον, αυτός ο άνθρωπος θα χαθή εκ μέσου του λαού του.

Λευ. 7,21 - καὶ ψυχή, ἣ ἂν ἅψηται παντὸς πράγματος ἀκαθάρτου, ἢ ἀπὸ ἀκαθαρσίας ἀνθρώπου, ἢ τῶν τετραπόδων τῶν ἀκαθάρτων, ἢ παντὸς βδελύγματος ἀκαθάρτου, καὶ φάγῃ ἀπὸ τῶν κρεῶν τῆς θυσίας τοῦ σωτηρίου, ὅ ἐστι Κυρίου, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.

Λευ. 7,21 - Καθένας ο οποίος θα εγγίση ακάθαρτον πράγμα, ακαθαρσίαν ανθρώπου η ακάθαρτον τετράποδον η κάθε άλλο βδελυκτόν και ακάθαρτον, και φάγη από το κρέας της ειρηνικής θυσίας, η οποία προσεφέρθη και ανήκει στον Κυριον, θα εξολοθρευθή εκ μέσου του λαού του".

Λευ. 7,22 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 7,22 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και είπε·

Λευ. 7,23 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· πᾶν στέαρ βοῶν, καὶ προβάτων, καὶ αἰγῶν οὐκ ἔδεσθε.

Λευ. 7,23 - "λάλησε προς τους Ισραηλίτας και είπε· Το λίπος των βοών και των προβάτων και των αιγών δεν θα το φάγετε.

Λευ. 7,24 - καὶ στέαρ θνησιμαίων καὶ θηριαλώτων ποιηθήσεται εἰς πᾶν ἔργον, καὶ εἰς βρῶσιν οὐ βρωθήσεται.

Λευ. 7,24 - Λίπος από σώματα θνησιμαίων η υπό θηρίων σπαραχθέντων ζώων θα το χρησιμοποιήτε εις άλλας χρήσεις, ποτέ όμως δια φαγητόν.

Λευ. 7,25 - πᾶς ὁ ἔσθων στέαρ ἀπὸ τῶν κτηνῶν, ὧν προσάξει ἀπ᾿ αὐτῶν κάρπωμα Κυρίῳ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἀπὸ τοῦ λαοῦ αὐτῆς.

Λευ. 7,25 - Εκείνος που θα φάγη λίπος από τα θρέμματα, τα οποία θα προσφέρη ως θυσίαν ολοκαυτώματος προς τον Κυριον, αυτός θα εξολοθρευθή εκ μέσου του λαού.

Λευ. 7,26 - πᾶν αἷμα οὐκ ἔδεσθε ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν ἀπό τε τῶν κτηνῶν καὶ ἀπὸ τῶν πετεινῶν.

Λευ. 7,26 - Ποτέ και εις καμμίαν από τας κατοικίας σας δεν θα φάγετε αίμα από τα κατοικίδια ζώα και από τα πτηνά.

Λευ. 7,27 - πᾶσα ψυχή, ἣ ἂν φάγῃ αἷμα, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἀπὸ τοῦ λαοῦ αὐτῆς.

Λευ. 7,27 - Εκείνος που θα φάγη αίμα, θα καταστραφή εκ μέσου του λαού του".

Λευ. 7,28 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 7,28 - Ωμίλησεν ακόμη ο Κυριος προς τον Μωϋσήν και είπε·

Λευ. 7,29 - καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις, λέγων· ὁ προσφέρων θυσίαν σωτηρίου, οἴσει τὸ δῶρον αὐτοῦ Κυρίῳ καὶ ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου.

Λευ. 7,29 - “στους Ισραηλίτας θα είπης και τα εξής· Εκείνος που προσφέρει ευχαριστήριον ειρηνικήν θυσίαν, θα προσφέρη από την θυσίαν του αυτήν ως δώρον προς τον Κυριον ένα μέρος αυτής.

Λευ. 7,30 - αἱ χεῖρες αὐτοῦ προσοίσουσι τὰ καρπώματα Κυρίῳ· τὸ στέαρ τὸ ἐπὶ τοῦ στηθυνίου, καὶ τὸν λοβὸν τοῦ ἥπατος, προσοίσει αὐτά, ὥστε ἐπιτιθέναι δόμα ἔναντι Κυρίου.

Λευ. 7,30 - Με τα ίδια του τα χέρια θα προσφέρη το μιρίδιον τούτο ίστον Κυριον. Το λίπος όμως του στήθους και τον λοβόν του συκωτιού θα προσφέρη στον ιερέα, δια να τα θέση εκείνος επί του θυσιαστηρίου θυσίαν προς τον Κυριον.

Λευ. 7,31 - καὶ ἀνοίσει ὁ ἱερεὺς τὸ στέαρ ἐπὶ τοῦ θυσιαστηρίου, καὶ ἔσται τὸ στηθύνιον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ.

Λευ. 7,31 - Ο ιερεύς, δηλαδή, θα λάβη και θα προσφέρη το λίπος τούτο επάνω στο θυσιαστήριον, το δε στήθος αφού αγιασθή θα ανήκη στον Ααρών και τους υιούς του.

Λευ. 7,32 - καὶ τὸν βραχίονα τὸν δεξιὸν δώσετε ἀφαίρεμα τῷ ἱερεῖ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν·

Λευ. 7,32 - Εκτός δε του στήθους και η δεξιά ωμοπλάτη του ζώου, του προς ειρηνικήν θυσίαν σφαγέντος, θα δοθή στον ιερέα.

Λευ. 7,33 - ὁ προσφέρων τὸ αἷμα τοῦ σωτηρίου καὶ τὸ στέαρ τὸ ἀπὸ τῶν υἱῶν Ἀαρών, αὐτῷ ἔσται ὁ βραχίων ὁ δεξιὸς ἐν μερίδι·

Λευ. 7,33 - Εις τον ιερέα, τον προσφέροντα επί του θυσιαστηρίου το αίμα και το λίπος του προς ειρηνικήν θυσίαν σφαγέντος ζώου, θα ανήκη ο δεξιός εμπρόσθιος πούς, η δεξιά ωμοπλάτη.

Λευ. 7,34 - τὸ γὰρ στηθύνιον τοῦ ἐπιθέματος καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος εἴληφα παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν καὶ ἔδωκα αὐτὰ Ἀαρὼν τῷ ἱερεῖ καὶ τοῖς υἱοῖς αὐτοῦ, νόμιμον αἰώνιον παρὰ τῶν υἱῶν Ἰσραήλ.

Λευ. 7,34 - Διότι το στήθος και η δεξιά ωμοπλάτη από το προσφερθέν ως θυσία ζώον έλαβα, λέγει ο Θεός, από τας ειρηνικάς θυσίας των Ισραηλιτών και έδωκα αυτά εις τον Ααρών τον αρχιερέα και στους υιούς του. Αυτό θα είναι νόμος παντοτεινός και απαράβατος δι' όλους τους Ισραηλίτας”.

Λευ. 7,35 - Αὕτη ἡ χρῖσις Ἀαρὼν καὶ ἡ χρῖσις τῶν υἱῶν αὐτοῦ ἀπὸ τῶν καρπωμάτων Κυρίου, ἐν ᾗ ἡμέρᾳ προσηγάγετο αὐτοὺς τοῦ ἱερατεύειν τῷ Κυρίῳ.

Λευ. 7,35 - Την ημέραν κατά την οποίαν ο Κυριος ωδήγησε τον Ααρών και τους υιούς αυτού και έχρισεν αυτούς, ώστε να ασκούν τα ιερατικά των καθήκοντα, τους έδωσε και αυτό το δικαίωμα, το απορρέον από την χρίσιν των με το άγιον έλαιον, να λαμβάνουν, δηλαδή, ένα μέρος από τας προσφερομένας ειρηνικάς θυσίας.

Λευ. 7,36 - καθὰ ἐνετείλατο Κύριος δοῦναι αὐτοῖς ᾗ ἡμέρᾳ ἔχρισεν αὐτοὺς παρὰ τῶν υἱῶν Ἰσραήλ· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς αὐτῶν.

Λευ. 7,36 - Οπως διέταξεν ο Κυριος να δώσουν εις αυτούς προσφοράς κατά την ημέραν, που τους εξέλεξεν από όλους τους Ισραηλίτας και τους έχρισεν ιερείς, έτσι και έγινε. Αυτό έγινε και μένει νόμος παντοτεινός και απαράβατος εις τας γενεάς των Ισραηλιτών.

Λευ. 7,37 - οὗτος ὁ νόμος τῶν ὁλοκαυτωμάτων καὶ θυσίας καὶ περὶ ἁμαρτίας καὶ τῆς πλημμελείας καὶ τῆς τελειώσεως καὶ τῆς θυσίας τοῦ σωτηρίου,

Λευ. 7,37 - Αυτός είναι ο νόμος ο οποίος κανονίζει τα ολοκαυτώματα, τας θυσίας περί ελαφρών και βαρέων αμαρτημάτων, τας της χειροτονίας και καθιερώσεως των ιερέων και τας ευχαριστηρίους δια την σωτηρίαν,

Λευ. 7,38 - ὃν τρόπον ἐνετείλατο Κύριος τῷ Μωυσῇ ἐν τῷ ὄρει Σινά, ᾗ ἡμέρᾳ ἐνετείλατο τοῖς υἱοῖς Ἰσραὴλ προσφέρειν τὰ δῶρα αὐτῶν ἔναντι Κυρίου ἐν τῇ ἐρήμῳ Σινά.

Λευ. 7,38 - Οπως διέταξεν ο Κυριος τον Μωϋσήν στο όρος Σινά, τη ημέραν, κατά την οποίαν έδωσεν εντολάς στους Ισραηλίτας να προσφέρουν τα θυσίας των ενώπιον του Κυρίου εις την έρημον Σινά, έτσι και έγινε.

## ΛΕΥΙΤΙΚΟΝ 8

Λευ. 8,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 8,1 - Ο Κυριος ομίλησε προς τον Μωϋσέα λέγων·

Λευ. 8,2 - λάβε Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς στολὰς αὐτοῦ καὶ τὸ ἔλαιον τῆς χρίσεως καὶ τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας καὶ τοὺς δύο κριοὺς καὶ τὸ κανοῦν τῶν ἀζύμων,

Λευ. 8,2 - “λάβε τον Ααρών και τους υιούς του, τας ιερατικάς ,στολάς του, το έλαιον της χρίσεως, τον μόσχον, ο οποίος θα προσφερθή θυσία περί αμαρτίας, τους δύο κριους και το κάνιστρον με τα άζυμα.

Λευ. 8,3 - καὶ πᾶσαν τὴν συναγωγὴν ἐκκλησίασον ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.

Λευ. 8,3 - Συγκέντρωσε δε όλους τους Ισραηλίτας εις την θύραν της Σκηνής του Μαρτυρίου”.

Λευ. 8,4 - καὶ ἐποίησε Μωυσῆς ὃν τρόπον συνέταξεν αὐτῷ Κύριος, καὶ ἐξεκκλησίασε τὴν συναγωγὴν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.

Λευ. 8,4 - Ο Μωϋσής, σύμφωνα με την διαταγήν του Κυρίου, συνήθροισε όλον τον λαόν του Ισραήλ εμπρός εις την θύραν της Σκηνής του Μαρτυρίου.

Λευ. 8,5 - καὶ εἶπε Μωυσῆς τῇ συναγωγῇ· τοῦτό ἐστι τὸ ῥῆμα, ὃ ἐνετείλατο Κύριος ποιῆσαι.

Λευ. 8,5 - Είπε δε στο πλήθος των Ισραηλιτών· “αυτή είναι η εντολή του Κυρίου, η κανονίζουσα την χειροτονίαν των ιερέων, όπως ο ίδιος ο Θεός διέταξε να κάμωμεν”.

Λευ. 8,6 - καὶ προσήνεγκε Μωυσῆς τὸν Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἔλουσεν αὐτοὺς ὕδατι·

Λευ. 8,6 - Επήρεν ο Μωϋσής τον Ααρών και τους υιούς του, ωδήγησεν αυτούς στον λουτήρα της αυλής της Σκηνής του Μαρτυρίου και έλουσεν αυτούς δι' ύδατος.

Λευ. 8,7 - καὶ ἐνέδυσεν αὐτὸν τὸν χιτῶνα καὶ ἔζωσεν αὐτὸν τὴν ζώνην καὶ ἐνέδυσεν αὐτὸν τὸν ὑποδύτην καὶ ἐπέθηκεν ἐπ᾽ αὐτὸν τὴν ἐπωμίδα καὶ συνέζωσεν αὐτὸν κατὰ τὴν ποίησιν τῆς ἐπωμίδος καὶ συνέσφιγξεν αὐτὸν ἐν αὐτῇ,

Λευ. 8,7 - Επειτα ενέδυσε τον Ααρών με τον χιτώνα και τον έζωσε με την ζώνην. Ενέδυσεν αυτόν με τον υποδύτην και έθεσεν επ' αυτού την επωμίδα, έζωσεν αυτόν δια της ζώνης της επωμίδος και τον έσφιξε με αυτήν.

Λευ. 8,8 - καὶ ἐπέθηκεν ἐπ᾽ αὐτὴν τὸ λογεῖον καὶ ἐπέθηκεν ἐπὶ τὸ λογεῖον τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν·

Λευ. 8,8 - Επάνω στο επίσημον αυτό ένδυμα της επωμίδος έθεσε το αρχιερατικόν ένδυμα, το Λογείον, και επ' αυτού την φράσιν “Δηλωσις και Αλήθεια”.

Λευ. 8,9 - καὶ ἐπέθηκε τὴν μίτραν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ ἐπέθηκεν ἐπὶ τὴν μίτραν κατὰ πρόσωπον αὐτοῦ τὸ πέταλον τὸ χρυσοῦν τὸ καθηγιασμένον ἅγιον, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Λευ. 8,9 - Εθεσεν εις την κεφαλήν του Ααρών την μίτραν, επάνω δε και στο έμπροσθεν μέρος της μίτρας ετοποθέτησε το χρυσούν πέταλον, το καθηγιασμένον στον Κυριον, όπως είχε διατάξει αυτόν ο Θεός.

Λευ. 8,10 - καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως

Λευ. 8,10 - Ελαβεν ο Μωϋσής από το έλαιον της χρίσεως,

Λευ. 8,11 - καὶ ἔῤῥανεν ἀπ᾽ αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον ἑπτάκις καὶ ἔχρισε τὸ θυσιαστήριον καὶ ἡγίασεν αὐτὸ καὶ πάντα τὰ ἐν αὐτῷ καὶ τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ, καὶ ἡγίασεν αὐτά· καὶ ἔχρισε τὴν σκηνὴν καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ ἡγίασεν αὐτήν.

Λευ. 8,11 - και ερράντισε με αυτό το θυσιαστήριον των ολοκαυτωμάτων επτά φοράς, το έχρισε και έτσι ηγίασε και καθιέρωσεν αυτό και όλα τα επ' αυτού σκεύη. Με τον ίδιον τρόπον ηγίασε και καθιέρωσε τον λουτήρα και την βάσιν του. Εχρισε την Σκηνήν του Μαρτυρίου και όλα τα σκεύη αυτής και έτσι καθηγίασε και αφιέρωσεν αυτήν και τα σκεύη της στον Κυριον.

Λευ. 8,12 - καὶ ἐπέχεε Μωυσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως ἐπὶ τὴν κεφαλὴν Ἀαρὼν καὶ ἔχρισεν αὐτὸν καὶ ἡγίασεν αὐτόν.

Λευ. 8,12 - Εχυσεν από το έλαιον τούτο της χρίσεως εις την κεφαλήν του Ααρών, και έτσι τον έχρισε και τον καθηγίασεν.

Λευ. 8,13 - καὶ προσήγαγε Μωυσῆς τοὺς υἱους Ἀαρὼν καὶ ἐνέδυσεν αὐτοὺς χιτῶνας καί ἔζωσεν αὐτοὺς ζώνας καὶ περιέθηκεν αὐτοῖς κιδάρεις, καθάπερ συνέταξε Κύριος τῷ Μωυσῇ.

Λευ. 8,13 - Εδωσεν εντολήν ο Μωϋσής και ήλθον ενώπιόν του οι υιοί του Ααρών. Ενέδυσεν αυτούς με τους χιτώνας, τους έζωσε με τας ζώνας και εφόρεσεν εις τας κεφαλάς των τας κιδάρεις, όπως τον είχε διατάξει ο Κυριος.

Λευ. 8,14 - καὶ προσήγαγε Μωυσῆς τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας, καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τοῦ μόσχου τοῦ τῆς ἁμαρτίας.

Λευ. 8,14 - Διέταξε και έφεραν τον μόσχον, ο οποίος θα εθυσιάζετο δια τας αμαρτίας, και ο Ααρών και οι υιοί του έθεσαν τας χείρας των επάνω στον μόσχον αυτόν.

Λευ. 8,15 - καὶ ἔσφαξεν αὐτόν, καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ αἵματος καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ τῷ δακτύλῳ καὶ ἐκαθάρισε τὸ θυσιαστήριον· καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου καὶ ἡγίασεν αὐτό, τοῦ ἐξιλάσασθαι ἐπ᾿ αὐτοῦ.

Λευ. 8,15 - Ο εντεταλμένος έσφαξε τον μόσχον και επήρεν ο Μωϋσής από το αίμα αυτού και έθεσε κύκλω δια του δακτύλου του εις τα κέρατα του θυσιαστηρίου και έτσι εκαθάρισε και καθιέρωσεν αυτό δια τας θυσίας. Το υπόλοιπον αίμα έχυσεν εις την βάσιν του θυσιαστηρίου, και έτσι το καθηγίασε και το καθιέρωσε, ώστε επάνω εις αυτό να προσφέρονται αι θυσίαι δια την εξιλέωσιν των αμαρτιών.

Λευ. 8,16 - καὶ ἔλαβε Μωυσῆς πᾶν τὸ στέαρ τὸ ἐπὶ τῶν ἐνδοσθίων καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος καὶ ἀμφοτέρους τοὺς νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν, καὶ ἀνήνεγκε Μωυσῆς ἐπὶ τὸ θυσιαστήριον.

Λευ. 8,16 - Επήρεν ο Μωϋσής όλον το λίπος, που υπήρχεν εις τα εντόσθια, τον λοβόν του ήπατος και τους δύο νεφρούς με το λίπος που τους εσκέπαζε, και προσέφερεν αυτά θυσίαν στο θυσιαστήριον των ολοκαυτωμάτων.

Λευ. 8,17 - καὶ τὸν μόσχον καὶ τὴν βύρσαν αὐτοῦ καὶ τὰ κρέα αὐτοῦ καὶ τὴν κόπρον αὐτοῦ κατέκαυσεν αὐτὰ πυρὶ ἔξω τῆς παρεμβολῆς, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Λευ. 8,17 - Το υπόλοιπον μέρος του μόσχου, δηλαδή, το δέρμα, τας σάρκας και την κόπρον έκαυσαν εξ ολοκλήρου έξω από την κατασκήνωσιν, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.

Λευ. 8,18 - καὶ προσήγαγε Μωυσῆς τὸν κριὸν τὸν εἰς ὁλοκαύτωμα, καὶ ἐπέθηκεν Ἀαρὼν καὶ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ.

Λευ. 8,18 - Εδωσεν εντολήν ο Μωϋσής και έφεραν τον κριόν, τον προωρισμένον δι' ολοκαύτωσιν. Ο Ααρών και οι υιοί του, κατόπιν εντολής του Μωϋσέως, έθεσαν τας χείρας των επάνω εις την κεφαλήν του κριου.

Λευ. 8,19 - καὶ ἔσφαξε Μωυσῆς τὸν κριόν, καὶ προσέχεε Μωυσῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

Λευ. 8,19 - Εσφαξεν ο Μωϋσής τον κριον και έχυσε το αίμα αυτού κύκλω στο θυσιαστήριον των ολοκαυτωμάτων.

Λευ. 8,20 - καὶ τὸν κριὸν ἐκρεανόμησε κατὰ μέλη καὶ ἀνήνεγκε Μωυσῆς τὴν κεφαλὴν καὶ τὰ μέλη καὶ τὸ στέαρ·

Λευ. 8,20 - Τον δε κριον έκοψεν εις τεμάχια και ο ίδιος ο Μωϋσής προσέφερε την κεφαλήν, τα τεμάχια και το λίπος στο θυσιαστήριον των ολοκαυτωμάτων.

Λευ. 8,21 - καὶ τὴν κοιλίαν καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι, καὶ ἀνήνεγκε Μωυσῆς ὅλον τὸν κριὸν ἐπὶ τὸ θυσιαστήριον· ὁλοκαύτωμά ἐστιν εἰς ὀσμὴν εὐωδίας, κάρπωμά ἐστι τῷ Κυρίῳ, καθάπερ ἐνετείλατο Κύριος τῷ Μωυσῇ.

Λευ. 8,21 - Την κοιλίαν και τους πόδας, αφού τα έπλυνε με νερό, τα προσέφερε και αυτά στο θυσιαστήριον των ολοκαυτωμάτων. Ολον τον κριον τον προσέφερε. Είναι αυτός ολοκαύτωμα, ευωδία ευάρεστος στον Κυριον, θυσία προς αυτόν, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.

Λευ. 8,22 - καὶ προσήγαγε Μωυσῆς τὸν κριὸν τὸν δεύτερον, κριὸν τελειώσεως· καὶ ἐπέθηκεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν τοῦ κριοῦ.

Λευ. 8,22 - Διέταξεν ο Μωϋσής και έφεραν και τον δεύτερον κριόν, δια να ολοκληρωθή η χειροτονία και καθιέρωσις των ιερέων. Ο Ααρών και οι υιοί του έθεσαν τας χείρας των επάνω εις την κεφαλήν του δευτέρου αυτού κριου.

Λευ. 8,23 - καὶ ἔσφαξεν αὐτὸν καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ αἵματος αὐτοῦ καὶ ἐπέθηκεν ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς Ἀαρὼν τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ.

Λευ. 8,23 - Ο εντεταλμένος έσφαξεν αυτόν, και ο Μωϋσής επήρε από το αίμα αυτού και έθεσε στο κάτω άκρον του δεξιού ωτίου του Ααρών, στο άκρον της δεξιάς χειρός του και στο άκρον του δεξιού ποδός του.

Λευ. 8,24 - καὶ προσήγαγε Μωυσῆς τοὺς υἱοὺς Ἀαρών, καὶ ἐπέθηκε Μωυσῆς ἀπὸ τοῦ αἵματος ἐπὶ τοὺς λοβοὺς τῶν ὤτων τῶν δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα τῶν χειρῶν αὐτῶν τῶν δεξιῶν καὶ ἐπὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν τῶν δεξιῶν, καὶ προσέχεε Μωυσῆς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ.

Λευ. 8,24 - Διέταξεν ο Μωϋσής και προσήλθον οι υιοί του Ααρών και έθεσεν από το αίμα του κριου στους λοβούς των δεξιών αυτιών των, εις τα άκρα των δεξιών χεριών και εις τα άκρα των δεξιών ποδών των, το δε υπόλοιπον αίμα έχυσεν ο Μωϋσής εις την βάσιν κύκλω του θυσιαστηρίου.

Λευ. 8,25 - καὶ ἔλαβε τὸ στέαρ καὶ τὴν ὀσφὺν καὶ τὸ στέαρ τὸ ἐπὶ τῆς κοιλίας καὶ τὸν λοβὸν τοῦ ἥπατος καὶ τοὺς δύο νεφροὺς καὶ τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν καὶ τὸν βραχίονα τὸν δεξιόν·

Λευ. 8,25 - Επήρε το λίπος, το κρέας το περί την οσφύν, το λίπος της κοιλίας, τον λοβόν του συκωτιού, τους δύο νεφρούς και το επάνω εις αυτούς λίπος και τον δεξιόν εμπρόσθιον πόδα.

Λευ. 8,26 - καὶ ἀπὸ τοῦ κανοῦ τῆς τελειώσεως, τοῦ ὄντος ἔναντι Κυρίου, ἔλαβεν ἄρτον ἕνα ἄζυμον καὶ ἄρτον ἐξ ἐλαίου ἕνα καὶ λάγανον ἓν καὶ ἐπέθηκεν ἐπὶ τὸ στέαρ καὶ τὸν βραχίονα τὸν δεξιόν·

Λευ. 8,26 - Από δε το κάνιστρον, εντός του οποίου υπήρχον αι αναίμακτοι προσφοραί δια την καθιέρωσιν των ιερέων και το οποίον ευρίσκετο ενώπιον του Κυρίου, επήρεν ο Μωϋσής ένα άζυμον άρτον, ένα άρτον ζυμωμένον με λάδι και μίαν λαγάναν και έθεσαν αυτά επάνω στο λίπος και και στον εμπρόσθιον πόδα του κριου του προσφερθέντος ως θυσίαν.

Λευ. 8,27 - καὶ ἐπέθηκεν ἅπαντα ἐπὶ τὰς χεῖρας Ἀαρὼν καὶ ἐπὶ τὰς χεῖρας τῶν υἱῶν αὐτοῦ· καὶ ἀνήνεγκεν αὐτά ἀφαίρεμα ἔναντι Κυρίου.

Λευ. 8,27 - Ολα αυτά τα έθεσεν εις τα χέρια του Ααρών και εις τα χέρια των υιών του και κατόπιν τα προοέφερεν ως αφιέρωμα στον Κυριον.

Λευ. 8,28 - καὶ ἔλαβε Μωυσῆς ἀπὸ τῶν χειρῶν αὐτῶν, καὶ ἀνήνεγκεν αὐτὰ Μωυσῆς ἐπὶ τὸ θυσιαστήριον, ἐπὶ τὸ ὁλοκαύτωμα τῆς τελειώσεως, ὅ ἐστιν ὀσμὴ εὐωδίας· κάρπωμά ἐστι τῷ Κυρίῳ.

Λευ. 8,28 - Τα επήρεν από τα χέρια του Ααρών και των παιδιών του και τα προσέφερεν επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων, ως ολοκαυτώματα δια την χειροτονίαν και καθιέρωσίν των. Τούτο ήτο ευάρεοτος και ευπρόσδεκτος οσμή ευωδίας, θυσία δεκτή στον Κυριον.

Λευ. 8,29 - καὶ λαβὼν Μωυσῆς τὸ στηθύνιον ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἔναντι Κυρίου ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως, καὶ ἐγένετο Μωυσῇ ἐν μερίδι, καθὰ ἐνετείλατο Κύριος τῷ Μωυσῇ.

Λευ. 8,29 - Αφήρεσεν όμως από τον προσφερόμενον κριον το στήθος και προσέφερεν αυτό ως αφιέρωμα στον Κυριον. Αυτό δε έγινε το ιδιαίτερον μερίδιον του Μωϋσέως, όπως τον είχε διατάξει ο Κυριος.

Λευ. 8,30 - καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ ἐλαίου τῆς χρίσεως καὶ ἀπὸ τοῦ αἵματος τοῦ ἐπὶ τοῦ θυσιαστηρίου καὶ προσέῤῥανεν ἐπὶ Ἀαρὼν καὶ τὰς στολὰς αὐτοῦ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ᾿ αὐτοῦ, καὶ ἡγίασεν Ἀαρὼν καὶ τὰς στολὰς αὐτοῦ καὶ τούς υἱοὺς αὐτοῦ καὶ τὰς στολὰς τῶν υἱῶν αὐτοῦ μετ᾿ αὐτοῦ.

Λευ. 8,30 - Επήρεν ο Μωϋσής από το έλαιον της χρίσεως και από το αίμα του μέλλοντος να χυθή κύκλω του θυσιαστηρίου των ολοκαυτωμάτων και ερράντισε με αυτό τον Ααρών και τας στολάς του, τους υιούς του και τας ιερατικάς στολάς των υιών του, και έτσι ο Μωϋσής καθηγίασε και καθιέρωσε

τον Ααρών και τας αρχιερατικάς στολάς του και μαζή με αυτόν τους υιούς του και τας ιερατικάς στολάς των.

Λευ. 8,31 - καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ· ἑψήσατε τὰ κρέα ἐν τῇ αὐλῇ τῆς σκηνῆς τοῦ μαρτυρίου ἐν τόπῳ ἁγίῳ καὶ ἐκεῖ φάγεσθε αὐτὰ καὶ τοὺς ἄρτους τοὺς ἐν τῷ κανῷ τῆς τελειώσεως, ὃν τρόπον συντέτακταί μοι, λέγων· Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ φάγονται αὐτά·

Λευ. 8,31 - Είπεν ο Μωϋσής προς τον Ααρών και τους υιούς αυτού· “βράσατε τα κρέατα εις την αυλήν της Σκηνής του Μαρτυρίου, στον ιερόν αυτόν τόπον. Εκεί θα φάγετε αυτά και τους άρτους, που υπάρχουν στο κάνιστρον των προσφορών, δια την χειροτονίαν, όπως με διέταξεν ο Θεός λέγων· Ο Ααρών και οι υιοί του θα φάγουν αυτά”.

Λευ. 8,32 - καὶ τὸ καταλειφθὲν τῶν κρεῶν καὶ τῶν ἄρτων ἐν πυρὶ κατακαύσατε.

Λευ. 8,32 - Ο,τι υπόλοιπον μείνη από τα κρέατα και τους άρτους δια την επομένην ημέραν θα τα καύσετε εξ ολοκλήρου.

Λευ. 8,33 - καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε ἑπτὰ ἡμέρας, ἕως ἡμέρα πληρωθῇ, ἡμέρα τελειώσεως ὑμῶν· ἑπτὰ γὰρ ἡμέρας τελειώσει τὰς χεῖρας ὑμῶν,

Λευ. 8,33 - Σεις, δεν θα εξέλθετε από την Σκηνήν του Μαρτυρίου επί επτά κατά συνέχειαν ημέρας, μέχρι της ημέρας κατά την οποίαν θα συμπληρωθή το επταήμερον μετά την χειροτονίαν σας. Διότι επτά ημέραι απαιτούνται δια να τελειωθή η καθιέρωσίς σας και γίνετε ικανοί δια τα ιερατικά σας καθήκοντα.

Λευ. 8,34 - καθάπερ ἐποίησεν ἐν τῇ ἡμέρᾳ ταύτῃ, ᾗ ἐνετείλατο Κύριος τοῦ ποιῆσαι, ὥστε ἐξιλάσασθαι περὶ ὑμῶν.

Λευ. 8,34 - Οπως έγινε εις την περίστασιν αυτήν η χειροτονία σας, σύμφωνα με την εντολήν του Κυρίου δια τον καθαρισμόν σας από τας αμαρτίας σας, έτσι θα γίνεται πάντοτε κατά την χειροτονίαν και καθιέρωσιν αρχιερέων και ιερέων.

Λευ. 8,35 - καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου καθήσεσθε ἑπτὰ ἡμέρας, ἡμέραν καὶ νύκτα· φυλάξεσθε τὰ φυλάγματα Κυρίου, ἵνα μὴ ἀποθάνητε· οὕτω γὰρ ἐνετείλατό μοι Κύριος ὁ Θεός.

Λευ. 8,35 - Εις την θύραν της Σκηνής του Μαρτυρίου θα καθήσετε επί επτά ημέρας, νυχθημερόν. Θα φυλάξετε μαζή με τας εντολάς του Κυρίου και αυτήν την εντολήν, δια να μη τιμωρηθήτε με θάνατον. Διότι έτσι με διέταξεν ο Κυριος να κάνετε”.

Λευ. 8,36 - καὶ ἐποίησεν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ πάντας τοὺς λόγους, οὓς συνέταξε Κύριος τῷ Μωυσῇ.

Λευ. 8,36 - Ο Ααρών και οι υιοί αυτού ετήρησαν πιστώς όλας αυτάς τας εντολάς, τας οποίας ο Κυριος είχε δώσει στον Μωϋσήν.

ΛΕΥΙΤΙΚΟΝ 9

Λευ. 9,1 - Καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, ἐκάλεσε Μωυσῆς Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὴν γερουσίαν Ἰσραήλ.
Λευ. 9,1 - Την ογδόην ημέραν από της χειροτονίας πρασεκάλεσεν ο Μωϋσής τον Ααρών, τους υιούς αυτού και τους άρχοντας του Ισραήλ,
Λευ. 9,2 - καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρών· λάβε σεαυτῷ μοσχάριον ἐκ βοῶν περὶ ἁμαρτίας καὶ κριὸν εἰς ὁλοκαύτωμα, ἄμωμα, καὶ προσένεγκε αὐτὰ ἔναντι Κυρίου·
Λευ. 9,2 - και είπεν ενώπιον όλον προς τον Ααρών· “λάβε δια τον εαυτόν σου ένα μοσχάριον προς θυσίαν περί αμαρτίας και ένα κριον δι' ολοκαύτωμα, και τα δύο αρτιμελή χωρίς κανένα σωματικόν ελάττωμα, και πρόσφερε αυτά θυσίαν ενώπιον του Κυρίου”.
Λευ. 9,3 - καὶ τῇ γερουσίᾳ Ἰσραὴλ λάλησον, λέγων· λάβετε χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, καὶ μοσχάριον, καὶ ἀμνὸν ἐνιαύσιον εἰς ὁλοκάρπωσιν, ἄμωμα,
Λευ. 9,3 - Εις τους άρχοντας του Ισραήλ είπε· “λάβετε από τα γίδια σας ένα τράγον προς θυσίαν περί αμαρτίας, ένα μοσχάρι και ένα αμνόν ενός έτους, αμφότερα χωρίς κανένα σωματικόν ελάττωμα, δια να τα προσφέρετε θυσίαν.
Λευ. 9,4 - καὶ μόσχον καὶ κριὸν εἰς θυσίαν σωτηρίου ἔναντι Κυρίου καὶ σεμίδαλιν πεφυραμένην ἐν ἐλαίῳ· ὅτι σήμερον Κύριος ὀφθήσεται ἐν ὑμῖν.
Λευ. 9,4 - Λαβετε ακόμη ένα μόσχον και ένα κριόν, δια να τα προσφέρετε ευχαριστήριον δια την σωτηρίαν θυσίαν ενώπιον του Κυρίου και σημιγδάλι ζυμωμένο με λάδι. Αυτά θα προσφερθούν θυσία, διότι σήμερον θα εμφανισθή προς σας ο Κυριος”.
Λευ. 9,5 - καὶ ἔλαβον, καθὸ ἐνετείλατο Μωυσῆς, ἀπέναντι τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ προσῆλθε πᾶσα συναγωγὴ καὶ ἔστησαν ἔναντι Κυρίου.
Λευ. 9,5 - Ελαβον εκείνοι ο,τι τους είχε διατάξει ο Μωϋσής, έφεραν και έθεσαν αυτά απέναντι της Σκηνής του Μαρτυρίου, και προσήλθεν όλον το πλήθος των Ισραηλιτών. Εστάθησαν εκεί όρθιοι ενώπιον του Κυρίου.
Λευ. 9,6 - καὶ εἶπε Μωυσῆς· τοῦτο τὸ ῥῆμα, ὃ εἶπε Κύριος, ποιήσατε, καὶ ὀφθήσεται ἐν ὑμῖν ἡ δόξα Κυρίου.
Λευ. 9,6 - Ο Μωϋσής είπε προς το πλήθος· “κάμετε αυτό το οποίον σας διέταξεν ο Κυριος και θα εμφανισθή ενώπιόν σας η δόξα Κυρίου”.
Λευ. 9,7 - καὶ εἶπε Μωυσῆς τῷ Ἀαρών· πρόσελθε πρὸς τὸ θυσιαστήριον καὶ ποίησον τὸ περὶ τῆς ἁμαρτίας σου καὶ τὸ ὁλοκαύτωμά σου καὶ ἐξίλασαι περὶ σεαυτοῦ καὶ τοῦ οἴκου σου· καὶ ποίησον τὰ δῶρα τοῦ λαοῦ καὶ ἐξίλασαι περὶ αὐτῶν, καθάπερ ἐνετείλατο Κύριος τῷ Μωυσῇ.

Λευ. 9,7 - Προς τον Ααρών ειδικώτερα είπεν ο Μωϋσής· “πλησίασε στο θυσιαστήριον των ολοκαυτωμάτων και πρόσφερε εκεί την θυσίαν δια την αμαρτίαν σου και το ολοκαύτωμά σου δια την εξιλέωσιν την ιδικήν σου και του οίκου σου. Επειτα πρόσφερε τα δώρα του λαού και εξιλέωσε αυτούς, όπως ο Κυριος διέταξεν εμέ, τον Μωυσήν”.

Λευ. 9,8 - καὶ προσῆλθεν Ἀαρὼν πρὸς τὸ θυσιαστήριον καὶ ἔσφαξε τὸ μοσχάριον τὸ περὶ τῆς ἁμαρτίας αὐτοῦ.

Λευ. 9,8 - Ο Ααρών προσήλθεν στο θυσιαστήριον των ολοκαυτωμάτων και έσφαξεν ιδιοχείρως το μοσχάριον δια τας αμαρτίας του.

Λευ. 9,9 - καὶ προσήνεγκαν οἱ υἱοὶ Ἀαρὼν τὸ αἷμα πρὸς αὐτόν, καὶ ἔβαψε τὸν δάκτυλον εἰς τὸ αἷμα καὶ ἐπέθηκεν ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου καὶ τὸ αἷμα ἐξέχεεν ἐπὶ τὴν βάσιν τοῦ θυσιαστηρίου·

Λευ. 9,9 - Οι υιοί του Ααρών προσέφεραν το αίμα του μόσχου προς αυτόν, έβαψεν ο Ααρών τον δάκτυλόν του στο αίμα και ήλειψε τα κέρατα του θυσιαστηρίου των ολοκαυτωμάτων. Το δε υπόλοιπον αίμα έχυσεν εις την βάσιν γύρω από το θυσιαστήριον.

Λευ. 9,10 - καὶ τὸ στέαρ καὶ τοὺς νεφροὺς καὶ τὸν λοβὸν τοῦ ἥπατος τοῦ περὶ τῆς ἁμαρτίας ἀνήνεγκεν ἐπὶ τὸ θυσιαστήριον, ὃν τρόπον ἐνετείλατο Κύριος τῷ Μωυσῇ.

Λευ. 9,10 - Το λίπος, τους νεφρούς και τον λοβόν του συκωτιού του μόσχου του θυσιασθέντος περί αμαρτίας, έφερεν ο Ααρών επάνω στο θυσιαστήριον και έκαυσεν αυτά, όπως είχε διατάξει ο Κυριος τον Μωυσήν.

Λευ. 9,11 - καὶ τὰ κρέα καὶ τὴν βύρσαν κατέκαυσεν αὐτὰ πυρί, ἔξω τῆς παρεμβολῆς.

Λευ. 9,11 - Τα δε αλλά κρέατα και το δέρμα του μόσχου διέταξε και έκαυσαν αυτά εξ ολοκλήρου έξω από την κατασκήνωσιν.

Λευ. 9,12 - καὶ ἔσφαξε τὸ ὁλοκαύτωμα· καὶ προσήνεγκαν οἱ υἱοὶ Ἀαρὼν τὸ αἷμα πρὸς αὐτόν. καὶ προσέχεεν ἐπὶ τὸ θυσιαστήριον κύκλῳ·

Λευ. 9,12 - Κατόπιν έσφαξε το ζώον, το προοριζόμενον προς ολοκαύτωσιν. Οι υιοί του Ααρών προσέφεραν προς αυτόν το αίμα του σφαγέντος ζώου και αυτός το έχυσε γύρω εις την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων.

Λευ. 9,13 - καὶ τὸ ὁλοκαύτωμα προσήνεγκαν αὐτὸ κατὰ μέλη, αὐτὰ καὶ τὴν κεφαλὴν ἐπέθηκεν ἐπί τὸ θυσιαστήριον·

Λευ. 9,13 - Εφεραν κατόπιν προς τον Ααρών τεμαχισμένον τούτο το ζώον εις κομμάτια, τα οποία εκείνος έθεσε μαζή με την κεφαλήν επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων.

Λευ. 9,14 - καὶ ἔπλυνε τὴν κοιλίαν καὶ τοὺς πόδας ὕδατι καὶ ἐπέθηκεν ἐπὶ τὸ ὁλοκαύτωμα ἐπὶ τὸ θυσιαστήριον.

Λευ. 9,14 - Διέταξε και έπλυναν την κοιλίαν και τους πόδας με νερό και έθεσεν επίσης αυτά μαζή με το τεμαχισμένον ολοκαύτωμα επάνω στο

θυσιαστήριον.

Λευ. 9,15 - καὶ προσήνεγκε τὸ δῶρον τοῦ λαοῦ· καὶ ἔλαβε τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας τοῦ λαοῦ καὶ ἔσφαξεν αὐτόν, καὶ ἐκαθάρισεν αὐτόν, καθὰ καὶ τὸν πρῶτον.

Λευ. 9,15 - Κατόπιν προσέφερεν ο Ααρών τα προς θυσίαν υπέρ του λαού ζώα. Ελαβε τον τράγον, ο οποίος θα προσεφέρετο θυσία δια τας αμαρτίας του λαού, τον έσφαξε, τον εκαθάρισε και τον προσέφερε θυσίαν, όπως και τον πρώτον.

Λευ. 9,16 - καὶ προσήνεγκε τὸ ὁλοκαύτωμα καὶ ἐποίησεν αὐτό, ὡς καθήκει.

Λευ. 9,16 - Προσέφερεν επίσης υπέρ του λαού και το προς ολοκαύτωσιν ζώον και έκαμε δι' αυτό ο,τι έπρεπε.

Λευ. 9,17 - καὶ προσήνεγκε τὴν θυσίαν, καὶ ἔπλησε τὰς χεῖρας ἀπ᾿ αὐτῆς καὶ ἐπέθηκεν ἐπὶ τὸ θυσιαστήριον χωρὶς τοῦ ὁλοκαυτώματος τοῦ πρωϊνοῦ.

Λευ. 9,17 - Προσέφερεν ακόμη την αναίμακτον θυσίαν, εγέμισεν από αυτήν τα χέρια του και την εθεσεν στο θυσιαστήριον των ολοκαυτωμάτων. Ολαι αυταί αι θυσίαι έγιναν έκτος του καθιερωμένου καθημερινού ολοκαυτώματος.

Λευ. 9,18 - καὶ ἔσφαξε τὸν μόσχον, καὶ τὸν κριὸν τῆς θυσίας τοῦ σωτηρίου τῆς τοῦ λαοῦ· καὶ προσήνεγκαν οἱ υἱοὶ Ἀαρὼν τὸ αἷμα πρὸς αὐτόν, καὶ προσέχεε πρὸς τὸ θυσιαστήριον κύκλῳ·

Λευ. 9,18 - Εσφαξεν ο Ααρών και προσέφερεν υπέρ του λαού ένα μόσχον και ένα κριον ως ευχαριστήριον προς τον Θεόν θυσίαν δια την σωτηρίαν. Οι υιοί του Ααρών προσέφεραν προς αυτόν το αίμα των θυσιασθέντων, το οποίον εκείνος έχυσε κύκλω εις την βάσιν του θυσιαστηρίου των ολοκαυτωμάτων.

Λευ. 9,19 - καὶ τὸ στέαρ τὸ ἀπὸ τοῦ μόσχου καὶ τοῦ κριοῦ, τὴν ὀσφὺν καὶ τὸ στέαρ τὸ κατακαλύπτον ἐπὶ τῆς κοιλίας καὶ τοὺς δύο νεφρούς, καὶ τὸ στέαρ τὸ ἐπ᾿ αὐτῶν καὶ τὸν λοβὸν τὸν ἐπὶ τοῦ ἥπατος,

Λευ. 9,19 - Επίσης προσέφερε το καθωρισμένον λίπος από τον μόσχον και τον κριόν, τα κρέατα της οσφύος, το λίπος που καλύπτει την κοιλίαν, τους δύο νεφρούς και το επάνω εις αυτούς λίπος και τον λοβόν του συκωτιού.

Λευ. 9,20 - καὶ ἐπέθηκε τὰ στέατα ἐπὶ τὰ στηθύνια, καὶ ἀνήνεγκε τὰ στέατα ἐπὶ τὸ θυσιαστήριον.

Λευ. 9,20 - Εθεσεν όλα αυτά τα λίπη εις τα στήθη των ζώων, και τα μεν λίπη τα προσέφερεν στο θυσιαστήριον των ολοκαυτωμάτων,

Λευ. 9,21 - καὶ τὸ στηθύνιον, καὶ τὸν βραχίονα τὸν δεξιὸν ἀφεῖλεν Ἀαρὼν ἀφαίρεμα ἔναντι Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Λευ. 9,21 - το δε στήθος και την δεξιάν ωμοπλάτην τα αφήρεσεν από το σώμα των ζώων και τα προσέφερε θυσίαν υψώσεως ενώπιον του Κυρίου, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.

Λευ. 9,22 - καὶ ἐξάρας Ἀαρὼν τὰς χεῖρας ἐπὶ τὸν λαόν, εὐλόγησεν αὐτούς· καὶ κατέβη ποιήσας τὸ περὶ τῆς ἁμαρτίας καὶ τὰ ὁλοκαυτώματα καὶ τὰ τοῦ σωτηρίου.

Λευ. 9,22 - Επειτα από τας θυσίας αυτάς ύψωσεν ο Ααρών τας χείρας του στον λαόν και ευλόγησεν αυτόν. Αφού δε ετελείωσε την προσφοράν των θυσιών περί αμαρτίας, την προσφοράν της ολοκαυτώσεως και την ειρηνικήν προσφοράν, κατέβη από το θυσιαστήριον.

Λευ. 9,23 - καὶ εἰσῆλθε Μωυσῆς καὶ Ἀαρὼν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ ἐξελθόντες εὐλόγησαν πάντα τὸν λαόν, καὶ ὤφθη ἡ δόξα Κυρίου παντὶ τῷ λαῷ.

Λευ. 9,23 - Ο Μωϋσής και ο Ααρών εισήλθον εις την Σκηνήν του Μαρτυρίου, και εξελθόντες ευλόγησαν όλον τον λαόν. Τοτε εφάνη η θεία λάμψις εις όλον τον ισραηλιτικόν λαόν.

Λευ. 9,24 - καὶ ἐξῆλθε πῦρ παρὰ Κυρίου καὶ κατέφαγε τὰ ἐπὶ τοῦ θυσιαστηρίου, τά τε ὁλοκαυτώματα καὶ τὰ στέατα, καὶ εἶδε πᾶς ὁ λαὸς καὶ ἐξέστη καὶ ἔπεσαν ἐπὶ πρόσωπον.

Λευ. 9,24 - Εξήλθε πυρ παρά του Κυρίου και έκαυσεν ο,τι υπήρχεν επάνω στο θυσιαστήριον, τα ολοκαυτώματα και τα λίπη. Ολος ο λαός κατεπλάγη από το υπερφυές αυτό όραμα και έπεσαν πρηνείς επί του εδάφους εις προσκύνησιν του Κυρίου.

## ΛΕΥΙΤΙΚΟΝ 10

Λευ. 10,1 - Καὶ λαβόντες οἱ δύο υἱοὶ Ἀαρὼν Ναδὰβ καὶ Ἀβιοὺδ ἕκαστος τὸ πυρεῖον αὐτοῦ ἐπέθηκαν ἐπ᾿ αὐτὸ πῦρ καὶ ἐπέβαλον ἐπ᾿ αὐτὸ θυμίαμα καὶ προσήνεγκαν ἔναντι Κυρίου πῦρ ἀλλότριον, ὃ οὐ προσέταξε Κύριος αὐτοῖς.

Λευ. 10,1 - Οι δύο υιοί του Ααρών, ο Ναδάβ και ο Αβιούδ, έλαβον ο καθένας το θυμιατήριόν του, έθεσαν εις αυτό πυρ άλλο και όχι από το πυρ του θυσιαστηρίου, έθηκαν επάνω εις αυτό θυμίαμα και με τον τρόπον των αυτόν προσέφεραν ενώπιον του Κυρίου πυρ ξένον, κοσμικόν, πράγμα το οποίον είχεν απαγαρεύσει εις αυτούς ο Κυριος.

Λευ. 10,2 - καὶ ἐξῆλθε πῦρ παρὰ Κυρίου καὶ κατέφαγεν αὐτούς, καὶ ἀπέθανον ἔναντι Κυρίου.

Λευ. 10,2 - Εις τιμωρίαν των δια την βεβήλωσιν εξήλθε πυρ πάρα Κυρίου, κατέφαγεν αυτούς και απέθανον αυτοστιγμεί εκεί ενώπιον του Κυρίου.

Λευ. 10,3 - καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρών· τοῦτό ἐστιν, ὃ εἶπε Κύριος λέγων· ἐν τοῖς ἐγγίζουσί μοι ἁγιασθήσομαι καὶ ἐν πάσῃ τῇ συναγωγῇ δοξασθήσομαι. καὶ κατενύχθη Ἀαρών.

Λευ. 10,3 - Είπε τότε ο Μωϋσής προς τον Ααρών· "αυτή η τιμωρία επεβλήθη, διότι ο Κυριος εφήρμοσεν εκείνο το οποίον ρητώς είχε προαναγγείλει· Εις αυτούς και δι' αυτών που με πλησιάζουν με ευλάβειαν και σεβασμόν, θα δείξω την αγιότητά μου και θα δοξασθώ ενώπιον όλου του λαού του ισραηλιτικού". Επόνεσεν ο Ααρών βαθύτατα, αλλά και εσιώπησεν.

Λευ. 10,4 - καὶ ἐκάλεσε Μωυσῆς τὸν Μισαδάη καὶ τὸν Ἐλισαφάν, υἱοὺς Ὀζιήλ, υἱοὺς τοῦ ἀδελφοῦ τοῦ πατρὸς Ἀαρών, καὶ εἶπεν αὐτοῖς· προσέλθατε καὶ ἄρατε τοὺς ἀδελφοὺς ὑμῶν ἐκ προσώπου τῶν ἁγίων ἔξω τῆς παρεμβολῆς.

Λευ. 10,4 - Εκάλεσεν ο Μωϋσής τον Μισαδάη και τον Ελισαφάν, παιδιά του Οζιήλ, ο οποίος ήτο αδελφός του πατρός του Ααρών, και είπεν εις αυτούς· "πηγαίνετε και πάρετε τους αδελφούς σας από τον τόπον των αγίων και βγάλτε τους έξω από την κατασκήνωσιν".

Λευ. 10,5 - καὶ προσῆλθον καὶ ἦραν αὐτοὺς ἐν τοῖς χιτῶσιν αὐτῶν ἔξω τῆς παρεμβολῆς, ὃν τρόπον εἶπε Μωυσῆς.

Λευ. 10,5 - Επήγαν αυτοί και εσήκωσαν αυτούς με τους χιτώνας των και τους έφεραν έξω από την κατασκήνωσιν, όπως είχε διατάξει ο Μωϋσής και τους έθαψαν εκεί.

Λευ. 10,6 - καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρὼν καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ τοὺς υἱοὺς αὐτοῦ τοὺς καταλελειμμένους· τὴν κεφαλὴν ὑμῶν οὐκ ἀποκιδαρώσετε καὶ τὰ ἱμάτια ὑμῶν οὐ διαῤῥήξετε, ἵνα μὴ ἀποθάνητε, καὶ ἐπὶ πᾶσαν τὴν συναγωγὴν ἔσται θυμός· οἱ δὲ ἀδελφοὶ ὑμῶν πᾶς ὁ οἶκος Ἰσραὴλ κλαύσονται τὸν ἐμπυρισμόν, ὃν ἐνεπυρίσθησαν ὑπὸ Κυρίου.

Λευ. 10,6 - Είπε δε ο Μωϋσής προς τυν Ααρών και προς τους δύο υπαλειφθέντας υιούς του, τον Ελεάζαρ και τον Ιθάμαρ· "δια τον θάνατον των δύο πληγέντων υπό του Κυρίου δεν θα αποβάλετε το κάλυμμα της κεφαλής σας και δεν θα σχίσετε τα ιμάτιά σας εις ένδειξιν πένθους, δια να μη τιμωρηθήτε και σεις με θάνατον, και στραφή ο θυμός του Κυρίου και πέση τιμωρία προς όλον το πλήθος. Οι αδελφοί σας, όλοι οι Ισραηλίται, ας κλαύσουν αυτούς, οι οποίοι εξ αιτίας της παραβάσεως των εθανατώθησαν δια πυρός.

Λευ. 10,7 - καὶ ἀπὸ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου οὐκ ἐξελεύσεσθε, ἵνα μὴ ἀποθάνητε· τὸ ἔλαιον γὰρ τῆς χρίσεως τὸ παρὰ Κυρίου ἐφ᾽ ὑμῖν. καὶ ἐποίησαν κατὰ τὸ ῥῆμα Μωυσῆ.

Λευ. 10,7 - Επίσης από την θύραν της Σκηνής του Μαρτυρίου σεις δεν θα εξέλθετε, δια να παρακολουθήσετε την κηδείαν, διότι άλλως θα τιμωρηθήτε με θάνατον. Το έλαιον του Κυρίου, με το οποίον εχρίσθητε δια τα ιερατικά

σας καθήκοντα, είναι νωπόν ακόμη επάνω στο σώμα σας”. Εκείνοι έκαμαν σύμφωνα με τα λόγια του Μωϋσέως.

Λευ. 10,8 - Καὶ ἐλάλησε Κύριος τῷ Ἀαρών, λέγων·

Λευ. 10,8 - Ελάλησεν ο Κυριος προς τον Ααρών και είπεν·

Λευ. 10,9 - οἶνον καὶ σίκερα οὐ πίεσθε, σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ, ἡνίκα ἐὰν εἰσπορεύησθε εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, ἢ προσπορευομένων ὑμῶν πρὸς τὸ θυσιαστήριον, καὶ οὐ μὴ ἀποθάνητε (νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν)

Λευ. 10,9 - “οίνον και οινοπνευματώδη ποτά δεν θα πίετε συ και οι υιοί σου, όταν εισέρχεσθε εις την Σκηνήν του Μαρτυρίου, δια να προσφέρετε τας ιεράς υπηρεσίας σας η όταν πηγαίνετε προς το θυσιαστήριον, ίνα μη τιμωρηθήτε δια θανάτου. Η αποχή από τα ποτά και η νηφαλιότης θα είναι νόμος απαράβατος εις όλας τας γενεάς σας.

Λευ. 10,10 - διαστεῖλαι ἀνὰ μέσον τῶν ἁγίων καὶ τῶν βεβήλων, καὶ ἀνὰ μέσον τῶν ἀκαθάρτων καὶ τῶν καθαρῶν.

Λευ. 10,10 - Οταν είσθε νηφάλιοι, τότε και θα έχετε την δυνατότητα να διακρίνετε και να ξεχωρίζετε τα άγια από τα μολυσμένα πράγματα, τα ακάθαρτα ζώα από τα καθαρά.

Λευ. 10,11 - καὶ συμβιβάσεις τοὺς υἱοὺς Ἰσραὴλ ἅπαντα τὰ νόμιμα, ἃ ἐλάλησε Κύριος πρὸς αὐτοὺς διὰ χειρὸς Μωυσῆ.

Λευ. 10,11 - Θα είσθε εις θέσιν να διδάξετε στους Ισραηλίτας όλους τους νόμους, τους οποίους παρέδωσεν ο Κυριος προς αυτούς δια χειρός του Μωϋσέως”.

Λευ. 10,12 - Καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρὼν καὶ πρὸς Ἐλεάζαρ καὶ Ἰθάμαρ τοὺς υἱοὺς Ἀαρὼν τοὺς καταλειφθέντας· λάβετε τὴν θυσίαν τὴν καταλειφθεῖσαν ἀπὸ τῶν καρπωμάτων Κυρίου, καὶ φάγεσθε ἄζυμα παρὰ τὸ θυσιαστήριον· ἅγια ἁγίων ἐστί.

Λευ. 10,12 - Είπεν ο Μωϋσής προς τον Ααρών, προς τον Ελεάζαρ και τον Ιθάμαρ, τους, υπολειφθέντας υιούς του Ααρών· “πάρετε τα υπόλοιπα από την αναίμακτον θυσίαν των αζύμων προς τον Κυριον και φάγετε αυτά πλησίον του θυσιαστηρίου των ολοκαυτωμάτων, διότι αυτά είναι αγιώτατα.

Λευ. 10,13 - καὶ φάγεσθε αὐτὴν ἐν τόπῳ ἁγίῳ· νόμιμον γάρ σοί ἐστι, καὶ νόμιμον τοῖς υἱοῖς σου τοῦτο ἀπὸ τῶν καρπωμάτων Κυρίου· οὕτω γὰρ ἐντέταλταί μοι.

Λευ. 10,13 - Αυτά θα τα τρώγετε πάντοτε στον άγιον τούτον τόπον· διότι τούτο είναι νόμος δια σε και νόμος δια τους υιούς σου· να τρέφεσθε από τας θυσίας, που ποοσφέρονται στον Κυριον. Ετσι με διέταξεν ο Κυριος.

Λευ. 10,14 - καὶ τὸ στηθύνιον τοῦ ἀφορίσματος καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος φάγεσθε ἐν τόπῳ ἁγίῳ, σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκός σου

μετὰ σοῦ· νόμιμον γὰρ σοὶ καὶ νόμιμον τοῖς υἱοῖς σου ἐδόθη ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου τῶν υἱῶν Ἰσραήλ.

Λευ. 10,14 - Το στήθος του προσφερομένου ως θυσία ζώου και την δεξιάν ωμοπλάτην, μετά την προσφερθείσαν θυσίαν, θα τα φάγετε στον ιερόν τόπον της αυλής συ και οι υιοί σου, η οικογένειά σου και οι απόγονοί σου έπειτα από σ. Τούτο είναι νόμος πάρα του Θεού δια σε και δια τους υιούς σου, δια του οποίους επετράπη να τρώγετε από τας θυσίας ευχαριστίας, τας οποίας θα προσφέρουν οι Ισραηλίται.

Λευ. 10,15 - τὸν βραχίονα τοῦ ἀφαιρέματος καὶ τὸ στηθύνιον τοῦ ἀφορίσματος ἐπὶ τῶν καρπωμάτων τῶν στεάτων προσοίσουσιν, ἀφόρισμα ἀφορίσαι ἔναντι Κυρίου· καὶ ἔσται σοι καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου μετὰ σοῦ νόμιμον αἰώνιον, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Λευ. 10,15 - Αυτό δε το δεξιόν πρόσθιον μέρος του προσφερομένου ζώου και το κατά μέρος τεθέν στήθος αυτού θα προσφερθούν μαζή με τα λίπη και με τα άλλα μέρη του ζώου στο θυσιαστήριον των ολοκαυτωμάτων, θα τεθούν έπειτα κατά μέρος ως προσφορά ενώπιον του Κυρίου. Αυτά έτσι αγιαζόμενα θα ανήκουν εις σέ, στους υιούς και τας θυγατέρας σου ως παντοτεινός νόμος, τον οποίον εθέσπισεν ο Κυριος εις εμέ, τον Μωϋσήν".

Λευ. 10,16 - Καὶ τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας ζητῶν ἐξεζήτησε Μωυσῆς. καὶ ὅδε ἐνεπεπύριστο· καὶ ἐθυμώθη Μωυσῆς ἐπὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ τοὺς υἱοὺς Ἀαρὼν τοὺς καταλελειμμένους, λέγων·

Λευ. 10,16 - Ο Μωϋσής εποπτεύων και ερευνών τα της προσφοράς των θυσιών εύρεν ότι το υπόλοιπον του τράγου, που είχε προσφερθή ως θυσία περί αμαρτίας και το οποίον δεν είχε φαγωθή, είχε παρατύπως καή. Δια την παρανομίαν αυτήν ωργίσθη ο Μωϋσής εναντίον του Ελεάζαρ και του Ιθάμαρ, των υπολειφθέντων υιών του Ααρών, και είπεν εναντίον αυτών και του πατρός των·

Λευ. 10,17 - διατί οὐκ ἐφάγετε τὸ περὶ τῆς ἁμαρτίας ἐν τόπῳ ἁγίῳ; ὅτι γὰρ ἅγια ἁγίων ἐστί, τοῦτο ἔδωκεν ὑμῖν φαγεῖν, ἵνα ἀφέλητε τὴν ἁμαρτίαν τῆς συναγωγῆς καὶ ἐξιλάσησθε περὶ αὐτῶν ἔναντι Κυρίου·

Λευ. 10,17 - "διατί δεν εφάγατε στον άγιον τόπον το υπόλοιπον της θυσίας, η οποία είχε προσφερθή περί αμαρτίας; Επειδή αυτή η θυσία είναι αγιωτάτη, δια τούτο σας διέταξεν ο Θεός να φάγετε αυτήν, δια να εξαλείψετε με την βρώσιν σας τας αμαρτίας του ισραηλιτικού λαού και τους εξιλεώσετε ενώπιον του Κυρίου.

Λευ. 10,18 - οὐ γὰρ εἰσήχθη τοῦ αἵματος αὐτοῦ εἰς τὸ ἅγιον· κατὰ πρόσωπον ἔσω φάγεσθε αὐτὸ ἐν τόπῳ ἁγίῳ, ὃν τρόπον μοι συνέταξε Κύριος.

Λευ. 10,18 - Εφ' όσον από το αίμα της θυσίας αυτής δεν εισήχθη εις τα Αγια, ώστε αυτή να καή ως ολοκαύτωμα επάνω στο θυσιαστήριον, έπρεπε να φάγετε αυτήν στον ιερόν τόπον, όπως με διέταξεν ο Κυριος".

Λευ. 10,19 - καὶ ἐλάλησεν Ἀαρὼν πρὸς Μωυσῆν, λέγων· εἰ σήμερον προσαγηόχασι τὰ περὶ τῆς ἁμαρτίας αὐτῶν καὶ τὰ ὁλοκαυτώματα αὐτῶν ἔναντι Κυρίου, καὶ συμβέβηκέ μοι τοιαῦτα· καὶ φάγομαι τὰ περί τῆς ἁμαρτίας σήμερον, μὴ ἀρεστὸν ἔσται Κυρίῳ;

Λευ. 10,19 - Ο Ααρών απήντησε προς τον Μωϋσήν και είπε· “σήμερον προσεφέρθησαν αι περί αμαρτίας θυσίαι, όπως επίσης και τα ολοκαυτώματα ενώπιον του Κυρίου, σήμερον που μου συνέβησαν τα θλιβερά αυτά γεγονότα. Εάν έτρωγα από τας περί αμαρτίας θυσίας, εφοβούμην, μήπως αυτό δεν ήτο ευάρεστον στον Κυριον”.

Λευ. 10,20 - καὶ ἤκουσε Μωυσῆς, καὶ ἤρεσεν αὐτῷ.

Λευ. 10,20 - Ηκουσεν ο Μωϋσής την δικαιολογίαν αυτήν, του ήρεσε και έμεινεν ικανοποιημένος.

## ΛΕΥΙΤΙΚΟΝ 11

Λευ. 11,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Λευ. 11,1 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και τον Ααρών λέγων·

Λευ. 11,2 - λαλήσατε τοῖς υἱοῖς Ἰσραὴλ λέγοντες· ταῦτα τὰ κτήνη, ἃ φάγεσθε ἀπὸ πάντων τῶν κτηνῶν τῶν ἐπὶ τῆς γῆς·

Λευ. 11,2 - “είπατε στους Ισραηλίτας τα εξής· Αυτά είναι τα ζώα, τα οποία θα έχετε το δικαίωμα να τρώγετε από όλα τα επί της γης ζώα.

Λευ. 11,3 - πᾶν κτῆνος διχηλοῦν ὁπλὴν καὶ ὀνυχιστῆρας ὀνυχίζον δύο χηλῶν καὶ ἀνάγον μηρυκισμὸν ἐν τοῖς κτήνεσι, ταῦτα φάγεσθε.

Λευ. 11,3 - Καθε ζώον δίχηλον, αυτό που έχει σχισμένην εις δύο την οπλήν, και το οποίον μηρυκάζει, αυτά θα τρώγετε.

Λευ. 11,4 - πλὴν ἀπὸ τούτων οὐ φάγεσθε, ἀπὸ τῶν ἀναγόντων μηρυκισμὸν καὶ ἀπὸ τῶν διχηλούντων τὰς ὁπλὰς καὶ ὀνυχιζόντων ὀνυχιστῆρας· τὸν κάμηλον, ὅτι ἀνάγει μηρυκισμὸν τοῦτο, ὁπλὴν δὲ οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν·

Λευ. 11,4 - Δεν θα τρώγετε από τα ζώα εκείνα, τα οποία είναι μηρυκαστικά, χωρίς να είναι δίχηλα, όπως είναι η κάμηλος, διότι αυτή είναι μεν μηρυκαστικόν, αλλά δεν έχει τα νύχια της δίχηλα. Αυτό είναι ζώον ακάθαρτον.

Λευ. 11,5 - καὶ τὸν δασύποδα, ὅτι οὐκ ἀνάγει μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν·

Λευ. 11,5 - Επίσης δεν θα τρώγετε τον λαγωόν, διότι αυτός δεν είναι μηρυκαστικόν και δεν έχει δίχηλον οπλήν. Αυτός είναι ακάθαρτος δια σας.

Λευ. 11,6 - καὶ τὸν χοιρογρύλλιον, ὅτι οὐκ ἀνάγει μηρυκισμὸν τοῦτο, καὶ ὁπλὴν οὐ διχηλεῖ, ἀκάθαρτον τοῦτο ὑμῖν·

Λευ. 11,6 - Δεν θα τρώγετε τον ακανθόχοιρον, διότι δεν είναι μηρυκαστικόν και δεν είναι δίχηλον. Ακάθαρτον θα είναι και τούτο δια σας.

Λευ. 11,7 - καὶ τὸν ὗν, ὅτι διχηλεῖ ὁπλὴν τοῦτο, καὶ ὀνυχίζει ὄνυχας ὁπλῆς, καὶ τοῦτο οὐκ ἀνάγει μηρυκισμόν, ἀκάθαρτον τοῦτο ὑμῖν·

Λευ. 11,7 - Δεν θα τρώγετε τον χοίρον, διότι είναι μεν δίχηλον καθ' ο έχον δύο σχιστά νύχια, δεν είναι όμως μηρυκαστικόν. Και τούτο θα είναι ακάθαρτον δια σας.

Λευ. 11,8 - ἀπὸ τῶν κρεῶν αὐτῶν οὐ φάγεσθε καὶ τῶν θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε, ἀκάθαρτα ταῦτα ὑμῖν.

Λευ. 11,8 - Ούτε το κρέας αυτών θα φάγετε ούτε τα πτώματά των θα εγγίσετε. Αυτά θα είναι ακάθαρτα δια σας.

Λευ. 11,9 - Καὶ ταῦτα, ἃ φάγεσθε ἀπὸ πάντων τῶν ἐν τοῖς ὕδασι· πάντα ὅσα ἐστὶν αὐτοῖς πτερύγια καὶ λεπίδες ἐν τοῖς ὕδασι καὶ ἐν ταῖς θαλάσσαις καὶ ἐν τοῖς χειμάῤῥοις, ταῦτα φάγεσθε.

Λευ. 11,9 - Αυτά τα οποία θα φάγετε από τα ζώα των υδάτων είναι τα εξής· Ολα όσα ευρίσκονται, εις τας θαλάσσας και στους χειμάρρους και τα οποία έχουν πτερύγια και λέπια· αυτά ημπορείτε να τα τρώγετε.

Λευ. 11,10 - καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια, οὐδὲ λεπίδες ἐν τῷ ὕδατι, ἢ ἐν ταῖς θαλάσσαις καὶ ἐν τοῖς χειμάῤῥοις, ἀπὸ πάντων, ὧν ἐρεύγεται τὰ ὕδατα, καὶ ἀπὸ πάσης ψυχῆς τῆς ζώσης ἐν τῷ ὕδατι, βδέλυγμά ἐστι·

Λευ. 11,10 - Ολα όμως όσα δεν έχουν πτερύγια ούτε λέπια και ζουν εις τα ύδατα, εις τας θαλάσσας και τους χειμάρρους, κάθε ζωντανόν, που προέρχεται από τα ύδατα αλλά δεν έχει πτερύγια και λέπια είναι ακάθαρτον.

Λευ. 11,11 - καὶ βδελύγματα ἔσονται ὑμῖν· ἀπὸ τῶν κρεῶν αὐτῶν οὐκ ἔδεσθε καὶ τὰ θνησιμαῖα αὐτῶν βδελύξεσθε·

Λευ. 11,11 - Ακάθαρτα θα είναι για σας· τα κρέατά των δεν θα τα τρώγετε και τα πτώματά των δεν θα τα εγγίζετε, καθ' ο μολυσμένα.

Λευ. 11,12 - καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια, οὐδὲ λεπίδες, τῶν ἐν τοῖς ὕδασι, βδέλυγμα τοῦτό ἐστιν ὑμῖν.

Λευ. 11,12 - Ολα όσα ζουν εις τα ύδατα, αλλά δεν έχουν πτερύγια και λέπια, θα είναι ακάθαρτα και βδελυκτά δια σας.

Λευ. 11,13 - Καὶ ταῦτα, ἃ βδελύξεσθε ἀπὸ τῶν πετεινῶν, καὶ οὐ βρωθήσεται, βδέλυγμά ἐστι· τὸν ἀετὸν καὶ τὸν γρύπα καὶ τὸν ἁλιαίετον

Λευ. 11,13 - Αυτά δε είναι τα πτηνά, τα οποία θα αποστρέφεσθε, διότι είναι ακάθαρτα και δεν θα τα τρώγετε ως σιχαμερά· Ο αετός, ο γρυπάετος, ο θαλάσσιος αετός,

Λευ. 11,14 - καὶ τὸν γύπα καὶ τὸν ἴκτινον καὶ τὰ ὅμοια αὐτῷ

Λευ. 11,14 - ο γυψ, ο ιέραξ και οι όμοιοι προς αυτόν ιέρακες.

Λευ. 11,15 - καὶ στρουθὸν καὶ γλαῦκα καὶ λάρον καὶ τὰ ὅμοια αὐτῷ

Λευ. 11,15 - Δεν θα τρώγετε το στρουθίον, την γλαύκα, τον γλάρον και τα ομοία προς αυτόν·

Λευ. 11,16 - καὶ πάντα κόρακα καὶ τὰ ὅμοια αὐτῷ καὶ ἱέρακα καὶ τὰ ὅμοια αὐτῷ

Λευ. 11,16 - κάθε είδος κόρακος και τα όμοια προς αυτόν, τον ιέρακα και τα όμοια προς αυτόν,

Λευ. 11,17 - καὶ νυκτικόρακα καὶ καταῤῥάκτην καὶ ἶβιν

Λευ. 11,17 - τον νυκτοκόρακα, τον καταρράκτην και την ίβιν.

Λευ. 11,18 - καὶ πορφυρίωνα καὶ πελεκᾶνα καὶ κύκνον

Λευ. 11,18 - Τον πορφυρίωνα, τον πελεκάνον και τον κύκνον.

Λευ. 11,19 - καὶ ἐρωδιὸν καὶ χαραδριόν, καὶ τὰ ὅμοια αὐτῷ καὶ ἔποπα καὶ νυκτερίδα

Λευ. 11,19 - Τον ερωδιόν, τον χαραδριόν και τα όμοια προς αυτόν, όπως επίσης τον τσαλαπετεινόν και την νυκτερίδα,

Λευ. 11,20 - καὶ πάντα τὰ ἑρπετὰ τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τέσσαρα, βδελύγματά ἐστιν ὑμῖν.

Λευ. 11,20 - όλα τα ερπετά που πετούν και βαδίζουν επίσης με τα τέσσερα θα είναι σιχαμερά και δεν θα τα τρώγετε.

Λευ. 11,21 - ἀλλὰ ταῦτα φάγεσθε ἀπὸ τῶν ἑρπετῶν τῶν πετεινῶν, ἃ πορεύεται ἐπὶ τέσσαρα, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν αὐτοῦ, πηδᾶν ἐν αὐτοῖς ἐπὶ τῆς γῆς.

Λευ. 11,21 - Επιτρέπεται να τρώγετε από τα ερπετά-πτηνά εκείνα, τα οποία βαδίζουν με τα τέσσερα πόδια και έχουν τα πίσω πόδια μεγαλύτερα από τα εμπρόσθια, δια να πηδούν στο έδαφος.

Λευ. 11,22 - καὶ ταῦτα φάγεσθε ἀπ᾿ αὐτῶν· τὸν βροῦχον καὶ τὰ ὅμοια αὐτῷ καὶ τὸν ἀττάκην καὶ τὰ ὅμοια αὐτῷ καὶ ὀφιομάχην καὶ τὰ ὅμοια αὐτῷ καὶ τὴν ἀκρίδα καὶ τὰ ὅμοια αὐτῇ.

Λευ. 11,22 - Ημπορείτε να τρώγετε από αυτά τα εξής είδη των ακρίδων· Τον βρούχον και τα όμοια με αυτόν, τον αττάκην και τα όμοια προς αυτόν, τον οφιομάχην και τα όμοια προς αυτόν, την κυρίως ακρίδα και τα όμοια προς αυτήν.

Λευ. 11,23 - πᾶν ἑρπετὸν ἀπὸ τῶν πετεινῶν, οἷς εἰσι τέσσαρες πόδες, βδελύγματά ἐστιν ὑμῖν,

Λευ. 11,23 - Καθε άλλο ερπετόν, που πετά και το οποίον έχει τέσσερα πόδια, θα είναι δια σας ακάθαρτον.

Λευ. 11,24 - καὶ ἐν τούτοις μιανθήσεσθε, πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν ἀκάθαρτος ἔσται ἕως ἑσπέρας,

Λευ. 11,24 - Με αυτά μολύνεται ο άνθρωπος. Μολύνεται επίσης και εκείνος, που εγγίζει τα θνησιμαία αυτών· θα είναι ακάθαρτος μέχρις εσπέρας.

Λευ. 11,25 - καὶ πᾶς ὁ αἴρων τῶν θνησιμαίων αὐτῶν πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 11,25 - Εάν όμως ευρεθή κανείς εις την ανάγκην να σηκώση και να πετάξη ένα πτώμα από τα ακάθαρτα αυτά ζώα, θα πλύνη τα ιμάτιά του και θα είναι ακάθαρτος μέχρις εσπέρας.

Λευ. 11,26 - καὶ ἐν πᾶσι τοῖς κτήνεσιν, ὅ ἐστι διχηλοῦν ὁπλήν, καὶ ὀνυχιστῆρας ὀνυχίζει καὶ μηρυκισμὸν οὐ μηρυκᾶται, ἀκάθαρτα ἔσονται ὑμῖν· πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 11,26 - Μεταξύ των κτηνών καθένα, το οποίον είναι δίχηλον, έχει δηλαδή δύο νύχια σχιστά, δεν μηρυκάζει όμως, θα είναι δια σας ακάθαρτον. Και καθένας που εγγίζει τα πτώματα αυτών θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 11,27 - καὶ πᾶς ὃς πορεύεται ἐπὶ χειρῶν ἐν πᾶσι τοῖς θηρίοις, ἃ πορεύεται ἐπί τέσσαρα, ἀκάθαρτά ἐστιν ὑμῖν· πᾶς ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν ἀκάθαρτος ἔσται ἕως ἑσπέρας,

Λευ. 11,27 - Καθε άγριον ζώον το οποίον βαδίζει με τα τέσσερα, αλλά χρησιμοποιεί τους εμπροσθίους πόδας και ως χέρια θα είναι ακάθαρτον δια σας και οποίος εγγίζει τα πτώματα αυτών θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 11,28 - καὶ ὁ αἴρων τῶν θνησιμαίων αὐτῶν πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· ἀκάθαρτα ταῦτά ἐστιν ὑμῖν.

Λευ. 11,28 - Εκείνος που θα σηκώση εξ ανάγκης ένα πτώμα από τα ζώα αυτά, δια να το πετάξη, θα πλύνη τα ενδύματά του, και θα είναι δια σας ακάθαρτος έως την εσπέραν. Αυτά είναι ακάθαρτα δια σας.

Λευ. 11,29 - Καὶ ταῦτα ὑμῖν ἀκάθαρτα ἀπὸ τῶν ἑρπετῶν τῶν ἐπί τῆς γῆς· ἡ γαλῆ καὶ ὁ μῦς καὶ ὁ κροκόδειλος ὁ χερσαῖος,

Λευ. 11,29 - Από τα ζώα, τα οποία περιπατούν στο έδαφος, αυτά είναι τα ακάθαρτα. Η γάτα, ο ποντικός, ο χερσαίος κροκόδειλος.

Λευ. 11,30 - μυγάλη καὶ χαμαιλέων, καὶ χαλαβώτης καὶ σαῦρα καὶ ἀσπάλαξ.

Λευ. 11,30 - Ο αρουραίος, ο χαμαιλέων, η παρδαλή σαύρα, η σαύρα και ο τυφλοπόντικας.

Λευ. 11,31 - ταῦτα ἀκάθαρτα ὑμῖν ἀπὸ πάντων τῶν ἑρπετῶν τῶν ἐπὶ τῆς γῆς· πᾶς ὁ ἁπτόμενος αὐτῶν τεθνηκότων ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 11,31 - Αυτά είναι ακάθαρτα από τα άλλα ζώα, που περιπατούν στο έδαφος. Και καθένας που εγγίζει τα πτώματά των, θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 11,32 - καὶ πᾶν, ἐφ᾽ ὃ ἂν ἐπιπέσῃ ἀπ᾽ αὐτῶν ἐπ᾽ αὐτὸ τεθνηκότων αὐτῶν, ἀκάθαρτον ἔσται ἀπὸ παντὸς σκεύους ξυλίνου ἢ ἱματίου ἢ δέρματος ἢ σάκκου· πᾶν σκεῦος, ὃ ἂν ποιηθῇ ἔργον ἐν αὐτῷ, εἰς ὕδωρ βαφήσεται καὶ ἀκάθαρτον ἔσται ἕως ἑσπέρας· καὶ καθαρὸν ἔσται.

Λευ. 11,32 - Καθε πράγμα, επάνω στο οποίον θα πέση το πτώμα ενός από αυτά τα ζώα, θα είναι ακάθαρτον, είτε ξύλινον σκεύος είναι τούτο η ένδυμα η δέρμα η σάκκος. Καθε σκεύος, στο οποίον θα συμβή να πέση ένα τέτοιο ζώον, θα πλυθή με νερό και θα μείνη ακάθαρτον έως την εσπέραν. Κατόπιν θα είναι καθαρόν.

Λευ. 11,33 - καὶ πᾶν σκεῦος ὀστράκινον, εἰς ὃ ἐὰν πέσῃ ἀπὸ τούτων ἔνδον, ὅσα ἐὰν ἔνδον ᾖ, ἀκάθαρτα ἔσται, καὶ αὐτὸ συντριβήσεται.

Λευ. 11,33 - Και κάθε πήλινον δοχείον, μέσα στο οποίον θα πέση ένα από τα ακάθαρτα αυτά ζώα, το περιεχόμενον του δοχείου θα είναι ακάθαρτον και το δοχείον πρέπει να συντριβή.

Λευ. 11,34 - καὶ πᾶν βρῶμα, ὃ ἔσθεται, εἰς ὃ ἂν ἐπέλθῃ ἐπ᾽ αὐτὸ ὕδωρ, ἀκάθαρτον ἔσται· καὶ πᾶν ποτόν, ὃ πίνεται ἐν παντὶ ἀγγείῳ, ἀκάθαρτον ἔσται.

Λευ. 11,34 - Από τα μολυσμένα αυτά δοχεία, εντός των οποίων έπεσεν ένα τέτοιο ακάθαρτον ζώον, εάν πέση νερό εις κάθε φαγώσιμον είδος, αυτό θα είναι ακάθαρτον. Επίσης κάθε ποτόν στο δοχείον, εντός του οποίου ευρίσκεται, εάν πέση ακάθαρτον νερό, θα είναι και αυτό ακάθαρτον.

Λευ. 11,35 - καὶ πᾶν, ὃ ἐὰν ἐπιπέσῃ ἀπὸ τῶν θνησιμαίων αὐτῶν ἐπ᾽ αὐτό, ἀκάθαρτον ἔσται· κλίβανοι καὶ χυτρόποδες καθαιρεθήσονται· ἀκάθαρτα ταῦτά ἐστι καὶ ἀκάθαρτα ταῦτα ὑμῖν ἔσονται·

Λευ. 11,35 - Αλλά και κάθε αντικείμενον, στο οποίον θα πέση κάποιο από αυτά τα θνησιμαία, θα είναι ακάθαρτον, κλίβανοι, χύτραι με πόδας θα καταστραφούν. Είναι αυτά ακάθαρτα, και ακάθαρτα πρέπει να θεωρούνται από σας.

Λευ. 11,36 - πλὴν πηγῶν ὑδάτων καὶ λάκκου καὶ συναγωγῆς ὕδατος, ἔσται καθαρόν· ὁ δὲ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν ἀκάθαρτος ἔσται.

Λευ. 11,36 - Εάν όμως εις πηγήν υδάτων η εις φρέαρ η εις δεξαμένην ύδατος πέση ένα θνησιμαίον, αυτά θα είναι καθαρά αλλά ο εγγίζων τα πτώματα των ακαθάρτων ζώων, που έπεσαν εις αυτά τα ύδατα, θα είναι ακάθαρτος.

Λευ. 11,37 - ἐὰν δὲ ἐπιπέσῃ ἀπὸ τῶν θνησιμαίων αὐτῶν ἐπὶ πᾶν σπέρμα σπόριμον, ὃ σπαρήσεται, καθαρὸν ἔσται.

Λευ. 11,37 - Εάν πτώμα ακάθαρτον ζώου πέση εις ξηρόν σπέρμα, που προορίζεται δια σποράν, το σπέρμα αυτό θα είναι καθαρόν.

Λευ. 11,38 - ἐὰν δὲ ἐπιχυθῇ ὕδωρ ἐπί πᾶν σπέρμα καὶ ἐπιπέσῃ τῶν θνησιμαίων αὐτῶν ἐπ᾽ αὐτό, ἀκάθαρτόν ἐστιν ὑμῖν.

Λευ. 11,38 - Εάν όμως πέση νερό εις αυτό το σπέρμα, επάνω δε εις αυτό πέση πτώμα ακαθάρτου ζώου, το σπέρμα αυτό θα είναι δια σας ακάθαρτον.

Λευ. 11,39 - ἐὰν δὲ ἀποθάνῃ τῶν κτηνῶν, ὅ ἐστιν ὑμῖν φαγεῖν τοῦτο, ὁ ἁπτόμενος τῶν θνησιμαίων αὐτῶν ἀκάθαρτος ἔσται ἕως ἑσπέρας·

Λευ. 11,39 - Εάν ένα από τα καθαρά ζώα, το οποίον σας επιτρέπεται να φάγετε, αποθάνη, ο έγγιζων το πτώμα αυτού θα είναι ακάθαρτος μέχρι την εσπέραν.

Λευ. 11,40 - καὶ ὁ ἐσθίων ἀπὸ τῶν θνησιμαίων τούτων πλυνεῖ τὰ ἱμάτια καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· καὶ ὁ αἴρων ἀπὸ θνησιμαίων αὐτῶν πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 11,40 - Εκείνος που τρώγει από το θνησιμαίον, έστω και καθαρού ζώου, θα πλύνη τα ενδύματά του, θα λουσθή ο ίδιος με νερό και θα είναι ακάθαρτος έως εσπέρας.

Λευ. 11,41 - Καὶ πᾶν ἑρπετόν, ὃ ἕρπει ἐπὶ τῆς γῆς, βδέλυγμα ἔσται τοῦτο ὑμῖν, οὐ βρωθήσεται.

Λευ. 11,41 - Καθε ερπετόν, που έρπει επί του εδάφους, θα είναι δια σας ακάθαρτον και δεν θα φαγωθή.

Λευ. 11,42 - καὶ πᾶς ὁ πορευόμενος ἐπὶ κοιλίας καὶ πᾶς ὁ πορευόμενος ἐπὶ τέσσαρα διαπαντός, ὃ πολυπληθεῖ ποσὶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς, οὐ φάγεσθε αὐτό, ὅτι βδέλυγμα ὑμῖν ἐστι.

Λευ. 11,42 - Καθε ζώον, το οποίον σύρεται με την κοιλίαν του και κάθε ένα το οποίον σύρεται πάντοτε με τα τέσσερα, όπως επίσης παν ερπετόν το οποίον έχει πολυάριθμα πόδια μεταξύ των άλλων ερπετών που έρπουν επί της γης, δεν θα φάγετε αυτό, διότι είναι ακάθαρτον.

Λευ. 11,43 - καὶ οὐ μὴ βδελύξητε τὰς ψυχὰς ὑμῶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς ἕρπουσιν ἐπὶ τῆς γῆς καὶ οὐ μιανθήσεσθε ἐν τούτοις καὶ οὐκ ἀκάθαρτοι ἔσεσθε ἐν αὐτοῖς,

Λευ. 11,43 - Τηρήσατε αυτά και μη καταστήσετε ακαθάρτους τας ψυχάς σας τρώγοντες τα ερπετά αυτά, που σύρονται επί της γης· προσέξετε να μη μολυνθήτε τρώγοντες αυτά και γίνετε έτσι, εξ αιτίας των, ακάθαρτοι.

Λευ. 11,44 - ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, καὶ ἁγιασθήσεσθε καὶ ἅγιοι ἔσεσθε, ὅτι ἅγιός εἰμι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, καὶ οὐ μιανεῖτε τὰς ψυχὰς ὑμῶν ἐν πᾶσι τοῖς ἑρπετοῖς τοῖς κινουμένοις ἐπὶ τῆς γῆς·

Λευ. 11,44 - Εγώ παραγγέλλω αυτά, διότι εγώ είμαι Κυριος ο Θεός σας· θα αγιάζεσθε και θα είσθε άγιοι, διότι εγώ ο Κυριος και Θεός σας είμαι άγιος. Μη μολύνεσθε με τα ερπετά, τα οποία κινούνται επάνω εις την γην.

Λευ. 11,45 - ὅτι ἐγώ εἰμι Κύριος ὁ ἀναγαγὼν ὑμᾶς ἐκ τῆς Αἰγύπτου εἶναι ὑμῶν Θεός, καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιός εἰμι ἐγὼ Κύριος.

Λευ. 11,45 - Εγώ είμαι ο Κυριος, ο οποίος σας έβγαλα ελευθέρους από την χώραν της Αιγύπτου, δια να είμαι πάντοτε ο Θεός σας· να είσθε άγιοι,

διότι άγιος είμαι εγώ ο Κυριος.

Λευ. 11,46 - Οὗτος ὁ νόμος περὶ τῶν κτηνῶν καὶ τῶν πετεινῶν καὶ πάσης ψυχῆς τῆς κινουμένης ἐν τῷ ὕδατι καὶ πάσης ψυχῆς ἑρπούσης ἐπὶ τῆς γῆς,

Λευ. 11,46 - Αυτός είναι ο νόμος ο περί των ζώων, και των πτηνών και πάσης ζωϊκής υπάρξεως, που ζη εις τα ύδατα και παντός ζώου, που έρπει εις την γην.

Λευ. 11,47 - διαστεῖλαι ἀνὰ μέσον τῶν ἀκαθάρτων καὶ ἀνὰ μέσον τῶν καθαρῶν καὶ ἀνὰ μέσον τῶν ζωογονούντων τὰ ἐσθιόμενα, καὶ ἀνὰ μέσον τῶν ζωογονούντων τὰ μὴ ἐσθιόμενα.

Λευ. 11,47 - Αυτός είναι ο νόμος του διαχωρισμού μεταξύ των ακαθάρτων και των καθαρών, των ζωϊκών υπάρξεων που θα τρώγωνται, και των ζωϊκών υπάρξεων που δεν πρέπει να τρώγωνται”.

## ΛΕΥΙΤΙΚΟΝ 12

Λευ. 12,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 12,1 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Λευ. 12,2 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· γυνή, ἥτις ἐὰν σπερματισθῇ καὶ τέκῃ ἄρσεν, καὶ ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας, κατὰ τὰς ἡμέρας τοῦ χωρισμοῦ τῆς ἀφέδρου αὐτῆς, ἀκάθαρτος ἔσται·

Λευ. 12,2 - “λάλησε στους Ισραηλίτας και ειπέ λέγων προς αυτούς· Γυνή έγκυος, εάν γεννήση άρρεν, θα είναι ακάθαρτος επί επτά ημέρας· όσας ημέρας είναι ακάθαρτος και κατά την έμμηνον ρύσιν της.

Λευ. 12,3 - καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ περιτεμεῖ τὴν σάρκα τῆς ἀκροβυστίας αὐτοῦ·

Λευ. 12,3 - Κατά την ογδόην ημέραν από της γεννήσεως θα γίνη η περιτομή της ακροβυστίας του τέκνου της.

Λευ. 12,4 - καὶ τριάκοντα καὶ τρεῖς ἡμέρας καθήσεται ἐν αἵματι ἀκαθάρτῳ αὐτῆς, παντὸς ἁγίου οὐχ ἅψεται καὶ εἰς τὸ ἁγιαστήριον οὐκ εἰσελεύσεται, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς.

Λευ. 12,4 - Τριάκοντα τρεις ημέρας θα παραμείνη ακόμη αυτή ακάθαρτος λόγω του ακαθάρτου αίματός της. Κανέν άγιον δεν θα εγγίζη αυτή και στον ναόν δεν θα εισέρχεται, μέχρις ότου συμπληρωθούν αι σαράντα ημέραι της καθάρσεώς της.

Λευ. 12,5 - ἐὰν δὲ θῆλυ τέκῃ, καὶ ἀκάθαρτος ἔσται δὶς ἑπτὰ ἡμέρας, κατὰ τὴν ἄφεδρον αὐτῆς· καὶ ἑξήκοντα ἡμέρας καὶ ἓξ καθεσθήσεται ἐν αἵματι ἀκαθάρτῳ αὐτῆς.

Λευ. 12,5 - Εάν δε γεννήση θήλυ, θα είναι επί δεκατέσσαρας ημέρας ακάθαρτος όπως ακάθαρτος είναι κατά την έμμηνον ρύσιν. Θα παραμείνη δε ακόμη ακάθαρτος, λόγω του ακαθάρτου αίματός της, επί εξήκοντα εξ ημέρας.

Λευ. 12,6 - καὶ ὅταν ἀναπληρωθῶσιν αἱ ἡμέραι καθάρσεως αὐτῆς ἐφ᾿ υἱῷ ἢ ἐπὶ θυγατρί, προσοίσει ἀμνὸν ἐνιαύσιον ἄμωμον, εἰς ὁλοκαύτωμα, καὶ νεοσσὸν περιστερᾶς ἢ τρυγόνα περὶ ἁμαρτίας ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν ἱερέα,

Λευ. 12,6 - Οταν δε συμπληρωθούν αι ημέραι, αι οποίαι απαιτούνται προς καθαρισμόν της δια τον υιόν η την θυγατέρα που απέκτησε, θα προσφέρη εις την θύραν της Σκηνής του Μαρτυρίου προς τον ιερέα αρνί ενός έτους, χωρίς κανένα σωματικόν ελάττωμα, προς ολοκαύτωσιν και ένα νεοσσόν περιστεράς η μίαν τρυγόνα, θυσίαν περί αμαρτίας.

Λευ. 12,7 - καὶ προσοίσει αὐτὸν ἔναντι Κυρίου καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεύς καὶ καθαριεῖ αὐτὴν ἀπὸ τῆς πηγῆς τοῦ αἵματος αὐτῆς. οὗτος ὁ νόμος τῆς τικτούσης ἄρσεν ἢ θῆλυ.

Λευ. 12,7 - Ο ιερεύς θα προσφέρη αυτά θυσίαν ενώπιον του Κυρίου, θα εξιλεώση αυτήν και θα την καθαρίση από την ακαθαρσίαν του ρεύσαντος αίματός της. Αυτός είναι ο νόμος δια την κάθαρσιν της γυναικός, που γεννά άρρεν η θήλυ.

Λευ. 12,8 - ἐὰν δὲ μὴ εὑρίσκῃ ἡ χεὶρ αὐτῆς τὸ ἱκανὸν εἰς ἀμνόν, καὶ λήψεται δύο τρυγόνας ἢ δύο νεοσσοὺς περιστερῶν, μίαν εἰς ὁλοκαύτωμα καὶ μίαν περὶ ἁμαρτίας, καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεύς, καὶ καθαρισθήσεται.

Λευ. 12,8 - Εάν όμως δεν έχηι αυτή την οικονομικήν ευχέρειαν να προσφέρη αμνόν, θα λάβη δύο τρυγόνας η δύο νεοσσούς περιστερών, την μίαν εις ολοκαύτωσιν και την άλλην ως θυσίαν περί αμαρτίας, και ο ιερεύς θα προσφέρη την εξιλεωτικήν αυτήν θυσίαν και ούτω θα τελεσθή ο νόμος περί καθάρσεώς της”.

## ΛΕΥΙΤΙΚΟΝ 13

Λευ. 13,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Λευ. 13,1 - Ο Κυριος ομίλησε προς τον Μωϋσήν και Ααρών και είπεν·

Λευ. 13,2 - ἀνθρώπῳ ἐάν τινι γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ οὐλὴ σημασίας τηλαυγής, καὶ γένηται ἐν δέρματι χρωτὸς αὐτοῦ ἁφὴ λέπρας, ἀχθήσεται πρὸς Ἀαρὼν τὸν ἱερέα, ἢ ἕνα τῶν υἱῶν αὐτοῦ τῶν ἱερέων.

Λευ. 13,2 - “εάν στο δέρμα του σώματος ενός ανθρώπου παρουσιασθή πληγή εμφανή, στίλβουσα, ώστε να φαίνεται ότι πρόκειται περί προσβολής λέπρας, θα οδηγηθή αυτός προς τον Ααρών τον αρχιερέα η εις ένα από τους υιούς του τους ιερείς.

Λευ. 13,3 - καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν ἐν δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ ἡ θρὶξ ἐν τῇ ἁφῇ μεταβάλῃ λευκή, καὶ ἡ ὄψις τῆς ἁφῆς ταπεινὴ ἀπὸ τοῦ δέρματος τοῦ χρωτός, ἁφὴ λέπτρας ἐστί· καὶ ὄψεται ὁ ἱερεύς, καὶ μιανεῖ αὐτόν.

Λευ. 13,3 - Ο ιερεύς θα παρατηρήση και θα εξετάση την πληγήν αυτήν του δέρματος, και εάν αι τρίχες στο σημείον της πληγής είναι λευκαί και το προσβληθέν μέρος είναι χαμηλότερον από το άλλο δέρμα, τότε η πληγή αυτή είναι πληγή λέπρας. Αφού δε ο ιερεύς ίδη αυτά, θα χαρακτηρίση και θα κηρύξη αυτόν ακάθαρτον.

Λευ. 13,4 - ἐὰν δὲ τηλαυγὴς λευκὴ ᾖ ἐν τῷ δέρματι τοῦ χρωτὸς αὐτοῦ, καὶ ταπεινὴ μὴ ᾖ ἡ ὄψις αὐτῆς ἀπὸ τοῦ δέρματος, καὶ ἡ θρὶξ αὐτοῦ οὐ μετέβαλε τρίχα λευκήν, αὐτὴ δέ ἐστιν ἀμαυρά, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν ἑπτὰ ἡμέρας.

Λευ. 13,4 - Εάν όμως η στίλβουσα πληγή του δέρματος δεν είναι χαμηλοτέρα από την επιφάνειαν του άλλου δέρματος, ούτε έχουν μεταβληθή αι τρίχες αυτού εις λευκάς, αλλά παραμένουν μαύραι, ο ιερεύς θα χωρίση αυτόν ως ακάθαρτον επί επτά ημέρας.

Λευ. 13,5 - καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ ἡ ἁφὴ μένει ἐναντίον αὐτοῦ, οὐ μετέπεσεν ἡ ἁφὴ ἐν τῷ δέρματι, καὶ ἀφοριεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας τὸ δεύτερον.

Λευ. 13,5 - Θα εξετάση όμως ο ιερεύς την πληγήν πάλιν κατά την εβδόμην ημέραν και εάν αυτή παραμένη, όπως και πριν και δεν εξηπλώθη επί πλέον επί του δέρματος, θα χωρίση αυτόν δια δευτέραν φοράν επί άλλας επτά ημέρας.

Λευ. 13,6 - καὶ ὄψεται ὁ ἱερεὺς αὐτὸν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ τὸ δεύτερον. καὶ ἰδοὺ ἀμαυρὰ ἡ ἁφή, οὐ μετέπεσεν ἡ ἁφὴ ἐν τῷ δέρματι· καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς· σημασία γάρ ἐστι· καὶ πλυνάμενος τὰ ἱμάτια αὐτοῦ καθαρὸς ἔσται.

Λευ. 13,6 - Παλιν δε ο ιερεύς κατά την εβδόμην ημέραν θα ίδη αυτόν δια δευτάραν φοράν και εάν η πληγή είναι θαμβή και όχι στίλβουσα, και δεν έχη απλωθή περισσότερον επί του δέρματος, ο ιερεύς θα κηρύξη αυτόν καθαρόν, διότι τα σημεία πείθουν ότι δεν πρόκειται περί λέπρας. Αυτός δε αφού πλύνη τα ιμάτιά του, θα είναι καθαρός.

Λευ. 13,7 - ἐὰν δὲ μεταβαλοῦσα μεταπέσῃ ἡ σημασία ἐν τῷ δέρματι, μετὰ τὸ ἰδεῖν αὐτὸν τὸν ἱερέα τοῦ καθαρίσαι αὐτόν, καὶ ὀφθήσεται τὸ δεύτερον τῷ ἱερεῖ.

Λευ. 13,7 - Εάν όμως κατόπιν αυτών η πληγή μεταδοθή στο άλλο δέρμα, θα παρουσιασθή και πάλιν αυτός στον ιερέα.

Λευ. 13,8 - καὶ ὄψεται αὐτὸν ὁ ἱερεύς, καὶ ἰδοὺ μετέπεσεν ἡ σημασία ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς· λέπρα ἐστί.

Λευ. 13,8 - Ο ιερεύς θα τον εξετάση και εάν ίδη ότι η πληγή εξηπλώθη στο άλλο δέρμα, θα τον κηρύξη ακάθαρτον, διότι πρόκειται πλέον περί λέπρας.

Λευ. 13,9 - καὶ ἁφὴ λέπρας ἐὰν γένηται ἐν ἀνθρώπῳ, καὶ ἥξει πρὸς τόν ἱερέα·

Λευ. 13,9 - Εάν λοιπόν παρουσιασθή εις κάποιον άνθρωπον πληγή λέπρας, θα έλθη αυτός προς τον ιερέα·

Λευ. 13,10 - καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ οὐλὴ λευκὴ ἐν τῷ δέρματι, καὶ αὕτη μετέβαλε τρίχα λευκήν, καὶ ἀπὸ τοῦ ὑγιοῦς τῆς σαρκὸς τῆς ζώσης ἐν τῇ οὐλῇ,

Λευ. 13,10 - ο ιερεύς θα τον εξετάση μετά προσοχής και εάν ίδη ότι η στο δέρμα πληγή είναι λευκή, έχη δε μεταβάλει τας τρίχας εις λευκάς και υπάρχουν σημεία τινά υγιούς σαρκός εν τη πληγή,

Λευ. 13,11 - λέπρα παλαιουμένη ἐστὶν ἐν τῷ δέρματι τοῦ χρωτός, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεὺς καὶ ἀφοριεῖ αὐτόν, ὅτι ἀκάθαρτός ἐστιν.

Λευ. 13,11 - τότε η λέπρα είναι παλαιά στο δέρμα του. Ο δε ιερεύς θα κηρύξη αυτόν ακάθαρτον και θα τον χωρίση μακράν από τον λαόν, διότι είναι ακάθαρτος.

Λευ. 13,12 - ἐὰν δὲ ἀνθοῦσα ἐξανθήσῃ ἡ λέπρα ἐν τῷ δέρματι, καὶ καλύψῃ ἡ λέπρα πᾶν τὸ δέρμα τῆς ἁφῆς ἀπὸ κεφαλῆς ἕως ποδῶν, καθ᾿ ὅλην τὴν ὅρασιν τοῦ ἱερέως,

Λευ. 13,12 - Εάν η λέπρα, προοδεύουσα συνεχώς, καλύψη όλον το δέρμα από κεφαλής μέχρι ποδών,

Λευ. 13,13 - καὶ ὄψεται ὁ ἱερεὺς καὶ ἰδού ἐκάλυψεν ἡ λέπρα πᾶν τὸ δέρμα τοῦ χρωτός, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεὺς τὴν ἁφήν, ὅτι πᾶν μετέβαλε λευκόν, καθαρόν ἐστι.

Λευ. 13,13 - ίδη δε αυτόν ο ιερεύς και διαπιστώση ότι η λέπρα εκάλυψεν όλον αυτού το δέρμα, θα κηρύξη ο ιερεύς καθαράν την ασθένειαν και αυτόν καθαρόν διότι όλον του το σώμα έγινε λευκόν (άρα δεν πρόκειται περί λέπρας αλλά περί λευκοπλασίας).

Λευ. 13,14 - καὶ ᾗ ἂν ἡμέρᾳ ὀφθῇ ἐν αὐτῷ χρὼς ζῶν, μιανθήσεται,

Λευ. 13,14 - Κατά την ημέραν όμως, κατά την οποίαν θα φανή στο λευκόν αυτού δέρμα σαρξ υγιής με το προηγούμενον φυσικόν αυτής χρώμα, ο άνθρωπος αυτός θα είναι ακάθαρτος.

Λευ. 13,15 - καὶ ὄψεται ὁ ἱερεὺς τὸν χρῶτα τὸν ὑγιῆ, καὶ μιανεῖ αὐτὸν ὁ χρὼς ὁ ὑγιής, ὅτι ἀκάθαρτός ἐστι· λέπρα ἐστί.

Λευ. 13,15 - Ο ιερεύς θα ίδη τα υγιά μέρη του δέρματος εν αντιπαραβολή προς τα ασθενή και θα κηρύξη αυτόν ακάθαρτον, διότι πρόκειται περί λέπρας.

Λευ. 13,16 - ἐὰν δέ ἀποκαταστῇ ὁ χρὼς ὁ ὑγιής, καὶ μεταβάλῃ λευκή, καὶ ἐλεύσεται πρὸς τὸν ἱερέα,

Λευ. 13,16 - Εάν έως μεταβληθή και πάλιν το υγιές μέρος του δέρματος και γίνη πάλιν λευκόν, ο ασθενής θα μεταβή προς τον ιερέα·

Λευ. 13,17 - καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ μετέβαλεν ἡ ἁφὴ εἰς τὸ λευκόν, καὶ καθαριεῖ ὁ ἱερεὺς τὴν ἁφήν· καθαρός ἐστι.

Λευ. 13,17 - θα τον εξετάση ο ιερεύς και εάν ίδη ότι η νόσος έγινε λευκή, θα κηρύξη αυτήν καθαράν και ο ασθενής θα είναι καθαρός.

Λευ. 13,18 - Καὶ σὰρξ ἐὰν γένηται ἐν τῷ δέρματι αὐτοῦ ἕλκος καὶ ὑγιασθῇ,

Λευ. 13,18 - Εάν δε δημιουργηθή έλκος στο δέρμα ενός ανθρώπου, το οποίον έλκος εθεραπεύθη,

Λευ. 13,19 - καὶ γένηται ἐν τῷ τόπῳ τοῦ ἕλκους οὐλὴ λευκή, ἢ τηλαυγὴς λευκαίνουσα, ἢ πυῤῥίζουσα, καὶ ὀφθήσεται τῷ ἱερεῖ,

Λευ. 13,19 - αλλά εις την περιοχήν του έλκους αυτού παρουσιασθή πληγή λευκή η στίλβουσα η ξανθή, ο ασθενής θα παρουσιασθή εις τον ιερέα.

Λευ. 13,20 - καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἡ ὄψις ταπεινοτέρα τοῦ δέρματος, καὶ ἡ θρὶξ αὐτῆς μετέβαλεν εἰς λευκήν, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, ὅτι λέπρα ἐστίν, ἐν τῷ ἕλκει ἐξήνθησεν.

Λευ. 13,20 - Ο ιερεύς θα τον εξετάση και εάν ίδη ότι η επιφάνεια της πληγής είναι χαμηλοτέρα από το άλλο δέρμα και ότι αι εκεί τρίχες μετεβλήθησαν εις λευκάς, θα κηρύξη αυτόν ο ιερεύς λεπρόν, διότι πρόκειται περί λέπρας, η οποία εφυτρωσεν στο έλκος.

Λευ. 13,21 - ἐὰν δὲ ἴδῃ ὁ ἱερεύς, καὶ ἰδοὺ οὐκ ἔστιν ἐν αὐτῷ θρὶξ λευκή, καὶ ταπεινὸν μὴ ᾖ ἀπὸ τοῦ δέρματος τοῦ χρωτός, καὶ αὐτὴ ᾖ ἀμαυρά, καὶ ἀφοριεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας.

Λευ. 13,21 - Εάν όμως ο ιερεύς ίδη ότι δεν υπάρχει εις την περιοχήν του έλκους λευκή τρίχα, αλλά αμαυρά, όπως και προηγουμένως, το δε προσβληθέν μέρος δεν είναι χαμηλότερον του άλλου δέρματος, θα χωρίση αυτόν ο ιερεύς επί επτά ημέρας.

Λευ. 13,22 - ἐὰν δὲ διαχύσει διαχέηται ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἁφὴ λέπρας ἐστίν, ἐν τῷ ἕλκει ἐξήνθησεν.

Λευ. 13,22 - Εάν δε διαχυθή και μεταδοθή και εις άλλα μέρη του δέρματος η πληγή αυτή, θα κηρύξη ο ιερεύς αυτόν ακάθαρτον, διότι πρόκειται πλέον περί λέπρας, η οποία εβγήκεν από το έλκος.

Λευ. 13,23 - ἐὰν δὲ κατὰ χώραν μείνῃ τὸ τηλαύγημα καὶ μὴ διαχέηται, οὐλὴ τοῦ ἕλκους ἐστί, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς.

Λευ. 13,23 - Εάν όμως η γυαλίζουσα αυτή πληγή μείνη στάσιμος και δεν μεταδοθή, είναι πληγή έλκους. Ο ιερεύς θα κηρύξη τον ασθενή καθαρόν.

Λευ. 13,24 - Καὶ σὰρξ ἐὰν γένηται ἐν τῷ δέρματι αὐτοῦ κατάκαυμα πυρός, καὶ γένηται ἐν τῷ δέρματι αὐτοῦ τὸ ὑγιασθὲν τοῦ κατακαύματος αὐγάζον τηλαυγὲς λευκόν, ὑποπυῤῥίζον ἢ ἔκλευκον,

Λευ. 13,24 - Εάν στο δέρμα κάποιου ανθρώπου γίνη έγκαυμα από πυρ, θεραπευθή δε το έγκαυμα, μείνη όμως στο θεραπευθέν μέρος εμφανές γυαλιστερόν λευκόν σημείον, υπέρυθρον η ολόλευκον,

Λευ. 13,25 - καὶ ὄψεται αὐτὸν ὁ ἱερεύς, καὶ ἰδοὺ μετέβαλε θρὶξ λευκὴ εἰς τὸ αὐγάζον, καὶ ἡ ὄψις αὐτοῦ ταπεινὴ ἀπὸ τοῦ δέρματος, λέπρα ἐστίν, ἐν τῷ κατακαύματι ἐξήνθησε· καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἁφὴ λέπρας ἐστίν.

Λευ. 13,25 - θα τον ίδη ο ιερεύς και εάν διαπιστώση ότι στο γυαλιστερόν αυτό σημείον αι τρίχες μετεβλήθησαν εις λευκάς και η επιφάνεια αυτού είναι χαμηλοτέρα από την του δέρματος, πρόκειται περί λέπρας, η οποία εφύτρωσεν από το έγκαυμα. Ο ιερεύς θα κηρύξη τον ασθενή ακάθαρτον, διότι η ασθένειά του είναι λέπρα.

Λευ. 13,26 - ἐὰν δὲ ἴδῃ ὁ ἱερεύς, καὶ ἰδοὺ οὐκ ἔστιν ἐν τῷ αὐγάζοντι θρὶξ λευκή, καὶ ταπεινὸν μὴ ᾖ ἀπὸ τοῦ δέρματος, αὐτὸ δὲ ἀμαυρόν, καὶ ἀφοριεῖ αὐτὸν ὁ ἱερεὺς ἑπτὰ ἡμέρας.

Λευ. 13,26 - Εάν όμως ο ιερεύς ίδη ότι στο ασθενούν μέρος δεν υπάρχει λευκή τρίχα, ότι τούτο δεν είναι χαμηλότερον από το άλλο δέρμα, ότι το χρώμα του είναι θαμβόν, ο ιερεύς θα τον χωρίση επί επτά ημέρας.

Λευ. 13,27 - καὶ ὄψεται αὐτὸν ὁ ἱερεὺς τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· ἐὰν δὲ διαχύσει διαχέηται ἐν τῷ δέρματι, καὶ μιανεῖ αὐτὸν ὁ ἱερεύς· ἁφὴ λέπρας ἐστίν, ἐν τῷ ἕλκει ἐξήνθησεν.

Λευ. 13,27 - Κατά την εβδόμην ημέραν θα τον εξετάση και πάλιν και εάν ίδη ότι η πληγή εξηπλώθη και στο άλλο δέρμα, θα κηρύξη αυτόν ακάθαρτον, διότι πρόκειται περί λέπρας, η οποία ανεφάνη στο έλκος.

Λευ. 13,28 - ἐὰν δὲ κατὰ χώραν μείνῃ τὸ αὐγάζον, καὶ μὴ διαχυθῇ ἐν τῷ δέρματι, αὐτὴ δὲ ἀμαυρὰ ᾖ, οὐλὴ τοῦ κατακαύμαστός ἐστι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς· ὁ γὰρ χαρακτὴρ τοῦ κατακαύματός ἐστι.

Λευ. 13,28 - Εάν η αναφανείσα πληγή μείνη στο σημείον, που υπήρχε, και δεν απλωθή στο άλλο δέρμα, έχει δε χρώμα θαμβόν, η πληγή αυτή είναι από το έγκαυμα, και θα κηρύξη αυτόν ο ιερεύς καθαρόν, διότι η πληγή έχει το χαρακτηριστικόν γνώρισμα του εγκαύματος μόνον.

Λευ. 13,29 - Καὶ ἀνδρὶ ἢ γυναικὶ ἐὰν γένηται ἐν αὐτοῖς ἁφὴ λέπρας ἐν τῇ κεφαλῇ ἢ ἐν τῷ πώγωνι,

Λευ. 13,29 - Εάν εις την κεφαλήν η στου πώγωνα ανδρός η γυναικός παρουσιασθ·η πληγή λέπρας,

Λευ. 13,30 - καί ὄψεται ὁ ἱερεὺς τὴν ἁφήν, καὶ ἰδοὺ ἡ ὄψις αὐτῆς ἐγκοιλοτέρα τοῦ δέρματος, ἐν αὐτῇ δὲ θρὶξ ξανθίζουσα λεπτή, καὶ μιανεῖ

αὐτὸν ὁ ἱερεύς· θραῦσμά ἐστι, λέπρα τῆς κεφαλῆς ἢ λέπρα τοῦ πώγωνός ἐστι.

Λευ. 13,30 - ο ιερεύς θα εξετάση αυτήν. Και εάν η επιφάνεια αυτής εινα χαμηλοτέρα από την του άλλου δέρματος και αι εντός αυτής τρίχες είναι ξανθαί και λεπταί, θα κηρύξη τον άνθρωπον αυτόν ο ιερεύς ακάθαρτον, διότι πρόκειται περί προσβολής λέπρας της κεφαλής η λέπρας του πώγωνος.

Λευ. 13,31 - καὶ ἐὰν ἴδῃ ὁ ἱερεὺς τὴν ἁφὴν τοῦ θραύσματος, καὶ ἰδοὺ οὐχ ἡ ὄψις ἐγκοιλοτέρα τοῦ δέρματος, καὶ θρὶξ ξανθίζουσα οὐκ ἔστιν ἐν αὐτῇ, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν τοῦ θραύσματος ἑπτὰ ἡμέρας.

Λευ. 13,31 - Εάν ο ιερεύς εξετάση την προσβολήν και ίδη ότι η εκεί επιφάνεια του δέρματος δεν είναι χαμηλοτέρα και τρίχα ξανθή δεν υπάρχει εις αυτήν, θα ξεχωρίση ο ιερεύς τον έχοντα την προσβολήν αυτήν επί επτά ημέρας.

Λευ. 13,32 - καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διεχύθη τὸ θραῦσμα, καὶ θρὶξ ξανθίζουσα οὐκ ἔστιν ἐν αὐτῇ, καὶ ἡ ὄψις τοῦ θραύσματος οὐκ ἔστι κοίλη ἀπὸ τοῦ δέρματος.

Λευ. 13,32 - Την εβδόμην ημέραν θα εξετάση και πάλιν ο ιερεύς την πληγήν και εάν ίδη ότι η πληγή δεν εξηπλώθη και ότι δεν υπάρχει εκεί τρίχα χρώματος ξανθού, η δε επιφάνεια του ασθενούντος δέρματος δεν είναι χαμηλοτέρα από την του άλλου δέρματος,

Λευ. 13,33 - καὶ ξυρηθήσεται τὸ δέρμα, τὸ δὲ θραῦσμα οὐ ξυρηθήσεται, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὸ θραῦσμα ἑπτὰ ἡμέρας τὸ δεύτερον.

Λευ. 13,33 - θα δώση εντολήν ο ιερεύς να ξυρισθή το υγιές δέρμα, το δε προσβεβλημένον να μείνη αξύριστον. Και πάλιν θα απομονώση ο ιερεύς τον ασθενή επί άλλας επτά ημέρας.

Λευ. 13,34 - καὶ ὄψεται ὁ ἱερεὺς τὸ θραῦσμα τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἰδοὺ οὐ διεχύθη τὸ θραῦσμα ἐν τῷ δέρματι μετὰ τὸ ξυρηθῆναι αὐτόν, καὶ ἡ ὄψις τοῦ θραύσματος οὐκ ἔστι κοίλη ἀπὸ τοῦ δέρματος, καὶ καθαριεῖ αὐτὴν ὁ ἱερεύς, καὶ πλυνάμενος τὰ ἱμάτια καθαρὸς ἔσται.

Λευ. 13,34 - Ο ιερεύς θα εξετάση την πληγήν κατά την εβδόμην ημέραν και εάν ίδη ότι η βλάβη δεν ηπλώθη στο άλλο δέρμα μετά το ξύρισμα, που είχε γίνει εις αυτό, η δε επιφάνεια της πληγής δεν είναι χαμηλοτέρα από την του άλλου δέρματος, θα κηρύξη αυτήν ο ιερεύς καθαράν, και ο ασθενής, αφού πλύνη τα ιμάτιά του, θα είναι καθαρός.

Λευ. 13,35 - ἐὰν δὲ διαχύσει διαχέηται τὸ θραῦσμα ἐν τῷ δέρματι μετὰ τὸ καθαρισθῆναι αὐτόν,

Λευ. 13,35 - Εάν όμως η πληγή μετά την ανακήρυξιν αυτού ως καθαρού αρχίση να επεκτείνεται και στο άλλο δέρμα,

Λευ. 13,36 - καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ διακέχυται τὸ θραῦσμα ἐν τῷ δέρματι, οὐκ ἐπισκέψεται ὁ ἱερεὺς περὶ τῆς τριχὸς τῆς ξανθῆς, ὅτι

ἀκάθαρτός ἐστιν.
Λευ. 13,36 - θα ίδη ο ιερεύς ότι έχει απλωθή η βλάβη στο δέρμα και δεν θα εξετάση πλέον αν η τρίχα είναι ξανθή, διότι ο ασθενής είναι πλέον λεπρός, ακάθαρτος.
Λευ. 13,37 - ἐὰν δὲ ἐνώπιον μείνῃ ἐπὶ χώρας τὸ θραῦσμα, καὶ θρὶξ μέλαινα ἀνατείλῃ ἐν αὐτῷ, ὑγίακε τὸ θραῦσμα· καθαρός ἐστι, καὶ καθαριεῖ αὐτὸν ὁ ἱερεύς.
Λευ. 13,37 - Εάν όμως η πληγή μείνη επί του αυτού σημείου, φυτρώσουν δε εντός της περιοχής της μαύρες τρίχες, η ασθένεια έχει θεραπευθή, ο ασθενής είναι καθαρός από της λέπρας και ο ιερεύς θα τον κηρύξη καθαρόν.
Λευ. 13,38 - Καὶ ἀνδρὶ ἢ γυναικί, ἐὰν γένηται ἐν δέρματι τῆς σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευκανθίζοντα,
Λευ. 13,38 - Εάν στο δέρμα ανδρός η γυναικός παρουσιασθούν φανερά νοσηρά συμπτώματα στίλβοντα υπόλευκα,
Λευ. 13,39 - καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἐν δέρματι τῆς σαρκὸς αὐτοῦ αὐγάσματα αὐγάζοντα λευκανθίζοντα, ἀλφός ἐστιν ἐξανθεῖ ἐν τῷ δέρματι τῆς σαρκὸς αὐτοῦ, καθαρός ἐστι.
Λευ. 13,39 - θα εξετάση αυτόν ο ιερεύς και εάν ίδη τα στίλβοντα και λεακάζοντα αυτά συμπτώματα, ο ασθενής είναι υπόλευκος, έχει στο δέρμα του λευκήν μη μεταδοτικήν λεπράν. Ο ασθενής αυτός είναι καθαρός.
Λευ. 13,40 - Ἐὰν δέ τινι μαδήσῃ ἡ κεφαλὴ αὐτοῦ, φαλακρός ἐστι, καθαρός ἐστιν.
Λευ. 13,40 - Εάν κανενός μαδήση η κεφαλή, αυτός είναι φαλακρός και όχι λεπρός. Είναι καθαρός.
Λευ. 13,41 - ἐὰν δὲ κατὰ πρόσωπον μαδήσῃ ἡ κεφαλὴ αὐτοῦ, ἀναφάλαντός ἐστι, καθαρός ἐστιν.
Λευ. 13,41 - Εάν στο άνω μέρος του προσώπου επί της κεφαλής πέσουν αι τρίχες, αυτός είναι φαλακρός στο σημείον εκείνο. Είναι καθαρός.
Λευ. 13,42 - ἐὰν δὲ γένηται ἐν τῷ φαλακρώματι αὐτοῦ ἢ ἐν τῷ ἀναφαλαντώματι αὐτοῦ ἁφὴ λευκὴ ἢ πυῤῥίζουσα, λέπρα ἐστὶν ἐν τῷ φαλακρώματι αὐτοῦ, ἢ ἐν τῷ ἀναφαλαντώματι αὐτοῦ.
Λευ. 13,42 - Εάν όμως στο φαλάκρωμα της κεφαλής αυτού η του προσώπου παρουσιασθή λευκή πληγή η υπέρυθρος, είναι λέπρα στο φαλάκρωμα του κρανίου του η, του προσώπου του.
Λευ. 13,43 - καὶ ὄψεται αὐτὸν ὁ ἱερεύς, καὶ ἰδοὺ ἡ ὄψις τῆς ἁφῆς λευκὴ ἢ πυῤῥίζουσα ἐν τῷ φαλακρώματι αὐτοῦ ἢ ἐν τῷ φαλαντώματι αὐτοῦ, ὡς εἶδος λέπρας ἐν δέρματι τῆς σαρκός αὐτοῦ,
Λευ. 13,43 - Ο ιερεύς θα εξετάση αυτόν και εάν η εμψάνισις της πληγής είναι λευκή η υπέρυθρος εις την φαλάκραν του κρανίου η του προσώπου, ωσάν είδος λέπρας στο δέρμα του,

Λευ. 13,44 - ἄνθρωπος λεπρός ἐστι· μιάνσει μιανεῖ αὐτὸν ὁ ἱερεύς, ἐν τῇ κεφαλῇ αὐτοῦ ἡ ἁφὴ αὐτοῦ.

Λευ. 13,44 - ο άνθρωπος αυτός είναι λεπρός. Ο ιερεύς θα τον κηρύξη ακάθαρτον, διότι η λέπρα ευρίσκεται εις την κεφαλήν του.

Λευ. 13,45 - Καὶ ὁ λεπρὸς ἐν ᾧ ἐστιν ἡ ἁφή, τὰ ἱμάτια αὐτοῦ ἔστω παραλελυμένα καὶ ἡ κεφαλὴ αὐτοῦ ἀκάλυπτος, καὶ περὶ τὸ στόμα αὐτοῦ περιβαλέσθω, καὶ ἀκάθαρτος κεκλήσεται·

Λευ. 13,45 - Καθε λεπρός, ο οποίος έχει τα συμπτώματα της λέπρας, θα φορή τα ιμάτια αυτού σχισμένα, θα έχη την κεφαλήν ακάλυπτον με λυμένην την κόμην, το στόμα σκεπασμένον, δια να αναγνωρίζεται και να λέγεται “ακάθαρτος”.

Λευ. 13,46 - πάσας τὰς ἡμέρας, ὅσας ἐὰν ᾖ ἐπ᾽ αὐτὸν ἡ ἁφή, ἀκάθαρτος ὢν ἀκάθαρτος ἔσται, κεχωρισμένος καθήσεται, ἔξω τῆς παρεμβολῆς αὐτοῦ ἔσται ἡ διατριβή.

Λευ. 13,46 - Καθ' όλον το διάστημα, κατά το οποίον, καθ' ο λεπρός, θα είναι ακάθαρτος, θα μένη απομονωμένος και θα ζη έξω από την κατασκήνωσιν.

Λευ. 13,47 - Καὶ ἱματίῳ ἐὰν γένηται ἁφὴ ἐν αὐτῷ λέπρας ἐν ἱματίῳ ἐρέῳ, ἢ ἐν ἱματίῳ στυππυίνῳ,

Λευ. 13,47 - Εάν πληγή λέπρας παρατηρηθή εις ένδυμα μάλλινον η λινόν,

Λευ. 13,48 - ἢ ἐν στήμονι, ἢ ἐν κρόκῃ, ἢ ἐν τοῖς λινοῖς, ἢ ἐν τοῖς ἐρέοις, ἢ ἐν δέρματι, ἢ ἐν παντὶ ἐργασίμῳ δέρματι,

Λευ. 13,48 - στο στημόνι η το υφάδι, εις λινά η μάλλινα, εις δέρμα ακατέργαστον η κατειργασμένον χρησιμοποιούμενον ως ένδυμα

Λευ. 13,49 - καὶ γένηται ἡ ἁφή χλωρίζουσα ἢ πυῤῥίζουσα ἐν τῷ δέρματι, ἢ ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν παντὶ σκεύει ἐργασίμῳ δέρματος, ἁφὴ λέπρας ἐστί, καὶ δείξει τῷ ἱερεῖ.

Λευ. 13,49 - και η προσβολή είναι κιτρίνη η υπέρυθρος στο δέρμα η στο ιμάτιον η στο στημόνι η στο υφάδι η εις κάθε είδος κατειργασμένου δέρματος, είναι προσβολή λέπρας και ο κάτοχος του ενδύματος θα δείξη αυτό στον ιερέα.

Λευ. 13,50 - καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφήν, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν ἑπτὰ ἡμέρας.

Λευ. 13,50 - Ο ιερεύς θα ίδη τα συμπτώματα αυτά και θα απομονώση το ένδυμα αυτό επί επτά ημέρας.

Λευ. 13,51 - καὶ ὄψεται ὁ ἱερεὺς τὴν ἁφὴν ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ· ἐὰν δὲ διαχέηται ἡ ἁφὴ ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν τῷ δέρματι, κατὰ πάντα ὅσα ἐὰν ποιηθῇ δέρματα ἐν τῇ ἐργασίᾳ, λέπρα ἔμμονός ἐστιν ἡ ἁφή, ἀκάθαρτός ἐστι.

Λευ. 13,51 - Κατά την εβδόμην ημέραν θα ίδη πάλιν ο ιερεύς αυτό το σύμπτωμα. Εάν η προσβολή έχη εξαπλωθή στο υμάτιον η στο στημόνι η στο υφάδι η στο ακατέργαστον δέρμα η εις κάθε τι που έχει κατασκευασθή με κατειργασμένον δέρμα, η προσβολή αυτή είναι μόνιμος λέπρα, και το ένδυμα είναι ακάθαρτον.

Λευ. 13,52 - κατακαύσει τὸ ἱμάτιον, ἢ τὸν στήμονα, ἢ τὴν κρόκην ἐν τοῖς ἐρέοις, ἢ ἐν τοῖς λινοῖς, ἢ ἐν παντὶ σκεύει δερματίνῳ, ἐν ᾧ ἂν ᾖ ἐν αὐτῷ ἡ ἁφή, ὅτι λέπρα ἔμμονός ἐστιν, ἐν πυρὶ κατακαυθήσεται.

Λευ. 13,52 - Αυτό δε το ένδυμα, το στημόνι η το υφάδι, από το οποίον έχει υφανθή το μάλλινον η τα λινόν, και κάθε δερμάτινον είδος επάνω εις το οποίον ήθελε παρουσιασθή αυτή η προσβολή, επειδή είναι λέπρα μόνιμος και αθεράπευτος, θα κατακαούν στο πυρ όλα αυτά τα αντικείμενα.

Λευ. 13,53 - ἐὰν δὲ ἴδῃ ὁ ἱερεύς, καὶ μὴ διαχέηται ἡ ἁφὴ ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν παντὶ σκεύει δερματίνῳ,

Λευ. 13,53 - Εάν ο ιερεύς ίδη ότι η προσβολή αυτή δεν μετεδόθη εις άλλα σημεία του ιματίου, του στημονιού, του υφαδιού και εις κάθε δερμάτινον είδος,

Λευ. 13,54 - καὶ συντάξει ὁ ἱερεύς, καὶ πλυνεῖ ἐφ᾿ οὗ ἐὰν ᾖ ἐπ᾿ αὐτοῦ ἡ ἁφή, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν ἁφὴν ἑπτὰ ἡμέρας τὸ δεύτερον·

Λευ. 13,54 - θα διατάξη να πλυθή το ιμάτιον, επί του οποίου παρετηρήθη η προσβολή, και θα απομονώση αυτό επί άλλας επτά ημέρας.

Λευ. 13,55 - καὶ ὄψεται ὁ ἱερεὺς μετὰ τὸ πλυθῦναι αὐτὸ τὴν ἁφήν, καὶ ἥδε οὐ μὴ μετέβαλεν ἡ ἁφὴ τὴν ὄψιν, καὶ ἡ ἁφὴ οὐ διαχεῖται, ἀκάθαρτόν ἐστιν, ἐν πυρὶ κατακαυθήσεται· ἐστήρικται ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ.

Λευ. 13,55 - Ο ιερεύς μετά το πλύσιμον του ιματίου θα εξετάση και πάλιν την προσβολήν και εάν αυτή δεν μετεβλήθη προς το καλύτερον ως προς την εμφάνισιν, έστω και αν δεν έχη επεκταθή, το ένδυμα είναι ακάθαρτον και πρέπει να κατακαή στο πυρ· η προσβολή στο ιμάτιον η στο στημόνι η στο υφάδι είναι πλέον μόνιμος.

Λευ. 13,56 - καὶ ἐὰν ἴδῃ ὁ ἱερεύς, καὶ ᾖ ἀμαυρὰ ἡ ἁφὴ μετὰ τὸ πλυθῆναι αὐτό, ἀποῤῥήξει αὐτὸ ἀπὸ τοῦ ἱματίου, ἢ ἀπὸ τοῦ στήμονος, ἢ ἀπὸ τῆς κρόκης, ἢ ἀπὸ τοῦ δέρματος.

Λευ. 13,56 - Εάν όμως ο ιερεύς παρατηρήση ότι η προσβολή επήρε σκούρο χρώμα μετά το πλύσιμο του ιματίου, θα αποκόψη το προσβληθέν μέρος του ιματίου η του στημονιού η του υφαδιού η παντός δερματίνου είδους.

Λευ. 13,57 - ἐὰν δὲ ὀφθῇ ἔτι ἐν τῷ ἱματίῳ, ἢ ἐν τῷ στήμονι, ἢ ἐν τῇ κρόκῃ, ἢ ἐν παντὶ σκεύει δερματίνῳ, λέπρα ἐξανθοῦσά ἐστιν· ἐν πυρὶ κατακαυθήσεται ἐν ᾧ ἐστιν ἡ ἁφή.

Λευ. 13,57 - Εάν εμφανισθή και πάλιν στο ένδυμα η στο στημόνι η στο υφάδι η εις κάθε δερμάτινον είδος νέα προσβολή, τότε πρόκειται περί λέπρας η οποία αναπτύσσεται. Το αντικείμενον, επί του οποίου υπάρχει αυτή η λέπρα, πρέπει να καή.

Λευ. 13,58 - καὶ τὸ ἱμάτιον, ἢ ὁ στήμων, ἢ ἡ κρόκη, ἢ πᾶν σκεῦος δερμάτινον, ὃ πλυθήσεται, καὶ ἀποστήσεται ἀπ᾿ αὐτοῦ ἡ ἁφή, καὶ πλυθήσεται τὸ δεύτερον, καὶ καθαρὸν ἔσται.

Λευ. 13,58 - Το ιμάτιον όμως η το στημόνι η το υφάδι η κάθε δερμάτινον είδος, το οποίον θα πλυθή και από το οποίον θα εκλείψη η προσβολή, θα πλυθή δευτέραν φοράν και τότε θα είναι καθαρόν.

Λευ. 13,59 - οὗτος ὁ νόμος ἁφῆς λέπρας ἱματίου ἐρέου, ἢ στυππυίνου, ἢ στήμονος, ἢ κρόκης, ἢ παντὸς σκεύους δερματίνου, εἰς τὸ καθαρίσαι αὐτό, ἢ μιᾶναι αὐτό.

Λευ. 13,59 - Αυτός είναι ο νόμος της λέπρας μαλλίνου η, λινού ιματίου, στημονιου η υφαδιού και κάθε είδους δερματίνου αντικειμένου, δια να κηρυχθή τούτο καθαρόν η ακάθαρτον".

## ΛΕΥΙΤΙΚΟΝ 14

Λευ. 14,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 14,1 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Λευ. 14,2 - οὗτος ὁ νόμος τοῦ λεπροῦ, ᾗ ἂν ἡμέρᾳ καθαρισθῇ· καὶ προσαχθήσεται πρὸς τὸν ἱερέα,

Λευ. 14,2 - "αυτή είναι η νομική διάταξις δια τον λεπρόν, η οποία θα τηρηθή κατά την ημέραν που αυτός θα έχη θεραπευθή από την λέπραν· θα οδηγηθή αυτός προς τον ιερέα,

Λευ. 14,3 - καὶ ἐξελεύσεται ὁ ἱερεὺς ἔξω τῆς παρεμβολῆς, καὶ ὄψεται ὁ ἱερεύς, καὶ ἰδοὺ ἰᾶται ἡ ἁφὴ τῆς λέπρας ἀπὸ τοῦ λεπροῦ.

Λευ. 14,3 - ο οποίος θα εξέλθη από την κατασκήνωσιν προς το μέρος, στο οποίον ευρίσκεται ο λεπρός. Θα εξετάση αυτόν και θα πεισθή ότι έχει θεραπευθή πλέον η λέπρα.

Λευ. 14,4 - καὶ προστάξει ὁ ἱερεύς, καὶ λήψονται τῷ κεκαθαρισμένῳ δύο ὀρνίθια ζῶντα καθαρὰ καὶ ξύλον κέδρινον καὶ κεκλωσμένον κόκκινον καὶ ὕσσωπον·

Λευ. 14,4 - Θα διατάξη κατόπιν ο ιερεύς να φέρουν δια τον θεραπευθέντα λεπρόν δύο μικρά ζωντανά πτηνά, από τα καθαρά, δηλ. από εκείνα των οποίων επιτρέπεται η βρώσις, ένα κέδρινον ξύλον, ταινίαν από στριμμένον κόκκινον νήμα και κλωναράκι υσσώπου.

Λευ. 14,5 - καὶ προστάξει ὁ ἱερεύς, καὶ σφάξουσι τὸ ὀρνίθιον τὸ ἓν εἰς ἀγγεῖον ὀστράκινον ἐφ᾿ ὕδατι ζῶντι.

Λευ. 14,5 - Θα διατάξη έπειτα ο ιερεύς να σφάξουν το ένα μικρόν πτηνόν εις πήλινον δοχείον, εντός του οποίου υπάρχει ύδωρ πηγαίον.

Λευ. 14,6 - καὶ τὸ ὀρνίθιον τὸ ζῶν λήψεται αὐτὸ καὶ τὸ ξύλον τὸ κέδρινον καὶ τὸ κλωστὸν κόκκινον καὶ τὸν ὕσσωπον, καὶ βάψει αὐτὰ καὶ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ σφαγέντος ἐφ᾿ ὕδατι ζῶντι·

Λευ. 14,6 - Θα λάβη κατόπιν το ζωντανόν πτηνόν, το κέδρινον ξύλον, την ερυθράν κλωστήν και τον ύσσωπον, θα βυθίση αυτά και το ζων πτηνόν στο αίμα του σφαγέντος πτηνού επάνω από το πηγαίον ύδωρ.

Λευ. 14,7 - καὶ περιῤῥανεῖ ἐπὶ τὸν καθαρισθέντα ἀπὸ τῆς λέπρας ἑπτάκις, καὶ καθαρὸς ἔσται· καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν εἰς τὸ πεδίον.

Λευ. 14,7 - Με αυτό θα ραντίση τον θεραπευθέντα λεπρόν επτά φοράς και αυτός θα είναι τότε καθαρός. Ο ιερεύς θα αφήση κατόπιν ελεύθερον το ζωντανόν πτηνόν να πετάξη εις την πεδιάδα.

Λευ. 14,8 - καὶ πλυνεῖ ὁ καθαρισθεὶς τὰ ἱμάτια αὐτοῦ καὶ ξυρηθήσεται αὐτοῦ πᾶσαν τὴν τρίχα, καὶ λούσεται ἐν ὕδατι, καὶ καθαρὸς ἔσται, καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς τὴν παρεμβολήν, καὶ διατρίψει ἔξω τοῦ οἴκου αὐτοῦ ἑπτὰ ἡμέρας.

Λευ. 14,8 - Ο θεραπευθείς λεπρός θα πλύνη τα ενδύματά του, θα ξυρίση όλας τας τρίχας του σώματός του, θα λουσθή στο νερό και θα είναι πλέον καθαρός από την λέπραν. Κατόπιν θα εισέλθη εις την κατασκήνωσιν, αλλά επί επτά ημέρας θα ζη έξω από το σπίτι του.

Λευ. 14,9 - καὶ ἔσται τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, ξυρηθήσεται πᾶσαν τὴν τρίχα αὐτοῦ, τὴν κεφαλὴν αὐτοῦ καὶ τὸν πώγωνα καὶ τὰς ὀφρῦς καὶ πᾶσαν τὴν τρίχα αὐτοῦ ξυρηθήσεται· καὶ πλυνεῖ τὰ ἱμάτια, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι, καὶ καθαρὸς ἔσται.

Λευ. 14,9 - Κατά την εβδόμην ημέραν θα ξυρίση και πάλιν ο θεραπευθείς όλας τας τρίχας του σώματός του, την κεφαλήν, τον πώγωνά του, τα φρύδια του και κάθε τρίχα που υπάρχει στο σώμα του, θα πλύνη τα ενδύματά του, θα λούση το σώμα του με νερό και θα είναι πλέον καθαρός ενώπιον όλων με το δικαίωμα της ελευθέρας πλέον επικοινωνίας.

Λευ. 14,10 - καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται δύο ἀμνοὺς ἀμώμους ἐνιαυσίους καὶ πρόβατον ἄμωμον ἐνιαύσιον καὶ τρία δέκατα σεμιδάλεως εἰς θυσίαν πεφυραμένης ἐν ἐλαίῳ καὶ κοτύλην ἐλαίου μίαν.

Λευ. 14,10 - Κατά την ογδόην ημέραν θα πάρη ο θεραπευθείς δύο αμνούς ενός έτους χωρίς κανένα σωματικόν ελάττωμα, ένα πρόβατον ενός έτους, αρτιμελές και τρία δέκατα (εξ περίπου κιλά) σημιγδάλι ζυμωμένο με λάδι δι' αναίμακτον θυσίαν και μίαν κοτύλην (διακόσια ογδόντα περίπου γραμ.) λάδι.

Λευ. 14,11 - καὶ στήσει ὁ ἱερεὺς ὁ καθαρίζων τὸν ἄνθρωπον τὸν καθαριζόμενον καὶ ταῦτα ἔναντι Κυρίου, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.

Λευ. 14,11 - Ο ιερεύς, ο οποίος θα επιτελέση τον νομικόν καθαρισμόν, θα θέση τον άνθρωπον αυτόν και αυτάς τας προσφοράς απέναντι του Κυρίου εις την θύραν της Σκηνής του Μαρτυρίου.

Λευ. 14,12 - καὶ λήψεται ὁ ἱερεὺς τὸν ἀμνὸν τὸν ἕνα, καὶ προσάξει αὐτὸν τῆς πλημμελείας, καὶ τὴν κοτύλην τοῦ ἐλαίου, καὶ ἀφοριεῖ αὐτὰ ἀφόρισμα ἔναντι Κυρίου·

Λευ. 14,12 - Θα λάβη τον ένα αμνόν, τον οποίον θα θυσιάση εις εξάλειψιν αμαρτίας και την κοτύλην του ελαίου. Θα προσφέρη δε αυτά ως θυσίαν αναφερομένην στον Κυριον.

Λευ. 14,13 - καὶ σφάξουσι τὸν ἀμνὸν ἐν τόπῳ, οὗ σφάζουσι τὰ ὁλοκαυτώματα καὶ τὰ περὶ ἁμαρτίας, ἐν τόπῳ ἁγίῳ· ἔστι γὰρ τὸ περὶ ἁμαρτίας, ὥσπερ τὸ τῆς πλημμελείας ἐστὶ τῷ ἱερεῖ, ἅγια ἁγίων ἐστί.

Λευ. 14,13 - Θα σφάξουν τον αμνόν στον τόπον, όπου σφάζονται τα προς ολοκαύτωσιν και τα περί αμαρτίας ζώα, εις τόπον δηλαδή άγιον. Τα υπολειφθέντα από την υπέρ αμαρτίας θυσίαν, όπως και τα υπολειφθέντα από την θυσίαν περί βαρυτέρας ενοχής, θα ανήκουν στον ιερέα· είναι αγιώτατα.

Λευ. 14,14 - καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς πλημμελείας, καὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ, καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ.

Λευ. 14,14 - Θα πάρη ο ιερεύς από το αίμα της θυσίας περί πλημμελείας και θα θέση στο κάτω άκρον του δεξιού ωτός του καθοριζομένου, εις τυ άκρον της δεξιάς χειρός του και στο άκρον του δεξιού ποδός του.

Λευ. 14,15 - καὶ λαβὼν ὁ ἱερεὺς ἀπὸ τῆς κοτύλης τοῦ ἐλαίου ἐπιχεεῖ ἐπὶ τὴν χεῖρα τοῦ ἱερέως τὴν ἀριστερὰν

Λευ. 14,15 - Λαβών δε από το έλαιον της κοτύλης θα θέση εις την χούφταν της αριστεράς χειρός του,

Λευ. 14,16 - καὶ βάψει τὸν δάκτυλον τὸν δεξιὸν ἀπὸ τοῦ ἐλαίου τοῦ ὄντος ἐπὶ τῆς χειρὸς αὐτοῦ τῆς ἀριστερᾶς καὶ ῥανεῖ τῷ δακτύλῳ ἑπτάκις ἔναντι Κυρίου·

Λευ. 14,16 - θα βουτήξη τον δεξιόν δάκτυλόν του στο έλαιον που ευρίσκεται εις την αριστεράν του χείρα και θα ραντίση δια του δακτύλου του επτά φοράς ενώπιον του Κυρίου.

Λευ. 14,17 - τὸ δὲ καταλειφθὲν ἔλαιον τὸ ὂν ἐν τῇ χειρὶ ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ

ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ. ἐπὶ τὸν τόπον τοῦ αἵματος τοῦ τῆς πλημμελείας·

Λευ. 14,17 - Από δε το υπολειφθέν έλαιον εις την αριστεράν του χείρα θα θέση ο ιερεύς στο κάτω μέρος του δεξιού ωτός του καθοριζομένου, στο άκρον της δεξιάς χειρός του, στο άκρον του δεξιού ποδός του, στον τόπον όπου τίθεται το αίμα της θυσίας περί πλημμελείας.

Λευ. 14,18 - τὸ δὲ καταλειφθὲν ἔλαιον τὸ ἐπὶ τῆς χειρὸς τοῦ ἱερέως ἐπιθήσει ὁ ἱερεὺς ἐπὶ τὴν κεφαλὴν τοῦ καθαρισθέντος, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου.

Λευ. 14,18 - Το στο χέρι του υπόλοιπον έλαιον θα θέση ο ιερεύς εις την κεφαλήν του καθοριζομένου λεπρού και έτσι θα τον εξιλεώση ενώπιον του Κυρίου.

Λευ. 14,19 - καὶ ποιήσει ὁ ἱερεὺς τὸ περὶ τῆς ἁμαρτίας, καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τοῦ καθαριζομένου ἀπὸ τῆς ἁμαρτίας αὐτοῦ· καὶ μετά τοῦτο σφάξει ὁ ἱερεὺς τὸ ὁλοκαύτωμα.

Λευ. 14,19 - Θα προσφέρη ο ιερεύς την θυοίαν περί αμαρτίας και θα εξιλεώση τας αμαρτίας του καθοριζομένου· κατόπιν δε θα σφάξη ο ιερεύς το ζώον, το προοριζόμενον δι' ολοκαύτωσιν.

Λευ. 14,20 - καὶ ἀνοίσει ὁ ἱερεὺς τὸ ὁλοκαύτωμα καὶ τὴν θυσίαν ἐπὶ τὸ θυσιαστήριον ἔναντι Κυρίου· καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεύς, καὶ καθαρισθήσεται.

Λευ. 14,20 - Θα προσφέρη το ολοκαύτωμα και την θυσίαν επάνω στο θυσιαστήριον των ολοκαυτωμάτων ενώπιον του Κυρίου. Κατ' αυτόν τον τρόπον θα εξιλεώση αυτόν από την αμαρτίαν του και έτσι θα καθαρισθή ούτος σύμφωνα με την νομικήν διάταξιν.

Λευ. 14,21 - Ἐὰν δὲ πένηται καὶ ἡ χεὶρ αὐτοῦ μὴ εὑρίσκῃ, λήψεται ἀμνὸν ἕνα εἰς ὃ ἐπλημμέλησεν εἰς ἀφαίρεμα, ὥστε ἐξιλάσασθαι περὶ αὐτοῦ, καὶ δέκατον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ εἰς θυσίαν, καὶ κοτύλην ἐλαίου μίαν,

Λευ. 14,21 - Εαν όμως είναι πτωχός και δεν έχη την οικονομικήν δυνατότητα να προσφέρη όλα αυτά, θα πάρη ένα μόνον αμνόν, τον οποίον θα θυσιάση κατά τον καθοριζόμενον τρόπον ως θυσίαν πλημμελείας, ώστε να εξιλεωθή η αμαρτία του. Επίσης θα προσφέρη σημιγδάλι τέσσερα περίπου χιλιόγραμμα ζυμωμένο με λάδι και διακόσια ογδοήκοντα περίπου γραμ. έλαιον.

Λευ. 14,22 - καὶ δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν, ὅσα εὗρεν ἡ χεὶρ αὐτοῦ, καὶ ἔσται ἡ μία περὶ ἁμαρτίας καὶ ἡ μία εἰς ὁλοκαύτωμα·

Λευ. 14,22 - Θα προσφέρη μαζή με αυτά και δύο τρυγόνας η δύο νεοσσούς περιστερών, αυτά που αντέχει οικονομικώς. Το ένα θα το προσφέρη περί αμαρτίας και το άλλο προς ολοκαύτωσιν.

Λευ. 14,23 - καὶ προσοίσει αὐτὰ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ εἰς τὸ καθαρίσαι αὐτὸν πρὸς τὸν ἱερέα, ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου ἔναντι Κυρίου.

Λευ. 14,23 - Θα προσφέρη αυτά στον ιερέα κατά την ογδόην ημέραν, δια να καθαρισθή εις την θύραν της Σκηνής του Μαρτυρίου, απέναντι του Κυρίου.

Λευ. 14,24 - καὶ λαβὼν ὁ ἱερεύς τὸν ἀμνὸν τῆς πλημμελείας καὶ τὴν κοτύλην τοῦ ἐλαίου, ἐπιθήσει αὐτὰ ἐπίθεμα ἔναντι Κυρίου.

Λευ. 14,24 - Ο ιερεύς θα πάρη τον αμνόν περί της πλημμελείας και την κοτύλην του ελαίου και θα τα προσφέρη κατά ειδικόν τρόπον, που λέγεται “επίθεμα ενώπιον του Κυρίου”.

Λευ. 14,25 - καὶ σφάξει τὸν ἀμνὸν τὸν τῆς πλημμελείας, καὶ λήψεται ὁ ἱερεὺς ἀπὸ τοῦ αἵματος τοῦ τῆς πλημμελείας καὶ ἐπιθήσει ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς τοῦ δεξιοῦ.

Λευ. 14,25 - Θα σφάξη τον αμνόν της πλημμελείας ο ιερεύς, θα πάρη από το αίμα του σφαγέντος ζώου και θα θέση στο δεξιόν κάτω άκρον του ωτός του καθαριζομένου, στο άκρον της δεξιάς χειρός του, και στο άκρον του δεξιού του ποδός.

Λευ. 14,26 - καὶ ἀπὸ τοῦ ἐλαίου ἐπιχεεῖ ὁ ἱερεὺς ἐπὶ τὴν χεῖρα τοῦ ἱερέως τὴν ἀριστεράν,

Λευ. 14,26 - Από το έλαιον θα χύση ο ιερεύς εις την χούφταν του αριστερού χεριού του,

Λευ. 14,27 - καὶ ῥανεῖ ὁ ἱερεὺς τῷ δακτύλῳ τῷ δεξιῷ ἀπὸ τοῦ ἐλαίου τοῦ ἐν τῇ χειρὶ αὐτοῦ τῇ ἀριστερᾷ ἑπτάκις ἔναντι Κυρίου·

Λευ. 14,27 - θα ραντίση με το δάκτυλόν του το δεξιόν από το έλαιον τούτο επτά φοράς ενώπιον του Κυρίου,

Λευ. 14,28 - καὶ ἐπιθήσει ὁ ἱερεὺς ἀπὸ τοῦ ἐλαίου τοῦ ἐπὶ τῆς χειρὸς αὐτοῦ ἐπὶ τὸν λοβὸν τοῦ ὠτὸς τοῦ καθαριζομένου τοῦ δεξιοῦ καὶ ἐπὶ τὸ ἄκρον τῆς χειρὸς αὐτοῦ τῆς δεξιᾶς καὶ ἐπὶ τὸ ἄκρον τοῦ ποδὸς αὐτοῦ τοῦ δεξιοῦ, ἐπὶ τὸν τόπον τοῦ αἵματος τοῦ τῆς πλημμελείας·

Λευ. 14,28 - θα θέση από το έλαιον αυτό, που υπάρχει στο χέρι του, στο κάτω άκρον του δεξιού αυτιού του καθαριζομένου, στο άκρον της δεξιάς χειρός του, στο άκρον του δεξιού ποδός του, στον τόπον όπου τίθεται και το αίμα της περί πλημμελείας θυσίας.

Λευ. 14,29 - τὸ δὲ καταλειφθὲν ἀπὸ τοῦ ἐλαίου τὸ ὂν ἐπὶ τῆς χειρὸς τοῦ ἱερέως ἐπιθήσει ἐπὶ τὴν κεφαλὴν τοῦ καθαρισθέντος, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου.

Λευ. 14,29 - Το δε υπόλοιπον έλαιον, που έχει ο ιερεύς στο χέρι του, θα το θέση εις την κεφαλήν του καθορισθέντος και θα εξιλεώση αυτόν ενώπιον

του Κυρίου.

Λευ. 14,30 - καὶ ποιήσει μίαν ἀπὸ τῶν τρυγόνων ἢ ἀπὸ τῶν νεοσσῶν τῶν περιστερῶν, καθότι εὗρεν αὐτοῦ ἡ χείρ,

Λευ. 14,30 - Θα προσφέρη ο τέως λεπρός, εάν είναι πτωχός, μίαν από τας τρυγόνας, η από τους νεοσσούς των περιστερών, κατά την οικονομικήν του δυνατότητα·

Λευ. 14,31 - τὴν μίαν περὶ ἁμαρτίας καὶ τὴν μίαν εἰς ὁλοκαύτωμα σὺν τῇ θυσίᾳ, καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τοῦ καθαριζομένου ἔναντι Κυρίου.

Λευ. 14,31 - την μεν μίαν περί αμαρτίας, και την άλλην δι' ολοκαύτωμα μαζή με την αναίμακτον θυσίαν. Ετσι δε ο ιερεύς θα εξιλεώση ενώπιον του Κυρίου τον καθαριζόμενον τέως λεπρόν.

Λευ. 14,32 - οὗτος ὁ νόμος, ἐν ᾧ ἐστιν ἡ ἁφὴ τῆς λέπρας, καὶ τοῦ μὴ εὑρίσκοντος τῇ χειρὶ εἰς τὸν καθαρισμὸν αὐτοῦ.

Λευ. 14,32 - Αυτή είναι η νομική διάταξις δια τον καθαρισμόν του λεπρού, ο οποίος δεν έχει οικονομικάς δυνατότητας”.

Λευ. 14,33 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Λευ. 14,33 - Ελάλησεν ο Κυριος προς τον Μωϋσήν και τον Ααρών λέγων·

Λευ. 14,34 - ὡς ἂν εἰσέλθητε εἰς τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ δίδωμι ὑμῖν ἐν κτήσει, καὶ δώσω ἁφὴν λέπρας ἐν ταῖς οἰκίαις τῆς γῆς τῆς ἐγκτήτου ὑμῖν,

Λευ. 14,34 - “όταν εισέλθετε εις την χώραν των Χαναναίων, την οποίαν εγώ θα σας δώσω ως ιδικήν σας, και παραχωρήσω να εμφανισθή λέπρα εις τας οικίας της χώρας, που θα κατακτήσετε,

Λευ. 14,35 - καὶ ἥξει τινὸς αὐτοῦ ἡ οἰκία, καὶ ἀναγγελεῖ τῷ ἱερεῖ λέγων· ὥσπερ ἁφὴ ἑώραταί μοι ἐν τῇ οἰκίᾳ.

Λευ. 14,35 - εκείνος του οποίου η οικία θα έχη προσβληθή από λέπραν θα έλθη στον ιερέα και θα το αναγγείλη λέγων· “κάτι σαν πληγή λέπρας έχει φανή εις την οικίαν μου”.

Λευ. 14,36 - καὶ προστάξει ὁ ἱερεὺς ἀποσκευάσαι τὴν οἰκίαν, πρὸ τοῦ εἰσελθόντα τὸν ἱερέα ἰδεῖν τὴν ἁφήν, καὶ οὐ μὴ ἀκάθαρτα γένηται ὅσα ἂν ᾖ ἐν τῇ οἰκίᾳ, καὶ μετὰ ταῦτα εἰσελεύσεται ὁ ἱερεὺς καταμαθεῖν τὴν οἰκίαν.

Λευ. 14,36 - Θα διατάξη ο ιερεύς να εκκενωθή η οικία από όλα τα σκεύη και έπιπλα, πριν εισέλθη αυτός (ο ιερεύς) και ίδη την προσβολήν της λέπρας· έτσι δε εάν η οικία είναι ακάθαρτος δεν θα θεωρηθούν ακάθαρτα και όσα πράγματα θα ευρίσκωνται εις αυτήν. Αφού αδειάση η οικία, θα εισέλθη ο ιερεύς, δια να την εξετάση.

Λευ. 14,37 - καὶ ὄψεται τὴν ἁφήν, καὶ ἰδοὺ ἡ ἁφὴ ἐν τοῖς τοίχοις τῆς οἰκίας, κοιλάδας χλωριζούσας, ἢ πυῤῥιζούσας, καὶ ἡ ὄψις αὐτῶν ταπεινοτέρα τῶν τοίχων,

Λευ. 14,37 - Θα ίδη τα συμπτώματα στους τοίχους της οικίας και εάν κατά τόπους αυτά είναι πρασινοκίτρινα η ερυθρωπά και η επιφάνεια αυτών χαμηλοτέρα από την άλλην επιφάνειαν των τοίχων,

Λευ. 14,38 - καὶ ἐξελθὼν ὁ ἱερεὺς ἐκ τῆς οἰκίας ἐπὶ τὴν θύραν τῆς οἰκίας, καὶ ἀφοριεῖ ὁ ἱερεὺς τὴν οἰκίαν ἑπτὰ ἡμέρας.

Λευ. 14,38 - θα εξέλθη ο ιερεύς από την οικίαν αυτήν, θα κλείση την θύραν της και θα απομονώση αυτήν επί επτά ημέρας.

Λευ. 14,39 - καὶ ἐπανήξει ὁ ἱερεὺς τῇ ἑβδόμῃ καὶ ὄψεται τὴν οἰκίαν, καὶ ἰδοὺ διεχύθη ἡ ἁφὴ ἐν τοῖς τοίχοις τῆς οἰκίας,

Λευ. 14,39 - Θα επανέλθη κατά την εβδόμην ημέραν, θα εξετάση πάλιν την οικίαν και εάν ίδη ότι η προσβολή έχει απλωθή και εις άλλα μέρη των τοίχων,

Λευ. 14,40 - καὶ προστάξει ὁ ἱερεύς, καὶ ἐξελοῦσι τοὺς λίθους, ἐν οἷς ἐστιν ἡ ἁφή, καὶ ἐκβαλοῦσιν αὐτοὺς ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον.

Λευ. 14,40 - θα διατάξη ο ιερεύς να αποσπάσουν τους λίθους, όπου έχει παρουσιασθή η προσβολή, και να τους βγάλουν έξω από την πόλιν εις τόπον ακάθαρτον.

Λευ. 14,41 - καὶ τὴν οἰκίαν ἀποξύσουσιν ἔσωθεν κύκλῳ καὶ ἐκχεοῦσι τὸν χοῦν τὸν ἀπεξυσμένον ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον.

Λευ. 14,41 - Θα ξύσουν την οικίαν εσωτερικώς ολόγυρα από το προσβληθέν μέρος, και το αποξεσθέν χώμα θα το πετάξουν έξω από την πόλιν εις τόπον ακάθαρτον.

Λευ. 14,42 - καὶ λήψονται λίθους ἀπεξυσμένους ἑτέρους, καὶ ἀντιθήσουσιν ἀντὶ τῶν λίθων καὶ χοῦν ἕτερον λήψονται καὶ ἐξαλείψουσι τὴν οἰκίαν.

Λευ. 14,42 - Θα πάρουν έπειτα άλλους λίθους ξυσμένους, καθαρούς και θα τους θέσουν εις αντικατάστασιν των αφαιρεθέντων λίθων, θα πάρουν επίσης άλλο χώμα και θα κάμουν πηλόν, δια να αλείψουν εκ νέου την οικίαν.

Λευ. 14,43 - ἐὰν δὲ ἐπέλθῃ πάλιν ἁφὴ καὶ ἀνατείλῃ ἐν τῇ οἰκίᾳ μετὰ τὸ ἐξελεῖν τοὺς λίθους καὶ μετά τὸ ἀποξυσθῆναι τὴν οἰκίαν καὶ μετὰ τὸ ἐξαλειφθῆναι,

Λευ. 14,43 - Εάν όμως παρουσιασθή πάλιν προσβολή της λέπρας και αναφανή εις την οικίαν μετά την αφαίρεσιν του λίθου και την απόξεσιν της οικίας και μετά την επάλειψιν αυτής,

Λευ. 14,44 - καὶ εἰσελεύσεται ὁ ἱερεὺς καὶ ὄψεται· εἰ διακέχυται ἡ ἁφὴ ἐν τῇ οἰκίᾳ, λέπρα ἔμμονός ἐστιν ἐν τῇ οἰκίᾳ, ἀκάθαρτός ἐστι.

Λευ. 14,44 - θα εισέλθη ο ιερεύς και θα εξετάση πάλιν την οικίαν εάν η προσβολή διεδόθη εις την οικίαν, τότε η λέπρα είναι μόνιμος εις την οικίαν και αυτή είναι ακάθαρτος.

Λευ. 14,45 - καὶ καθελοῦσι τὴν οἰκίαν καὶ τὰ ξύλα αὐτῆς καὶ τοὺς λίθους αὐτῆς καὶ πάντα τὸν χοῦν ἐξοίσουσιν ἔξω τῆς πόλεως εἰς τόπον ἀκάθαρτον.

Λευ. 14,45 - Θα κρημνίσουν την οικίαν και τα ξύλα της και τους λίθους της και όλον το χώμα της και θα μεταφέρουν αυτά έξω από την πόλιν εις τόπον ακάθαρτον.

Λευ. 14,46 - καὶ ὁ εἰσπορευόμενος εἰς τὴν οἰκίαν πάσας τὰς ἡμέρας, ἃς ἀφωρισμένη ἐστίν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 14,46 - Εκείνος δέ που θα εισέλθη εις την οικίαν κατά τας ημέρας, κατά τας οποίας αυτή είναι απομονωμένη, θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 14,47 - καὶ ὁ κοιμώμενος ἐν τῇ οἰκίᾳ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· καὶ ὁ ἔσθων ἐν τῇ οἰκίᾳ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 14,47 - Εκείνος που θα κοιμηθή εις αυτήν την οικίαν, θα πλύνη τα ενδύματά του και θα είναι ακάθαρτος έως την εσπέραν. Εκείνος επίσης που θα φάγη εις την οικίαν αυτήν, θα πλύνη τα ενδύματά του και θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 14,48 - ἐὰν δὲ παραγενόμενος εἰσέλθῃ ὁ ἱερεὺς καὶ ἴδῃ, καὶ ἰδοὺ διαχύσει οὐ διαχεῖται ἡ ἁφὴ ἐν τῇ οἰκίᾳ μετὰ τὸ ἐξαλειφθῆναι τὴν οἰκίαν, καὶ καθαριεῖ ὁ ἱερεὺς τὴν οἰκίαν, ὅτι ἰάθη ἡ ἁφή.

Λευ. 14,48 - Εάν δε εισέλθη ο ιερεύς εις την οικίαν και ίδη ότι δεν έχει διαδοθή η προσβολή εις αυτήν μετά την μερικήν κάθαρσιν που είχε γίνει, θα κηρύξη αυτήν ο ιερεύς καθαράν, διότι η προσβολή έχει πλέον θεραπευθή.

Λευ. 14,49 - καὶ λήψεται ἀφαγνίσαι τὴν οἰκίαν δύο ὀρνίθια ζῶντα καθαρὰ καὶ ξύλον κέδρινον καὶ κεκλωσμένον κόκκινον καὶ ὕσσωπον·

Λευ. 14,49 - Δια τον αγνισμόν δε της οικίας θα πάρη ο ιερεύς δύο μικρά ζώντα πτηνά καθαρά, των οποίων επιτρέπεται η βρώσις, ένα κέδρινο ξύλο, σχοινί από στριμμένην κοκκίνην κλωστήν και ένα κλωναράκι υσσώπου.

Λευ. 14,50 - καὶ σφάξει τὸ ὀρνίθιον τὸ ἓν εἰς σκεῦος ὀστράκινον ἐφ᾿ ὕδατι ζῶντι,

Λευ. 14,50 - Θα σφάξη το ένα μικρόν πτηνόν εις ένα πήλινον δοχείον που περιέχει πηγαίον ύδωρ.

Λευ. 14,51 - καὶ λήψεται τὸ ξύλον τὸ κέδρινον καὶ τὸ κεκλωσμένον κόκκινον καὶ τὸν ὕσσωπον καὶ τὸ ὀρνίθιον τὸ ζῶν, καὶ βάψει αὐτὸ εἰς τὸ αἷμα τοῦ ὀρνιθίου τοῦ ἐσφαγμένου ἐφ᾿ ὕδατι ζῶντι, καὶ περιῤῥανεῖ ἐν αὐτοῖς ἐπὶ τὴν οἰκίαν ἑπτάκις,

Λευ. 14,51 - Θα πάρη το κέδρινον ξύλο και το σχοινί το καμωμένον με την κοκκίνην στρυμμένην κλωστήν, το κλωναράκι του υσσώπου, και το ζωντανόν μικρόν πτηνόν, θα βυθίση αυτά στο αίμα του μικρού πτηνού, που εσφάγη

επάνω από το πηγαίον ύδωρ, και θα ραντίση με το ύδωρ αυτό την οικίαν επτά φοράς.

Λευ. 14,52 - καὶ ἀφαγνιεῖ τὴν οἰκίαν ἐν τῷ αἵματι τοῦ ὀρνιθίου καὶ ἐν τῷ ὕδατι τῷ ζῶντι καὶ ἐν τῷ ὀρνιθίῳ τῷ ζῶντι καὶ ἐν τῷ ξύλῳ τῷ κεδρίνῳ καὶ ἐν τῷ ὑσσώπῳ καὶ ἐν τῷ κεκλωσμένῳ κοκκίνῳ.

Λευ. 14,52 - Θα εξαγνίση έτσι την οικίαν με το αίμα του σφαγέντος μικρού πτηνού και με το πηγαίον ύδωρ, με το ζων μικρόν πτηνόν, με το κέδρινον ξύλον και με το σχοινί το καμώμενον από κοκκίνην στρυμμένην κλωστήν.

Λευ. 14,53 - καὶ ἐξαποστελεῖ τὸ ὀρνίθιον τὸ ζῶν ἔξω τῆς πόλεως εἰς τὸ πεδίον καὶ ἐξιλάσεται περὶ τῆς οἰκίας, καὶ καθαρὰ ἔσται.

Λευ. 14,53 - Θα αφήση ελεύθερον το ζωντανόν μικρόν πτηνόν έξω από την πόλιν εις την πεδιάδα, θα εξιλεώση έτσι την οικίαν και θα είναι αυτή καθαρά.

Λευ. 14,54 - Οὗτος ὁ νόμος κατὰ πᾶσαν ἁφὴν λέπρας καὶ θραύσματος

Λευ. 14,54 - Αυτή η νομική διάταξις, που θα εφαρμόζεται κάθε φοράν κατά την οποίαν ήθελε παρουσιασθή προσβολή λέπρας,

Λευ. 14,55 - καὶ τῆς λέπρας ἱματίου καὶ οἰκίας

Λευ. 14,55 - όπως επίσης και επί της λέπρας, που ήθελε παρουσιασθή εις ένδυμα η εις οικίαν.

Λευ. 14,56 - καὶ οὐλῆς καὶ σημασίας καὶ τοῦ αὐγάζοντος

Λευ. 14,56 - Αυτή είναι επίσης η νομική διάταξις και δια τας υποτιθεμένας πληγάς λέπρας, όπως επίσης και δια τα λευκάζοντα σημεία του δέρματος εξ αιτίας της λευκοπλασίας.

Λευ. 14,57 - καὶ τοῦ ἐξηγήσασθαι ᾗ ἡμέρᾳ ἀκάθαρτον, καὶ ᾗ ἡμέρᾳ καθαρισθήσεται. οὗτος ὁ νόμος τῆς λέπρας.

Λευ. 14,57 - Αυτός είναι ο νόμος, δια του οποίου καθορίζεται πότε είναι κάποιος ακάθαρτος και πότε είναι ούτος καθαρός. Αυτός γενικώς είναι ο νόμος της λέπρας των ανθρώπων, των ενδυμάτων και των οικιών".

## ΛΕΥΙΤΙΚΟΝ 15

Λευ. 15,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Λευ. 15,1 - Ωμίλησεν ο Κυριος προς τον Μοϋσήν και τον Ααρών και είπε·

Λευ. 15,2 - λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς αὐτοῖς· ἀνδρὶ ἀνδρί, ᾧ ἐὰν γένηται ῥύσις ἐκ τοῦ σώματος αὐτοῦ, ἡ ῥύσις αὐτοῦ ἀκάθαρτός ἐστι.

Λευ. 15,2 - "μίλησε προς τους Ισραηλίτας και ειπέ εις αυτούς· εις κάθε άνδρα, στον οποίον θα γίνη ρεύσις εκ του σώματός του, η ρεύσις αυτή είναι ακάθαρτος.

Λευ. 15,3 - καὶ οὗτος ὁ νόμος τῆς ἀκαθαρσίας αὐτοῦ· ῥέων γόνον ἐκ σώματος αὐτοῦ, ἐκ τῆς ῥύσεως, ἧς συνέστηκε τὸ σῶμα αὐτοῦ διὰ τῆς

ῥύσεως, αὕτη ἡ ἀκαθαρσία αὐτοῦ ἐν αὐτῷ· πᾶσαι αἱ ἡμέραι ῥύσεως σώματος αὐτοῦ, ᾗ συνέστηκε τὸ σῶμα αὐτοῦ διά τῆς ῥύσεως, ἀκαθαρσία αὐτοῦ ἐστι.

Λευ. 15,3 - Αυτός είναι ο νόμος της ακαθαρσίας του· Οταν εκ του σώματός του εξέλθη το σπέρμα, εκ του οποίου λαμβάνει σύστασιν το ανθρώπινον σώμα, η ρεύσις αυτή είναι ακάθαρτος εις αυτόν. Ολαι αι ημέραι της εκ του σώματος ρεύσεως, εκ της οποίας λαμβάνει ύπαρξιν το ανθρώπινον σώμα, είναι ημέραι ακαθαρσίας και αυτού του ιδίου.

Λευ. 15,4 - πᾶσα κοίτη, ἐφ᾿ ἧς ἐὰν κοιμηθῇ ἐπ᾿ αὐτῆς ὁ γονοῤῥυής, ἀκάθαρτός ἐστι, καὶ πᾶν σκεῦος ἐφ᾿ ὃ ἂν καθίσῃ ἐπ᾿ αὐτὸ ὁ γονοῤῥυής, ἀκάθαρτον ἔσται.

Λευ. 15,4 - Καθε κλίνη επί της οποίας θα κοιμηθή, ο πάσχων την ρεύσιν είναι ακάθαρτος. Και κάθε σκεύος, επάνω στο οποίον θα καθήση, είναι ακάθαρτον.

Λευ. 15,5 - καὶ ἄνθρωπος, ὃς ἐὰν ἅψηται τῆς κοίτης αὐτοῦ, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας·

Λευ. 15,5 - Ο δε άνθρωπος, ο οποίος θα εγγίση την κλίνην εκείνου, θα πλύνη τα ιμάτιά του, θα λουσθή ο ίδιος με νερό και θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 15,6 - καὶ ὁ καθήμενος ἐπὶ τοῦ σκεύους, ἐφ᾿ ὃ ἐὰν καθίσῃ ὁ γονοῤῥυής, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας·

Λευ. 15,6 - Εκείνος που θα καθήση εις σκεύος, επάνω στο οποίον εκάθισεν ο πάσχων την ρεύσιν, θα πλύνη τα ιμάτια αυτού, θα λουσθή ο ίδιος με νερό και θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 15,7 - καὶ ὁ ἁπτόμενος τοῦ χρωτὸς τοῦ γονοῤῥυοῦς πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 15,7 - Εκείνος, που θα εγγίση το σώμα του έχοντος την ρεύσιν, θα πλύνη τα ενδύματά του, θα λουσθή, με νερό και θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 15,8 - ἐὰν δὲ προσσιελίσῃ ὁ γονοῤῥυὴς ἐπὶ τὸν καθαρόν, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 15,8 - Εάν δε ο παθών αυτήν την ρεύσιν ρίψη τον σίελόν του εις καθαρόν άνθρωπον, αυτός πρέπει να πλύνη τα ενδύματά του, να λουσθή με νερό και θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 15,9 - καὶ πᾶν ἐπίσαγμα ὄνου, ἐφ᾿ ὃ ἂν ἐπιβῇ ἐπ᾿ αὐτὸ ὁ γονοῤῥυής, ἀκάθαρτον ἔσται ἕως ἑσπέρας.

Λευ. 15,9 - Και το σαμάρι του όνου, επάνω στο οποίον θα καθήση ο πάσχων την ρεύσιν, θα είναι ακάθαρτον έως την εσπέραν.

Λευ. 15,10 - καὶ πᾶς ὁ ἁπτόμενος ὅσα ἂν ᾖ ὑποκάτω αὐτοῦ, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· καί ὁ αἴρων αὐτὰ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 15,10 - Οιοσδήποτε δε εγγίση κάθε αντικείμενον, που ευρίσκεται κάτω από το σώμα του πάσχοντος την ρεύσιν, θα είναι ακάθαρτος μέχρι την εσπέραν. Και εκείνος που θα σηκώση αυτά τα αντικείμενα, θα πλύνη τα ενδύματά του, θα λουσθή με νερό και θα είναι ακάθαρτος μέχρι της εσπέρας.

Λευ. 15,11 - καὶ ὅσον ἐὰν ἅψηται ὁ γονοῤῥυής, καὶ τὰς χεῖρας οὐ νένιπται ὕδατι, πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 15,11 - Εκείνοι τους οποίους θα εγγίση ο έχων την ρεύσιν, αν δεν έχη ο ίδιος πλύνει τα χέρια του με νερύ, θα πλύνουν τα ενδύματά των, θα λουσθούν με νερό και θα είναι ακάθαρτοι έως την εσπέραν.

Λευ. 15,12 - καὶ σκεῦος ὀστράκινον, οὗ ἂν ἅψηται ὁ γονοῤῥυής, συντριβήσεται· καὶ σκεῦος ξύλινον νιφήσεται ὕδατι καὶ καθαρὸν ἔσται.

Λευ. 15,12 - Σκεύος πήλινον, το οποίον θα εγγίση ο έχων την ρεύσιν, θα συντριβή· αν δε είναι ξύλινον σκεύος, θα πλυθή με ύδωρ και θα είναι καθαρόν.

Λευ. 15,13 - ἐὰν δὲ καθαρισθῇ ὁ γονοῤῥυὴς ἐκ τῆς ῥύσεως αὐτοῦ, καὶ ἐξαριθμηθήσεται αὐτῷ ἑπτὰ ἡμέρας εἰς τὸν καθαρισμὸν αὐτοῦ, καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται τὸ σῶμα ὕδατι καὶ καθαρὸς ἔσται.

Λευ. 15,13 - Οταν θεραπευθή και μέλλει να καθαρισθή εκ της ρεύσεως αυτής ο παθών, θα μετρηθούν επτά ημέραι δια τον καθαρισμόν του, θα πλύνη τα ενδύματά του, θα λουσθή με νερό και θα είναι καθαρός.

Λευ. 15,14 - καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται ἑαυτῷ δύο τρυγόνας ἢ δύο νεοσσοὺς περιστερῶν καὶ οἴσει αὐτὰ ἔναντι Κυρίου ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ δώσει αὐτὰ τῷ ἱερεῖ.

Λευ. 15,14 - Την ογδόην ημέραν θα πάρη αυτός δύο τρυγόνας η δύο νεοσσούς περιστερών, θα φέρη αυτά απέναντι του Κυρίου, εις την θύραν της Σκηνής του Μαρτυρίου και θα τα δώση στον ιερέα.

Λευ. 15,15 - καὶ ποιήσει αὐτὰ ὁ ἱερεὺς μίαν περὶ ἁμαρτίας καὶ μίαν εἰς ὁλοκαύτωμα. καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἔναντι Κυρίου ἀπὸ τῆς ῥύσεως αὐτοῦ.

Λευ. 15,15 - Από αυτάς την μίαν θα προσφέρη ο ιερεύς θυσίαν περί αμαρτίας και την άλλην εις ολοκαύτωσιν. Ετσι δε θα εξιλεώση αυτόν απέναντι του Κυρίου δια την ρεύσιν του αυτήν.

Λευ. 15,16 - Καὶ ἄνθρωπος, ᾧ ἂν ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος, καὶ λούσεται ὕδατι πᾶν τὸ σῶμα αὐτοῦ καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 15,16 - Ανθρωπος, ο οποίος θα πάθη νυκτερινήν εις την κλίνην του ρεύσιν θα λουσθή εις όλον του το σώμα με νερό και θα είναι ακάθαρτος

μέχρις εσπέρας.
Λευ. 15,17 - καὶ πᾶν ἱμάτιον καὶ πᾶν δέρμα, ἀφ᾿ ὃ ἐὰν ᾖ ἐπ᾿ αὐτὸ κοίτη σπέρματος, καὶ πλυθήσεται ὕδατι καὶ ἀκάθαρτον ἔσται ἕως ἑσπέρας.
Λευ. 15,17 - Καθε ένδυμα είτε από ύφασμα είτε από δέρμα είναι αυτό, επί του οποίου ήθελε συμβή η κατά την νύκτα ρεύσις αυτή, θα πλυθή με νερό, και θα είναι ακάθαρτον έως την εσπέραν.
Λευ. 15,18 - καὶ γυνὴ ἐὰν κοιμηθῇ ἀνὴρ μετ᾿ αὐτῆς κοίτην σπέρματος, καὶ λούσονται ὕδατι καὶ ἀκάθαρτοι ἔσονται ἕως ἑσπέρας.
Λευ. 15,18 - Εάν γυνή κοιμηθή με τον άνδρα της και έλθουν εις ένωσιν, θα λουσθούν και οι δύο με νερό και θα είναι ακάθαρτοι έως την εσπέραν.
Λευ. 15,19 - Καὶ γυνή, ἥτις ἐὰν ᾖ ῥέουσα αἵματι, καὶ ἔσται ἡ ῥύσις αὐτῆς ἐν τῷ σώματι αὐτῆς, ἑπτὰ ἡμέρας ἔσται ἐν τῇ ἀφέδρῳ αὐτῆς· πᾶς ὁ ἁπτόμενος αὐτῆς ἀκάθαρτος ἔσται ἕως ἑσπέρας,
Λευ. 15,19 - Γυνή, εις την οποίαν ήθελε συμβή ρύσις αίματος, πρόκειται δε περί της φυσιολογικής εμμήνου ρύσεως, θα είναι επί επτά ημέρας κατά την περίοδον της ρύσεως αυτής ακάθαρτος. Οποιος δε την εγγίση θα είναι ακάθαρτος έως την εσπέραν.
Λευ. 15,20 - καὶ πᾶν, ἐφ᾿ ὃ ἐὰν κοιτάζηται ἐπ᾿ αὐτὸ ἐν τῇ ἀφέδρῳ αὐτῆς, ἀκάθαρτον ἔσται. καὶ πᾶν ἐφ᾿ ὃ ἐὰν ἐπικαθίσῃ ἐπ᾿ αὐτό, ἀκάθαρτον ἔσται.
Λευ. 15,20 - Καθε δε αντικείμενον, επάνω στο οποίον θα κοιμάται αυτή κατά την έμμηνον περίοδόν της, θα είναι ακάθαρτον.
Λευ. 15,21 - καὶ πᾶς ὃς ἐὰν ἅψηται τῆς κοίτης αὐτῆς, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.
Λευ. 15,21 - Οποιος θα εγγίση την κλίνην αυτής, θα πλύνη τα ενδύματά του, θα λουσθή εις ολόκληρον το σώμα με νερό και θα είναι ακάθαρτος έως την εσπέραν.
Λευ. 15,22 - καὶ πᾶς ὁ ἁπτόμενος παντὸς σκεύους, οὗ ἐὰν καθίσῃ ἐπ᾿ αὐτό, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.
Λευ. 15,22 - Καθένας που εγγίζει σκεύος, επί του οποίου εκείνη εκάθησε, θα πλύνη τα ενδύματά του, θα λουσθή με νερό και θα είναι ακάθαρτος έως την εσπέραν.
Λευ. 15,23 - ἐὰν δὲ ἐν τῇ κοίτῃ αὐτῆς οὔσης, ἢ ἐπὶ τοῦ σκεύους, οὗ ἐὰν καθίσῃ ἐπ᾿ αὐτῷ ἐν τῷ ἅπτεσθαι αὐτὸν αὐτῆς, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.
Λευ. 15,23 - Εάν δε κανείς εγγίση αυτήν κοιμωμένην επί της κλίνης της κατά την περίοδόν της η καθημένην εις κάποιο σκεύος, αυτός θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 15,24 - ἐὰν δὲ κοίτῃ κοιμηθῇ τις μετ᾿ αὐτῆς καὶ γένηται ἡ ἀκαθαρσία αὐτῆς ἐπ᾿ αὐτῷ, ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας. καὶ πᾶσα κοίτη, ἐφ᾿ ᾗ ἂν κοιμηθῇ ἐπ᾿ αὐτῇ, ἀκάθαρτος ἔσται.

Λευ. 15,24 - Εάν δε ο ανήρ κοιμηθή μαζή της και η έμμηνος ρύσις της πέση στο σώμα του, θα είναι αυτός ακάθαρτος επί επτά ημέρας. Και η κλίνη, επί της οποίας αυτή θα κοιμηθή, θα είναι ακάθαρτος.

Λευ. 15,25 - Καὶ γυνὴ ἐὰν ῥέῃ ῥύσει αἵματος ἡμέρας πλείους, οὐκ ἐν καιρῷ τῆς ἀφέδρου αὐτῆς, ἐὰν καὶ ῥέῃ μετὰ τὴν ἄφεδρον αὐτῆς, πᾶσαι αἱ ἡμέραι ῥύσεως ἀκαθαρσίας αὐτῆς, καθάπερ αἱ ἡμέραι τῆς ἀφέδρου αὐτῆς, ἔσται ἀκάθαρτος.

Λευ. 15,25 - Εάν γυνή έχη ρύσιν αίματος περισσοτέρας ημέρας των κανονικών, πέραν δηλαδή του χρόνου της κανονικής εμμήνου ροής, όλαι αι ημέραι της ρύσεως αυτής είναι ημέραι ακαθαρσίας, όπως και αι της κανονικής. Κατ' αυτάς η γυνή θα είναι ακάθαρτος.

Λευ. 15,26 - καὶ πᾶσα κοίτη, ἐφ᾿ ἧς ἐὰν κοιμηθῇ ἐπ᾿ αὐτῆς πάσας τὰς ἡμέρας τῆς ῥύσεως, κατὰ τὴν κοίτην τῆς ἀφέδρου ἔσται αὐτῇ, καὶ πᾶν σκεῦος, ἐφ᾿ ὃ ἐὰν καθίσῃ ἐπ᾿ αὐτό, ἀκάθαρτον ἔσται κατὰ τὴν ἀκαθαρσίαν τῆς ἀφέδρου.

Λευ. 15,26 - Και η κλίνη, επί της οποίας θα κοιμηθή αυτή όλας τας επί πλέον αυτάς ημέρας της ρύσεως, τας πέραν των κανονικών της εμμήνου ρύσεως, θα είναι ακάθαρτος, και κάθε αντικείμενον επί του οποίου ήθελε καθήσει θα είναι ακάθαρτον, όπως και κατά την φυσιολογικήν της περίοδον.

Λευ. 15,27 - πᾶς ὁ ἁπτόμενος αὐτῆς ἀκάθαρτος ἔσται, καὶ πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Λευ. 15,27 - Καθένας που εγγίζει αυτήν θα είναι ακάθαρτος, θα πλύνη τα ενδύματά του, θα λούση το σώμα του με νερό και θα είναι ακάθαρτος έως την εσπέραν.

Λευ. 15,28 - ἐὰν δὲ καθαρισθῇ ἀπὸ τῆς ῥύσεως, καὶ ἐξαριθμήσεται αὐτῇ ἑπτὰ ἡμέρας καὶ μετὰ ταῦτα καθαρισθήσεται.

Λευ. 15,28 - Εάν δε σταματήση η μη φυσιολογική αυτή ρύσις, θα περάσουν επτά ημέραι, μετά τας οποίας θα προσφέρη την θυσίαν προς καθαρισμόν της.

Λευ. 15,29 - καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ λήψεται αὕτη δύο τρυγόνας, ἢ δύο νεοσσοὺς περιστερῶν, καὶ οἴσει αὐτὰ πρὸς τὸν ἱερέα ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.

Λευ. 15,29 - Κατά την ογδόην ημέραν θα πάρη η γυνή αυτή δύο τρυγόνας η δύο νεοσσούς περιστερών, και θα πρασφέρη αυτά προς τον ιερέα, εις την θύραν της Σκηνής του Μαρτυρίου.

Λευ. 15,30 - καὶ ποιήσει ὁ ἱερεὺς τὴν μίαν περὶ ἁμαρτίας καὶ τὴν μίαν εἰς ὁλοκαύτωμα. καὶ ἐξιλάσεται περὶ αὐτῆς ὁ ἱερεὺς ἔναντι Κυρίου ἀπὸ

ῥύσεως ἀκαθαρσίας αὐτῆς.

Λευ. 15,30 - Ο ιερεύς θα προσφέρη την μίαν από αυτάς θυσίαν περί αμαρτίας και την άλλην εις ολοκαύτωσιν. Ετσι δε θα εξιλεώση αυτήν απέναντι του Κυρίου από την ακάθαρτον αυτήν ρύσιν.

Λευ. 15,31 - Καὶ εὐλαβεῖς ποιήσεται τοὺς υἱοὺς Ἰσραὴλ ἀπὸ τῶν ἀκαθαρσιῶν αὐτῶν, καὶ οὐκ ἀποθανοῦνται διὰ τὴν ἀκαθαρσίαν αὐτῶν ἐν τῷ μιαίνειν αὐτοὺς τὴν σκηνήν μου τὴν ἐν αὐτοῖς.

Λευ. 15,31 - Θα καταστήσετε τους υιούς σας προσεκτικούς από τας ακαθαρσίας των αυτάς, δια να μη θανατωθούν, εάν δεν τας προσέξουν και εισερχόμενοι εις την Σκηνήν του Μαρτυρίου την μολύνουν με αυτάς.

Λευ. 15,32 - οὗτος ὁ νόμος τοῦ γονοῤῥυοῦς. καὶ ἐάν τινι ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος, ὥστε μιανθῆναι ἐν αὐτῇ,

Λευ. 15,32 - Αυτός είναι ο νόμος του καθαρισμού δι' εκείνον, ο οποίος πάσχει παθολογικήν ρεύσιν και δι' εκείνον ο οποίος έπαθε νυκτερινήν ρεύσιν, ώστε να μολυνθή από αυτήν.

Λευ. 15,33 - καὶ τῇ αἱμοῤῥοούσῃ ἐν τῇ ἀφέδρῳ αὐτῆς, καὶ ὁ γονοῤῥυὴς ἐν τῇ ῥύσει αὐτοῦ, τῷ ἄρσενι ἢ τῇ θηλείᾳ, καὶ τῷ ἀνδρί, ὃς ἐὰν κοιμηθῇ μετὰ ἀποκαθημένης.

Λευ. 15,33 - Αυτός είναι ο νόμος δια την γυναίκα, η οποία αιμορροεί κατά και μετά την φυσιολογικήν της περίοδον, και δια πάντα άνδρα πάσχοντα ρεύσιν, δια πάντα άνδρα και πάσαν γυναίκα. Αυτός ακόμη είναι ο νόμος δια τον άνδρα, ο οποίος εκοιμήθη με γυναίκα, ευρισκομένην εις την έμμηνον περίοδόν της”.

## ΛΕΥΙΤΙΚΟΝ 16

Λευ. 16,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν μετὰ τὸ τελευτῆσαι τοὺς δύο υἱοὺς Ἀαρὼν ἐν τῷ προσάγειν αὐτοὺς πῦρ ἀλλότριον ἔναντι Κυρίου καὶ ἐτελεύτησαν.

Λευ. 16,1 - Μετά τον θάνατον των δύο υιών του Ααρών, οι οποίοι απέθανον, διότι προσέφεραν ξένον πυρ ενώπιον του Κυρίου, ωμίλησεν ο Κυριος προς τον Μωϋσήν

Λευ. 16,2 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· λάλησον πρὸς Ἀαρὼν τὸν ἀδελφόν σου, καὶ μὴ εἰσπορευέσθω πᾶσαν ὥραν εἰς τὸ ἅγιον ἐσώτερον τοῦ καταπετάσματος εἰς πρόσωπον τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, καὶ οὐκ ἀποθανεῖται· ἐν γὰρ νεφέλῃ ὀφθήσομαι ἐπὶ τοῦ ἱλαστηρίου.

Λευ. 16,2 - και είπεν· “ειπέ στον αδελφόν σου τον Ααρών να μη εισέρχεται κατά οιανδήποτε ώραν και ημέραν εις τα Αγια των Αγίων, στο

εσωτερικόν του καταπετάσματος, ενώπιον του ιλαστηρίου, το οποίον ευρίσκεται επάνω εις την Κιβωτόν του Μαρτυρίου, δια να μη τιμωρηθή με θάνατον. Διότι εγώ θα παρουσιάζωμαι επί του ιλαστηρίου δια νεφέλης.

Λευ. 16,3 - οὕτως εἰσελεύσεται Ἀαρὼν εἰς τὸ ἅγιον· ἐν μόσχῳ ἐκ βοῶν περὶ ἁμαρτίας, καὶ κριὸν εἰς ὁλοκαύτωμα·

Λευ. 16,3 - Ετσι θα εισέρχεται ο Ααρών εις τα Αγια των Αγίων αφού δηλαδή προσφέρη προηγουμένως θυσίαν περί αμαρτίας ένα μοσχάρι και ένα κριον προς ολοκαύτωσιν.

Λευ. 16,4 - καὶ χιτῶνα λινοῦν ἡγιασμένον ἐνδύσεται, καὶ περισκελὲς λινοῦν ἔσται ἐπὶ τοῦ χρωτὸς αὐτοῦ, καὶ ζώνῃ λινῇ ζώσεται καὶ κίδαριν λινῆν περιθήσεται, ἱμάτια ἅγιά ἐστι, καὶ λούσεται ὕδατι πᾶν τὸ σῶμα αὐτοῦ, καὶ ἐνδύσεται αὐτά.

Λευ. 16,4 - Θα ενδυθή τον ηγιασμένον λινόν χιτώνα, θα φορέση κατάσαρκα την λινήν περισκελίδα, θα ζωσθή με την λινήν ζώνην, θα φορέση εις την κεφαλήν του την λινήν κίδαριν, όλα αυτά είναι καθιερωμένα ιερατικά ενδύματα. Προηγουμένως θα λούση όλον το σώμά του με νερό και κατόπιν θα τα φορέση.

Λευ. 16,5 - καὶ παρὰ τῆς συναγωγῆς τῶν υἱῶν Ἰσραὴλ λήψεται δύο χιμάρους ἐξ αἰγῶν περὶ ἁμαρτίας καὶ κριὸν ἕνα εἰς ὁλοκαύτωμα.

Λευ. 16,5 - Θα πάρη κατόπιν ο Ααρών δύο τράγους από τα κοπάδια των Ισραηλιτών δια την θυσίαν περί αμαρτίας και ένα κριον δι' ολοκαύτωμα.

Λευ. 16,6 - καὶ προσάξει Ἀαρὼν τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἐξιλάσεται περὶ αὐτοῦ καὶ τοῦ οἴκου αὐτοῦ.

Λευ. 16,6 - Θα προσφέρη, θυσίαν περί αμαρτίας, τον μόσχον, και με την θυσίαν αυτήν θα εξιλεωθή ο ίδιος και η οικογένειά του.

Λευ. 16,7 - καὶ λήψεται τοὺς δύο χιμάρους καὶ στήσει αὐτοὺς ἔναντι Κυρίου παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου·

Λευ. 16,7 - Θα λάβη τους δύο τράγους, τους οποίους θα τοποθετήση ενώπιον του Κυρίου, πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου.

Λευ. 16,8 - καὶ ἐπιθήσει Ἀαρὼν ἐπὶ τοὺς δύο χιμάρους κλήρους, κλῆρον ἕνα τῷ Κυρίῳ καὶ κλῆρον ἕνα τῷ ἀποπομπαίῳ.

Λευ. 16,8 - Θα βάλη ο Ααρών κλήρους δια τους δύο αυτούς τράγους, ένα κλήρον δι' εκείνον, που θα προσφερθή θυσία προς τον Κυριον, και ένα άλλον δια τον δεύτερον τράγον, τον αποπομπαίον.

Λευ. 16,9 - καὶ προσάξει Ἀαρὼν τὸν χίμαρον, ἐφ᾿ ὃν ἐπῆλθεν ἐπ᾿ αὐτὸν ὁ κλῆρος τῷ Κυρίῳ, καὶ προσοίσει περὶ ἁμαρτίας·

Λευ. 16,9 - Τον τράγον, στον οποίον έπεσεν ο κλήρος δια τον Κυριον, θα τον πάρη ο Ααρών και θα τον προσφέρη θυσίαν περί αμαρτίας.

Λευ. 16,10 - καὶ τὸν χίμαρον, ἐφ᾿ ὃν ἐπῆλθεν ἐπ᾿ αὐτὸν ὁ κλῆρος τοῦ ἀποπομπαίου, στήσει αὐτὸν ζῶντα ἔναντι Κυρίου, τοῦ ἐξιλάσασθαι ἐπ᾿

αὐτοῦ, ὥστε ἀποστεῖλαι αὐτὸν εἰς τὴν ἀποπομπήν, καὶ ἀφήσει αὐτὸν εἰς τὴν ἔρημον.

Λευ. 16,10 - Και τον τράγον, στον οποίον έπεσεν ο κλήρος του αποπομπαίου, θα τον τοποθετήση ζώντα ενώπιον του Κυρίου, δια να κάμη εξιλέωσιν με αυτόν, ώστε να τον απσστείλη κατόπιν εις την εξορίαν και να τον εγκαταλείψη εις την έρημον.

Λευ. 16,11 - καὶ προσάξει Ἀαρὼν τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας αὐτοῦ, καὶ ἐξιλάσεται περὶ ἑαυτοῦ καὶ τοῦ οἴκου αὐτοῦ. καὶ σφάξει τὸν μόσχον περὶ τῆς ἁμαρτίας αὐτοῦ.

Λευ. 16,11 - Θα προσφέρη ο Ααρών τον μάσχον θυσίαν δια τας αμαρτίας του, δια να εξιλεώση τον εαυτόν του και την οικογένειάν του, θα σφάξη και θα θυσιάση τον μόσχον τούτον ο ίδιος ο Ααρών περί της αμαρτίας του.

Λευ. 16,12 - καὶ λήψεται τὸ πυρεῖον πλῆρες ἀνθράκων πυρὸς ἀπὸ τοῦ θυσιαστηρίου, τοῦ ἀπέναντι Κυρίου, καὶ πλήσει τὰς χεῖρας θυμιάματος συνθέσεως λεπτῆς καὶ εἰσοίσει ἐσώτερον τοῦ καταπετάσματος.

Λευ. 16,12 - Θα λάβη έπειτα το δοχείον του πυρός, γεμάτο αναμμένους άνθρακας από το θυσιαστήριον των ολοκαυτωμάτων, που ευρίσκεται απέναντι της Σκηνής του Μαρτυρίου, θα γεμίση τα χέρια του από το λεπτόν παρεσκευασμένον θυμίαμα και θα εισέλθη στο εσωτερικόν του καταπετάσματος.

Λευ. 16,13 - καὶ ἐπιθήσει τὸ θυμίαμα ἐπὶ τὸ πῦρ ἔναντι Κυρίου· καὶ καλύψει ἡ ἀτμὶς τοῦ θυμιάματος τὸ ἱλαστήριον τὸ ἐπὶ τῶν μαρτυρίων, καὶ οὐκ ἀποθανεῖται.

Λευ. 16,13 - Θα θέση το θυμίαμα στους άνθρακας του πυροδοχείου ενώπιον του Κυρίου. Ο καπνός του θυμιάματος θα σκεπάση το ιλαστήριον, το οποίον ευρίσκεται επάνω από την Κιβωτόν των Μαρτυρίων. Με αυτόν τον τρόπον, ευλαβώς εισερχόμενος εις τα Αγια των Αγίων, δεν θα τιμωρηθή δια θανάτου.

Λευ. 16,14 - καὶ λήψεται ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ ῥανεῖ τῷ δακτύλῳ ἐπὶ τὸ ἱλαστήριον κατὰ ἀνατολάς· κατὰ πρόσωπον τοῦ ἱλαστηρίου ῥανεῖ ἑπτάκις ἀπὸ τοῦ αἵματος τῷ δακτύλῳ.

Λευ. 16,14 - Θα λάβη δια του δακτύλου του από το αίμα του μόσχου και θα ραντίση το ιλαστήριον προς ανατολάς. Κατά πρόσωπον δε του ιλαστηρίου θα ραντίση επτά φορές δια του δακτύλου του από το αίμα του μόσχου.

Λευ. 16,15 - καὶ σφάξει τὸν χίμαρον τὸν περὶ ἁμαρτίας, τὸν περὶ τοῦ λαοῦ, ἔναντι Κυρίου καὶ εἰσοίσει τοῦ αἵματος αὐτοῦ ἐσώτερον τοῦ καταπετάσματος καὶ ποιήσει τὸ αἷμα αὐτοῦ, ὃν τρόπον ἐποίησε τὸ αἷμα τοῦ μόσχου. καὶ ῥανεῖ τὸ αἷμα αὐτοῦ ἐπὶ τὸ ἱλαστήριον, κατὰ πρόσωπον τοῦ ἱλαστηρίου

Λευ. 16,15 - Επειτα δε θα σφάξη τον τράγον τον περί αμαρτίας του λαού ενώπιον του Κυρίου, θα φέρη από το αίμα αυτού στο εσωτερικόν του καταπετάσματος, εις τα Αγια των Αγίων, και θα κάμη με το αίμα αυτού ο,τι και με το αίμα του μόσχου. Θα ραντίση δηλαδή ενώπιον του ιλαστηρίου.

Λευ. 16,16 - καὶ ἐξιλάσεται τὸ ἅγιον ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραὴλ καὶ ἀπὸ τῶν ἀδικημάτων αὐτῶν περὶ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν. καὶ οὕτω ποιήσει τῇ σκηνῇ τοῦ μαρτυρίου τῇ ἐκτισμένῃ ἐν αὐτοῖς ἐν μέσῳ τῆς ἀκαθαρσίας αὐτῶν.

Λευ. 16,16 - Κατ' αυτόν τον τρόπον θα εξαγνίση τα Αγια των Αγίων από τας μιάνσεις των Ισραηλιτών, δηλαδή από τας αδικίας αυτών και γενικώς από όλας τας αμαρτίας των. Το ιδιο θα κάμη και δια την Σκηνήν του Μαρτυρίου, η οποία είναι στημένη εν μέσω της κατασκηνώσεως των Ισραηλιτών, δια να καθαρίση και αυτήν από τους ηθικούς μολυσμούς των Ισραηλιτών.

Λευ. 16,17 - καὶ πᾶς ἄνθρωπος οὐκ ἔσται ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, εἰσπορευομένου αὐτοῦ ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ, ἕως ἂν ἐξέλθῃ· καὶ ἐξιλάσεται περὶ ἑαυτοῦ καὶ τοῦ οἴκου αὐτοῦ καὶ περὶ πάσης συναγωγῆς υἱῶν Ἰσραήλ.

Λευ. 16,17 - Κανείς όμως Ισραηλίτης δεν θα ευρίσκεται εις την Σκηνήν του Μαρτυρίου, όταν θα εισέρχεται ο Ααρών εις τα Αγια των Αγίων, δια να κάμη την εξιλέωσιν αυτήν, και μέχρις ότου εξέλθη. Ο Ααρών θα κάμη εξιλέωσιν δια τον εαυτόν του, δια την οικογένειάν του και δι' όλον τον λαόν του Ισραήλ.

Λευ. 16,18 - καὶ ἐξελεύσεται ἐπὶ τὸ θυσιαστήριον τὸ ὂν ἀπέναντι Κυρίου καὶ ἐξιλάσεται ἐπ᾿ αὐτοῦ. καὶ λήψεται ἀπὸ τοῦ αἵματος τοῦ μόσχου καὶ ἀπὸ τοῦ αἵματος τοῦ χιμάρου καὶ ἐπιθήσει ἐπὶ τὰ κέρατα τοῦ θυσιαστηρίου κύκλῳ

Λευ. 16,18 - Θα εξέλθη έπειτα προς το θυσιαστήριον των ολοκαυτωμάτων, το οποίον ευρίσκεται απέναντι του Κυρίου και θα εξιλεώση και αυτό. Θα λάβη από το αίμα του μόσχου και από το αίμα του τράγου και θα θέση κύκλω εις τα εξέχοντα άκρα του θυσιαστηρίου.

Λευ. 16,19 - καὶ ῥανεῖ ἐπ᾿ αὐτὸ ἀπὸ τοῦ αἵματος τῷ δακτύλῳ ἑπτάκις, καὶ καθαριεῖ αὐτὸ καὶ ἁγιάσει αὐτὸ ἀπὸ τῶν ἀκαθαρσιῶν τῶν υἱῶν Ἰσραήλ.

Λευ. 16,19 - Θα ραντίση το θυσιαστήριον από το αίμα με το δάκτυλόν του επτά φοράς και έτσι θα το εξαγνίση και θα το αγιάση από τας αμαρτίας των Ισραηλιτών.

Λευ. 16,20 - καὶ συντελέσει ἐξιλασκόμενος τὸ ἅγιον καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὸ θυσιαστήριον, καὶ περὶ τῶν ἱερέων καθαριεῖ· καὶ προσάξει τὸν χίμαρον τὸν ζῶντα.

Λευ. 16,20 - Θα τελειώση κατ' αυτόν τον τρόπον τον εξαγνισμόν των Αγίων της Σκηνής του Μαρτυρίου και του θυσιαστηρίου των ολοκαυτωμάτων. Θα εξαγνίση έπειτα και τους ιερείς. Δια το έργον αυτό του εξαγνισμού θα φέρη τον ζώντα τράγον,

Λευ. 16,21 - καὶ ἐπιθήσει Ἀαρὼν τὰς χεῖρας αὐτοῦ ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος καὶ ἐξαγορεύσει ἐπ᾿ αὐτοῦ πάσας τὰς ἀνομίας τῶν υἱῶν Ἰσραὴλ καὶ πάσας τὰς ἀδικίας αὐτῶν καὶ πάσας τὰς ἁμαρτίας αὐτῶν καὶ ἐπιθήσει αὐτὰς ἐπὶ τὴν κεφαλὴν τοῦ χιμάρου τοῦ ζῶντος καὶ ἐξαποστελεῖ ἐν χειρὶ ἀνθρώπου ἑτοίμου εἰς τὴν ἔρημον,

Λευ. 16,21και θα θέση τα χέρια του ο Ααρών επάνω εις την κεφαλήν του ζώντος τράγου και θα εξομολογηθή όλας τας ανομίας των Ισραηλιτών, όλας τας αδικίας των και όλας τας αμαρτίας των, τας οποίας θα μεταφέρη και θα επιρρίψη εις την κεφαλήν του ζώντος τράγου, και θα αποπέμψη αυτόν, με άνθρωπον έτοιμον προ τούτο, εις την έρημον.

Λευ. 16,22 - καὶ λήψεται ὁ χίμαρος ἐφ᾿ ἑαυτῷ τὰς ἀδικίας αὐτῶν εἰς γῆν ἄβατον, καὶ ἐξαποστελεῖ τὸν χίμαρον εἰς τὴν ἔρημον.

Λευ. 16,22 - Ο αποπομπαίος αυτός τράγος θα πάρη επάνω του όλας τας αμαρτίας των Ισραηλιτών και θα περιπλανηθή εις μέρος άβατον από ανθρώπους. Θα τον αποπέμψη Ααρών εις περιοχήν έρημον.

Λευ. 16,23 - καὶ εἰσελεύσεται Ἀαρὼν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ ἐκδύσεται τὴν στολὴν τὴν λινήν, ἣν ἐνδεδύκει εἰσπορευομένου αὐτοῦ εἰς τὸ ἅγιον, καὶ ἀποθήσει αὐτὴν ἐκεῖ.

Λευ. 16,23 - Θα εισέλθη έπειτα ο Ααρών εις την Σκηνήν του Μαρτυρίου, θα εκδυθή την λινήν λευκήν στολήν, την οποίαν είχε φορέσει όταν εισήλθεν εις τα Αγια των Αγίων, και θα αποθέση αυτήν εκεί.

Λευ. 16,24 - καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι ἐν τόπῳ ἁγίῳ καὶ ἐνδύσεται τὴν στολὴν αὐτοῦ, καὶ ἐξελθὼν ποιήσει τὸ ὁλοκαύτωμα αὐτοῦ καὶ τὸ ὁλοκάρπωμα τοῦ λαοῦ καὶ ἐξιλάσεται περὶ αὐτοῦ καὶ περὶ τοῦ οἴκου αὐτοῦ καὶ περὶ τοῦ λαοῦ, ὡς περὶ τῶν ἱερέων.

Λευ. 16,24 - Θα λούση το σώμα του με νερό στον ιερόν τόπον, θα ενδυθή την πολυτελή στολήν του, θα εξέλθη από την Σκηνήν και θα προσφέρη θυσίαν το ολοκαύτωμά του και το ολοκάρπωμα του λαού. Θα εξιλεώση τον εαυτόν του, την οικογένειάν του, τον λαόν και τους ιερείς.

Λευ. 16,25 - καὶ τὸ στέαρ τὸ περὶ τῶν ἁμαρτιῶν ἀνοίσει ἐπὶ τὸ θυσιαστήριον.

Λευ. 16,25 - Το λίπος των θυσιών αυτών, που προσφέρονται υπέρ των αμαρτιών, θα το θέση στο θυσιαστήριον των ολοκαυτωμάτων.

Λευ. 16,26 - καὶ ὁ ἐξαποστέλλων τὸν χίμαρον τὸν διεσταλμένον εἰς ἄφεσιν πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς τὴν παρεμβολήν.

Λευ. 16,26 - Εκείνος που θα εκδιώξη τον τράγον, τον αποπομπαίον δια την άφεσιν των αμαρτιών του λαού, θα πλύνη τα ενδύματά του και θα λούση το σώμα του με νερό και κατόπιν θα ευσέλθη εις την κατασκήνωσιν.

Λευ. 16,27 - καὶ τὸν μόσχον τὸν περὶ τῆς ἁμαρτίας καὶ τὸν χίμαρον τὸν περὶ τῆς ἁμαρτίας, ὧν τὸ αἷμα εἰσηνέχθη ἐξιλάσασθαι ἐν τῷ ἁγίῳ, ἐξοίσουσιν αὐτὰ ἔξω τῆς παρεμβολῆς καὶ κατακαύσουσιν αὐτὰ ἐν πυρί, καί τὰ δέρματα αὐτῶν καὶ τὰ κρέα αὐτῶν καὶ τὴν κόπρον αὐτῶν.

Λευ. 16,27 - Τον μόσχον και τον τράγον, που προσεφέρθησαν δια τας αμαρτίας όλων και των οποίων το αίμα εισήχθη εις τα Αγια των Αγίων προς εξιλέωσιν των αμαρτιών, θα τους βγάλουν έξω από την κατασκήνωσιν και θα τους καύσουν εξ ολοκλήρου μαζή με τα δέρματά των, με τα κρέατα και την κόπρον αυτών.

Λευ. 16,28 - ὁ δὲ κατακαίων αὐτὰ πλυνεῖ τὰ ἱμάτια καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι καὶ μετά ταῦτα εἰσελεύσεται εἰς τὴν παρεμβολήν.

Λευ. 16,28 - Εκείνος που θα καύση αυτά, θα πλύνη κατόπιν τα ενδύματά του, θα λούση το σώμα του με νερό και κατόπιν θα εισέλθη εις την κατασκήνωσιν.

Λευ. 16,29 - Καὶ ἔσται τοῦτο ὑμῖν νόμιμον αἰώνιον· ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ δεκάτῃ τοῦ μηνὸς ταπεινώσετε τὰς ψυχὰς ὑμῶν καὶ πᾶν ἔργον οὐ ποιήσετε ὁ αὐτόχθων καὶ ὁ προσήλυτος ὁ προσκείμενος ἐν ὑμῖν·

Λευ. 16,29 - Η τελετή αυτή της εξιλεώσεως, η εορτή του εξιλασμού, θα είναι δια σας νόμος παντοτεινός και απαράβατος. Την δεκάτην του εβδόμου μηνός θα συναισθανθήτε τας αμαρτίας σας, θα συντριβήτε και θα μετανοήσετε δι' αυτάς, και δεν θα κάμετε καμμίαν εργασίαν κατά την ημέραν αυτήν, ούτε ο εντόπιος Ισραηλίτης, ούτε ο ξένος που ήλθεν από άλλην χώραν και μένει μαζή σας.

Λευ. 16,30 - ἐν γὰρ τῇ ἡμέρᾳ ταύτῃ ἐξιλάσεται περὶ ὑμῶν, καθαρίσαι ὑμᾶς ἀπὸ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν ἔναντι Κυρίου, καὶ καθαρισθήσεσθε.

Λευ. 16,30 - Διότι κατά την ημέραν αυτήν θα γίνη η τελετή της εξιλεώσεώς σας, δια να καθαρίση σας από όλας τας αμαρτίας σας ενώπιον του Κυρίου, ώστε να είσθε κατόπιν καθαροί.

Λευ. 16,31 - σάββατα σαββάτων ἀνάπαυσις αὕτη ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν, νόμιμον αἰώνιον.

Λευ. 16,31 - Σαββατα σαββάτων είναι αυτό, πλήρης και ολοκληρωτική ανάπαυσις θα επικρατήση μεταξύ σας και θα ταπεινώσετε δια μετανοίας και νηστείας τας ψυχάς σας. Νομος παντοτεινός θα είναι αυτός.

Λευ. 16,32 - ἐξιλάσεται ὁ ἱερεύς, ὃν ἂν χρίσωσιν αὐτὸν καὶ ὃν ἂν τελειώσωσι τὰς χεῖρας αὐτοῦ, ἱερατεύειν μετὰ τὸν πατέρα αὐτοῦ, καὶ ἐνδύσεται τὴν στολὴν τὴν λινῆν, στολὴν ἁγίαν.

Λευ. 16,32 - Την εξιλέωσιν θα τελή ο εκάστοτε αρχιερεύς, τον οποίον θα έχουν χρίσει με το άγιον έλαιον και τας χείρας του και θα έχουν καταστήσει

ικανάς δια το έργον του, ώστε να αρχιερατεύη μετά τον πατέρα του, τον οποίον θα διαδεχθή. Αυτός θα ενδυθή την λινήν αρχιερατικήν στολήν, την αγίαν στολήν.

Λευ. 16,33 - καὶ ἐξιλάσεται τὸ ἅγιον τοῦ ἁγίου καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὸ θυσιαστήριον ἐξιλάσεται, καὶ περὶ τῶν ἱερέων καὶ περί πάσης συναγωγῆς ἐξιλάσεται.

Λευ. 16,33 - Ως αρχιερεύς θα εξιλεώνη τα Αγια των 'Αγιων, την Σκηνήν του Μαρτυρίου, το θυσιαστήριον, τους ιερείς και όλον τον λαόν των Ισραηλιτών.

Λευ. 16,34 - καὶ ἔσται τοῦτο ὑμῖν νόμιμον αἰώνιον ἐξιλάσκεσθαι περὶ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν· ἅπαξ τοῦ ἐνιαυτοῦ ποιηθήσεται, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Λευ. 16,34 - Η εξιλέωσις των Ισραηλιτών από όλας τας αμαρτίας των θα είναι νόμος παντοτεινός και απαράβατος δια σας. Μιαν φοράν το έτος θα γίνεται η τελετή αυτή, όπως διέταξεν ο Κυριος τον Μωϋσήν.

## ΛΕΥΙΤΙΚΟΝ 17

Λευ. 17,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 17,1 - Ελάλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Λευ. 17,2 - λάλησον πρός Ἀαρὼν καὶ πρὸς τοὺς υἱοὺς αὐτοῦ καὶ πρὸς πάντας υἱοὺς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· τοῦτο τὸ ῥῆμα, ὃ ἐνετείλατο Κύριος, λέγων·

Λευ. 17,2 - “μίλησε προς τον Ααρών, προς τους υιούς του και προς όλους τους Ισραηλίτας και είπε προς αυτούς· Αυτή είναι, η εντολή, την οποίαν έδωσεν ο Κυριος·

Λευ. 17,3 - ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἢ τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἐὰν σφάξῃ μόσχον ἢ πρόβατον ἢ αἶγα ἐν τῇ παρεμβολῇ καὶ ὃς ἂν σφάξῃ ἔξω τῆς παρεμβολῆς,

Λευ. 17,3 - Εάν κανείς από τους Ισραηλίτας η ξένος που μένει μαζή σας, σφάξη μόσχον η, πρόβατον η αίγα εντός της κατασκηνώσεως η έξω από την κατασκήνωσιν και δεν φέρη αυτό εις την θύραν της Σκηνής του Μαρτυρίου, ώστε να το προσφέρη η θυσίαν ολοκαυτώματος η εθυχαριστήριον ειρηνικήν θυσίαν, η οποία είναι δεκτή εις οσμήν ευωδίας από τον Κυριον, η εκείνος που θα σφάξη έξω από την κατασκήνωσιν

Λευ. 17,4 - καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ, ὥστε ποιῆσαι αὐτὸ εἰς ὁλοκαύτωμα ἢ σωτήριον Κυρίῳ δεκτὸν εἰς ὀσμὴν εὐωδίας, καὶ ὃς ἂν σφάξῃ ἔξω καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ αὐτό, ὥστε προσενέγκαι δῶρον τῷ Κυρίῳ ἀπέναντι

τῆς σκηνῆς Κυρίου, καὶ λογισθήσεται τῷ ἀνθρώπῳ ἐκείνῳ αἷμα· αἷμα ἐξέχεεν, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς·

Λευ. 17,4 - και δεν θα φέρη αυτό εις την θύραν της Σκηνής του Μαρτυρίου, δια να το σφάξη εκεί και το προσφέρη δώρον προς τον Κυριον ενώπιον της Σκηνής του Κυρίου, θα θεωρηθή τόσον ένοχος, όσον και εκείνος που έχυσεν αίμα ανθρώπου. Επειδή θα θεωρηθή ως φονεύς, θα εξολοθρευθή ο άνθρωπος αυτός εκ μέσου του λαού.

Λευ. 17,5 - ὅπως ἀναφέρωσιν οἱ υἱοὶ Ἰσραὴλ τὰς θυσίας αὐτῶν, ὅσας ἂν αὐτοὶ σφάξουσιν ἐν τοῖς πεδίοις, καὶ οἴσουσι τῷ Κυρίῳ ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου πρὸς τὸν ἱερέα καὶ θύσουσι θυσίαν σωτηρίου τῷ Κυρίῳ αὐτά.

Λευ. 17,5 - Αυτά νομοθετούνται, δια να φέρουν οι Ισραηλίται τα προς θυσίαν ζώα των, όσα μέχρι τώρα έσφαζον εις τας πεδιάδας, να τα φέρουν στον Κυριον, προς τον ιερέα, εις την θύραν της Σκηνής του Μαρτυρίου, όπου και θα σφάζουν αυτά ως ειρηνικήν ευχαριστήριον θυσίαν στον Κυριον.

Λευ. 17,6 - καὶ προσχεεῖ ὁ ἱερεὺς τὸ αἷμα ἐπὶ τὸ θυσιαστήριον κύκλῳ ἀπέναντι Κυρίου παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ ἀνοίσει τὸ στέαρ εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

Λευ. 17,6 - Ο ιερεύς θα χύση το αίμα κύκλω από το θυσιαστήριον των ολοκαυτωμάτων απέναντι από τον Κυριον πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου και θα προσφέρη το λίπος εις οσμήν ευωδίας προς τον Κυριον.

Λευ. 17,7 - καὶ οὐ θύσουσιν ἔτι τὰς θυσίας αὐτῶν τοῖς ματαίοις, οἷς αὐτοὶ ἐκπορνεύουσιν ὀπίσω αὐτῶν· νόμιμον αἰώνιον ἔσται ὑμῖν εἰς τὰς γενεὰς ὑμῶν.

Λευ. 17,7 - Δεν θα προσφέρουν ποτέ πλέον οι Ισραηλίται τας θυσίας των εις τα είδωλα, με τα οποία πλανώνται και διαφθείρονται οι ακολουθούντες οπίσω από τα είδωλα αυτά. Αυτό θα είναι δια σας παντοτεινός και απαράβατος νόμος εις όλας τας γενεάς σας.

Λευ. 17,8 - Καὶ ἐρεῖς πρὸς αὐτούς· ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἢ ἀπὸ τῶν υἱῶν τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν ποιήσῃ ὁλοκαύτωμα ἢ θυσίαν

Λευ. 17,8 - Θα είπης πάλιν προς αυτούς· Εάν Ισραηλίτης η ξένος από αυτούς, οι οποίοι μένουν μαζή σας, προσφέρη ολοκαύτωμα η κάποιαν άλλην θυσίαν

Λευ. 17,9 - καὶ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου μὴ ἐνέγκῃ ποιῆσαι αὐτὸ τῷ Κυρίῳ, ἐξολοθρευθήσεται ὁ ἄνθρωπος ἐκεῖνος ἐκ τοῦ λαοῦ αὐτοῦ.

Λευ. 17,9 - και δεν προσφέρη αυτήν εις την θύραν της Σκηνής του Μαρτυρίου προς θυσίαν δια τον Κυριον, θα εξολοθρευθή ο άνθρωπος αυτός

εκ μέσου του λαού του.

Λευ. 17,10 - Καὶ ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἢ τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν φάγῃ πᾶν αἷμα, καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν τὴν ἔσθουσαν τὸ αἷμα καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς·

Λευ. 17,10 - Εάν ένας άνθρωπος από τους Ισραηλίτας η, από τους ξένους, που ευρίσκονται μαζή σας, φάγη αίμα, εγώ θα στρέψω ωργισμένος το πρόσωπόν μου εναντίον του ανθρώπου αυτού, ο οποίος έφαγεν αίμα, και θα εξοντώσω αυτόν εκ του λαού του.

Λευ. 17,11 - ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι, καὶ ἐγὼ δέδωκα αὐτὸ ὑμῖν ἐπὶ τοῦ θυσιαστηρίου ἐξιλάσκεσθαι περὶ τῶν ψυχῶν ὑμῶν· τὸ γὰρ αἷμα αὐτοῦ ἀντὶ ψυχῆς ἐξιλάσεται.

Λευ. 17,11 - Και τούτο, διότι η ζωή κάθε ζωντανού όντος υπάρχει στο αίμα αυτού. Εγώ δέ, ως χορηγός της ζωής, σας έχω νομοθετήσει ως καθήκον να χύνεται τούτο στο θυσιαστήριον, δια να εξιλεώνωνται αι αμαρτίαι των ψυχών σας. Δια του αίματος της θυσίας του ζώου εξιλεώνεται ο άνθρωπος δια τας αμαρτίας του.

Λευ. 17,12 - διὰ τοῦτο εἴρηκα τοῖς υἱοῖς Ἰσραήλ· πᾶσα ψυχὴ ἐξ ὑμῶν οὐ φάγεται αἷμα, καὶ ὁ προσήλυτος ὁ προσκείμενος ἐν ὑμῖν οὐ φάγεται αἷμα.

Λευ. 17,12 - Δια τούτο είπα στους Ισραηλίτας· κανείς Ισραηλίτης και κανείς ξένος παρεπιδημών κοντά σας δεν θα φάγη αίμα. Το αίμα θα προσφέρεται προς εξιλέωσίν σας.

Λευ. 17,13 - καὶ ἄνθρωπος ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἢ τῶν προσηλύτων τῶν προσκειμένων ἐν ὑμῖν, ὃς ἂν θηρεύσῃ θήρευμα θηρίον ἢ πετεινόν, ὃ ἔσθεται, καὶ ἐκχεεῖ τὸ αἷμα καὶ καλύψει αὐτὸ τῇ γῇ·

Λευ. 17,13 - Εάν κανείς από τους Ισραηλίτας η από τους ξένους, που μένουν μαζή σας, συλλάβη δια κυνηγίου θηρίον τι η πτηνόν και πρόκειται να το φάγη, θα χύση το αίμα αυτού εις την γην και θα το σκεπάση με χώμα.

Λευ. 17,14 - ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι. καὶ εἶπα τοῖς υἱοῖς Ἰσραήλ· αἷμα πάσης σαρκὸς οὐ φάγεσθε, ὅτι ἡ ψυχὴ πάσης σαρκὸς αἷμα αὐτοῦ ἐστι· πᾶς ὁ ἔσθων αὐτὸ ἐξολοθρευθήσεται.

Λευ. 17,14 - Διότι η ζωή παντός εμβίου όντος είναι στο αίμα αυτού. Δια τούτο είπα στους Ισραηλίτας, δεν θα φάγετε αίμα παντός εμβίου όντος, διότι η ζωή αυτού υπάρχει στο αίμα. Εκείνος που τρώγει το αίμα, θα εξολοθρευθή.

Λευ. 17,15 - Καὶ πᾶσα ψυχή, ἥτις φάγεται θνησιμαῖον ἢ θηριάλωτον ἐν τοῖς αὐτόχθοσιν ἢ ἐν τοῖς προσηλύτοις, πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας καὶ καθαρὸς ἔσται.

Λευ. 17,15 - Καθε άνθρωπος, είτε εντόπιος Ισραηλίτης η από τους ξένους που θα φάγη ζώον θνησιμαίον η κατασπαραγθέν από θηρίον, είναι ένοχος.

Θα πλύνη τα ενδύματα αυτού, θα λουσθή με νερό και θα είναι ακάθαρτος έως την εσπέραν. Κατόπιν θα είναι καθαρός.

Λευ. 17,16 - ἐὰν δὲ μὴ πλύνῃ τὰ ἱμάτια καὶ τὸ σῶμα μὴ λούσηται ὕδατι, καὶ λήψεται ἀνόμημα αὐτοῦ.

Λευ. 17,16 - Εάν δεν πλύνη τα ενδύματα αυτού και δεν λούση το σώμα αυτού με νερό, θα έχη ενοχήν δια την παραινομίαν του και θα τιμωρηθή.

## ΛΕΥΙΤΙΚΟΝ 18

Λευ. 18,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 18,1 - Είπεν ο Κυριος προς τον Μωϋσήν

Λευ. 18,2 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 18,2 - “μίλησε προς τους Ισραηλίτας και είπε προς αυτούς· Εγώ είμαι Κυριος ο Θεός σας.

Λευ. 18,3 - κατά τὰ ἐπιτηδεύματα Αἰγύπτου, ἐν ᾗ κατῳκήσατε ἐπ᾿ αὐτῇ, οὐ ποιήσετε καὶ κατὰ τὰ ἐπιτηδεύματα γῆς Χαναάν, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ, οὐ ποιήσετε καὶ τοῖς νομίμοις αὐτῶν οὐ πορεύσεσθε.

Λευ. 18,3 - Τας αμαρτωλάς συνηθείας της Αιγύπτου, εις την οποίαν είχατε κατοικήσει, δεν θα τας ακολουθήσετε, και κατά τας αμαρτωλάς συνηθείας της χώρας Χαναάν, εις την οποίαν εγώ σας εισάγω, δεν θα ζήσετε και με τους νόμους αυτών δεν θα πορευθήτε.

Λευ. 18,4 - τὰ κρίματά μου ποιήσετε καὶ τὰ προστάγματά μου φυλάξεσθε καὶ πορεύεσθε ἐν αὐτοῖς· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 18,4 - Τας ιδικάς μου αποφάσεις θα τηρήτε, τας εντολάς μου θα φυλάσσετε και θα πορεύεσθε σύμφωνα με αυτά. Εγώ είμαι Κυριος ο Θεός σας.

Λευ. 18,5 - καὶ φυλάξεσθε πάντα τὰ προστάγματά μου καὶ πάντα τὰ κρίματά μου καὶ ποιήσετε αὐτά, ἃ ποιήσας αὐτά ἄνθρωπος ζήσεται ἐν αὐτοῖς· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 18,5 - Φυλάξατε όλας τας εντολάς μου και όλας τας αποφάσεις μου εφαρμόσατέ τας εις την ζωήν σας. Ανθρωπος ο οποίος θα εφαρμόση αυτά θα ζη ειρηνικός και ασφαλής μέσα εις αυτά. Εγώ είμαι Κυριος ο Θεός σας.

Λευ. 18,6 - Ἄνθρωπος ἄνθρωπος πρὸς πάντα οἰκεῖα σαρκὸς αὐτοῦ οὐ προσελεύσεται ἀποκαλύψαι ἀσχημοσύνην· ἐγὼ Κύριος.

Λευ. 18,6 - Κανείς άνθρωπος δεν θα έλθη εις γάμον προς γυναίκα συγγενή του και δεν θα αποκαλύψη όσα δι' εντροπήν πρέπει να είναι κρυμμένα. Εγώ ο Κυριος διατάσσω.

Λευ. 18,7 - ἀσχημοσύνην πατρός σου καὶ ἀσχημοσύνην μητρός σου οὐκ ἀποκαλύψεις, μήτηρ γάρ σού ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς.

Λευ. 18,7 - Εκ σεβασμού και αιδούς προς τον πατέρα σου δεν θα έλθης εις σχέσιν γάμου με την μητέρα σου και δεν θα αποκαλύψης όσα δι' εντροπήν πρέπει να είναι κεκρυμμένα, διότι είναι μήτηρ σου.

Λευ. 18,8 - ἀσχημοσύνην γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις, ἀσχημοσύνη πατρὸς σού ἐστιν.

Λευ. 18,8 - Δεν θα έλθης εις σχέσιν γάμου με την γυναίκα του πατρός σου, διότι άλλως θα δείξης αδιαντροπιάν προς τον πατέρα σου.

Λευ. 18,9 - ἀσχημοσύνην τῆς ἀδελφῆς σου ἐκ πατρός σου ἢ ἐκ μητρός σου ἐνδογενοῦς ἢ γεγεννημένης ἔξω, οὐκ ἀποκαλύψεις ἀσχημοσύνην αὐτῶν.

Λευ. 18,9 - Δεν πρέπει να έλθης εις ισχέσιν γάμου με την αδελφήν σου, από τον ίδιο πατέρα η από την ίδια μητέρα, η οποία εγεννήθη εντός η εκτός του σπιτιού σας. Δεν θα αποκαλύψης όσα δι' αιδώ πρέπει να είναι γραμμένα.

Λευ. 18,10 - ἀσχημοσύνην θυγατρὸς υἱοῦ σου ἢ θυγατρὸς θυγατρός σου οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῶν, ὅτι σὴ ἀσχημοσύνη ἐστίν.

Λευ. 18,10 - Δεν πρέπει να αποκαλύψης την γυμνότητα της θυγατρός του υιού σου η της θυγατρός της κόρης σου. Η εντροπή θα είναι ιδική σου.

Λευ. 18,11 - ἀσχημοσύνην θυγατρὸς γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις, ὁμοπατρία ἀδελφή σού ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς.

Λευ. 18,11 - Δεν θα έλθης εις σχέσιν γάμου με την κόρην της γυναικός του πατρός σου, με ετεροθαλή αδελφήν σου, διότι είναι ομοπατρία αδελφή σου. Δεν θα αποκαλύψης όσα δι' αιδώ πρέπει να είναι κεκρυμμένα.

Λευ. 18,12 - ἀσχημοσύνην ἀδελφῆς πατρός σου οὐκ ἀποκαλύψεις, οἰκεία γὰρ πατρός σού ἐστιν.

Λευ. 18,12 - Δεν θα έλθης εις συνάφειαν με την αδελφήν του πατρός σου, με την θείαν σου, διότι είναι συγγενής του πατρός σου.

Λευ. 18,13 - ἀσχημοσύνην ἀδελφῆς μητρός σου οὐκ ἀποκαλύψεις, οἰκεία γὰρ μητρός σού ἐστιν.

Λευ. 18,13 - Δεν θα έλθης εις συνάφειαν με την αδελφήν της μητρός σου, με την θείαν σου, διότι είναι συγγενής της μητρός σου.

Λευ. 18,14 - ἀσχημοσύνην ἀδελφοῦ τοῦ πατρός σου οὐκ ἀποκαλύψεις καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ οὐκ εἰσελεύσῃ, συγγενής γάρ σού ἐστιν.

Λευ. 18,14 - Συ, η ανεψιά, δεν θα έλθης εις συνάφειαν με τον αδελφόν του πατρός σου· και συ ο ανεψιός δεν θα έλθης εις συνάφειαν προς την γυναίκα του αδελφού του πατρός σου, διότι είναι συγγενής σου.

Λευ. 18,15 - ἀσχημοσύνην νύμφης σου οὐκ ἀποκαλύψεις, γυνὴ γὰρ υἱοῦ σού ἐστιν, οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῆς.

Λευ. 18,15 - Δεν θα έλθη ς εις συνάφειαν με την νάμφην σου, διότι είναι σύζυγος του υιού σου. Δεν θα αποκαλύψης όσα δι' αιδώ πρέπει να μένουν κρυμμένα.

Λευ. 18,16 - ἀσχημοσύνην γυναικὸς ἀδελφοῦ σου οὐκ ἀποκαλύψεις, ἀσχημοσύνη ἀδελφοῦ σού ἐστιν.

Λευ. 18,16 - Δεν θα έλθης εις συνάφειαν με την γυναίκα του αδελφού σου, την νύμφην σου είναι σύζυγος του αδελφού σου.

Λευ. 18,17 - ἀσχημοσύνην γυναικὸς καὶ θυγατρὸς αὐτῆς οὐκ ἀποκαλύψεις· τὴν θυγατέρα τοῦ υἱοῦ αὐτῆς καὶ τὴν θυγατέρα τῆς θυγατρὸς αὐτῆς οὐ λήψῃ ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῶν, οἰκεῖαι γὰρ σού εἰσιν· ἀσέβημά ἐστι.

Λευ. 18,17 - Δεν θα λάβης συγχρόνως ως συζύγους σου μητέρα και κόρην. Δεν θα λάβης ως σύζυγον την θυγατέρα του υιού της, ούτε την κόρην της θυγατρός της, διότι αυταί είναι συγγενείς σου. Η πράξις σου είναι ασέβεια.

Λευ. 18,18 - γυναῖκα ἐπ᾿ ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον ἀποκαλύψαι τήν ἀσχημοσύνην αὐτῆς ἐπ᾿ αὐτῇ, ἔτι ζώσης αὐτῆς.

Λευ. 18,18 - Δεν θα λάβης την αδελφήν της γυναικός σου ως σύζυγον, δια να μη καταστήσης αυτήν αντίζηλον της γυναικός σου, εφ' όσον η γυναίκα σου ζη.

Λευ. 18,19 - Καὶ πρὸς γυναῖκα ἐν χωρισμῷ ἀκαθαρσίας αὐτῆς οὐκ εἰσελεύσῃ ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς.

Λευ. 18,19 - Δεν θα έλθης εις συνάφειαν με την σύζυγόν σου κατά το διάστημα, που αυτή είναι, εν απομονώσει λόγω της εμμήνου ακαθαρσίας της.

Λευ. 18,20 - καὶ πρὸς τὴν γυναῖκα τοῦ πλησίον σου οὐ δώσεις κοίτην σπέρματός σου, ἐκμιανθῆναι πρὸς αὐτήν.

Λευ. 18,20 - Δεν θα έλθης εις συνάφειαν με την γυναίκα του πλησίον σου, ώστε να μολυνθής με αυτήν.

Λευ. 18,21 - καὶ ἀπὸ τοῦ σπέρματός σου οὐ δώσεις λατρεύειν ἄρχοντι καὶ οὐ βεβηλώσεις τὸ ὄνομα τὸ ἅγιον· ἐγὼ Κύριος·

Λευ. 18,21 - Κανένα από τους απογόνους σου δεν πρέπει να αφιερώσης ως υπηρέτην εις ξένον άρχοντα και δεν θα μολύνης το άγιον Ονομά μου. Εγώ είμαι ο Κυριος.

Λευ. 18,22 - καὶ μετά ἄρσενος οὐ κοιμηθήσῃ κοίτην γυναικείαν, βδέλυγμα γάρ ἐστι.

Λευ. 18,22 - Δεν θα κοιμηθής με άρρενα, όπως κοιμάσαι με γυναίκα, διότι η πράξις αυτή είναι μυσαρά.

Λευ. 18,23 - καὶ πρὸς πᾶν τετράπουν οὐ δώσεις τὴν κοίτην σου εἰς σπερματισμόν, ἐκμιανθῆναι πρὸς αὐτό. καὶ γυνὴ οὐ στήσεται πρὸς πᾶν τετράπουν βιβασθῆναι, μυσαρὸν γάρ ἐστι.

Λευ. 18,23 - Με κανένα ζώον δεν θα έλθης εις σαρκικήν συνάφειαν, ώστε να μολυνθής μαζή του. Ούτε η γυνή θα σταθή, ώστε να βιασθή από τετράποδον, διότι η πράξις αυτή είναι μυσαρά.

Λευ. 18,24 - Μὴ μιαίνεσθε ἐν πᾶσι τούτοις· ἐν πᾶσι γὰρ τούτοις ἐμιάνθησαν τὰ ἔθνη, ἃ ἐγὼ ἐξαποστέλλω πρὸ προσώπου ὑμῶν,

Λευ. 18,24 - Μη μολύνεσθε με όλα αυτά τα βρωμερά παραπτώματα. Με όλα αυτά εμολύνθησαν τα έθνη, τα οποία εγώ εκδιώκω από εμπρός σας.

Λευ. 18,25 - καὶ ἐξεμιάνθη ἡ γῆ, καὶ ἀνταπέδωκα ἀδικίαν αὐτοῖς δι᾿ αὐτήν, καὶ προσώχθισεν ἡ γῆ τοῖς ἐγκαθημένοις ἐπ᾿ αὐτῆς.

Λευ. 18,25 - Εμολύνθη η γη και εγώ ανταπέδωσα την πρέπουσαν τιμωρίαν δια την αμαρτίαν των αυτήν. Η γη εμίσησε τους κατοίκους της δια τα φοβερά αμαρτήματά των !

Λευ. 18,26 - καὶ φυλάξεσθε πάντα τὰ νόμιμά μου καὶ πάντα τὰ προστάγματά μου, καὶ οὐ ποιήσετε ἀπὸ πάντων τῶν βδελυγμάτων τούτων, ὁ ἐγχώριος καὶ ὁ προσγενόμενος προσήλυτος ἐν ὑμῖν·

Λευ. 18,26 - Θα φυλάξετε όλους τους νόμους μου και όλας τας εντολάς μου και δεν θα πράξετε τίποτε από όλα τα μυσαρά αμαρτήματα των ειδωλολατρών, τόσον ο εντόπιος όσον και ο εκ της αλλοδαπής ξένος, που διαμένει μαζή σας·

Λευ. 18,27 - πάντα γὰρ τὰ βδελύγματα ταῦτα ἐποίησαν οἱ ἄνθρωποι τῆς γῆς οἱ ὄντες πρότερον ὑμῶν, καὶ ἐμιάνθη ἡ γῆ.

Λευ. 18,27 - διότι όλα αυτά τα συχαμερά αμαρτήματα έκαμαν οι άνθρωποι της χώρας, οι οποίοι ήσαν εις αυτήν ενωρίτερα από σας, και εμολύνθη εξ αιτίας των η γη.

Λευ. 18,28 - καὶ ἵνα μὴ προσοχθίσῃ ὑμῖν ἡ γῆ ἐν τῷ μιαίνειν ὑμᾶς αὐτήν, ὃν τρόπον προσώχθισε τοῖς ἔθνεσι τοῖς πρὸ ὑμῶν.

Λευ. 18,28 - Αποφύγετε τα διεφθαρμένα έργα εκείνων, δια να μη αγανακτήση εναντίον σας η γη, την οποίαν θα μιάνετε, όπως ηγανάκτησεν εναντίον των ειδωλολατρικών εθνών, που ήσαν εκεί ενωρίτερα από σας.

Λευ. 18,29 - ὅτι πᾶς, ὃς ἐὰν ποιήσῃ ἀπὸ πάντων τῶν βδελυγμάτων τούτων, ἐξολοθρευθήσονται αἱ ψυχαὶ αἱ ποιοῦσαι ἐκ τοῦ λαοῦ αὐτῶν.

Λευ. 18,29 - Διότι οιοσδήποτε θα διαπράξη τα μυσαρά αυτά αμαρτήματα, θα εξολοθρευθή εκ μέσου του λαού του.

Λευ. 18,30 - καὶ φυλάξετε τὰ προστάγματά μου, ὅπως μὴ ποιήσητε ἀπὸ πάντων τῶν νομίμων τῶν ἐβδελυγμένων, ἃ γέγονε πρὸ τοῦ ὑμᾶς, καὶ οὐ μιανθήσεσθε ἐν αὐτοῖς, ὅτι ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 18,30 - Φυλάξατε τας εντολάς μου, δια να προφυλαχθήτε έτσι οι ίδιοι και μη παρασυρθήτε εις τας μυσαράς συνηθείας των ειδωλολατρών, οι οποίοι έζησαν εις την περιοχήν αυτήν ενωρίτερα από σας. Δεν θα μολυνθήτε μαζή με αυτούς. Εγώ είμαι Κυριος ο Θεός σας, ο οποίος δίδω τας εντολάς αυτάς”.

## ΛΕΥΙΤΙΚΟΝ 19

Λευ. 19,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·
Λευ. 19,1 - Ελάλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·
Λευ. 19,2 - λάλησον τῇ συναγωγῇ τῶν υἱῶν Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἅγιοι ἔσεσθε, ὅτι ἅγιος ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.
Λευ. 19,2 - “μίλησε προς όλους τους Ισραηλίτας και ειπέ εις αυτούς· Γινετε άγιοι, διότι εγώ ο Κυριος και Θεός σας είμαι άγιος.
Λευ. 19,3 - ἕκαστος πατέρα αὐτοῦ καὶ μητέρα αὐτοῦ φοβείσθω, καὶ τὰ σάββατά μου φυλάξεσθε· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.
Λευ. 19,3 - Ο καθένας να σέβεται τον πατέρα του και την μητέρα του. Να τηρήτε τα σάββατά μου. Εγώ ο Κυριος και Θεός σας δίδω την εντολήν.
Λευ. 19,4 - οὐκ ἐπακολουθήσετε εἰδώλοις καὶ θεοὺς χωνευτοὺς οὐ ποιήσετε ὑμῖν· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.
Λευ. 19,4 - Δεν θα ακολουθήσετε και δεν θα προσκυνήσετε είδωλα και δεν θα κάμετε ποτέ δια τον εαυτόν σας θεούς χυτούς. Εγώ είμαι Κυριος ο Θεός σας.
Λευ. 19,5 - καὶ ἐὰν θύσητε θυσίαν σωτηρίου τῷ Κυρίῳ, δεκτὴν ὑμῶν θύσετε.
Λευ. 19,5 - Εάν προσφέρετε θυσίαν ειρηνικήν και ευχαριστήριον στον Κυριον, να την προσφέρετε κατά τρόπον ευλαβή, ώστε να γίνη δεκτή.
Λευ. 19,6 - ᾗ ἂν ἡμέρᾳ θύσετε, βρωθήσεται καὶ τῇ αὔριον· καὶ ἐὰν καταλειφθῇ ἕως ἡμέρας τρίτης, ἐν πυρὶ κατακαυθήσεται.
Λευ. 19,6 - Η θυσία που θα προσφέρετε, πρέπει να φαγωθή κατά την ιδίαν ημέραν η και κατά την επομένην. Εάν όμως υπολειφθή κάτι μέχρι της τρίτης ημέρας, πρέπει να κατακαή.
Λευ. 19,7 - ἐὰν δὲ βρώσει βρωθῇ τῇ ἡμέρᾳ τῇ τρίτῃ, ἄθυτόν ἐστιν, οὐ δεχθήσεται.
Λευ. 19,7 - Εάν όμως φαγωθή κατά την τρίτην ημέραν είναι σαν να μη έχη προσφερθή προς θυσίαν. Η προσφορά της ως θυσίας δεν θα είναι δεκτή από τον Θεόν.
Λευ. 19,8 - ὁ δὲ ἔσθων αὐτὸ ἁμαρτίαν λήψεται, ὅτι τὰ ἅγια Κυρίου ἐβεβήλωσε· καὶ ἐξολοθρευθήσονται αἱ ψυχαὶ αἱ ἔσθουσαι ἐκ τοῦ λαοῦ αὐτῶν.

Λευ. 19,8 - Εκείνος δε ο οποίος θα φάγη αυτό κατά την τρίτην ημέραν, θα αμαρτήση, διότι εμόλυνε τα άγια του Κυρίου. Θα εξολοθρευθούν εκ μέσου του λαού εκείνοι, οι οποίοι τρώγουν έτσι τας θυσίας.

Λευ. 19,9 - Καὶ ἐκθεριζόντων ὑμῶν τὸν θερισμὸν τῆς γῆς ὑμῶν, οὐ συντελέσετε τὸν θερισμὸν ὑμῶν τοῦ ἀγροῦ σου ἐκθερίσαι, καὶ τὰ ἀποπίπτοντα τοῦ θερισμοῦ σου οὐ συλλέξεις.

Λευ. 19,9 - Οταν θερίζετε τα χωράφια σας να μη κάμετε ολοκληρωτικόν και πλήρη τον θερισμόν των αγρών σας. Τα πίπτοντα κατά τον θερισμόν στάχυα δεν θα τα μαζεύσης.

Λευ. 19,10 - καὶ τὸν ἀμπελῶνά σου οὐκ ἐπανατρυγήσεις, οὐδὲ τὰς ῥῶγας τοῦ ἀμπελῶνός σου συλλέξεις· τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ καταλείψεις αὐτά· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,10 - Την άμπελόν σου δεν θα επανέλθης να την τρυγήσης δια δευτέραν φοράν ούτε τας ρώγας των κλημάτων σου θα συλλέξης. Θα αφήσης αυτά δια τον πτωχόν και τον ξένον. Εγώ είμαι Κυριος ο Θεός σας, που δίδω αυτήν την εντολήν.

Λευ. 19,11 - Οὐ κλέψετε, οὐ ψεύσεσθε, οὐδὲ συκοφαντήσει ἕκαστος τὸν πλησίον.

Λευ. 19,11 - Δεν θα κλέψετε, δεν θα πήτε ψέματα, δεν θα συκοφαντήσετε ο ένας τον άλλον.

Λευ. 19,12 - καὶ οὐκ ὀμεῖσθε τῷ ὀνόματί μου ἐπ᾿ ἀδίκῳ καὶ οὐ βεβηλώσετε τὸ ὄνομα τὸ ἅγιον τοῦ Θεοῦ ὑμῶν· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,12 - Δεν θα ορκισθήτε ψευδώς στο όνομά μου, δεν θα αδικήσετε κάποιον, και δεν θα μολύνετε το άγιον όνομα του Θεού σας. Εγώ είμαι ο Κυριος και Θεός σας.

Λευ. 19,13 - οὐκ ἀδικήσεις τὸν πλησίον καὶ οὐχ ἁρπάσεις καὶ οὐ μὴ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ σου παρὰ σοὶ ἕως πρωΐ.

Λευ. 19,13 - Δεν θα αδικήσης τον πλησίον σου, δεν θα αρπάσης ο,τι του ανήκει. Το ημερομίσθιον του εργάτου σου δεν θα μείνη μαζή σου έως το πρωϊ. Θα πληρώσης αυτόν το ίδιο βράδυ.

Λευ. 19,14 - οὐ κακῶς ἐρεῖς κωφόν, καὶ ἀπέναντι τυφλοῦ οὐ προσθήσεις σκάνδαλον, καὶ φοβηθήσῃ Κύριον τὸν Θεόν σου· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,14 - Δεν θα κακολογήσης τον κωφόν, και στον δρόμον του τυφλού δεν θα βάλης πρόσκομμα δια να σκοντάψη. Θα φοβηθής Κυριον τον Θεόν σου και θα αποφύγης αυτά. Εγώ είμαι Κυριος ο Θεός σου.

Λευ. 19,15 - Οὐ ποιήσετε ἄδικον ἐν κρίσει· οὐ λήψῃ πρόσωπον πτωχοῦ, οὐδὲ μὴ θαυμάσῃς πρόσωπον δυνάστου· ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου.

Λευ. 19,15 - Δεν θα επιζητήσετε να αδικήσετε κανένα, όταν θα γίνεται δίκη. Ως δικαστής δεν θα επηρεασθής δυσμενώς από το πρόσωπον του πτωχού ούτε θα καταληφθής από θαυμασμόν και θα επηρεασθής ευμενώς από πρόσωπον άρχοντος. Δικαίως θα κρίνης τον πλησίον σου, οποιοσδήποτε και αν είναι αυτός.

Λευ. 19,16 - οὐ πορεύσῃ δόλῳ ἐν τῷ ἔθνει σου, οὐκ ἐπιστήσῃ ἐφ᾿ αἷμα τοῦ πλησίον σου· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,16 - Δεν θα συμπεριφέρεσαι δολίως μεταξύ των ομοεθνών σου και ποτέ δεν θα λάβης φονικάς αποφάσεις εναντίον του πλησίον σου. Εγώ είμαι Κυριος ο Θεός σας.

Λευ. 19,17 - οὐ μισήσεις τὸν ἀδελφόν σου τῇ διανοίᾳ σου· ἐλεγμῷ ἐλέγξεις τὸν πλησίον σου καί οὐ λήψῃ δι᾿ αὐτὸν ἁμαρτίαν.

Λευ. 19,17 - Δεν θα τρέφης εις την καρδίαν σου μίσος εναντίον του αδελφού σου. Θα ελέγξης τον πλησίον σου, εάν σου προτείνη κάτι κακόν και δεν θα θελήσης ποτέ να αναλάβης ενοχήν αμαρτίας προς χάριν αυτού.

Λευ. 19,18 - καὶ οὐκ ἐκδικᾶταί σου ἡ χείρ, καὶ οὐ μηνιεῖς τοῖς υἱοῖς τοῦ λαοῦ σου, καὶ ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν· ἐγώ εἰμι Κύριος.

Λευ. 19,18 - Δεν θα χειροδικής και δεν θα τρέφης οργήν εναντίον των συμπατριωτών σου. Θα αγαπήσης τον πλησίον σου όπως τον εαυτόν σου. Εγώ είμαι ο Κυριος, που διατάσσω αυτά.

Λευ. 19,19 - Τὸν νόμον μου φυλάξεσθε· τὰ κτήνη σου οὐ κατοχεύσεις ἑτεροζύγῳ, καὶ τὸν ἀμπελῶνά σου οὐ κατασπερεῖς διάφορον, καὶ ἱμάτιον ἐκ δύο ὑφασμένον κίβδηλον οὐκ ἐπιβαλεῖς σεαυτῷ.

Λευ. 19,19 - Θα φυλάξετε τον Νομον μου. Δεν θα ζευγαρώσής προς ένωσιν ζώα διαφόρων γενών. Δεν θα σπείρης στον αμπελώνα σου διαφόρους άλλους σπόρους. Να μη ενδυθής ιμάτιον κίβδηλον, υφασμένον από νήματα διαφόρων ποιοτήτων.

Λευ. 19,20 - Καὶ ἐάν τις κοιμηθῇ μετὰ γυναικὸς κοίτην σπέρματος, καὶ αὕτη ᾖ οἰκέτις διαπεφυλαγμένη ἀνθρώπῳ, καὶ αὐτὴ λύτροις οὐ λελύτρωται, ἢ ἐλευθερία οὐκ ἐδόθη αὐτῇ, ἐπισκοπὴ ἔσται αὐτοῖς, οὐκ ἀποθανοῦνται, ὅτι οὐκ ἀπηλευθερώθη.

Λευ. 19,20 - Εάν ένας ανήρ έλθη, εις σαρκικήν συνάφειαν με γυναίκα δούλην, η οποία όμως ήτο προωρισμένη δι' άλλον άνθρωπον, εφ' όσον αυτή δεν είχεν εξαγορασθή με χρήματα, ούτε κατ' άλλον τινά τρόπον της εδόθη ελευθερία, θα υποβληθούν και οι δύο εις ανάκρισιν και δίκην, και θα τιμωρηθούν, όχι όμως δια θανάτου, διότι η δούλη αυτή γυνή δεν είχεν αποκτήσει την ελευθερίαν της.

Λευ. 19,21 - καὶ προσάξει τῆς πλημμελείας αὐτοῦ τῷ Κυρίῳ παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου κριὸν πλημμελείας·

Λευ. 19,21 - Ο εξαπατήσας αυτήν, εις ένδειξιν μετανοίας δια την κακήν του αυτήν πράξιν, θα προσφέρη εις την θύραν της Σκηνής του Μαρτυρίου

κριον της πλημμελείας του.

Λευ. 19,22 - καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς ἐν τῷ κριῷ τῆς πλημμελείας ἔναντι Κυρίου περὶ τῆς ἁμαρτίας, ἧς ἥμαρτε, καὶ ἀφεθήσεται αὐτῷ ἡ ἁμαρτία, ἣν ἥμαρτεν.

Λευ. 19,22 - Ο ιερεύς θα προσφέρη την εξιλεωτικήν θυσίαν υπέρ αυτού δια του κριου της πλημμελείας ενώπιον του Κυρίου και θα του συγχωρηθή η αμαρτία, την οποίαν διέπραξε.

Λευ. 19,23 - Ὅταν δὲ εἰσέλθητε εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς ὑμῶν δίδωσιν ὑμῖν, καὶ καταφυτεύσετε πᾶν ξύλον βρώσιμον καὶ περικαθαριεῖτε τὴν ἀκαθαρσίαν αὐτοῦ· ὁ καρπὸς αὐτοῦ τρία ἔτη ἔσται ὑμῖν ἀπερικάθαρτος, οὐ βρωθήσεται.

Λευ. 19,23 - Οταν εισέλθετε εις την γην, την οποίαν Κυριος ο Θεός θα σας δώση, θα καταφυτεύσετε εις αυτήν κάθε καρποφόρον δένδρον, τους δε πρώτους αυτού καρπούς θα τους απορρίψετε ως ακαθάρτους. Ο καρπός του νεοφυτευμένου δένδρου θα είναι ακάθαρτος επί τρία έτη και δεν πρέπει να τρώγεται.

Λευ. 19,24 - καὶ τῷ ἔτει τῷ τετάρτῳ ἔσται πᾶς ὁ καρπὸς αὐτοῦ ἅγιος αἰνετὸς τῷ Κυρίῳ.

Λευ. 19,24 - Κατά το τέταρτον έτος ο καρπός του θα είναι άγιος, άξιος να προσφερθή εις δόξαν του Κυρίου.

Λευ. 19,25 - ἐν δὲ τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπόν, πρόσθεμα ὑμῖν τὰ γενήματα αὐτοῦ· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,25 - Κατά το πέμπτον έτος θα φάγετε σστον καρπόν και από του έτους αυτού και εφεξής τα προϊόντα αυτού θα προστίθενται εις τα εισοδήματά σας. Εγώ είμαι Κυριος ο Θεός σας, που διατάσσω αυτά.

Λευ. 19,26 - Μὴ ἔσθετε ἐπὶ τῶν ὀρέων καὶ οὐκ οἰωνιεῖσθε, οὐδὲ ὀρνιθοσκοπήσεσθε.

Λευ. 19,26 - Μη αναβαίνετε εις τα όρη κατ' απομίμησιν των ειδωλολατρών, δια να τρώγετε εκεί. Μη δίδετε πίστιν εις την μαντείαν και μη προσπαθήτε να γνωρίσετε το μέλλον από το πέταγμα των πτηνών.

Λευ. 19,27 - οὐ ποιήσετε σισόην ἐκ τῆς κόμης τῆς κεφαλῆς ὑμῶν, οὐδὲ φθερεῖτε τὴν ὄψιν τοῦ πώγωνος ὑμῶν.

Λευ. 19,27 - Δεν θα κάμετε εις την κεφαλήν σας κόρυμβον (κότσον) όπως οι ειδωλολάτραι και δεν θα ξυρίζετε το έμπροσθεν της γιενειάδος σας.

Λευ. 19,28 - καὶ ἐντομίδας οὐ ποιήσετε ἐπὶ ψυχῇ ἐν τῷ σώματι ὑμῶν καὶ γράμματα στικτὰ οὐ ποιήσετε ἐν ὑμῖν· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,28 - Δεν θα κάμετε εντομάς στο σώμα σας, ούτε θα χαράξετε γράμματα στο δέρμα σας. Εγώ είμαι Κυριος ο Θεός σας.

Λευ. 19,29 - οὐ βεβηλώσεις τὴν θυγατέρα σου ἐκπορνεῦσαι αὐτὴν καὶ οὐκ ἐκπορνεύσει ἡ γῆ, καὶ ἡ γῆ πλησθήσεται ἀνομίας.

Λευ. 19,29 - Δεν θα μολύνης την θυγατέρα σου εκδίδων αυτήν εις διαφθοράν, και δεν θα μολύνης την γην με τοιαύτα μυσαρά έργα, δια να μη γέμιση αυτή από αμαρτίας.

Λευ. 19,30 - Τὰ σάββατά μου φυλάξεσθε καὶ ἀπὸ τῶν ἁγίων μου φοβηθήσεσθε· ἐγώ εἰμι Κύριος.

Λευ. 19,30 - Θα φυλάξετε τα Σαββατα μου και θα τρέφετε σεβασμόν και φόβον προς τα άγιά μου πράγματα. Εγώ είμαι ο Κυριος !

Λευ. 19,31 - οὐκ ἐπακολουθήσετε ἐγγαστριμύθοις καὶ τοῖς ἐπαοιδοῖς οὐ προσκολληθήσεσθε, ἐκμιανθῆναι ἐν αὐτοῖς· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,31 - Δεν θα ακολουθήσετε τους εγγαστριμύθους και δεν θα προσκολληθήτε εις αυτούς, που ψάλλουν μαγικάς ωδάς. Προσέχετε να μη μολυνθήτε δι' αυτών. Εγώ είμαι Κυριος ο Θεός σας.

Λευ. 19,32 - ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου καὶ φοβηθήσῃ τὸν Θεόν σου· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,32 - Θα εγερθής με σεβασμόν ενώπιον ανθρώπου, που έχει λευκήν την κόμην, και θα τιμήσης το πρόσωπον του γέροντος, και θα φοβήσαι πάντοτε τον Θεόν σου. Εγώ είμαι Κυριος ο Θεάς σας.

Λευ. 19,33 - Ἐὰν δέ τις προσέλθῃ ὑμῖν προσήλυτος ἐν τῇ γῇ ὑμῶν, οὐ θλίψετε αὐτόν·

Λευ. 19,33 - Εάν ξένος τις έλθη εις την χώραν σας, δεν θα τον θλίψετε.

Λευ. 19,34 - ὡς ὁ αὐτόχθων ἐν ὑμῖν ἔσται ὁ προσήλυτος ὁ προσπορευόμενος πρὸς ὑμᾶς, καὶ ἀγαπήσεις αὐτὸν ὡς σεαυτόν, ὅτι προσήλυτοι ἐγενήθητε ἐν γῇ Αἰγύπτῳ· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,34 - Ο ξένος αυτός ο ερχόμενος από άλλην χώραν προς σας θα είναι, όπως ο εντόπιος, ο συμπατριώτης σας. Θα αγαπήσης και αυτόν όπως τον εαυτόν σου, διότι και σεις υπήρξατε ξένοι εις την Αίγυπτον. Εγώ είμαι ο Κυριος ο Θεός σας, που διατάσσω αυτά.

Λευ. 19,35 - οὐ ποιήσετε ἄδικον ἐν κρίσει, ἐν μέτροις καὶ ἐν σταθμοῖς καὶ ἐν ζυγοῖς.

Λευ. 19,35 - Δεν θα αδικήσετε κανένα, ούτε στο δικαστήριον ούτε εις τα μέτρα μήκους, βάρους και χωρητικότητος· με κανένα από τα ζυγίσματά σας.

Λευ. 19,36 - ζυγὰ δίκαια καὶ σταθμία δίκαια καὶ χοῦς δίκαιος ἔσται ἐν ὑμῖν· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου.

Λευ. 19,36 - Η ζυγαριά σας να είναι ακριβής, τα σταθμά δίκαια, το πήλινον μέτρον των υγρών προϊόντων πρέπει να είναι σωστόν. Εγώ είμαι Κυριος ο Θεός σας, ο οποίος σας έβγαλα ελευθέρους από την χώραν της Αιγύπτου.

Λευ. 19,37 - Καὶ φυλάξεσθε πάντα τὸν νόμον μου καὶ πάντα τὰ προστάγματά μου καὶ ποιήσετε αὐτά· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 19,37 - Θα φυλάξετε όλον τον νόμον και όλας τας εντολάς μου· θα εφαρμόσετε αυτάς. Εγώ είμαι Κυριος ο Θεός σας, που σας δίδω αυτάς τας εντολάς.

ΛΕΥΙΤΙΚΟΝ 20

Λευ. 20,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·
Λευ. 20,1 - Ελάλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·
Λευ. 20,2 - καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις· ἐάν τις ἀπὸ τῶν υἱῶν Ἰσραὴλ ἢ ἀπὸ τῶν γεγενημένων προσηλύτων ἐν Ἰσραήλ, ὃς ἂν δῷ τοῦ σπέρματος αὐτοῦ ἄρχοντι, θανάτῳ θανατούσθω· τὸ ἔθνος τὸ ἐπὶ τῆς γῆς λιθοβολήσουσιν αὐτὸν ἐν λίθοις.
Λευ. 20,2 - "αυτά θα είπης στους Ισραηλίτας· Εάν κανείς από τους Ισραηλίτας, η από τους ξένους που εγεννήθησαν μεταξύ των Ισραηλιτών, δώση κάποιον εκ των απογόνων του εις ειδωλολάτρην άρχοντα, πρέπει να θανατώνεται. Η κοινωνία της περιοχής εκείνης πρέπει να τον φονεύση με λιθοβολισμόν.
Λευ. 20,3 - καὶ ἐγὼ ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον καὶ ἀπολῶ αὐτὸν ἐκ τοῦ λαοῦ αὐτοῦ, ὅτι τοῦ σπέρματος αὐτοῦ ἔδωκεν ἄρχοντι, ἵνα μιάνῃ τὰ ἅγιά μου καὶ βεβηλώσῃ τὸ ὄνομα τῶν ἡγιασμένων μοι.
Λευ. 20,3 - Εγώ θα στρέψω με οργήν το πρόσωπόν μου εναντίον του ανθρώπου αυτού και θα τον εξολοθρεύσω εκ μέσου του λαού του, διότι έδωσε εκ των απογόνων του εις ειδωλολάτρην άρχοντα και δια της πράξεώς του αυτής εμόλυνε τα άγιά μου, εβεβήλωσε το όνομα των ηγιασμένων και αφιερωμένων εις εμέ.
Λευ. 20,4 - ἐὰν δὲ ὑπερόψει ὑπερίδωσιν οἱ αὐτόχθονες τῆς γῆς τοῖς ὀφθαλμοῖς αὐτῶν ἀπὸ τοῦ ἀνθρώπου ἐκείνου, ἐν τῷ δοῦναι αὐτὸν τοῦ σπέρματος αὐτοῦ ἄρχοντι, τοῦ μὴ ἀποκτεῖναι αὐτόν,
Λευ. 20,4 - Εάν όμως δείξουν οι εντόπιοι αδιαφορίαν δια την πράξιν του ανθρώπου εκείνου, ο οποίος έδωκε απόγονόν του ως υπηρέτην εις ειδωλολάτρην άρχοντα και δεν τον θανατώσουν,
Λευ. 20,5 - καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὸν ἄνθρωπον ἐκεῖνον καὶ τὴν συγγένειαν αὐτοῦ καὶ ἀπολῶ αὐτὸν καὶ πάντας τοὺς ὁμονοοῦντας αὐτῷ, ὥστε ἐκπορνεύειν αὐτὸν εἰς τοὺς ἄρχοντας ἐκ τοῦ λαοῦ αὐτῶν.
Λευ. 20,5 - εγώ θα στρέψω με οργήν το πρόσωπόν μου εναντίον του ανθρώπου εκείνου και της συγγενείας του και θα εξολοθρεύσω αυτόν και όλους εκείνους, που συμφωνούν με αυτόν και συγκατατίθενται, ώστε αυτός αρνούμενος τον αληθινόν Θεόν να παραδοθή εις αλλοφύλους άρχοντας.

Λευ. 20,6 - καὶ ψυχή, ἣ ἐὰν ἐπακολουθήσῃ ἐγγαστριμύθοις ἢ ἐπαοιδοῖς, ὥστε ἐκπορνεῦσαι ὀπίσω αὐτῶν, ἐπιστήσω τὸ πρόσωπόν μου ἐπὶ τὴν ψυχὴν ἐκείνην καὶ ἀπολῶ αὐτὴν ἐκ τοῦ λαοῦ αὐτῆς.

Λευ. 20,6 - Εάν κανείς ακολουθήση εγγαστριμύθους η αυτούς που ψάλλουν μαγικάς ωδάς, ώστε αρνούμενος τον αληθινόν Θεόν να ακολουθή εκείνους, εγώ θα στραφώ εναντίον του και θα τον εξολοθρεύσω εκ μέσου του λαού του.

Λευ. 20,7 - καὶ ἔσεσθε ἅγιοι, ὅτι ἅγιος ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν·

Λευ. 20,7 - Αγιοι θα είσθε, διότι εγώ ο Κυριος και Θεός σας είμαι άγιος.

Λευ. 20,8 - καὶ φυλάξεσθε τὰ προστάγματά μου καὶ ποιήσετε αὐτά· ἐγὼ Κύριος ὁ ἁγιάζων ὑμᾶς.

Λευ. 20,8 - Θα φυλάξετε τας εντολάς μου και θα τας εφαρμόσετε. Εγώ είμαι ο Κυριος, ο οποίος σας αγιάζω.

Λευ. 20,9 - ἄνθρωπος ἄνθρωπος, ὃς ἂν κακῶς εἴπῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω· πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ κακῶς εἶπεν; ἔνοχος ἔσται.

Λευ. 20,9 - Ανθρωπος, ο οποίος θα κακολογήση τον πατέρα του η την μητέρα του, να τυμωρηθή με θάνατον. Εκακολόγησεν ένας υιός τον πατέρα του η την μητέρα του; Είναι ένοχος θανάτου.

Λευ. 20,10 - ἄνθρωπος ὃς ἂν μοιχεύσηται γυναῖκα ἀνδρός, ἢ ὃς ἂν μοιχεύσηται γυναῖκα τοῦ πλησίον, θανάτῳ θανατούσθωσαν, ὁ μοιχεύων καὶ ἡ μοιχευομένη.

Λευ. 20,10 - Ανθρωπος, ο οποίος θα κοιμηθή με γυναίκα ύπανδρον η με την γυναίκα του πλησίον του, θα τιμωρηθούν και οι δύο με θάνατον και ο μοιχός και η μοιχαλίς.

Λευ. 20,11 - καὶ ἐάν τις κοιμηθῇ μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ, ἀσχημοσύνην τοῦ πατρὸς αὐτοῦ ἀπεκάλυψε, θανάτῳ θανατούσθωσαν, ἀμφότεροι ἔνοχοί εἰσι.

Λευ. 20,11 - Εάν κανείς κοιμηθή με την μητρυιάν του, προσέβαλε τον πατέρα του. Είναι και οι δύο ένοχοι θανάτου και πρέπει να θανατωθούν.

Λευ. 20,12 - καὶ ἐάν τις κοιμηθῇ μετὰ νύμφης αὐτοῦ, θανάτῳ θανατούσθωσαν ἀμφότεροι· ἠσεβήκασι γάρ, ἔνοχοί εἰσι.

Λευ. 20,12 - Εάν κανείς κοιμηθή με την νύμφην του, και οι δύο πρέπει να τιμωρηθούν με θάνατον. Διότι ησέβησαν και είναι ένοχοι.

Λευ. 20,13 - καὶ ὃς ἂν κοιμηθῇ μετά ἄρσενος κοίτην γυναικός, βδέλυγμα ἐποίησαν ἀμφότεροι· θανάτῳ θανατούσθωσαν, ἔνοχοί εἰσιν.

Λευ. 20,13 - Και εκείνος που εκοιμήθη με άρρενα, ως με γυναίκα, και οι δύο διέπραξαν μυσαράν αμαρτίαν. ΕΙναι ένοχοι και πρέπει να τιμωρηθούν με θάνατον.

Λευ. 20,14 - ὃς ἂν λάβῃ γυναῖκα καὶ τὴν μητέρα αὐτῆς, ἀνόμημά ἐστιν, ἐν πυρὶ κατακαύσουσιν αὐτὸν καὶ αὐτάς, καὶ οὐκ ἔσται ἀνομία ἐν ὑμῖν.

Λευ. 20,14 - Εκείνός που θα λάβη ως συζύγους κόρην και μητέρα, διαπράττει ανόμημα. Αυτός και εκείναι πρέπει να καούν, δια να μη υπάρχη τέτοια παρανομία μεταξύ σας.

Λευ. 20,15 - καὶ ὃς ἂν δῷ κοιτασίαν αὐτοῦ ἐν τετράποδι, θανάτῳ θανατούσθω, καὶ τὸ τετράπουν ἀποκτενεῖτε.

Λευ. 20,15 - Εκείνος ο οποίος θα διαπράξη κτηνοβασίαν, θα τιμωρηθή με θάνατον, το δε τετράποδον πρέπει να το φονεύσετε.

Λευ. 20,16 - καὶ γυνή, ἥτις προσελεύσεται πρὸς πᾶν κτῆνος βιβασθῆναι αὐτὴν ὑπ᾿ αὐτοῦ, ἀποκτενεῖτε τὴν γυναῖκα καὶ τὸ κτῆνος· θανάτῳ θανατούσθωσαν, ἔνοχοί εἰσιν.

Λευ. 20,16 - Η γυνή, η οποία ήθελε προσέλθει εις οιονδήποτε ζώον δια να αμαρτήση δι' αυτού, διαπράττει μεγάλην αμαρτίαν και πρέπει να θανατώσετε αυτήν και το κτήνος. Θα τιμωρηθούν δια θανάτου, διότι είναι ένοχοι.

Λευ. 20,17 - ὃς ἂν λάβῃ τὴν ἀδελφὴν αὐτοῦ ἐκ πατρὸς αὐτοῦ ἢ ἐκ μητρὸς αὐτοῦ καὶ ἴδῃ τὴν ἀσχημοσύνην αὐτῆς καὶ αὕτη ἴδῃ τὴν ἀσχημοσύνην αὐτοῦ, ὄνειδός ἐστιν, ἐξολοθρευθήσονται ἐνώπιον υἱῶν γένους αὐτῶν· ἀσχημοσύνην ἀδελφῆς αὐτοῦ ἀπεκάλυψεν, ἁμαρτίαν κομιοῦνται.

Λευ. 20,17 - Εκείνος ο οποίος ήθελε πλησιάσει την ομοπάτριον η ομομήτριον αδελφήν του δια να ίδη την ασχημοσύνην της και αυτή να ίδη την ασχημοσύνην εκείνου, διέπραξαν και οι δύο επονείδιστον πράξιν. Θα εξολοθρευθούν ενώπιον των συμπατριωτύν του, διότι αυτός απεκάλυψεν ο,τι δια λόγους αιδούς έπρεπε να είναι κεκρυμεμένον. Θα λάβουν την τιμωρίαν της αμαρτίας των.

Λευ. 20,18 - καὶ ἀνήρ, ὃς ἂν κοιμηθῇ μετὰ γυναικὸς ἀποκαθημένης καὶ ἀποκαλύψῃ τὴν ἀσχημοσύνην αὐτῆς, τὴν πηγὴν αὐτῆς ἀπεκάλυψε, καὶ αὕτη ἀπεκάλυψε τὴν ῥύσιν τοῦ αἵματος αὐτῆς· ἐξολοθρευθήσονται ἀμφότεροι ἐκ τῆς γενεᾶς αὐτῶν.

Λευ. 20,18 - Εάν κάποιος άνδρας κουμηθή μετά γυναικός, η οποία ευρίσκεται εις την έμμηνον περίοδόν της, και ξεσικεπάση την ασχημοσύνην αυτής, την πηγήν της εκροής του αίματος, και αυτή εκουσίως απεκάλυψε την ροήν του αίματος αυτής, θα εξολοθρευθούν και οι δύο εκ μέσου της γενεάς αυτών.

Λευ. 20,19 - καὶ ἀσχημοσύνην ἀδελφῆς πατρός σου καὶ ἀδελφῆς μητρός σου οὐκ ἀποκαλύψεις· τὴν γὰρ οἰκειότητα ἀπεκάλυψεν, ἁμαρτίαν ἀποίσονται.

Λευ. 20,19 - Δεν θα ξεσκεπάσης την ασχημοσύνην της αδελφής του πατρός σου η της αδελφής της μητρός σου, της θείας σου (δια να έλθης εις γάμον με αυτήν). Αυτός διαπράττει μεγάλην αμαρτίαν, διότι απογυμνώνει στενήν συγγενή του. Και οι δύο φέρουν την ευθύνην της ανομίας των.

Λευ. 20,20 - ὃς ἂν κοιμηθῇ μετὰ τῆς συγγενοῦς αὐτοῦ, ἀσχημοσύνην τῆς συγγενείας αὐτοῦ ἀπεκάλυψεν, ἄτεκνοι ἀποθανοῦνται.

Λευ. 20,20 - Οιοσδηποτε θα κοιμηθή με συγγενικόν πρόσωπον και θα αποκαλύψη την ασχημοσύνην του συγγενούς αυτού, αυτός και εκείνη θα αποθάνουν άτεκνοι.

Λευ. 20,21 - ὃς ἐὰν λάβῃ γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἀκαθαρσία ἐστίν· ἀσχημοσύνην τοῦ ἀδελφοῦ αὐτοῦ ἀπεκάλυψεν, ἄτεκνοι ἀποθανοῦνται.

Λευ. 20,21 - Εκείνος ο οποίος θα λάβη ως σύζυγον την γυναίκα του αδελφού του, διαπράττει ακάθαρτον πράξιν. Απεκάλυψε την ασχημοσύνην του αδελφού του. Αυτός και εκείνη θα αποθάνουν άτεκνοι.

Λευ. 20,22 - Καὶ φυλάξασθε πάντα τὰ προστάγματά μου, καὶ τὰ κρίματά μου καὶ ποιήσετε αὐτά, καὶ οὐ μὴ προσοχθίσῃ ὑμῖν ἡ γῆ, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ κατοικεῖν ἐπ᾿ αὐτῆς.

Λευ. 20,22 - Προσέχετε ! Θα φυλάξετε όλας τας εντολάς μου και θα εφαρμόσετε όλας τας αποφάσεις μου, δια να μη αγανακτήση και σας μισήση η γη, εις την οποίαν εγώ σας οδηγώ δια να κατοικήσετε εις αυτήν.

Λευ. 20,23 - καὶ οὐχὶ πορεύεσθε τοῖς νομίμοις τῶν ἐθνῶν, οὓς ἐξαποστέλλω ἀφ᾿ ὑμῶν· ὅτι ταῦτα πάντα ἐποίησαν, καὶ ἐβδελυξάμην αὐτούς.

Λευ. 20,23 - Δεν θα πορευθήτε σύμφωνα με τα έθιμα των εθνών, τα οποία εγώ εκδιώκω από το πρόσωπόν σας. Επειδή ακριβώς τα έθνη αυτά διέπραξαν τοιαύτας μυσαράς πράξεις, τα εμίσησα.

Λευ. 20,24 - καὶ εἶπα ὑμῖν· ὑμεῖς κληρονομήσετε τὴν γῆν αὐτῶν, καὶ ἐγὼ δώσω ὑμῖν αὐτὴν ἐν κτήσει, γῆν ῥέουσαν γάλα καὶ μέλι· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὃς διώρισα ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν.

Λευ. 20,24 - Και είπα προς σας· σεις θα κληρονομήσετε την χώρα των και εγώ θα δώσω εις σας ως ιδιοκτησίαν σας αυτήν, γην ρέουσαν γάλα και μέλι. Εγώ είμαι Κυριος ο Θεός σας, ο οποίος σας εξεχώρισα και σας εξέλεξα από όλα τα έθνη.

Λευ. 20,25 - καὶ ἀφοριεῖτε αὐτοὺς ἀνὰ μέσον τῶν κτηνῶν τῶν καθαρῶν καὶ ἀνὰ μέσον τῶν κτηνῶν τῶν ἀκαθάρτων καὶ ἀνὰ μέσον τῶν πετεινῶν τῶν καθαρῶν καὶ τῶν ἀκαθάρτων, καὶ οὐ βδελύξετε τὰς ψυχὰς ὑμῶν ἐν τοῖς κτήνεσι, καὶ ἐν τοῖς πετεινοῖς καὶ ἐν πᾶσι τοῖς ἑρπετοῖς τῆς γῆς, ἃ ἐγὼ ἀφώρισα ὑμῖν ἐν ἀκαθαρσίᾳ.

Λευ. 20,25 - Σεις δε θα διαχωρίσετε τα καθαρά ζώα από τα ακάθαρτα, τα καθαρά πτηνά από τα ακάθαρτα και δεν θα μολύνετε την ζωήν σας

τρώγοντες ακάθαρτα κτήνη και ακάθαρτα πτηνά και από όλα τα ερπετά της γης τα ακάθαρτα, τα οποία εγώ έχω ορίσει ως ακάθαρτα.

Λευ. 20,26 - καὶ ἔσεσθέ μοι ἅγιοι, ὅτι ἐγὼ ἅγιός εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἀφορίσας ὑμᾶς ἀπὸ πάντων τῶν ἐθνῶν, εἶναι ἐμοί.

Λευ. 20,26 - Θα είσθε άγιοι εις εμέ, διότι είμαι άγιος εγώ, ο Κυριος και ο Θεός σας, ο οποίος σας εξεχώρισα, από όλα τα έθνη, δια να είσθε ιδικοί μου.

Λευ. 20,27 - Καὶ ἀνὴρ ἢ γυνή, ὃς ἂν γένηται αὐτῶν ἐγγαστρίμυθος ἢ ἐπαοιδός, θανάτῳ θανατούσθωσαν ἀμφότεροι· λίθοις λιθοβολήσετε αὐτούς, ἔνοχοί εἰσι.

Λευ. 20,27 - Ανήρ η γυνή οι οποίοι ήθελον γίνει εγγαστρίμυθοι η μάγοι ψάλλοντες μαγικάς ωδάς, θα τιμωρηθούν και οι δύο δια θανάτου, θα τους εκτελέσετε δια λιθοβολισμού. Είναι ένοχοι.

ΛΕΥΙΤΙΚΟΝ 21

Λευ. 21,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν λέγων· εἶπον τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρὼν καὶ ἐρεῖς πρὸς αὐτούς· ἐν ταῖς ψυχαῖς οὐ μιανθήσονται ἐν τῷ ἔθνει αὐτῶν,

Λευ. 21,1 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “Λαλησε προς τους υιούς του Ααρών, τους ιερείς, και ειπέ προς αυτούς· Δεν πρέπει να μιανθούν και να καταστούν ακάθαρτοι πλησιάζοντες νεκρόν από τους ομοεθνείς των·

Λευ. 21,2 - ἀλλ᾽ ἢ ἐν τῷ οἰκείῳ τῷ ἔγγιστα αὐτῶν, ἐπὶ πατρὶ καὶ μητρὶ καὶ υἱοῖς καὶ θυγατράσιν, ἐπ᾽ ἀδελφῷ

Λευ. 21,2 - μόνον επί τω θανάτω των πολύ στενών συγγενών των, δηλαδή του πατρός, της μητρός, των υιών και θυγατέρων, του αδελφού των,

Λευ. 21,3 - καὶ ἐπ᾽ ἀδελφῇ παρθένῳ τῇ ἐγγιζούσῃ αὐτῷ, τῇ μὴ ἐκδεδομένῃ ἀνδρί, ἐπὶ τούτοις μιανθήσεται.

Λευ. 21,3 - της αδελφής των η οποία είναι παρθένος, μένει μαζή των και δεν έχει ακόμη υπανδρευθή, επιτρέπεται να μιανθούν πλησιάζοντες αυτούς ως νεκρούς.

Λευ. 21,4 - οὐ μιανθήσεται ἐξάπινα ἐν τῷ λαῷ αὐτοῦ εἰς βεβήλωσιν αὐτοῦ.

Λευ. 21,4 - Δεν επιτρέπεται κανείς από τους υιούς Ααρών τους ιερείς να μιανθή και να γίνη ακάθαρτος, βεβηλώνων έτσι το αξίωμά του, με το να πλησιάση άλλον τινά νεκρόν εκ του λαού.

Λευ. 21,5 - καὶ φαλάκρωμα οὐ ξυρηθήσεσθε τὴν κεφαλὴν ἐπὶ νεκρῷ καὶ τὴν ὄψιν τοῦ πώγωνος οὐ ξυρήσονται καὶ ἐπὶ τὰς σάρκας αὐτῶν οὐ κατατεμοῦσιν ἐντομίδας.

Λευ. 21,5 - Δεν θα ξυρίσουν την κεφαλήν των εις ένδειξιν πένθους δια τον θάνατον τινος, ούτε θα ξυρίσουν το έμπρασθεν από την γενειάδα των και δεν θα κάμουν εντομάς στο σώμα των.

Λευ. 21,6 - ἅγιοι ἔσονται τῷ Θεῷ αὐτῶν καὶ οὐ βεβηλώσουσι τὸ ὄνομα τοῦ Θεοῦ αὐτῶν· τὰς γὰρ θυσίας Κυρίου δῶρα τοῦ Θεοῦ αὐτῶν αὐτοὶ προσφέρουσι καὶ ἔσονται ἅγιοι.

Λευ. 21,6 - Πρέπει να είναι άγιοι αφιερωμένοι στον Θεόν και να μη μιαίνουν το όνομα του Θεού των με τοιαύτας νομικώς ακαθάρτους πράξεις, διότι αυτοί προσφέρουν τας αιματηράς και αναιμάκτους θυσίας προς τον Θεόν των. Δι' αυτό και πρέπει να είναι καθαροί και αμόλυντοι.

Λευ. 21,7 - γυναῖκα πόρνην καὶ βεβηλωμένην οὐ λήψονται καὶ γυναῖκα ἐκβεβλημένην ἀπὸ ἀνδρὸς αὐτῆς, ὅτι ἅγιός ἐστι Κυρίῳ τῷ Θεῷ αὐτοῦ.

Λευ. 21,7 - Οι ιερείς δεν θα νυμφευθούν γυναίκα πόρνην η και απλώς απωλέσασαν την τιμήν της η γυναίκα την οποίαν διεζεύχθη ο ανήρ της, διότι ο ιερεύς είναι άγιος, αφιερωμένος εις Κυριον τον Θεόν του.

Λευ. 21,8 - καὶ ἁγιάσεις αὐτόν. τὰ δῶρα Κυρίου τοῦ Θεοῦ ὑμῶν οὗτος προσφέρει· ἅγιος ἔσται, ὅτι ἅγιος ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.

Λευ. 21,8 - Αυτόν τον καθαρόν και αμόλυντον ιερέα θα αφιερώσης εις την υπηρεσίαν του Θεού. Αυτός θα προσφέρη τας θυσίας προς Κυριον τον Θεόν. Θα είναι άγιος, διότι και εγώ, τον οποίον αυτός υπηρετεί, είμαι άγιος Κυριος, και εγώ αγιάζω αυτούς.

Λευ. 21,9 - καὶ θυγάτηρ ἀνθρώπου ἱερέως ἐὰν βεβηλωθῇ τοῦ ἐκπορνεῦσαι, τὸ ὄνομα τοῦ πατρὸς αὐτῆς αὐτὴ βεβηλοῖ, ἐπὶ πυρὸς κατακαυθήσεται.

Λευ. 21,9 - Εάν θυγάτηρ ιερέως μολυνθή εκτραπείσα εις πορνείαν και κηλυδώση έτσι το όνομα του πατρός της, θα καταδικάζεται στον δια πυρός θάνατον.

Λευ. 21,10 - Καὶ ὁ ἱερεὺς ὁ μέγας ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, τοῦ ἐπικεχυμένου ἐπὶ τὴν κεφαλὴν τοῦ ἐλαίου τοῦ χριστοῦ καὶ τετελειωμένου ἐνδύσασθαι τὰ ἱμάτια, τὴν κεφαλὴν οὐκ ἀποκιδαρώσει καὶ τὰ ἱμάτια οὐ διαῤῥήξει,

Λευ. 21,10 - Ο μέγας όμως ιερεύς, ο αρχιερεύς μεταξύ όλου του λαού, εις την κεφαλήν του οποίου εχύθη το άγιον έλαιον και εχρίσθη και έγινε χριστός Κυρίου και κατέστη ικανός να ενδύεται τα αρχιερατικά άμφια, δεν θα αφαιρέση το κάλυμμα της κεφαλής του, δεν θα γυμνώση αυτήν εις ένδειξιν πένθους και δεν θα διαρρήξη τα ιμάτιά του.

Λευ. 21,11 - καὶ ἐπὶ πάσῃ ψυχῇ τετελευτηκυίᾳ οὐκ εἰσελεύσεται, ἐπὶ πατρὶ αὐτοῦ οὐδὲ ἐπὶ μητρὶ αὐτοῦ οὐ μιανθήσεται.

Λευ. 21,11 - Δεν θα πλησιάση κανένα απολύτως νεκρόν. Ούτε τον νεκρόν πατέρα του, ούτε την νεκράν μητέρα του, δια να μη μολυνθή και καταστή νομικώς ακάθαρτος πλησιάζων τα νεκρά σώματα εκείνων.

Λευ. 21,12 - καὶ ἐκ τῶν ἁγίων οὐκ ἐξελεύσεται καὶ οὐ βεβηλώσει τὸ ἡγιασμένον τοῦ Θεοῦ αὐτοῦ, ὅτι τὸ ἅγιον ἔλαιον τὸ χριστὸν τοῦ Θεοῦ ἐπ᾿ αὐτῷ· ἐγὼ Κύριος.

Λευ. 21,12 - Δεν θα εξέλθη από την περιοχήν των ιερών τόπων, δια να παρακολουθήση την κηδείαν, έστω και των γονέων του, δια να μη μολύνη το αγιαστήριον του Θεού του, διότι αυτός ως χριστός Κυρίου εχρίσθη με το άγιον έλαιον του Θεού, το οποίον εχύθη εις την κεφαλήν του και ευρίσκεται εις αυτόν. Εγώ ο Κυριος παραγγέλλω !

Λευ. 21,13 - οὗτος γυναῖκα παρθένον ἐκ τοῦ γένους αὐτοῦ λήψεται·

Λευ. 21,13 - Ο αρχιερεύς θα λάβη ως σύζυγον παρθένον εκ του γένους του.

Λευ. 21,14 - χήραν δὲ καὶ ἐκβεβλημένην καὶ βεβηλωμένην καὶ πόρνην, ταύτας οὐ λήψεται, ἀλλ᾿ ἢ παρθένον ἐκ τοῦ λαοῦ αὐτοῦ λήψεται γυναῖκα.

Λευ. 21,14 - Δεν θα νυμφευθή χήραν η διεζευμένην η απολέσααν την τιμήν της η πόρνην. Θα νυμφευθή παρθένον εκ του λαού του.

Λευ. 21,15 - καὶ οὐ βεβηλώσει τὸ σπέρμα αὐτοῦ ἐν τῷ λαῷ αὐτοῦ· ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτόν.

Λευ. 21,15 - Δεν θα μολύνη τους απογόνους του εγκαταλείπων υιούς από διαβεβλημένην σύζυγόν του. Εγώ είμαι ο Κυριος, ο οποίος αγιάζω και θέλω άγιον αυτόν".

Λευ. 21,16 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 21,16 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Λευ. 21,17 - εἶπον Ἀαρών· ἄνθρωπος ἐκ τοῦ γένους σου εἰς τὰς γενεὰς ὑμῶν, τινὶ ἐὰν ᾖ ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται προσφέρειν τὰ δῶρα τοῦ Θεοῦ αὐτοῦ.

Λευ. 21,17 - "ειπέ στον Ααρών· άνθρωπος από το γένος σου και εις τας μετέπειτα γενεάς, ο οποίος θα έχη κάποιο σωματικόν ελάττωμα, δεν θα προσέλθη να γίνη ιερεύς και να προσφέρη τας θυσίας προς τον Θεόν αυτού.

Λευ. 21,18 - πᾶς ἄνθρωπος, ᾧ ἐστιν ἐν αὐτῷ μῶμος, οὐ προσελεύσεται, ἄνθρωπος τυφλὸς ἢ χωλὸς ἢ κολοβόριν ἢ ὠτότμητος

Λευ. 21,18 - Καθε άνθρωπος, δηλαδή, από τους απογόνους του Ααρών, ο οποίος έχει κάποιο σωματικόν ελάττωμα, κάποιαν αναπηρίαν, ο οποίος είναι τυφλός η χωλός η έχει κολοβήν και αντιφυσιολογικώς μικράν την ρίνα η έχει κομμένα τα αυτιά,

Λευ. 21,19 - ἢ ἄνθρωπος, ᾧ ἂν ᾖ ἐν αὐτῷ σύντριμμα χειρός, ἢ σύντριμμα ποδὸς

Λευ. 21,19 - η άνθρωπος ο οποίος έχει σπασμένον το χέρι η σπασμένον το ποδί,

Λευ. 21,20 - ἢ κυρτὸς ἢ ἔφηλος ἢ πτίλλος τοὺς ὀφθαλμοὺς ἢ ἄνθρωπος, ᾧ ἂν ᾖ ἐν αὐτῷ ψώρα ἀγρία, ἢ λειχὴν ἢ μονόρχις,

Λευ. 21,20 - η είναι κύρτος η έχει στίγματα ωσάν καρφιά στο πρόσωπόν του η έχει πρησμένα και μαδημένα τα βλέφαρα η έχει, αγρίαν ψώραν η λειχήνας, η είναι μονόρχις,

Λευ. 21,21 - πᾶς ᾧ ἐστιν ἐν αὐτῷ μῶμος ἐκ τοῦ σπέρματος Ἀαρὼν τοῦ ἱερέως, οὐκ ἐγγιεῖ τοῦ προσενεγκεῖν τὰς θυσίας τῷ Θεῷ σου, ὅτι μῶμος ἐν αὐτῷ· τὰ δῶρα τοῦ Θεοῦ οὐ προσελεύσεται προσενεγκεῖν.

Λευ. 21,21 - οιοσδήποτε από τους απογόνους του Ααρών, ο οποίος έχει κάποιο σωματικόν ελάττωμα, δεν θα πλησιάση στο θυσιαστήριον, δια να προσφέρη θυσίας στον Θεόν, διότι έχει σωματικόν μειονέκτημα· όχι, δεν θα πλησιάση να προσφέρη τα δώρα του Θεού.

Λευ. 21,22 - τὰ δῶρα τοῦ Θεοῦ τὰ ἅγια τῶν ἁγίων, καὶ ἀπὸ τῶν ἁγίων φάγεται·

Λευ. 21,22 - Τα δώρα του Θεού είναι αγιώτατα, και από τα άγια αυτά επιτρέπεται να φάγη ο ιερεύς ο έχων σωματικόν ελάττωμα.

Λευ. 21,23 - πλὴν πρὸς τὸ καταπέτασμα οὐ προσελεύσεται καὶ πρὸς τὸ θυσιαστήριον οὐκ ἐγγιεῖ, ὅτι μῶμον ἔχει· καὶ οὐ βεβηλώσει τὸ ἅγιον τοῦ Θεοῦ αὐτοῦ, ὅτι ἐγώ εἰμι Κύριος ὁ ἁγιάζων αὐτούς.

Λευ. 21,23 - Αλλά δεν θα πλησιάση στο καταπέτασμα και δεν θα εγγίση στο θυσιαστήριον, διότι έχει σωματικήν αναπηρίαν. Δεν θα μολύνη τον ιερόν χώρον του Θεού του, διότι εγώ είμαι ο Κυριος ο οποίος αγιάζω τους ιερείς”.

Λευ. 21,24 - καὶ ἐλάλησε Μωυσῆς πρὸς Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ πρὸς πάντας υἱοὺς Ἰσραήλ.

Λευ. 21,24 - Αυτάς τας εντολάς του Θεού τας ανεκοίνωσεν ο Μωϋσής στον Ααρών, στους υιούς του Ααρών και εις όλους τους Ισραηλίτας.

## ΛΕΥΙΤΙΚΟΝ 22

Λευ. 22,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 22,1 - Ο Κυριος ομίλησε προς τον Μωϋσήν λέγων·

Λευ. 22,2 - εἶπον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ· καὶ προσεχέτωσαν ἀπὸ τῶν ἁγίων τῶν υἱῶν Ἰσραήλ, καὶ οὐ βεβηλώσουσι τὸ ὄνομα τὸ ἅγιόν μου, ὅσα αὐτοὶ ἁγιάζουσί μοι· ἐγὼ Κύριος.

Λευ. 22,2 - “ειπέ στον Ααρών και τους υιούς του τους ιερείς· Να προσέχουν τας θυσίας, τας οποίας προσφέρουν οι Ισραηλίται, ώστε να είναι καθαραί και άγιαι, δια να μη μολύνουν το άγιον όνομά μου με όσα αυτοί θα μου προσφέρουν. Εγώ είμαι ο Κυριος !

Λευ. 22,3 - εἶπον αὐτοῖς· εἰς τὰς γενεὰς ὑμῶν πᾶς ἄνθρωπος, ὃς ἂν προσέλθῃ ἀπὸ παντὸς τοῦ σπέρματος ὑμῶν πρὸς τὰ ἅγια, ὅσα ἂν

ἁγιάζωσιν οἱ υἱοὶ Ἰσραὴλ τῷ Κυρίῳ, καὶ ἡ ἀκαθαρσία αὐτοῦ ἐπ᾽ αὐτῷ ᾖ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἀπ᾽ ἐμοῦ· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 22,3 - Ειπέ εις αυτούς· εάν εις τας δια μέσου των αιώνων γενεάς σας ένας άνθρωπος εκ των απογόνων της ιερατικής φυλής σας προσέλθη προς τα Αγια της Σκηνής του Μαρτυρίου, δια να προσφέρη τας θυσίας, τας οποίας οι Ισραηλίται φέρουν δια τον Θεόν, και είναι αυτός ακάθαρτος, θα εξολοθρευθή ο ιερεύς εκείνος από εμέ. Εγώ είμαι Κυριος ο Θεός σας, ο οποίος διατάσσω αυτά.

Λευ. 22,4 - καὶ ἄνθρωπος ἐκ τοῦ σπέρματος Ἀαρὼν τοῦ ἱερέως καὶ οὗτος λεπρᾷ ἢ γονοῤῥυεῖ, τῶν ἁγίων οὐκ ἔδεται, ἕως ἂν καθαρισθῇ· καὶ ὁ ἁπτόμενος πάσης ἀκαθαρσίας ψυχῆς ἢ ἄνθρωπος, ᾧ ἂν ἐξέλθῃ ἐξ αὐτοῦ κοίτη σπέρματος,

Λευ. 22,4 - Ανθρωπος, απόγονος του αρχιερέως Ααρών, λεπρός η γονορρυής, δεν θα φάγη από τας αγίας θυσίας, μέχρις ότου καθαρισθή. Εκείνος επίσης ο οποίος εγγίζει ακάθαρτον άνθρωπον η ο ίδιος είναι ακάθαρτος, διότι έπαθε νυκτερινήν ρεύσιν,

Λευ. 22,5 - ἢ ὅστις ἂν ἅψηται παντὸς ἑρπετοῦ ἀκαθάρτου, ὃ μιανεῖ αὐτόν, ἢ ἐπ᾽ ἀνθρώπῳ, ἐν ᾧ μιανεῖ αὐτὸν κατὰ πᾶσαν ἀκαθαρσίαν αὐτοῦ·

Λευ. 22,5 - η εκείνος ο οποίος θα εγγίση οιονδήποτε ακάθαρτον ζώον, το οποίον θα μολύνη αυτόν η άνθρωπος ο οποίος κατά κάποιον οιονδήποτε τρόπον κατέστη ακάθαρτος και μολυσμένος από κάποιον άλλον,

Λευ. 22,6 - ψυχὴ ἥτις ἐὰν ἅψηται αὐτῶν, ἀκάθαρτος ἔσται ἕως ἑσπέρας· οὐκ ἔδεται ἀπὸ τῶν ἁγίων, ἐὰν μὴ λούσηται τὸ σῶμα αὐτοῦ ὕδατι

Λευ. 22,6 - Ο άνθρωπος αυτός ο οποίος, έστω και ακουσίως, ήγγισεν αυτούς, θα είναι ακάθαρτος έως την εσπέραν. Δεν θα φάγη από τα προσφερθέντα άγια, εάν πρώτον δεν λούση το σώμα αυτού με νερό.

Λευ. 22,7 - καὶ δύῃ ὁ ἥλιος καὶ καθαρὸς ἔσται, καὶ τότε φάγεται τῶν ἁγίων, ὅτι ἄρτος αὐτοῦ ἐστι.

Λευ. 22,7 - Θα δύση ο ήλιος και τότε αυτός θα είναι καθαρός, οπότε και θα δυνηθή να φάγη από τας προσφερθείσας θυσίας διότι αυταί είναι η καθημερινή του διατροφή.

Λευ. 22,8 - θνησιμαῖον καὶ θηριάλωτον οὐ φάγεται, μιανθῆναι αὐτὸν ἐν αὐτοῖς· ἐγὼ Κύριος.

Λευ. 22,8 - Θνησιμαίον και ζώον κατασπαραχθέν από θηρίον δεν θα φάγη ο ιερεύς, δια να μη μολυνθή με αυτά. Εγώ είμαι ο Κυριος !

Λευ. 22,9 - καὶ φυλάξονται τὰ φυλάγματά μου, ἵνα μὴ λάβωσι δι᾽ αὐτὰ ἁμαρτίαν καὶ ἀποθάνωσι δι᾽ αὐτά, ἐὰν βεβηλώσωσιν αὐτά· ἐγὼ Κύριος ὁ Θεὸς ὁ ἁγιάζων αὐτούς.

Λευ. 22,9 - Θα φυλάξουν τα προστάγματά μου, δια να μη διαπράξουν αμαρτίαν και τιμωρηθούν με θάνατον, εάν τα παραβούν. Εγώ είμαι Κυριος ο Θεός, ο οποίος καθιστώ και θέλω αγίους τους ιερείς.

Λευ. 22,10 - καὶ πᾶς ἀλλογενὴς οὐ φάγεται ἅγια· πάροικος ἱερέως ἢ μισθωτὸς οὐ φάγεται ἅγια.

Λευ. 22,10 - Κανένας που δεν κατάγεται από ιερατικόν γένος, δεν θα φάγη από τας αγιασθείσας αυτάς τροφάς ούτε ο φιλοξενούμενος ξένος του ιερέως ούτε ο ημερομίσθιος εργάτης θα φάγη ιεράς τροφάς.

Λευ. 22,11 - ἐὰν δὲ ἱερεὺς κτήσηται ψυχὴν ἔγκτητον ἀργυρίου, οὗτος φάγεται ἐκ τῶν ἄρτων αὐτοῦ· καὶ οἱ οἰκογενεῖς αὐτοῦ, καὶ οὗτοι φάγονται τὸν ἄρτον αὐτοῦ.

Λευ. 22,11 - Εάν όμως ο ιερεύς αγοράση δια χρημάτων και αποκτήση άνθρωπον ως δούλον, αυτός ημπορεί να φάγη από τας ηγιασμένας τροφάς του ιερέως. Επίσης όσοι, γεννηθούν στον οίκον του ιερέως από τον δούλον του και θα είναι δούλοι του ημπορούν να φάγουν από τας τροφάς αυτάς.

Λευ. 22,12 - καὶ θυγάτηρ ἀνθρώπου ἱερέως ἐὰν γένηται ἀνδρὶ ἀλλογενεῖ, αὐτὴ τῶν ἀπαρχῶν ἁγίου οὐ φάγεται.

Λευ. 22,12 - Θυγάτηρ ιερέως, η οποία ήθελεν υπανδρευθή άνδρα μη ανείκοντα εις την φυλήν Λευϊ, δεν δύναται να φάγη από τας προσφερομένας στον ναόν θυσίας.

Λευ. 22,13 - καὶ θυγάτηρ ἱερέως ἐὰν γένηται χήρα ἢ ἐκβεβλημένη, σπέρμα δὲ μὴ ᾖ αὐτῇ, ἐπαναστρέψει ἐπὶ τὸν οἶκον τὸν πατρικὸν κατὰ τὴν νεότητα αὐτῆς, ἀπὸ τῶν ἄρτων τοῦ πατρὸς αὐτῆς φάγεται· καὶ πᾶς ἀλλογενὴς οὐ φάγεται ἀπ᾿ αὐτῶν.

Λευ. 22,13 - Εάν όμως η θυγάτηρ του ιερέως χηρεύση η διαζευχθή, δεν έχη δε αποκτήσει παιδί και επιστρέψη στον πατρικόν της οίκον, δύναται να φάγη από την τροφήν του πατρός της. Αλλά κανείς μη ανήκων εις την ιερατικήν οικογένειαν, κανείς δηλαδή εξ άλλης φυλής, δεν πρέπει να φάγη από αυτά.

Λευ. 22,14 - καὶ ἄνθρωπος, ὃς ἂν φάγῃ ἅγια κατ᾿ ἄγνοιαν, καὶ προσθήσει τὸ ἐπίπεμπτον αὐτοῦ ἐπ᾿ αὐτὸ καὶ δώσει τῷ ἱερεῖ τὸ ἅγιον.

Λευ. 22,14 - Ο Ισραηλίτης, ο οποίος από άγνοιαν θα φάγη από τας αγίας τροφάς του ιερέως, θα επιστρέψη την τροφήν αυτήν, προσθέτων ως πρόστιμον το εν πέμπτον επί πλέον της τροφής και θα τα δώση στον ιερέα.

Λευ. 22,15 - καὶ οὐ βεβηλώσουσι τὰ ἅγια τῶν υἱῶν Ἰσραήλ, ἃ αὐτοὶ ἀφαιροῦσι τῷ Κυρίῳ,

Λευ. 22,15 - Δεν πρέπει όσοι δεν είναι ιερείς να τρώγουν και να βεβηλώνουν έτσι τας ηγιασμένας προσφοράς, τας οποίας οι Ισραηλίται αφιερώνουν στον Κυριον,

Λευ. 22,16 - καὶ ἐπάξουσιν ἐφ᾽ ἑαυτοὺς ἀνομίαν πλημμελείας ἐν τῷ ἐσθίειν αὐτοὺς τὰ ἅγια αὐτῶν· ὅτι ἐγὼ Κύριος ὁ ἁγιάζων αὐτούς.

Λευ. 22,16 - διότι άλλως θα επισύρουν την τιμωρίαν εκ μέρους του Θεού δια την παρανομίαν των αυτήν και την αμαρτίαν των να φάγουν τας ηγιασμένας τροφάς. Εγώ είμαι Κυριος ο Θεός, ο οποίος αγιάζω τους ιερείς και διατάσσω αυτά”.

Λευ. 22,17 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 22,17 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Λευ. 22,18 - λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ καὶ πάσῃ συναγωγῇ Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἄνθρωπος ἄνθρωπος ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἢ τῶν προσηλύτων τῶν προσκειμένων πρὸς αὐτοὺς ἐν Ἰσραήλ, ὃς ἂν προσενέγκῃ τὰ δῶρα αὐτοῦ κατὰ πᾶσαν ὁμολογίαν αὐτῶν ἢ κατὰ πᾶσαν αἵρεσιν αὐτῶν, ὅσα ἂν προσενέγκωσι τῷ Θεῷ εἰς ὁλοκαύτωμα,

Λευ. 22,18 - “ομίλησε προς τον Ααρών, προς τους υιούς του τους ιερείς και προς όλον τον λαόν του Ισραήλ και ειπέ προς αυτούς· Εάν ένας άνθρωπος από τους Ισραηλίτας η από τους ξένους οι οποίοι κατοικούν μεταξύ σας προσφέρη την θυσίαν αυτού δι' οιονδήποτε τάξιμόν του η δια χάποιαν άλλην αυτοπροαίρετον προσφοράν, αυτά τα οποία θα προσφέρουν οι ιερείς ως ολοκαυτώματα προς τον Κυριον

Λευ. 22,19 - δεκτὰ ὑμῖν ἄμωμα ἄρσενα ἐκ τῶν βουκολίων ἢ ἐκ τῶν προβάτων καὶ ἐκ τῶν αἰγῶν.

Λευ. 22,19 - θα γίνωνται δεκτά από σας, εάν είναι άρρενα χωρίς κανένα σωματικόν ελάττωμα από την αγέλην των βοών η των προβάτων η των αιγών σας.

Λευ. 22,20 - πάντα, ὅσα ἂν ἔχῃ μῶμον ἐν αὐτῷ, οὐ προσάξουσι Κυρίῳ, διότι οὐ δεκτὸν ἔσται ὑμῖν.

Λευ. 22,20 - Εάν κανένα από αυτά έχη σωματικόν τι ελάττωμα, δεν θα το προσφέρουν στον Κυριον, διότι δεν θα γίνεται δεκτόν από σας.

Λευ. 22,21 - καὶ ἄνθρωπος ὃς ἂν προσενέγκῃ θυσίαν σωτηρίου τῷ Κυρίῳ διαστείλας εὐχὴν ἢ κατὰ αἵρεσιν ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν, ἐκ τῶν βουκολίων ἢ ἐκ τῶν προβάτων ἄμωμον ἔσται εἰσδεκτόν, πᾶς μῶμος οὐκ ἔσται ἐν αὐτῷ.

Λευ. 22,21 - Ανθρωπος, ο οποίος θα προσφέρη ειρηνικήν ευχαριστήριον θυσίαν προς τον Κυριον εις εκτέλεσιν ταξίματός του η άλλης τινός καλής επιθυμίας του η λόγω των εορτών σας, το προσφερόμενον προς θυσίαν ζώον από την αγέλην των βοών η των προβάτων θα γίνεται δεκτόν από σας, εφ' όσον θα είναι σωματικώς αρτιμελές. Ουδέν ελάττωμα πρέπει να υπάρχη εις αυτό.

Λευ. 22,22 - τυφλὸν ἢ συντετριμμένον ἢ γλωσσότμητον ἢ μυρμηκιῶντα ἢ ψωραγριῶντα ἢ λειχῆνας ἔχοντα, οὐ προσάξουσι ταῦτα τῷ Κυρίῳ. καὶ εἰς

κάρπωσιν οὐ δώσετε ἀπ᾽ αὐτῶν ἐπὶ τὸ θυσιαστήριον τῷ Κυρίῳ.

Λευ. 22,22 - Ζώον τυφλόν η έχον κάταγμα η κομμένην την γλώσσαν, πάσχον από φαγούραν η από αγρίαν ψώραν η έχει λειχήνας, δεν θα προσφέρουν τέτοια ζώα στον Κυριον. Δεν θα τα δώσετε να θυσιασθούν στο θυσιαστήριον των ολοκαυτωμάτων ως πρόσφοράν στον Κυριον.

Λευ. 22,23 - καὶ μόσχον ἢ πρόβατον ὠτότμητον ἢ κολοβόκερκον σφάγια ποιήσεις αὐτὰ σεαυτῷ, εἰς δὲ εὐχήν σου οὐ δεχθήσεται.

Λευ. 22,23 - Μοσχάρι η πρόβατον που έχουν κομμένα τα αυτιά των η κολοβήν την ουράν των θα τα δεχθήτε και θα τα σφάξετε ως τροφήν ιδικήν σας. Ως θυσίαν όμως δια το τάξιμόν σου δεν θα γίνωνται δεκτά.

Λευ. 22,24 - θλαδίαν καὶ ἐκτεθλιμμένον καὶ ἐκτομίαν καὶ ἀπεσπασμένον οὐ προσάξεις αὐτὰ τῷ Κυρίῳ καὶ ἐπὶ τῆς γῆς ὑμῶν οὐ ποιήσετε.

Λευ. 22,24 - Ζώον του οποίου οι όρχεις είναι ολίγον η πολύ σπασμένοι δια συνθλίψεως η κομμένοι η απεσπασμένοι, δεν θα το προσφέρης στον Κυριον και εις την περιοχήν που κατοικείτε δεν θα κάμνετε σεις δι' ευνουχισμού τέτοια ζώα.

Λευ. 22,25 - καὶ ἐκ χειρὸς ἀλλογενοῦς οὐ προσοίσετε τὰ δῶρα τοῦ Θεοῦ ὑμῶν ἀπὸ πάντων τούτων, ὅτι φθάρματά ἐστιν ἐν αὐτοῖς, μῶμος ἐν αὐτοῖς, οὐ δεχθήσεται ταῦτα ὑμῖν.

Λευ. 22,25 - Και από τα χέρια ξένου δεν θα δεχθήτε τέτοια ζώα, δια να τα προσφέρετε θυσίαν στον Θεόν, διότι αυτά έχουν υποστή φθοράν, ακρωτηριασμόν· υπάρχει σωματικόν ελάττωμα εις αυτά. Δεν θα τα δεχθήτε, δια να τα προσφέρετε θυσίαν".

Λευ. 22,26 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 22,26 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Λευ. 22,27 - μόσχον ἢ πρόβατον ἢ αἶγα, ὡς ἂν τεχθῇ, καὶ ἔσται ἑπτὰ ἡμέρας ὑπὸ τὴν μητέρα, τῇ δὲ ἡμέρᾳ τῇ ὀγδόῃ καὶ ἐπέκεινα δεχθήσεται εἰς δῶρα, κάρπωμα Κυρίῳ.

Λευ. 22,27 - "μοσχάρι η πρόβατον η, ερίφιον, όταν γεννηθή, θα μείνη επτά ημέρας κοντά εις την μητέρα του. Από την ογδόην ημέραν και πέραν δύναται να προσφερθή και να γίνη δεκτόν ως θυσία δια τον Κυριον.

Λευ. 22,28 - καὶ μόσχον καὶ πρόβατον, αὐτὴν καὶ τὰ παιδία αὐτῆς, οὐ σφάξεις ἐν ἡμέρᾳ μιᾷ.

Λευ. 22,28 - Μοσχάρι και πρόβατον, την μητέρα και τα τέκνα της δεν θα τα σφάξης κατά την αυτήν ημέραν.

Λευ. 22,29 - ἐὰν δὲ θύσῃς θυσίαν εὐχὴν χαρμοσύνην Κυρίῳ, εἰσδεκτὸν ὑμῖν θύσετε αὐτό·

Λευ. 22,29 - Εάν προσφέρης θυσίαν στον Κυριον εις εκπλήρωσιν χαρμοσύνου τάματος, θα την προσφέρης κατά τον πρέποντα τρόπον, ώστε να γίνη δεκτή από τον Θεόν.

Λευ. 22,30 - αὐτῇ τῇ ἡμέρᾳ ἐκείνῃ βρωθήσεται, οὐκ ἀπολείψετε ἀπὸ τῶν κρεῶν εἰς τὸ πρωΐ· ἐγώ εἰμι Κύριος.

Λευ. 22,30 - Θα φαγωθή η θυσία αυτή κατά την ημέραν, κατά την οποίαν και θα προσφερθή. Δεν θα αφήσετε υπολείμματα από τα κρέατα αυτά έως το πρωί της επομένης ημέρας. Εγώ είμαι ο Κυριος!

Λευ. 22,31 - Καὶ φυλάξετε τὰς ἐντολάς μου καὶ ποιήσετε αὐτάς.

Λευ. 22,31 - Θα φυλάξετε τας εντολάς μου και θα τας εφαρμόσετε.

Λευ. 22,32 - καὶ οὐ βεβηλώσετε τὸ ὄνομα τοῦ ἁγίου, καὶ ἁγιασθήσομαι ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ· ἐγὼ Κύριος ὁ ἁγιάζων ὑμᾶς,

Λευ. 22,32 - Τηρούντες αυτάς δεν θα μολύνετε το άγιον όνομά μου. Ετσι θα είμαι άγιος μεταξύ σας και θα δοξάζωμαι από τους Ισραηλίτας. Εγώ είμαι ο Κυριος, ο οποίος σας ηγίασα και σας καθιέρωσα εις την διακονίαν μου.

Λευ. 22,33 - ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, ὥστε εἶναι ὑμῶν Θεός, ἐγὼ Κύριος.

Λευ. 22,33 - Εγώ είμαι εκείνος, ο οποίος σας έβγαλα από την δουλείαν της Αιγύπτου, ώστε να είμαι ο Θεός σας. Εγώ είμαι ο Κυριος.

## ΛΕΥΙΤΙΚΟΝ 23

Λευ. 23,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 23,1 - Ο Κυριος ώμιλησε προς τον Μωϋσήν λέγων·

Λευ. 23,2 - λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· αἱ ἑορταὶ Κυρίου, ἃς καλέσετε αὐτὰς κλητὰς ἁγίας, αὗταί εἰσιν αἱ ἑορταί μου.

Λευ. 23,2 - “ομίλησε προς τους Ισραηλίτας και ειπέ προς αυτούς· Αι προς τιμήν του Κυρίου εορταί, τας οποίας θα αναγνωρίσετε ως καθιερωμένας αγίας εορτάς, είναι αι εξής·

Λευ. 23,3 - ἓξ ἡμέρας ποιήσεις ἔργα, τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα ἀνάπαυσις κλητὴ ἁγία τῷ Κυρίῳ· πᾶν ἔργον οὐ ποιήσεις, σάββατά ἐστι τῷ Κυρίῳ ἐν πάσῃ κατοικίᾳ ὑμῶν.

Λευ. 23,3 - εξ ημέρας θα εργάζεσαι, η δε εβδόμη ημέρα θα είναι δια σε σάβατα, δηλαδή ανάπαυσις. Η ημέρα αυτή θα είναι αγία, καθιερωμένη στον Κυριον. Κατά την ημέραν αυτήν καμμίαν εργασίαν δεν θα κάμης, διότι θα είναι ανάπαυσις προς χάριν του Κυρίου εις όλους τους οίκους σας.

Λευ. 23,4 - Αὗται αἱ ἑορταὶ τῷ Κυρίῳ κληταὶ ἅγιαι, ἃς καλέσετε αὐτὰς ἐν τοῖς καιροῖς αὐτῶν.

Λευ. 23,4 - Αυταί είναι αι εορταί, αι προς τιμήν του Κυρίου, αι οποίαι θα είναι καθωρισμέναι άγιαι και τας οποίας θα τηρήτε και θα εορτάζετε στους ορισμένους δι' αυτάς καιρούς.

Λευ. 23,5 - ἐν τῷ πρώτῳ μηνὶ ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνός, ἀνὰ μέσον τῶν ἑσπερινῶν πάσχα τῷ Κυρίῳ.

Λευ. 23,5 - Κατά την δεκάτην τετάρτην του πρώτου μηνός, την εσπέραν, θα εορτάζετε το Πασχα προς τιμήν του Κυρίου.

Λευ. 23,6 - καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτὴ τῶν ἀζύμων τῷ Κυρίῳ· ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε.

Λευ. 23,6 - Κατά την δεκάτην πέμπτην ημέραν του ιδίου μηνός θα είναι η εορτή των αζύμων προς τιμήν του Κυρίου. Επί επτά ημέρας θα τρώγετε άρτον χωρίς προζύμι.

Λευ. 23,7 - καὶ ἡμέρα ἡ πρώτη κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε·

Λευ. 23,7 - Η πρώτη ημέρα θα είναι δια σας αφιερωμένη προς τον Κυριον και αγία. Καμμίαν εργασίαν δεν θα κάμετε κατά την ημέραν αυτήν.

Λευ. 23,8 - καὶ προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ ἑπτὰ ἡμέρας· καὶ ἡ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

Λευ. 23,8 - Κατά τας επτά ημέρας θα προσφέρετε στον Κυριον τας θυσίας των ολοκαυτωμάτων. Η εβδόμη ημέρα θα είναι δια σας επίσης καθιερωμένη προς τον Θεόν, αγία. Καμμίαν βαρείαν εργασίαν δεν θα κάμετε κατά την ημέραν αυτήν".

Λευ. 23,9 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 23,9 - Ο Κυριος ελάλησε προς τον Μωϋσήν λέγων·

Λευ. 23,10 - εἶπον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ὅταν εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ θερίζητε τὸν θερισμὸν αὐτῆς, καὶ οἴσετε τὸ δράγμα ἀπαρχὴν τοῦ θερισμοῦ ὑμῶν πρὸς τὸν ἱερέα·

Λευ. 23,10 - "ομίλησε προς τους Ισραηλίτας και ειπέ προς αυτούς· Οταν εισέλθετε εις την γην, την οποίαν εγώ σας δίδω και θα θερίζετε τα σιτηρά αυτής, θα φέρετε στον ιερέα προς ευλογίαν ένα δεμάτι, απαρχήν του θερισμού σας.

Λευ. 23,11 - καὶ ἀνοίσει τὸ δράγμα ἔναντι Κυρίου δεκτὸν ὑμῖν, τῇ ἐπαύριον τῆς πρώτης ἀνοίσει αὐτὸ ὁ ἱερεύς.

Λευ. 23,11 - Ο δε ιερεύς θα προσφέρη το δεμάτι αυτό ενώπιον του Κυρίου, δια να γίνη δεκτόν από αυτόν προς χάριν ιδικήν σας. Θα το προσφέρ δε την επομένην ημέραν της πρώτης του Πασχα.

Λευ. 23,12 - καὶ ποιήσετε ἐν τῇ ἡμέρᾳ, ἐν ᾗ ἂν φέρητε τὸ δράγμα, πρόβατον ἄμωμον ἐνιαύσιον εἰς ὁλοκαύτωμα τῷ Κυρίῳ.

Λευ. 23,12 - Την ημέραν, κατά την οποίαν θα φέρετε το δεμάτι αυτό, θα προσφέρετε και ως ολοκαύτωμα δια τον Κυριον πρόβατον ενός έτους, αρτιμελές.

Λευ. 23,13 - καὶ τὴν θυσίαν αὐτοῦ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ· θυσία τῷ Κυρίῳ, ὀσμὴ εὐωδίας Κυρίῳ· καὶ

σπονδὴν αὐτοῦ τὸ τέταρτον τοῦ εἲν οἴνου.

Λευ. 23,13 - Μαζή με αυτό θα προσφέρετε ως αναίμακτον θυσίαν προς τον Κυριον δύο δέκατα (επτά και ήμισυ περίπου κιλά) σημιγδάλι ζυμωμένον με λάδι. Είναι αυτό θυσία προς τον Κυριον, ευάρεστος οσμή ευωδίας προς αυτόν. Και ως σπονδήν θα προσφέρετε ένα τέταρτον του ειν (ένα και ήμισυ περίπου χιλιόγραμμον) οίνου.

Λευ. 23,14 - καὶ ἄρτον καὶ πεφρυγμένα χίδρα νέα οὐ φάγεσθε ἕως εἰς αὐτὴν τὴν ἡμέραν ταύτην, ἕως ἂν προσενέγκητε ὑμεῖς τὰ δῶρα τῷ Θεῷ ὑμῶν· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ κατοικίᾳ ὑμῶν.

Λευ. 23,14 - Μέχρι δε της ημέρας κατά την οποίαν θα προσφέρετε αυτά τα δώρα προς τον Θεόν σας, δεν θα φάγετε νέον άρτον ούτε ξεροψημένο χονδροκομμένο φρέσκο σιτάρι. Η εντολή μου αυτή θα είναι αιώνιος νόμος εις όλας τας γενεάς σας και εις κάθε κατοικίαν σας.

Λευ. 23,15 - Καὶ ἀριθμήσετε ὑμῖν ἀπὸ τῆς ἐπαύριον τῶν σαββάτων, ἀπὸ τῆς ἡμέρας ἧς ἂν προσενέγκητε τὸ δράγμα τοῦ ἐπιθέματος, ἑπτὰ ἑβδομάδας ὁλοκλήρους,

Λευ. 23,15 - Θα μετρήσετε από την επομένην της προς ανάπαυσιν ημέρας εκείνης, κατά την οποίαν προσεφέρατε και παρεθέσατε ενώπιον του Κυρίου το δεμάτι επτά ολοκλήρους εβδομάδας.

Λευ. 23,16 - ἕως τῆς ἐπαύριον τῆς ἐσχάτης ἑβδομάδος ἀριθμήσετε πεντήκοντα ἡμέρας καὶ προσοίσετε θυσίαν νέαν τῷ Κυρίῳ.

Λευ. 23,16 - Αι ημέραι αυταί υπολογιζομεναι μέχρι της επομένης ημέρας της τελευταίας εβδομάδος είναι πεντήκοντα. Κατά την πεντηκοστήν αυτήν ημέραν θα προσφέρετε νέαν θυσίαν στον Κυριον.

Λευ. 23,17 - ἀπὸ τῆς κατοικίας ὑμῶν προσοίσετε ἄρτους ἐπίθεμα, δύο ἄρτους· ἐκ δύο δεκάτων σεμιδάλεως ἔσονται, ἐζυμωμένοι πεφθήσονται πρωτογεννημάτων τῷ Κυρίῳ.

Λευ. 23,17 - Από τον οίκον σας δηλαδή, θα προσφέρετε ως θυσίαν παρουσιάσεως προς τον Κυριον δύο άρτους· αυτοί θα είναι ζυμωμένοι με δύο δέκατα σημιγδάλι (επτά και ήμισυ περίπου κιλά) και ψημένοι, από τα πρωτογεννήματα του αγρού σας, χάριν του Κυρίου.

Λευ. 23,18 - καὶ προσάξετε μετὰ τῶν ἄρτων ἑπτὰ ἀμνοὺς ἀμώμους ἐνιαυσίους καὶ μόσχον ἕνα ἐκ βουκολίου καὶ κριοὺς δύο ἀμώμους, καὶ ἔσονται ὁλοκαύτωμα τῷ Κυρίῳ καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν θυσία ὀσμὴ εὐωδίας τῷ Κυρίῳ.

Λευ. 23,18 - Μαζή με τους άρτους αυτούς θα προσφέρετε επτά αμνούς, ενός έτους έκαστον και χωρίς κανένα σωματικόν ελάττωμα, ένα μοσχάρι από την αγέλην των βοών και δύο κριους χωρίς κανένα σωματικόν ελάττωμα. Αυτά θα προσφερθούν ως θυσία ολοκαυτώματος προς τον Κυριον· και αι αναίμακτοι θυσίαι και αι μαζή με αυτάς σπονδαί του οίνου θα είναι θυσίαι ευάρεστοι εις οσμήν ευωδίας προς τον Κυριον.

Λευ. 23,19 - καὶ ποιήσουσι χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας καὶ δύο ἀμνοὺς ἐνιαυσίους εἰς θυσίαν σωτηρίου μετὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος·

Λευ. 23,19 - Μαζή με τους άρτους των πρωτογεννημάτων του θερισμού θα προσφέρουν ως θυσίαν περί αμαρτίας ένα τράγον και δύο αμνούς ενός έτους έκαστον ως θυσίαν περί σωτηρίας.

Λευ. 23,20 - καὶ ἐπιθήσει αὐτὰ ὁ ἱερεὺς μετὰ τῶν ἄρτων τοῦ πρωτογεννήματος ἐπίθεμα ἐναντίον Κυρίου μετά τῶν δύο ἀμνῶν· ἅγια ἔσονται τῷ Κυρίῳ, τῷ ἱερεῖ τῷ προσφέροντι αὐτὰ αὐτῷ ἔσται.

Λευ. 23,20 - Αυτά, θα τα προσφέρη ο ιερεύς μαζή με τους άρτους των πρωτογεννημάτων, οι οποίοι θα προσφερθούν ως θυσία παρουσιάσεως ενώπιον του Κυρίου μαζή με τους δύο αμνούς, θα είναι άγια ενώπιον του Θεού, θα ανήκουν δε στον ιερέα, ο οποίος τα προσέφερε.

Λευ. 23,21 - καὶ καλέσετε ταύτην τὴν ἡμέραν κλητήν· ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσῃ τῇ κατοικίᾳ ὑμῶν.

Λευ. 23,21 - Θα έχετε και θα θεωρήτε την ημέραν αυτήν ως επίσημον και καθιερωμένην. Θα είναι αγία δια σας και κατ' αυτήν δεν θα κάμετε καμμίαν βαρείαν εργασίαν. Το προσταγμά μου αυτό θα είναι αιώνιος νόμος εις τας γενεάς σας και εις κάθε κατοικίαν σας.

Λευ. 23,22 - καὶ ὅταν θερίζητε τὸν θερισμὸν τῆς γῆς ὑμῶν, οὐ συντελέσετε τὸ λοιπὸν τοῦ θερισμοῦ τοῦ ἀγροῦ σου ἐν τῷ θερίζειν σε καὶ τὰ ἀποπίπτοντα τοῦ θερισμοῦ σου οὐ συλλέξεις, τῷ πτωχῷ καὶ τῷ προσηλύτῳ ὑπολείψεις αὐτά· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 23,22 - Οταν θα θερίζετε τα σιτηρά της γης σας, δεν θα ολοκληρώσετε τον θερισμόν του αγρού σας επιστρέφοντες δια να θερίσετε τα απολειφθέντα στάχυα η δια να συλλέξετε όσα έπεσαν εις την γην. Αυτά θα τα αφήσης δια τον πτωχόν και τον ξένον. Εγώ είμαι Κυριος ο Θεός, που δίδω αυτήν την εντολήν".

Λευ. 23,23 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 23,23 - Ο Κυριος ωμίλησεν ακόμη προς τον Μωϋσήν και είπεν·

Λευ. 23,24 - λάλησον τοῖς υἱοῖς Ἰσραήλ, λέγων· τοῦ μηνὸς τοῦ ἑβδόμου μιᾷ τοῦ μηνὸς ἔσται ὑμῖν ἀνάπαυσις, μνημόσυνον σαλπίγγων, κλητὴ ἁγία ἔσται ὑμῖν·

Λευ. 23,24 - "ειπέ στους Ισραηλίτας· Κατά την πρώτην του εβδόμου μηνός, θα έχετε αργίαν και ανάπαυσιν, η οποία θα εξαγγέλλεται στον λαόν δια σαλπίγγων· θα είναι επίσημος καθωρισμένη ημέρα δια σας, αφιερωμένη στον Κυριον.

Λευ. 23,25 - πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε, καὶ προσάξετε ὁλοκαύτωμα Κυρίῳ.

Λευ. 23,25 - Και ένα βαρύ έργον δεν θα εκτελέσετε, και θα προσφέρετε κατά την ημέραν αυτήν ολοκαυτώματα στον Κυριον.

Λευ. 23,26 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 23,26 - Ο Κυριος ώμιλησε προς τον Μωϋσήν λέγων·

Λευ. 23,27 - καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου ἡμέρα ἐξιλασμοῦ, κλητὴ ἁγία ἔσται ὑμῖν, καὶ ταπεινώσετε τάς ψυχὰς ὑμῶν, καὶ προσάξετε ὁλοκαύτωμα τῷ Κυρίῳ.

Λευ. 23,27 - “η δεκάτη του εβδόμου αυτού μηνός θα είναι ημέρα εξιλασμού. Καθιερωμένη και αγία θα είναι δια σας. Θα ταπεινώσετε με νηστείαν και μετάνοιαν τας ψυχάς σας και θα προσφέρετε ολοκαυτώματα στον Κυριον.

Λευ. 23,28 - πᾶν ἔργον οὐ ποιήσετε ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ· ἔστι γὰρ ἡμέρα ἐξιλασμοῦ αὕτη ὑμῖν, ἐξιλάσασθαι περὶ ὑμῶν ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν.

Λευ. 23,28 - Καμμίαν απολύτως εργασίαν δεν θα κάμετε κατά την ημέραν αυτήν, διότι αυτή είναι δια σας ημέρα εξιλασμού, δια να εξιλεώνεσθε από τας αμαρτίας σας ενώπιον Κυρίου του Θεού σας.

Λευ. 23,29 - πᾶσα ψυχή, ἥτις μὴ ταπεινωθήσεται ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἐξολοθρευθήσεται ἐκ τοῦ λαοῦ αὐτῆς.

Λευ. 23,29 - Καθε Ισραηλίτης ο οποίος κατά την ημέραν αυτήν δεν θα θλιβή και δεν θα ταπεινωθή ενώπιον του Κυρίου, θα εξολοθρευθή εκ μέσου του λαού του.

Λευ. 23,30 - καὶ πᾶσα ψυχή, ἥτις ποιήσει ἔργον ἐν αὐτῇ τῇ ἡμέρᾳ ταύτῃ, ἀπολεῖται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς.

Λευ. 23,30 - Και κάθε ισραηλίτης, ο οποίος κατά την ημέραν αυτήν θα εκτελέση οιανδήποτε εργασίαν, έστω και ελαφράν, θα εξολοθρευθή εκ μέσου του λαού του.

Λευ. 23,31 - πᾶν ἔργον οὐ ποιήσετε· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσαις κατοικίαις ὑμῶν.

Λευ. 23,31 - Ουδεμιαν απολύτως εργασίαν θα κάμετε. Αυτό θα είναι νόμος αιώνιος εις τας γενεάς σας και εις όλους τους οίκους σας.

Λευ. 23,32 - σάββατα σαββάτων ἔσται ὑμῖν, καὶ ταπεινώσετε τὰς ψυχὰς ὑμῶν· ἀπὸ ἐνάτης τοῦ μηνός, ἀπὸ ἑσπέρας ἕως ἑσπέρας σαββατιεῖτε τὰ σάββατα ὑμῶν.

Λευ. 23,32 - Σαββατα σαββάτων καθιερωμένη επίσημος ημέρα αργίας θα είναι αυτή δια σας, κατά την οποίαν θα ταπεινώσετε τας ψυχάς σας με νηστείαν και μετάνοιαν. Από την εσπέραν της ενάτης του μηνός αυτού έως την εσπέραν της άλλης ημέρας θα έχετε πλήρη ανάπαυσιν και αποχήν από κάθε εργασίαν”.

Λευ. 23,33 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 23,33 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν και είπεν·

Λευ. 23,34 - λάλησον τοῖς υἱοῖς Ἰσραήλ, λέγων· τῇ πεντεκαιδεκάτῃ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου ἑορτὴ σκηνῶν ἑπτὰ ἡμέρας τῷ Κυρίῳ.

Λευ. 23,34 - “ομίλησε και είπε στους Ισραηλίτας· Κατά την δεκάτην πέμπτην του εβδόμου αυτού μηνός θα τελήτε επί επτά ημέρας την εορτήν της Σκηνοπηγίας προς τιμήν και δόξαν του Κυρίου.

Λευ. 23,35 - καὶ ἡ ἡμέρα ἡ πρώτη ἡ κλητὴ ἁγία· πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

Λευ. 23,35 - Η πρώτη ημέρα θα είναι καθιερωμένη, αγία. Κανένα βαρύ έργον δεν θα κάμετε κατ' αυτήν.

Λευ. 23,36 - ἑπτὰ ἡμέρας προσάξετε ὁλοκαυτώματα τῷ Κυρίῳ, καὶ ἡ ἡμέρα ἡ ὀγδόη κλητὴ ἁγία ἔσται ὑμῖν, καὶ προσάξετε ὁλοκαυτώματα Κυρίῳ· ἐξόδιόν ἐστι, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

Λευ. 23,36 - Καθ' όλας δε τας επτά αυτάς ημέρας θα προσφέρετε ολοκαυτώματα στον Κυριον. Και η ογδόη ημέρα θα είναι δια σας επίσημος και καθιερωμένη, αγία. Θα προσφέρετε ολοκαυτώματα προς τον Κυριον. Είναι η τελευταία εόρτιος ημέρα και κατ' αυτήν δεν θα κάμετε κανένα βαρύ έργον.

Λευ. 23,37 - Αὗται ἑορταὶ Κυρίῳ, ἃς καλέσετε κλητὰς ἁγίας, ὥστε προσενέγκαι καρπώματα τῷ Κυρίῳ, ὁλοκαυτώματα καὶ θυσίας αὐτῶν καὶ σπονδὰς αὐτῶν τὸ καθ᾿ ἡμέραν εἰς ἡμέραν·

Λευ. 23,37 - Αυταί είναι αι εορταί προς τιμήν του Κυρίου, τας οποίας θα έχετε και θα θεωρήτε καθιερωμένας και αγίας, ώστε να προσφέρετε κάθε ημέραν στον Κυριον θυσίας αιματηράς, ολοκαυτώματα και μαζή με αυτάς αναιμάκτους θυσίας, όπως επίσης και τας σπονδάς του οίνου.

Λευ. 23,38 - πλὴν τῶν σαββάτων Κυρίου καὶ πλὴν τῶν δομάτων ὑμῶν καὶ πλὴν πασῶν τῶν εὐχῶν ὑμῶν καὶ πλὴν τῶν ἑκουσίων ὑμῶν, ἃ ἂν δῶτε τῷ Κυρίῳ.

Λευ. 23,38 - Αυτά θα προσφέρωνται, εκτός των άλλων καθιερωμένων θυσιών προς τον Κυριον κατά τα σάββατα, εκτός των άλλων προσφορών σας, εκτός των θυσιών δια τα τάματα υμών και εκτός των άλλων εκουσίων προσφορών σας, τας οποίας θα προσφέρετε προς τον Κυριον.

Λευ. 23,39 - Καὶ ἐν τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου, ὅταν συντελέσητε τὰ γενήματα τῆς γῆς, ἑορτάσετε τῷ Κυρίῳ ἑπτὰ ἡμέρας· τῇ ἡμέρᾳ τῇ πρώτῃ ἀνάπαυσις καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἀνάπαυσις.

Λευ. 23,39 - Κατά την δεκάτην πέμπτην ημέραν του εβδόμου αυτού μηνός, όταν τελειώσετε την συγκομιδήν των διαφόρων προϊόντων της γης, θα εορτάσετε προς τιμήν του Κυρίου επτά ημέρας. Κατά την πρώτην και την ογδόην ημέραν θα έχετε αργίαν και ανάπαυσιν.

Λευ. 23,40 - καὶ λήψεσθε τῇ ἡμέρᾳ τῇ πρώτῃ καρπὸν ξύλου ὡραῖον καὶ κάλλυνθρα φοινίκων, καὶ κλάδους ξύλου δασεῖς καὶ ἰτέας καὶ ἄγνου κλάδους ἐκ χειμάῤῥου, εὐφρανθῆναι ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν ἑπτὰ ἡμέρας τοῦ ἐνιαυτοῦ·

Λευ. 23,40 - Κατά την πρώτην ημέραν θα λάβετε ωραίον ώριμον καρπόν καλού δένδρου, κλάδους φοινίκων, πυκνοφύλλους κλάδους δένδρων, κλάδους ιτέας και λυγαριάς από χείμαρρον, δια να ευφρανθήτε ενώπιον του Κυρίου και θεού σας κατά τας επτά αυτάς ημέρας του έτους.

Λευ. 23,41 - νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν, ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ ἑορτάσετε αὐτήν.

Λευ. 23,41 - Η εντολή μου αυτή θα είναι παντοτεινός νόμος εις τας γενεάς σας· κατά τον έβδομον μήνα θα πανηγυρίσετε την εορτήν αυτήν.

Λευ. 23,42 - ἐν σκηναῖς κατοικήσετε ἑπτὰ ἡμέρας· πᾶς ὁ αὐτόχθων ἐν Ἰσραὴλ κατοικήσει ἐν σκηναῖς,

Λευ. 23,42 - Θα κατοικήσετε επί επτά ημέρας εις σκηνάς. Ολοι οι εντόπιοι Ισραηλίται θα κατοικήσουν εις σκηνάς,

Λευ. 23,43 - ὅπως ἴδωσιν αἱ γενεαὶ ὑμῶν, ὅτι ἐν σκηναῖς κατῴκισα τοὺς υἱοὺς Ἰσραήλ, ἐν τῷ ἐξαγαγεῖν με αὐτοὺς ἐκ γῆς Αἰγύπτου· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 23,43 - δια να ίδουν αι γενεαί και οι απόγονοί σας ότι εις σκηνάς εγώ εγκατέστησα τους Ισραηλίτας, όταν ελευθέρους τους έβγαλα από την χώραν της Αιγύπτου. Εγώ είμαι Κυριος ο Θεός σας” !

Λευ. 23,44 - Καὶ ἐλάλησε Μωυσῆς τὰς ἑορτὰς Κυρίου τοῖς υἱοῖς Ἰσραήλ.

Λευ. 23,44 - Αυτά ανεκοίνωσεν ο Μωϋσής και ώρυσεν στους Ισραηλίτας δια τας εορτάς του Κυρίου.

## ΛΕΥΙΤΙΚΟΝ 24

Λευ. 24,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 24,1 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν και είπε·

Λευ. 24,2 - ἔντειλαι τοῖς υἱοῖς Ἰσραήλ, καὶ λαβέτωσάν σοι ἔλαιον ἐλάϊνον καθαρὸν κεκομμένον εἰς φῶς, καῦσαι λύχνον διὰ παντός.

Λευ. 24,2 - “δώσε εκ μέρους μου εντολήν στους Ισραηλίτας να πάρουν και να φέρουν εις σε ελαιόλαδον καθαρόν, κοπανισμένον, κατάλληλον προς φωτισμόν, δια να καίη πάντοτε η λυχνία της Σκηνής.

Λευ. 24,3 - ἔξωθεν τοῦ καταπετάσματος ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου καύσουσιν αὐτὸ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἀπὸ ἑσπέρας ἕως πρωῒ ἐνώπιον Κυρίου ἐνδελεχῶς· νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.

Λευ. 24,3 - Εντός της Σκηνής του Μαρτυρίου και έξω από το καταπέτασμα, που καλύπτει τα Αγια των Αγίων, θα ανάπτουν και θα καίουν το φως αυτό ο Ααρών και οι υιοί αυτού ενώπιον του Κυρίου από την εσπέραν έως το πρωϊ πάντοτε. Αυτό θα είναι αιώνιος νόμος εις τας γενεάς σας.

Λευ. 24,4 - ἐπὶ τῆς λυχνίας τῆς καθαρᾶς καύσετε τοὺς λύχνους ἐναντίον Κυρίου ἕως εἰς τὸ πρωΐ.

Λευ. 24,4 - Θα ανάψετε και θα μένουν έως το πρωϊ αναμμένοι ενώπιον του Κυρίου οι λύχνοι, οι οποίοι ευρίσκονται επάνω εις την επτάφωτον εκ καθαρού χρυσού λυχνίαν.

Λευ. 24,5 - Καὶ λήψεσθε σεμίδαλιν καὶ ποιήσετε αὐτὴν δώδεκα ἄρτους, δύο δεκάτων ἔσται ὁ ἄρτος ὁ εἷς·

Λευ. 24,5 - Θα λάβετε σημιγδάλι και θα κάμετε με αυτό δώδεκα άρτους. Ο καθε άρτος θα είναι δύο δέκατα (επτά και ήμισυ πιρίπου κιλά).

Λευ. 24,6 - καὶ ἐπιθήσετε αὐτοὺς δύο θέματα, ἓξ ἄρτους τὸ ἓν θέμα ἐπὶ τὴν τράπεζαν τὴν καθαρὰν ἔναντι Κυρίου.

Λευ. 24,6 - Θα θέσετε αυτούς επάνω εις την εκ καθαρού χρυσού τράπεζαν της προθέσεως ενώπιον του Κυρίου, εις δύο στήλας εξ άρτους εις την κάθε μίαν.

Λευ. 24,7 - καὶ ἐπιθήσετε ἐπὶ τὸ θέμα λίβανον καθαρὸν καὶ ἅλα, καὶ ἔσονται εἰς ἄρτους εἰς ἀνάμνησιν προκείμενα τῷ Κυρίῳ.

Λευ. 24,7 - Εις κάθε μίαν από τας δύο αυτάς στήλας των άρτων θα θέσετε καθαρό λιβάνι και αλάτι και θα είναι οι άρτοι αυτοί προσφορά ενώπιον του Κυρίου εις ανάμνησιν των δώδεκα φυλών του Ισραήλ.

Λευ. 24,8 - τῇ ἡμέρᾳ τῶν σαββάτων προσθήσεται ἔναντι Κυρίου διὰ παντὸς ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, διαθήκην αἰώνιον.

Λευ. 24,8 - Παντοτε κάθε Σαββατον θα αντικαθιστάτε ενώπιον του Κυρίου και ενώπιον των Ισραηλιτών τους δώδεκα αυτούς άρτους εις διαρκή ανάμνησιν της συμφωνίας εμού και των Ισραηλιτών.

Λευ. 24,9 - καὶ ἔσται Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ φάγονται αὐτὰ ἐν τόπῳ ἁγίῳ· ἔστι γὰρ ἅγια τῶν ἁγίων τοῦτο αὐτῶν ἀπὸ τῶν θυσιαζομένων τῷ Κυρίῳ, νόμιμον αἰώνιον.

Λευ. 24,9 - Αυτοί οι άρτοι θα ανήκουν στον Ααρών και τους υιούς του, οι οποίοι και θα τους τρώγουν στον ιερόν τόπον, διότι είναι αγιωτάτη προσφορά από τας προσφερομένας ως θυσία προς τον Κυριον. Αυτό θα είναι αιώνιος νόμος για σας”.

Λευ. 24,10 - Καὶ ἐξῆλθεν υἱὸς γυναικὸς Ἰσραηλίτιδος, καὶ οὗτος ἦν υἱὸς Αἰγυπτίου ἐν τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐμαχέσαντο ἐν τῇ παρεμβολῇ ὁ ἐκ τῆς Ἰσραηλίτιδος καὶ ὁ ἄνθρωπος ὁ Ἰσραηλίτης·

Λευ. 24,10 - Μαζή με τους Ισραηλίτας οι οποίοι έφυγαν από την Αίγυπτον εξήλθε και ο υιός μιας γυναικός Ισραηλίτιδος και Αιγυπτίου ανδρός. Ο υιός

αυτός της Ισραηλίτιδος εφιλονείκησε και συνεπλάκη με ένα Ισραηλίτην.

Λευ. 24,11 - καὶ ἐπονομάσας ὁ υἱὸς τῆς γυναικὸς τῆς Ἰσραηλίτιδος τὸ ὄνομα κατηράσατο. καὶ ἤγαγον αὐτὸν πρὸς Μωυσῆν· καὶ τὸ ὄνομα τῆς μητρὸς αὐτοῦ Σαλωμεὶθ θυγάτηρ Δαβρεὶ ἐκ τῆς φυλῆς Δάν.

Λευ. 24,11 - Επάνω δε εις την μάχην αυτήν ο υιός της Ισραηλίτιδος ανέφερε το άγιον όνομα του Θεού, το οποίον και εβλασφήμησε. Αμέσως ωδήγησαν αυτόν προς τον Μωϋσήν. Η μήτηρ του ωνομάζετο Σαλωμείθ και ήτό θυγάτηρ Δαβρεί από την φυλήν Δαν.

Λευ. 24,12 - καὶ ἀπέθεντο αὐτὸν εἰς φυλακὴν διακρῖναι αὐτὸν διὰ προστάγματος Κυρίου.

Λευ. 24,12 - Εθεσαν τον βλάσφημον εις την φυλακήν, δια να αποφασίσουν περί της τύχης του κατόπιν εντολής του Κυρίου.

Λευ. 24,13 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 24,13 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Λευ. 24,14 - ἐξάγαγε τὸν καταρασάμενον ἔξω τῆς παρεμβολῆς, καὶ ἐπιθήσουσι πάντες οἱ ἀκούσαντες τὰς χεῖρας αὐτῶν ἐπὶ τὴν κεφαλὴν αὐτοῦ καὶ λιθοβολήσουσιν αὐτὸν πᾶσα ἡ συναγωγή.

Λευ. 24,14 - “βγάλε τον βλάσφημον αυτόν έξω από την κατασκήνωσιν. Ολοι εκείνοι οι οποίοι ήκουσαν την βλασφημίαν του, θα θέσουν τας χείρας των επάνω εις την κεφαλήν αυτού και θα καταθέσουν την μαρτυρίαν των εναντίον του. Επειτα δε θα τον λιθοβολήσουν όλος ο λαός των Ισραηλιτών.

Λευ. 24,15 - καὶ τοῖς υἱοῖς Ἰσραὴλ λάλησον καὶ ἐρεῖς πρὸς αὐτούς· ἄνθρωπος ὃς ἐὰν καταράσηται Θεόν, ἁμαρτίαν λήψεται·

Λευ. 24,15 - Ομίλησε προς τους Ισραλίτας και είπε προς αυτούς· Οιοσδήποτε άνθρωπος θα βλασφημήση τον Θεόν θα λάβη ενοχήν και τιμωρίαν δια την αμαρτίαν.

Λευ. 24,16 - ὀνομάζων δὲ τὸ ὄνομα Κυρίου, θανάτῳ θανατούσθω· λίθοις λιθοβολείτω αὐτὸν πᾶσα ἡ συναγωγὴ Ἰσραήλ· ἐάν τε προσήλυτος, ἐάν τε αὐτόχθων, ἐν τῷ ὀνομάσαι αὐτὸν τὸ ὄνομα Κυρίου, τελευτάτω.

Λευ. 24,16 - Εκείνος, δηλαδή, ο οποίος ασεβώς θα αναφέρη το όνομα του Θεού πρέπει να τιμωρήται δια θανάτου. Ολος ο λαός των Ισραηλιτών θα θανατώση δια λιθοβολισμού αυτόν. Είτε ξένος είναι είτε εντόπιος αυτός, που θα αναφέρη ασεβώς το όνομα του Κυρίου, θα τιμωρήται δια θανάτου.

Λευ. 24,17 - καὶ ἄνθρωπος ὃς ἂν πατάξῃ ψυχὴν ἀνθρώπου καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω.

Λευ. 24,17 - Οπως επίσης και οποιοσδήποτε κτυπήση άνθρωπον και θανάτωση αυτόν θα τιμωρήται δια θανάτου.

Λευ. 24,18 - καὶ ὃς ἂν πατάξῃ κτῆνος καὶ ἀποθάνῃ, ἀποτισάτω ψυχὴν ἀντὶ ψυχῆς.

Λευ. 24,18 - Εκείνος που θα κτυπήση ζώον και το ζώο θα αποθάνη εκ του κτυπήματος, θα δώση στον ιδιοκτήτην άλλο ζώον αντί του θανατωθέντος.

Λευ. 24,19 - καὶ ἐάν τις δῷ μῶμον τῷ πλησίον, ὡς ἐποίησεν αὐτῷ, ὡσαύτως ἀντιποιηθήσεται αὐτῷ·

Λευ. 24,19 - Και εκείνος ο οποίος θα πράξη κακόν τι εις βάρος του πλησίον, θα υποστή το ίδιον κακόν, το οποίον έπραξεν εναντίον του πλησίον.

Λευ. 24,20 - σύντριμμα ἀντὶ συντρίμματος, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, καθότι ἂν δῷ μῶμον τῷ ἀνθρώπῳ, οὕτω δοθήσεται αὐτῷ.

Λευ. 24,20 - Κάταγμα αντί κατάγματος, οφθαλμόν αντί οφθαλμού, οδόντα αντί οδόντος, ο,τι κακόν και οιανδήποτε βλάβην έκαμεν στον πλησίον θα υποστή και ο ίδιος.

Λευ. 24,21 - ὃς ἂν πατάξῃ ἄνθρωπον καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω·

Λευ. 24,21 - Εκείνος ο οποίος θα κτυπήση άνθρωπον και ο κτυπηθείς αποθάνη, θα τιμωρηθή δια θανάτου.

Λευ. 24,22 - δικαίωσις μία ἔσται τῷ προσηλύτῳ καὶ τῷ ἐγχωρίῳ, ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 24,22 - Μια και η αυτή θα είναι η απόδοσις δικαιοσύνης και η επιβολή κυρώσεων δια τον ξένον και δια τον εντόπιον. Εγώ δίδω αυτάς τας εντολάς, διότι εγώ είμαι Κυριος ο Θεός σας”.

Λευ. 24,23 - καὶ ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐξήγαγον τὸν καταρασάμενον ἔξω τῆς παρεμβολῆς καὶ ἐλιθοβόλησαν αὐτὸν ἐν λίθοις· καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐποίησαν καθάπερ συνέταξε Κύριος τῷ Μωυσῇ.

Λευ. 24,23 - Διέταξεν ο Μωϋσής τους Ισραηλίτας και έβγαλαν έξω από την κατασκήνωσιν τον βλάσφημον και εθανάτωσαν αυτόν δια λιθοβολισμού. έκαμαν οι Ισραηλίται, όπως ακριβώς διέταξεν ο Κυριος στον Μωϋσήν.

## ΛΕΥΙΤΙΚΟΝ 25

Λευ. 25,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἐν τῷ ὄρει Σινὰ λέγων·

Λευ. 25,1 - Επάνω στο όρος Σινά μίλησε ο Κυριος προς τον Μωϋσήν λέγων·

Λευ. 25,2 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ὅταν εἰσέλθητε εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι ὑμῖν, καὶ ἀναπαύσεται ἡ γῆ, ἣν ἐγὼ δίδωμι ὑμῖν, σάββατα τῷ Κυρίῳ.

Λευ. 25,2 - “ομίλησε προς τους Ισραηλίτας και ειπέ προς αυτούς· Οταν εισέλθετε εις την γην της Χαναάν, την οποίαν εγώ θα σας δώσω, θα

αναπαύεται η γη αυτή που σας δίδω, θα έχη και αυτή σάββατα Κυρίου, δηλαδή ανάπαυσιν.

Λευ. 25,3 - ἓξ ἔτη σπερεῖς τὸν ἀγρόν σου καὶ ἓξ ἔτη τεμεῖς τὴν ἄμπελόν σου καὶ συνάξεις τὸν καρπὸν αὐτῆς.

Λευ. 25,3 - Εξ έτη κατά συνέχειαν θα σπείρης τον αγρόν σου και επί εξ έτη θα κλαδεύης την άμπελόν σου και θα συγκομίζης τον καρπόν της·

Λευ. 25,4 - τῷ δὲ ἔτει τῷ ἑβδόμῳ σάββατα, ἀνάπαυσις ἔσται τῇ γῇ, σάββατα τῷ Κυρίῳ· τὸν ἀγρόν σου οὐ σπερεῖς καὶ τὴν ἄμπελόν σου οὐ τεμεῖς,

Λευ. 25,4 - το δε έβδομον έτος θα είναι σάββατον, δηλαδή ανάπαυσις, θα έχη και γη το σάββατον αυτής, την προς τιμήν του Κυρίου ανάπαυσίν της. Κατά το έτος αυτό δεν θα σπείρης τον αγρόν σου και δεν θα κλαδεύσης το αμπέλι σου.

Λευ. 25,5 - καὶ τὰ αὐτόματα ἀναβαίνοντα τοῦ ἀγροῦ σου οὐκ ἐκθερίσεις καὶ τὴν σταφυλὴν τοῦ ἁγιάσματός σου οὐκ ἐκτρυγήσεις· ἐνιαυτὸς ἀναπαύσεως ἔσται τῇ γῇ.

Λευ. 25,5 - Τα αυτοφυή προϊόντα του αγρού σου δεν θα τα θερίσης και τα σταφύλια, των οποίων τας απαρχάς προσέφερες στον Θεόν, δεν θα τα τρυγήσης. Ετος αναπαύσεως θα είναι αυτό δια την γην σου.

Λευ. 25,6 - καὶ ἔσται τὰ σάββατα τῆς γῆς βρώματά σοι. καὶ τῷ παιδί σου καὶ τῇ παιδίσκῃ σου καὶ τῷ μισθωτῷ σου καὶ τῷ παροίκῳ τῷ προσκειμένῳ πρὸς σὲ

Λευ. 25,6 - Τα δε αυτοφυή προϊόντα κατά τα έτη της αναπαύσεως θα είναι τροφή δια σέ, δια τον δούλον σου, την δούλην σου, τον ημερομίσθιον εργατήν σου και τον ξένον, ο οποίος παροικεί πλησίον σου,

Λευ. 25,7 - καὶ τοῖς κτήνεσί σου, καὶ τοῖς θηρίοις τοῖς ἐν τῇ γῇ σου ἔσται πᾶν τό γένημα αὐτοῦ εἰς βρῶσιν.

Λευ. 25,7 - και δια τα ζώα σου, δια τα άγρια θηρία της χώρας σου, όλα τα αυτοφυή προϊόντα των αγρών σου θα είναι εις τροφήν όλων.

Λευ. 25,8 - Καὶ ἐξαριθμήσεις σεαυτῷ ἑπτὰ ἀναπαύσεις αὐτῶν, ἑπτὰ ἔτη ἑπτάκις, καὶ ἔσονταί σοι ἑπτά ἑβδομάδες ἐτῶν ἐννέα καὶ τεσσαράκοντα ἔτη.

Λευ. 25,8 - Από το έτος τούτο της αγραναπαύσεως θα μετρήσης επτά φοράς επτά έτη και θα έχης εν όλω επτά εβδομάδας ετών, δηλαδή τεσσαράκοντα εννέα έτη.

Λευ. 25,9 - καὶ διαγγελεῖτε σάλπιγγος φωνῇ ἐν πάσῃ τῇ γῇ ὑμῶν ἐν τῷ μηνὶ τῷ ἑβδόμῳ τῇ δεκάτῃ τοῦ μηνός· τῇ ἡμέρᾳ τοῦ ἱλασμοῦ διαγγελεῖτε σάλπιγγι ἐν πάσῃ τῇ γῇ ὑμῶν.

Λευ. 25,9 - Κατά την δεκάτην του εβδόμου, μηνός, του πεντηκοστού έτους, θα αναγγείλετε τούτο εις όλην την χώραν σας με σάλπιγγας. Κατά την

ημέραν του εξιλασμού θα αναγγείλετε με σάλπιγγας εις όλην την χώραν σας την έλευσιν τούτου του έτους.

Λευ. 25,10 - καὶ ἁγιάσετε τὸ ἔτος τὸν πεντηκοστὸν ἐνιαυτὸν καὶ διαβοήσετε ἄφεσιν ἐπὶ τῆς γῆς πᾶσι τοῖς κατοικοῦσιν αὐτήν· ἐνιαυτὸς ἀφέσεως σημασία αὕτη ἔσται ὑμῖν, καὶ ἀπελεύσεται εἷς ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ, καὶ ἕκαστος εἰς τὴν πατριὰν αὐτοῦ ἀπελεύσεσθε.

Λευ. 25,10 - Θα αγιάσετε το πεντηκοστόν αυτό έτος και θα διακηρύξετε εις την χώραν σας ελευθερίαν εις όλους τους κατοίκους της. Ετος αφέσεως, έτος δηλαδή ελευθερίας θα είναι το νόημα του σαλπίσματος. Ο καθένας από σας θα επανέλθη ως κύριος εις την ιδιοκτησίαν του, κάθε δούλος θα επανέλθη ελεύθερος εις την φυλήν του.

Λευ. 25,11 - ἀφέσεως σημασία αὕτη, τὸ ἔτος τὸ πεντηκοστὸν ἐνιαυτὸς ἔσται ὑμῖν· οὐ σπερεῖτε, οὐδὲ ἀμήσετε τὰ αὐτόματα ἀναβαίνοντα αὐτῆς, καὶ οὐ τρυγήσετε τὰ ἡγιασμένα αὐτῆς,

Λευ. 25,11 - Το πεντηκοστόν έτος, το οποίον θα σημάνουν αι σάλπιγγες, θα είναι έτος απελευθερώσεως ανθρώπων, αποσβέσεως χρεών και αποδόσεως αγορασθέντων κτημάτων στον τέως ιδιοκτητήν των. Κατά το έτος αυτό δεν θα σπείρετε ούτε θα θερίσετε τα αυτοφυή προϊόντα των αγρών σας και δεν θα τρυγήσετε τα αμπέλια σας, δια να προσφέρετε θυσίας προς τον Κυριον,

Λευ. 25,12 - ὅτι ἀφέσεως σημασία ἐστίν, ἅγιον ἔσται ὑμῖν, ἀπὸ τῶν πεδίων φάγεσθε τὰ γενήματα αὐτῆς.

Λευ. 25,12 - διότι το έτος τούτο είναι έτος γενικής ελευθερίας. Θα είναι δια σας άγιον και αφιερωμένον στον Κυριον και θα τραφήτε από τα αυτοφυή γεννήματα των πεδιάδων σας.

Λευ. 25,13 - Ἐν τῷ ἔτει τῆς ἀφέσεως σημασίας αὐτῆς ἐπανελεύσεται ἕκαστος εἰς τὴν κτῆσιν αὐτοῦ.

Λευ. 25,13 - Οταν σημάνη το έτος της αφέσεως, θα επανέλθη ο κάθε ιδιοκτήτης στο κτήμα του.

Λευ. 25,14 - ἐὰν δὲ ἀποδῷ πρᾶσιν τῷ πλησίον σου, ἐὰν δὲ καὶ κτήσῃ παρὰ τοῦ πλησίον σου, μὴ θλιβέτω ἄνθρωπος τὸν πλησίον·

Λευ. 25,14 - Εάν δε πωλήση κανείς εις άλλον η, αγοράση κάτι από τον άλλον, δεν πρέπει, εν όψει του έτους της αφέσεως, να εκμεταλλευθή και απατήση ο ένας τον άλλον.

Λευ. 25,15 - κατά ἀριθμὸν ἐτῶν μετὰ τὴν σημασίαν κτήσῃ παρὰ τοῦ πλησίον, κατὰ ἀριθμὸν ἐνιαυτῶν γενημάτων ἀποδώσεταί σοι.

Λευ. 25,15 - Θα αγοράσης από τον πλησίον σου ένα κτήμα υπολογίζων τον αριθμόν των ετών, τα οποία παρεντίθενται μέχρι του έτους της αφέσεως, θα πωλήσης το κτήμα βάσει των καρπών, που θα αποδώση αυτό κατά τα έτη τα μέχρι του έτους της αφέσεως.

Λευ. 25,16 - καθότι ἂν πλεῖον τῶν ἐτῶν, πληθυνεῖ τὴν κτῆσιν αὐτοῦ, καὶ καθότι ἂν ἔλαττον τῶν ἐτῶν, ἐλαττονώσει τὴν κτῆσιν αὐτοῦ, ὅτι ἀριθμὸν γενημάτων αὐτοῦ οὕτως ἀποδώσεταί σοι.

Λευ. 25,16 - Οσον περισσότερα είναι τα έτη έχρι του έτους της αφέσεως, τόσον ακριβώτερα θα αγοράσης το κτήμα όσον δε ολιγώτερα είναι αυτά, τόσον και θα αλατώσης την αξίαν αυτού, διότι αυτό θα πωληθή εις σε εις τιμήν ανάλογον με τα προϊόντα, που θα σου αποδώση.

Λευ. 25,17 - μὴ θλιβέτω ἄνθρωπος τὸν πλησίον, καὶ φοβηθήσῃ Κύριον τὸν Θεόν σου· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 25,17 - Ας μη εκμεταλλεύεται, λοιπόν, και ας μη εκβιάζη κανείς άνθρωπος τον πλησίον του. Πρέπει να φοβήσαι πάντοτε Κυριον τον Θεόν σου. Εγώ είμαι Κυριος ο Θεός σας !

Λευ. 25,18 - καὶ ποιήσετε πάντα τὰ δικαιώματά μου καὶ πάσας τὰς κρίσεις μου καὶ φυλάξεσθε καὶ ποιήσετε αὐτὰ καὶ κατοικήσετε ἐπὶ τῆς γῆς πεποιθότες.

Λευ. 25,18 - Θα εφαρμόσετε όλας τας εντολάς μου και όλας τας αποφάσεις μου· θα φυλάξετε και θα τηρήσετε αυτάς και έτσι θα κατοικήσετε εις την χώραν σας ασφαλείς με την πεποίθησιν εις την προστασίαν μου.

Λευ. 25,19 - καὶ δώσει ἡ γῆ τὰ ἐκφόρια αὐτῆς καὶ φάγεσθε εἰς πλησμονὴν καὶ κατοικήσετε πεποιθότες ἐπ᾿ αὐτῆς.

Λευ. 25,19 - Η χώρα σας τότε θα αποδώση πλούσια τα προϊόντα της, θα φάγετε και θα χορτάσετε και θα κατοικήσετε ασφαλείς εις αυτήν έχοντες πεποίθησιν εις την προστασίαν μου.

Λευ. 25,20 - ἐὰν δὲ λέγητε, τί φαγόμεθα ἐν τῷ ἔτει τῷ ἑβδόμῳ τούτῳ, ἐὰν μὴ σπείρωμεν μηδὲ συναγάγωμεν τὰ γενήματα ἡμῶν;

Λευ. 25,20 - Εάν σας γεννηθή η απορία και είπετε· Εάν δεν σπείρωμεν και εάν δεν συγκομίσωμεν τα προϊόντα ημών, τι θα φάγωμεν κατά το έβδομον τούτο έτος της αγραναπαύσεως;

Λευ. 25,21 - καὶ ἀποστέλλω τὴν εὐλογίαν μου ὑμῖν ἐν τῷ ἔτει τῷ ἕκτῳ, καὶ ποιήσει τὰ γενήματα αὐτῆς εἰς τὰ τρία ἔτη.

Λευ. 25,21 - Σας πληροφορώ ότι εγώ κάθε έκτον έτος θα αποστέλλω την ευλογίαν μου, ώστε η χώρα σας να αποδώση καρπούς δια τρία ολόκληρα έτη.

Λευ. 25,22 - καὶ σπερεῖτε τὸ ἔτος τὸ ὄγδοον καὶ φάγεσθε ἀπὸ τῶν γενημάτων παλαιὰ ἕως τοῦ ἔτους τοῦ ἐνάτου, ἕως ἂν ἔλθῃ τὸ γένημα αὐτῆς, φάγεσθε παλαιὰ παλαιῶν.

Λευ. 25,22 - Θα σπείρετε το όγδοον έτος και θα έχετε παλαιά προϊόντα από το έκτον έτος να τρώγετε έως το ένατον έτος. Μέχρις ότου έλθουν τα γεννήματα του ενάτου έτους, σεις θα τρώγετε από τους καρπούς του προπερασμένου έτους.

Λευ. 25,23 - καὶ ἡ γῆ οὐ πραθήσεται εἰς βεβαίωσιν. ἐμὴ γάρ ἐστιν ἡ γῆ, διότι προσήλυτοι καὶ πάροικοι ὑμεῖς ἐστε ἐναντίον μου·

Λευ. 25,23 - Τα χωράφια σας δεν θα πωλούνται οριστικώς και αμετακλήτως, διότι ιδική μου είναι η γη και σεις που κατοικείτε εις αυτήν, είσθε ξένοι και παρεπίδημοι ενώπιόν μου.

Λευ. 25,24 - καὶ κατὰ πᾶσαν γῆν κατασχέσεως ὑμῶν λύτρα δώσετε τῆς γῆς.

Λευ. 25,24 - Δι' αυτό, όλα τα χωράφια, τα οποία θα αποκτάτε με αγοράν, θα είναι δυνατόν να εξαγορασθούν από τον πρώτον ιδιοκτήτην των.

Λευ. 25,25 - ἐὰν δὲ πένηται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ καὶ ἀποδῶται ἀπὸ τῆς κατασχέσεως αὐτοῦ, καὶ ἔλθῃ ὁ ἀγχιστεύων ὁ ἐγγίζων αὐτῷ, καὶ λυτρώσεται τὴν πρᾶσιν τοῦ ἀδελφοῦ αὐτοῦ.

Λευ. 25,25 - Εάν, λοιπόν, ο πτωχός αδελφός σου, ο πλησίον σου, ευρεθή εις την ανάγκην και πωλήση το κτήμα του και έλθη ο πλησιέστερος συγγενής του, δύναται να εξαγοράση το πωληθέν υπό του συγγενούς του κτήμα.

Λευ. 25,26 - ἐὰν δὲ μὴ ᾖ τινι ὁ ἀγχιστεύων καὶ εὐπορηθῇ τῇ χειρὶ καὶ εὑρεθῇ αὐτῷ τὸ ἱκανὸν λύτρα αὐτοῦ,

Λευ. 25,26 - Εάν δε αυτός, που επώλησε το κτήμα, δεν έχη εύπορον συγγενή, ευπορήση όμως ο ίδιος και εύρη τα απαιτούμενα χρήματα δια την εξαγοράν του πωληθέντος κτήματός του, έχει το δικαίωμα να το εξαγοράση.

Λευ. 25,27 - καὶ συλλογιεῖται τὰ ἔτη τῆς πράσεως αὐτοῦ καὶ ἀποδώσει ὃ ὑπερέχει τῷ ἀνθρώπῳ, ᾧ ἀπέδοτο αὐτὸ αὐτῷ, καὶ ἀπελεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ.

Λευ. 25,27 - Θα υπολογίση και θα αφαιρέση τα έτη της πωλήσεως του κτήματος και θα καταβάλη τα υπόλοιπα στον άνθρωπον, προς τον οποίον το είχε πωλήσει και θα επιστρέφη πάλιν ως ιδιοκτήτης στο κτήμα, το οποίον και προηγουμένως κατείχε.

Λευ. 25,28 - ἐὰν δὲ μὴ εὐπορηθῇ αὐτοῦ ἡ χεὶρ τὸ ἱκανόν, ὥστε ἀποδοῦναι αὐτῷ, καὶ ἔσται ἡ πρᾶσις τῷ κτησαμένῳ αὐτὰ ἕως τοῦ ἕκτου ἔτους τῆς ἀφέσεως· καὶ ἐξελεύσεται ἐν τῇ ἀφέσει, καὶ ἀπελεύσεται εἰς τὴν κατάσχεσιν αὐτοῦ.

Λευ. 25,28 - Εάν όμως ο πωλητής δεν ευπορηθή οικονομικώς ώστε να αγοράση το κτήμά του δια να επαναποκτήση αυτό, η ισχύς της πωλήσεως θα παραταθή μέχρι του έκτου έτους της αφέσεως. Κατά το έτος αυτό της αφέσεως ο αγοραστής θα εγκαταλείψη το κτήμα και αυτό θα περιέλθη εις την κυριότητα του πωλήσαντος.

Λευ. 25,29 - Ἐὰν δέ τις ἀποδῶται οἰκίαν οἰκητὴν ἐν πόλει τετειχισμένῃ, καὶ ἔσται ἡ λύτρωσις αὐτῆς, ἕως πληρωθῇ ἐνιαυτὸς ἡμερῶν, ἔσται ἡ λύτρωσις αὐτῆς.

Λευ. 25,29 - Εάν κανείς πωλήση κατοικήσιμον οικίαν εις πόλιν περιτειχισμένην, ημπορεί να εξαγοράση αυτήν, μέχρις ότου συμπληρωθή ένα έτος από της ημέρας της πωλήσεώς της.

Λευ. 25,30 - ἐὰν δὲ μὴ λυτρωθῇ ἕως ἂν πληρωθῇ αὐτῆς ἐνιαυτὸς ὅλος, κυρωθήσεται ἡ οἰκία ἡ οὖσα ἐν πόλει τῇ ἐχούσῃ τεῖχος βεβαίως τῷ κτησαμένῳ αὐτὴν εἰς τὰς γενεὰς αὐτοῦ, καὶ οὐκ ἐξελεύσεται ἐν τῇ ἀφέσει.

Λευ. 25,30 - Εάν όμως κατά το διάστημα του έτους αυτού δεν καταβληθούν τα χρήματα προς εξαγοράν της οικίας, θα κατακυρωθή οριστικώς και αμετακλήτως η εντός της περιτειχισμένης πόλεως αυτή οικία στον αγοράσαντα αυτήν και στους απογόνους του και δεν θα εξέλθη αυτός από εκείνην ούτε κατά το έτος της αφέσεως.

Λευ. 25,31 - αἱ δὲ οἰκίαι αἱ ἐν ἐπαύλεσιν, αἷς οὐκ ἔστιν ἐν αὐταῖς τεῖχος κύκλῳ, πρὸς τὸν ἀγρὸν τῆς γῆς λογισθήσονται· λυτρωταὶ διαπαντὸς ἔσονται καὶ ἐν τῇ ἀφέσει ἐξελεύσονται.

Λευ. 25,31 - Αλλά αι οικίαι που είναι στους αγρούς, όπου δεν υπάρχει ολόγυρα τείχος, θα θεωρηθούν κατά την πώλησιν ως αγροί. Θα είναι εξαγορασταί δια χρημάτων πάντοτε και οι αγοράσαντες αυτάς θα εξέρχωνται από αυτάς υποχρεωτικώς κατά το έτος της αφέσεως.

Λευ. 25,32 - καὶ αἱ πόλεις τῶν Λευιτῶν, οἰκίαι τῶν πόλεων κατασχέσεως αὐτῶν, λυτρωταὶ διαπαντὸς ἔσονται τοῖς Λευίταις·

Λευ. 25,32 - Αι οικίαι όμως των Λευϊτών, που υπάρχουν εις τας πόλεις, τας οποίας αυτοί κατέχουν εκ κληρονομίας, θα εξαγοράζωνται δια παντός από τους Λευΐτας καταβαλλομένου από αυτούς του αναλόγου τιμήματος.

Λευ. 25,33 - καὶ ὃς ἂν λυτρώσηται παρὰ τῶν Λευιτῶν καὶ ἐξελεύσεται ἡ διάπρασις αὐτῶν οἰκιῶν πόλεως κατασχέσεως αὐτῶν ἐν τῇ ἀφέσει, ὅτι οἰκίαι τῶν πόλεων τῶν Λευιτῶν κατάσχεσις αὐτῶν ἐν μέσῳ υἱῶν Ἰσραήλ.

Λευ. 25,33 - Εάν κανείς αγοράση οικίαν Λευΐτου θα εξέλθη από αυτήν οπωσδήποτε κατά το έτος της αφέσεως, διότι λήγει το δικαίωμα της δι' αγοράς κατοχής της οικίας αυτής· και τούτο επειδή και αι πόλεις εντός των οποίων ευρίσκονται αι λευϊτικαί οικίαι είναι ιδιοκτησία εις μόνιμον κατοικίαν των Λευϊτών εν μέσω των περιοχών του Ισραηλιτικού λαού.

Λευ. 25,34 - καὶ οἱ ἀγροὶ ἀφωρισμένοι ταῖς πόλεσιν αὐτῶν οὐ πραθήσονται, ὅτι κατάσχεσις αἰωνία τοῦτο αὐτῶν ἐστιν.

Λευ. 25,34 - Και οι ωρισμένοι αγροί γύρω από τας πόλεις των Λευϊτών δεν θα πωλούνται ανεκκλήτως, διότι η κατοχή αυτών από τους Λευΐτας θα είναι πάντοτεινή.

Λευ. 25,35 - Ἐὰν δὲ πένηται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ καὶ ἀδυνατήσῃ ταῖς χερσὶ παρὰ σοί, ἀντιλήψῃ αὐτοῦ ὡς προσηλύτου καὶ παροίκου καὶ ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ.

Λευ. 25,35 - Εάν ο αδελφός σου, που ζη κοντά σου, είναι πτωχός και ευρεθή εις αδυναμίαν να επαρκέση με την εργασίαν των χεριών του εις τας

οικονομικάς του ανάγκας, συ πρέπει να ενδιαφερθής δι' αυτόν, ως εάν πρόκειται περί ξένου και παρεπιδήμου και έτσι θα ζήση μαζή σου ο πτωχός αδελφός σου.

Λευ. 25,36 - οὐ λήψῃ παρ᾿ αὐτοῦ τόκον, οὐδὲ ἐπὶ πλήθει· καὶ φοβηθήσῃ τὸν Θεόν σου, ἐγὼ Κύριος, καὶ ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ.

Λευ. 25,36 - Δεν θα λάβης από αυτόν τόκον δια τα χρήματα, που του εδάνεισες, ούτε και περισσότερα είδη από όσα του έδωσες· να φοβήσαι τον Θεόν σου, διότι εγώ είμαι Κυριος που διατάσσω, και θα ζήση ο αδελφός σου μαζή σου.

Λευ. 25,37 - τὸ ἀργύριόν σου οὐ δώσεις αὐτῷ ἐπὶ τόκῳ καὶ ἐπὶ πλεονασμῷ οὐ δώσεις αὐτῷ τὰ βρώματά σου.

Λευ. 25,37 - Δεν θα δανείσης εις αυτόν τον πτωχόν αδελφόν σου χρήματα με τόκον και ούτε θα του δώσης τροφάς με τον σκοπόν να ζητήσης από αυτόν περισσοτέρας.

Λευ. 25,38 - ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, δοῦναι ὑμῖν τὴν γῆν Χαναάν, ὥστε εἶναι ὑμῶν Θεός.

Λευ. 25,38 - Εγώ είμαι Κυριος ο Θεός σας, ο οποίος σας έβγαλα ελευθέρους από την γην της Αιγύπτου, δια να σας δώσω την γην Χαναάν, ώστε να είμαι πάντοτε Θεός σας σεβαστός και ακουστός από σας.

Λευ. 25,39 - Ἐὰν δὲ ταπεινωθῇ ὁ ἀδελφός σου παρὰ σοί, καὶ πραθῇ σοι, οὐ δουλεύσει σοι δουλείαν οἰκέτου·

Λευ. 25,39 - Εάν δε ο αδελφός σου ευρεθή εις απόλυτον ανάγκην και ταπεινωθή ενώπιόν σου και πωληθή εις σε ως δούλος, δεν θα εργασθή κοντά σου σκληράν δουλείαν του συνήθους δούλου.

Λευ. 25,40 - ὡς μισθωτὸς ἢ πάροικος ἔσται σοι, ἕως τοῦ ἔτους τῆς ἀφέσεως ἐργᾶται παρὰ σοί,

Λευ. 25,40 - Αλλά θα είναι δια σε ως ημερομίσθιος εργάτης η ως παρεπίδημος και θα εργάζεται κοντά σου μέχρι του ιωβηλαίου έτους της αφέσεως.

Λευ. 25,41 - καὶ ἐξελεύσεται τῇ ἀφέσει καὶ τὰ τέκνα αὐτοῦ μετ᾿ αὐτοῦ καὶ ἀπελεύσεται εἰς τὴν γενεὰν αὐτοῦ, εἰς τὴν κατάσχεσιν τὴν πατρικὴν ἀποδραμεῖται,

Λευ. 25,41 - Κατά το έτος αυτό της αφέσεως ελεύθερος πλέον θα φύγη από σε αυτός μαζή με τα τέκνα του και θα επανέλθη εις την φυλήν αυτού, θα τρέξη εις την πατρικήν του κληρονομίαν,

Λευ. 25,42 - διότι οἰκέται μού εἰσιν οὗτοι, οὓς ἐξήγαγον ἐκ γῆς Αἰγύπτου· οὐ πραθήσεται ἐν πράσει οἰκέτου.

Λευ. 25,42 - διότι δούλοι ιδικοί μου είναι αυτοί, τους οποίους έβγαλα από την γην της Αιγύπτου. Δια τούτο δεν θα πωλούνται, όπως οι άλλοι, οι αλλοεθνείς δούλοι.

Λευ. 25,43 - οὐ κατατενεῖς αὐτὸν ἐν τῷ μόχθῳ, καὶ φοβηθήσῃ Κύριον τὸν Θεόν σου.

Λευ. 25,43 - Δεν θα καταβαρύνης αυτόν με πολλήν και εξαντλητικήν εργασίαν. Πρέπει να σε συνέχη πάντοτε ο φόβος Κυρίου του Θεού σου.

Λευ. 25,44 - καὶ παῖς καὶ παιδίσκη, ὅσοι ἂν γένωνταί σοι ἀπὸ τῶν ἐθνῶν, ὅσοι κύκλῳ σού εἰσιν, ἀπ᾽ αὐτῶν κτήσεσθε δοῦλον καὶ δούλην·

Λευ. 25,44 - Δούλον και δούλην θα αποκτήσετε από τα ειδωλολατρικά έθνη, που ευρίσκονται γύρω σας. Από αυτά θα αποκτήσετε δούλους και δούλας.

Λευ. 25,45 - καὶ ἀπὸ τῶν υἱῶν τῶν παροίκων τῶν ὄντων ἐν ὑμῖν, ἀπὸ τούτων κτήσεσθε καὶ ἀπὸ τῶν συγγενῶν αὐτῶν, ὅσοι ἂν γένωνται ἐν γῇ ὑμῶν, ἔστωσαν ὑμῖν εἰς κατάσχεσιν.

Λευ. 25,45 - Επίσης από τα παιδιά των ξένων, που ευρίσκονται μαζή σας από αυτά θα αποκτήσετε δούλους και δούλας και από τους συγγενείς των· όσοι θα γεννηθούν εις την χώραν σας θα είναι εις ιδιοκτησίαν σας.

Λευ. 25,46 - καὶ καταμεριεῖτε αὐτοὺς τοῖς τέκνοις ὑμῶν μεθ᾽ ὑμᾶς, καὶ ἔσονται ὑμῖν κατόχιμοι εἰς τὸν αἰῶνα· τῶν δὲ ἀδελφῶν ὑμῶν τῶν υἱῶν Ἰσραήλ, ἕκαστος τὸν ἀδελφὸν αὐτοῦ οὐ κατατενεῖ αὐτὸν ἐν τοῖς μόχθοις.

Λευ. 25, 46 - Και θα κατανείμετε αυτούς ως κληρονομίαν εις τα τέκνα σας τα κατόπιν από σας. Θα είναι υπό την κατοχήν σας πάντοτε. Κανένας όμως από τους Ισραηλίτας δεν θα καταβαρύνη τον αδελφόν του ως δούλον με έργα συνεχή και επίπονα.

Λευ. 25,47 - Ἐὰν δὲ εὕρῃ ἡ χεὶρ τοῦ προσηλύτου ἢ τοῦ παροίκου τοῦ παρὰ σοί, καὶ ἀπορηθεὶς ὁ ἀδελφός σου πραθῇ τῷ προσηλύτῳ ἢ τῷ παροίκῳ τῷ παρὰ σοὶ ἢ ἐκ γενετῆς προσηλύτῳ,

Λευ. 25,47 - Εάν ο ξένος η ο παρεπίδημος, που ευρίσκεται κοντά σου ευημερήση οικονομικώς, και ο αδελφός σου ο Ισραηλίτης πωληθή ως δούλος εις αυτόν τον ξένον η τον παρεπίδημρν η εις κάποιον γεννηθέντα από οικογένειαν ξένον,

Λευ. 25,48 - μετὰ τὸ πραθῆναι αὐτῷ, λύτρωσις ἔσται αὐτοῦ· εἷς τῶν ἀδελφῶν αὐτοῦ λυτρώσεται αὐτόν.

Λευ. 25,48 - δύναται και πρέπει να εξαγορασθή μετά την πώλησίν του. Ενας εκ των συμπατριωτών του Ισραηλιτών, κατά πρώτον λόγον συγγενής του, πρέπει να τον εξαγοράση.

Λευ. 25,49 - ἀδελφὸς πατρὸς αὐτοῦ ἢ υἱὸς ἀδελφοῦ πατρὸς λυτρώσεται αὐτὸν ἢ ἀπὸ τῶν οἰκείων τῶν σαρκῶν αὐτοῦ, ἐκ τῆς φυλῆς αὐτοῦ, λυτροῦται αὐτόν· ἐὰν δὲ εὐπορηθεὶς ταῖς χερσὶ λυτρῶται ἑαυτόν,

Λευ. 25,49 - Θα τον εξαγοράση ο αδελφός του πατρός του η ο υιός του αδελφού του πατρός του η κάποιος από τους κατά σάρκα συγγενείς του από την φυλήν του οπωσδήποτε κάποιος πρέπει να τον εξαγοράση. Εάν δε ο

ίδιος ευπορηθή οικονομικώς, θα ελευθερώση τον εαυτόν του από την δουλείαν

Λευ. 25,50 - καὶ συλλογιεῖται πρὸς τὸν κεκτημένον αὐτὸν ἀπὸ τοῦ ἔτους, οὗ ἀπέδοτο ἑαυτὸν αὐτῷ ἕως τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως, καὶ ἔσται τὸ ἀργύριον τῆς πράσεως αὐτοῦ ὡς μισθίου· ἔτος ἐξ ἔτους ἔσται μετ᾿ αὐτοῦ.

Λευ. 25,50 - Θα υπολογίση το χρέος του προς τον αγοράσαντα αυτόν από το έτος κατά το οποίον επωλήθη μέχρι του ιωβηλαίου, του έτους της γενικής αφέσεως. Τα οφειλόμενα χρήματα θα υπολογισθούν ως ημερομίσθια εργάτου. Το ένα μετά το άλλο έτος θα υπολογίζωνται έτσι.

Λευ. 25,51 - ἐὰν δέ τινι πλεῖον τῶν ἐτῶν ᾖ, πρὸς ταῦτα ἀποδώσει τὰ λύτρα αὐτοῦ ἀπὸ τοῦ ἀργυρίου τῆς πράσεως αὐτοῦ·

Λευ. 25,51 - Εαν δε στον πωληθέντα ως δούλον υπολείπωνται πολλά έτη μέχρι του ιωβηλαίου, ο θέλων να εξαγοράση αυτόν θα καταβάλη τα ανάλογα χρήματα δια την εξαγοράν του.

Λευ. 25,52 - ἐὰν δὲ ὀλίγον καταλειφθῇ ἀπὸ τῶν ἐτῶν εἰς τὸν ἐνιαυτὸν τῆς ἀφέσεως, καὶ συλλογιεῖται αὐτῷ κατὰ τὰ ἔτη αὐτοῦ, καὶ ἀποδώσει τὰ λύτρα αὐτοῦ.

Λευ. 25,52 - Εάν δε ολίγα έτη υπολείπωνται μέχρι του έτους της αφέσεως, θα υπολογίση και κατά τον αριθμόν των υπολειπομένων ετών θα καταβάλη τα ανάλογα χρήματα.

Λευ. 25,53 - ὡς μισθωτὸς ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ ἔσται μετ᾿ αὐτοῦ· οὐ κατατενεῖς αὐτὸν ἐν τῷ μόχθῳ ἐνώπιόν σου.

Λευ. 25,53 - Ο δούλος αυτός θα θεωρήται ως ημερομίσθιος εργάτης σου δια τα έτη που θα είναι μαζή σου. Δεν θα τον καταθλίβης με εξαντλητικάς εργασίας.

Λευ. 25,54 - ἐὰν δὲ μὴ λυτρῶται κατὰ ταῦτα, ἐξελεύσεται ἐν τῷ ἔτει τῆς ἀφέσεως αὐτὸς καὶ τὰ παιδία αὐτοῦ μετ᾿ αὐτοῦ·

Λευ. 25,54 - Εάν δε δεν εξαγορασθή αυτος σύμφωνα με τα προηγούμενα, θα φύγη οπωσδήποτε ελεύθερος κατά το έτος της αφέσεως αυτός και τα παιδιά του.

Λευ. 25,55 - ὅτι ἐμοὶ οἱ υἱοὶ Ἰσραὴλ οἰκέται εἰσί, παῖδές μου οὗτοί εἰσιν, οὓς ἐξήγαγον ἐκ γῆς Αἰγύπτου· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 25,55 - Αυτά τα διατάσσω εγώ, διότι όλοι οι Ισραηλίται είναι οικέται μου, είναι ιδικοί σου δουλοί, αυτοί τους οποίους εγώ απηλευθέρωσα από την Αίγυπτον. Εγώ είμαι Κυριος ο Θεός σας !

## ΛΕΥΙΤΙΚΟΝ 26

Λευ. 26,1 - Οὐ ποιήσετε ὑμῖν αὐτοῖς χειροποίητα, οὐδὲ γλυπτά, οὐδὲ στήλην ἀναστήσετε ὑμῖν, οὐδὲ λίθον σκοπὸν θήσετε ἐν τῇ γῇ ὑμῶν

προσκυνῆσαι αὐτῷ· ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν.

Λευ. 26,1 - Δεν θα κατασκευάσετε ποτέ δια τον εαυτόν σας χειροποίητα είδωλα ούτε γλυπτά αγάλματα θεών, ούτε θα στήσετε ποτέ ειδωλολατρικήν στήλην, ούτε θα θέσετε εις κανένα σημείον της χώρας σας περίοπτον λίθον, ώστε να προσκυνήτε αυτόν. Εγώ είμαι Κυριος ο Θεός σας.

Λευ. 26,2 - τὰ σάββατά μου φυλάξεσθε, καὶ ἀπὸ τῶν ἁγίων μου φοβηθήσεσθε· ἐγώ εἰμι Κύριος.

Λευ. 26,2 - Θα φυλάξετε την αργίαν και αγιότητα των σαββάτων, θα σέβεσθε και θα φοβήσθε τα άγια μου, (την Σκηνήν του Μαρτυρίου και τα εν αυτή). Εγώ είμαι ο Κυριος.

Λευ. 26,3 - Ἐὰν τοῖς προστάγμασί μου πορεύησθε καὶ τὰς ἐντολάς μου φυλάσσησθε καὶ ποιήσητε αὐτάς,

Λευ. 26,3 - Εάν πορεύεσθε σύμφωνα με τα προστάγματά μου, εάν φυλάττετε και εφαρμόζετε τας εντολάς μου,

Λευ. 26,4 - καὶ δώσω τὸν ὑετὸν ὑμῖν ἐν καιρῷ αὐτοῦ, καὶ ἡ γῆ δώσει τὰ γενήματα αὐτῆς καὶ τὰ ξύλα τῶν πεδίων ἀποδώσει τὸν καρπὸν αὐτῶν.

Λευ. 26,4 - εγώ θα δώσω στον κατάλληλον καιρόν την βροχήν και η γη θα αποδώση τα γεννήματά της και τα καρποφόρα δένδρα των πεδιάδων θα δώσουν τους καρπούς των.

Λευ. 26,5 - καὶ καταλήψεται ὑμῖν ὁ ἁλοητὸς τὸν τρυγητόν, καὶ ὁ τρυγητὸς καταλήψεται τὸν σπόρον, καὶ φάγεσθε τὸν ἄρτον ὑμῶν εἰς πλησμονὴν καὶ κατοικήσετε μετὰ ἀσφαλείας ἐπὶ τῆς γῆς ὑμῶν, καὶ πόλεμος οὐ διελεύσεται διὰ τῆς γῆς ὑμῶν.

Λευ. 26,5 - Η γη θα καρποφορή πλουσίως, ώστε το αλώνισμα των σιτηρών, πλούσιον καθώς θα είναι, θα διαρκή μέχρι του τρυγητού των αμπέλων και το τρύγημα των σταφυλών θα διαρκή έως την εποχήν της νέας σποράς. Θα φάγετε πλούσια τα αγαθά της γης, θα χορτάσετε από αυτά, θα κατοικήτε ασφαλείς εις την χώραν σας και πόλεμος δεν θα πέραση από αυτήν.

Λευ. 26,6 - καὶ δώσω εἰρήνην ἐν τῇ γῇ ὑμῶν, καὶ κοιμηθήσεσθε, καὶ οὐκ ἔσται ὑμᾶς ὁ ἐκφοβῶν, καὶ ἀπολῶ θηρία πονηρὰ ἐκ τῆς γῆς ὑμῶν.

Λευ. 26,6 - Θα δώσω ειρήνην εις την χώραν σας, θα κοιμάσθε ήσυχοι και δεν θα υπάρχη κανείς, που να σας εκφοβίζη. Θα καταστρέψω τα άγρια και αιμοβόρα θηρία από την χώραν σας·

Λευ. 26,7 - καὶ διώξεσθε τοὺς ἐχθροὺς ὑμῶν, καὶ πεσοῦνται ἐναντίον ὑμῶν φόνῳ·

Λευ. 26,7 - θα καταδιώξετε και θα κατανικήσετε τους εχθρούς σας και θα τους ίδετε να πίπτουν φονευμένοι ενώπιόν σας.

Λευ. 26,8 - καὶ διώξονται ἐξ ὑμῶν πέντε ἑκατόν, καὶ ἑκατὸν ὑμῶν διώξονται μυριάδας. καὶ πεσοῦνται οἱ ἐχθροὶ ὑμῶν ἐναντίον ὑμῶν μαχαίρᾳ.

Λευ. 26,8 - Πέντε από σας θα καταδιώκουν εκατόν εχθρούς και εκατόν από σας θα καταδιώκουν αναριθμήτους εχθρούς· και οι εχθροί σας θα πίπτουν εν στόματι μαχαίρας νεκροί ενώπιόν σας.

Λευ. 26,9 - καὶ ἐπιβλέψω ἐφ᾿ ὑμᾶς καὶ αὐξανῶ ὑμᾶς καὶ πληθυνῶ ὑμᾶς καὶ στήσω τὴν διαθήκην μου μεθ᾿ ὑμῶν.

Λευ. 26,9 - Εγώ θα επιβλέψω εις σας με στοργήν και ευμένειαν. Θα σας πληθύνω εις λαόν πολύν και θα κρατήσω και θα εκπληρώσω την υπόσχεσίν μου προς σας.

Λευ. 26,10 - καὶ φάγεσθε παλαιὰ καὶ παλαιὰ παλαιῶν, καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε.

Λευ. 26,10 - Θα έχετε υπερπαραγωγήν αγαθών, ώστε να τρώγετε παλαιά και παλαιότερα προϊόντα της γης. Θα ρίπτετε έξω από τας αποθήκας σας παλαιά γεννήματα, δια να γεμίζετε αυτάς με τα πλούσια εισοδήματα νέας συγκομιδής.

Λευ. 26,11 - καὶ θήσω τὴν σκηνήν μου ἐν ὑμῖν, καὶ οὐ βδελύξεται ἡ ψυχή μου ὑμᾶς,

Λευ. 26,11 - Θα στήσω την Σκηνήν μου και το κατοικητήριόν μου ανά μέσον σας και δεν θα σας αηδιάση η ψυχή μου.

Λευ. 26,12 - καὶ ἐμπεριπατήσω ἐν ὑμῖν· καὶ ἔσομαι ὑμῶν Θεός, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός.

Λευ. 26,12 - Θα περιπατώ εν μέσω υμών. Θα είμαι ο Θεός σας και σεις θα είσθε ο λαός μου.

Λευ. 26,13 - ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, ὁ ἐξαγαγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου, ὄντων ὑμῶν δούλων, καὶ συνέτριψα τὸν δεσμὸν τοῦ ζυγοῦ ὑμῶν καὶ ἤγαγον ὑμᾶς μετὰ παῤῥησίας.

Λευ. 26,13 - Εγώ είμαι Κυριος ο Θεός σας, ο οποίος, όταν ήσθε δούλοι εις την Αίγυπτον, σας έβγαλα από εκεί ελευθέρους και συνέτριψα τον ζυγόν της δουλείας σας και σας οδήγησα με δύναμιν εις την γην της επαγγελίας.

Λευ. 26,14 - ἐὰν δέ μὴ ὑπακούσητέ μου, μὴ δὲ ποιήσητε τὰ προστάγματά μου ταῦτα,

Λευ. 26,14 - Εάν όμως δεν με υπακούσετε και δεν εφαρμόσετε αυτάς τας εντολάς μου,

Λευ. 26,15 - ἀλλὰ ἀπειθήσητε αὐτοῖς καὶ τοῖς κρίμασί μου προσοχθίσῃ ἡ ψυχὴ ὑμῶν, ὥστε ὑμᾶς μὴ ποιεῖν πάσας τὰς ἐντολάς μου, ὥστε διασκεδάσαι τήν διαθήκην μου,

Λευ. 26,15 - αλλά παρακούσετε και παραβήτε αυτάς, αποστραφή δε και αηδιάση η ψυχή σας τας αποφάσεις μου, ώστε με την παρακοήν σας αυτήν να διαλύσετε την συμφωνίαν μου,

Λευ. 26,16 - καὶ ἐγὼ ποιήσω οὕτως ὑμῖν· καὶ ἐπιστήσω ἐφ᾿ ὑμᾶς τὴν ἀπορίαν, τήν τε ψώραν, καὶ τὸν ἴκτερα σφακελίζοντα τοὺς ὀφθαλμοὺς

ὑμῶν, καὶ τὴν ψυχὴν ὑμῶν ἐκτήκουσαν, καὶ σπερεῖτε διακενῆς τὰ σπέρματα ὑμῶν, καὶ ἔδονται οἱ ὑπεναντίοι ὑμῶν.

Λευ. 26,16 - και εγώ θα κάμω το ίδιο προς σας θα παραμερίσω την υπόσχεσιν, που σας έχω δώσει, και θα αποστείλω εναντίον σας φτώχειαν και ψώραν και ίκτερον, που εξασθενίζει τους οφθαλμούς σας και λυώνει την ζωήν σας. Θα σπείρετε εις τα χαμένα τους σπόρους σας και τα προϊόντα των αγρών σας θα τα τρώγουν οι εχθροί σας.

Λευ. 26,17 - καὶ ἐπιστήσω τὸ πρόσωπόν μου ἐφ᾽ ὑμᾶς, καὶ πεσεῖσθε ἐναντίον τῶν ἐχθρῶν ὑμῶν, καὶ διώξονται ὑμᾶς οἱ μισοῦντες ὑμᾶς, καὶ φεύξεσθε οὐδενὸς διώκοντος ὑμᾶς.

Λευ. 26,17 - Θα στρέψω ωργισμένον το πρόσωπόν μου εναντίον σας και θα πέσετε νικημένοι ενώπιον των εχθρών σας και αυτοί, που σας μισούν, θα σας καταδιώκουν. Θα ελθουν δε και περιστάσεις, κατά τας οποίας πανικόβλητοι θα φύγετε, χωρίς κανείς να σας καταδιώκη.

Λευ. 26,18 - καὶ ἐὰν ἕως τούτου μὴ ὑπακούσητέ μου, καὶ προσθήσω τοῦ παιδεῦσαι ὑμᾶς ἑπτάκις ἐπὶ ταῖς ἁμαρτίαις ὑμῶν.

Λευ. 26,18 - Και εάν, παρ' όλας τας τιμωρίας αυτάς, δεν μετανοήσετε και δεν με υπακούσετε, θα προσθέσω νέας και θα σας τιμωρήσω επτά φοράς περισσότερον δια τας αμαρτίας σας.

Λευ. 26,19 - καὶ συντρίψω τὴν ὕβριν τῆς ὑπερηφανίας ὑμῶν, καὶ θήσω τὸν οὐρανὸν ὑμῖν σιδηροῦν καὶ τὴν γῆν ὑμῶν ὡσεὶ χαλκῆν.

Λευ. 26,19 - Θα συντρίψω την αλαζονείαν της υπερηφανείας σας και δεν θα στείλω βροχάς, ώστε ο ουρανός να φαίνεται σαν σίδηρος και η γη από την ξηρασίαν σαν χαλκός.

Λευ. 26,20 - καὶ ἔσται εἰς κενὸν ἡ ἰσχὺς ὑμῶν, καὶ οὐ δώσει ἡ γῆ ὑμῶν τὸν σπόρον αὐτῆς, καὶ τὸ ξύλον τοῦ ἀγροῦ ὑμῶν οὐ δώσει τὸν καρπὸν αὐτοῦ.

Λευ. 26,20 - Η δύναμίς σας και οι κόποι σας θα είναι επί ματαίω. Η γη δεν θα δώση ούτε τον σπόρον, που ερρίψατε εις αυτήν, και τα καρποφόρα δένδρα των αγρών σας δεν θα φέρουν καρπούς.

Λευ. 26,21 - καὶ ἐὰν μετὰ ταῦτα πορεύησθε πλάγιοι, καὶ μὴ βούλησθε ὑπακούειν μου, προσθήσω ὑμῖν πληγὰς ἑπτὰ κατὰ τὰς ἁμαρτίας ὑμῶν.

Λευ. 26,21 - Και εάν παρ' όλα αυτά εξακολουθήτε να ζήτε αμετανόητοι και να φέρεσθε με δολιότητα απέναντι, μου και δεν θελήσετε να υπακούσετε εις τας εντολάς μου, εγώ θα επιφέρω εναντίον σας και άλλας πολλάς τιμωρίας, σύμφωνα με τας αμαρτίας που θα διαπράττετε.

Λευ. 26,22 - καὶ ἀποστελῶ ἐφ᾽ ὑμᾶς τὰ θηρία τὰ ἄγρια τῆς γῆς καὶ κατέδεται ὑμᾶς καὶ ἐξαναλώσει τὰ κτήνη ὑμῶν, καὶ ὀλιγοστοὺς ποιήσω ὑμᾶς, καὶ ἐρημωθήσονται αἱ ὁδοὶ ὑμῶν.

Λευ. 26,22 - Θα εξαπολύσω εναντίον σας τα άγρια θηρία της γης, τα οποία και σας θα κατασπαράξουν και τα ζώα σας θα καταστρέψουν· και έτσι θα σας κάμω ολιγοστούς εις την χώραν σας και θα μείνουν έρημοι από ανθρώπους οι δρόμοι σας.

Λευ. 26,23 - καὶ ἐπὶ τούτοις ἐὰν μὴ παιδευθῆτε, ἀλλὰ πορεύησθε πρός με πλάγιοι,

Λευ. 26,23 - Και αν πάλιν με αυτά δεν παιδαγωγηθήτε και δεν αλλάξετε ζωήν, αλλά εξακολουθήτε να φέρεσθε με υποκρισίαν και πονηρίαν απέναντί μου,

Λευ. 26,24 - πορεύσομαι κἀγὼ μεθ᾿ ὑμῶν θυμῷ πλαγίῳ, καὶ πατάξω ὑμᾶς κἀγὼ ἑπτάκις ἀντὶ τῶν ἁμαρτιῶν ὑμῶν.

Λευ. 26,24 - θα φερθώ και εγώ απέναντί σας με θυμόν αιφνίδιον και θα σας τιμωρήσω πολλαπλασίως δια τας αμαρτίας σας.

Λευ. 26,25 - καὶ ἐπάξω ἐφ᾿ ὑμᾶς μάχαιραν ἐκδικοῦσαν δίκην διαθήκης, καὶ καταφεύξεσθε εἰς τὰς πόλεις ὑμῶν· καὶ ἐξαποστελῶ θάνατον εἰς ὑμᾶς, καὶ παραδοθήσεσθε εἰς χεῖρας τῶν ἐχθρῶν.

Λευ. 26,25 - Θα φέρω εναντίον σας εκδικητικήν των εχθρών σας την μάχαιραν, η οποία θα σας τιμωρήση δια την καταπάτησιν της διαθήκης μου. Και δια τον φόρον της σφαγής σας θα καταφύγετε από την ύπαιθρον εις τας πόλεις. Αλλά και εκεί δεν θα είσθε ασφαλείς· θα αποστείλω εναντίον σας θάνατον και θα παραδοθήτε εις τας χείρας των εχθρών σας.

Λευ. 26,26 - ἐν τῷ θλῖψαι ὑμᾶς σιτοδείᾳ ἄρτων, καὶ πέψουσι δέκα γυναῖκες τοὺς ἄρτους ὑμῶν ἐν κλιβάνῳ ἑνί, καὶ ἀποδώσουσι τοὺς ἄρτους ὑμῶν ἐν σταθμῷ, καὶ φάγεσθε καὶ οὐ μὴ ἐμπλησθῆτε.

Λευ. 26,26 - Οταν θα σας τιμωρήσω με έλλειψιν άρτων, δέκα γυναίκες, διότι δεν θα υπάρχουν άλευρα ικανά, θα ψήνουν τους ολίγους άρτους σας εις ένα μόνον κλίβανον. Θα σας δίδουν το ψωμί με το ζύγι και δεν θα χορταίνετε.

Λευ. 26,27 - ἐὰν δὲ ἐπὶ τούτοις μὴ ὑπακούσητέ μου, καὶ πορεύησθε πρός με πλάγιοι,

Λευ. 26,27 - Εάν δε παρ' όλα αυτά και πάλιν δεν υπακούσετε εις εμέ, αλλά πορεύεσθε εις δρόμους πλαγίους, που απομακρύνουν από εμέ,

Λευ. 26,28 - καὶ αὐτὸς πορεύσομαι μεθ᾿ ὑμῶν ἐν θυμῷ πλαγίῳ, καὶ παιδεύσω ὑμᾶς ἐγὼ ἑπτάκις κατὰ τὰς ἁμαρτίας ὑμῶν.

Λευ. 26,28 - και εγώ θα φερθώ απέναντί σας με θυμόν που δεν περιμένετε, και θα σας τιμωρήσω σκληρότερον ανάλογα με τας αμαρτίας σας.

Λευ. 26,29 - καὶ φάγεσθε τὰς σάρκας τῶν υἱῶν ὑμῶν καὶ τὰς σάρκας τῶν θυγατέρων ὑμῶν φάγεσθε,

Λευ. 26,29 - Τοση δε θα είναι η πείνα σας και η αλλοφροσύνη σας, ώστε θα φάγετε τας σάρκας των υιών σας και τας σάρκας των θυγατέρων σας.

Λευ. 26,30 - καὶ ἐρημώσω τὰς στήλας ὑμῶν, καὶ ἐξολοθρεύσω τὰ ξύλινα χειροποίητα ὑμῶν, καὶ θήσω τὰ κῶλα ὑμῶν ἐπὶ τὰ κῶλα τῶν εἰδώλων ὑμῶν, καὶ προσοχθιεῖ ἡ ψυχή μου ὑμῖν.

Λευ. 26,30 - Θα κάμω ερήμους εγώ τας ειδωλολατρικάς σας στήλας, θα εξολοθρεύσω τα ξύλινα χειροποίητα αγάλματά σας και θα απορρίψω τα μέλη του σώματός σας επάνω εις τα συντρίμματα των ειδώλων σας, θα σας αποστραφή και θα σας αηδιάση η ψυχή μου.

Λευ. 26,31 - καὶ θήσω τὰς πόλεις ὑμῶν ἐρήμους καὶ ἐξερημώσω τὰ ἅγια ὑμῶν, καὶ οὐ μὴ ὀσφρανθῶ τῆς ὀσμῆς τῶν θυσιῶν ὑμῶν.

Λευ. 26,31 - Θα καταστήσω τας πόλεις σας ερήμους, έρημα θα κάμω τα άγια μέρη της Σκηνής του Μαρτυρίου και δεν θα οσφρανθώ πλέον την οσμήν των θυσιών σας.

Λευ. 26,32 - καὶ ἐξερημώσω ἐγὼ τὴν γῆν ὑμῶν, καὶ θαυμάσονται ἐπ᾽ αὐτῇ οἱ ἐχθροὶ ὑμῶν οἱ ἐνοικοῦντες ἐν αὐτῇ.

Λευ. 26,32 - Θα καταστήσω εγώ έρημον την χώραν σας, ώστε και αυτοί ακόμη οι εχθροί σας, οι οποίοι θα την κατοικήσουν, να μένουν κατάπληκτοι.

Λευ. 26,33 - καὶ διασπερῶ ὑμᾶς εἰς τὰ ἔθνη, καὶ ἐξαναλώσει ὑμᾶς ἐπιπορευομένη ἡ μάχαιρα· καὶ ἔσται ἡ γῆ ὑμῶν ἔρημος, καὶ αἱ πόλεις ὑμῶν ἔσονται ἔρημοι.

Λευ. 26,33 - Θα σας διασκορπίσω εις τα διάφορα έθνη και εκεί θα σας εξολοθρεύση εναντίον σας επερχομένη μάχαιρα. Η χώρα σας θα ερημωθή από κατοίκους και αι πόλεις σας θα μείνουν έρημοι και ακατοίκητοι.

Λευ. 26,34 - τότε εὐδοκήσει ἡ γῆ τὰ σάββατα αὐτῆς πάσας τὰς ἡμέρας τῆς ἐρημώσεως αὐτῆς, καὶ ὑμεῖς ἔσεσθε ἐν τῇ γῇ τῶν ἐχθρῶν ὑμῶν· τότε σαββατιεῖ ἡ γῆ, καὶ εὐδοκήσει ἡ γῆ τὰ σάββατα αὐτῆς.

Λευ. 26,34 - Τοτε που σεις θα έχετε απαχθή ως δούλοι εις τα διάφορα έθνη, η ερημωμένη χώρα σας θα χαρή την αργίαν των σαββάτων, τότε η γη θα αναπαυθή και θα χαρή τον σαββατισμόν της αγραναπαύσεώς της, διότι δεν θα ζήτε πλέον σεις εκεί, δια να καταλύετε την αργίαν του Σαββάτου και την αγρανάπαυσιν του έτους της αφέσεως.

Λευ. 26,35 - πάσας τὰς ἡμέρας τῆς ἐρημώσεως αὐτῆς σαββατιεῖ, ἃ οὐκ ἐσαββάτισεν ἐν τοῖς σαββάτοις ὑμῶν, ἡνίκα κατῳκεῖτε αὐτήν.

Λευ. 26,35 - Καθ' όλον το διάστημα της ερημώσεώς της η χώρα σας θα αναπαυθή και θα έχη σάββατα, δι' όσα σάββατα δεν ανεπαύθη, όταν σεις εμένατε εις αυτήν και με την εργασίαν σας εβεβηλώνατε τα σάββατα.

Λευ. 26,36 - καὶ τοῖς καταλειφθεῖσιν ἐξ ὑμῶν ἐπάξω δουλείαν εἰς τὴν καρδίαν αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν, καί διώξεται αὐτοὺς φωνὴ φύλλου φερομένου, καὶ φεύξονται ὡς φεύγοντες ἀπὸ πολέμου, καὶ πεσοῦνται οὐδενὸς διώκοντος·

Λευ. 26,36 - Οσοι απολειφθούν από την σφαγήν και τον θάνατον θα γίνουν δούλοι, θα έχουν δουλικόν και περί φόβον φρόνημα εις την χώραν των εχθρών των. Το ελαφρόν θρόϊσμα του φύλλου, που παρασύρεται από τον άνεμον. Θα τους τρομάζη και θα τους τρέπη εις φυγήν. Θα φεύγουν πανικόβλητοι ωσάν εις επιδρομήν εχθρών και θα πίπτουν χωρίς κανείς να τους καταδιώκη.

Λευ. 26,37 - καὶ ὑπερόψεται ὁ ἀδελφὸς τὸν ἀδελφὸν ὡσεὶ ἐν πολέμῳ, οὐδενὸς κατατρέχοντος, καὶ οὐ δυνήσεσθε ἀντιστῆναι τοῖς ἐχθροῖς ὑμῶν.

Λευ. 26,37 - Θα αδιαφορήση ο αδελφός δια τον αδελφόν του, όπως εις καιρόν μάχης· και ενώ κανείς δεν θα σας καταδιώκη, σεις δεν θα έχετε ψυχικόν σθένος να αντισταθήτε στους εχθρούς σας.

Λευ. 26,38 - καὶ ἀπολεῖσθε ἐν τοῖς ἔθνεσι, καὶ κατέδεται ὑμᾶς ἡ γῆ τῶν ἐχθρῶν ὑμῶν.

Λευ. 26,38 - Θα αποθάνετε ως ξένοι και δούλοι ανάμεσα στους ειδωλολατρικούς λαούς και η ξένη γη, η γη των εχθρών σας, θα σας καταφάγη.

Λευ. 26,39 - καὶ οἱ καταλειφθέντες ἀφ᾿ ὑμῶν καταφθαρήσονται διὰ τὰς ἁμαρτίας αὐτῶν καὶ διὰ τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν, ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν τακήσονται.

Λευ. 26,39 - Και όσοι από σας απολειφθούν, θα καταστραφούν δια τας ιδικάς των αμαρτίας και δια τας αμαρτίας των πατέρων των (τας οποίας και αυτοί θα έχουν υιοθετήσει) και θα λυώσουν αιχμάλωτοι εις την χώραν των εχθρών των.

Λευ. 26,40 - καὶ ἐξαγορεύσουσι τὰς ἁμαρτίας αὐτῶν καὶ τὰς ἁμαρτίας τῶν πατέρων αὐτῶν, ὅτι παρέβησαν καὶ ὑπερεῖδόν με, καὶ ὅτι ἐπορεύθησαν ἐναντίον μου πλάγιοι,

Λευ. 26,40 - Και τότε συντετριμμένοι από το βάρος της ενοχής των θα εξομολογηθούν εν μετανοία τας ιδικάς των αμαρτίας και τας των πατέρων των, θα ομολογήσουν ότι παρέβησαν τας εντολάς μου, ότι δεν με ελογάριασαν ως Θεόν των και ότι επορεύθησαν δολίως εναντίον μου.

Λευ. 26,41 - καὶ ἐγὼ ἐπορεύθην μετ᾿ αὐτῶν ἐν θυμῷ πλαγίῳ, καὶ ἀπολῶ αὐτοὺς ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν· τότε ἐντραπήσεται ἡ καρδία αὐτῶν ἡ ἀπερίτμητος, καὶ τότε εὐδοκήσουσι τὰς ἁμαρτίας αὐτῶν.

Λευ. 26,41 - Θα αναγνωρίσουν ότι και εγώ εξ αιτίας των εφέρθην προς αυτούς με θυμόν και αγανάκτησιν και κατέστρεψα αυτούς εις την χώραν των εχθρών των. Τοτε η σκληρά των καρδιά θα συγκινηθή και θα εντραπή, θα κατανοήσουν και θα αισθανθούν το βάρος των αμαρτιών των.

Λευ. 26,42 - καὶ μνησθήσομαι τῆς διαθήκης Ἰακὼβ καὶ τῆς διαθήκης Ἰσαάκ, καὶ τῆς διαθήκης Ἀβραὰμ μνησθήσομαι, καὶ τῆς γῆς μνησθήσομαι.

Λευ. 26,42 - Και εγώ θα ενθυμηθώ την υπόσχεσιν, την οποίαν έδωσα στον Ιακώβ, στον Ισαάκ και στον Αβραάμ· και την χώραν θα ενθυμηθώ.

Λευ. 26,43 - καὶ ἡ γῆ ἐγκαταλειφθήσεται ἀπ᾿ αὐτῶν· τότε προσδέξεται ἡ γῆ τὰ σάββατα αὐτῆς, ἐν τῷ ἐρημωθῆναι αὐτὴν δι᾿ αὐτούς, καὶ αὐτοὶ προσδέξονται τὰς αὐτῶν ἀνομίας, ἀνθ᾿ ὧν τὰ κρίματά μου ὑπερεῖδον, καὶ τοῖς προστάγμασί μου προσώχθισαν τῇ ψυχῇ αὐτῶν.

Λευ. 26,43 - Θα ενθυμηθώ ότι η γη Χαναάν εγκατελείφθη από σας τους Ισραηλίτας. Και καθώς έμεινεν έρημος και ακατοίκητος έλαβεν όλα τα σάββατά της, τας αργίας και αναπαύσεις της, δια την ερήμωσίν της εξ αιτίας των κατοίκων της. Και αυτοί οι ίδιοι έλαβον τιμωρίας κατά τας ανομίας αυτών, διότι κατεφρόνησαν τας εντολάς μου, εδυσφόρησαν και εβαρύνθησαν τα προστάγματά μου με όλην των την ψυχήν.

Λευ. 26,44 - καὶ οὐδ᾿ ὡς ὄντων αὐτῶν ἐν τῇ γῇ τῶν ἐχθρῶν αὐτῶν οὐχ ὑπερεῖδον αὐτούς, οὐδὲ προσώχθισα αὐτοῖς ὥστε ἐξαναλῶσαι αὐτούς, τοῦ διασκεδάσαι τὴν διαθήκην μου τὴν πρὸς αὐτούς· ἐγὼ γάρ εἰμι Κύριος ὁ Θεὸς αὐτῶν.

Λευ. 26,44 - Εγώ, και όταν ακόμη αυτοί ευρίσκοντο δούλοι εις την χώραν των εχθρών των, δεν τους κατεφρόνησα, δεν τους απεστράφην, ούτε ηγανάκτησα εναντίον των, ώστε να τους καταστρέψω και να διαλύσω την διαθήκην μου, την οποίαν έκαμα με αυτούς. Διότι εγώ είμαι ο Κυριος και Θεός των.

Λευ. 26,45 - καί μνησθήσομαι διαθήκης αὐτῶν τῆς προτέρας, ὅτε ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας ἔναντι τῶν ἐθνῶν, τοῦ εἶναι αὐτῶν Θεός· ἐγώ εἰμι Κύριος.

Λευ. 26,45 - Θα ενθυμηθώ την υπόσχεσιν, που τους είχα δώσει προηγουμένως, όταν ελευθέρους τους είχα βγάλει από την γην της Αιγύπτου, από τον τόπον εκείνον της δουλείας, ενώπιον των ειδωλολατρικών εθνών, ότι θα είμαι ο Θεός των. Εγώ είμαι ο Κυριος.

Λευ. 26,46 - ταῦτα τὰ κρίματά μου καὶ τὰ προστάγματά μου καὶ ὁ νόμος, ὃν ἔδωκε Κύριος ἀνὰ μέσον αὐτοῦ καὶ ἀνὰ μέσον τῶν υἱῶν Ἰσραήλ, ἐν τῷ ὄρει Σινά, ἐν χειρὶ Μωυσῆ.

Λευ. 26,46 - Αυταί είναι αι κρίσεις μου και αι εντολαί μου και ο νόμος, τον οποίον έδωκεν ο Κυριος μεταξύ αυτού και των Ισραηλιτών στο όρος Σινά δια μέσου του Μωϋσέως".

## ΛΕΥΙΤΙΚΟΝ 27

Λευ. 27,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Λευ. 27,1 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Λευ. 27,2 - λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς αὐτοῖς· ὃς ἂν εὔξηται εὐχὴν ὥστε τιμὴν τῆς ψυχῆς αὐτοῦ τῷ Κυρίῳ,

Λευ. 27,2 - “ομίλησε προς τους Ισραηλίτας και ειπέ προς αυτούς· Ανθρωπος, ο οποίος έταξε τον εαυτόν του στον Θεόν, επιθυμεί δε να απαλλαγή αυτού του ταξίματος, η αξία δια την ζωήν του που θα καταβάλη στον Κυριον,

Λευ. 27,3 - ἔσται ἡ τιμὴ τοῦ ἄρσενος ἀπὸ εἰκοσαετοῦς ἕως ἑξηκονταετοῦς, ἔσται αὐτοῦ ἡ τιμὴ πεντήκοντα δίδραχμα ἀργυρίου τῷ σταθμῷ τῷ ἁγίῳ,

Λευ. 27,3 - θα είναι δια μεν τον άρρενα, από είκοσι έως εξήκοντα ετών, πεντήκοντα αργυρά δίδραχμα ζυγισμένα με τα ζύγια που ισχύουν στον ιερόν τόπον (το δίδραχμον είχε βάρος 10,4 - γραμμαρ.).

Λευ. 27,4 - τῆς δὲ θηλείας ἔσται ἡ συντίμησις τριάκοντα δίδραχμα.

Λευ. 27,4 - Εάν όμως είναι θήλυ, η τιμή της εξαγοράς θα είναι τριάκοντα δίδραχμα.

Λευ. 27,5 - ἐὰν δὲ ἀπὸ πεντεαετοῦς ἕως εἴκοσιν ἐτῶν, ἔσται ἡ τιμὴ τοῦ ἄρσενος εἴκοσι δίδραχμα, τῆς δὲ θηλείας δέκα δίδραχμα.

Λευ. 27,5 - Εάν είναι από πέντε έως είκοσιν ετών, το τίμημα της εξαγοράς του άρρενος θα είναι είκοσι δίδραχμα, του δε θήλεος δέκα δίδραχμα.

Λευ. 27,6 - ἀπὸ δὲ μηνιαίου ἕως πενταετοῦς ἔσται ἡ τιμὴ τοῦ ἄρσενος πέντε δίδραχμα, τῆς δὲ θηλείας τρία δίδραχμα ἀργυρίου.

Λευ. 27,6 - Εάν δε είναι ενός μηνός μέχρι πέντε ετών, του άρρενος η εξαγορά θα είναι πέντε δίδραχμα αργυρά, του δε θήλεος τρία.

Λευ. 27,7 - ἐὰν δὲ ἀπὸ ἑξηκονταετῶν καὶ ἐπάνω, ἐὰν μὲν ἄρσεν ᾖ, ἔσται ἡ τιμὴ αὐτοῦ πεντεκαίδεκα δίδραχμα ἀργυρίου, ἐὰν δὲ θήλεια, δέκα δίδραχμα.

Λευ. 27,7 - Εάν δε είναι εξήκοντα ετών και άνω, αν μεν είναι άρρην η τιμή της εξαγοράς αυτού θα είναι δεκαπέντε αργυρά δίδραχμα, εάν δε είναι θήλυ, δέκα.

Λευ. 27,8 - ἐὰν δὲ ταπεινὸς ᾖ τῇ τιμῇ, στήσεται ἐναντίον τοῦ ἱερέως, καὶ τιμήσεται αὐτὸν ὁ ἱερεύς· καθάπερ ἰσχύει ἡ χεὶρ τοῦ εὐξαμένου, τιμήσεται αὐτὸν ὁ ἱερεύς.

Λευ. 27,8 - Εάν όμως κανείς είναι πτωχός και αδυνατή να καταβάλη την τιμήν της εξαγοράς του, θα παρουσιασθή ενώπιον του ιερέως, και ο ιερεύς θα κανονίση την τιμήν. Θα την κανονίση αναλόγως της οικονομικής αντοχής αυτού, ο οποίος έκαμε το τάμα.

Λευ. 27,9 - Ἐὰν δὲ ἀπὸ τῶν πτηνῶν τῶν προσφερομένων ἀπ᾽ αὐτῶν δῶρον τῷ Κυρίῳ, ὃς ἂν δῷ ἀπὸ τούτων τῷ Κυρίῳ, ἔσται ἅγιον.

Λευ. 27,9 - Εάν κανείς έχη τάξει στον Κυριον ένα από τα καθαρά πτηνά, που προσφέρονται ως θυσία, θα προσφέρη στον Κυριον αυτό τούτο το πτηνόν.

Λευ. 27,10 - οὐκ ἀλλάξει αὐτὸ καλὸν πονηρῷ, οὐδὲ πονηρὸν καλῷ· ἐὰν δὲ ἀλλάσσων ἀλλάξῃ αὐτὸ κτῆνος κτήνει, ἔσται αὐτὸ καὶ τὸ ἄλλαγμα ἅγια.

Λευ. 27,10 - Δεν θα αντικαταστήση το καθαρόν τούτο πτηνόν με άλλο κατώτερον ούτε το κατώτερον με άλλο καλύτερον. Εάν δε τάξης ένα από τα ζώα σου και αλλάξης αυτό με άλλο, θα προσφέρης στον Θεόν και το ζώον που έταξες, και το ζώον που προσέφερες ως αντάλλαγμα.

Λευ. 27,11 - ἐὰν δὲ πᾶν κτῆνος ἀκάθαρτον, ἀφ᾿ ὧν οὐ προσφέρεται ἀπ᾿ αὐτῶν δῶρον τῷ Κυρίῳ, στήσει τὸ κτῆνος ἔναντι τοῦ ἱερέως,

Λευ. 27,11 - Εάν όμως τάξης προς τον Θεόν ζώον ακάθαρτον, από εκείνα τα οποία δεν πρέπει να πρασφέρωνται θυσία προς τον Θεόν, θα παρουσιάσης το ζώον ενώπιον του ιερέως,

Λευ. 27,12 - καὶ τιμήσεται αὐτὸ ὁ ἱερεὺς ἀνὰ μέσον καλοῦ καὶ ἀνὰ μέσον πονηροῦ, καὶ καθότι ἂν τιμήσηται αὐτὸ ὁ ἱερεύς, οὕτω στήσεται.

Λευ. 27,12 - ο δε ιερεύς θα εκτιμήση αυτό κατά τα πλεονεκτήματα και μειονεκτήματα που έχει, και κατά την εκτίμησιν του ιερέως θα κανονισθή εις χρήμα η αξία του.

Λευ. 27,13 - ἐὰν δέ λυτρούμενος λυτρώσηται αὐτό, προσθήσει τὸ ἐπίπεμπτον πρὸς τὴν τιμὴν αὐτοῦ.

Λευ. 27,13 - Οταν, λοιπόν, θεληση ο ιδιοκτήτης του, να εξαγοράση το ζώον του ταξίματός του, θα πληρώση την τιμήν, που καθώρισεν ο ιερεύς, εις την οποίαν θα προσθέση και το εν πέμπτον της καθορισθείσης τιμής.

Λευ. 27,14 - Καὶ ἄνθρωπος, ὃς ἂν ἁγιάσῃ τὴν οἰκίαν αὐτοῦ ἁγίαν τῷ Κυρίῳ, καὶ τιμήσεται αὐτὴν ὁ ἱερεύς, ἀνὰ μέσον καλῆς καὶ ἀνὰ μέσον πονηρᾶς· ὡς ἂν τιμήσηται αὐτὴν ὁ ἱερεύς, οὕτω σταθήσεται.

Λευ. 27,14 - Εάν ένας άνθρωπος θελήση να αφιερώση στον Κυριον την οικίαν του, ο ιερεύς θα εκτιμήση αυτήν αναλόγως των πλεονεκτημάτων και μειονεκτημάτων της και η εκτίμησις αυτή του ιερέως θα έχη υσχύν.

Λευ. 27,15 - ἐὰν δὲ ὁ ἁγιάσας αὐτὴν λυτρῶται τὴν οἰκίαν αὐτοῦ, προσθήσει ἐπ᾿ αὐτὸ τὸ ἐπίπεμπτον τοῦ ἀργυρίου τῆς τιμῆς, καὶ ἔσται αὐτῷ.

Λευ. 27,15 - Εάν δε αυτός που έταξε την οικίαν του, θελήση να την εξαγοράση, θα προσθέση και το εν πέμπτον της αξίας της εις άργυρον, και η οικία θα είναι και θα μείνη ιδική του.

Λευ. 27,16 - Ἐὰν δὲ ἀπὸ τοῦ ἀγροῦ τῆς κατασχέσεως αὐτοῦ ἁγιάσῃ ἄνθρωπος τῷ Κυρίῳ, καὶ ἔσται ἡ τιμὴ κατὰ τὸν σπόρον αὐτοῦ, κόρου κριθῶν πεντήκοντα δίδραχμα ἀργυρίου.

Λευ. 27,16 - Εάν δε κανείς τάξη στον Κυριον αγρόν από την κληρονομίαν του, η τιμή δια την εξαγοράν αυτού θα κανονισθή αναλόγως του ριπτομένου εις αυτόν σπόρου. Εάν ο σπόρος είναι βάρους ενός κόρου (201 - περίπου κιλά), θα καταβάλη πεντήκοντα αργυρά δίδραχμα.

Λευ. 27,17 - ἐὰν δὲ ἀπὸ τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως ἁγιάσῃ τὸν ἀγρὸν αὐτοῦ, κατὰ τὴν τιμὴν αὐτοῦ στήσεται.
Λευ. 27,17 - Εάν κανείς τάξη τον αγρόν του από την αρχήν του έτους της αφέσεως, θα υπολογισθή ολόκληρος η αξία του,
Λευ. 27,18 - ἐὰν δὲ ἔσχατον μετὰ τήν ἄφεσιν ἁγιάσῃ τὸν ἀγρὸν αὐτοῦ, προσλογιεῖται αὐτῷ ὁ ἱερεὺς τὸ ἀργύριον ἐπὶ τὰ ἔτη τὰ ἐπίλοιπα, ἕως εἰς τὸν ἐνιαυτὸν τῆς ἀφέσεως, καὶ ἀνθυφαιρεθήσεται ἀπὸ τῆς συντιμήσεως αὐτοῦ.
Λευ. 27,18 - Εάν όμως τάξη τον αγρόν του μετά το έτος της αφέσεως, ο ιερεύς θα υπολογίση το αργύριον, που πρέπει να καταβληθή, αναλόγως του αριθμού των ετών, τα οποία υπολείπονται μέχρι του έτους της αφέσεως και θα αφαιρέση από την αξίαν του αγρού το σχετικόν ποσόν.
Λευ. 27,19 - ἐὰν δὲ λυτρῶται τὸν ἀγρὸν ὁ ἁγιάσας αὐτόν, προσθήσει τὸ ἐπίπεμπτον τοῦ ἀργυρίου πρὸς τὴν τιμὴν αὐτοῦ, καὶ ἔσται αὐτῷ.
Λευ. 27,19 - Οπωσδήποτε εκείνος ο οποίος θα θελήση να εξαγοράση τον αγρόν του ταξίματός του, θα προσθέση εις την τιμήν, που θα καθορισθή, και το εν πέμπτον ακόμη, και έτσι ο αγρός θα είναι ιδικός του.
Λευ. 27,20 - ἐὰν δὲ μὴ λυτρῶται τὸν ἀγρόν, καὶ ἀποδῶται τὸν ἀγρὸν ἀνθρώπῳ ἑτέρῳ, οὐκέτι μὴ λυτρώσηται αὐτόν.
Λευ. 27,20 - Εάν όμως δεν θέλη να εξαγοράση τον αγρόν του, τον πωλήση δε βεβαρημένον, όπως είναι, εις άλλον άνθρωπον, δεν δύναται πλέον να τον εξαγοράση·
Λευ. 27,21 - ἀλλ᾽ ἔσται ὁ ἀγρὸς ἐξεληλυθυίας τῆς ἀφέσεως ἅγιος τῷ Κυρίῳ, ὥσπερ ἡ γῆ ἡ ἀφωρισμένῃ· τῷ ἱερεῖ ἔσται κατάσχεσις αὐτοῦ.
Λευ. 27,21 - αλλά όταν θα έλθη το έτος της αφέσεως, ο αγρός θα είναι αφιερωμένος στον Κυριον, όπως άλλωστε όλη η γη ανήκει στον Κυριον. Ο αγρός θα γίνη ιδιοκτησία των ιερέων.
Λευ. 27,22 - Ἐὰν δὲ ἀπὸ τοῦ ἀγροῦ οὗ κέκτηται, ὃς οὐκ ἔστιν ἀπὸ τοῦ ἀγροῦ τῆς κατασχέσεως αὐτοῦ, ἁγιάσῃ τῷ Κυρίῳ,
Λευ. 27,22 - Εάν τάξη αγρόν, ο οποίος δεν περιήλθεν εις την ιδιοκτησίαν του από κληρονομίαν αλλά από αγοράν,
Λευ. 27,23 - ὁ ἱερεὺς λογιεῖται πρὸς αὐτὸν τὸ τέλος τῆς τιμῆς ἐκ τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως, καί ἀποδώσει τὴν τιμὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἅγιον τῷ Κυρίῳ.
Λευ. 27,23 - ο ιερεύς θα λογαριάση την αξαν του αγρού αναλόγως των ετών, που υπολείπονται μέχρι του έτους της αφέσεως, και ο θέλων να εξαγοράση αυτόν τον αγρόν του ταξίματός του θα καταβάλη προς τον Κυριον κατά την ημέραν αυτήν το κανονισθέν τίμημα.
Λευ. 27,24 - καὶ ἐν τῷ ἐνιαυτῷ τῆς ἀφέσεως ἀποδοθήσεται ὁ ἀγρὸς τῷ ἀνθρώπῳ παρ᾽ οὗ κέκτηται αὐτόν, οὗ ἦν ἡ κατάσχεσις τῆς γῆς.

Λευ. 27,24 - Κατά δε το έτος της αφέσεως ο αγρός θα αποδοθή στον πρώτον αυτού ιδιοκτήτην, ο οποίος εκ κληρονομίας είχεν αυτόν ως ιδιοκτησίαν.

Λευ. 27,25 - καὶ πᾶσα τιμὴ ἔσται σταθμίοις ἁγίοις· εἴκοσιν ὀβολοὶ ἔσται τὸ δίδραχμον.

Λευ. 27,25 - Καθε εκτίμησις θα γίνεται σύμφωνα με τα ιερά ζύγια. Είκοσι οβολοί θα είναι ένα δίδραχμον.

Λευ. 27,26 - Καὶ πᾶν πρωτότοκον ὃ ἐὰν γένηται ἐν τοῖς κτήνεσί σου, ἔσται τῷ Κυρίῳ, καὶ οὐ καθαγιάσει αὐτὸ οὐδείς· ἐάν τε μόσχον ἐάν τε πρόβατον, τῷ Κυρίῳ ἐστίν.

Λευ. 27,26 - Καθε πρωτότοκον, το οποίον θα γεννήσουν τα ζώα σου ανήκει στον Κυριον, και άρα δεν ημπορεί κανείς να το τάξη, διότι είτε μόσχος είναι είτε πρόβατον, ανήκει στον Κυριον.

Λευ. 27,27 - ἐὰν δὲ τῶν τετραπόδων τῶν ἀκαθάρτων ἀλλάξῃ κατὰ τὴν τιμὴν αὐτοῦ, καὶ προσθήσει τὸ ἐπίπεμπτον πρὸς αὐτό, καὶ ἔσται αὐτῷ· ἐὰν δὲ μὴ λυτρῶται, πραθήσεται κατὰ τὸ τίμημα αὐτοῦ.

Λευ. 27,27 - Εάν τάξη ένα από τα τετράποδα ακάθαρτα ζώα, θα ανταλλάξη αυτό με χρήματα, θα προσθέση το εν πέμπτον της αξίας επί πλέον, και έτσι το ζώον του ταξίματος θα του ανήκη. Εάν όμως δεν το εξαγοράση, τότε αυτό θα πωληθή εις άλλον εις την τιμήν, την οποίαν έχει ορίσει ο ιερεύς.

Λευ. 27,28 - πᾶν δὲ ἀνάθεμα, ὃ ἐὰν ἀναθῇ ἄνθρωπος τῷ Κυρίῳ ἀπὸ πάντων, ὅσα αὐτῷ ἐστιν, ἀπὸ ἀνθρώπου ἕως κτήνους καὶ ἀπὸ ἀγροῦ κατασχέσεως αὐτοῦ, οὐκ ἀποδώσεται, οὐδὲ λυτρώσεται· πᾶν ἀνάθεμα ἅγιον ἁγίων ἔσται τῷ Κυρίῳ.

Λευ. 27,28 - Καθε τι που έχει αφιερώσει κανείς προς τον Θεόν, από όλα όσα του ανήκουν, με τάξιμον ανέκκλητον, από άνθρωπον έως ζώον και από αγρόν της κληρονομίας του, δεν επιτρέπεται να το πωλήση εις άλλον ούτε να το εξαγοράση. Καθε τέτοιο αφιέρωμα θα είναι αγιώτατον, αφιερωμένον οριστικώς στον Κυριον.

Λευ. 27,29 - καὶ πᾶν, ὃ ἐὰν ἀνατεθῇ ἀπὸ τῶν ἀνθρώπων, οὐ λυτρωθήσεται, ἀλλὰ θανάτῳ θανατωθήσεται.

Λευ. 27,29 - Καθε άνθρωπος, ο οποίος δια ταξίματος ανεκκλήτου θα ταχθή εξ ολοκλήρου στον Κυριον, δεν είναι δυνατόν να εξαγορασθή αλλά θα μένη αφιερωμένος μέχρι θανάτου στον Θεόν.

Λευ. 27,30 - Πᾶσα δεκάτη τῆς γῆς ἀπὸ τοῦ σπέρματος τῆς γῆς καὶ τοῦ καρποῦ τοῦ ξυλίνου τῷ Κυρίῳ ἐστίν, ἅγιον τῷ Κυρίῳ.

Λευ. 27,30 - Το εν δέκατον από όσα σπείρονται στους αγρούς και το εν δέκατον από τους καρπούς των καρποφόρων δένδρων ανήκει στον Κυριον· θα είναι αφιερωμένον εις αυτόν.

Λευ. 27,31 - ἐὰν δὲ λυτρῶται λύτρῳ ἄνθρωπος τὴν δεκάτην αὐτοῦ, τὸ ἐπίπεμπτον προσθήσει πρὸς αὐτόν, καὶ ἔσται αὐτῷ.

Λευ. 27,31 - Εάν όμως θελήση κανείς να εξαγοράση αυτήν την δεκάτην, θα καταβάλη επί πλέον και το εν πέμπτον της αξίας της, και η δεκάτη θα είναι ιδική του.

Λευ. 27,32 - καὶ πᾶσα δεκάτη βοῶν, καὶ προβάτων καὶ πᾶν, ὃ ἐὰν ἔλθῃ ἐν τῷ ἀριθμῷ ὑπὸ τὴν ῥάβδον, τὸ δέκατον ἔσται ἅγιον τῷ Κυρίῳ.

Λευ. 27,32 - Το εν δέκατον των βοών και των προβάτων, όπως επίσης και το εν δέκατον παντός άλλου ζώου, από εκείνα που αριθμούνται με την ειδικώς βαμμένην δι' ερυθρού χρώματος ράβδον, θα ανήκη στον Κυριον.

Λευ. 27,33 - οὐκ ἀλλάξεις καλὸν πονηρῷ, οὐδὲ πονηρὸν καλῷ· ἐὰν δὲ ἀλλάσσων ἀλλάξῃς αὐτό, καὶ τὸ ἄλλαγμα αὐτοῦ ἔσται ἅγιον, οὐ λυτρωθήσεται.

Λευ. 27,33 - Δεν θα αντικαταστήσης το καλόν με το κατώτερον, ούτε το κατώτερον με το καλύτερον. Εάν τυχόν και κάμης αυτήν την ανταλλαγήν, θα αφιερώσης και τα δύο ζώα στον Κυριον και δεν επιτρέπεται να εξαγοράσης αυτά”.

Λευ. 27,34 - Αὗταί εἰσιν αἱ ἐντολαί, ἃς ἐνετείλατο Κύριος τῷ Μωυσῇ πρὸς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ὄρει Σινά.

Λευ. 27,34 - Αυταί είναι αι εντολαί, τας οποίας έδωσεν ο Κυριος δια του Μωϋσέως προς τους Ισραηλίτας στο όρος Σινά.

## ΑΡΙΘΜΟΙ

ΑΡΙΘΜΟΙ 1

Αρ. 1,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ τῇ Σινά, ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, ἐν μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου, ἔτους δευτέρου ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου λέγων·

Αρ. 1,1 - Εντός της Σκηνής του Μαρτυρίου εις την έρημον Σινά κατά την πρώτην του δευτέρου μηνός του δευτέρου έτους από της εξόδου των Ισραηλιτών εκ της χώρας Αιγύπτου, ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 1,2 - λάβετε ἀρχὴν πάσης συναγωγῆς Ἰσραὴλ κατὰ συγγενείας, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατ᾿ ἀριθμὸν ἐξ ὀνόματος αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν.

Αρ. 1,2 - “συ και ο Ααρών να κάμετε απογραφήν όλου του λαού των Ισραηλιτών κατά τας φυλάς και κατά τας πατριαρχικάς οικογενείας αυτών και αριθμήσατε κατ' άτομον αυτούς.

Αρ. 1,3 - πᾶς ἄρσην ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν δυνάμει Ἰσραήλ, ἐπισκέψασθε αὐτοὺς σὺν δυνάμει αὐτῶν, σὺ καὶ Ἀαρὼν ἐπισκέψασθε αὐτούς.

Αρ. 1,3 - Ολους δηλαδή τους άρρενας από είκοσι ετών και άνω, καθένα από τους Ισραηλίτας, που δύναται να φέρη όπλα. Συ και ο Ααρών θα εξετάσετε και θα καταμετρήσετε αυτούς κατά ομάδας ωργανωμένας.

Αρ. 1,4 - καὶ μεθ᾿ ὑμῶν ἔσονται ἕκαστος κατὰ φυλὴν ἑκάστου ἀρχόντων, κατ᾿ οἴκους πατριῶν ἔσονται.

Αρ. 1,4 - Μαζή σας βοηθοί εις την καταμέτρησιν θα είναι και ένας από κάθε φυλήν και συγκεκριμένως ο άρχων της πατριαρχικής οικογενείας.

Αρ. 1,5 - καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οἵτινες παραστήσονται μεθ᾿ ὑμῶν· τῶν Ῥουβήν, Ἐλισοὺρ υἱὸς Σεδιούρ·

Αρ. 1,5 - Αυτά είναι τα ονόματα των βοηθών, οι οποίοι θα ευρίσκωνται μαζή σας κατά την αρίθμησιν· Από την φυλήν Ρουβήν, ο Ελισσούρ υιός Σεδιούρ.

Αρ. 1,6 - τῶν Συμεών, Σαλαμιὴλ υἱὸς Σουρισαδαί·

Αρ. 1,6 - Από την φυλήν του Συμεών, ο Σαλαμιήλ ο υιός του Σουρισαδαί.

Αρ. 1,7 - τῶν Ἰούδα, Ναασσὼν υἱὸς Ἀμιναδάβ·

Αρ. 1,7 - Από την φυλήν του Ιούδα, ο Ναασσών ο υιός του Αμιναδάβ.

Αρ. 1,8 - τῶν Ἰσσάχαρ, Ναθαναὴλ υἱὸς Σωγάρ·

Αρ. 1,8 - Από την φυλήν του Ισσάχαρ, ο Ναθαναήλ ο υιός του Σωγάρ.

Αρ. 1,9 - τῶν Ζαβουλών, Ἐλιὰβ υἱὸς Χαιλών·

Αρ. 1,9 - Από την φυλήν του Ζαβουλών, ο Ελιάβ ο υιός του Χαιλών.

Αρ. 1,10 - τῶν υἱῶν Ἰωσήφ, τῶν Ἐφραίμ, Ἐλισαμὰ υἱὸς Ἐμιούδ, τῶν Μανασσῆ, Γαμαλιὴλ υἱὸς Φαδασούρ·

Αρ. 1,10 - Από τας φυλάς των υιών Ιωσήφ, του μεν Εφραίμ ο Ελισαμά ο υιός του Εμιούδ, από δε του Μανασσή ο Γαμαλιήλ ο υιός του Φαδασούρ.

Αρ. 1,11 - τῶν Βενιαμίν, Ἀβιδὰν υἱὸς Γαδεωνί·

Αρ. 1,11 - Από την φυλήν του Βενιαμίν, ο Αβιδάν ο υιός του Γαδεωνί.

Αρ. 1,12 - τῶν Δάν, Ἀχιέζερ υἱὸς Ἀμισαδαΐ·

Αρ. 1,12 - Από την φυλήν του Δαν, ο Αχιέζερ ο υιός του Αμισαδαΐ.

Αρ. 1,13 - τῶν Ἀσήρ, Φαγαϊὴλ υἱὸς Ἐχράν·

Αρ. 1,13 - Από την φυλήν του Ασήρ, ο Φαγαϊήλ ο υιός του Εχράν.

Αρ. 1,14 - τῶν Γάδ, Ἐλισὰφ υἱὸς Ῥαγουήλ·

Αρ. 1,14 - Από την φυλήν του Γαδ, ο Ελοσαφ ο υιός του Ραγουήλ.

Αρ. 1,15 - τῶν Νεφθαλί, Ἀχιρὲ υἱὸς Αἰνάν.

Αρ. 1,15 - Από την φυλήν του Νεφθαλί, ο Αχιρέ ο υιός του Αινάν.

Αρ. 1,16 - οὗτοι ἐπίκλητοι τῆς συναγωγῆς, ἄρχοντες τῶν φυλῶν κατὰ πατριὰς αὐτῶν, χιλίαρχοι Ἰσραήλ εἰσι.

Αρ. 1,16 - Αυτοί είναι οι επίσημοι εκείνοι που εκλήθησαν, μεταξύ των Ισραηλιτών, άρχοντες των φυλών κατά τας πατριαρχικάς οικογενείας των, έκαστος από αυτούς άρχων χιλίων ισραηλιτικών οικογενειών.

Αρ. 1,17 - καὶ ἔλαβε Μωυσῆς καὶ Ἀαρὼν τοὺς ἄνδρας τούτους τοὺς ἀνακληθέντας ἐξ ὀνόματος

Αρ. 1,17 - Ο Μωϋσής και ο Ααρών έλαβον ως βοηθούς των αυτούς τους άνδρας, οι οποίοι είχον ονομαστικώς κληθή,

Αρ. 1,18 - καὶ πᾶσαν τὴν συναγωγὴν συνήγαγον ἐν μιᾷ τοῦ μηνὸς τοῦ δευτέρου ἔτους καὶ ἐπηξονοῦσαν κατὰ γενέσεις αὐτῶν, κατὰ πατριὰς αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶν ἀρσενικὸν κατὰ κεφαλὴν αὐτῶν,

Αρ. 1,18 - συνεκέντρωσαν όλον το πλήθος των Ισραηλιτών κατά την πρώτην του δευτέρου μηνός του δευτέρου έτους από της εξόδου εκ της Αιγύπτου και κατέγραψαν τους αρρένας κατά τας μεγάλας αυτών συγγενείας και τους πατριαρχικούς οίκους κατ' άτομον και ομαδικώς από είκοσι ετών και άνω.

Αρ. 1,19 - ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ· καὶ ἐπεσκέπησαν ἐν τῇ ἐρήμῳ τοῦ Σινά.

Αρ. 1,19 - Οπως διέταξεν ο Κυριος τον Μωϋσήν, έτσι και εμέτρησαν τους Ισραηλίτας εις την έρημον Σινά.

Αρ. 1,20 - Καὶ ἐγένοντο οἱ υἱοὶ Ῥουβὴν πρωτοτόκου Ἰσραὴλ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,20 - Εγινε λοιπόν η αρίθμησις των αρρένων της φυλής Ρουβήν, του πρωτοτόκου υιού του Ιακώβ, από εικοσαετούς και άνω, όλων εκείνων οι οποίοι ημπορούσαν να φέρουν όπλα, κατά τας μεγάλας αυτών συγγενείας, κατά τους δήμους και κατά τας πατριαρχικάς των οικογενείας συνολικώς και ονομαστικώς.

Αρ. 1,21 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ῥουβὴν ἓξ καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 1,21 - Η αρίθμησις των ανδρών εκ της φυλής Ρουβήν έφθασε τας σαράντα εξ χιλιάδας πεντακοσίους.

Αρ. 1,22 - τοῖς υἱοῖς Συμεὼν κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,22 - Εγινεν αρίθμησις των αρρένων της φυλής του Συμεών κατά τας μεγάλας συγγενείας των, κατά τους δήμους, κατά τας πατριαρχικάς οικογενείας συνολικώς και ατομικώς, όλων των από είκοσι ετών και άνω, των δυναμένων να φέρουν όπλα.

Αρ. 1,23 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Συμεὼν ἐννέα καὶ πεντήκοντα χιλιάδες καὶ τριακόσιοι.

Αρ. 1,23 - Οι αριθμηθέντες άνδρες εκ της φυλής Συμεών ανήλθον εις πεντήκοντα εννέα χιλιάδας τριακοσίους.

Αρ. 1,24 - τοῖς υἱοῖς Ἰούδα κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,24 - Εγινεν αρίθμησις όλων των αρρένων εκ της φυλής Ιούδα, από είκοσιν ετών και άνω των δυναμένων να φέρουν όπλα, κατά τας μεγάλας συγγενείας, κατά τους δήμους, κατά τας πατριαρχικάς οικογενείας, εν συνόλω και κατ' άτομον.

Αρ. 1,25 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἰούδα τέσσαρες καὶ ἑβδομήκοντα χιλιάδες καὶ ἑξακόσιοι.

Αρ. 1,25 - Οι αρίθμηθεντες άνδρες εκ της φυλής Ιούδα ανήλθον εις εβδομήκοντα τέσσαρας χιλιάδας εξακοσίους.

Αρ. 1,26 - τοῖς υἱοῖς Ἰσσάχαρ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,26 - Εγινεν η απογραφή της φυλής Ισσάχαρ κατά τας μεγάλας συγγενείας αυτών, κατά τους δήμους, κατά τας πατριαρχικάς οικογενείας,

συνολικώς και ατομικώς, από είκοση ετών και άνω, όλων των ανδρών, που ηδύναντο να φέρουν όπλα,

Αρ. 1,27 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἰσσάχαρ τέσσαρες καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 1,27 - και ο αριθμός αυτός εκ της φυλής Ισσάχαρ άφθασε τας πεντήκοντα τέσσαρας χιλιάδας τετρακοσίους.

Αρ. 1,28 - τοῖς υἱοῖς Ζαβουλὼν κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατ᾿ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,28 - Εγινεν αρίθμησις των υιών της φυλής Ζαβουλών κατά τας μεγάλας συγγενείας των, κατά τους δήμους, κατά τας πατριαρχικάς οικογενείας των, συνολικώς και ατομικώς, δι' όλους τους από είκοσιν ετών και άνω άρρενας, τους δυναμένους να φέρουν όπλα,

Αρ. 1,29 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ζαβουλὼν ἑπτὰ καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 1,29 - και ο αριθμός αυτών από την φυλήν Ζαβουλών ανήλθεν εις πεντήκοντα επτά χιλιάδας τετρακοσίους.

Αρ. 1,30 - τοῖς υἱοῖς Ἰωσὴφ υἱοῖς Ἐφραὶμ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,30 - Εγινεν αρίθμησις εις τας φυλάς των δύο υιών του Ιωσήφ, του Εφραίμ πρώτον κατά τας μεγάλας συγγενείας, κατά τους δήμους, κατά τας πατριαρχικάς οικογενείας των, συνολικώς και ατομικώς όλων των αρρένων, οι οποίοι ηδύναντο να φέρουν όπλα.

Αρ. 1,31 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἐφραὶμ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 1,31 - Ο αριθμός των απογραφέντων από την φυλήν Εφραίμ ανήλθεν εις τεσσαράκοντα χιλιάδας πεντακοσίους.

Αρ. 1,32 - τοῖς υἱοῖς Μανασσῆ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,32 - Εγινεν αρίθμησις της φυλής του Μανασσή, υιού του Ιωσήφ, κατά τας μεγάλας συγγενείας, κατά δήμους, κατά πατριαρχικάς οικογενείας, εν συνόλω και κατ' άτομον, όλων των αρρένων από είκοσι ετών και άνω, των δυναμένων να φέρουν όπλα.

Αρ. 1,33 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Μανασσῆ δύο καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι.

Αρ. 1,33 - Το σύνολον των απογραφέντων από την φυλήν Μανασσή ανήλθεν εις τριάκοντα δύο χιλιάδας διακοσίους.

Αρ. 1,34 - τοῖς υἱοῖς Βενιαμὶν κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,34 - Εγινεν αρίθμησις της φυλής Βενιαμίν κατά τας μεγάλας συγγενείας, κατά δήμους, κατά πατριαρχικάς οικογενείας, εν συνόλω και κατ' άτομον, όλων των αρρένων, όσοι ηδύναντο να φέρουν όπλα, από είκοσι ετών και άνω

Αρ. 1,35 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Βενιαμὶν πέντε καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 1,35 - και το σύνολον των απογραφέντων εκ της φυλής Βενιαμίν ανήλθεν εις τριάκοντα πέντε χιλιάδας τετρακοσίους.

Αρ. 1,36 - τοῖς υἱοῖς Γὰδ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,36 - Εγινεν απογραφή των υιών της φυλής Γαδ κατά τας μεγάλας συγγενείας, κατά δήμους, κατά πατριαρχικάς οικογενείας, συνολικώς και ατομικώς, όλων των αρρένων, των δυναμένων να φέρουν όπλα από είκοσι ετών και άνω.

Αρ. 1,37 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Γὰδ πέντε καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑξακόσιοι καὶ πεντήκοντα.

Αρ. 1,37 - Το σύνολον των απογραφέντων από την φυλήν Γαδ ανήλθεν εις τεσσαράκοντα πέντε χιλιάδας εξακοσίους πεντήκοντα.

Αρ. 1,38 - τοῖς υἱοῖς Δὰν κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,38 - Εγινεν αρίθμησις των υιών της φυλής Δαν κατά τας μεγάλας αυτών συγγενείας, κατά δήμους, κατά πατριαρχικάς οικογενείας, συνολικώς και ατομικώς, όλων των αρρένων από είκοσι ετών και άνω των δυναμένων να φέρουν όπλα.

Αρ. 1,39 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Δὰν δύο καὶ ἑξήκοντα χιλιάδες καὶ ἑπτακόσιοι.

Αρ. 1,39 - Οι απογραφέντες εκ της φυλής του Δαν ανήλθον εις εξήκοντα δύο χιλιάδας επτακοσίους.

Αρ. 1,40 - τοῖς υἱοῖς Ἀσὴρ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν

αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,40 - Εγινεν αρίθμησις των υιών της φυλής Ασήρ κατά τας μεγάλας συγγενείας των, κατά δήμους, κατά πατριαρχικάς οικογενείας, συνολικώς και ατομικώς, όλων των άνω των είκοσι ετών αρρένων, των δυναμένων να φέρουν όπλα.

Αρ. 1,41 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Ἀσὴρ μία καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 1,41 - Ο αριθμός των απογραφέντων εκ της φυλής του Ασήρ ανήλθεν εις τεσσαράκοντα μίαν χιλιάδας πεντακοσίους.

Αρ. 1,42 - τοῖς υἱοῖς Νεφθαλὶ κατὰ συγγενείας αὐτῶν, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ ἀριθμὸν ὀνομάτων αὐτῶν, κατὰ κεφαλὴν αὐτῶν, πάντα ἀρσενικὰ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος ἐν τῇ δυνάμει,

Αρ. 1,42 - Εγινε αρίθμησις της φυλής του Νεφθαλίμ κατά τας μεγάλας συγγενείας αυτών, κατά δήμους, κατά πατριαρχικάς οικογενείας, εν συνόλω και κατ' άτομον, όλων των αρρένων από είκοσι ετών και άνω των δυναμένων να φέρουν όπλα.

Αρ. 1,43 - ἡ ἐπίσκεψις αὐτῶν ἐκ τῆς φυλῆς Νεφθαλὶ τρεῖς καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 1,43 - Ο αριθμός των απογραφέντων εκ της φυλής του Νεφθαλίμ ανήλθεν εις πεντήκοντα τρεις χιλιάδας τετρακοσίους.

Αρ. 1,44 - αὕτη ἡ ἐπίσκεψις, ἣν ἐπεσκέψαντο Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ ἄρχοντες Ἰσραήλ, δώδεκα ἄνδρες· ἀνὴρ εἷς κατὰ φυλὴν μίαν, κατὰ φυλὴν οἴκων πατριᾶς ἦσαν.

Αρ. 1,44 - Αυτή ήτο η αρίθμησις και η απογραφή, την οποίαν έκαμαν ο Μωϋσής, ο Ααρών και οι δώδεκα Ισραηλίται άρχοντες, ένας από κάθε φυλήν, φύλαρχος μιας πατριαρχικής οικογενείας.

Αρ. 1,45 - καὶ ἐγένετο πᾶσα ἡ ἐπίσκεψις υἱῶν Ἰσραὴλ σὺν δυνάμει αὐτῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, πᾶς ὁ ἐκπορευόμενος παρατάξασθαι ἐν Ἰσραήλ,

Αρ. 1,45 - Απαντες οι αριθμηθέντες και καταγραφέντες Ισραηλίται, κατά ομάδας ωργανωμένας, από εικοσαετούς και άνω, οι οποίοι ηδύναντο να φέρουν όπλα και να παραταχθούν εις πόλεμον,

Αρ. 1,46 - ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι καὶ πεντακόσιοι καὶ πεντήκοντα.

Αρ. 1,46 - ήσαν εξακόσιαι τρεις χιλιάδες πεντακόσιοι πεντήκοντα.

Αρ. 1,47 - Οἱ δὲ Λευῖται ἐκ τῆς φυλῆς πατριᾶς αὐτῶν οὐκ ἐπεσκέπησαν ἐν τοῖς υἱοῖς Ἰσραήλ.

Αρ. 1,47 - Οι δε καταγόμενοι εκ της φυλής και πατριάς Λευϊ, οι Λευΐται, δεν ηριθμήθησαν και δεν κατεγράφησαν μεταξύ των Ισραηλιτών,

Αρ. 1,48 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 1,48 - διότι ο Κυριος ελάλησε προς τον Μωϋσήν λέγων·

Αρ. 1,49 - ὅρα, τὴν φυλὴν Λευὶ οὐ συνεπισκέψῃ, καὶ τὸν ἀριθμὸν αὐτῶν οὐ λήψῃ ἐν μέσῳ υἱῶν Ἰσραήλ.

Αρ. 1,49 - "πρόσεχε ! Την φυλήν του Λευϊ δεν θα την καταμετρήσης και δεν θα συμπεριλάβης τον αριθμόν των Λευϊτών μεταξύ των άλλων Ισραηλιτών,

Αρ. 1,50 - καὶ σὺ ἐπίστησον τοὺς Λευίτας ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ ἐπὶ πάντα τὰ σκεύη αὐτῆς καὶ ἐπὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ· αὐτοὶ ἀροῦσι τὴν σκηνὴν καὶ πάντα τὰ σκεύη αὐτῆς, καὶ αὐτοὶ λειτουργήσουσιν ἐν αὐτῇ καὶ κύκλῳ τῆς σκηνῆς παρεμβαλοῦσι.

Αρ. 1,50 - αλλά να ορίσης τους Λευΐτας εις την υπηρεσίαν της Σκηνής του Μαρτυρίου, να αναθέσης εις αυτούς την φροντίδα δι' όλα τα σκεύη της Σκηνής και δι' όλα όσα υπάρχουν εις αυτήν. Αυτοί θα σηκώνουν και θα μεταφέρουν την Σκηνήν και όλα τα σκεύη της, αυτοί θα υπηρετούν εις αυτήν και γύρω από την Σκηνήν θα κατασκηνώνουν.

Αρ. 1,51 - καὶ ἐν τῷ ἐξαίρειν τὴν σκηνήν, καθελοῦσιν αὐτὴν οἱ Λευῖται, καὶ ἐν τῷ παρεμβάλλειν τὴν σκηνήν, ἀναστήσουσι· καὶ ὁ ἀλλογενὴς ὁ προσπορευόμενος ἀποθανέτω.

Αρ. 1,51 - Οταν πρόκειται να μεταφέρουν την Σκηνήν, αυτοί θα την διαλύουν και όταν πρόκειται να κατασκηνώσετε, αυτοί θα την στήνουν. Καθε άλλος μη Λευΐτης, ο οποίος ήθελε πλησιάσει την Σκηνήν, θα αποθνήσκη.

Αρ. 1,52 - καὶ παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ, ἀνὴρ ἐν τῇ ἑαυτοῦ τάξει καὶ ἀνὴρ κατὰ τὴν ἑαυτοῦ ἡγεμονίαν σὺν δυνάμει αὐτῶν.

Αρ. 1,52 - Οι δε άλλοι Ισραηλίται θα στρατοπεδεύουν καθένας κατά την καθωρισμένην ομάδα αυτού υπό τον αρχηγόν αυτού και κατά την φυλήν εις την οποίαν ανήκει.

Αρ. 1,53 - οἱ δὲ Λευῖται παρεμβαλλέτωσαν ἐναντίοι κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ οὐκ ἔσται ἁμάρτημα ἐν υἱοῖς Ἰσραήλ· καὶ φυλάξουσιν οἱ Λευῖται αὐτοὶ τὴν φυλακὴν τῆς σκηνῆς τοῦ μαρτυρίου.

Αρ. 1,53 - Οι Λευίται όμως θα κατασκηνώσουν απέναντι των άλλων Ισραηλιτών κύκλω εις την Σκηνήν του Μαρτυρίου ώστε οι Ισραηλίται να μη έρχωνται εις επαφήν με την Σκηνήν και έτσι αμαρτάνουν. Μονον οι Λευίται θα είναι οι φρουροί και οι φύλακες της Σκηνής του Μαρτυρίου".

Αρ. 1,54 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ κατὰ πάντα, ἃ ἐνετείλατο Κύριος τῷ Μωυσῇ καὶ Ἀαρών, οὕτως ἐποίησαν.

Αρ. 1,54 - Οι Ισραηλίται εξετέλεσαν κατά πάντα, όλα όσα ο Κυριος είχε διατάξει τον Μωϋσήν και τον Ααρών. Οπως είχε διατάξει, έτσι και έκαμαν.

ΑΡΙΘΜΟΙ 2

Αρ. 2,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·
Αρ. 2,1 - Ο Κυριος ελάλησε προς τον Μωϋσήν και τον Ααρών και είπεν·
Αρ. 2,2 - ἄνθρωπος ἐχόμενος αὐτοῦ κατὰ τάγμα, κατὰ σημαίας, κατ᾿ οἴκους πατριῶν αὐτῶν, παρεμβαλλέτωσαν οἱ υἱοὶ Ἰσραήλ· ἐναντίοι κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ.
Αρ. 2,2 - “ας παραταχθούν οι Ισραηλίται ο ένας πλησίον του αλλού εις τα τάγματά των, υπό την ωρισμένην σημαίαν των, κατά τας φυλάς των, εις κάποιαν απόστασιν και κύκλω από την Σκηνήν του Μαρτυρίου, εκεί ας στρατοπεδεύσουν.
Αρ. 2,3 - καὶ οἱ παρεμβάλλοντες πρῶτοι κατὰ ἀνατολάς, τάγμα παρεμβολῆς Ἰούδα σὺν δυνάμει αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Ἰούδα, Ναασσὼν υἱὸς Ἀμιναδάβ·
Αρ. 2,3 - Το τάγμα της φυλής Ιούδα με τας στρατιωτικάς του δυνάμεις και με αρχηγόν εκ της φυλής Ιούδα τον Ναασσών, υιόν του Αμιναδάβ, ας στρατοπεδεύσουν πρώτοι προς το ανατολικόν μέρος.
Αρ. 2,4 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι τέσσαρες καὶ ἑβδομήκοντα χιλιάδες καὶ ἑξακόσιοι.
Αρ. 2,4 - Η αριθμηθείσα στρατιωτική δύναμις της φυλής αυτής ανήλθεν εις εβδομήκοντα τέσσαρας χιλιάδας εξακοσίους.
Αρ. 2,5 - καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Ἰσσάχαρ, καὶ ὁ ἄρχων τῶν υἱῶν Ἰσσάχαρ, Ναθαναὴλ υἱὸς Σωγάρ·
Αρ. 2,5 - Οι της φυλής Ισσάχαρ ας στρατοπεδεύσουν πλησίον της φυλής Ιούδα. Αρχηγός της φυλής Ισσάχαρ ήτο ο Ναθαναήλ υιός του Σωγάρ.
Αρ. 2,6 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, τέσσαρες καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.
Αρ. 2,6 - Η αριθμηθείσα στρατιωτική αυτού δύναμις ανήλθεν εις πεντήκοντα τέσσαρας χιλιάδας τετρακοσίους.
Αρ. 2,7 - καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Ζαβουλών, καὶ ὁ ἄρχων τῶν υἱῶν Ζαβουλών, Ἑλιὰβ υἱὸς Χαιλών·
Αρ. 2,7 - Πλησίον αυτών θα είναι στρατοπεδευμένοι οι εκ της φυλής Ζαβουλών. Αρχηγός δε της φυλής Ζαβουλών ήτο ο Ελιάβ υιός του Χαιλών.
Αρ. 2,8 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, ἑπτὰ καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.
Αρ. 2,8 - Η καταγραφείσα στρατιωτική αυτού δύναμις ανήλθεν εις πεντήκοντα επτά χιλιάδας τετρακοσίους.

Αρ. 2,9 - πάντες οἱ ἐπεσκεμμένοι ἐκ τῆς παρεμβολῆς Ἰούδα ἑκατὸν ὀγδοήκοντα χιλιάδες καὶ ἑξακισχίλιοι καὶ τετρακόσιοι, σὺν δυνάμει αὐτῶν πρῶτοι ἐξαιροῦσι.

Αρ. 2,9 - Ολοι οι αριθμηθέντες και καταγραφέντες της στρατιωτικής δυνάμεως υπό την αρχηγίαν της φυλής Ιούδα ανήλθον εις εκατόν ογδοήκοντα εξ χιλιάδας τετρακοσίους. Αυτοί δε πρώτοι θα εκκινούν κατά την αναχώρησιν.

Αρ. 2,10 - τάγμα παρεμβολῆς Ῥουβὴν πρὸς λίβα δύναμις αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Ῥουβήν, Ἐλισοὺρ υἱὸς Σεδιούρ·

Αρ. 2,10 - Το στρατιωτικόν σώμα της φυλής Ρουβήν θα ευρίσκεται προς νότον και αρχηγός αυτού ήτο ο Ελισούρ υιός του Σεδιούρ.

Αρ. 2,11 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, ἓξ καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 2,11 - Η αριθμηθείσα στρατιωτική του δύναμις ανήλθεν εις τεσσαράκοντα εξ χιλιάδας πεντακοσίους.

Αρ. 2,12 - καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς Συμεών, καὶ ὁ ἄρχων τῶν υἱῶν Συμεών, Σαλαμιὴλ υἱὸς Σουρισαδαί·

Αρ. 2,12 - Πλησίον της φυλής αυτής στρατοπεδευμένοι θα είναι οι της φυλής Συμεών και αρχηγός αυτών ήτο ο Σαλαμιήλ, υιός του Σουρισαδαί.

Αρ. 2,13 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, ἐννέα καὶ πεντήκοντα χιλιάδες καὶ τριακόσιοι.

Αρ. 2,13 - Η αριθμηθείσα στρατιωτική της φυλής Συμεών δύναμις ήτο πεντήκοντα εννέα χιλιάδας τριακόσιοι.

Αρ. 2,14 - καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλῆς Γάδ, καὶ ὁ ἄρχων τῶν υἱῶν Γάδ, Ἐλισὰφ υἱὸς Ῥαγουήλ·

Αρ. 2,14 - Πλησίον της φυλής Συμεών θα στρατοπεδεύη η φυλή Γαδ. Αρχηγός αυτής της φυλής ήτο ο Ελισάφ υιός του Ραγουήλ.

Αρ. 2,15 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, πέντε καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑξακόσιοι καὶ πεντήκοντα.

Αρ. 2,15 - Η αριθμηθείσα στρατιωτική δύναμις της φυλής αυτής ανήλθεν εις τεσσαράκοντα πέντε χιλιάδας εξακοσίους πεντήκοντα.

Αρ. 2,16 - πάντες οἱ ἐπεσκεμμένοι τῆς παρεμβολῆς Ῥουβήν, ἑκατὸν πεντήκοντα μία χιλιάδες καὶ τετρακόσιοι καὶ πεντήκοντα, σὺν δυνάμει αὐτῶν δεύτεροι ἐξαροῦσι.

Αρ. 2,16 - Ολοι οι αριθμηθέντες της στρατιωτικής δυνάμεως υπό την αρχηγίαν της φυλής Ρουβήν ανήλθον εις εκατόν πεντήκοντα μίαν χιλιάδας τετρακοσίους πεντήκοντα. Αυταί αι στρατιωτικαί μονάδες θα ακολουθούν δεύτεραι κατά την εκκίνησιν.

Αρ. 2,17 - καὶ ἀρθήσεται ἡ σκηνὴ τοῦ μαρτυρίου καὶ ἡ παρεμβολὴ τῶν Λευιτῶν μέσον τῶν παρεμβολῶν· ὡς καὶ παρεμβαλοῦσιν, οὕτω καὶ

ἐξαροῦσιν ἕκαστος ἐχόμενος καθ᾿ ἡγεμονίας.

Αρ. 2,17 - Επειτα θα ακολουθήση η Σκηνή του Μαρτυρίου με την παράταξιν των Λευϊτών στο μέσον των άλλων στρατοπέδων. Αυτοί όπως θα στρατοπεδεύουν έτσι και θα βαδίζουν, ο καθένας πλησίον του αρχηγού του.

Αρ. 2,18 - Τάγμα παρεμβολῆς Ἐφραὶμ παρὰ θάλασσαν σὺν δυνάμει αὐτῶν καὶ ὁ ἄρχων τῶν υἱῶν Ἐφραίμ, Ἐλισαμὰ υἱὸς Ἐμιούδ·

Αρ. 2,18 - Το στρατιωτικόν σώμα της φυλής του Εφραίμ θα στρατοπεδεύη προς δυσμάς. Αρχων της φυλής Εφραίμ ήτο ο Ελισσαμά, υιός του Εμιούδ.

Αρ. 2,19 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 2,19 - Η αριθμηθείσα στρατιωτική του δύναμις ανήλθεν εις τεσσαράκοντα χιλιάδας πεντακοσίους.

Αρ. 2,20 - καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Μανασσῆ, καὶ ὁ ἄρχων τῶν υἱῶν Μανασσῆ, Γαμαλιὴλ υἱὸς Φαδασσούρ·

Αρ. 2,20 - Πλησίον της φυλής Εφραίμ θα στρατοπεδεύη η φυλή του Μανασσή. Αρχων της φυλής αυτής ήτο ο Γαμαλιήλ, υιός Φαδασσούρ.

Αρ. 2,21 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, δύο καὶ τριάκοντα χιλιάδες καὶ διακόσιοι.

Αρ. 2,21 - Η αριθμηθείσα στρατιωτική δύναμις αυτής της φυλής ανήλθεν εις τριάκοντα δύο χιλιάδας διακοσίους.

Αρ. 2,22 - καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Βενιαμίν, καὶ ὁ ἄρχων τῶν υἱῶν Βενιαμίν, Ἀβιδὰν υἱὸς Γαδεωνί·

Αρ. 2,22 - Πλησίον της φυλής Μανασσή θα στρατοπεδεύη η φυλή Βενιαμίν. Αρχων αυτής ήτο ο Αβιδάν, υιός του Γαδεωνί.

Αρ. 2,23 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, πέντε καὶ τριάκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 2,23 - Η απογραφείσα στρατιωτική δύναμις αυτής της φυλής ανήλθεν εις τριάκοντα πέντε χιλιάδας τετρακοσίους.

Αρ. 2,24 - πάντες οἱ ἐπεσκεμμένοι τῆς παρεμβολῆς Ἐφραίμ, ἑκατὸν χιλιάδες καὶ ὀκτακισχίλιοι καὶ ἑκατόν, σὺν δυνάμει αὐτῶν τρίτοι ἐξαροῦσι.

Αρ. 2,24 - Ολοι οι αριθμηθέντες του στρατεύματος υπό την αρχηγίαν της φυλής του Εφραίμ ήσαν εκατόν οκτώ χιλιάδες εκατόν. Αυτοί θα ξεκινούν τρίτοι εις εκάστην αναχώρησιν.

Αρ. 2,25 - Τάγμα παρεμβολῆς Δὰν πρὸς βοῤῥᾶν σὺν δυνάμει αὐτῶν, καὶ ὁ ἄρχων τῶν υἱῶν Δάν, Ἀχιέζερ υἱὸς Ἀμισαδαί·

Αρ. 2,25 - Προς βορράν θα στρατοπεδεύη το σώμα της φυλής του Δαν με την στρατιωτικήν του δύναμιν. Αρχων της φυλής αυτής ήτο ο Αχιέζερ, υιός του Αμισαδαί.

Αρ. 2,26 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, δύο καὶ ἑξήκοντα χιλιάδες καὶ ἑπτακόσιοι.

Αρ. 2,26 - Η καταριθμηθείσα στρατιωτική δύναμις αυτής ανήλθεν εις εξήκοντα δύο χιλιάδας επτακοσίους.

Αρ. 2,27 - καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι αὐτοῦ φυλὴ Ἀσήρ, καὶ ὁ ἄρχων τῶν υἱῶν Ἀσήρ, Φαγεὴλ υἱὸς Ἐχράν·

Αρ. 2,27 - Πλησίον της φυλής Δαν θα στρατοπεδεύη η φυλή του Ασήρ. Αρχων της φυλής αυτής ήτο ο Φαγεήλ, υιός του Εχράν.

Αρ. 2,28 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, μία καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 2,28 - Η αριθμηθείσα και απογραφείσα στρατιωτική δύναμις αυτής ανήλθεν εις τεσσαράκοντα μίαν χιλιάδας πεντακοσίους.

Αρ. 2,29 - καὶ οἱ παρεμβάλλοντες ἐχόμενοι φυλῆς Νεφθαλί, καὶ ὁ ἄρχων τῶν υἱῶν Νεφθαλί, Ἀχιρὲ υἱὸς Αἰνάν·

Αρ. 2,29 - Πλησίον της φυλής Ασήρ θα στρατοπεδεύουν οι της φυλής Νεφθαλείμ. Αρχων της φυλής αυτής ήτο ο Αχιρέ, υιός του Αινάν.

Αρ. 2,30 - δύναμις αὐτοῦ οἱ ἐπεσκεμμένοι, τρεῖς καὶ πεντήκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 2,30 - Η αριθμηθείσα στρατιωτική δύναμις αυτού ανήλθεν εις πενήκοντα τρεις χιλιάδας τετρακοσίους.

Αρ. 2,31 - πάντες οἱ ἐπεσκεμμένοι τῆς παρεμβολῆς Δὰν ἑκατὸν καὶ πεντηκονταεπτὰ χιλιάδες καὶ ἑξακόσιοι· ἔσχατοι ἐξαροῦσι κατὰ τάγμα αὐτῶν.

Αρ. 2,31 - Ολοι οι αριθμηθέντες και καταγραφέντες στο στρατιωτικόν σώμα υπό την αρχηγίαν της φυλής του Δαν ανήρχοντο εις εκατόν πεντήκοντα επτά χιλιάδας εξακοσίους. Τελευταίοι αυτοί θα ξεκινούν, κατά τα τάγματα αυτών εις εκάστην αναχώρησιν.

Αρ. 2,32 - αὕτη ἡ ἐπίσκεψις τῶν υἱῶν Ἰσραὴλ κατ᾿ οἴκους πατριῶν αὐτῶν· πᾶσα ἡ ἐπίσκεψις τῶν παρεμβολῶν σὺν ταῖς δυνάμεσιν αὐτῶν, ἑξακόσιαι χιλιάδες καὶ τρισχίλιοι πεντακόσιοι πεντήκοντα.

Αρ. 2,32 - Αυτή είναι η αρίθμησις και καταγραφή των Ισραηλιτών κατά τας φυλάς αυτών. Το σύνολον των αριθμηθέντων με τας στρατιωτικάς των δυνάμεις, ανήλθον εις εξακοσίας τρεις χιλιάδας πεντακοσίους πεντήκοντα.

Αρ. 2,33 - οἱ δὲ Λευῖται οὐ συνεπεσκέπησαν ἐν αὐτοῖς, καθὰ ἐνετείλατο Κύριος τῷ Μωυσῇ.

Αρ. 2,33 - Οι Λευϊται όμως δεν απεγράφησαν μαζή με τους άλλους Ισραηλίτας, διότι αυτήν την εντολήν είχε δώσει ο Κυριος στον Μωϋσήν.

Αρ. 2,34 - καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ πάντα, ὅσα συνέταξε Κύριος τῷ Μωυσῇ· οὕτω παρενέβαλον κατὰ τάγμα αὐτῶν καὶ οὕτως ἐξῇρον, ἕκαστος ἐχόμενοι κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν.

Αρ. 2,34 - Οι Ισραηλίται εξετέλεσαν όλα όσα διέταξεν ο Κυριος δια του Μωϋσέως. Παρετάχθησαν κατά τα σώματα αυτών και έτσι εξεκινούσαν πάντοτε, ο ένας πλησίον του άλλου τακτοποιημένοι κατά δήμους και πατριαρχικάς οικογενείας.

ΑΡΙΘΜΟΙ 3

Αρ. 3,1 - Καὶ αὗται αἱ γενέσεις Ἀαρὼν καὶ Μωυσῆ, ἐν ᾗ ἡμέρᾳ ἐλάλησε Κύριος τῷ Μωυσῇ ἐν ὄρει Σινά.

Αρ. 3,1 - Οι απόγονοι του Ααρών και του Μωϋσή κατά την ημέραν, που ο Κυριος ωμίλησε προς τον Μωϋσήν επάνω στο όρος Σινά, ήσαν οι εξής·

Αρ. 3,2 - καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἀαρών· πρωτότοκος Ναδάβ, καὶ Ἀβιούδ, Ἐλεάζαρ, καὶ Ἰθάμαρ.

Αρ. 3,2 - Τα ονόματα των υιών του Ααρών είναι· Πρωτότοκος υιός του Ααρών ήτο ο Ναβάδ· ηκολούθησαν έπειτα ο Αβιούδ, ο Ελεάζαρ και ο Ιθάμαρ.

Αρ. 3,3 - ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἀαρών, οἱ ἱερεῖς οἱ ἠλειμμένοι, οὓς ἐτελείωσαν τὰς χεῖρας αὐτῶν ἱερατεύειν.

Αρ. 3,3 - Αυτά είναι τα ονόματα των υιών του Ααρών, οι οποίοι και έγιναν ιερείς χρισμένοι με το άγιον έλαιον και των οποίων τα χέρια έλαβον την χάριν να εκτελούν τα ιερατικά καθήκοντα.

Αρ. 3,4 - καὶ ἐτελεύτησε Ναδὰβ καὶ Ἀβιοὺδ ἔναντι Κυρίου, προσφερόντων αὐτῶν πῦρ ἀλλότριον ἔναντι Κυρίου ἐν τῇ ἐρήμῳ Σινά, καὶ παιδία οὐκ ἦν αὐτοῖς· καὶ ἱεράτευσεν Ἐλεάζαρ καὶ Ἰθάμαρ μετὰ Ἀαρὼν τοῦ πατρὸς αὐτῶν.

Αρ. 3,4 - Ο Ναδάβ και ο Αβιούδ ετιμωρήθησαν και απέθανον ενώπιον του Κυρίου, διότι είχον προσφέρει ενώπιόν του ξένον κοσμικόν πυρ εις την έρημον του Σινά. Αυτοί απέθανον άτεκνοι, τα δε ιερατικά καθήκοντα εξεπλήρωναν ο Ελεάζαρ και ο Ιθάμαρ μαζή με τον πατέρα των, τον αρχιερέα Ααρών.

Αρ. 3,5 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 3,5 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Αρ. 3,6 - λάβε τὴν φυλὴν Λευὶ καὶ στήσεις αὐτοὺς ἐναντίον Ἀαρὼν τοῦ ἱερέως καὶ λειτουργήσουσιν αὐτῷ,

Αρ. 3,6 - “να πάρης την φυλήν Λευϊ και να την παρουσιάσης εμπρός στον αρχιερέα Ααρών, δια να υπηρετούν αυτόν εις τα ιερατικά του καθήκοντα.

Αρ. 3,7 - καὶ φυλάξουσι τὰς φυλακὰς αὐτοῦ καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ ἔναντι τῆς σκηνῆς τοῦ μαρτυρίου, ἐργάζεσθαι τὰ ἔργα τῆς σκηνῆς.

Αρ. 3,7 - Αυτοί, αντί του Ααρών και αντί των άλλων Ισραηλιτών, θα φρουρούν νύκτα και ημέραν κύκλω από την Σκηνήν του Μαρτυρίου κα θα

υπηρετούν εις τα έργα της Σκηνής.

Αρ. 3,8 - καὶ φυλάξουσι πάντα τὰ σκεύη τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰς φυλακὰς τῶν υἱῶν Ἰσραὴλ κατὰ πάντα τὰ ἔργα τῆς σκηνῆς.

Αρ. 3,8 - Θα φυλάττουν όλα τα σκεύη της Σκηνής του Μαρτυρίου και θα προσφέρουν εις αυτήν όλας τας υπηρεσίας υπέρ των Ισραηλιτών.

Αρ. 3,9 - καὶ δώσεις τοὺς Λευίτας Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ τοῖς ἱερεῦσι· δεδομένοι δόμα οὗτοί μοί εἰσιν ἀπὸ τῶν υἱῶν Ἰσραήλ.

Αρ. 3,9 - Θα δώσης τους Λευΐτας ως βοηθούς στον Ααρών τον αρχιερέα και στους υιούς του, τους ιερείς. Δώρον έχουν δοθή αυτοί εις εμέ εκ μέρους των άλλων Ισραηλιτών.

Αρ. 3,10 - καὶ Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ καταστήσεις ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ φυλάξουσι τὴν ἱερατείαν αὐτῶν καὶ πάντα τὰ κατὰ τὸν βωμὸν καὶ ἔσω τοῦ καταπετάσματος· καὶ ὁ ἀλλογενὴς ὁ ἁπτόμενος ἀποθανεῖται.

Αρ. 3,10 - Τον Ααρών τον αρχιερέα και τους υιούς του τους ιερείς θα ορίσης δια τα της Σκηνής του Μαρτυρίου, να εκτελούν δηλαδή τα ιερατικά των καθήκοντα, τόσον τα αναφερόμενα στο θυσιαστήριον των ολοκαυτωμάτων, όσον και τα αναφερόμενον το εσωτερικόν του καταπετάσματος εις τα άγια. Ανθρωπος από άλλην φυλήν, ο οποίος θα εγγίση τα καθιερωμένα αυτά σκεύη, θα αποθάνη”.

Αρ. 3,11 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 3,11 - Ελάλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 3,12 - καὶ ἰδοὺ ἐγὼ εἴληφα τοὺς Λευίτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ ἀντὶ παντὸς πρωτοτόκου διανοίγοντος μήτραν παρὰ τῶν υἱῶν Ἰσραήλ· λύτρα αὐτῶν ἔσονται καὶ ἔσονται ἐμοὶ οἱ Λευῖται·

Αρ. 3,12 - “ιδού εγώ έχω πάρει τους Λευΐτας εκ μέσου των Ισραηλιτών αντί όλων των πρωτοτόκων, εκείνων δηλαδή οι οποίοι δια της γεννήσεώς των ανοίγουν την μήτραν. Οι Λευίται θα αντικαθιστούν και θα λυτρώνουν τους πρωτοτόκους εκ των Ισραηλιτών. Ως εκ τούτου θα ανήκουν εις εμέ,

Αρ. 3,13 - ἐμοὶ γὰρ πᾶν πρωτότοκον· ἐν ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἡγίασα ἐμοὶ πᾶν πρωτότοκον ἐν Ἰσραὴλ ἀπὸ ἀνθρώπου ἕως κτήνους· ἐμοὶ ἔσονται, ἐγὼ Κύριος.

Αρ. 3,13 - διότι εις εμέ ανήκει κάθε πρωτότοκον. Κατά την ημέραν, κατά την οποίαν εθανάτωσα κάθε πρωτότοκον εις την χώραν της Αιγύπτου, έδωσα εντολήν να αφιερώνεται εις εμέ κάθε πρωτότοκον των Ισραηλιτών από άνθρωπου έως κτήνους. Ιδικά μου είναι τα πρωτότοκα· εγώ δε είμαι ο Κυριος αυτών”.

Αρ. 3,14 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ Σινὰ λέγων·

Αρ. 3,14 - Ελάλησεν ο Κυριος προς τον Μωϋσήν εις την έρημον Σινά λέγων·

Αρ. 3,15 - ἐπίσκεψαι τοὺς υἱοὺς Λευὶ κατ᾽ οἴκους πατριῶν αὐτῶν, κατὰ δήμους αὐτῶν, κατὰ συγγενείας αὐτῶν· πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω ἐπισκέψασθε αὐτούς.

Αρ. 3,15 - "κάμε επιθεώρησιν και αρίθμησιν της φυλής Λευϊ κατά τους πατριαρχικούς αυτών οίκους, κατά δήμους, κατά συγγενείας. Καταγράψατε και αριθμήσατε παν άρρεν τέκνον των από ενός μηνός και άνω".

Αρ. 3,16 - καὶ ἐπεσκέψαντο αὐτοὺς Μωυσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου, ὃν τρόπον συνέταξεν αὐτοῖς Κύριος.

Αρ. 3,16 - Ο Μωϋσής και ο Ααρών επεθεώρησαν και ηρίθμησαν αυτούς σύμφωνα με την εντολήν του Κυρίου, όπως τους διέταξεν ο Κυριος.

Αρ. 3,17 - καὶ ἦσαν οὗτοι οἱ υἱοὶ Λευὶ ἐξ ὀνομάτων αὐτῶν· Γεδσών, Καάθ, καὶ Μεραρί.

Αρ. 3,17 - Οι δε υιοί του Λευϊ ήσαν κατά τα ονόματα αυτών ο Γεδσών, ο Κααθ, και ο Μεραρί.

Αρ. 3,18 - καὶ ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Γεδσὼν κατὰ δήμους αὐτῶν· Λοβενὶ καὶ Σεμεΐ.

Αρ. 3,18 - Τα ονόματα των υιών του Γεδσών και των δήμων αυτών ήσαν, Λοβενί και Σιεμεΐ.

Αρ. 3,19 - καὶ υἱοὶ Καὰθ κατὰ δήμους αὐτῶν· Ἀμρὰμ καὶ Ἰσσαάρ, Χεβρὼν καὶ Ὀζιήλ.

Αρ. 3,19 - Οι υιοί του Καάθ με τους ομωνύμους δήμους των ήσαν, Αμράμ, Ιασαάρ, Χέβρων και Οζιήλ.

Αρ. 3,20 - καὶ υἱοὶ Μεραρὶ κατὰ δήμους αὐτῶν· Μοολὶ καὶ Μουσί. οὗτοί εἰσι δῆμοι τῶν Λευιτῶν κατ᾽ οἴκους πατριῶν αὐτῶν.

Αρ. 3,20 - Οι υιοί του Μεραρί με τους ομωνύμους δήμους των ήσαν, ο Μοολί και ο Μουσί. Αυτοί είναι οι δήμοι των Λευϊτών κατά τας πατριαρχικάς οικογενείας των.

Αρ. 3,21 - τῷ Γεδσὼν δῆμος τοῦ Λοβενὶ καὶ δῆμος τοῦ Σεμεΐ· οὗτοι οἱ δῆμοι τοῦ Γεδσών.

Αρ. 3,21 - Από τον Γεδσών κατάγεται ο δήμος του Λοβενί και ο δήμος του Σεμεΐ. Αυτοί είναι οι δήμοι του Γεδσών.

Αρ. 3,22 - ἡ ἐπίσκεψις αὐτῶν κατὰ ἀριθμὸν παντὸς ἀρσενικοῦ ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἡ ἐπίσκεψις αὐτῶν ἑπτακισχίλιοι καὶ πεντακόσιοι.

Αρ. 3,22 - Εγινεν επιθεώρησις και αρίθμησις παντός αρσενικού από μηνός και επάνω και ευρέθησαν επτά χιλιάδες πεντακόσιοι.

Αρ. 3,23 - καὶ οἱ υἱοὶ Γεδσὼν ὀπίσω τῆς σκηνῆς παρεμβαλοῦσι παρὰ θάλασσαν,

Αρ. 3,23 - Οι υιοί του Γεδσών θα στρατοπεδεύουν προς δυσμάς, όπισθεν από την Σκηνήν.

Αρ. 3,24 - καὶ ὁ ἄρχων οἴκου πατριᾶς τοῦ δήμου τοῦ Γεδσών, Ἑλισὰφ υἱὸς Δαήλ.

Αρ. 3,24 - Αρχηγός της πατριαρχικής οικογενείας του δήμου του Γεδσών ήτο ο Ελισάφ, υιός του Δαήλ.

Αρ. 3,25 - καὶ ἡ φυλακὴ υἱῶν Γεδσὼν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· ἡ σκηνὴ καὶ τὸ κάλυμμα, καὶ τὸ κατακάλυμμα τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου

Αρ. 3,25 - Από τους υιούς του Γεδσών εφυλάσσοντο εκ της Σκηνής του Μαρτυρίου, αυτή αύτη η Σκηνή, το κάλυμμά της, το παραπέτασμα το επί της θύρας της Σκηνής του Μαρτυρίου,

Αρ. 3,26 - καὶ τὰ ἱστία τῆς αὐλῆς καὶ τὸ καταπέτασμα τῆς πύλης τῆς αὐλῆς τῆς οὔσης ἐπὶ τῆς σκηνῆς καὶ τὰ κατάλοιπα πάντων τῶν ἔργων αὐτοῦ.

Αρ. 3,26 - τα παραπετάσματα της αυλής, το καταπέτασμα της θύρας της αυλής, η οποία είναι απέναντι από την Σκηνήν με όλα τα εξαρτήματα αυτού.

Αρ. 3,27 - τῷ Καὰθ δῆμος ὁ Ἀμρὰν εἷς, καὶ δῆμος ὁ Ἰσαὰρ εἷς, καὶ δῆμος ὁ Χεβρὼν εἷς, καὶ δῆμος ὁ Ὀζιὴλ εἷς· οὗτοί εἰσιν οἱ δῆμοι τοῦ Καάθ, κατὰ ἀριθμόν.

Αρ. 3,27 - Εκ του Καάθ προήλθε πρώτος ο δήμος Αμράμ, δεύτερος ο δήμος Ισαάρ, τρίτος ο δήμος Χεβρών και τέταρτος ο δήμος Οζιήλ. Αυτοί είναι, οι τέσσαρες κατά σειράν δήμοι οι προελθόντες από τον Καάθ.

Αρ. 3,28 - πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ὀκτακισχίλιοι καὶ ἑξακόσιοι φυλάσσοντες τὰς φυλακὰς τῶν ἁγίων.

Αρ. 3,28 - Εις τους δήμους αυτούς κατεμετρήθησαν αρσενικά από ενός μηνός και άνω οκτώ χιλιάδες εξακόσια. Λυτοί είχον καθήκον να φρουρούν τα ιερά αντικείμενα της Σκηνής.

Αρ. 3,29 - οἱ δῆμοι τῶν υἱῶν Καὰθ παρεμβαλοῦσιν ἐκ πλαγίων τῆς σκηνῆς κατὰ λίβα,

Αρ. 3,29 - Οι δήμοι των υιών του Καάθ θα στρατοπεδεύουν νοτίως της Σκηνής.

Αρ. 3,30 - καὶ ὁ ἄρχων οἴκου πατριῶν τῶν δήμων τοῦ Καὰθ Ἑλισαφάν, υἱὸς Ὀζιήλ.

Αρ. 3,30 - Αρχων δε των πατριαρχικών οίκων, των δήμων του Καάθ ήτο ο Ελισαφάν, ο υιός του Οζιήλ.

Αρ. 3,31 - καὶ ἡ φυλακὴ αὐτῶν, ἡ κιβωτὸς καὶ ἡ τράπεζα καὶ ἡ λυχνία καὶ τὰ θυσιαστήρια καὶ τὰ σκεύη τοῦ ἁγίου, ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς καὶ τὸ κατακάλυμμα καὶ πάντα τὰ ἔργα αὐτῶν.

Αρ. 3,31 - Αυτοί είχον καθήκον να φροντίζουν δια την κιβωτόν, δια την τράπεζαν της προθέσεως, δια την επτάφωτον λυχνίαν, δια τα θυσιαστήρια

και δι' όλα τα σκεύη του αγίου, με τα οποία λειτουργούν, δια το επάνω σκέπασμα της Σκηνής και τα εξαρτήματα όλων αυτών.

Αρ. 3,32 - καὶ ὁ ἄρχων ἐπὶ τῶν ἀρχόντων τῶν Λευιτῶν, Ἐλεάζαρ ὁ υἱὸς Ἀαρὼν τοῦ ἱερέως, καθεσταμένος φυλάσσειν τὰς φυλακὰς τῶν ἁγίων.

Αρ. 3,32 - Αρχηγός δε των αρχόντων της φυλής Λευί ήτο ο Ελεάζαρ, ο υιός του αρχιερέως Ααρών, έχων ως καθήκον να μεριμνά δια τήρησιν και φρούρησιν όλων γενικώς των αγίων αυτών αντικειμένων.

Αρ. 3,33 - τῷ Μεραρὶ δῆμος ὁ Μοολὶ καὶ δῆμος ὁ Μουσί· οὗτοί εἰσι δῆμοι τοῦ Μεραρί.

Αρ. 3,33 - Από τον Μεραρί προήλθεν ο δήμος Μοολί και ο δήμος Μουσί. Αυτοί είναι οι δήμοι του Μεραρί.

Αρ. 3,34 - ἡ ἐπίσκεψις αὐτῶν κατὰ ἀριθμόν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, ἑξακισχίλιοι καὶ πεντήκοντα·

Αρ. 3,34 - Εγινεν επιθέωρησις και καταγραφή παντός αρσενικού από μηνός και άνω και ευρέθησαν εξ χιλιάδες πεντήκοντα.

Αρ. 3,35 - καὶ ὁ ἄρχων οἴκου πατριῶν τοῦ δήμου τοῦ Μεραρί, Σουριὴλ υἱὸς Ἀβιχαίλ· ἐκ πλαγίων τῆς σκηνῆς παρεμβαλοῦσι πρὸς βοῤῥᾶν.

Αρ. 3,35 - Αρχηγός του πατριαρχικού οίκου του δήμου Μεραρί ήτο ο Σουριήλ, ο υιός του Αβιχαίλ. Αυτοί θα στρατοπεδεύουν εις τα πλάγια της Σκηνής προς βορράν.

Αρ. 3,36 - ἡ ἐπίσκεψις τῆς φυλακῆς υἱῶν Μεραρί, τὰς κεφαλίδας τῆς σκηνῆς καὶ τοὺς μοχλοὺς αὐτῆς καὶ τοὺς στύλους αὐτῆς, καὶ τὰς βάσεις αὐτῆς καὶ πάντα τὰ σκεύη αὐτῶν καὶ τὰ ἔργα αὐτῶν

Αρ. 3,36 - Ως έργον στους υιούς Μεραρί είχεν ανατεθή η φροντίς δια τα κιονόκρανα της Σκηνής, τους μοχλούς, τους στύλους και τα βάθρα και δι' όλα γενικώς τα εξαρτήματά των,

Αρ. 3,37 - καὶ τοὺς στύλους τῆς αὐλῆς κύκλῳ καὶ τὰς βάσεις αὐτῶν καὶ τοὺς πασσάλους καὶ τοὺς κάλους αὐτῶν.

Αρ. 3,37 - δια τους στύλους της αυλής κύκλω, δια τας βάσεις αυτών, τους πασσάλους και τα σχοινία των.

Αρ. 3,38 - οἱ παρεμβάλλοντες κατὰ πρόσωπον τῆς σκηνῆς τοῦ μαρτυρίου ἀπὸ ἀνατολῆς, Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ φυλάσσοντες τὰς φυλακὰς τοῦ ἁγίου εἰς τὰς φυλακὰς τῶν υἱῶν Ἰσραήλ· καὶ ὁ ἀλλογενὴς ὁ ἁπτόμενος ἀποθανεῖται.

Αρ. 3,38 - Κατά πρόσωπον της Σκηνής του Μαρτυρίου και προς ανατολάς θα είναι στρατοπεδευμένοι ο Μωϋσής και ο Ααρών με τους υιούς του, δια να έχουν την φοοντίδα της Σκηνής και να προσφέρουν τας υπηρεσίας των προς τους Ισραηλίτας. Καθε άνθρωπος από άλλην φυλήν, ο οποίος θα εγγίση τα ιερά αυτά αντικείμενα, θα αποθνήσκη.

Αρ. 3,39 - πᾶσα ἡ ἐπίσκεψις τῶν Λευιτῶν, οὓς ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου κατὰ δήμους αὐτῶν, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω, δύο καὶ εἴκοσι χιλιάδες.

Αρ. 3,39 - Ολα τα άρρενα των Λευϊτών, τα οποία επεσκέφθη και ηρίθμησεν ο Μωϋσής και ο Ααρών κατά τους δήμους αυτών, σύμφωνα με την εντολήν του Κυρίου, από ενός μηνός και άνω ευρέθησαν είκοσι δύο χιλιάδες.

Αρ. 3,40 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν λέγων· ἐπίσκεψαι πᾶν πρωτότοκον ἄρσεν τῶν υἱῶν Ἰσραὴλ ἀπὸ μηνιαίου καὶ ἐπάνω καὶ λάβε τὸν ἀριθμὸν ἐξ ὀνόματος·

Αρ. 3,40 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “αρίθμησε τώρα κάθε αρσενικόν πρωτότοκον των Ισραηλιτών από ενός μηνός και άνω και κράτησε τον συνολικόν αριθμόν.

Αρ. 3,41 - καὶ λήψῃ τοὺς Λευίτας ἐμοί, ἐγὼ Κύριος, ἀντὶ πάντων τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ καὶ τὰ κτήνη τῶν Λευιτῶν ἀντὶ πάντων τῶν πρωτοτόκων ἐν τοῖς κτήνεσι τῶν υἱῶν Ἰσραήλ.

Αρ. 3,41 - Θα λάβης και θα αφιερώσης εις εμέ τους Λευΐτας- εγώ είμαι ο Κυριος που διατάσσω- αντί όλων των πρωτοτόκων των Ισραηλιτών και τα ζώα των Λευϊτών αντί όλων των πρωτοτόκων, που έχουν γεννηθή από τα ζώα των Ισραηλιτών”.

Αρ. 3,42 - καὶ ἐπεσκέψατο Μωυσῆς, ὃν τρόπον ἐνετείλατο Κύριος πᾶν πρωτότοκον ἐν τοῖς υἱοῖς Ἰσραήλ·

Αρ. 3,42 - Ο Μωϋσής επεθεώρησε και ηρίθμησεν όλα τα πρωτότοκα των Ισραηλιτών, όπως τον είχε διατάξει ο Κυριος.

Αρ. 3,43 - καὶ ἐγένοντο πάντα τὰ πρωτότοκα τὰ ἀρσενικὰ κατὰ ἀριθμὸν ἐξ ὀνόματος ἀπὸ μηνιαίου καὶ ἐπάνω ἐκ τῆς ἐπισκέψεως αὐτῶν δύο καὶ εἴκοσι χιλιάδες καὶ τρεῖς καὶ ἑβδομήκοντα καὶ διακόσιοι.

Αρ. 3,43 - Ολα δε τα πρωτότοκα αρσενικά, τα αριθμηθέντα ατομικώς από ενός μηνός και άνω ευρέθησαν ότι είναι είκοσι δύο χιλιάδες διακόσια εβδομήκοντα τρία.

Αρ. 3,44 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 3,44 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 3,45 - λάβε τοὺς Λευίτας ἀντὶ πάντων τῶν πρωτοτόκων υἱῶν Ἰσραὴλ καὶ τὰ κτήνη τῶν Λευιτῶν ἀντὶ τῶν κτηνῶν αὐτῶν, καὶ ἔσονται ἐμοὶ οἱ Λευῖται· ἐγὼ Κύριος.

Αρ. 3,45 - “πάρε τους Λευΐτας αντί όλων των πρωτοτόκων των Ισραηλιτών και τα ζώα των Λευϊτών αντί των ζώων των άλλων Ισραηλιτών. Οι Λευίται θα είναι ιδικοί μου, θα είναι αφιερωμένοι εις την υπηρεσίαν μου, Εγώ ο Κυριος δίδω την εντολήν.

Αρ. 3,46 - καὶ τὰ λύτρα τριῶν καὶ ἑβδομήκοντα καὶ διακοσίων, οἱ πλεονάζοντες παρὰ τοὺς Λευίτας ἀπὸ τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραήλ,

Αρ. 3,46 - Δια δε τα διακόσια εβδομήκοντα τρία πρωτότοκα των Ισραηλιτών, αυτά που πλεονάζουν εν συγκρίσει με τον αριθμόν των Λευϊτών, θα λάβης χρήματα δια την λύτρωσίν των.

Αρ. 3,47 - καὶ λήψῃ πέντε σίκλους κατὰ κεφαλήν, κατὰ τὸ δίδραχμον τὸ ἅγιον λήψῃ, εἴκοσιν ὀβολοὺς τοῦ σίκλου,

Αρ. 3,47 - Θα πάρης δι' έκαστον άτομον πέντε σίκλους αργυρίου (60 - περίπου γραμμάρια) τα οποία θα καταβληθούν βάσει του χρησιμοποιουμένου διδράχμου στον ναόν. Ο σίκλος έχει είκοσι οβολούς.

Αρ. 3,48 - καὶ δώσεις τὸ ἀργύριον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, λύτρα τῶν πλεοναζόντων ἐν αὐτοῖς.

Αρ. 3,48 - Το αργύριον αυτό από την εξαγοράν των πρωτοτόκων θα το παραδώσης στον Ααρών και τους υιούς του”.

Αρ. 3,49 - καὶ ἔλαβε Μωυσῆς τὸ ἀργύριον τὰ λύτρα τῶν πλεοναζόντων εἰς τὴν ἐκλύτρωσιν τῶν Λευιτῶν,

Αρ. 3,49 - Ελαβον ο Μωϋσής δια την εξαγοράν των πλεοναζόντων πρωτοτόκων των Ισραηλιτών το καθορισθέν αργύριον ως λύτρον δια τους αρθμητικώς υστερούντας Λευΐτας.

Αρ. 3,50 - παρὰ τῶν πρωτοτόκων τῶν υἱῶν Ἰσραὴλ ἔλαβε τὸ ἀργύριον, χιλίους τριακοσίους ἑξηκονταπέντε σίκλους, κατὰ τὸν σίκλον τὸν ἅγιον.

Αρ. 3,50 - Από τους πρωτοτόκους Ισραηλίτας επήρεν αργύριον, το οποίον ανήλθεν εις χίλιους τριακόσιους εξήκοντα πέντε σίκλους, (δέκα τέσσαρα και ήμισυ περίπου κιλά) σύμφωνα με τον σίκλον ο οποίος εκυκλοφόρει και εχρησιμοπουείτο στον ιερόν χώρον της Σκηνής.

Αρ. 3,51 - καὶ ἔδωκε Μωυσῆς τὰ λύτρα τῶν πλεοναζόντων Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ, διὰ φωνῆς Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 3,51 - Παρέδωσε δε τα χρήματα αυτά, τα λύτρα των πλεοναζόντων πρωτοτόκων των Ισραηλιτών, στον Ααρών και τους υιούς του σύμφωνα με την εντολήν του Κυρίου, όπως ο Κυριος είχε διατάξει τον Μωϋσήν.

## ΑΡΙΘΜΟΙ 4

Αρ. 4,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Αρ. 4,1 - Ωμίλησεν ο Κυριος στον Μωϋσήν και τον Ααρών λέγων·

Αρ. 4,2 - λάβε τὸ κεφάλαιον τῶν υἱῶν Καὰθ ἐκ μέσου υἱῶν Λευί, κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν,

Αρ. 4,2 - “αρίθμησε και λάβε από την φυλήν Λευϊ όλους τους απογόνους του Καάθ κατά τους δήμους αυτών, κατά τας πατριαρχικάς οικογενείας,

Αρ. 4,3 - ἀπὸ εἴκοσι καὶ πέντε ἐτῶν καὶ ἐπάνω ἕως πεντήκοντα ἐτῶν, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν ποιῆσαι πάντα τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

Αρ. 4,3 - ηλικίας από είκοσι πέντε έως πεντήκοντα ετών, όλους αυτούς οι οποίοι θα εισέρχωνται εις την Σκηνήν του Μαρτυρίου, δια να υπηρετούν και εκτελούν όλα τα έργα, που χρειάζονται.

Αρ. 4,4 - καὶ ταῦτα τὰ ἔργα τῶν υἱῶν Καὰθ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· ἅγιον τῶν ἁγίων.

Αρ. 4,4 - Αυταί θα είναι αι υπηρεσίαι των υιών Καάθ εις την Σκηνήν του Μαρτυρίου· θα αναφέρονται εις τα άγια σκεύη και αντικείμενα της Σκηνής.

Αρ. 4,5 - καὶ εἰσελεύσεται Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ, ὅταν ἐξαίρῃ ἡ παρεμβολή, καὶ καθελοῦσι τὸ καταπέτασμα τὸ συσκιάζον καὶ κατακαλύψουσιν ἐν αὐτῷ τὴν κιβωτὸν τοῦ μαρτυρίου,

Αρ. 4,5 - Οταν πρόκειται να αναχωρήση ο λαός του Ισραήλ από τον τόπον της κατασκηνώσεώς του, θα εισέλθουν ο Ααρών και οι υιοί του εις την Σκηνήν, θα κατεβάσουν το καταπέτασμα, που χωρίζει τα άγια από τα άγια των αγίων και με αυτό θα σκεπάσουν εξ ολοκλήρου την κιβωτόν του Μαρτυρίου.

Αρ. 4,6 - καὶ ἐπιθήσουσιν ἐπ᾿ αὐτὸ κατακάλυμμα δέρμα ὑακίνθινον καὶ ἐπιβαλοῦσιν ἐπ᾿ αὐτὴν ἱμάτιον ὅλον ὑακίνθινον ἄνωθεν καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς.

Αρ. 4,6 - Επάνω από αυτήν θα θέσουν και ένα άλλο σκέπασμα από δέρμα χρώματος κυανού. Επάνω δε και από αυτό θα θέσουν τρίτον κάλυμμα από ύφασμα χρώματος κυανού. Θα περάσουν δε τους αναφορείς στους δακτυλίους της κιβωτού.

Αρ. 4,7 - καὶ ἐπὶ τὴν τράπεζαν τὴν προκειμένην ἐπιβαλοῦσιν ἐπ᾿ αὐτὴν ἱμάτιον ὁλοπόρφυρον καὶ τὰ τρυβλία καὶ τὰς θυΐσκας καὶ τοὺς κυάθους καὶ τὰ σπονδεῖα, ἐν οἷς σπένδει, καὶ οἱ ἄρτοι οἱ διαπαντὸς ἐπ᾿ αὐτῆς ἔσονται.

Αρ. 4,7 - Την τράπεζαν της προθέσεως, η οποία ευρίσκεται εμπρός από το καταπέτασμα το χωρίζον τα άγια των αγίων, θα καλύψουν με ολοπύρφυρον ύφασμα, όπως επίσης και τα πινάκια, τα οποία ευρίσκονται επάνω εις αυτήν, τα θυμιατήρια, τα ποτήρια και τα δοχεία, δια των οποίων γίνεται η σπονδή του οίνου. Θα καλυφθούν επίσης και οι δώδεκα άρτοι, οι οποίοι πρέπει να ευρίσκωνται πάντοτε επάνω εις αυτήν.

Αρ. 4,8 - καὶ ἐπιβαλοῦσιν ἐπ᾿ αὐτὴν ἱμάτιον κόκκινον καὶ καλύψουσιν αὐτὴν καλύμματι δερματίνῳ ὑακινθίνῳ καὶ διεμβαλοῦσι δι᾿ αὐτῆς τοὺς ἀναφορεῖς.

Αρ. 4,8 - Επάνω εις την τράπεζαν αυτήν της προθέσεως θα θέσουν ως δεύτερον κάλυμμα ύφασμα ερυθρού χρώματος και τρίτον κάλυμμα δερμάτινον επάνω από όλα, χρώματος κυανού. Κατόπιν δε θα περάσουν από τους δακτυλίους της τους αναφορείς.

Αρ. 4,9 - καὶ λήψονται ἱμάτιον ὑακίνθινον καὶ καλύψουσι τὴν λυχνίαν τὴν φωτίζουσαν καὶ τοὺς λύχνους αὐτῆς καὶ τὰς λαβίδας αὐτῆς καὶ τὰς ἐπαρυστρίδας αὐτῆς καὶ πάντα τὰ ἀγγεῖα τοῦ ἐλαίου, οἷς λειτουργοῦσιν ἐν αὐτοῖς,

Αρ. 4,9 - Θα λάβουν ύφασμα χρώματος κυανού και θα σκεπάσουν την επτάφωτον λυχνίαν, τους λύχνους της, τας λαβίδας, τους ελαιοχύτας και όλα τα δοχεία του ελαίου τα χρησιμοποιούμενα δι' αυτήν.

Αρ. 4,10 - καὶ ἐμβαλοῦσιν αὐτὴν καὶ πάντα τὰ σκεύη αὐτῆς εἰς κάλυμμα δερμάτινον ὑακίνθινον καὶ ἐπιθήσουσιν αὐτὴν ἐπ᾿ ἀναφορέων.

Αρ. 4,10 - Θα θέσουν αυτήν και όλα τα σκεύη της εις ένα δερμάτινον κυανούν δεύτερον σκέπασμα. Ετσι δε σκεπασμένην θα την θέσουν στους αναφορείς.

Αρ. 4,11 - καὶ ἐπὶ τὸ θυσιαστήριον τὸ χρυσοῦν ἐπικαλύψουσιν ἱμάτιον ὑακίνθινον καὶ καλύψουσιν αὐτὸ καλύμματι δερματίνῳ ὑακινθίνῳ καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ.

Αρ. 4,11 - Θα σκεπάσουν επίσης το χρυσούν θυσιαστήριον των θυμιαμάτων με ύφασμα χρώματος κυανού, θα το καλύψουν και με δερμάτινον κάλυμμα χρώματος κυανού και θα περάσουν από τους δακτυλίους του τους αναφορείς, τους μοχλούς της μεταφοράς του.

Αρ. 4,12 - καὶ λήψονται πάντα τὰ σκεύη τὰ λειτουργικά, ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς ἐν τοῖς ἁγίοις, καὶ ἐμβαλοῦσιν εἰς ἱμάτιον ὑακίνθινον καὶ καλύψουσιν αὐτὰ καλύμματι δερματίνῳ ὑακινθίνῳ καὶ ἐπιθήσουσιν ἐπὶ ἀναφορεῖς.

Αρ. 4,12 - Θα λάβουν οι ιερείς όλα τα λειτουργικά σκεύη, τα οποία χρησιμοποιούν μέσα εις τα Αγια, θα τα θέσουν εις ύφασμα κυανούν, θα τα καλύψουν με δερμάτινον κυανούν κάλυμμα και θα τα θέσουν έτσι τυλιγμένα επάνω εις αναφορείς.

Αρ. 4,13 - καὶ τὸν καλυπτῆρα ἐπιθήσει ἐπὶ τὸ θυσιαστήριον καὶ ἐπικαλύψουσιν ἐπ᾿ αὐτὸ ἱμάτιον ὁλοπόρφυρον.

Αρ. 4,13 - Το δε σκέπασμα του θυσιαστηρίου των ολοκαυτωμάτων θα το θέση επάνω στο θυσιαστήριον ένας από τους ιερείς, το οποίον οι άλλοι ιερείς θα σκεπάσουν με ύφασμα ολοπόρφυρον.

Αρ. 4,14 - καὶ ἐπιθήσουσιν ἐπ᾿ αὐτὸ πάντα τὰ σκεύη, ὅσοις λειτουργοῦσιν ἐπ᾿ αὐτῷ ἐν αὐτοῖς, καὶ τὰ πυρεῖα καὶ τὰς κρεάγρας καὶ τὰς φιάλας καὶ τὸν καλυπτῆρα καὶ πάντα τὰ σκεύη τοῦ θυσιαστηρίου· καὶ ἐπιβαλοῦσιν ἐπ᾿ αὐτὸ κάλυμμα δερμάτινον ὑακίνθινον, καὶ διεμβαλοῦσι τοὺς ἀναφορεῖς αὐτοῦ· καὶ λήψονται ἱμάτιον πορφυροῦν καὶ συγκαλύψουσι τὸν λουτῆρα καὶ τὴν βάσιν αὐτοῦ καὶ ἐμβαλοῦσιν αὐτὰ εἰς κάλυμμα δερμάτινον ὑακίνθινον καὶ ἐπιθήσουσιν ἐπὶ ἀναφορεῖς.

Αρ. 4,14 - Επί του θυσιαστηρίου των ολοκαυτωμάτων θα γίνουν οι ιερείς όλα τα σκεύη, τα οποία χρησιμοποιούν κατά τας θυσίας δι' αυτό, δηλαδή τα πυρσδοχεία, τας κρεάγρας, τας φιάλας, την εσχάραν και όλα γενικώς τα σκεύη του θυσιαστηρίου. Θα θέσουν επάνω εις αυτό δερμάτινον κυανούν κάλυμμα και θα περάσουν δια των δακτυλίων τους μοχλούς της μεταφοράς του. Θα λάβουν επίσης ύφασμα πορφυρούν, με το οποίον θα σκεπάσουν τον λουτήρα και την βάσιν αυτού, και θα θέσουν αυτά εις κυανούν δερμάτινον κάλυμμα. Ολα δε θα τα βάλουν επάνω στους αναφορείς.

Αρ. 4,15 - καὶ συντελέσουσιν Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ καλύπτοντες τὰ ἅγια καὶ πάντα τὰ σκεύη τὰ ἅγια ἐν τῷ ἐξαίρειν τὴν παρεμβολήν, καὶ μετὰ ταῦτα εἰσελεύσονται υἱοὶ Καὰθ αἴρειν καὶ οὐχ ἅψονται τῶν ἁγίων, ἵνα μὴ ἀποθάνωσι· ταῦτα ἀροῦσιν οἱ υἱοὶ Καὰθ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

Αρ. 4,15 - Ο Ααρών και οι υιοί του θα αποπερατώσουν πρώτον αυτοί το έργον των σκεπάζοντες τα άγια αντικείμενα και όλα αυτών τα εξαρτήματα, όταν πρόκειται να μετακινηθή το στρατόπεδον, και έπειτα θα έλθουν οι υιοί Καάθ να μεταφέρουν αυτά. Δεν θα εγγίσουν τα άγια, δια να μη αποθάνουν. Θα μεταφέρουν μόνον αυτοί όλα τα αντικείμενα και σκεύη της Σκηνής του Μαρτυρίου.

Αρ. 4,16 - ἐπίσκοπος Ἐλεάζαρ υἱὸς Ἀαρὼν τοῦ ἱερέως· τὸ ἔλαιον τοῦ φωτὸς καὶ τὸ θυμίαμα τῆς συνθέσεως καὶ ἡ θυσία ἡ καθ᾿ ἡμέραν καὶ τὸ ἔλαιον τῆς χρίσεως, ἡ ἐπισκοπὴ ὅλης τῆς σκηνῆς καὶ ὅσα ἐστὶν ἐν αὐτῇ ἐν τῷ ἁγίῳ, ἐν πᾶσι τοῖς ἔργοις.

Αρ. 4,16 - Επόπτης δε όλων αυτών των έργων θα είναι ο Ελεάζαρ, ο υιός του αρχιερέως Ααρών. Αυτός θα φροντίζη δια το φωτιστικόν έλαιον, δια το παρεσκευασμένον θυμίαμα, δια την καθημερινήν θυσίαν, δια το ιερόν έλαιον της χρίσεως και γενικώς θα έχη την εποπτείαν επί όλης της Σκηνής, επί όλων όσα άγια υπάρχουν εις αυτήν και δι' όλα όσα γίνονται εν αυτή”.

Αρ. 4,17 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Αρ. 4,17 - Ωμίλησε ο Κυριος προς τον Μωϋσήν και Ααρών λέγων·

Αρ. 4,18 - μὴ ὀλοθρεύσητε τῆς φυλῆς τὸν δῆμον τὸν Καὰθ ἐκ μέσου τῶν Λευιτῶν·

Αρ. 4,18 - “προσέξατε μήπως τυχόν απροσεκτούντες εξαφανίσετε εκ της φυλής Λευϊ τους ανθρώπους του δήμου Καάθ.

Αρ. 4,19 - τοῦτο ποιήσατε αὐτοῖς καὶ ζήσονται καὶ οὐ μὴ ἀποθάνωσι, προσπορευομένων αὐτῶν πρὸς τὰ ἅγια τῶν ἁγίων· Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ προσπορευέσθωσαν καὶ καταστήσουσιν αὐτοὺς ἕκαστον κατὰ τὴν ἀναφορὰν αὐτοῦ,

Αρ. 4,19 - Αυτό θα κάμετε δι' αυτούς, ώστε να ζήσουν και να μη αποθάνουν, όταν πλησιάζουν τα αγιώτατα σκεύη και αντικείμενα της Σκηνής· ο Ααρών και οι υιοί του θα προηγηθούν, δια να διαλύσουν την Σκηνήν. Θα αναθέσουν κατόπιν την εντεταλμένην εις να έκαστον υπηρεσίαν.

Αρ. 4,20 - καὶ οὐ μὴ εἰσέλθωσιν ἰδεῖν ἐξάπινα τὰ ἅγια καὶ ἀποθανοῦνται.

Αρ. 4,20 - Δεν θα εισέλθουν εις την Σκηνήν οι υιοί του Καάθ, ίνα μη τυχόν ρίψουν, έστω, και ένα βλέμμα εις τα άγια αντικείμενα και αποθάνουν δια την ασέβειάν των".

Αρ. 4,21 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 4,21 - Ωμίλησεν ο Κυριος προς τον Μωυσήν λέγων·

Αρ. 4,22 - λάβε τὴν ἀρχὴν τῶν υἱῶν Γεδσών, καὶ τούτους κατ᾿ οἴκους πατριῶν αὐτῶν, κατὰ δήμους αὐτῶν,

Αρ. 4,22 -  - "πάρε όλους τους υιούς Γεδσών κατά πατριαρχικάς οικογενείας, κατά τους δήμους αυτών,

Αρ. 4,23 - ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς ἐπίσκεψαι αὐτούς, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν καὶ ποιεῖν τὰ ἔργα αὐτοῦ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

Αρ. 4,23 - από εικοσιπέντε ετών και άνω έως πεντήκοντα. Προσεκτικώς παρατήρησε αυτούς, που θα εισέρχονται δια να υπηρετούν εις την Σκηνήν του Μαρτυρίου και να εκτελούν τα καθωρισμένα δι' αυτούς έργα.

Αρ. 4,24 - αὕτη ἡ λειτουργία τοῦ δήμου τοῦ Γεδσών, λειτουργεῖν καὶ αἴρειν·

Αρ. 4,24 - Αυτή είναι η υπηρεσία των ανηκόντων στον δήμον του Γεδσών, η εργασία των μεταφορών που θα κάμνουν.

Αρ. 4,25 - καὶ ἀρεῖ τὰς δέῤῥεις τῆς σκηνῆς καὶ τὴν σκηνὴν τοῦ μαρτυρίου καὶ τὸ κάλυμμα αὐτῆς καὶ τὸ κατακάλυμμα τὸ ὑακίνθινον τὸ ὂν ἐπ᾿ αὐτῆς ἄνωθεν καὶ τὸ κάλυμμα τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου

Αρ. 4,25 - Θα πάρουν τα τρίχινα υφάσματα του δευτέρου καλύμματος της Σκηνής, ολόκληρον την στέγην της Σκηνής του Μαρτυρίου, το τρίτον δερμάτινον κάλυμμα και το επάνω από όλα τέταρτον κυανούν κάλυμμα, όπως επίσης και το παραπέτασμα της θύρας της Σκηνής του Μαρτυρίου.

Αρ. 4,26 - καὶ τὰ ἱστία τῆς αὐλῆς, ὅσα ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ τὰ περισσὰ καὶ πάντα τὰ σκεύη τὰ λειτουργικά, ὅσα λειτουργοῦσιν ἐν αὐτοῖς, ποιήσουσι.

Αρ. 4,26 - Θα μεταφέρουν τα παραπετάσματα της αυλής, η οποία είναι γύρω από την Σκηνήν του Μαρτυρίου, τα πλεονάζοντα και όλα τα σκεύη της ιεράς υπηρεσίας όσα χρειάζονται δια την υπηρεσίαν εις την Σκηνήν.

Αρ. 4,27 - κατὰ στόμα Ἀαρὼν καὶ τῶν υἱῶν αὐτοῦ ἔσται ἡ λειτουργία τῶν υἱῶν Γεδσὼν κατὰ πάσας τὰς λειτουργίας αὐτῶν καὶ κατὰ πάντα τὰ ἔργα αὐτῶν· καὶ ἐπισκέψῃ αὐτοὺς ἐξ ὀνόματος πάντα τὰ ἀρτὰ ὑπ᾿ αὐτῶν.

Αρ. 4,27 - Υπό την καθοδήγησιν και την εντολήν του Ααρών και των υιών του θα εκτελήται η υπηρεσία των υιών Γεδσών εις όλας τας εργασίας και

μεταφοράς. Θα καθορίσης ονομαστικώς στον καθένα, ποία αντικείμενα θα μεταφέρουν.

Αρ. 4,28 - αὕτη ἡ λειτουργία τῶν υἱῶν Γεδσὼν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἡ φυλακὴ αὐτῶν ἐν χειρὶ Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως.

Αρ. 4,28 - Αυτή η υπηρεσία των υιών Γεδσών εις την Σκηνήν του Μαρτυρίου θα γίνεται υπό την εποπτείαν και δικαιοδοσίαν του Ιθάμαρ, υιού του αρχιερέως Ααρών.

Αρ. 4,29 - οἱ υἱοὶ Μεραρὶ κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν ἐπισκέψασθε αὐτούς,

Αρ. 4,29 - Αριθμήσατε τους υιούς Μεραρί κατά τους δήμους αυτών, κατά τας πατριαρχικάς οικογενείας των,

Αρ. 4,30 - ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς ἐπισκέψασθε αὐτούς, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου.

Αρ. 4,30 - αριθμήσατε αυτούς από ηλικίας εικοσιπέντε ετών και άνω έως πεντήκοντα ετών εκείνους, οι οποίοι θα εισέρχωνται να υπηρετούν εις τα έργα της Σκηνής του Μαρτυρίου.

Αρ. 4,31 - καὶ ταῦτα τὰ φυλάγματα τῶν αἰρομένων ὑπ᾿ αὐτῶν κατὰ πάντα τὰ ἔργα αὐτῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου· τὰς κεφαλίδας τῆς σκηνῆς καὶ τοὺς μοχλοὺς καὶ τοὺς στύλους αὐτῆς καὶ τὰς βάσεις αὐτῆς, καὶ τὸ κατακάλυμμα καὶ αἱ βάσεις αὐτῶν, καὶ οἱ στύλοι αὐτῶν καὶ τὸ κατακάλυμμα τῆς θύρας τῆς σκηνῆς

Αρ. 4,31 - Τα καθήκοντα της υπ' αυτών μεταφοράς αντικειμένων της Σκηνής του Μαρτυρίου είναι· Να μεταφέρουν τα κιονόκρανα της Σκηνής, τους μοχλούς, τους στύλους αυτής και τα βάθρα της, το εξωτερικόν σκέπασμα της Σκηνής, τα βάθρα των στύλων της, τους στύλους και το παραπέτασμα της θύρας της Σκηνής.

Αρ. 4,32 - καὶ τοὺς στύλους τῆς αὐλῆς κύκλῳ, καὶ αἱ βάσεις αὐτῶν καὶ τοὺς στύλους τοῦ καταπετάσματος τῆς πύλης τῆς αὐλῆς, καὶ τὰς βάσεις αὐτῶν, καὶ τοὺς πασσάλους αὐτῶν καὶ τοὺς κάλους αὐτῶν καὶ πάντα τὰ σκεύη αὐτῶν καὶ πάντα τὰ λειτουργήματα αὐτῶν, ἐξ ὀνομάτων ἐπισκέψασθε αὐτοὺς καὶ πάντα τὰ σκεύη τῆς φυλακῆς τῶν αἰρομένων ὑπ᾿ αὐτῶν.

Αρ. 4,32 - Θα μεταφέρουν ακόμη αυτοί τους γύρω από την αυλήν στύλους και τας βάσεις των, τους στύλους του καταπετάσματος της πύλης της αυλής και τας βάσεις αυτών, τους πασσάλους και τα σχοινία των, όλα τα σκεύη των και παν ο,τι χρησιμεύει ως στήριγμα της Σκηνής. Ονομαστικώς εκλέξατε αυτούς και όλα τα αντικείμενα, δια την μεταφοράν των οποίων αυτοί θα έχουν την φροντίδα και ευθύνην.

Αρ. 4,33 - αὕτη ἡ λειτουργία δήμου υἱῶν Μεραρὶ ἐν πᾶσι τοῖς ἔργοις αὐτῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἐν χειρὶ Ἰθάμαρ τοῦ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως.

Αρ. 4,33 - Αυτή είναι η υπηρεσία των ανηκόντων στον δήμον Μεραρί δι' όλα τα ανατιθέμενα εις αυτούς έργα εις εξυπηρέτησιν της Σκηνής, η οποία υπηρεσία θα γίνεται υπό την εποπτείαν και καθοδήγησιν του Ιθάμαρ, υιού του αρχιερέως Ααρών”.

Αρ. 4,34 - καὶ ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ ἄρχοντες Ἰσραὴλ τοὺς υἱοὺς Καὰθ κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν,

Αρ. 4,34 - Ο Μωϋσής, ο Ααρών και οι άρχοντες του Ισραήλ ηρίθμησαν τους υιούς Καάθ κατά τους δήμους και τας πατριαρχικάς οικογενείας των

Αρ. 4,35 - ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν καὶ ποιεῖν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

Αρ. 4,35 - από εικοσιπέντε ετών έως πεντήκοντα, όλους εκείνους, οι οποίοι θα εισηρχοντο εις την Σκηνήν του Μαρτυρίου, δια να υπηρετούν εις αυτήν.

Αρ. 4,36 - καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν κατὰ δήμους αὐτῶν δισχίλιοι ἑπτακόσιοι πεντήκοντα.

Αρ. 4,36 - Εγινεν αυτή η κατά δήμους αρίθμησις και ο αριθμός αυτών ανήλθεν εις δύο χιλιάδας επτακοσίους πεντήκοντα.

Αρ. 4,37 - αὕτη ἡ ἐπίσκεψις δήμου Καάθ, πᾶς ὁ λειτουργῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καθὰ ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου, ἐν χειρὶ Μωυσῇ.

Αρ. 4,37 - Αυτή είναι η αρίθμησις του δήμου Καάθ, η οποία περιέλαβε κάθε δυνάμενον να υπηρετήση εις την Σκηνήν του Μαρτυρίου, και η οποία αρίθμησις έγινεν υπό του Μωϋσέως και του Ααρών σύμφωνα με την εντολήν του Κυρίου προς τον Μωϋσήν.

Αρ. 4,38 - καὶ ἐπεσκέπησαν υἱοὶ Γεδσὼν κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν,

Αρ. 4,38 - Εγένετο αρίθμησις των υιών Γεδσών κατά τους δήμους αυτών, κατά τας πατριαρχικάς των οικογενείας.

Αρ. 4,39 - ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν καὶ ποιεῖν τὰ ἔργα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

Αρ. 4,39 - Από εικοσιπέντε ετών έως πεντήκοντα, δι' όλους εκείνους οι οποίοι θα εισήρχοντο να υπηρετούν και να εκτελούν τα καθωρισμένα έργα εις την Σκηνήν του Μαρτυρίου.

Αρ. 4,40 - καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, δισχίλιοι ἑξακόσιοι τριάκοντα.

Αρ. 4,40 - Η αρίθμησις έγινε κατά δήμους και κατά πατριαρχικάς οικογενείας και οι απογραφέντες ανήλθαν εις δύο χιλιάδας εξακοσίους τριάκοντα.

Αρ. 4,41 - αὕτη ἡ ἐπίσκεψις δήμου υἱῶν Γεδσών, πᾶς ὁ λειτουργῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, οὓς ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου, ἐν χειρὶ Μωυσῆ.

Αρ. 4,41 - Αυτή είναι η αρίθμησις του δήμου των υιών Γεδσών, δι' όλους εκείνους οι οποίοι θα υπηρετούσαν εις την Σκηνήν του Μαρτυρίου. Αυτούς ηρίθμησεν ο Μωϋσής και ο Ααρών κατόπιν εντολής Κυρίου προς τον Μωϋσήν.

Αρ. 4,42 - ἐπεσκέπησαν δὲ καὶ δῆμος υἱῶν Μεραρὶ κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν,

Αρ. 4,42 - Ηριθμήθησαν δε οι υιοί Μεραρί κατά δήμους και πατριαρχικάς οικογενείας,

Αρ. 4,43 - ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς, πᾶς ὁ εἰσπορευόμενος λειτουργεῖν πρὸς τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου.

Αρ. 4,43 - από εικοσιπέντε ετών έως πεντήκοντα, όλοι οι δυνάμενοι να εισέρχωνται εις την Σκηνήν του Μαρτυρίου και να υπηρετούν εις τα έργα αυτής.

Αρ. 4,44 - καὶ ἐγενήθη ἡ ἐπίσκεψις αὐτῶν κατὰ δήμους αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, τρισχίλιοι καὶ διακόσιοι·

Αρ. 4,44 - Η κατά δήμους αυτή και πατριαρχικάς οικογενείας αρίθμησις ανήλθεν εις τρεις χιλιάδας διακοσίους.

Αρ. 4,45 - αὕτη ἡ ἐπίσκεψις δήμου υἱῶν Μεραρί, οὓς ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν διὰ φωνῆς Κυρίου, ἐν χειρὶ Μωυσῆ.

Αρ. 4,45 - Αυτή είναι η αρίθμησις του δήμου των υιών Μεραρί, η οποία έγινε από τον Μωϋσήν και τον Ααρών κατόπιν εντολής Κυρίου προς τον Μωϋσήν.

Αρ. 4,46 - πάντες οἱ ἐπεσκεμμένοι, οὓς ἐπεσκέψατο Μωυσῆς καὶ Ἀαρὼν καὶ οἱ ἄρχοντες Ἰσραὴλ τοὺς Λευίτας, κατὰ δήμους καὶ κατ᾿ οἴκους πατριῶν αὐτῶν,

Αρ. 4,46 - Ολοι αυτοί οι Λευίται οι αριθμηθέντες υπό του Μωϋσέως, του Ααρών και των αρχόντων του Ισραήλ, κατά δήμους και κατά πατριαρχικάς οικογενείας των,

Αρ. 4,47 - ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω ἕως πεντηκονταετοῦς, πᾶς ὁ εἰσπορευόμενος πρὸς τὸ ἔργον τῶν ἔργων καὶ τὰ ἔργα τὰ αἰρόμενα ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου,

Αρ. 4,47 - ηλικίας εικοσιπέντε ετών έως πεντήκοντα, όλοι οι οποίοι ηδύναντο να εισέρχωνται εις την Σκηνήν του Μαρτυρίου να εκτελούν τα

διάφορα έργα και τα έργα της μεταφοράς,

Αρ. 4,48 - καὶ ἐγενήθησαν οἱ ἐπισκεπέντες ὀκτακισχίλιοι πεντακόσιοι ὀγδοήκοντα.

Αρ. 4,48 - ανήλθον εν συνόλω εις οκτώ χιλιάδας πεντακοσίους ογδοήκοντα.

Αρ. 4,49 - διὰ φωνῆς Κυρίου ἐπεσκέψατο αὐτοὺς ἐν χειρὶ Μωυσῇ, ἄνδρα κατὰ ἄνδρα ἐπὶ τῶν ἔργων αὐτῶν καὶ ἐπὶ ὧν αἴρουσιν αὐτοί· καὶ ἐπεσκέπησαν, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 4,49 - Η αρίθμησις αυτή έγινε κατόπιν εντολής Κυρίου δια του Μωϋσέως χωριστά δι' ένα έκαστον άνδρα δια τα έργα, τα οποία θα εξετέλουν και δια τα αντικείμενα, τα οποία θα μετέφερον. Εμετρήθησαν και ετακτοποιήθησαν, όπως διέταξεν ο Κυριος τον Μωϋσήν.

## ΑΡΙΘΜΟΙ 5

Αρ. 5,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 5,1 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 5,2 - πρόσταξον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐξαποστειλάτωσαν ἐκ τῆς παρεμβολῆς πάντα λεπρὸν καὶ πάντα γονοῤῥυῆ καὶ πάντα ἀκάθαρτον ἐπὶ ψυχῇ·

Αρ. 5,2 - “διάταξέ τους Ισραηλίτας να απομακρύνουν έξω από την κατασκήνωσίν των κάθε λεπρόν, κάθε γονορρυή και καθένα, ο οποίος εμιάνθη διότι ήγγισε νεκρόν.

Αρ. 5,3 - ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ ἐξαποστείλατε ἔξω τῆς παρεμβολῆς, καὶ οὐ μὴ μιανοῦσι τὰς παρεμβολὰς αὐτῶν, ἐν οἷς ἐγὼ καταγίνομαι ἐν αὐτοῖς.

Αρ. 5,3 - Καθε ακάθαρτον, είτε άρρην είτε θήλυς είναι, απομακρύνατε έξω από το στρατόπεδον, δια να μη μολύνουν τους τόπους τούτους των κατασκηνώσεων, στους οποίους εγώ παρίσταμαι”.

Αρ. 5,4 - καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐξαπέστειλαν αὐτοὺς ἔξω τῆς παρεμβολῆς· καθὰ ἐλάλησε Κύριος Μωυσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ.

Αρ. 5,4 - Οι Ισραηλίται έκαμαν, όπως διέταξεν ο Θεός, και απεμάκρυναν τους ακαθάρτους έξω από το στρατόπεδον. Οπως έδωσεν εντολήν ο Κυριος στον Μωϋσήν, έτσι έκαμαν οι Ισραηλίται.

Αρ. 5,5 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 5,5 - Ωμιλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 5,6 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· ἀνὴρ ἢ γυνή, ὅς τις ἂν ποιήσῃ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν τῶν ἀνθρωπίνων, καὶ παριδὼν παρίδῃ

καὶ πλημμελήσῃ ἡ ψυχὴ ἐκείνη,

Αρ. 5,6 - “ειπέ προς τους Ισραηλίτας τα εξής· Εάν ανήρ η γυνή διαπράξουν κάποιο εκ των ανθρωπίνων αμαρτημάτων και ζημιώσουν τον πλησίον των και δια λόγους αγνοίας η αμελείας καταπατήσουν ούτω τον θείον νόμον και αμαρτήσουν, είναι υπεύθυνοι ενώπιον του Θεού.

Αρ. 5,7 - ἐξαγορεύσει τὴν ἁμαρτίαν, ἣν ἐποίησε, καὶ ἀποδώσει τὴν πλημμέλειαν τὸ κεφάλαιον καὶ τὸ ἐπίπεμπτον αὐτοῦ προσθήσει ἐπ᾿ αὐτό, καὶ ἀποδώσει, τίνι ἐπλημμέλησεν αὐτῷ.

Αρ. 5,7 - Ο αμαρτήσας θα ομολογήση προς εξιλέωσίν του την αμαρτίαν, την οποίαν έκαμε, θα πληρώση στον αδικηθέντα την ζημίαν εξ ολοκλήρου και θα δώση επί πλέον και το εν πέμπτον της αξίας.

Αρ. 5,8 - ἐὰν δὲ μὴ ᾖ τῷ ἀνθρώπῳ ὁ ἀγχιστεύων, ὥστε ἀποδοῦναι αὐτῷ τὸ πλημμέλημα πρὸς αὐτόν, τὸ πλημμέλημα τὸ ἀποδιδόμενον Κυρίῳ τῷ ἱερεῖ ἔσται, πλὴν τοῦ κριοῦ τοῦ ἱλασμοῦ, δι᾿ οὗ ἐξιλάσεται ἐν αὐτῷ περὶ αὐτοῦ.

Αρ. 5,8 - Εάν όμως δεν υπάρχη ούτε ο ζημιωθείς ούτε άλλος τις συγγενής του, στον οποίον να καταβληθή η αποζημίωσις, τότε αυτή θα δοθή στον Κυριον και θα ανήκη στον ιερέα, στον οποίον επίσης θα ανήκη και ο εξιλαστήριος κριός, δια του οποίου θα εξιλεωθή από την αμαρτίαν του ο διαπράξας την αδικίαν.

Αρ. 5,9 - καὶ πᾶσα ἀπαρχὴ κατὰ πάντα τὰ ἁγιαζόμενα ἐν υἱοῖς Ἰσραήλ, ὅσα ἐὰν προσφέρωσι Κυρίῳ, τῷ ἱερεῖ αὐτῷ ἔσται.

Αρ. 5,9 - Ολα τα πρωτόλεια, οι πρώτοι ώριμοι καρποί, που θα προσφέρουν οι Ισραηλίται στον Κυριον, θα ανήκουν στον ιερέα.

Αρ. 5,10 - καὶ ἑκάστου τὰ ἡγιασμένα αὐτοῦ ἔσται· καὶ ἀνήρ, ὃς ἂν δῷ τῷ ἱερεῖ, αὐτῷ ἔσται.

Αρ. 5,10 - Και ο,τι άλλο οιοσδήποτε από τους Ισραηλίτας προσφέρει στον ναόν, θα ανήκη στον ιερέα. Και γενικώς στον ιερέα θα ανήκη ο,τι θα δώση κανείς εις αυτόν δι' οιανδήποτε αιτίαν”.

Αρ. 5,11 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 5,11 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Αρ. 5,12 - λάλησον τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνδρὸς ἀνδρός, ἐὰν παραβῇ ἡ γυνὴ αὐτοῦ, καὶ ὑπεριδοῦσα παρίδῃ αὐτὸν

Αρ. 5,12 - “λάλησον και ειπέ στους Ισραηλίτας· εάν μία ύπανδρος γυνή καταφρονήση τον άνδρα της, καταπατήση την συζυγικήν πίστιν

Αρ. 5,13 - καὶ κοιμηθῇ τις μετ᾿ αὐτῆς κοίτην σπέρματος, καὶ λάθῃ ἐξ ὀφθαλμῶν τοῦ ἀνδρὸς αὐτῆς καὶ κρύψῃ, αὐτὴ δὲ ᾖ μεμιασμένη καὶ μάρτυς μὴ ἦν μετ᾿ αὐτῆς, καὶ αὐτὴ μὴ ᾖ συνειλημμένη,

Αρ. 5,13 - και κοιμηθή με άλλον εις διάπραξιν αμαρτίας και διαφύγη την αντίληψιν του ανδρός της, κρύψη δε η ιδία το αμάρτημά της, είναι αυτή

οπωσδήποτε μολυσμένη, έστω και αν δεν συνελήφθη επ' αυτοφώρω.

Αρ. 5,14 - καὶ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μεμίανται, ἢ ἐπέλθῃ αὐτῷ πνεῦμα ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, αὐτὴ δὲ μὴ ᾖ μεμιασμένη,

Αρ. 5,14 - Εάν ο σύζυγός της την υποψιασθή και την ζηλοτυπήση όχι αδίκως, διότι αυτή έχει ήδη μολυνθή, εάν ακόμη κάποιος σύζυγος εις περίπτωσιν κατά την οποίαν η σύζυγός του δεν έχει μολυνθή, υποψιασθή αυτήν αδίκως και την ζηλοτυπήση, εις τας περιπτώσεις αυτάς

Αρ. 5,15 - καὶ ἄξει ὁ ἄνθρωπος τὴν γυναῖκα αὐτοῦ πρὸς τὸν ἱερέα καὶ προσοίσει τὸ δῶρον περὶ αὐτῆς, τὸ δέκατον τοῦ οἰφὶ ἄλευρον κρίθινον, οὐκ ἐπιχεεῖ ἐπ᾿ αὐτὸ ἔλαιον, οὐδὲ ἐπιθήσει ἐπ᾿ αὐτὸ λίβανον· ἔστι γὰρ θυσία ζηλοτυπίας, θυσία μνημοσύνου, ἀναμιμνήσκουσα ἁμαρτίαν.

Αρ. 5,15 - ο σύζυγος αυτός θα οδηγήση την σύζυγόν του εις τον ιερέα, θα προσφέρη το δώρον του δι' αυτήν, θα προσφέρη εν δέκατον του οιφί (δύο περίπου χιλιόγραμμα) αλεύρι κρίθινον, χωρίς να χύση επάνω εις αυτό έλαιον και χωρίς να θέση επάνω εις αυτό λιβάνι, διότι πρόκειται περί θυσίας ζηλοτυπίας, θυσίας η οποία υπενθυμίζει αμαρτίαν καταπατήσεως συζυγικής πίστεως.

Αρ. 5,16 - καὶ προσάξει αὐτὴν ὁ ἱερεὺς καὶ στήσει αὐτὴν ἔναντι Κυρίου,

Αρ. 5,16 - Ο ιερεύς θα οδηγήση και θα στήση αυτήν ορθίαν ενώπιον της Σκηνής του Κυρίου,

Αρ. 5,17 - καὶ λήψεται ὁ ἱερεὺς ὕδωρ καθαρὸν ζῶν ἐν ἀγγείῳ ὀστρακίνῳ καὶ τῆς γῆς τῆς οὔσης ἐπὶ τοῦ ἐδάφους τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ λαβὼν ὁ ἱερεὺς ἐμβαλεῖ εἰς τὸ ὕδωρ.

Αρ. 5,17 - θα λάβη ύδωρ καθαρόν από πηγήν μέσα εις πήλινον δοχείον, θα πάρη χώμα από το έδαφος, όπου ευρίσκεται η Σκηνή του Μαρτυρίου, το οποίον θα ρίψη μέσα στο δοχείον του ύδατος.

Αρ. 5,18 - καὶ στήσει ὁ ἱερεὺς τὴν γυναῖκα ἔναντι Κυρίου καὶ ἀποκαλύψει τὴν κεφαλὴν τῆς γυναικὸς καὶ δώσει ἐπὶ τὰς χεῖρας αὐτῆς τὴν θυσίαν τοῦ μνημοσύνου, τὴν θυσίαν τῆς ζηλοτυπίας, ἐν δὲ τῇ χειρὶ τοῦ ἱερέως ἔσται τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου.

Αρ. 5,18 - Ο ιερεύς θα τοποθετήση την γυναίκα ενώπιον της Σκηνής του Κυρίου, θα ξεσκεπάση την κεφαλήν της και θα δώση εις τα χέρια της την θυσίαν, που υπενθυμίζει την αμαρτίαν της, την θυσίαν της ζηλοτυπίας. Ο δε ιερεύς θα κρατή εις τα χέρια του το νερό, δια της κατάρας του οποίου θα εξακριβωθή η αθωότης η ενοχή της γυναικός.

Αρ. 5,19 - καὶ ὁρκιεῖ αὐτὴν ὁ ἱερεύς, καὶ ἐρεῖ τῇ γυναικί· εἰ μὴ κεκοίμηταί τις μετὰ σοῦ, εἰ μὴ παραβέβηκας μιανθῆναι ὑπὸ τὸν ἄνδρα τὸν σεαυτῆς, ἀθῴα ἴσθι ἀπὸ τοῦ ὕδατος τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου τούτου·

Αρ. 5,19 - Θα ορκίση αυτήν ο ιερεύς και θα της είπη· Εάν δεν εκοιμήθη κανείς ανήρ μετά σου, εάν δεν κατεπάτησες την συζυγικήν πίστιν του ανδρός σου, ώστε να μολυνθής, θα είσαι ανέπαφος από, το κατηραμένον αυτό ύδωρ του ελεγμού.

Αρ. 5,20 - εἰ δὲ σὺ παραβέβηκας ὕπανδρος οὖσα, ἢ μεμίανσαι καὶ ἔδωκέ τις τὴν κοίτην αὐτοῦ ἐν σοί, πλὴν τοῦ ἀνδρός σου·

Αρ. 5,20 - Εάν όμως συ εξ εαυτής παρέβης την συζυγικήν πίστιν, καίτοι είσαι ύπανδρος, η οπωσδήποτε υπεχώρησες και εμολύνθης από άλλον άνδρα, που δεν είναι ιδικός σου, θα σε υποβάλω στον όρκον του ελεγμού.

Αρ. 5,21 - καὶ ὁρκιεῖ ὁ ἱερεὺς τὴν γυναῖκα ἐν τοῖς ὅρκοις τῆς ἀρᾶς ταύτης, καὶ ἐρεῖ ὁ ἱερεὺς τῇ γυναικί· δῴη σε Κύριος ἐν ἀρᾷ καὶ ἐνόρκιον ἐν μέσῳ τοῦ λαοῦ σου, ἐν τῷ δοῦναι Κύριον τὸν μηρόν σου διαπεπτωκότα, καὶ τὴν κοιλίαν σου πεπρησμένην,

Αρ. 5,21 - Θα ορκίση ο ιερεύς την γυναίκα αυτήν με τους όρκους της κατάρας και θα της είπη· Ο Κυριος να σε καταρασθή, να σε καταστήση αποκρουστικόν παράδειγμα κατηραμένου ανθρώπου εν μέσω του λαού σου, να σαπίση και πέση ο μηρός σου, να πρησθή η κοιλία σου,

Αρ. 5,22 - καὶ εἰσελεύσεται τὸ ὕδωρ τὸ ἐπικαταρώμενον τοῦτο εἰς τὴν κοιλίαν σου πρῆσαι γαστέρα καὶ διαπεσεῖν μηρόν σου. καὶ ἐρεῖ ἡ γυνή· γένοιτο, γένοιτο.

Αρ. 5,22 - να εισέλθη το ύδωρ τούτο της κατάρας εις την κοιλίαν σου, ώστε αυτή να πρησθή και να πέση σάπιος ο μηρός σου". Η γυνή θα απαντήση· "Γένοιτο, γένοιτο".

Αρ. 5,23 - καὶ γράψει ὁ ἱερεὺς τὰς ἀρὰς ταύτας εἰς βιβλίον, καὶ ἐξαλείψει εἰς τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου.

Αρ. 5,23 - Ο ιερεύς θα γράψη εις ένα χαρτί τας κατάρας αυτάς, τας οποίας θα σβήση βυθίζων το χαρτί στο κατηραμένον ύδωρ.

Αρ. 5,24 - καὶ ποτιεῖ τὴν γυναῖκα τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τοῦ ἐπικαταρωμένου, καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τὸ ἐπικαταρώμενον τοῦ ἐλεγμοῦ.

Αρ. 5,24 - Θα ποτίση την γυναίκα με το κατηραμένον ύδωρ του ελεγμού και θα εισέλθη εις αυτήν το ύδωρ τούτο.

Αρ. 5,25 - καὶ λήψεται ὁ ἱερεὺς ἐκ χειρὸς τῆς γυναικὸς τὴν θυσίαν τῆς ζηλοτυπίας καὶ ἐπιθήσει τὴν θυσίαν ἔναντι Κυρίου καὶ προσοίσει αὐτὴν πρὸς τὸ θυσιαστήριον,

Αρ. 5,25 - Θα λάβη έπειτα ο ιερεύς από το χέρι της γυναικός αυτής την θυσίαν της ζηλοτυπίας, θα παρουσιάση αυτήν ενώπιον του Κυρίου και θα την προσφέρη στο θυσιαστήριον.

Αρ. 5,26 - καὶ δράξεται ὁ ἱερεὺς ἀπὸ τῆς θυσίας τὸ μνημόσυνον αὐτῆς καὶ ἀνοίσει αὐτὸ ἐπὶ τὸ θυσιαστήριον καὶ μετὰ ταῦτα ποτιεῖ τὴν γυναῖκα τὸ

ὕδωρ.

Αρ. 5,26 - Θα πάρη μίαν χούφταν από την θυσίαν την υπενθυμίζουσαν την αμαρτίαν της, θα προσφέρη το περιεχόμενον της χούφτας στο θυσιαστήριον και μετά ταύτα θα ποτίση την γυναίκα με το κατηραμένον ύδωρ του ελεγμού.

Αρ. 5,27 - καὶ ἔσται, ἐὰν ᾖ μεμιασμένη καὶ λήθῃ λάθῃ τὸν ἄνδρα αὐτῆς, καὶ εἰσελεύσεται εἰς αὐτὴν τὸ ὕδωρ τοῦ ἐλεγμοῦ τὸ ἐπικαταρώμενον, καὶ πρησθήσεται τὴν κοιλίαν, καὶ διαπεσεῖται ὁ μηρὸς αὐτῆς, καὶ ἔσται ἡ γυνὴ εἰς ἀρὰν τῷ λαῷ αὐτῆς.

Αρ. 5,27 - Τοτε θα συμβη εν εκ των δύο. Εάν η γυνή είναι όντως μολυσμένη και έχη διαφύγει την προσοχήν του ανδρός της, θα εισέλθη το κατηραμένον ύδωρ του ελεγμού εις αυτήν, θα πρησθή η κοιλία τας, θα σαπίση και θα πέση ο μηρός της, και αυτή θα είναι κατηραμένη εν μέσω του λαού.

Αρ. 5,28 - ἐὰν δὲ μὴ μιανθῇ ἡ γυνὴ καὶ καθαρὰ ᾖ, καὶ ἀθῴα ἔσται καὶ ἐκσπερματιεῖ σπέρμα.

Αρ. 5,28 - Εάν όμως δεν έχη μολυνθή και είναι καθαρά και αθώα, δεν θα πάθη τίποτε και θα αποκτήση τέκνα.

Αρ. 5,29 - οὗτος ὁ νόμος τῆς ζηλοτυπίας, ᾧ ἂν παραβῇ ἡ γυνὴ ὕπανδρος οὖσα καὶ μιανθῇ·

Αρ. 5,29 - Αυτός είναι ο νόμος της ζηλοτυπίας δια την περίπτωσιν, κατά την οποίαν η ύπανδρος γυνή θα καταπατήση την συζυγικήν πίστιν και θα μολυνθή,

Αρ. 5,30 - ἢ ἄνθρωπος, ᾧ ἐὰν ἐπέλθῃ ἐπ᾿ αὐτὸν πνεῦμα ζηλώσεως καὶ ζηλώσῃ τὴν γυναῖκα αὐτοῦ, καὶ στήσῃ τὴν γυναῖκα αὐτοῦ ἔναντι Κυρίου, καὶ ποιήσῃ αὐτῇ ὁ ἱερεὺς πάντα τὸν νόμον τοῦτον·

Αρ. 5,30 - η, εάν ο σύζυγός της καταληφθή υπό αδικαιολογήτου ζηλοτυπίας και υποψιασθή αναιτίως την γυναίκα του, αυτός θα την παρουσιάση ενώπιον του Κυρίου και ο ιερεύς θα κάμη όλα όσα ο νόμος της ζηλοτυπίας ορίζει.

Αρ. 5,31 - καὶ ἀθῷος ἔσται ὁ ἄνθρωπος ἀπὸ ἁμαρτίας, καὶ ἡ γυνὴ ἐκείνη λήψεται τὴν ἁμαρτίαν αὐτῆς.

Αρ. 5,31 - Εάν η γυνή αποδειχθή ένοχος θα λάβη την ποινήν της αμαρτίας της, ο δε σύζυγός της θα είναι απηλλαγμένος από κάθε ευθύνην”.

## ΑΡΙΘΜΟΙ 6

Αρ. 6,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 6,1 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Αρ. 6,2 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἀνὴρ ἢ γυνή, ὃς ἐὰν μεγάλως εὔξηται εὐχὴν ἀφαγνίσασθαι ἁγνείαν Κυρίῳ,

Αρ. 6,2 - “κάλεσε τους Ισραηλίτας και ειπέ προς αυτούς· Εάν ένας άνδρας η μία γυναίκα τάξη να αφιερωθή προς τον Κυριον επί χρονικόν τι διάστημα, να γίνη δηλαδή Ναζηραίος,

Αρ. 6,3 - ἀπὸ οἴνου καὶ σίκερα ἁγνισθήσεται καὶ ὄξος ἐξ οἴνου καὶ ὄξος ἐκ σίκερα οὐ πίεται καὶ ὅσα κατεργάζεται ἐκ σταφυλῆς οὐ πίεται καὶ σταφυλὴν πρόσφατον καὶ σταφίδα οὐ φάγεται.

Αρ. 6,3 - θα απέχη αυτός από οίνον και οινοπνευματώδη ποτά, από ξύδι κατασκευασμένον από κρασί η από άλλα οινοπνευματώδη ποτά. Γενικώς δεν θα πίη κάθε τι, το οποίον γίνεται από την κατεργασίαν της σταφυλής, δεν θα φάγη νωπόν σταφύλι ούτε ξηράν σταφίδα.

Αρ. 6,4 - πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ· ἀπὸ πάντων ὅσα γίνεται ἐξ ἀμπέλου, οἶνον ἀπὸ στεμφύλων ἕως γιγάρτου οὐ φάγεται.

Αρ. 6,4 - Καθ' όλας τας ημέρας του ταξίματός του δεν θα φάγη τίποτε από όσα γίνονται εκ της αμπέλου, απόσταγμα στεμφύλων (τσίπουρο) μέχρι κουκούτσι σταφυλής.

Αρ. 6,5 - πάσας τὰς ἡμέρας τοῦ ἁγνισμοῦ ξυρὸν οὐκ ἐπελεύσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, ἕως ἂν πληρωθῶσιν αἱ ἡμέραι, ὅσας ηὔξατο Κυρίῳ· ἅγιος ἔσται τρέφων κόμην τρίχα κεφαλῆς.

Αρ. 6,5 - Ολας τας ημέρας του εξαγνισμού ξυράφι δεν θα πέραση στο κεφάλι του, μέχρις ότου συμπληρωθούν αι ημέραι, τας οποίας έχει τάξει προς τον Κυριον. Θα είναι αφιερωμένος στον Κυριον και δια τούτο θα αφήση ανέπαφον την κόμην του.

Αρ. 6,6 - πάσας τὰς ἡμέρας τῆς εὐχῆς Κυρίῳ ἐπὶ πάσῃ ψυχῇ τετελευτηκυίᾳ οὐκ εἰσελεύσεται·

Αρ. 6,6 - Ολας τας ημέρας, που διαρκεί το τάξιμό του, δεν θα εισέλθη εις δωμάτιον, όπου υπάρχει νεκρός.

Αρ. 6,7 - ἐπὶ πατρὶ καὶ μητρὶ καὶ ἐπ᾿ ἀδελφῷ καὶ ἐπ᾿ ἀδελφῇ, οὐ μιανθήσεται ἐπ᾿ αὐτοῖς ἀποθανόντων αὐτῶν, ὅτι εὐχὴ Θεοῦ αὐτοῦ ἐπ᾿ αὐτῷ ἐπὶ κεφαλῆς αὐτοῦ.

Αρ. 6,7 - Δεν θα μιανθή εισερχόμενος στο δωμάτιον, όπου υπάρχει το νεκρόν σώμα του πατρός του η, της μητρός του η του αδελφού του η της αδελφής του. Δεν θα μολυνθή πλησιάζων αυτούς τους νεκρούς, διότι επάνω εις την κεφαλήν αυτού υπάρχει το τάξιμό του προς τον Θεόν.

Αρ. 6,8 - πάσας τὰς ἡμέρας τῆς εὐχῆς αὐτοῦ ἅγιος ἔσται Κυρίῳ.

Αρ. 6,8 - Ολας τας ημέρας του ταξίματός του θα είναι άγιος αφιερωμένος στον Κυριον.

Αρ. 6,9 - ἐὰν δέ τις ἀποθάνῃ ἐπ᾿ αὐτῷ ἐξάπινα, παραχρῆμα μιανθήσεται ἡ κεφαλὴ εὐχῆς αὐτοῦ, καὶ ξυρήσεται τὴν κεφαλὴν αὐτοῦ ᾗ ἂν

ἡμέρᾳ καθαρισθῇ· τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ξυρηθήσεται.

Αρ. 6,9 - Εάν όμως αποθάνη κανείς έξαφνα εμπρός του, αμέσως η κεφαλή του που ζει το τάξιμο θα μολυνθή· δι' αυτό θα ξυρίση την κεφαλήν του κατά την ημέραν της (μολύνσεως, οπότε η ημέρα αυτή θα είναι ημέρα καθαρισμού του, και θα ξυρίση αυτήν δια δευτέρου φοράν μετά επτά ημέρας.

Αρ. 6,10 - καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ οἴσει δύο τρυγόνας ἢ δύο νεοσσοὺς περιστερῶν πρὸς τὸν ἱερέα, ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου,

Αρ. 6,10 - Κατά την ογδόην ημέραν θα φέρη δύο τρυγόνας η δύο νεοσσούς περιστερών προς τον ιερέα εις την θύραν της Σκηνής του Μαρτυρίου.

Αρ. 6,11 - καὶ ποιήσει ὁ ἱερεὺς μίαν περὶ ἁμαρτίας καὶ μίαν εἰς ὁλοκαύτωμα, καὶ ἐξιλάσεται περὶ αὐτοῦ ὁ ἱερεὺς περὶ ὧν ἥμαρτε περὶ τῆς ψυχῆς καὶ ἁγιάσει τὴν κεφαλὴν αὐτοῦ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ,

Αρ. 6,11 - Ο ιερεύς θα θυσιάση την μίαν περί αμαρτίας, την δε άλλην θα προσφέρη ως ολοκαύτωμα και θα εξιλεώση αυτόν δια την αμαρτίαν, εις την οποίαν υπέπεσεν ιδών νεκρόν, και θα αφιερώση πάλιν την κεφαλήν αυτού κατά την ημέραν εκείνην προς τον Κυριον,

Αρ. 6,12 - ᾗ ἡγιάσθη Κυρίῳ, τὰς ἡμέρας τῆς εὐχῆς, καὶ προσάξει ἀμνὸν ἐνιαύσιον εἰς πλημμέλειαν, καὶ αἱ ἡμέραι αἱ πρότεραι ἄλογοι ἔσονται, ὅτι ἐμιάνθη ἡ κεφαλὴ εὐχῆς αὐτοῦ.

Αρ. 6,12 - όπως είχεν αφιερωθή στον Κυριον κατά τας προ της αμαρτίας του ημέρας του ταξίματος. Θα προσφέρη αυτός εν συνεχεία αμνόν ενός έτους δια την αμαρτίαν του. Αι προηγούμεναι ημέραι του ταξίματός του δεν θα ληφθούν υπ' όψει, διότι η κεφαλή του, η αφιερωμένη στον Κυριον, εμολύνθη εν τω μεταξύ.

Αρ. 6,13 - Καὶ οὗτος ὁ νόμος τοῦ εὐξαμένου· ᾗ ἂν ἡμέρᾳ πληρώσῃ ἡμέρας εὐχῆς αὐτοῦ, προσοίσει αὐτὸς παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου

Αρ. 6,13 - Αυτος είναι ο νόμος δια τον έχοντα τάξιμον, δια τον Ναζηραίον. Κατά την ημέραν δε που θα συμπληρωθούν αι ημέραι του ταξίματός του, θα οδηγήση αυτόν ο ιερεύς πλησίον εις τας θύρας της Σκηνής του Μαρτυρίου·

Αρ. 6,14 - καὶ προσάξει τὸ δῶρον αὐτοῦ Κυρίῳ ἀμνὸν ἐνιαύσιον ἄμωμον ἕνα εἰς ὁλοκαύτωσιν καὶ ἀμνάδα ἐνιαυσίαν μίαν ἄμωμον εἰς ἁμαρτίαν καὶ κριὸν ἕνα ἄμωμον εἰς σωτήριον

Αρ. 6,14 - και θα προσφέρη αυτός προς τον Κυριον το δώρον του, αμνόν ενός έτους, υγιή και αρτιμελή προς ολοκαύτωσιν, μίαν αμνάδα χωρίς κανένα σωματικόν ελάττωμα δια θυσίαν περί αμαρτίας και ένα κριον υγιή και αρτιμελή δια θυσίαν ειρηνικήν.

Αρ. 6,15 - καὶ κανοῦν ἀζύμων σεμιδάλεως ἄρτους ἀναπεποιημένους ἐν ἐλαίῳ καὶ λάγανα ἄζυμα κεχρισμένα ἐν ἐλαίῳ καὶ θυσίαν αὐτῶν καὶ

σπονδὴν αὐτῶν.

Αρ. 6,15 - Θα προσφέρη επίσης ένα κάνιστρον με άρτους, καμωμένους από σημιγδάλι χωρίς προζύμι, ζυμωμένους με λάδι, και λαγάνες, χωρίς προζύμι, αλειμμένες με λάδι και μαζή με αυτά οίνον δια την σπονδήν.

Αρ. 6,16 - καὶ προσοίσει ὁ ἱερεὺς ἔναντι Κυρίου καὶ ποιήσει τὸ περὶ ἁμαρτίας αὐτοῦ καὶ τὸ ὁλοκαύτωμα αὐτοῦ

Αρ. 6,16 - Ολα αυτά θα τα προσφέρή ο ιερεύς ενώπιον του Κυρίου και θα τελέση την θυσίαν περί αμαρτίας και την θυσίαν του ολοκαυτώματος.

Αρ. 6,17 - καὶ τὸν κριὸν ποιήσει θυσίαν σωτηρίου τῷ Κυρίῳ ἐπὶ τῷ κανῷ τῶν ἀζύμων, καὶ ποιήσει ὁ ἱερεὺς τὴν θυσίαν αὐτοῦ καὶ τὴν σπονδὴν αὐτοῦ.

Αρ. 6,17 - Ο ιερεύς θα προσφέρη επίσης τον κριον ως ειρηνικήν θυσίαν προς τον Κυριον, με το κάνιστρον των αζύμων άρτων και μαζή με αυτά την σπονδήν του οίνου.

Αρ. 6,18 - καὶ ξυρήσεται ὁ ηὐγμένος παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου τὴν κεφαλὴν τῆς εὐχῆς αὐτοῦ καὶ ἐπιθήσει τὰς τρίχας ἐπὶ τὸ πῦρ, ὅ ἐστιν ὑπὸ τὴν θυσίαν τοῦ σωτηρίου.

Αρ. 6,18 - Αμέσως κατόπιν ο έχων το τάξιμον θα ξυρίση την καθιερωμένην στον Κυριον κεφαλήν αυτού πλησίον εις τας θύρας της Σκηνής του Μαρτυρίου και θα θέση τας τρίχας στο πυρ του θυσιαστήριου των ολοκαυτωμάτων, στο οποίον προσεφέρθη η ειρηνική θυσία.

Αρ. 6,19 - καὶ λήψεται ὁ ἱερεὺς τὸν βραχίονα ἑφθὸν ἀπὸ τοῦ κριοῦ καὶ ἄρτον ἕνα ἄζυμον ἀπὸ τοῦ κανοῦ καὶ λάγανον ἄζυμον ἓν καὶ ἐπιθήσει ἐπὶ τὰς χεῖρας τοῦ ηὐγμένου μετὰ τὸ ξυρήσασθαι αὐτὸν τὴν εὐχὴν αὐτοῦ·

Αρ. 6,19 - Ο ιερεύς θα πάρη από τον κριον την πλάτην, αφού πρώτα την βράση, ένα άζυμον άρτον από το κάνιστρον, μίαν λαγάναν άζυμον και θα θέση αυτά εις τα χέρια του έχοντος το τάξιμον μετά το ξύρισμα της κεφαλής του.

Αρ. 6,20 - καὶ προσοίσει αὐτὰ ὁ ἱερεὺς ἐπίθεμα ἔναντι Κυρίου, ἅγιον ἔσται τῷ ἱερεῖ ἐπὶ τοῦ στηθυνίου τοῦ ἐπιθέματος καὶ ἐπὶ τοῦ βραχίονος τοῦ ἀφαιρέματος, καὶ μετὰ ταῦτα πίεται ὁ ηὐγμένος οἶνον.

Αρ. 6,20 - Θα προσφέρη αυτά ο ιερεύς ως θυσίαν αφιερωμένην στον Κυριον, ως θυσίαν “επιθέματος”. Αυτή η προσφορά θα είναι αγία, προωρισμένη δια τον ιερέα μαζή με το στήθος το οποίον πρρσεφέρθη ως θυσία επίσης επιθέματος και με το πόδι που προσεφέρθη ως “αφαίρεμα”, δια υψώσεως, προς τον Κυριον. Κατόπιν από όλα αυτά θα πίη οίνον αυτός, που είχε κάμει το τάξιμον.

Αρ. 6,21 - οὗτος ὁ νόμος τοῦ εὐξαμένου, ὃς ἂν εὔξηται Κυρίῳ δῶρον αὐτοῦ Κυρίῳ περὶ τῆς εὐχῆς, χωρὶς ὧν ἂν εὕρῃ ἡ χεὶρ αὐτοῦ, κατὰ δύναμιν τῆς εὐχῆς αὐτοῦ, ἣν ἂν εὔξηται κατὰ νόμον ἁγνείας.

Αρ. 6,21 - Αυτός είναι ο νόμος του Ναζηραίου, ο οποίος έκαμε τάξιμο αφιερώσεώς του επί τι διάστημα στον Κυριον και η υποχρέωσίς του να προσφέρη την σχετικήν θυσίαν δια την καθιέρωσίν του προς τον Κυριον, εκτός φυσικά άλλης τινός αυτοπροαιρέτου και κατά την οικονομικήν του δυνατότητα προσφοράς.

Αρ. 6,22 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 6,22 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Αρ. 6,23 - λάλησον Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ λέγων· οὕτως εὐλογήσετε τοὺς υἱοὺς Ἰσραήλ, λέγοντες αὐτοῖς·

Αρ. 6,23 - “ομίλησε στον Ααρών και προς τους υιούς του, τους ιερείς, και ειπέ, ότι κατ' αυτόν τον τρόπον θα ευλογήτε τους Ισραηλίτας λέγοντες προς αυτούς·

Αρ. 6,24 - εὐλογήσαι σε Κύριος καὶ φυλάξαι σε·

Αρ. 6,24 - Είθε να σε ευλογήση και να σε διαφυλάξη ο Κυριος !

Αρ. 6,25 - ἐπιφάναι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ ἐλεήσαι σε·

Αρ. 6,25 - Είθε να φανέρωση εις σε το πρόσωπόν του και να σε ελεήση.

Αρ. 6 ,26 - ἐπάραι Κύριος τὸ πρόσωπον αὐτοῦ ἐπὶ σὲ καὶ δώῃ σοι εἰρήνην.

Αρ. 6,26 - Είθε να στρέψη ευμενές και στοργικόν το πρόσωπόν του ο Κυριος προς σε και να σου δώση ειρήνην !

Αρ. 6,27 - καὶ ἐπιθήσουσι τὸ ὄνομά μου ἐπὶ τοὺς υἱοὺς Ἰσραήλ, καὶ ἐγὼ Κύριος εὐλογήσω αὐτούς.

Αρ. 6,27 - Κατ' αυτόν τον τροπον θα θέσουν οι ιερείς το όνομά μου εις τας ευλογίας των προς τους Ισραηλίτας. Εγώ δε ο Κυριος θα ευλογήσω αυτούς”.

## ΑΡΙΘΜΟΙ 7

Αρ. 7,1 - Καὶ ἐγένετο ᾗ ἡμέρᾳ συνετέλεσε Μωυσῆς, ὥστε ἀναστῆσαι τὴν σκηνὴν καὶ ἔχρισεν αὐτὴν καὶ ἡγίασεν αὐτὴν καὶ πάντα τὰ σκεύη αὐτῆς καὶ τὸ θυσιαστήριον καὶ πάντα τὰ σκεύη αὐτοῦ καὶ ἔχρισεν αὐτὰ καὶ ἡγίασεν αὐτά,

Αρ. 7,1 - Οταν έφθασεν η ημέρα, κατά την οποίαν επεράτωσεν ο Μωϋσής την κατασκευήν της Σκηνής και ήτο ετοίμη αυτή, ώστε να την στήση, την έχρισε με έλαιον, την ηγίασε και την καθιέρωσεν στον Θεόν με όλα τα σκεύη της, όπως επίσης και το θυσιαστήριον με όλα τα σκεύη του. Τα έχρισεν όλα αυτά με έλαιον, τα ηγίασε και τα αφιέρωσεν στον Θεόν.

Αρ. 7,2 - καὶ προσήνεγκαν οἱ ἄρχοντες Ἰσραήλ, δώδεκα ἄρχοντες οἴκων πατριῶν αὐτῶν, οὗτοι οἱ ἄρχοντες φυλῶν, οὗτοι οἱ παρεστηκότες ἐπὶ τῆς ἐπισκοπῆς,

Αρ. 7,2 - Τοτε οι άρχοντες του Ισραήλ, οι δώδεκα αρχηγοί των πατριαρχικών οικογενειών, οι άρχοντες των φυλών, οι οποίοι είχον λάβει μέρος, ως βοηθοί του Μωϋσέως, εις την απογραφήν των Ισραηλιτών,

Αρ. 7,3 - καὶ ἤνεγκαν τὸ δῶρον αὐτῶν ἔναντι Κυρίου, ἓξ ἁμάξας λαμπηνικὰς καὶ δώδεκα βόας, ἅμαξαν παρὰ δύο ἀρχόντων, καὶ μόσχον παρὰ ἑκάστου, καὶ προσήγαγον ἐναντίον τῆς σκηνῆς.

Αρ. 7,3 - προσέφεραν ως δώρα αυτών προς τον Κυριον εξ κλειστάς αμάξας και δώδεκα βόδια, ανά δύο άρχοντες μίαν άμαξαν, και έκαστος άρχων ανά ένα μόσχον. Τα προσέφεραν ενώπιον της Σκηνής του Μαρτυρίου.

Αρ. 7,4 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 7,4 - Είπε δε ο Κυριος προς τον Μωϋσήν·

Αρ. 7,5 - λάβε παρ᾽ αὐτῶν, καὶ ἔσονται πρὸς τὰ ἔργα τὰ λειτουργικὰ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ δώσεις αὐτὰ τοῖς Λευίταις, ἑκάστῳ κατὰ τὴν αὐτοῦ λειτουργίαν.

Αρ. 7,5 - “Παρε από αυτούς τα δώρα, δια να χρησιμοποιηθούν αυτά εις τα υπηρετικά της Σκηνής του Μαρτυρίου έργα. Θα μοιράσης τα δώρα αυτά στους Λευΐτας, αναλόγως της υπηρεσίας την οποίαν αυτοί προσφέρουν”.

Αρ. 7,6 - καὶ λαβὼν Μωυσῆς τὰς ἁμάξας καὶ τοὺς βόας, ἔδωκεν αὐτὰ τοῖς Λευίταις·

Αρ. 7,6 - Επήρεν ο Μωϋσής τας αμάξας και τα βόδια και έδωκεν αυτά στους Λευΐτας.

Αρ. 7,7 - καὶ τὰς δύο ἁμάξας καὶ τοὺς τέσσαρας βόας ἔδωκε τοῖς υἱοῖς Γεδσὼν κατὰ τὰς λειτουργίας αὐτῶν

Αρ. 7,7 - Τας δύο αμάξας και τα τέσσερα βόδια έδωκεν στους υιούς του Γεδσών, δια να χρησιμοποιηθούν εις τας προς την Σκηνήν υπηρεσίας των.

Αρ. 7,8 - καὶ τὰς τέσσαρας ἁμάξας καὶ τοὺς ὀκτὼ βόας ἔδωκε τοῖς υἱοῖς Μεραρὶ κατὰ τὰς λειτουργίας αὐτῶν, διὰ Ἰθάμαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως.

Αρ. 7,8 - Τας τέσσαρας αμάξας και τα οκτώ υπολειπόμενα βόδια έδωκεν στους υιούς του Μεραρί δια τας υπηρεσίας αυτών προς τον ναόν υπό την εποπτείαν του Ιθάμαρ, υιού του αρχιερέως Ααρών.

Αρ. 7,9 - καὶ τοῖς υἱοῖς Καὰθ οὐ δέδωκεν, ὅτι τὰ λειτουργήματα τοῦ ἁγίου ἔχουσιν· ἐπ᾽ ὤμων ἀροῦσιν.

Αρ. 7,9 - Εις δε τους υιούς του Καάθ δεν έδωκεν αμάξας, διότι αυτοί είχον ως υπηρεσίαν των να μεταφέρουν τα άγια αντικείμενα. Αυτά έπρεπε να τα φέρουν στους ώμους των.

Αρ. 7,10 - καὶ προσήνεγκαν οἱ ἄρχοντες εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου, ἐν τῇ ἡμέρᾳ ᾗ ἔχρισεν αὐτό, καὶ προσήνεγκαν οἱ ἄρχοντες τὰ δῶρα αὐτῶν ἀπέναντι τοῦ θυσιαστηρίου.

Αρ. 7,10 - Οταν ετελούντο τα εγκαίνια του θυσιαστηρίου των ολοκαυτωμάτων, την ημέραν κατά την οποίαν οι ιερείς έχρισαν και καθιέρωσαν αυτό, οι άρχοντες προσέφεραν τα δώρα των απέναντι του θυσιαστηρίου των ολοκαυτωμάτων.

Αρ. 7,11 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἄρχων εἷς καθ᾿ ἡμέραν, ἄρχων καθ᾿ ἡμέραν προσοίσουσι τὰ δῶρα αὐτῶν εἰς τὸν ἐγκαινισμὸν τοῦ θυσιαστηρίου.

Αρ. 7,11 - Ο Κυριος είπε προς τον Μωϋσήν· “ένας άρχων εκάστην ημέραν θα προσφέρη τα δώρα του κατά τα εγκαίνια του θυσιαστηρίου των ολοκαυτωμάτων”.

Αρ. 7,12 - Καὶ ἦν ὁ προσφέρων ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ τὸ δῶρον αὐτοῦ Ναασσὼν υἱὸς Ἀμιναδάβ, ἄρχων τῆς φυλῆς Ἰούδα.

Αρ. 7,12 - Την πρώτην ημέραν προσέφερε το δώρον του ο Ναασσών, υιός του Αμιναδάβ, αρχηγός της φυλής του Ιούδα.

Αρ. 7,13 - καὶ προσήνεγκε τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,13 - Αυτός προσέφερεν ως δώρον του ένα αργυρούν πινάκιον βάρους εκατόν τριάκοντα σίκλων (δηλ. 1466 - γραμμάρ.), μίαν αργυράν φιάλην εβδομηκοντα σίκλων, σύμφωνα με τον σίκλον που χρησιμοποιείται στον ναόν. Και τα δύο αυτά ήσαν πλήρη από σημιγδάλι ζυμωμένον με λάδι προς θυσίαν.

Αρ. 7,14 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,14 - Προσέφερεν επίσης μίαν λιβανοθήκην χρυσήν βάρους δέκα σίκλων γεμάτην θυμίαμα,

Αρ. 7,15 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,15 - ένα μόσχον από τα βόδια, ένα κριόν, ένα αμνόν ενός έτους ως θυσίαν ολοκαυτώματος,

Αρ. 7,16 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,16 - ένα τράγον από την αγέλην των αιγών προς θυσίαν περί αμαρτίας.

Αρ. 7,17 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο δῶρον Ναασσὼν υἱοῦ Ἀμιναδάβ.

Αρ. 7,17 - Δια δε την θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους, πέντε αμνάδας ενός έτους. Αυτή ήτο η προσφορά του Ναασσών υιού του Αμιναδάβ.

Αρ. 7,18 - τῇ ἡμέρᾳ τῇ δευτέρᾳ προσήνεγκε Ναθαναὴλ υἱὸς Σωγάρ, ὁ ἄρχων τῆς φυλῆς Ἰσσάχαρ.

Αρ. 7,18 - Κατά την δευτέραν ημέραν προσέφερε το δώρον του ο Ναθαναήλ υιός του Σωγάρ, ο αρχηγός της φυλής Ισσάχαρ.

Αρ. 7,19 - καὶ προσήνεγκε τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,19 - Το δώρον, που προσέφερεν, ήτο ένα αργυρούν πινάκιον βάρους εκατόν τριάκοντα σίκλων, μίαν αργυράν φιάλην εβδομήκοντα σίκλων, (αμφότερα βάρους δύο κιλών, και 100 - περίπου γραμμαρίων), σύμφωνα με τον σίκλον του ναού, και τα δύο γεμάτα από σημιγδάλι ζυμωμένο με λάδι δι' αναίμακτον θυσίαν.

Αρ. 7,20 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,20 - Προσέφερεν ακόμη μίαν λιβανοθήκην δέκα χρυσών σίκλων γεμάτην θυμίαμα,

Αρ. 7,21 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,21 - ένα μόσχον, ένα κριόν, ένα αμνόν ενός έτους εις ολοκαύτωσιν,

Αρ. 7,22 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,22 - ένα τράγον από τα γίδια δια θυσίαν περί αμαρτίας.

Αρ. 7,23 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Ναθαναὴλ υἱοῦ Σωγάρ.

Αρ. 7,23 - Δια δε την θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους. Αυτή ήτο η προσφορά του Ναθαναήλ, υιού του Σωγάρ.

Αρ. 7,24 - τῇ ἡμέρᾳ τῇ τρίτῃ ἄρχων τῶν υἱῶν Ζαβουλὼν Ἑλιὰβ υἱὸς Χαιλών.

Αρ. 7,24 - Κατά την τρίτην ημέραν προσέφερε το δώρον του ο άρχων της φυλής Ζαβουλών ο Ελιάβ, υιός του Χαιλών.

Αρ. 7,25 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,25 - Προσέφερεν ως δώρον του ένα αργυρούν πινάκιον βάρους εκατόν τριάκοντα σίκλων, μίαν αργυράν φιάλην εβδομήκοντα σίκλων, σύμφωνα με τον σίκλον που χρησιμοποιείται στο ιερόν και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι, δι' αναίμακτον θυσίαν,

Αρ. 7,26 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,26 - μίαν λιβανοθήκην βάρους δέκα χρυσών σίκλων, γεμάτην θυμίαμα,

Αρ. 7,27 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,27 - ένα μόσχον από τα βόδια, ένα κριόν, ένα αμνόν ενός έτους δια την θυσίαν του ολοκαυτώματος,

Αρ. 7,28 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,28 - ένα τράγον προς θυσίαν περί αμαρτίας.

Αρ. 7,29 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, τοῦτο τὸ δῶρον Ἐλιὰβ υἱοῦ Χαιλών.

Αρ. 7,29 - Δια δε την θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους εκάστην. Αυτή ήτο η προσφορά του Ελιάβ υιού του Χαιλών.

Αρ. 7,30 - τῇ ἡμέρᾳ τῇ τετάρτῃ ἄρχων τῶν υἱῶν Ῥουβὴν Ἐλισοὺρ υἱὸς Σεδιούρ.

Αρ. 7,30 - Κατά την τετάρτην ημέραν προσέφερε το δώρον του ο Ελισούρ, υιός του Σεδιούρ, ο άρχων της φυλής Ρουβήν.

Αρ. 7,31 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,31 - Το δώρον του ήτο πινάκιον αργυρούν, βάρους εκατόν τριάκοντα σίκλων, μία φιάλη αργυρά βάρους εβδομήκοντα σίκλων, σύμφωνα με τον σίκλον του ιερού, και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι δι' αναίμακτον θυσίαν

Αρ. 7,32 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος.

Αρ. 7,32 - μία λιβανοθήκη δέκα χρυσών σίκλων, γεμάτη θυμίαμα,

Αρ. 7,33 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,33 - ένα μοσχάρι, ένας κριός, ένας αμνός ενός έτους προς ολοκαύτωσιν,

Αρ. 7,34 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,34 - ένας τράγος προς θυσίαν περί αμαρτίας.

Αρ. 7,35 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε, τοῦτο τὸ δῶρον Ἐλισοὺρ υἱοῦ Σεδιούρ.

Αρ. 7,35 - Δια δε την θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους εκάστην. Αυτή ήτο η προσφορά του Ελισούρ, υιού του Σεδιούρ.

Αρ. 7,36 - τῇ ἡμέρᾳ τῇ πέμπτῃ ἄρχων τῶν υἱῶν Συμεὼν Σαλαμιὴλ υἱὸς Σουρισαδαί.

Αρ. 7,36 - Κατά δε την πέμπτην ημέραν ο Σαλαμιήλ, υιός του Σουρισαδαί, ο άρχων της φυλής Συμεών, προσέφερε το δώρον του.

Αρ. 7,37 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,37 - Το δώρον του ήτο ένα αργυρούν πινάκιον βάρους εκατόν τριάκοντα σίκλων, μία αργυρά φιάλη βάρους εβδομήκοντά σίκλων, κατά τον σίκλον του ιερού, και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι δι' αναιμακτον θυσίαν.

Αρ. 7,38 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,38 - Προσέφερεν επίσης μίαν λιβανοθήκην βάρους δέκα χρυσών σίκλων, γεμάτην θυμίαμα,

Αρ. 7,39 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,39 - ένα μόσχον, ένα κριόν, και αμνόν ενός έτους δι' ολοκάρπωσιν,

Αρ. 7,40 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,40 - ένα τράγον δια θυσίαν περί αμαρτίας.

Αρ. 7,41 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Σαλαμιὴλ υἱοῦ Σουρισαδαί.

Αρ. 7,41 - Δια δε την ειρηνικήν θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους εκάστην. Αυτή ήτο η προσφορά του Σαλαμιήλ, υιού του Σουρισαδαί.

Αρ. 7,42 - τῇ ἡμέρᾳ τῇ ἕκτῃ ἄρχων τῶν υἱῶν Γάδ, Ἐλισὰφ υἱὸς Ῥαγουήλ.

Αρ. 7,42 - Κατά την έκτην ημέραν ο άρχων της φυλής Γαδ, ο Ελισάφ υιός του Ραγουήλ προσέφερε το δώρον του.

Αρ. 7,43 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,43 - Το δώρον αυτού ήτο ένα πινάκιον αργυρούν βάρους εκατόν τριάκοντα σίκλων, μία φιάλη αργυρά βάρους εβδομήκοντα σίκλων, σύμφωνα με τον σίκλον του ναού, και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι προς θυσίαν.

Αρ. 7,44 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,44 - Προσέφερεν ακόμη μίαν λιβανοθήκην δέκα χρυσών σίκλων γεμάτην θυμίαμα,

Αρ. 7,45 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,45 - ένα μοσχάρι, ένα κριόν, ένα αμνόν ένας έτους δι' ολοκαύτωμα,

Αρ. 7,46 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,46 - ένα τράγον προς θυσίαν περί αμαρτίας.

Αρ. 7,47 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Ἐλισὰφ υἱοῦ Ῥαγουήλ.

Αρ. 7,47 - Δια δε την ειρηνικήν θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους εκάστην. Αυτή ήτο η προσφορά του Ελισάφ, υιού του Ραγουήλ.

Αρ. 7,48 - τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἄρχων τῶν υἱῶν Ἐφραὶμ Ἐλισαμὰ υἱὸς Ἐμιούδ.

Αρ. 7,48 - Κατά την εβδόμην ημέραν προσέφερε το δώρον του ο Ελισαμά, υιός του Εμιούδ, ο άρχων της φυλής Εφραίμ.

Αρ. 7,49 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,49 - Το δώρον του ήτο ένα πινάκιον αργυρούν βάρους εκατόν τριάκοντα σίκλων, μία φιάλη αργυρά βάρους εβδομήκοντα σίκλων, σύμφωνα με τον σίκλον του ιερού, και τα δύο γεμάτα σημιγδάλι, ζυμωμένο με λάδι, προς θυσίαν.

Αρ. 7,50 - θυΐσκην μίαν δέκα χρυσῶν, πλήρη θυμιάματος·

Αρ. 7,50 - Προσέφερεν ακόμη μίαν λιβανοθήκην βάρους δέκα χρυσών σίκλων γεμάτην θυμίαμα,

Αρ. 7,51 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,51 - ένα μοσχάρι, ένα κριόν, ένα αμνόν ενός έτους δι' ολοκαυτωμα,

Αρ. 7,52 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,52 - ένα τράγον δια θυσίαν περί αμαρτίας.

Αρ. 7,53 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Ἐλισαμὰ υἱοῦ Ἐμιούδ.

Αρ. 7,53 - Δια δε την ειρηνικήν θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους εκάστην. Αυτή ήτο η προσφορά του Ελισαμά, υιού του Εμιούδ.

Αρ. 7,54 - τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἄρχων τῶν υἱῶν Μανασσῆ Γαμαλιὴλ υἱὸς Φαδασσούρ.

Αρ. 7,54 - Κατά την ογδόην ημέραν προσέφερε το δώρον του ο Γαμαλιήλ, υιός του Φαδαασούρ, άρχων της φυλής Μανασσή.

Αρ. 7,55 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,55 - Το δώρον αυτού ήτο ένα αργυρούν πινάκιον, βάρους εκατόν τριάκοντα σίκλων, μία αργυρά φιάλη βάρους εβδομήκοντα σίκλων, κατά τον σίκλον τον χρησιμοποιούμενον στον ναόν, και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι προς αναίμακτον θυσίαν.

Αρ. 7,56 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,56 - Προσέφερεν ακόμη μίαν λιβανοθήκην δέκα χρυσών σίκλων, γεμάτην θυμίαμα,

Αρ. 7,57 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,57 - ένα μοσχάρι, ένα κριόν, ένα αμνόν ενός έτους δια την θυσίαν του ολοκαυτώματος,

Αρ. 7,58 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,58 - και ένα τράγον δια την θυσίαν περί αμαρτίας.

Αρ. 7,59 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Γαμαλιὴλ υἱοῦ Φαδασσούρ.

Αρ. 7,59 - Δια δε την ειρηνικήν θυσίαν του σωτηρίου προσέφερε προς θυσίαν δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους. Αυτό ήτο το δώρον του Γαμαλιήλ, υιού του Φαδασσούρ.

Αρ. 7,60 - τῇ ἡμέρᾳ τῇ ἐνάτῃ ἄρχων τῶν υἱῶν Βενιαμὶν Ἀβιδὰν υἱὸς Γαδεωνί.

Αρ. 7,60 - Κατά την ενάτην ημέραν προσέφερε το δώρον του ο Αβιδάν, υιός του Γαδεωνί, άρχων της φυλής Βενιαμίν.

Αρ. 7,61 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,61 - Το δώρον αυτού ήτο ένα αργυρούν πινάκιον βάρους εκατόν τριάκοντα σίκλων, μία αργυρά φιάλη βάρους εβδομήκοντα σίκλων, σύμφωνα με τον σίκλον τον χρησιμοποιούμενον στο ιερόν, και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι προς θυσίαν.

Αρ. 7,62 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,62 - Προσέφερεν επίσης μίαν λιβανοθήκην δέκα χρυσών σίκλων γεμάτην θυμίαμα,

Αρ. 7,63 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,63 - ένα μοσχάρι, ένα κριόν, ένα αμνόν ενός έτους δια θυσίαν ολοκαυτώματος,

Αρ. 7,64 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,64 - ένα τράγον δια θυσίαν περί αμαρτίας.

Αρ. 7,65 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Ἀβιδὰν υἱοῦ Γαδεωνί.

Αρ. 7,65 - Δια δε την θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους εκάστην. Αυτή ήτο η προσφορά του Αβιδάν, υιού του Γαδεωνί.

Αρ. 7,66 - τῇ ἡμέρῃ τῇ δεκάτῃ ἄρχων τῶν υἱῶν Δὰν Ἀχιέζερ υἱὸς Ἀμισαδαί.

Αρ. 7,66 - Κατά την δεκάτην ημέραν προσέφερε το δώρον του ο Αχιέζαρ υιός του Αμισαδαί, ο άρχων της φυλής Δαν.

Αρ. 7,67 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,67 - Το δώρον του ήτο ένα πινάκιον αργυρούν βάρους εκατόν τριάκοντα σίκλων, μία φιάλη αργυρά βάρους εβδομήκοντα σίκλων, σύμφωνα με τον σίκλον του ιερού, και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι, δι' αναίμακτον θυσίαν.

Αρ. 7,68 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,68 - Προσέφερεν επίσης μίαν λιβανοθήκην δέκα χρυσών σίκλων γεμάτην θυμίαμα,

Αρ. 7,69 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα·

Αρ. 7,69 - Ενα μοσχάρι, ένα κριόν, ένα αμνόν ενός έτους εις ολοκαύτωσιν

Αρ. 7,70 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,70 - και ένα τράγον προς θυσίαν περί αμαρτίας.

Αρ. 7,71 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Ἀχιέζερ υἱοῦ Ἀμισαδαί.

Αρ. 7,71 - Δια δε την θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους εκάστην. Αυτή ήτα η προσφορά του Αχιέζερ, υιού του Αμισαδαί.

Αρ. 7,72 - τῇ ἡμέρᾳ τῇ ἑνδεκάτῃ ἄρχων τῶν υἱῶν Ἀσήρ, Φαγεὴλ υἱὸς Ἐχράν.

Αρ. 7,72 - Κατά δε την ενδεκάτην ημέραν προσέφερε το δώρον του ο Φαγεήλ υιός του Εχράν, άρχων της φυλής Ασήρ.

Αρ. 7,73 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν, ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,73 - Το δώρον του ήτο ένα αργυρούν πινάκιον βάρους εκατόν τριάκοντα σίκλων, μία αργυρά φιάλη βάρους εβδομήκοντα σίκλων, σύμφωνα με τον σίκλον του ιερού, και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι δια θυσίαν.

Αρ. 7,74 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος·

Αρ. 7,74 - Προσέφερεν ακόμη μία λιβανοθήκην δέκα χρυσών σίκλων γεμάτην θυμίαμα,

Αρ. 7,75 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἐνιαύσιον ἕνα εἰς ὁλοκαύτωμα·

Αρ. 7,75 - ένα μοσχάρι, ένα κριόν, ένα αμνόν ενός έτους δια την θυσίαν του ολοκαυτώματος,

Αρ. 7,76 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,76 - και ένα τράγον δια την θυσίαν περί αμαρτίας.

Αρ. 7,77 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Φαγεὴλ υἱοῦ Ἐχράν.

Αρ. 7,77 - Δια δε την ειρηνικήν θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αμνάδας ενός έτους εκάστην. Αυτή ήτο η προσφορά του Φαγεήλ, υιού του Εχράν.

Αρ. 7,78 - τῇ ἡμέρᾳ τῇ δωδεκάτῃ ἄρχων τῶν υἱῶν Νεφθαλὶ Ἀχιρὲ υἱὸς Αἰνάν.

Αρ. 7,78 - Κατά την δωδεκάτην ημέραν προσέφερε το δώρον του ο Αχιρέ, υιός του Αινάν, άρχων της φυλής Νεφθαλίμ.

Αρ. 7,79 - τὸ δῶρον αὐτοῦ τρυβλίον ἀργυροῦν ἕν, τριάκοντα καὶ ἑκατὸν ὁλκὴ αὐτοῦ, φιάλην μίαν ἀργυρᾶν ἑβδομήκοντα σίκλων κατὰ τὸν σίκλον τὸν ἅγιον, ἀμφότερα πλήρη σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν·

Αρ. 7,79 - Το δώρον του ήτο ένα αργυρούν πινάκιον βάρους εκατόν τριάκοντα σίκλων, μία αργυρά φιάλη βάρους εβδομήκοντα σίκλων, κατά τον ιερόν σίκλον, και τα δύο γεμάτα σημιγδάλι ζυμωμένο με λάδι δι' αναίμακτον θυσίαν.

Αρ. 7,80 - θυΐσκην μίαν δέκα χρυσῶν πλήρη θυμιάματος.

Αρ. 7,80 - Προσέφερεν επίσης μίαν λιβανοθήκην δέκα χρυσών σίκλων γεμάτην θυμίαμα,

Αρ. 7,81 - μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνὸν ἕνα ἐνιαύσιον εἰς ὁλοκαύτωμα.

Αρ. 7,81 - ένα μοσχάρι, ένα κριόν, αμνόν ενός έτους δια την θυσίαν του ολοκαυτώματος,

Αρ. 7,82 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας·

Αρ. 7,82 - και ένα τράγον δια θυσίαν περί αμαρτίας.

Αρ. 7,83 - καὶ εἰς θυσίαν σωτηρίου δαμάλεις δύο, κριοὺς πέντε, τράγους πέντε, ἀμνάδας ἐνιαυσίας πέντε. τοῦτο τὸ δῶρον Ἀχιρὲ υἱοῦ Αἰνάν.

Αρ. 7,83 - Δια δε την θυσίαν του σωτηρίου προσέφερε δύο δαμάλεις, πέντε κριούς, πέντε τράγους και πέντε αρνάδας ενός έτους εκάστην. Αυτή ήτο η προσφορά του Αχιρέ υιού του Αινάν.

Αρ. 7,84 - οὗτος ὁ ἐγκαινισμὸς τοῦ θυσιαστηρίου, ᾗ ἡμέρᾳ ἔχρισεν αὐτὸ παρὰ τῶν ἀρχόντων τῶν υἱῶν Ἰσραήλ· τρυβλία ἀργυρᾶ δώδεκα, φιάλαι ἀργυραῖ δώδεκα, θυΐσκαι χρυσαῖ δώδεκα,

Αρ. 7,84 - Αυτά ήσαν τα δώρα τα προσφερθέντα από τους άρχοντας των Ισραηλιτών κατά τα εγκαίνια του θυσιαστηρίου, όταν αυτό εχρίσθη με το άγιον έλαιον· δώδεκα αργυρά πινάκια, δώδεκα αργυραί φιάλαι, δώδεκα χρυσαί λιβανοθήκαι.

Αρ. 7,85 - τριάκοντα καὶ ἑκατὸν σίκλων τὸ τρυβλίον τὸ ἓν καὶ ἑβδομήκοντα σίκλων ἡ φιάλη ἡ μία, πᾶν τὸ ἀργύριον τῶν σκευῶν δισχίλιοι καὶ τετρακόσιοι σίκλοι, σίκλοι ἐν τῷ σίκλῳ τῷ ἁγίῳ·

Αρ. 7,85 - Το κάθε πινάκιον ήτο βάρους εκατόν τριάκοντα σίκλων, και η κάθε φιάλη εβδομήκοντα σίκλων. Ολος ο αργυρός των σκευών αυτών ήτο βάρους δύο χιλιάδων τετρακοσίων σίκλων (25 - περίπου κιλά), σύμφωνα με τον σίκλον τον χρησιμοποιούμενον στο ιερόν.

Αρ. 7,86 - θυΐσκαι χρυσαῖ δώδεκα πλήρεις θυμιάματος· πᾶν τὸ χρυσίον τῶν θυϊσκῶν εἴκοσι καὶ ἑκατὸν χρυσοῖ.

Αρ. 7,86 - Ησαν ακόμη δώδεκα χρυσαί λιβανοθήκαι, πλήρεις από θυμίαμα. Ολον δε το βάρος του χρυσού των λιβανοθηκών ήτο εκατόν είκοσι χρυσοί σίκλοι (ένα κιλό και 440 - γραμ.).

Αρ. 7,87 - πᾶσαι αἱ βόες αἱ εἰς ὁλοκαύτωσιν μόσχοι δώδεκα, κριοὶ δώδεκα, ἀμνοὶ ἐνιαύσιοι δώδεκα καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν· καὶ χίμαροι ἐξ αἰγῶν δώδεκα περὶ ἁμαρτίας.

Αρ. 7,87 - Ολα τα προς ολοκαύτωσιν ζώα ήσαν δώδεκα μοσχάρια, δώδεκα κριοι, δώδεκα αμνοί ενός έτους, αυτά μαζή με τας αναιμάκτους θυσίας και τας σπονδάς του οίνου, και δώδεκα τράγοι περί αμαρτίας.

Αρ. 7,88 - πᾶσαι αἱ βόες εἰς θυσίαν σωτηρίου δαμάλεις εἰκοσιτέσσαρες, κριοὶ ἑξήκοντα, τράγοι ἑξήκοντα ἐνιαύσιοι, ἀμνάδες ἑξήκοντα ἐνιαύσιοι ἄμωμοι. αὕτη ἡ ἐγκαίνωσις τοῦ θυσιαστηρίου, μετὰ τὸ πληρῶσαι τὰς χεῖρας αὐτοῦ καὶ μετὰ τὸ χρῖσαι αὐτόν,

Αρ. 7,88 - Ολαι αι αγελάδες δια την θυσίαν σωτηρίου ήσαν είκοσι τέσσαρες δαμάλεις, επίσης εξήκοντα κριοι, εξήκοντα τράγοι ενός έτους έκαστος, εξήκοντα αμνάδες ενός έτους εκάστη, όλα υγιή και αρτιμελή. Αυταί ήσαν αι προσφοραί εις τα εγκαίνια του θυσιαστηρίου, μετά την χρίσιν του Ααρών, του οποίου αι χείρες εξηγιάσθησαν και κατέστησαν ικαναί εις προσφοράν.

Αρ. 7,89 - ἐν τῷ εἰσπορεύεσθαι Μωυσῆν εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λαλῆσαι αὐτῷ καὶ ἤκουσε τὴν φωνὴν Κυρίου λαλοῦντος πρὸς αὐτὸν ἄνωθεν τοῦ ἱλαστηρίου, ὅ ἐστιν ἐπὶ τῆς κιβωτοῦ τοῦ μαρτυρίου, ἀνὰ μέσον τῶν δύο Χερουβίμ, καὶ ἐλάλει πρὸς αὐτόν.

Αρ. 7,89 - Οταν ο Μωϋσής εισήλθεν εις την Σκηνήν του Μαρτυρίου, δια να ομιλήση προς τον Θεόν, ήκουσε την φωνήν του Κυρίου, ο οποίος ελάλει προς αυτόν άνωθεν του ιλαστηρίου, που ευρίσκεται επάνω εις την κιβωτόν του Μαρτυρίου από τον χώρον μεταξύ των δύο Χερουβίμ. Από εκεί ωμίλει προς αυτόν ο Θεός.

## ΑΡΙΘΜΟΙ 8

Αρ. 8,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 8,1 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και είπεν·

Αρ. 8,2 - λάλησον τῷ Ἀαρὼν καὶ ἐρεῖς πρὸς αὐτόν· ὅταν ἐπιτιθῇς τοὺς λύχνους, ἐκ μέρους κατὰ πρόσωπον τῆς λυχνίας φωτιοῦσιν οἱ ἑπτὰ λύχνοι.

Αρ. 8,2 - "ομίλησε προς τον Ααρών και ειπέ προς αυτόν· Οταν θα τοποθετής τους λύχνους επάνω εις την λυχνίαν, θα φωτίζουν και οι επτά λύχνοι το εμπρός μέρος της λυχνίας".

Αρ. 8,3 - καὶ ἐποίησεν οὕτως Ἀαρών· ἐκ τοῦ ἑνὸς μέρους κατὰ πρόσωπον τῆς λυχνίας ἐξῆψε τοὺς λύχνους αὐτῆς, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 8,3 - Ετσι έκαμεν ο Ααρών· ήναψε από το ένα μέρος τους λύχνους να φωτίζουν το πρόσθιον αυτής τμήμα (και προς τον σκοπόν αυτόν έθηκεν όπισθεν εκάστου λύχνου αδιαπέραστον οπό το φως κάλυμμα), όπως διέταξεν ο Κυριος.

Αρ. 8,4 - καὶ αὕτη ἡ κατασκευὴ τῆς λυχνίας· στερεὰ χρυσῆ, ὁ καυλὸς αὐτῆς καὶ τὰ κρίνα αὐτῆς, στερεὰ ὅλη· κατὰ τὸ εἶδος, ὃ ἔδειξε Κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησε τὴν λυχνίαν.

Αρ. 8,4 - Η κατασκευή της λυχνίας ήτο αυτή· Ολόκληρος η λυχνία ήτο χρυσή και συμπαγής όλη από το στέλεχος αυτής μέχρι των κρίνων της, σύμφωνα με τον τύπον τον οποίον έδειξεν ο Κυριος προς τον Μωϋσήν στο όρος Σινά· έτσι κατεσκεύασεν ο Μωϋσής την λυχνίαν.

Αρ. 8,5 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 8,5 - 'Ωμιλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 8,6 - λάβε τοὺς Λευίτας ἐκ μέσου υἱῶν Ἰσραὴλ καὶ ἀφαγνιεῖς αὐτούς.

Αρ. 8,6 - "πάρε τους Λευΐτας ανάμεσα από όλους τους Ισραηλίτας και άγνισε αυτούς, δια να γίνουν άξιοι προς εκτέλεσιν των ιερών των καθηκόντων.

Αρ. 8,7 - καὶ οὕτω ποιήσεις αὐτοῖς τὸν ἁγνισμὸν αὐτῶν· περιῤῥανεῖς αὐτοὺς ὕδωρ ἁγνισμοῦ, καὶ ἐπελεύσεται ξυρὸν ἐπὶ πᾶν τὸ σῶμα αὐτῶν, καὶ πλυνοῦσι τὰ ἱμάτια αὐτῶν, καὶ καθαροὶ ἔσονται.

Αρ. 8,7 - Κατ' αυτόν τον τρόπον θα κάμης τον αγνισμόν των· θα ραντίσης αυτούς με το ηγιασμένον ύδωρ, θα ξυρισθούν εις ολόκληρον το σώμα των, θα πλύνουν τα ενδύματά των και έτσι θα είναι καθαροί.

Αρ. 8,8 - καὶ λήψονται μόσχον ἕνα ἐκ βοῶν καὶ τούτου θυσίαν σεμίδαλιν ἀναπεποιημένην ἐν ἐλαίῳ, καὶ μόσχον ἐνιαύσιον ἐκ βοῶν λήψῃ περὶ ἁμαρτίας.

Αρ. 8,8 - Θα πάρουν κατόπιν ένα μοσχάρι από τα βόδια με την ανάλογον προσφορών προς αναίμακτον θυσίαν σημιγδαλιού ζυμωμένου με λάδι, θα πάρουν επίσης από τα βόδια ένα άλλο μοσχάρι ενός έτους προς θυσίαν περί αμαρτίας.

Αρ. 8,9 - καὶ προσάξεις τοὺς Λευίτας ἔναντι τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ συνάξεις πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ

Αρ. 8,9 - Θα οδηγήσης τους Λευΐτας ενώπιον της Σκηνής του Μαρτυρίου, όπου και θα συγκεντρώσης όλους τους Ισραηλίτας.

Αρ. 8,10 - καὶ προσάξεις τοὺς Λευίτας ἔναντι Κυρίου, καὶ ἐπιθήσουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰς χεῖρας αὐτῶν ἐπὶ τοὺς Λευίτας,

Αρ. 8,10 - Θα οδηγήσης τους Λευΐτας ενώπιον του Κυρίου και οι Ισραηλίται θα θέσουν τας χείρας των επάνω στους Λευΐτας.

Αρ. 8,11 - καὶ ἀφοριεῖ Ἀαρὼν τοὺς Λευίτας ἀπόδομα ἔναντι Κυρίου παρὰ τῶν υἱῶν Ἰσραήλ, καὶ ἔσονται ὥστε ἐργάζεσθαι τὰ ἔργα Κυρίου.

Αρ. 8,11 - Ο Ααρών θα ξεχωρίση τότε αυτούς και θα τους αφιερώση ως δώρον των Ισραηλιτών προς τον Κυριον, δια να είναι στο εξής οι υπηρέται του ιερού, ώστε να εργάζωνται τα έργα του Κυρίου εις την Σκηνήν του Μαρτυρίου.

Αρ. 8,12 - οἱ δὲ Λευῖται ἐπιθήσουσι τὰς χεῖρας ἐπὶ τὰς κεφαλὰς τῶν μόσχων, καὶ ποιήσεις τὸν ἕνα περὶ ἁμαρτίας καὶ τὸν ἕνα εἰς ὁλοκαύτωμα Κυρίῳ ἐξιλάσασθαι περὶ αὐτῶν.

Αρ. 8,12 - Οι δε Λευΐται θα θέσουν τας χείρας των επάνω εις τας κεφαλάς των δύο μόσχων, και θα θυσιάσης τον ένα μόσχον περί αμαρτίας, τον δε άλλον ως ολοκαύτωμα προς τον Κυριον, δια να εξιλεωθούν αι αμαρτίαι των Λευϊτών.

Αρ. 8,13 - καὶ στήσεις τοὺς Λευίτας ἔναντι Κυρίου καὶ ἔναντι Ἀαρὼν καὶ ἔναντι τῶν υἱῶν αὐτοῦ καὶ ἀποδώσεις αὐτοὺς ἀπόδομα ἔναντι Κυρίου·

Αρ. 8,13 - Θα τοποθετήσης τους Λευΐτας ενώπιον του Κυρίου, ενώπιον του Ααρών και των υιών του, και θα προσφέρης αυτούς ως δώρον προς τον Κυριον.

Αρ. 8,14 - καὶ διαστελεῖς τοὺς Λευίτας ἐκ μέσου υἱῶν Ἰσραήλ, καὶ ἔσονται ἐμοί.

Αρ. 8,14 - Θα ξεχωρίσης τους Λευΐτας εκ μέσου των άλλων Ισραηλιτών, θα τους αφιερώσης και έτσι θα ανήκουν εις εμέ.

Αρ. 8,15 - καὶ μετὰ ταῦτα εἰσελεύσονται οἱ Λευῖται ἐργάζεσθαι τὰ ἔργα τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ καθαριεῖς αὐτοὺς καὶ ἀποδώσεις αὐτοὺς ἔναντι Κυρίου·

Αρ. 8,15 - Επειτα από αυτά θα εισέλθουν οι Λευΐται εις την Σκηνή του Μαρτυρίου, δια να υπηρετούν εις αυτήν. Θα καθαρίσης λοιπόν αυτούς και θα τους προσφέρης ως δώρον στον Κυριον,

Αρ. 8,16 - ὅτι ἀπόδομα ἀποδεδομένοι οὗτοί μοί εἰσιν ἐκ μέσου υἱῶν Ἰσραήλ· ἀντὶ τῶν διανοιγόντων πᾶσαν μήτραν πρωτοτόκων πάντων ἐκ τῶν υἱῶν Ἰσραὴλ εἴληφα αὐτοὺς ἐμοί.

Αρ. 8,16 - διότι αυτοί οι Λευίται έχουν δοθή εις εμέ ως δώρον εκ μέρους των Ισραηλιτών και είναι ιδικοί μου. Τους έλαβα δια τον εαυτόν μου αντί των πρωτογεννήτων, των πρωτοτόκων από τους υιούς των Ισραηλιτών.

Αρ. 8,17 - ὅτι ἐμοὶ πᾶν πρωτότοκον ἐν υἱοῖς Ἰσραὴλ ἀπὸ ἀνθρώπων ἕως κτήνους· ᾗ ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτου, ἡγίασα αὐτοὺς ἐμοὶ

Αρ. 8,17 - Διότι εις εμέ ανήκει κάθε πρωτότοκον από ανθρώπων έως κτήνους. Διότι, όταν εγώ εθανάτωσα όλα τα πρωτότοκα των Αιγυπτίων, εξεχώρισα και αφιέρωσα εις εμέ τα πρωτότοκα των Ισραηλιτών

Αρ. 8,18 - καὶ ἔλαβον τοὺς Λευίτας ἀντὶ παντὸς πρωτοτόκου ἐν υἱοῖς Ἰσραήλ.

Αρ. 8,18 - και ελαβά τους Λευΐτας αντί των πρωτοτόκων μεταξύ των υιών του Ισραήλ.

Αρ. 8,19 - καὶ ἀπέδωκα τοὺς Λευίτας ἀπόδομα δεδομένους Ἀαρὼν καὶ τοῖς υἱοῖς αὐτοῦ ἐκ μέσου υἱῶν Ἰσραὴλ ἐργάζεσθαι τὰ ἔργα τῶν υἱῶν Ἰσραὴλ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου καὶ ἐξιλάσκεσθαι περὶ τῶν υἱῶν Ἰσραήλ, καὶ οὐκ ἔσται ἐν τοῖς υἱοῖς Ἰσραὴλ προσεγγίζων πρὸς τὰ ἅγια.

Αρ. 8,19 - Αυτούς τους Λευΐτας έδωκα ως δώρον στον Ααρών και τους υιούς του μεταξύ όλων των Ισραηλιτών, δια να εργάζωνται εις την Σκηνήν του Μαρτυρίου τα έργα των Ισραηλιτών και να προσφέρουν δι' αυτούς τας εξιλαστήριους θυσίας. Κανείς άλλος από τους Ισραηλίτας δεν θα πλησιάζη εις τα άγια”.

Αρ. 8,20 - καὶ ἐποίησε Μωυσῆς καὶ Ἀαρὼν καὶ πᾶσα ἡ συναγωγὴ υἱῶν Ἰσραὴλ τοῖς Λευίταις καθὰ ἐνετείλατο Κύριος τῷ Μωυσῇ περὶ τῶν Λευιτῶν, οὕτως ἐποίησαν αὐτοῖς οἱ υἱοὶ Ἰσραήλ.

Αρ. 8,20 - Ο Μωϋσής, ο Ααρών και όλος ο λαός των Ισραηλιτών έκαμαν στους Λευΐτας, όπως έδωσεν εντολήν ο Κυριος στον Μωϋσήν. Ετσι έκαμαν.

Αρ. 8,21 - καὶ ἡγνίσαντο οἱ Λευῖται καὶ ἐπλύναντο τὰ ἱμάτια, καὶ ἀπέδωκεν αὐτοὺς Ἀαρὼν ἀπόδομα ἔναντι Κυρίου, καὶ ἐξιλάσατο περὶ αὐτῶν Ἀαρὼν ἀφαγνίσασθαι αὐτούς.

Αρ. 8,21 - Οι Λευΐται ηγνίθσθησαν και έπλυναν τα ενδύματά των. Ο Ααρών έδωκεν αυτούς, ως δώρον, προς τον Κυριον, και έκαμε τας εξιλαστικάς δι' αυτούς και δια τον εξαγνισμόν των θυσίας.

Αρ. 8,22 - καὶ μετὰ ταῦτα εἰσῆλθον οἱ Λευῖται λειτουργεῖν τὴν λειτουργίαν αὐτῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου ἔναντι Ἀαρὼν καὶ ἔναντι τῶν υἱῶν αὐτοῦ· καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ περὶ τῶν Λευιτῶν, οὕτως ἐποίησαν αὐτοῖς.

Αρ. 8,22 - Μετά ταύτα οι Λευίται εισήλθον εις την Σκηνήν του Μαρτυρίου, δια να προσφέρουν τας υπηρεσίας των ενώπιον του Ααρών και ενώπιον των

υιών του. Οπως διέταξεν ο Κυριος τον Μωϋσήν δια τους Λευΐτας, έτσι έκαμαν δι' αυτούς.

Αρ. 8,23 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 8,23 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 8,24 - τοῦτό ἐστι τὸ περὶ τῶν Λευιτῶν· ἀπὸ πέντε καὶ εἰκοσαετοῦς καὶ ἐπάνω εἰσελεύσονται ἐνεργεῖν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου·

Αρ. 8,24 - “αυτή η εντολή μου θα ισχύη δια τους Λευΐτας· θα εισέρχωνται και θα υπηρετούν εις την Σκηνήν του Μαρτυρίου από ηλικίας είκοσι πέντε ετών και άνω.

Αρ. 8,25 - καὶ ἀπὸ πεντηκονταετοῦς ἀποστήσεται ἀπὸ τῆς λειτουργίας καὶ οὐκ ἐργᾶται ἔτι.

Αρ. 8,25 - Κατά δε το πεντηκοστόν έτος θα αποχωρούν αυτοί εκ της υπηρεσίας των και δεν θα εργάζωνται πλέον·

Αρ. 8,26 - καὶ λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου φυλάσσειν φυλακάς, ἔργα δὲ οὐκ ἐργᾶται. οὕτως ποιήσεις τοῖς Λευίταις ἐν ταῖς φυλακαῖς αὐτῶν.

Αρ. 8,26 - μόνον δύναται ο απερχόμενος εκ της υπηρεσίας αδελφός Λευΐτης να προσφερθή οικειοθελώς, δια να φρουρή και βοηθή εις την Σκηνήν του Μαρτυρίου. Δεν του επιτρέπεται όμως να εκτελή υπηρεσίαν. Κατ' αυτόν τον τρόπον θα πράξης και θα κανονίσης σχετικώς με τους Λευΐτας και τας υπηρεσίας των”.

## ΑΡΙΘΜΟΙ 9

Αρ. 9,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἐν τῇ ἐρήμῳ Σινὰ ἐν τῷ ἔτει τῷ δευτέρῳ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου ἐν τῷ μηνὶ τῷ πρώτῳ, λέγων·

Αρ. 9,1 - Κατά τον πρώτον μήνα του δευτέρου έτους από της εξόδου των Ισραηλιτών εκ της Αιγύπτου ωμίλησεν ο Κυριος προς τον Μωϋσήν εις την έρημον Σινά λέγων·

Αρ. 9,2 - εἶπον καὶ ποιείτωσαν οἱ υἱοὶ Ἰσραήλ τὸ πάσχα καθ᾿ ὥραν αὐτοῦ·

Αρ. 9,2 - “ειπέ να τελέσουν οι Ισραηλίται το Πασχα στον καθωρισμένον χρόνον, δηλαδή

Αρ. 9,3 - τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρα τοῦ μηνὸς τοῦ πρώτου πρὸς ἑσπέραν ποιήσεις αὐτὸ κατὰ καιρούς, κατὰ τὸν νόμον αὐτοῦ καὶ κατὰ τὴν σύγκρισιν αὐτοῦ ποιήσεις αὐτό.

Αρ. 9,3 - την εσπέραν της δεκάτης τετάρτης του πρώτου μηνός θα τελέσης το Πασχα στον καθωριαμένον χρόνον σύμφωνα με τον νόμον και την ερμηνείαν του νόμου, που εγώ σας έχω δώσει”.

Αρ. 9,4 - καὶ ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ ποιῆσαι τὸ πάσχα.
Αρ. 9,4 - Εδωσεν ο Μωϋσής την εντολήν του Θεού στους Ισραηλίτας να τελέσουν το Πασχα.
Αρ. 9,5 - ἐναρχομένου τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἐν τῇ ἐρήμῳ τοῦ Σινά, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραήλ.
Αρ. 9,5 - Κατά την αρχήν της δεκάτης τετάρτης ημέρας του πρώτου μηνός έκαμαν οι Ισραηλίται το Πασχα εις την έρημον του Σινά, όπως διέταξεν ο Κυριος τον Μωϋσήν.
Αρ. 9,6 - Καὶ παρεγένοντο οἱ ἄνδρες, οἳ ἦσαν ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, καὶ οὐκ ἠδύναντο ποιῆσαι τὸ πάσχα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ προσῆλθον ἐναντίον Μωυσῆ καὶ Ἀαρὼν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ,
Αρ. 9,6 - Παρουσιάσθησαν όμως εκεί μερικοί άνδρες νομικώς ακάθαρτοι, διότι είχαν πλησιάσει άνθρωπον νεκρόν, και οι οποίοι, καθ' ο μολυσμένοι, δεν είχον το δικαίωμα να τελέσουν το Πασχα κατά την ημέραν εκείνην. Προσήλθον λοιπόν προς τον Μωϋσήν και τον Ααρών κατά την ημέραν εκείνην
Αρ. 9,7 - καὶ εἶπαν οἱ ἄνδρες ἐκεῖνοι πρὸς αὐτόν· ἡμεῖς ἀκάθαρτοι ἐπὶ ψυχῇ ἀνθρώπου, μὴ οὖν ὑστερήσωμεν προσενέγκαι τὸ δῶρον Κυρίῳ κατὰ καιρὸν αὐτοῦ ἐν μέσῳ υἱῶν Ἰσραήλ;
Αρ. 9,7 - οι άνδρες εκείνοι και είπον προς τον Μωϋσήν· "ημείς είμεθα ακάθαρτοι, διότι επλησιάσαμεν εις νεκρόν άνθρωπον. Μηπως λοιπόν θα αποκλεισθώμεν από του να προσφέρωμεν προς τον Κυριον κατά την ημέραν αυτήν του Πασχα τας θυσίας μας, ημείς μόνοι εκ μέσου ολών των Ισραηλιτών;"
Αρ. 9,8 - καὶ εἶπε πρὸς αὐτοὺς Μωυσῆς· στῆτε αὐτοῦ, καὶ ἀκούσομαι τί ἐντελεῖται Κύριος περὶ ὑμῶν.
Αρ. 9,8 - Ο Μωϋσής απήντησε προς αυτούς· "σταθήτε αυτού και εγώ θα ακούσω, τι θα διατάξη ο Κυριος σχετικώς με σας".
Αρ. 9,9 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·
Αρ. 9,9 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·
Αρ. 9,10 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· ἄνθρωπος ἄνθρωπος, ὃς ἐὰν γένηται ἀκάθαρτος ἐπὶ ψυχῇ ἀνθρώπου, ἢ ἐν ὁδῷ μακρὰν ὑμῖν, ἢ ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει τὸ πάσχα Κυρίῳ·
Αρ. 9,10 - "ομίλησε και ειπέ προς τους Ισραηλίτας· Εάν κανείς από σας η από τους απογόνους σας ήθελε γίνει ακάθαρτος εξ αιτίας προσεγγίσεώς του εις νεκρόν η ήθελεν ευρεθή μακράν κατά τον χρόνον της εορτής του Πασχα, θα κάμη και αυτός Πασχα.
Αρ. 9,11 - ἐν τῷ μηνὶ τῷ δευτέρῳ, ἐν τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ, τὸ πρὸς ἑσπέραν ποιήσουσιν αὐτό, ἐπ᾿ ἀζύμων καὶ πικρίδων φάγονται αὐτό,

Αρ. 9,11 - Κατά την εσπέραν της δεκάτης τετάρτης ημέρας του δευτέρου μηνός θα εορτάσουν και αυτοί το Πασχα, θα φάγουν τον πασχάλιον αμνόν με αζύμους άρτους και πικρά χόρτα.

Αρ. 9,12 - οὐ καταλείψουσιν ἀπ᾿ αὐτοῦ εἰς τὸ πρωΐ, καὶ ὀστοῦν οὐ συντρίψουσιν ἀπ᾿ αὐτοῦ· κατὰ τὸν νόμον τοῦ πάσχα ποιήσουσιν αὐτό.

Αρ. 9,12 - Από τον πασχαλινόν αμνόν δεν θα μείνη τίποτε δια την επομένην ημέραν και κανένα οστούν αυτού δεν θα συντρίψουν. Οι Ισραηλίται οφείλουν να εορτάζουν το Πασχα σύμφωνα με τον νόμον, που καθορίζει τα του εορτασμού.

Αρ. 9,13 - καὶ ἄνθρωπος, ὃς ἐὰν καθαρὸς ᾖ καὶ ἐν ὁδῷ μακρὰν οὐκ ἔστι καὶ ὑστερήσῃ ποιῆσαι τὸ πάσχα, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς, ὅτι τὸ δῶρον Κυρίῳ οὐ προσήνεγκε κατὰ τὸν καιρὸν αὐτοῦ, ἁμαρτίαν αὐτοῦ λήψεται ὁ ἄνθρωπος ἐκεῖνος.

Αρ. 9,13 - Ο Ισραηλίτης εκείνος, ο οποίος είναι καθαρός και δεν ευρίσκεται μακράν εις ταξίδιον, αμελήση δε να εορτάση τα Πασχα και δεν προσφέρη την καθωρισμένην θυσίαν, θα εξολοθρευθή αυτός ο άνθρωπος εκ μέσου του λαού του· διότι δεν προσέφερε την θυσίαν του προς τον Κυριον κατά ταν ωρισμένον χρόνον και θα λάβη την πρέπουσαν τιμωρίαν δια την αμέλειάν του αυτήν.

Αρ. 9,14 - ἐὰν δὲ προσέλθῃ πρὸς ὑμᾶς προσήλυτος ἐν τῇ γῇ ὑμῶν καὶ ποιήσῃ τὸ πάσχα Κυρίῳ, κατὰ τὸν νόμον τοῦ πάσχα καὶ κατὰ τὴν σύνταξιν αὐτοῦ ποιήσει αὐτό· νόμος εἷς ἔσται ὑμῖν καὶ τῷ προσηλύτῳ καὶ τῷ αὐτόχθονι τῆς γῆς.

Αρ. 9,14 - Εάν ένας ξένος προσέλθη εις την χώραν σας και εκφράση την επιθυμίαν να εορτάση το Πασχα του Κυρίου, θα το εορτάση σύμφωνα με τον νόμον και την ερμηνείαν του νόμου, που ορίζουν, τον χρόνον και τον τρόπον του εορτασμού. Ενας νόμος θα ισχύη δι' όλους ως προς την εορτήν του Πασχα, και δια τον ξένον, που ήλθεν από άλλην χώραν, και δια τον εντόπιον.

Αρ. 9,15 - Καὶ τῇ ἡμέρᾳ, ᾗ ἐστάθη ἡ σκηνή, ἐκάλυψεν ἡ νεφέλη τὴν σκηνήν, τὸν οἶκον τοῦ μαρτυρίου· καὶ τὸ ἑσπέρας ἦν ἐπὶ τῆς σκηνῆς ὡς εἶδος πυρὸς ἕως πρωΐ.

Αρ. 9,15 - Την ημέραν κατά την οποίαν εστήθη η Σκηνή, εσκέπασεν η νεφέλη την Σκηνήν, τον οίκον αυτόν του Μαρτυρίου. Η νεφέλη από την εσπέραν καθ' όλην την νύκτα και έως το πρωϊ η το επάνω εις την Σκηνήν ωσάν είδος πυρός.

Αρ. 9,16 - οὕτως ἐγίνετο διαπαντός· ἡ νεφέλη ἐκάλυπτεν αὐτὴν ἡμέρας καὶ εἶδος πυρὸς τὴν νύκτα.

Αρ. 9,16 - Ετσι εγίνετο πάντοτε· νεφέλη εκάλυπτε την Σκηνήν κατά το διάστημα της ημέρας και είδος τι πυρός κατά τα διάστημα της νύκτας.

Αρ. 9,17 - καὶ ἡνίκα ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς, καὶ μετὰ ταῦτα ἀπῇραν οἱ υἱοὶ Ἰσραήλ· καὶ ἐν τῷ τόπῳ, οὗ ἂν ἔστη ἡ νεφέλη, ἐκεῖ παρενέβαλον οἱ υἱοὶ Ἰσραήλ.

Αρ. 9,17 - Οταν δε ανυψώνετο και απεσύρετο η νεφέλη από την Σκηνήν, οι Ισραηλίται ανεχώρουν και εστρατοπέδευαν στον τόπον, στον οποίον θα εσταματούσεν η νεφέλη.

Αρ. 9,18 - διὰ προστάγματος Κυρίου παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραὴλ καὶ διὰ προστάγματος Κυρίου ἀπαροῦσι· πάσας τὰς ἡμέρας, ἐν αἷς σκιάζει ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς, παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ·

Αρ. 9,18 - Δια της προσταγής αυτής του Κυρίου, της στάσεως δηλαδή και της αναχωρήσεως της νεφέλης, έπρεπε οι Ισραηλίται να στρατοπεδεύουν και να αναχωρούν. Ολας τας ημέρας κατά τας οποίας η νεφέλη θα ευρίσκεται επάνω από την Σκηνήν ρίπτουσα την σκιάν της εις αυτήν, θα στρατοπεδεύουν εκεί οι Ισραηλίται.

Αρ. 9,19 - καὶ ὅταν ἐφέλκηται ἡ νεφέλη ἐπὶ τῆς σκηνῆς ἡμέρας πλείους, καὶ φυλάξονται οἱ υἱοὶ Ἰσραὴλ τὴν φυλακὴν τοῦ Θεοῦ καὶ οὐ μὴ ἐξάρωσι.

Αρ. 9,19 - Οταν δηλαδή η νεφέλη παραμένη πολλάς ημέρας επάνω από την Σκηνήν, οι Ισραηλίται δεν θα αναχωρήσουν, αλλά θα τηρήσουν την εντολήν του Θεού και θα παραμείνουν εκεί στρατοπεδευμένοι.

Αρ. 9,20 - καὶ ἔσται ὅταν σκεπάζῃ ἡ νεφέλη ἡμέρας ἀριθμῷ ἐπὶ τῆς σκηνῆς, διὰ φωνῆς Κυρίου παρεμβαλοῦσι, καὶ διὰ προστάγματος Κυρίου ἀπαροῦσι·

Αρ. 9,20 - Το αυτό θα γίνεται και όταν επί ολίγας ημέρας σκεπάζη η νεφέλη την Σκηνήν. Οι Ισραηλίται πάντοτε θα στρατοπεδεύουν κατόπιν εντολής του Κυρίου, που δίδεται με το σημείον της νεφέλης, και κατόπιν εντολής Κυρίου πάλιν θα αναχωρούν.

Αρ. 9,21 - καὶ ἔσται ὅταν γένηται ἡ νεφέλη ἀφ᾿ ἑσπέρας ἕως πρωΐ καὶ ἀναβῇ ἡ νεφέλη τὸ πρωΐ, καὶ ἀπαροῦσιν ἡμέρας ἢ νυκτός·

Αρ. 9,21 - Οταν η νεφέλη σκεπάζη την Σκηνήν από το βράδυ έως το πρωϊ, το δε πρωί αποσυρθή, οι Ισραηλίται θα αναχωρήσουν κατά την ημέραν η κατά την νύκτα, σύμφωνα με την εντολήν, που θα σημάνη δι' αυτούς η νεφέλη.

Αρ. 9,22 - μηνὸς ἡμέρας πλεοναζούσης τῆς νεφέλης σκιαζούσης ἐπ᾿ αὐτῆς παρεμβαλοῦσιν οἱ υἱοὶ Ἰσραήλ, καὶ οὐ μὴ ἀπάρωσιν·

Αρ. 9,22 - Οταν η νεφέλη σκεπάζη και σκιάζη την Σκηνήν του Μαρτυρίου περισσότερον και από ένα μήνα, οι Ισραηλίται δεν θα βιασθούν δι' αναχώρησιν. Θα σταθμεύσουν καθ' όλον αυτό το διάστημα εκεί και δεν θα αναχωρήσουν.

Αρ. 9,23 - ὅτι διὰ προστάγματος Κυρίου ἀπαροῦσι, τὴν φυλακὴν Κυρίου ἐφυλάξαντο διὰ προστάγματος Κυρίου ἐν χειρὶ Μωυσῆ.

Αρ. 9,23 - Κατόπιν εντολής Κυρίου θα αναχωρούν”. Αυτήν την εντολήν του Κυρίου, την οποίαν έδωκεν ο Θεός δια του Μωυσέως, την ετήρησαν οι Ισραηλίται.

ΑΡΙΘΜΟΙ 10

Αρ. 10,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 10,1 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 10,2 - ποίησον σεαυτῷ δύο σάλπιγγας ἀργυρᾶς, ἐλατὰς ποιήσεις αὐτάς, καὶ ἔσονταί σοι ἀνακαλεῖν τὴν συναγωγὴν καὶ ἐξαίρειν τὰς παρεμβολάς.

Αρ. 10,2 - “να κατασκευάσης δύο αργυράς σάλπιγγας· με σφυρηλασίαν θα κατεργασθής αυτάς. Θα χρησιμοποιής αυτάς δια την συγκέντρωσιν των Ισραηλιτών και την κατά τάξιν εκκίνησιν των τμημάτων του στρατοπέδου.

Αρ. 10,3 - καὶ σαλπιεῖς ἐν αὐταῖς καὶ συναχθήσεται πᾶσα ἡ συναγωγὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου·

Αρ. 10,3 - Οταν θα σαλπισης και με τας δύο, θα συγκεντρωθή όλον το πλήθος εμπρός εις την Σκηνήν του Μαρτυρίου.

Αρ. 10,4 - ἐὰν δὲ ἐν μιᾷ σαλπίσωσι, προσελεύσονται πρὸς σὲ πάντες οἱ ἄρχοντες ἀρχηγοὶ Ἰσραήλ.

Αρ. 10,4 - Εάν σαλπίσουν με την μίαν σάλπιγγα, θα έλθουν και θα παρουσιασθούν ενώπιόν σου όλοι οι άρχοντες των Ισραηλιτών.

Αρ. 10,5 - καὶ σαλπιεῖτε σημασίαν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι ἀνατολάς·

Αρ. 10,5 - Εάν σαλπίσετε ένα ωρισμένον σάλπισμα, τότε θα ξεκινήσουν εις πορείαν τα τμήματα εκείνα, τα οποία είναι στρατοπεδευμένα προς ανατολάς.

Αρ. 10,6 - καὶ σαλπιεῖτε σημασίαν δευτέραν, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι λίβα· καὶ σαλπιεῖτε σημασίαν τρίτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι παρὰ θάλασσαν· καὶ σαλπιεῖτε σημασίαν τετάρτην, καὶ ἐξαροῦσιν αἱ παρεμβολαὶ αἱ παρεμβάλλουσαι πρὸς βοῤῥᾶν· σημασία σαλπιοῦσιν ἐν τῇ ἐξάρσει αὐτῶν.

Αρ. 10,6 - Θα σαλπίσετε με δεύτερον είδος σαλπίσματος και τα τμήματα τα στρατοπεδευμένα προς νότον θα αναχωρήσουν. Θα σαλπίσετε τρίτον είδος σαλπίσματος και θα αναχωρήσουν τα τμήματα, τα οποία είναι στοοθμευμένα προς δυσμάς. Θα σαλπίσετε τέταρτον είδος σαλπίσματος και θα αναχωρήσουν τα τμήματα τα ευρισκόμενα προς βορράν. Ειδικόν σάλπισμα θα σαλπίζουν δια την αναχώρησιν εκάστου τμήματος.

Αρ. 10,7 - καὶ ὅταν συναγάγητε τὴν συναγωγήν, σαλπιεῖτε καὶ οὐ σημασίᾳ

Αρ. 10,7 - Οταν όμως πρόκειται δια γενικήν συγκέντρωσιν των Ισραηλιτών, θα σαλπίζετε απλώς χωρίς κανένα ιδιαίτερον σάλπισμα.

Αρ. 10,8 - καὶ οἱ υἱοὶ Ἀαρὼν οἱ ἱερεῖς σαλπιοῦσι ταῖς σάλπιγξι, καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον εἰς τὰς γενεὰς ὑμῶν.

Αρ. 10,8 - Μονον οι υιοί του Ααρών θα σαλπίσουν με τας σάλπιγγας. Αυτό θα είναι κανών παντοτεινός δι' όλας τας γεγενάς σας.

Αρ. 10,9 - ἐὰν δὲ ἐξέλθητε εἰς πόλεμον ἐν τῇ γῇ ὑμῶν πρὸς τοὺς ὑπαντίους τοὺς ἀνθεστηκότας ὑμῖν, καὶ σημανεῖτε ταῖς σάλπιγξι καὶ ἀναμιμνήσεσθε ἔναντι Κυρίου καὶ διασωθήσεσθε ἀπὸ τῶν ἐχθρῶν ὑμῶν.

Αρ. 10,9 - Εάν δε εις την χώραν σας εξέλθετε εις πόλεμον εναντίον των εχθρών σας, οι οποίοι σας παρενοχλούν και σας πιέζουν, θα σαλπίσετε με τας σάλπιγγας. Θα σας ενθυμηθή ο Θεός, δια να σας δώση βοήθειαν και θα διασωθήτε από τους εχθρούς σας, τους οποίους και θα νικήσετε.

Αρ. 10,10 - καὶ ἐν ταῖς ἡμέραις τῆς εὐφροσύνης ὑμῶν καὶ ἐν ταῖς ἑορταῖς ὑμῶν καὶ ἐν ταῖς νουμηνίαις ὑμῶν σαλπιεῖτε ταῖς σάλπιγξιν ἐπὶ τοῖς ὁλοκαυτώμασι καὶ ἐπὶ ταῖς θυσίαις τῶν σωτηρίων ὑμῶν, καὶ ἔσται ὑμῖν ἀνάμνησις ἔναντι τοῦ Θεοῦ ὑμῶν· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Αρ. 10,10 - Κατά τας ημέρας της ευφροσύνης σας, κατά τας εορτάς σας και την εορτήν της πρώτης εκάστου μηνός, θα σαλπίζετε, με τας σάλπιγγας αυτάς, όταν θα προσφέρετε τα ολοκαυτώματα και τας θυσίας του σωτηρίου, και εγώ ο Θεός θα σας ενθυμούμαι. Εγώ είμαι ο Κυριος ο Θεός σας”.

Αρ. 10,11 - Καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ δευτέρῳ ἐν τῷ μηνὶ τῷ δευτέρῳ εἰκάδι τοῦ μηνὸς ἀνέβη ἡ νεφέλη ἀπὸ τῆς σκηνῆς τοῦ μαρτυρίου,

Αρ. 10,11 - Κατά την εικοστήν του δευτέρου μηνός του δευτέρου έτους από της εξόδου των Ισραηλιτών εκ της Αιγύπτου ανέβη η νεφέλη από την Σκηνήν του Μαρτυρίου,

Αρ. 10,12 - καὶ ἐξῆραν οἱ υἱοὶ Ἰσραὴλ σὺν ἀπαρτίαις αὐτῶν ἐν τῇ ἐρήμῳ Σινά, καὶ ἔστη ἡ νεφέλη ἐν τῇ ἐρήμῳ τοῦ Φαράν.

Αρ. 10,12 - και οι Ισραηλίται ανεχώρησαν με όλας τας αποσκευάς των από την έρημον Σινά. Η νεφέλη εσταμάτησεν εις την έρημον Φαράν.

Αρ. 10,13 - καὶ ἐξῆραν πρῶτοι διὰ φωνῆς Κυρίου ἐν χειρὶ Μωυσῆ.

Αρ. 10,13 - Εξεκίνησαν από την έρημον Σινά πρώτην φοράν εις πορείαν οι Ισραηλίται, κατόπιν εντολής του Κυρίου, η οποία τους εδόθη δια του Μωϋσέως.

Αρ. 10,14 - καὶ ἐξῆραν τάγμα παρεμβολῆς υἱῶν Ἰούδα πρῶτοι σὺν δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ναασσὼν υἱὸς Ἀμιναδάβ,

Αρ. 10,14 - Πρώτον εξεκίνησε το τμήμα της φυλής του Ιούδα με όλην την πολεμικήν του δύναμιν. Επί της πολεμικής αυτής δυνάμεως αρχηγός ήτο ο Ναασών, υιός του Αμιναδάβ.

Αρ. 10,15 - καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Ἰσσάχαρ Ναθαναὴλ υἱὸς Σωγάρ,

Αρ. 10,15 - Επί της πολεμικής δυνάμεως της φυλής Ισσάχαρ ήτο ο Ναθαναήλ, υιός του Σωγάρ.

Αρ. 10,16 - καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Ζαβουλὼν Ἐλιὰβ υἱὸς Χαιλών.

Αρ. 10,16 - Της πολεμικής δυνάμεως της φυλής Ζαβουλών αρχηγός ήτο ο Ελιάβ, υιός του Χαιλών.

Αρ. 10,17 - καὶ καθελοῦσι τὴν σκηνὴν καὶ ἐξαροῦσιν οἱ υἱοὶ Γεδσὼν καὶ οἱ υἱοὶ Μεραρί, οἱ αἴροντες τὴν σκηνήν.

Αρ. 10,17 - Επειτα από αυτούς οι υιοί του Γεδσών και οι υιοί του Μεραρί λύσαντες την Σκηνήν του Μαρτυρίου ανεχώρησαν μεταφέροντες αυτήν.

Αρ. 10,18 - καὶ ἐξῇραν τάγμα παρεμβολῆς Ρουβὴν σὺν δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ἐλισοὺρ υἱὸς Σεδιούρ,

Αρ. 10,18 - Επειτα από αυτούς εξεκίνησε το τμήμα της στρατοπεδεύσεως της φυλής Ρουβήν με την στρατιωτικήν του δύναμιν. Της στρατιωτικής αυτής δυνάμεως αρχηγός ήτο ο Ελισούρ, υιός του Σεδιούρ.

Αρ. 10,19 - καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς Συμεών, Σαλαμιὴλ υἱὸς Σουρισαδαί,

Αρ. 10,19 - Επί της στρατιωτικής δυνάμεως της φυλής του Συμεών αρχηγός ήτο ο Σαλαμιήλ, υιός του Σουρισαδαΐ,

Αρ. 10,20 - καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Γὰδ Ἐλισὰφ ὁ τοῦ Ῥαγουήλ.

Αρ. 10,20 - Επί της στρατιωτικής δυνάμεως της φυλής του Γαδ αρχηγός ήτο ο Ελισάφ, υιός του Ραγουήλ.

Αρ. 10,21 - καὶ ἐξαροῦσιν υἱοὶ Καὰθ αἴροντες τὰ ἅγια καὶ στήσουσι τὴν σκηνήν, ἕως παραγένωνται.

Αρ. 10,21 - Επειτα από αυτούς εξεκίνησαν οι υιοί του Καάθ μεταφέροντες τα άγια σκεύη και λοιπά αντικείμενα της Σκηνής, έως ότου φθάσουν όπου η νεφέλη σταματήση, δια να στήσουν εκεί την Σκηνήν.

Αρ. 10,22 - καὶ ἐξαροῦσι τάγμα παρεμβολῆς Ἐφραΐμ σὺν δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ἐλισαμὰ υἱὸς Σεμιούδ,

Αρ. 10,22 - Κατόπιν από τους υιούς του Καάθ θα αναχωρήση εκ της στρατοπεδεύσεως το τμήμα της φυλής Εφραίμ με την στρατιωτικήν αυτού δύναμιν. Της στρατιωτικής αυτής δυνάμεως αρχηγός ήτο ο Ελισαμά, υιός του Σεμιούδ.

Αρ. 10,23 - καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Μανασσῆ Γαμαλιὴλ ὁ τοῦ Φαδασσούρ,

Αρ. 10,23 - Επί της στρατιωτικής δυνάμεως της φυλής του Μανασσή αρχηγός ήτο ο Γαμαλιήλ, υιός του Φαδασσούρ.

Αρ. 10,24 - καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Βενιαμὶν Ἀβιδὰν ὁ τοῦ Γαδεωνί.

Αρ. 10,24 - Επί της στρατιωτικής δυνάμεως της φυλής Βενιαμίν ήτο ο Αβιδάν, υιός του Γαδεωνί.

Αρ. 10,25 - καὶ ἐξαροῦσι τάγμα παρεμβολῆς υἱῶν Δάν, ἔσχατοι πασῶν τῶν παρεμβολῶν, σὺν δυνάμει αὐτῶν· καὶ ἐπὶ τῆς δυνάμεως αὐτῶν Ἀχιέζερ ὁ τοῦ Ἀμισαδαΐ,

Αρ. 10,25 - Το δε στρατοπεδευμένον τμήμα της φυλής του Δαν θα αναχωρήση τελευταίον από τα άλλα τμήματα με την στρατιωτικήν του δύναμιν. Της στρατιωτικής δυνάμεως τούτων αρχηγός ήτο ο Αχιέζερ, υιός του Αμισαδαΐ.

Αρ. 10,26 - καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Ἀσὴρ Φαγεὴλ υἱὸς Ἐχράν,

Αρ. 10,26 - Επί της στρατιωτικής δυνάμεως της φυλής του Ασήρ αρχηγός ήτο ο Φαγεήλ, υιός του Εχράν.

Αρ. 10,27 - καὶ ἐπὶ τῆς δυνάμεως φυλῆς υἱῶν Νεφθαλὶ Ἀχιρὲ υἱὸς Αἰνάν.

Αρ. 10,27 - Επί της στρατιωτικής δυνάμεως της φυλής Νεφθαλίμ ήτο ο Αχιρέ, υιός του Αινάν.

Αρ. 10,28 - αὗται αἱ στρατιαὶ υἱῶν Ἰσραήλ, καὶ ἐξῇραν σὺν δυνάμει αὐτῶν.

Αρ. 10,28 - Αυτά ήσαν τα στρατοπεδευμένα τιμήματα των Ισραηλιτών και κατ' αυτήν την σειράν εξεκίνησαν με όλας τας στρατιωτικάς των δυνάμεις.

Αρ. 10,29 - Καὶ εἶπε Μωυσῆς τῷ Ὀβὰβ υἱῷ Ῥαγουὴλ τῷ Μαδιανίτῃ τῷ γαμβρῷ Μωυσῆ· ἐξαίρομεν ἡμεῖς εἰς τὸν τόπον ὃν εἶπε Κύριος, τοῦτον δώσω ὑμῖν· δεῦρο μεθ᾿ ἡμῶν, καὶ εὖ σε ποιήσομεν, ὅτι Κύριος ἐλάλησε καλὰ περὶ Ἰσραήλ.

Αρ. 10,29 - Ο Μωϋσής είπεν στον Οβάβ, τον υιόν του πενθερού του Ραγουήλ του Μαδιανίτου· “ημείς αναχωρούμεν τώρα, δια να μεταβώμεν στον τόπον, τον οποίον υπεσχέθη ο Κυριος ότι θα μας δώση. Ελα και συ μαζή μας, και ημείς θα σε περιποιηθώμεν, θα σου προσφέρωμεν πολλά αγαθά· διότι ο Κυριος πολλά αγαθά και ευχάριστα πράγματα υπεσχέθη δια τους Ισραηλίτας”.

Αρ. 10,30 - καὶ εἶπε πρὸς αὐτόν· οὐ πορεύσομαι, ἀλλὰ εἰς τὴν γῆν μου καὶ εἰς τὴν γενεάν μου.

Αρ. 10,30 - Ο Οβάβ απήντησε προς αυτόν· “δεν θα έλθω μαζή σας, αλλά θα επιστρέψω εις την πατρίδα μου και στους συγγενείς μου”.

Αρ. 10,31 - καὶ εἶπε· μὴ ἐγκαταλίπῃς ἡμᾶς, οὗ ἕνεκεν ἦσθα μεθ᾿ ἡμῶν ἐν τῇ ἐρήμῳ, καὶ ἔσῃ ἐν ἡμῖν πρεσβύτης·

Αρ. 10,31 - Ο Μωϋσής είπε και πάλιν προς αυτόν· "μη μας εγκαταλίπης. Αφού μαζή μας έμεινες εις την έρημον, μαζή μας θα είσαι και ωσάν μεγαλύτερος και ωσάν οδηγός προς την Χαναάν.

Αρ. 10,32 - καὶ ἔσται ἐὰν πορευθῇς μεθ᾿ ἡμῶν, καὶ ἔσται τὰ ἀγαθὰ ἐκεῖνα, ὅσα ἂν ἀγαθοποιήσῃ Κύριος ἡμᾶς, καὶ εὖ σε ποιήσομεν.

Αρ. 10,32 - Εάν λοιπόν έλθης μαζή μας, τα αγαθά εκείνα, τα οποία ο Κυριος εν τη καλωσύνη του θα μας δώση, θα είναι και δικά σου. Ημείς θα σε περιποιηθώμεν και θα σε ευεργετήσωμεν".

Αρ. 10,33 - Καὶ ἐξῇραν ἐκ τοῦ ὄρους Κυρίου ὁδὸν τριῶν ἡμερῶν, καὶ ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου προεπορεύετο προτέρα αὐτῶν ὁδὸν τριῶν ἡμερῶν κατασκέψασθαι αὐτοῖς ἀνάπαυσιν.

Αρ. 10,33 - Οι Ισραηλίται ανεχώρησαν από το όρος του Κυρίου, το Σινά, και έκαμαν πορείαν τριών ημερών. Η κιβωτός της Διαθήκης του Κυρίου επήγαινε εμπρός από αυτούς κατά τας τρεις αυτάς ημέρας, δια να ορίση δι' αυτής ο Θεός τον τόπον της νέας σταθμεύσεως και αναπαύσεώς των.

Αρ. 10,34 - καὶ ἐγένετο ἐν τῷ ἐξαίρειν τὴν κιβωτὸν καὶ εἶπε Μωυσῆς· ἐξεγέρθητι, Κύριε, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροί σου, φυγέτωσαν πάντες οἱ μισοῦντές σε.

Αρ. 10,34 - Οταν η κιβωτός επρόκειτο να ζεκινήση, προσηυχήθη ο Μωϋσής προς τον Θεόν και είπε· "σήκω, Κυριε, και έλα μαζή μας και ας διασκορπισθούν από εμπρός μας οι εχθροί σου, ας τραπούν εις φυγήν όλοι όσοι σε μισούν".

Αρ. 10,35 - καὶ ἐν τῇ καταπαύσει εἶπεν· ἐπίστρεφε, Κύριε, χιλιάδας μυριάδας ἐν τῷ Ἰσραήλ.

Αρ. 10,35 - Και όταν η κιβωτός εσταματούσεν ο Μωϋσής προσηύχετο πάλιν και έλεγε· "έλα, Κυριε, εν μέσω ημών των Ισραηλιτών, δια να είσαι υπερασπιστής μας περισσότερον από χιλιάδας και μυριάδας".

Αρ. 10,36 - καὶ ἡ νεφέλη ἐγένετο σκιάζουσα ἐπ᾿ αὐτοῖς ἡμέρας ἐν τῷ ἐξαίρειν αὐτοὺς ἐκ τῆς παρεμβολῆς.

Αρ. 10,36 - Οταν οι Ισραηλίται εξεκινούσαν κατ' εντολήν του Θεού από την κατασκήνωσίν των, η νεφέλη έρριπτεν εις αυτούς την σκιάν της κατά το διάστημα της ημέρας.

## ΑΡΙΘΜΟΙ 11

Αρ. 11,1 - Καὶ ἦν ὁ λαὸς γογγύζων πονηρὰ ἔναντι Κυρίου, καὶ ἤκουσε Κύριος καὶ ἐθυμώθη ὀργῇ, καὶ ἐξεκαύθη ἐν αὐτοῖς πῦρ παρὰ Κυρίου καὶ κατέφαγε μέρος τι τῆς παρεμβολῆς.

Αρ. 11,1 - Μετά πορείαν τριών ημερών έφθασαν οι Ισραηλίται εις έρημον περιοχήν. Εκεί ο λαός εγόγγυζε και εξεφράζετο με ασέβειαν εναντίον του

Κυρίου. Ηκουσεν ο Κυριος αυτά, ωργίσθη και ηγανάκτησεν εναντίον αυτών. Φωτιά εκ μέρους του Κυρίου ήναψε μεταξύ των Ισραηλιτών και κατέφαγεν ένα μέρος από το στρατόπεδον των Ισραηλιτών.

Αρ. 11,2 - καὶ ἐκέκραξεν ὁ λαὸς πρὸς Μωυσῆν, καὶ ηὔξατο Μωυσῆς πρὸς Κύριον, καὶ ἐκόπασε τὸ πῦρ.

Αρ. 11,2 - Εκραύγασε τότε ο λαός προς τον Μωϋσήν ζητών την επέμβασίν του προς τον Θεόν, ο δε Μωϋσής προσηυχήθη προς τον Κυριον και εσταμάτησε το πυρ.

Αρ. 11,3 - καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἐμπυρισμός, ὅτι ἐξεκαύθη ἐν αὐτοῖς παρὰ Κυρίου.

Αρ. 11,3 - "Εμπυρισμός" ωνομάσθη ο τόπος εκείνος, διότι εκεί ήναψε φωτιά εκ μέρους του Κυρίου εναντίον των Ισραηλιτών.

Αρ. 11,4 - Καὶ ὁ ἐπίμικτος ὁ ἐν αὐτοῖς ἐπεθύμησεν ἐπιθυμίαν, καὶ καθίσαντες ἔκλαιον καὶ οἱ υἱοὶ Ἰσραὴλ καὶ εἶπαν· τίς ἡμᾶς ψωμιεῖ κρέα;

Αρ. 11,4 - Πολλοί Αιγύπτιοι αναμιχθέντες με τους Ισραηλίτας εις την έρημον και ακολουθήσαντες αυτούς εκυριεύθησαν από πολλάς υλικάς επιθυμίας. Εκάθισαν λοιπόν αυτοί, μαζή δε με αυτούς και οι Ισραηλίται, και έκλαιον και έλεγον· "ποιός θα μας δώση κρέας να φάγωμεν;

Αρ. 11,5 - ἐμνήσθημεν τοὺς ἰχθύας, οὓς ἠσθίομεν ἐν Αἰγύπτῳ δωρεάν, καὶ τοὺς σικύους καὶ τοὺς πέπονας καὶ τὰ πράσα καὶ τὰ κρόμμυα καὶ τὰ σκόρδα·

Αρ. 11,5 - Ενθαμούμεθα τα ψάρια, που ετρώγαμεν δωρεάν εις την Αίγυπτον, όπως επίσης τα αγγούρια, τα πεπόνια, τα πράσα, τα κρεμμύδια και τα σκόρδα.

Αρ. 11,6 - νυνὶ δὲ ἡ ψυχὴ ἡμῶν κατάξηρος, οὐδὲν πλὴν εἰς τὸ μάννα οἱ ὀφθαλμοὶ ἡμῶν·

Αρ. 11,6 - Τωρα δε η ψυχή μας είναι κατάξηρος, τίποτε άλλο δεν βλέπομεν εκτός από το μάννα".

Αρ. 11,7 - τὸ δὲ μάννα ὡσεὶ σπέρμα κορίου ἐστί, καὶ τὸ εἶδος αὐτοῦ εἶδος κρυστάλλου·

Αρ. 11,7 - Το δε μάννα ήτο ωσάν σπόροι κοριού, και η μορφή του σαν κρύσταλλον.

Αρ. 11,8 - καὶ διεπορεύετο ὁ λαὸς καὶ συνέλεγον καὶ ἤληθον αὐτὸ ἐν τῷ μύλῳ καὶ ἔτριβον ἐν τῇ θυΐᾳ καὶ ἥψουν αὐτὸ ἐν τῇ χύτρᾳ καὶ ἐποίουν αὐτὸ ἐγκρυφίας, καὶ ἦν ἡ ἡδονὴ αὐτοῦ ὡσεὶ γεῦμα ἐγκρὶς ἐξ ἐλαίου·

Αρ. 11,8 - Ο λαός επορεύετο γύρω από την κατασκήνωσιν, εμάζευαν αυτό, το άλεθαν στον χειρόμυλον, το έτριβαν εις ξύλινο γουδί, το έβραζαν εις την χύτραν και κατεσκεύαζαν έπειτα με αυτό πίττες. Η ευχάριστος γεύσίς του ήτο ωσάν γεύσις τηγανίτας με λάδι.

Αρ. 11,9 - καὶ ὅταν κατέβη ἡ δρόσος ἐπὶ τὴν παρεμβολὴν νυκτός, κατέβαινε τὸ μάννα ἐπ᾿ αὐτῆς.

Αρ. 11,9 - Οταν έπιπτε κατά το διάστημα της νυκτός η δροσιά στο στρατόπεδον, μαζή με αυτήν κατέβαινε και το μάννα.

Αρ. 11,10 - καὶ ἤκουσε Μωυσῆς κλαιόντων αὐτῶν κατὰ δήμους αὐτῶν, ἕκαστον ἐπὶ τῆς θύρας αὐτοῦ· καὶ ἐθυμώθη ὀργῇ Κύριος σφόδρα, καὶ ἔναντι Μωυσῆ ἦν πονηρόν.

Αρ. 11,10 - Ηκουσεν ο Μωϋσής τους Ισραηλίτας να κλαίουν κατά τους δήμους αυτών, ο καθένας εις την θύραν της σκηνής του. Ο Κυριος ηγανάκτησε και ωργίσθη πολύ εναντίον των. Αλλά και στον Μωϋσέα εφάνη πολύ κακός ο θρήνος αυτός των Ισραηλιτών.

Αρ. 11,11 - καὶ εἶπε Μωυσῆς πρὸς Κύριον· ἱνατί ἐκάκωσας τὸν θεράποντά σου, καὶ διατί οὐχ εὕρηκα χάριν ἐναντίον σου, ἐπιθεῖναι τὴν ὁρμὴν τοῦ λαοῦ τούτου ἐπ᾿ ἐμέ;

Αρ. 11,11 - Ο Μωϋσής είπε τότε προς τον Κυριον· “διατί εταλαιπώρησες και επίκρανες εμέ τον υπηρέτην σου και διατί δεν ευρήκα κάποιαν ευμένειαν ενώπιόν σου, ώστε να μου φορτώσης τον απερίσκεπτον και ορμητικόν αυτόν λαόν;

Αρ. 11,12 - μὴ ἐγὼ ἐν γαστρὶ ἔλαβον πάντα τὸν λαὸν τοῦτον, ἢ ἐγὼ ἔτεκον αὐτούς, ὅτι λέγεις μοι, λάβε αὐτὸν εἰς τὸν κόλπον σου, ὡσεὶ ἄραι τιθηνὸς τὸν θηλάζοντα, εἰς τὴν γῆν ἣν ὤμοσας τοῖς πατράσιν αὐτῶν;

Αρ. 11,12 - Μηπως εγώ συνέλαβα εις την κοιλίαν μου όλον αυτόν τον λαόν η εγώ τον εγέννησα, ώστε να μου λέγης, πάρε αυτόν τον λαόν εις την αγκάλην σου, όπως η τροφός παίρνει εις την αγκάλην της το θηλάζον νήπιον, και οδήγησέ τους εις την γην, την οποίαν ωρκίσθης στους πατέρας των;

Αρ. 11,13 - πόθεν μοι κρέα δοῦναι παντὶ τῷ λαῷ τούτῳ; ὅτι κλαίουσιν ἐπ᾿ ἐμοί, λέγοντες· δὸς ἡμῖν κρέα, ἵνα φάγωμεν.

Αρ. 11,13 - Που θα εύρω εγώ κρέατα να δώσω εις όλον αυτό το πλήθος; Διότι κλαίουν ολόγυρά μου και με στενοχωρούν λέγοντες· Δος μας κρέας να φάγωμεν !

Αρ. 11,14 - οὐ δυνήσομαι ἐγὼ μόνος φέρειν τὸν λαὸν τοῦτον, ὅτι βαρύτερόν μοί ἐστι τὸ ῥῆμα τοῦτο.

Αρ. 11,14 - Δεν ημπορώ εγώ μόνος μου να οδηγώ και να υποφέρω αυτόν τον λαόν, διότι, αυτό το έργον είναι πολύ βαρύτερον, από όσον δύναμαι και αντέχω.

Αρ. 11,15 - εἰ δ᾿ οὕτω σὺ ποιεῖς μοι, ἀπόκτεινόν με ἀναιρέσει, εἰ εὕρηκα ἔλεος παρὰ σοί, ἵνα μὴ ἴδω τὴν κάκωσίν μου.

Αρ. 11,15 - Εάν όμως συ επιμένης να καταθλίβομαι εις την κατάστασιν αυτήν, πάρε την ζωήν μου, εάν έχω εύρει κάποιο έλεος κοντά σου, δια να μη

βλέπω πλέον αυτήν την ταλαιπωρίαν μου από τον γογγύζοντα αυτόν λαόν”.

Αρ. 11,16 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· συνάγαγέ μοι ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων Ἰσραήλ, οὓς αὐτὸς σὺ οἶδας, ὅτι οὗτοί εἰσι πρεσβύτεροι τοῦ λαοῦ καὶ γραμματεῖς αὐτῶν. καὶ ἄξεις αὐτοὺς πρὸς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ στήσονται ἐκεῖ μετὰ σοῦ.

Αρ. 11,16 - Είπεν ο Κυριος προς τον Μωυσήν· “συγκέντρωσέ μου εβδομήκοντά άνδρας, από τους γεροντότερους Ισραηλίτας, τους οποίους συ γνωρίζεις ότι είναι οι γεροντότεροι του λαού, συγκέντρωσέ μου και τους γραμματείς των Ισραηλιτών. Θα τους φέρης εις την Σκηνήν του Μαρτυρίου και εκεί θα σταθούν όρθιοι μαζή με σέ.

Αρ. 11,17 - καὶ καταβήσομαι καὶ λαλήσω ἐκεῖ μετὰ σοῦ καὶ ἀφελῶ ἀπὸ τοῦ πνεύματος τοῦ ἐπὶ σοὶ καὶ ἐπιθήσω ἐπ᾿ αὐτούς, καὶ συναντιλήψονται μετὰ σοῦ τὴν ὁρμὴν τοῦ λαοῦ, καὶ οὐκ οἴσεις αὐτοὺς σὺ μόνος.

Αρ. 11,17 - Εγώ δε θα κατεβώ εκεί, θα ομιλήσω μαζή σου, θα πάρω από την χάριν και την ικανότητα που έχω δώσει εις σέ, και θα δώσω εις αυτούς. Ετσι δε αυτοί, προικισμένοι με ομοίας προς τας ιδικάς σου ικανότητας, θα σε βοηθήσουν στο έργον σου, ώστε να βαστάζης την απερίσκεπτον ορμήν του λαού τούτου και δεν θα τους οδηγής πλέον μόνος σου.

Αρ. 11,18 - καὶ τῷ λαῷ ἐρεῖς· ἁγνίσασθε εἰς αὔριον, καὶ φάγεσθε κρέα, ὅτι ἐκλαύσατε ἔναντι Κυρίου λέγοντες· τίς ἡμᾶς ψωμιεῖ κρέα; ὅτι καλὸν ἡμῖν ἐστιν ἐν Αἰγύπτῳ. καὶ δώσει Κύριος ὑμῖν φαγεῖν κρέα, καὶ φάγεσθε κρέα.

Αρ. 11,18 - Εις δε τον λαόν θα είπης· Αγνισθήτε δια την επομένην ημέραν, διότι εκλαύσατε ενώπιον του Κυρίου λέγοντες· Ποιός θα μας δώση κρέας να φάγωμεν; Καλύτερα είμεθα εις την Αίγυπτον. Λοιπόν ο Κυριος θα σας δώση να φάγετε κρέας, και θα φάγετε κρέας, που τόσον πολύ επιθυμήσατε.

Αρ. 11,19 - οὐχ ἡμέραν μίαν φάγεσθε, οὐδὲ δύο, οὐδὲ πέντε ἡμέρας, οὐδὲ δέκα ἡμέρας, οὐδὲ εἴκοσιν ἡμέρας.

Αρ. 11,19 - Και θα φάγετε όχι μόνον μίαν ημέραν, ούτε δύο, ούτε πέντε, ούτε δέκα, ούτε είκοσι ημέρας.

Αρ. 11,20 - ἕως μηνὸς ἡμερῶν φάγεσθε, ἕως ἂν ἐξέλθῃ ἐκ τῶν μυκτήρων ὑμῶν. καὶ ἔσται ὑμῖν εἰς χολέραν, ὅτι ἠπειθήσατε Κυρίῳ, ὅς ἐστιν ἐν ὑμῖν, καὶ ἐκλαύσατε ἐναντίον αὐτοῦ λέγοντες· ἱνατί ἡμῖν ἐξελθεῖν ἐξ Αἰγύπτου;

Αρ. 11,20 - Ολας τας ημέρας ενός μηνός ολοκλήρου θα τρώγετε κρέας, έως ότου εξέλθη από τις μύτες σας, και θα γίνη δια σας χολέρα η πολυφαγία, διότι εδείξατε παρακοήν στον Κυριον, που είναι πάντοτε μαζή σας βοηθός, και γογγύζοντες εκλαύσατε ενώπιόν του λέγοντες· Διατί εφύγαμεν από την Αίγυπτον;”

Αρ. 11,21 - καὶ εἶπε Μωυσῆς· ἑξακόσιαι χιλιάδες πεζῶν ὁ λαός, ἐν οἷς εἰμι ἐν αὐτοῖς. καὶ σὺ εἶπας, κρέα δώσω αὐτοῖς φαγεῖν, καὶ φάγονται μῆνα ἡμερῶν.

Αρ. 11,21 - Ο Μωϋσής είπε προς τον Θεόν· "εξακόσιαι χιλιάδες πολεμιστών ανδρών είναι αυτός ο λαός, εν μέσω του οποίου εγώ ευρίσκομαι. Και συ μου είπες να δώσω να φάγουν αυτοί κρέας επί ένα κατά συνέχειαν μήνα !

Αρ. 11,22 - μὴ πρόβατα καὶ βόες σφαγήσονται αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς; ἢ πᾶν τὸ ὄψος τῆς θαλάσσης συναχθήσεται αὐτοῖς, καὶ ἀρκέσει αὐτοῖς;

Αρ. 11,22 - Μηπως και αν σφαγούν όλα τα πρόβατα και όλα τα βόδια, είναι δυνατόν να επαρκέσουν δι' αυτούς; Η αν συγκεντρώσωμεν όλα τα ψάρια της θαλάσσης, θα αρκέσουν δι' αυτούς;"

Αρ. 11,23 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· μὴ χεὶρ Κυρίου οὐκ ἐξαρκέσει; ἤδη γνώσῃ εἰ ἐπικαταλήψεταί σε ὁ λόγος μου ἢ οὔ.

Αρ. 11,23 - Απήντησεν ο Κυριος προς τον Μωϋσήν· "μήπως η παντοδύναμος δεξιά του Κυρίου δεν είναι ικανή να πραγματοποιήση το έργον του χορτασμού του λαού αυτού; Τωρα θα ίδης και θα μάθης, εάν ο λόγος μου θα πραγματοποιηθή αμέσως ενώπιόν μου η όχι".

Αρ. 11,24 - καὶ ἐξῆλθε Μωυσῆς καὶ ἐλάλησε πρὸς τὸν λαὸν τὰ ῥήματα Κυρίου καὶ συνήγαγεν ἑβδομήκοντα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ ἔστησεν αὐτοὺς κύκλῳ τῆς σκηνῆς.

Αρ. 11,24 - Ο Μωϋσής εβγήκε και ανεκοίνωσε προς τον λαόν τα λόγια αυτά του Κυρίου, συνήθροισε τους εβδομήκοντα πρεσβυτέρους από τους γεροντοτέρους του λαού και έθεσεν αυτούς ορθίους κύκλω από την Σκηνήν.

Αρ. 11,25 - καὶ κατέβη Κύριος ἐν νεφέλῃ καὶ ἐλάλησε πρὸς αὐτόν· καὶ παρείλατο ἀπὸ τοῦ πνεύματος τοῦ ἐπ᾿ αὐτῷ καὶ ἐπέθηκεν ἐπὶ τοὺς ἑβδομήκοντα ἄνδρας τοὺς πρεσβυτέρους· ὡς δὲ ἐπανεπαύσατο πνεῦμα ἐπ᾿ αὐτούς, καὶ ἐπροφήτευσαν καὶ οὐκ ἔτι προσέθεντο.

Αρ. 11,25 - Κατέβηκεν ο Κυριος εις την νεφέλην και ωμίλησε προς αυτόν. Επήρε από το πνεύμα, που είχε δώσει στον Μωϋσήν, και έδωσεν αυτό στους εβδομήκοντα πρεσβυτέρους. Οταν δε το Πνεύμα επαναπαύθη εις αυτούς και τους εφώτισεν, εκείνοι φωτισμένοι πλέον ωμίλησαν τότε λόγια Θεού. Αλλην όμως φοράν δεν επανελήφθη αυτό.

Αρ. 11,26 - καὶ κατελείφθησαν δύο ἄνδρες ἐν τῇ παρεμβολῇ, ὄνομα τῷ ἑνὶ Ἑλδὰδ καὶ ὄνομα τῷ δευτέρῳ Μωδάδ, καὶ ἐπανεπαύσατο ἐπ᾿ αὐτοὺς πνεῦμα· καὶ οὗτοι ἦσαν τῶν καταγεγραμμένων καὶ οὐκ ἦλθον πρὸς τὴν σκηνήν· καὶ ἐπροφήτευσαν ἐν τῇ παρεμβολῇ.

Αρ. 11,26 - Από τους εβδομήκοντα πρεσβυτέρους έμειναν δύο άνδρες εις την κατασκήνωσιν, ο ένας εκ των οποίων ωνομάζετο Ελδάδ, ο δε δεύτερος

Μωδάδ. Το πνεύμα ήλθε και εις αυτούς. Ησαν και αυτοί γραμμένοι μεταξύ των εβδομήκοντα αλλά (δια λόγους ίσως ταπεινοφροσύνης) δεν ήλθον μαζή με τους άλλους εις την Σκηνήν του Μαρτυρίου· φωτισμένοι και αυτοί από τον Θεόν ωμίλησαν στο στρατόπεδον τα λόγια του Θεού.

Αρ. 11,27 - καὶ προσδραμὼν ὁ νεανίσκος ἀπήγγειλε Μωυσῇ καὶ εἶπε λέγων· Ἑλδὰδ καὶ Μωδὰδ προφητεύουσιν ἐν τῇ παρεμβολῇ.

Αρ. 11,27 - Ενας νεαρός ανήρ έτρεξε προς τον Μωϋσήν και είπεν· “ο Ελδάδ και ο Μωδάδ προφητεύουν εις την κατασκήνωσιν”.

Αρ. 11,28 - καὶ ἀποκριθεὶς Ἰησοῦς ὁ τοῦ Ναυὴ ὁ παρεστηκὼς Μωυσῇ, ὁ ἐκλεκτός, εἶπε· κύριε Μωυσῆ, κώλυσον αὐτούς.

Αρ. 11,28 - Ο Ιησούς του Ναυή ο εκλεκτός του Μωϋσέως, ο ευρισκόμενος πάντοτε πλησίον αυτού, είπε· “κύριε Μωϋσή, εμπόδισαν αυτούς να ομιλούν ως εκπρόσωποι του Θεού” !

Αρ. 11,29 - καὶ εἶπε Μωυσῆς αὐτῷ· μὴ ζηλοῖς ἐμέ; καὶ τίς δῴη πάντα τὸν λαὸν Κυρίου προφήτας, ὅταν δῷ Κύριος τὸ πνεῦμα αὐτοῦ ἐπ᾽ αὐτούς;

Αρ. 11,29 - Είπε προς αυτόν ο Μωϋσής· “διατί σε κατέλαβε ζηλοφθονία προς χάριν μου; Είθε όλον το πλήθος των Ισραηλιτών να αναδειχθούν προφήται του Θεού, όταν ο Κυριος δώση το Πνεύμα του εις αυτούς” !

Αρ. 11,30 - καὶ ἀπῆλθε Μωυσῆς εἰς τὴν παρεμβολὴν αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραήλ.

Αρ. 11,30 - Επειτα από αυτά επέστρεψεν ο Μωϋσής στο στρατόπεδον και μαζή με αυτόν οι βοηθοί του, οι πρεσβύτεροι του ισραηλιτικού λαού.

Αρ. 11,31 - καὶ πνεῦμα ἐξῆλθε παρὰ Κυρίου καὶ ἐξεπέρασεν ὀρτυγομήτραν ἀπὸ τῆς θαλάσσης καὶ ἐπέβαλεν ἐπὶ τὴν παρεμβολὴν ὁδὸν ἡμέρας ἐντεῦθεν καὶ ὁδὸν ἡμέρας ἐντεῦθεν, κύκλῳ τῆς παρεμβολῆς, ὡσεὶ δίπηχυ ἀπὸ τῆς γῆς.

Αρ. 11,31 - Ηγέρθη τότε παρά του Κυρίου άνεμος, ο οποίος έφερεν από το μέρος της θαλάσσης πλήθος ορτύκια και τα έρριψεν εις την περιοχήν της κατασκηνώσεως από εδώ και από εκεί κύκλω από την κατασκήνωσιν εις έκτασιν πορείας μιας ημέρας. Το στρώμα των ορτυκιών επάνω στο έδαφος έφθασε τους δύο πήχεις (ένα και πλέον μέτρον).

Αρ. 11,32 - καὶ ἀναστὰς ὁ λαὸς ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα καὶ ὅλην τὴν ἡμέραν τὴν ἐπαύριον καὶ συνήγαγον τὴν ὀρτυγομήτραν, ὁ τὸ ὀλίγον, συνήγαγε δέκα κόρους, καὶ ἔψυξαν ἑαυτοῖς ψυγμοὺς κύκλῳ τῆς παρεμβολῆς.

Αρ. 11,32 - Ο λαός εσηκώθηκε όλην την ημέραν εκείνην και όλην την νύκτα και όλην την επομένην ημέραν και εμάζευαν ορτύκια. Τοσον πολύ ήτο το πλήθος των ορτυκιών, ώστε και ο τα ολιγώτερα μαζεύσας έφθασε τους δέκα κόρους (υπέρ τα 2000 - κιλά). Εξήραναν αυτά κύκλω από την κατασκήνωσιν.

Αρ. 11,33 - τὰ κρέα ἔτι ἦν ἐν τοῖς ὀδοῦσιν αὐτῶν πρινὴ ἐκλείπειν, καὶ Κύριος ἐθυμώθη εἰς τὸν λαόν, καὶ ἐπάταξε Κύριος τὸν λαὸν πληγὴν μεγάλην σφόδρα.

Αρ. 11,33 - Τα κρέατα από τα ορτύκια ήσαν ακόμη εις τα δόντια των και δεν είχαν ακόμη σταματήσει να τρώγουν, όταν ο Κυριος εξωργίσθη εναντίον του λαού δια την λαιμαργίαν και εθανάτωσε πολλούς από αυτούς.

Αρ. 11,34 - καὶ ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Μνήματα τῆς ἐπιθυμίας, ὅτι ἐκεῖ ἔθαψαν τὸν λαὸν τὸν ἐπιθυμητήν.

Αρ. 11,34 - Εδόθη δε στον τόπον εκείνον το όνομα “Μνήματα της επιθυμίας”, διότι εκεί έθαψαν πολλούς από τον λαίμαργον αυτόν λαόν.

Αρ. 11,35 - Ἀπὸ Μνημάτων ἐπιθυμίας ἐξῇρεν ὁ λαὸς εἰς Ἀσηρώθ, καὶ ἐγένετο ὁ λαὸς ἐν Ἀσηρώθ.

Αρ. 11,35 - Από τα “Μνήματα της επιθυμίας” ανεχώρησεν ο λαός δια την Ασηρώθ, όπου και έφθασε.

## ΑΡΙΘΜΟΙ 12

Αρ. 12,1 - Καὶ ἐλάλησε Μαριὰμ καὶ Ἀαρὼν κατὰ Μωυσῆ, ἕνεκεν τῆς γυναικὸς τῆς Αἰθιοπίσσης ἣν ἔλαβε Μωυσῆς, ὅτι γυναῖκα Αἰθιόπισσαν ἔλαβε,

Αρ. 12,1 - Εις Ασηρώθ ωμίλησεν η Μαριάμ και ο Ααρών απρεπώς κατά του Μωϋσέως ένεκα της Αιθιοπίσσης συζύγου του, την οποίαν αυτός είχε λάβει ως σύζυγον, διότι πράγματι είχε λάβει γυναίκα Αιθιόπισσαν.

Αρ. 12,2 - καὶ εἶπαν· μὴ Μωυσῇ μόνῳ λελάληκε Κύριος; οὐχὶ καὶ ἡμῖν ἐλάλησε; καὶ ἤκουσε Κύριος.

Αρ. 12,2 - Και είπαν· “μήπως στον Μωϋσήν μόνον ωμίλησεν ο Θεός; Δεν ωμίλησε και εις ημάς;” Ηκουσεν ο Θεός αυτόν τον γογγυσμόν.

Αρ. 12,3 - καὶ ὁ ἄνθρωπος Μωυσῆς πραΰς σφόδρα παρὰ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας ἐπὶ τῆς γῆς.

Αρ. 12,3 - Ο Μωϋσής όμως ήτο άνθρωπος πολύ πράος, πραότερος από όλους τους ανθρώπους που ευρίσκοντο εις την γην, και δεν εθύμωσε δι' όσα έλεγον εναντίον του οι αδελφοί του.

Αρ. 12,4 - καὶ εἶπε Κύριος παραχρῆμα πρὸς Μωυσῆν καὶ Ἀαρὼν καὶ Μαριάμ· ἐξέλθετε ὑμεῖς οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου·

Αρ. 12,4 - Ο Κυριος όμως είπεν αμέσως προς τον Μωϋσήν, τον Ααρών και την Μαριάμ· “πηγαίνετε και οι τρεις σας εις την Σκηνήν του Μαρτυρίου”.

Αρ. 12,5 - καὶ ἐξῆλθον οἱ τρεῖς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου. καὶ κατέβη Κύριος ἐν στύλῳ νεφέλης καὶ ἔστη ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐκλήθησαν Ἀαρὼν καὶ Μαριὰμ καὶ ἐξήλθοσαν ἀμφότεροι.

Αρ. 12,5 - Εκείνοι μετέβησαν εις την Σκηνήν του Μαρτυρίου. Κατέβη ο Κυριος εις νεφέλην, που είχε την μορφήν στύλου, εστάθη εις την θύραν της Σκηνής του Μαρτυρίου και εκάλεσε τον Ααρών και την Μαριάμ, οι οποίοι και προσήλθον.

Αρ. 12,6 - καὶ εἶπε πρὸς αὐτούς· ἀκούσατε τῶν λόγων μου· ἐὰν γένηται προφήτης ὑμῶν Κυρίῳ, ἐν ὁράματι αὐτῷ γνωσθήσομαι καὶ ἐν ὕπνῳ λαλήσω αὐτῷ.

Αρ. 12,6 - Είπεν ο Κυριος προς αυτούς· "ακούσατε προσεκτικά τους λόγους μου· εάν κανείς από σας γίνη προφήτης Κυρίου, έγω ο Κυριος θα γίνω γνωστός και θα ομιλήσω προς αυτόν η εν οράματι η κατά τον ύπνον του.

Αρ. 12,7 - οὐχ οὕτως ὁ θεράπων μου Μωυσῆς· ἐν ὅλῳ τῷ οἴκῳ μου πιστός ἐστι·

Αρ. 12,7 - Δεν έγινεν όμως το ίδιον και δια τον υπηρέτην μου τον Μωϋσήν. Αυτός είναι ο έμπιστός μου δι' όλον τον ισραηλιτικόν λαόν μου.

Αρ. 12,8 - στόμα κατὰ στόμα λαλήσω αὐτῷ, ἐν εἴδει καὶ οὐ δι᾿ αἰνιγμάτων, καὶ τὴν δόξαν Κυρίου εἶδε· καὶ διατί οὐκ ἐφοβήθητε καταλαλῆσαι κατὰ τοῦ θεράποντός μου Μωυσῆ;

Αρ. 12,8 - Στόμα με στόμα ωμίλησα προς αυτόν, κατά πρόσωπον και όχι με παραβολάς και σύμβολα. Αυτός είδε την δόξαν Κυρίου. Σεις διατί δεν εφοβηθήκατε να καταλαλήσετε ένα τέτοιον υπηρέτην μου, όπως είναι ο Μωϋσής;"

Αρ. 12,9 - καὶ ὀργὴ θυμοῦ Κυρίου ἐπ᾿ αὐτοῖς, καὶ ἀπῆλθε.

Αρ. 12,9 - Ωργίσθη και ηγανάκτησεν εναντίον αυτών ο Κυριος, και πλήρης θυμού απήλθεν.

Αρ. 12,10 - καὶ ἡ νεφέλη ἀπέστη ἀπὸ τῆς σκηνῆς, καὶ ἰδοὺ Μαριὰμ λεπρῶσα ὡσεὶ χιών· καὶ ἐπέβλεψεν Ἀαρὼν ἐπὶ Μαριάμ, καὶ ἰδοὺ λεπρῶσα.

Αρ. 12,10 - Η νεφέλη απεμακρύνθη τότε από την Σκηνήν και ιδού η Μαριάμ εγέμισε λέπραν και έγινε λευκή ωσάν το χιόνι. Ερριψε το βλέμμα του ο Ααρών εις την Μαριάμ και την είδε γεμάτην λέπραν.

Αρ. 12,11 - καὶ εἶπεν Ἀαρὼν πρὸς Μωυσῆν· δέομαι, κύριε, μὴ συνεπιθῇ ἡμῖν ἁμαρτίαν, διότι ἠγνοήσαμεν καθ᾿ ὅτι ἡμάρτομεν·

Αρ. 12,11 - Εντρομος τότε είπε προς τον Μωυσήν· "κύριε, σε παρακαλώ να μη μας αποδώση ο Θεός κατά την αμαρτίαν, την οποίαν χωρίς επίγνωσιν του βάρους της διεπράξαμεν·

Αρ. 12,12 - μὴ γένηται ὡσεὶ ἴσον θανάτῳ, ὡσεὶ ἔκτρωμα ἐκπορευόμενον ἐκ μήτρας μητρὸς καὶ κατεσθίει τὸ ἥμισυ τῶν σαρκῶν αὐτῆς.

Αρ. 12,12 - ας μη καταντήση η Μαριάμ εξ αιτίας της λέπρας της ωσάν νεκρά, ωσάν ένα έκτρωμα, το οποίον εξέρχεται από την κοιλίαν της μητρός του παράκαιρα με φαγωμένον το ήμισυ από τας σάρκας του”.

Αρ. 12,13 - καὶ ἐβόησε Μωυσῆς πρὸς Κύριον λέγων· ὁ Θεὸς δέομαί σου, ἴασαι αὐτήν.

Αρ. 12,13 - Και ο ανεξίκακος Μωϋσής εβόησε προς τον Κυριον λέγων· “ω ! Θεέ μου ! Σε θερμοπαρακαλώ θεράπευσε αυτήν” !

Αρ. 12,14 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυσεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ ἡμέρας; ἀφορισθήτω ἑπτὰ ἡμέρας ἔξω τῆς παρεμβολῆς καὶ μετὰ ταῦτα εἰσελεύσεται.

Αρ. 12,14 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “εάν ο πατέρας της την έφτυνεν στο πρόσωπον, δεν θα εντρέπετο; Και επί επτά ημέρας δεν θα έμενεν απομονωμένη λόγω εντροπής; Προς τιμωρίαν της ας απαμακρυνθή έξω από την κατασκήνωσιν επτά ημέρας και μετά ταύτα θα επανέλθη”.

Αρ. 12,15 - καὶ ἀφωρίσθη Μαριὰμ ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· καὶ ὁ λαὸς οὐκ ἐξῆρεν, ἕως ἐκαθαρίσθη Μαριάμ.

Αρ. 12,15 - Και έχωρισθη η Μαριάμ και έμεινεν έξω από την κατασκήνωσιν επτά ημέρας. Ο δε λαός δεν ανεχώρησεν από την Ασηρώθ, έως ότου εκαθαρίσθη η Μαριάμ από την λέπραν.

## ΑΡΙΘΜΟΙ 13

Αρ. 13,1 - Καὶ μετὰ ταῦτα ἐξῆρεν ὁ λαὸς ἐξ Ἀσηρώθ, καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ τοῦ Φαράν.

Αρ. 13,1 - Μετά ταύτα ανεχώρησεν ο λαός από Ασηρώθ και κατεσκήνωσαν εις την έρημον του Φαράν.

Αρ. 13,2 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 13,2 - Εκεί μίλησε ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 13,3 - ἀπόστειλον σεαυτῷ ἄνδρας, καὶ κατασκεψάσθωσαν τὴν γῆν τῶν Χαναναίων, ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ εἰς κατάσχεσιν, ἄνδρα ἕνα κατὰ φυλήν, κατὰ δήμους πατριῶν αὐτῶν ἀποστελεῖς αὐτούς, πάντα ἀρχηγὸν ἐξ αὐτῶν.

Αρ. 13,3 - “διάλεξε και στείλε συ ο ίδιος άνδρας, δια να κατασκοπεύσουν την χώραν των Χαναναίων, την οποίαν εγώ θα δώσω ως ιδιοκτησίαν στους Ισραηλίτας. Θα εκλέξης ανά ένα άνδρα από κάθε φυλήν, άρχοντα κατά τας πατριαρχικάς των οικογενείας και θα στείλης αυτούς εις κατασκόπευσιν της Χαναάν”.

Αρ. 13,4 - καὶ ἐξαπέστειλεν αὐτοὺς Μωυσῆς ἐκ τῆς ἐρήμου Φαρὰν διὰ φωνῆς Κυρίου· πάντες ἄνδρες ἀρχηγοὶ υἱῶν Ἰσραὴλ οὗτοι.

Αρ. 13,4 - Ο Μωϋσής εξέλεξε και έστειλεν αυτούς από την έρημον Φαράν σύμφωνα με την εντολήν του Κυρίου. Ολοι αυτοί οι άνδρες ήσαν αρχηγοί των Ισραηλιτών.

Αρ. 13,5 - καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· τῆς φυλῆς Ῥουβὴν Σαμουὴλ υἱὸς Ζαχούρ·

Αρ. 13,5 - Αυτά δε είναι τα ονόματά των· Της φυλής Ρουβήν ο Σαιμουήλ, υιός του Ζαχούρ·

Αρ. 13,6 - τῆς φυλῆς Συμεὼν Σαφὰτ υἱὸς Σουρί·

Αρ. 13,6 - της φυλής Συμεών ο Σαφάτ, υιός του Σουρί·

Αρ. 13,7 - τῆς φυλῆς Ἰούδα Χάλεφ υἱὸς Ἰεφοννή·

Αρ. 13,7 - της φυλής Ιούδα ο Χαλεφ, υιός του Ιεφοννή·

Αρ. 13,8 - τῆς φυλῆς Ἰσσάχαρ Ἰλαὰλ υἱὸς Ἰωσήφ·

Αρ. 13,8 - της φυλής Ισσάχαρ ο Ιλαάλ, υιός του Ιωσήφ·

Αρ. 13,9 - τῆς φυλῆς Ἐφραὶμ Αὐσὴ υἱὸς Ναυή·

Αρ. 13,9 - της φυλής Εφραίμ ο Αυη, υιός του Ναυή·

Αρ. 13,10 - τῆς φυλῆς Βενιαμὶν Φαλτὶ υἱὸς Ῥαφοῦ·

Αρ. 13,10 - της φυλής Βενιαμίν ο Φαλτί, υιός του Ραφού·

Αρ. 13,11 - τῆς φυλῆς Ζαβουλὼν Γουδιὴλ υἱὸς Σουδί·

Αρ. 13,11 - της φυλής Ζαβουλών ο Γουδιήλ, υιός του Σουδί·

Αρ. 13,12 - τῆς φυλῆς Ἰωσὴφ τῶν υἱῶν Μανασσῆ, Γαδὶ υἱὸς Σουσί·

Αρ. 13,12 - της φυλής Ιωσήφ από τους απογόνους του Μανασσή ο Γαδί, υιός του Σουσί·

Αρ. 13,13 - τῆς φυλῆς Δὰν Ἀμιὴλ υἱὸς Γαμαλί·

Αρ. 13,13 - της φυλής Δαν ο Αμιήλ, υιός του Γαμαλί·

Αρ. 13,14 - τῆς φυλῆς Ἀσὴρ Σαθοὺρ υἱὸς Μιχαήλ·

Αρ. 13,14 - της φυλής Ασήρ ο Σαθούρ, υιός του Μιχαήλ·

Αρ. 13,15 - τῆς φυλῆς Νεφθαλὶ Ναβὶ υἱὸς Σαβί·

Αρ. 13,15 - της φυλής Νεφθαλίμ ο Ναβί, υιός του Σαβί·

Αρ. 13,16 - τῆς φυλῆς Γὰδ Γουδιὴλ υἱὸς Μακχί·

Αρ. 13,16 - της φυλής Γαδ ο Γουδιήλ, υιός του Μακχί·

Αρ. 13,17 - ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οὓς ἀπέστειλε Μωυσῆς κατασκέψασθαι τὴν γῆν. καὶ ἐπωνόμασε Μωυσῆς τὸν Αὐσὴ υἱὸν Ναυὴ Ἰησοῦν.

Αρ. 13,17 - Αυτά ήσαν τα ονόματα των ανδρών, τους οποίους απέστειλεν ο Μωϋσής να κατασκοπεύσουν την χώραν Χαναάν. Ο Μωϋσής επωνόμασεν Ιησούν τον Αυσή, τον υιόν του Ναυή.

Αρ. 13,18 - καὶ ἀπέστειλεν αὐτοὺς Μωυσῆς κατασκέψασθαι τὴν γῆν Χαναὰν καὶ εἶπε πρὸς αὐτούς· ἀνάβητε ταύτῃ τῇ ἐρήμῳ καὶ ἀναβήσεσθε

εἰς τὸ ὄρος,

Αρ. 13,18 - Αυτούς απέστειλεν ο Μωϋσής να κατασκοπεύσουν την Χαναάν και είπε προς αυτούς· “θα ανεβήτε αυτήν την έρημον και εν συνεχεία θα ανεβήτε στο όρος·

Αρ. 13,19 - καὶ ὄψεσθε τὴν γῆν, τίς ἐστι, καὶ τὸν λαὸν τὸν ἐγκαθήμενον ἐπ᾿ αὐτῆς, εἰ ἰσχυρός ἐστιν ἢ ἀσθενής, εἰ ὀλίγοι εἰσὶν ἢ πολλοί·

Αρ. 13,19 - και θα ίδετε την χώραν τι λογής είναι αυτή, τον λαόν ο οποίος κατοικεί εις αυτήν, εάν είναι ισχυρός η ασθενής, εάν είναι ολίγοι η πολλοί.

Αρ. 13,20 - καὶ τίς ἡ γῆ, εἰς ἣν οὗτοι ἐγκάθηνται ἐπ᾿ αὐτῆς, εἰ καλή ἐστιν ἢ πονηρά· καὶ τίνες αἱ πόλεις, ἃς οὗτοι κατοικοῦσιν ἐν αὐταῖς, εἰ ἐν τειχήρεσιν ἢ ἐν ἀτειχίστοις·

Αρ. 13,20 - Εξακριβώσατε οποία τις είναι η γη, εις την οποίαν αυτοί κατοικούν, εάν είναι ωραία και εύφορος η εάν είναι άγονος και ξηρά· ποίαι είναι αι πόλεις, εις τας οποίας αυτοί κατοικούν, εάν είναι περιτειχισμέναι η ατείχιστοι·

Αρ. 13,21 - καὶ τίς ἡ γῆ, εἰ πίων ἢ παρειμένη, εἰ ἔστιν ἐν αὐτῇ δένδρα ἢ οὔ· καὶ προσκαρτερήσαντες λήψεσθε ἀπὸ τῶν καρπῶν τῆς γῆς. καὶ αἱ ἡμέραι ἡμέραι ἔαρος, πρόδρομοι σταφυλῆς.

Αρ. 13,21 - ποία είναι η γη αυτή, εάν είναι πλούσια η παραμελημένη, εάν έχη δένδρα η όχι. Θα μείνετε επί ολίγον διάστημα εις την χώραν και θα πάρετε από τους ίκαρπούς αυτής”. Τοτε δε που απεστάλησαν ήσαν αι τελευταίαι ημέραι του έαρος και η αρχή του θέρους, όταν πλέον είχον ωριμάσει τα πρώϊμα σταφύλια.

Αρ. 13,22 - καὶ ἀναβάντες κατεσκέψαντο τὴν γῆν ἀπὸ τῆς ἐρήμου Σὶν ἕως Ῥοόβ, εἰσπορευομένων Αἰμάθ.

Αρ. 13,22 - Ανέβησαν οι δώδεκα αυτοί κατάσκοποι και κατεσκόπευσαν την χώραν από την έρημον Σιν έως την Ροόβ, που κείται επί της οδού, δια της οποίας εισέρχονται εις Αιμάθ.

Αρ. 13,23 - καὶ ἀνέβησαν κατὰ τὴν ἔρημον καὶ ἀπῆλθον ἕως Χεβρών, καὶ ἐκεῖ Ἀχιμὰν καὶ Σεσσὶ καὶ Θελαμί, γενεαὶ Ἐνάχ· καὶ Χεβρὼν ἑπτὰ ἔτεσιν ᾠκοδομήθη πρὸ τοῦ Τανὶν Αἰγύπτου.

Αρ. 13,23 - Εν συνεχεία επέστρεψαν εις την έρημον, έφθασαν έως την Χεβρών, οπού κατοικούσαν οι Αχιμάν, οι Σεσσί και οι Θελαμί, απόγονοι του Ενάχ. Η δε Χεβρών είχεν οικοδομηθή επτά έτη, πριν κτισθή η Τανίν της Αιγύπου.

Αρ. 13,24 - καὶ ἤλθοσαν ἕως Φάραγγος βότρυος, καὶ κατεσκέψαντο αὐτήν· καὶ ἔκοψαν ἐκεῖθεν κλῆμα καὶ βότρυν σταφυλῆς ἕνα ἐπ᾿ αὐτοῦ καὶ ᾖραν αὐτὸν ἐπ᾿ ἀναφορεῦσι καὶ ἀπὸ τῶν ῥοῶν, καὶ ἀπὸ τῶν συκῶν.

Αρ. 13,24 - Εφθασσε εις μίαν φάραγγα, η οποία ωνομάσθη “Φαραγξ βότρυος”, δια τα πολλά και εκλεκτά σταφύλια της, και την κατεσκόπευσαν.

Από έχει έκοψαν ένα κλήμα με μίαν σταφυλήν εις αυτό, εσήκωσαν αυτό με αναφορείς, έκοψαν πίσης και επήραν μαζή των ρόδια και σύκα.

Αρ. 13,25 - καὶ τὸν τόπον ἐκεῖνον ἐπωνόμασαν Φάραγξ βότρυος διὰ τὸν βότρυν, ὃν ἔκοψαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσραήλ.

Αρ. 13,25 - Τον τόπον δε αυτόν ωνόμοοσαν "Φαραγξ βότρυος" δια το σταφύλι, το οποίον έκοψαν από εκεί οι Ισραηλίται.

Αρ. 13,26 - Καὶ ἀπέστρεψαν ἐκεῖθεν κατασκεψάμενοι τὴν γῆν μετὰ τεσσαράκοντα ἡμέρας.

Αρ. 13,26 - Αφού κατεσκόπευσαν επί τεσσαράκοντα ημέρας την χώραν, επέστρεψαν στο στρατόπεδον των Ισραηλιτών.

Αρ. 13,27 - καὶ πορευθέντες ἦλθον πρὸς Μωυσῆν καὶ Ἀαρὼν καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ, εἰς τὴν ἔρημον Φαρὰν Κάδης καὶ ἀπεκρίθησαν αὐτοῖς ῥῆμα καὶ πάσῃ συναγωγῇ καὶ ἔδειξαν τὸν καρπὸν τῆς γῆς.

Αρ. 13,27 - Επορεύθησαν και ήλθαν προς τον Μωϋσήν, προς τον Ααρών και προς όλον τον λαόν των Ισραηλιτών εις την έρημον Φαράν στον τόπον Καδης, διηγήθησαν εις αυτούς και στον λαόν όσα είδον και έδειξαν τον καρπόν της χώρας.

Αρ. 13,28 - καὶ διηγήσαντο αὐτῷ καὶ εἶπαν· ἤλθαμεν εἰς τὴν γῆν, εἰς ἣν ἀπέστειλας ἡμᾶς, γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ οὗτος ὁ καρπὸς αὐτῆς·

Αρ. 13,28 - Διηγήθησαν δηλαδή στον Μωϋσήν και είπαν· "επήγαμε εις την χώραν, εις την οποίαν μας έστειλες να κατασκοπεύσωμεν, εις την χώραν την ρέουσαν γάλα και μέλι, και αυτός είναι ο καρπός της.

Αρ. 13,29 - ἀλλ᾽ ἢ ὅτι θρασὺ τὸ ἔθνος τὸ κατοικοῦν ἐπ᾽ αὐτῆς, καὶ αἱ πόλεις ὀχυραὶ τετειχισμέναι μεγάλαι σφόδρα, καὶ τὴν γενεὰν Ἐνὰχ ἑωράκαμεν ἐκεῖ,

Αρ. 13,29 - Αλλά ο λαός, που κατοικεί εις αυτήν, είναι ισχυρός, αι πόλεις είναι πολύ μεγάλαι, ωχυρωμέναι με τείχη ολόγυρά των. Εκεί είδομεν την γενεάν Ενάχ, τους γίγαντας.

Αρ. 13,30 - καὶ Ἀμαλὴκ κατοικεῖ ἐν τῇ γῇ τῇ πρὸς νότον, καὶ ὁ Χετταῖος καὶ ὁ Εὐαῖος καὶ ὁ Ἰεβουσαῖος καὶ ὁ Ἀμοῤῥαῖος κατοικεῖ ἐν τῇ ὀρεινῇ, καὶ ὁ Χαναναῖος κατοικεῖ παρὰ θάλασσαν καὶ παρὰ τὸν Ἰορδάνην ποταμόν.

Αρ. 13,30 - Ο Αμαλήκ επίσης κατοικεί εις την νότιον περιοχήν της χώρας, ο δε Χετταίος, ο Ευαίος, ο Ιεβουσαίος και ο Αμορραίος κατοικούν εις την ορεινήν περιοχήν, ο δε Χαναναίος κατοικεί την περιοχήν μεταξύ Μεσογείου Θαλάσσης και Ιορδάνου ποταμού". Ο λαός έμεινεν σιωπηλός και κατηφής.

Αρ. 13,31 - καὶ κατεσιώπησε Χάλεβ τὸν λαὸν πρὸς Μωυσῆν καὶ εἶπεν αὐτῷ· οὐχί, ἀλλὰ ἀναβάντες ἀναβησόμεθα καὶ κατακληρονομήσομεν αὐτήν, ὅτι δυνατοὶ δυνησόμεθα πρὸς αὐτούς.

Αρ. 13,31 - Ο Χαλεβ όμως καθησύχασε τον λαόν, ο οποίος είχεν αρχίσει να δασφορή κατά του Μωϋσέως, και είπε προς όλους· “Οχι ! Θα προχωρήσωμεν, θα κατακτήσωμεν και θα κληρονομήσωμεν την χώραν αυτήν, διότι είμεθα ισχυροί και θα υπερισχύσωμεν απέναντι των κατοίκων της” !

Αρ. 13,32 - καὶ οἱ ἄνθρωποι οἱ συναναβάντες μετ᾿ αὐτοῦ εἶπαν· οὐκ ἀναβαίνομεν, ὅτι οὐ μὴ δυνώμεθα ἀναβῆναι πρὸς τὸ ἔθνος, ὅτι ἰσχυρότερον ἡμῶν ἐστι μᾶλλον.

Αρ. 13,32 - Οι άλλοι όμως κατάσκοποι, οι οποίοι είχαν ανέβη μαζή με αυτόν, έλεγαν και ξαναέλεγαν· “όχι ! Δεν αναβαίνομεν προς την χώραν αυτήν, διότι δεν ημπορούμεν να αντιπαραταχθώμεν προς τον λαόν της, επειδή είναι πολύ ισχυρότερος από ημάς”.

Αρ. 13,33 - καὶ ἐξήνεγκαν ἔκστασιν τῆς γῆς, ἣν κατεσκέψαντο αὐτὴν πρὸς τοὺς υἱοὺς Ἰσραήλ, λέγοντες· τὴν γῆν, ἣν παρήλθομεν αὐτὴν κατασκέψασθαι, γῆ κατέσθουσα τοὺς κατοικοῦντας ἐπ᾿ αὐτῆς ἐστι· καὶ πᾶς ὁ λαός, ὃν ἑωράκαμεν ἐν αὐτῇ, ἄνδρες ὑπερμήκεις·

Αρ. 13,33 - Οι άνδρες αυτοί έδωσαν προς τους Ισραηλίτας πολύ αποθαρρυντικήν περιγραφήν δια την χώραν, που είχαν κατασκοπεύσει, λέγοντες· “η γη, την οποίαν επήγαμε να κατασκοπεύσωμεν, είναι γη που κατατρώγει τους κατοίκους της· ο δε λαός, τον οποίον εις αυτήν είδομεν, είναι άνδρες υπερμεγέθεις.

Αρ. 13,34 - καὶ ἐκεῖ ἑωράκαμεν τοὺς γίγαντας καὶ ἦμεν ἐνώπιον αὐτῶν ὡσεὶ ἀκρίδες, ἀλλὰ καὶ οὕτως ἦμεν ἐνώπιον αὐτῶν.

Αρ. 13,34 - Εκεί είδομεν τους γίγαντας, ενώπιον των οποίων ημείς εφαινόμεθα, όπως και πράγματι είμεθα, σαν ακρίδες.

## ΑΡΙΘΜΟΙ 14

Αρ. 14,1 - Καὶ ἀναλαβοῦσα πᾶσα ἡ συναγωγὴ ἐνέδωκε φωνήν, καὶ ἔκλαιεν ὁ λαὸς ὅλην τὴν νύκτα ἐκείνην.

Αρ. 14,1 - Εξ αιτίας των αποθαρρυντικών αυτών πληροφοριών συνεκλονίσθη και ηγέρθη όλος ο λαός του Ισραήλ, ύψωσαν την φωνήν και εθρηναλογούσαν ολόκληρον την νύκτα.

Αρ. 14,2 - καὶ διεγόγγυζον ἐπὶ Μωυσῆν καὶ Ἀαρὼν πάντες οἱ υἱοὶ Ἰσραήλ, καὶ εἶπαν πρὸς αὐτοὺς πᾶσα ἡ συναγωγή· ὄφελον ἀπεθάνομεν ἐν τῇ Αἰγύπτῳ, ἢ ἐν τῇ ἐρήμῳ ταύτῃ εἰ ἀπεθάνομεν.

Αρ. 14,2 - Ολοι εγόγγυζον εναντίον του Μωϋσέως και του Ααρών. Ολον αυτό το πλήθος είπαν προς αυτούς. “Είθε να είχομεν αποθάνει εις την Αίγυπτον παρά να αποθάνωμεν εις την έρημον αυτήν τώρα.

Αρ. 14,3 - καὶ ἱνατί Κύριος εἰσάγει ἡμᾶς εἰς τὴν γῆν ταύτην πεσεῖν ἐν πολέμῳ; αἱ γυναῖκες ἡμῶν καὶ τὰ παιδία ἔσονται εἰς διαρπαγήν· νῦν οὖν βέλτιον ἡμῖν ἐστιν ἀποστραφῆναι εἰς Αἴγυπτον.

Αρ. 14,3 - Διατί ο Κυριος μας εισάγει εις την χώραν αυτήν, ώστε ημείς μεν να φονευθώμεν στον πόλεμον, αι δε γυναίκες και τα παιδιά μας να πέσουν αιχμάλωτοι εις τα χέρια εκείνων; Το καλύτερον λοιπόν που έχομεν να κάμωμεν τώρα, είναι να επιστρέψωμεν εις την Αίγυπτον.

Αρ. 14,4 - καὶ εἶπαν ἕτερος τῷ ἑτέρῳ· δῶμεν ἀρχηγὸν καὶ ἀποστρέψωμεν εἰς Αἴγυπτον.

Αρ. 14,4 - Εν συνεχεία δε εξερεθισμένοι είπαν ο ένας προς τον άλλον· ας εκλέξωμεν αρχηγόν, δια να μας οδηγήση αυτός πλέον και να επιστρέψωμεν εις την Αίγυπτον.

Αρ. 14,5 - καὶ ἔπεσε Μωυσῆς καὶ Ἀαρὼν ἐπὶ πρόσωπον ἐναντίον πάσης συναγωγῆς υἱῶν Ἰσραήλ.

Αρ. 14,5 - Οταν ήκουσεν αυτά ο Μωϋσής και ο Ααρών έπεσαν κατά γης ενώπιον όλου του λαού των Ισραηλιτών παρακαλούντες αυτούς, να μη προχωρήσουν εις την ανταρσίαν αυτήν.

Αρ. 14,6 - Ἰησοῦς δὲ ὁ τοῦ Ναυὴ καὶ Χάλεβ ὁ τοῦ Ἰεφοννή, τῶν κατασκεψαμένων τὴν γῆν, διέῤῥηξαν τὰ ἱμάτια αὐτῶν

Αρ. 14,6 - Ο δε Ιησούς του Ναυή και ο Χαλεβ ο υιός του Ιεφονν, εξ εκείνων που κατεσκόπευσαν την χώραν, ακούσαντες αυτά έσχισαν τα ενδύματά των

Αρ. 14,7 - καὶ εἶπαν πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ λέγοντες· ἡ γῆ, ἣν κατεσκεψάμεθα αὐτήν, ἀγαθή ἐστι σφόδρα σφόδρα·

Αρ. 14,7 - και είπαν προς όλον το πλήθος των Ισραηλιτών· “η γη την οποίαν κατεσκοπεύσαμεν είναι πολύ πάρα πολύ ωραία και εύφορος.

Αρ. 14,8 - εἰ αἱρετίζει ἡμᾶς Κύριος, εἰσάξει ἡμᾶς εἰς τὴν γῆν ταύτην καὶ δώσει αὐτὴν ἡμῖν, γῆ ἥτις ἐστὶ ῥέουσα γάλα καὶ μέλι.

Αρ. 14,8 - Εφ' όσον δε ο Κυριος μας έχει εκλέξει ως λαόν του. Θα μας εισαγάγη ως κατακτητάς και κυρίους και θα δώση εις ημάς την γην αυτήν, η οποία ρέει γάλα και μέλι.

Αρ. 14,9 - ἀλλὰ ἀπὸ τοῦ Κυρίου μὴ ἀποστάται γίνεσθε· ὑμεῖς δὲ μὴ φοβηθῆτε τὸν λαὸν τῆς γῆς, ὅτι κατάβρωμα ἡμῖν ἐστιν· ἀφέστηκε γὰρ ὁ καιρὸς ἀπ᾿ αὐτῶν, ὁ δὲ Κύριος ἐν ἡμῖν· μὴ φοβηθῆτε αὐτούς.

Αρ. 14,9 - Λοιπόν μη επαναστατήτε εναντίον του Κυρίου και μη φοφηθήτε τον λαόν της χώρας αυτής, διότι θα τον κατακτήσωμεν και θα τον καταφάγωμεν ωσάν ένα κομμάτι ψωμιού. Εχει πλέον λήξει ο καιρός της προστασίας των ανθρώπων αυτών υπό του Θεού. Ο Κυριος είναι μαζή μας. Μη φοβηθήτε αυτούς” !

Αρ. 14,10 - καὶ εἶπε πᾶσα ἡ συναγωγὴ καταλιθοβολῆσαι αὐτοὺς ἐν λίθοις. καὶ ἡ δόξα Κυρίου ὤφθη ἐν τῇ νεφέλῃ ἐπὶ τῆς σκηνῆς τοῦ μαρτυρίου πᾶσι τοῖς υἱοῖς Ἰσραήλ.

Αρ. 14,10 - Ολον όμως το πλήθος των Ισραηλιτών, εξαγριωμένον και έξαλλον, ώρμησε να λιθοβολήση τον Ιησούν του Ναυή και τον Χαλεβ. Αλλά θεία λάμψις εφάνη εις την νεφέλην επάνω από την Σκηνήν του Μαρτυρίου, ενώπιον όλων των Ισραηλιτών και τους ανεχαίτισεν από το έγκλημα.

Αρ. 14,11 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἕως τίνος παροξύνει με ὁ λαὸς οὗτος καὶ ἕως τίνος οὐ πιστεύουσί μοι ἐπὶ πᾶσι τοῖς σημείοις, οἷς ἐποίησα ἐν αὐτοῖς;

Αρ. 14,11 - Είπε τότε ο Κυριος προς τον Μωϋσήν· "έως πότε θα με εξοργίζη αυτός ο λαός; Εως πότε δεν θα πιστεύουν εις όλα τα θαύματά μου, τα οποία έκαμα εις αυτούς;

Αρ. 14,12 - πατάξω αὐτοὺς θανάτῳ καὶ ἀπολῶ αὐτοὺς καὶ ποιήσω σὲ καὶ τὸν οἶκον τοῦ πατρός σου εἰς ἔθνος μέγα καὶ πολὺ μᾶλλον ἢ τοῦτο.

Αρ. 14,12 - Και λοιπόν θα τους κτυπήσω δια θανάτου, θα τους εξολοθρεύσω και θα αναδείξω σε και τον πατρικόν σου οίκον έθνός μέγα, πολύ ισχυρότερον από τον λαυν αυτόν".

Αρ. 14,13 - καὶ εἶπε Μωυσῆς πρὸς Κύριον· καὶ ἀκούσεται Αἴγυπτος, ὅτι ἀνήγαγες τῇ ἰσχύϊ σου τὸν λαὸν τοῦτον ἐξ αὐτῶν,

Αρ. 14,13 - Ο Μωϋσής είπε τότε προς τον Κυριον· "οι Αιγύπτιοι έχουν πλέον ακούσει και μάθει ότι συ με την ακατανίκητον δύναμίν σου έβγαλες ελεύθερον τον λαόν τούτον εκ μέσου αυτών.

Αρ. 14,14 - ἀλλὰ καὶ πάντες οἱ κατοικοῦντες ἐπὶ τῆς γῆς ταύτης ἀκηκόασιν, ὅτι σὺ εἶ Κύριος ἐν τῷ λαῷ τούτῳ, ὅστις ὀφθαλμοῖς κατ᾿ ὀφθαλμοὺς ὀπτάζῃ, Κύριε, καὶ ἡ νεφέλη σου ἐφέστηκεν ἐπ᾿ αὐτῶν, καὶ ἐν στύλῳ νεφέλης σὺ πορεύῃ πρότερος αὐτῶν τὴν ἡμέραν καὶ ἐν στύλῳ πυρὸς τὴν νύκτα.

Αρ. 14,14 - Αλλά και όλοι όσοι κατοικούν την χώραν αυτήν έχουν ακούσει δια τα θαύματά σου και έχουν πεισθή, ότι συ είσαι ο Κυριος και Θεός του λαού τούτου, του λαού ο οποίος σε βλέπει πρόσωπον προς πρόσωπον, και ότι η νεφέλη σου ευρίσκεται επάνω από αυτούς, συ δε προπορεύεσαι εις αυτούς ως οδηγός κατά μεν την ημέραν σαν στήλη νεφέλης κατά δε την νύκτα σαν στήλη πυρός.

Αρ. 14,15 - καὶ ἐκτρίψεις τὸν λαὸν τοῦτον ὡσεὶ ἄνθρωπον ἕνα, καὶ ἐροῦσι τὰ ἔθνη, ὅσοι ἀκηκόασι τὸ ὄνομά σου, λέγοντες·

Αρ. 14,15 - Εάν λοιπόν εξοντώσης τον λαόν αυτόν αμέσως, ως εάν πρόκειται δι' ένα άνθρωπον, όσα έθνη έχουν ακούσει δια το θαυμαστόν και παντοδύναμον όνομα σου, θα είπουν·

Αρ. 14,16 - παρὰ τὸ μὴ δύνασθαι Κύριον εἰσαγαγεῖν τὸν λαὸν τοῦτον εἰς τὴν γῆν, ἣν ὤμοσεν αὐτοῖς, κατέστρωσεν αὐτοὺς ἐν τῇ ἐρήμῳ.

Αρ. 14,16 - Επειδή δεν κατόρθωσε να οδηγήση ο Θεός και φέρη τον λαόν τούτον εις την χώραν, την οποίαν με όρκον είχεν υποσχεθή να τους δώση, τους κατέστρωσε νεκρούς εις την έρημον αυτήν γην !

Αρ. 14,17 - καὶ νῦν ὑψωθήτω ἡ ἰσχύς, Κύριε, ὃν τρόπον εἶπας λέγων·

Αρ. 14,17 - Αλλά, Κυριε, ας φανή και ας υψωθή και τώρα το μεγαλείον της δυνάμεώς σου, όπως άλλοτε είχες διακηρύξει λέγων ότι είσαι

Αρ. 14,18 - Κύριος μακρόθυμος καὶ πολυέλεος καὶ ἀληθινός, ἀφαιρῶν ἀνομίας καὶ ἀδικίας καὶ ἁμαρτίας, καὶ καθαρισμῷ οὐ καθαριεῖ τὸν ἔνοχον ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἕως τρίτης καὶ τετάρτης γενεᾶς.

Αρ. 14,18 - Κυριος, μακρόθυμος και πολυέλεος και αξιόπιστος εις τα λόγια σου. Είσαι συ Κυριος, ο οποίος συγχωρεί και εξαλείφει παρανομίας και αδικίας και γενικώς τας αμαρτίας, αλλά και δεν αφήνει ατιμώρητον τον ένοχον φθάνων μέχρι του σημείου να καταλογίζη ευθύνην και να τιμωρή τα τέκνα μέχρι τρίτης και τετάρτης γενεάς δια τας αμαρτίας των πατέρων των.

Αρ. 14,19 - ἄφες τὴν ἁμαρτίαν τῷ λαῷ τούτῳ κατὰ τὸ μέγα ἔλεός σου, καθάπερ ἵλεως ἐγένου αὐτοῖς ἀπ᾿ Αἰγύπτου ἕως τοῦ νῦν.

Αρ. 14,19 - Αλλά, συγχώρησε, Κυριε, κατά το μέγα σου έλεος την αμαρτίαν στον λαόν τούτον. Γινε εύσπλαγχνος, όπως εύσπλαγχνος έγινες εις αυτούς από την ημέραν της εξόδου των από της Αιγύπτου μέχρι τώρα” !

Αρ. 14,20 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἵλεως αὐτοῖς εἰμι κατὰ τὸ ῥῆμά σου·

Αρ. 14,20 - Είπε τότε ο Κυριος προς τον Μωϋσήν· “θα γίνω εις αυτούς ίλεως σύμφωνα με την παράκλησίν σου.

Αρ. 14,21 - ἀλλὰ ζῶ ἐγὼ καὶ ζῶν τὸ ὄνομά μου καὶ ἐμπλήσει ἡ δόξα Κυρίου πᾶσαν τὴν γῆν,

Αρ. 14,21 - Αλλά εγώ ζω και ζων είναι το όνομα μου, και θα πλημμυρίση ολόκληρον την γην η δόξα και η δύναμις της δικαιοσύνης μου

Αρ. 14,22 - ὅτι πάντες οἱ ἄνδρες οἱ ὁρῶντες τὴν δόξαν μου καὶ τὰ σημεῖα, ἃ ἐποίησα ἐν Αἰγύπτῳ καὶ ἐν τῇ ἐρήμῳ, καὶ ἐπείρασάν με τοῦτο δέκατον, καὶ οὐκ εἰσήκουσαν τῆς φωνῆς μου,

Αρ. 14,22 - διότι όλοι οι Ισραηλίται, οι οποίοι είδον την δόξαν μου και τα θαύματα, τα οποία έκαμα εις την Αίγυπτον και εις την έρημον, και παρ' όλον τούτο με παρώργισαν τώρα δια δεκάτην φοράν και δεν υπήκουσαν εις την εντολήν μου,

Αρ. 14,23 - ἦ μὴν οὐκ ὄψονται τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν, ἀλλ᾿ ἢ τὰ τέκνα αὐτῶν, ἅ ἐστι μετ᾿ ἐμοῦ ὧδε, ὅσοι οὐκ οἴδασιν ἀγαθὸν οὐδὲ κακόν, πᾶς νεώτερος ἄπειρος, τούτοις δώσω τὴν γῆν, πάντες δὲ οἱ παροξύναντές με οὐκ ὄψονται αὐτήν.

Αρ. 14,23 - κατ' αμετάκλητον απόφασίν μου δεν θα ίδουν την χώραν, την οποίαν δι' όρκου υπεσχέθην στους πατέρας των, αλλά θα την ίδουν μόνον τα τέκνα των, τα οποία είναι εδώ μαζή μου, που δεν ημπορούν ακόμη να κάμουν διάκρισιν μεταξύ καλού και κακού, κάθε νεώτερος και άπειρος. Εις αυτά εγώ θα δώσω την χώραν. Ολοι δε εκείνοι, που με παρώξυναν δεν θα την ιδούν.

Αρ. 14,24 - ὁ δὲ παῖς μου Χάλεβ, ὅτι πνεῦμα ἕτερον ἐν αὐτῷ καὶ ἐπηκολούθησέ μοι, εἰσάξω αὐτὸν εἰς τὴν γῆν, εἰς ἣν εἰσῆλθεν ἐκεῖ, καὶ τὸ σπέρμα αὐτοῦ κληρονομήσει αὐτήν.

Αρ. 14,24 - Τον δούλον μου όμως τον Χαλεβ, διότι είναι αλλού πνεύματος από τον λαόν αυτόν και με ηκολούθησε, θα τον εισαγάγω εις την χώραν, όπου εισήλθεν ως κατάσκοπος και οι απόγονοί του θα κληρονομήσουν αυτήν.

Αρ. 14,25 - ὁ δὲ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος κατοικοῦσιν ἐν τῇ κοιλάδι· αὔριον ἐπιστράφητε καὶ ἀπάρατε ὑμεῖς εἰς τὴν ἔρημον, ὁδὸν θάλασσαν ἐρυθράν.

Αρ. 14,25 - Ο Αμαλήκ και ο Χαναναίος θα κατοικούν τώρα αυτήν την κοιλάδα. Σεις δε αύριον αναχωρήσατε και επιστρέψατε εις την έρημον προς την κατεύθυνσιν της Ερυθράς Θαλάσσης”.

Αρ. 14,26 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Αρ. 14,26 - Είπεν ακόμη ο Κυριος προς τον Μωϋσήν και τον Ααρών·

Αρ. 14,27 - ἕως τίνος τὴν συναγωγὴν τὴν πονηρὰν ταύτην; ἃ αὐτοὶ γογγύζουσιν ἐναντίον μου, τὴν γόγγυσιν τῶν υἱῶν Ἰσραήλ, ἣν ἐγόγγυσαν περὶ ὑμῶν, ἀκήκοα.

Αρ. 14,27 - “έως πότε θα ανέχωμαι τον πονηρόν αυτόν λαόν; Οσα αυτοί γογγύζουν εναντίον μου, όπως και τον γογγυσμόν αυτόν εναντίον σας, όλα τα έχω ακούσει.

Αρ. 14,28 - εἰπὸν αὐτοῖς· ζῶ ἐγώ, λέγει Κύριος, ᾖ μὴν ὃν τρόπον λελαλήκατε εἰς τὰ ὦτά μου, οὕτω ποιήσω ὑμῖν.

Αρ. 14,28 - Είπε λοιπόν εις αυτούς· Ζω εγώ, λέγει Κυριος, κατ' αμετάκλητον απόφασίν μου, ακριβώς όπως μου είπατε και ήκουσα, έτσι θα κάμω εις σας·

Αρ. 14,29 - ἐν τῇ ἐρήμῳ ταύτῃ πεσεῖται τὰ κῶλα ὑμῶν, καὶ πᾶσα ἡ ἐπισκοπὴ ὑμῶν καὶ οἱ κατηριθμημένοι ὑμῶν ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, ὅσοι ἐγόγγυζον ἐπ᾿ ἐμοί·

Αρ. 14,29 - δηλαδή εις την έρημον θα πέσουν νεκρά τα σώματά σας. Εδώ θα αποθάνετε όλοι όσοι κατά την απογραφήν, που έγινε και ηριθμήθησαν από είκοσιν ετών και άνω, όλοι όσοι εγόγγυσαν εναντίον μου.

Αρ. 14,30 - εἰ ὑμεῖς εἰσελεύσεσθε εἰς τὴν γῆν, ἐφ᾿ ἣν ἐξέτεινα τὴν χεῖρά μου κατασκηνῶσαι ὑμᾶς ἐπ᾿ αὐτῆς, ἀλλ᾿ ἢ Χάλεβ υἱὸς Ἰεφοννὴ καὶ Ἰησοῦς

ὁ τοῦ Ναυή·

Αρ. 14,30 - Κανείς από σας δεν θα εισέλθη εις την γην, επάνω από την οποίαν άπλωσα εγώ τα παντοδύναμον χέρι μου και ωρκίσθην να σας εγκαταστήσω, αλλά θα εισέλθουν εις αυτήν μόνον ο Χαλεβ υιός του Ιεφοννή, και ο Ιησούς ο υιός του Ναυη·

Αρ. 14,31 - καὶ τὰ παιδία, ἃ εἴπατε ἐν διαρπαγῇ ἔσεσθαι, εἰσάξω αὐτοὺς εἰς τὴν γῆν, καὶ κληρονομήσουσι τὴν γῆν, ἣν ὑμεῖς ἀπέστητε ἀπ᾿ αὐτῆς.

Αρ. 14,31 - και τα παιδιά, δια τα οποία είπατε ότι θα πέσουν, τάχα, αιχμάλωτα εις τα χέρια των εχθρών, θα οδηγήσω εις την γην της επαγγελίας και θα κληρονομήσουν την χώραν, την οποίαν σεις δια τας αμαρτίας σας εχάσατε.

Αρ. 14,32 - καὶ τὰ κῶλα ὑμῶν πεσεῖται ἐν τῇ ἐρήμῳ ταύτῃ,

Αρ. 14,32 - Τα μέλη του σώματός σας θα πέσουν και θα μείνουν εις την έρημον αυτήν,

Αρ. 14,33 - οἱ δὲ υἱοὶ ὑμῶν ἔσονται νεμόμενοι ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη καὶ ἀνοίσουσι τὴν πορνείαν ὑμῶν, ἕως ἂν ἀναλωθῇ τὰ κῶλα ὑμῶν ἐν τῇ ἐρήμῳ,

Αρ. 14,33 - τα δε παιδιά σας, όσα είναι κάτω των είκοσιν ετών, θα περιπλανώνται εις την έρημον επί τεσσαράκοντα έτη και θα υποφέρουν τας συνεπείας της αποστασίας σας από τον Θεόν, μέχρις ότου αποθάνουν εις την έρημον όλοι οι άνω των εικοσιν ετών.

Αρ. 14,34 - κατὰ τὸν ἀριθμὸν τῶν ἡμερῶν, ὅσας κατεσκέψασθε τὴν γῆν, τεσσαράκοντα ἡμέρας, ἡμέραν τοῦ ἐνιαυτοῦ, λήψεσθε τὰς ἁμαρτίας ὑμῶν τεσσαράκοντα ἔτη καὶ γνώσεσθε τὸν θυμὸν τῆς ὀργῆς μου.

Αρ. 14,34 - Δια τας αμαρτίας που διεπράξατε, θα υποστήτε την τιμωρίαν της δικαίας αγανακτήσεως και οργής μου επί τεσσαράκοντα έτη, κατά τον αριθμόν των ημερών, τας οποίας κατεσκοπεύσατε την χώραν. Καθε ημέρα θα υπολογισθή εις εν έτος.

Αρ. 14,35 - ἐγὼ Κύριος ἐλάλησα· ἦ μὴν οὕτω ποιήσω τῇ συναγωγῇ τῇ πονηρᾷ ταύτῃ τῇ ἐπισυνισταμένῃ ἐπ᾿ ἐμέ· ἐν τῇ ἐρήμῳ ταύτῃ ἐξαναλωθήσονται καὶ ἐκεῖ ἀποθανοῦνται.

Αρ. 14,35 - Εγώ ο Κυριος ωμίλησα. Οριστικώς και αμετακλήτως θα κάμω ο,τι είπα στον αμαρτωλόν αυτόν λαόν, ο οποίος εστασίασεν εναντίον μου. Εις την έρημον αυτήν θα εξοντωθούν και θα αποθάνουν”.

Αρ. 14,36 - καὶ οἱ ἄνθρωποι, οὓς ἀπέστειλε Μωυσῆς κατασκέψασθαι τὴν γῆν καὶ παραγενηθέντες διεγόγγυσαν κατ᾿ αὐτῆς πρὸς τὴν συναγωγὴν ἐξενέγκαι ῥήματα πονηρὰ περὶ τῆς γῆς,

Αρ. 14,36 - Οι άνδρες, τους οποίους έστειλεν ο Μωϋσής να κατασκοπεύσουν την χώραν και οι οποίοι επιστρέφοντες εξηρέθισαν τον λαόν εις γογγυσμόν κατά της χώρας αυτής με το να είπουν δόλια και ψευδή δι' αυτήν,

Αρ. 14,37 - καὶ ἀπέθανον οἱ ἄνθρωποι οἱ κατείπαντες πονηρὰ κατὰ τῆς γῆς ἐν τῇ πληγῇ ἔναντι Κυρίου

Αρ. 14,37 - οι άνδρες αυτοί, οι οποίοι με πείσμα είπαν και διέδωσαν πονηράς πληροφορίας δια την χώραν, εκτυπήθησαν ρώτοι από τον Κυριον και απέθανον.

Αρ. 14,38 - καὶ Ἰησοῦς υἱὸς Ναυή, καὶ Χάλεβ υἱὸς Ἰεφοννὴ ἔζησαν ἀπὸ τῶν ἀνθρώπων ἐκείνων τῶν πεπορευμένων κατασκέψασθαι τὴν γῆν.

Αρ. 14,38 - Από τους άνδρας εκείνους, οι οποίοι μετέβησαν δια να κατασκοπεύσουν την χώραν, έζησαν μόνον ο Ιησούς υιός Ναυη, και ο Χαλεβ υιός Ιεφοννή.

Αρ. 14,39 - Καὶ ἐλάλησε Μωυσῆς τὰ ῥήματα ταῦτα πρὸς πάντας υἱοὺς Ἰσραήλ, καὶ ἐπένθησεν ὁ λαὸς σφόδρα.

Αρ. 14,39 - Ο Μωϋσής ανεκοίνωσεν εις όλους τους Ισραηλίτας τα λόγια αυτά του Κυρίου. Ο λαός ακούσας επένθησε πολύ.

Αρ. 14,40 - καὶ ὀρθρίσαντες τὸ πρωΐ ἀνέβησαν εἰς τὴν κορυφὴν τοῦ ὄρους λέγοντες· ἰδοὺ οἵδε ἡμεῖς ἀναβησόμεθα εἰς τὸν τόπον, ὃν εἶπε Κύριος, ὅτι ἡμάρτομεν.

Αρ. 14,40 - Δια να επανορθώσουν δέ, τάχα, την παρακοήν των και αποφύγουν την τιμωρίαν, ηγέρθησαν οι Ισραηλίται πολύ πρωϊ, ανέβησαν εις την κορυφήν του όρους, λέγοντες προς τον Μωυσήν· “ιδού, ημείς τώρα θα εισέλθωμεν στον τόπον, τον οποίον είπεν ο Κυριος, διότι πράγματι με την παρακοήν μας ημαρτήσαμεν ενώπιόν του” !

Αρ. 14,41 - καὶ εἶπε Μωυσῆς· ἱνατί ὑμεῖς παραβαίνετε τὸ ῥῆμα Κυρίου; οὐκ εὔοδα ἔσται ὑμῖν.

Αρ. 14,41 - Ο Μωϋσής απήντησε· “διατί και τώρα σεις παραβαίνετε πάλιν την εντολήν του Κυρίου; Δεν θα ευοδωθή η απόπειρά σας.

Αρ. 14,42 - μὴ ἀναβαίνετε· οὐ γάρ ἐστι Κύριος μεθ᾿ ὑμῶν, καὶ πεσεῖσθε πρὸ προσώπου τῶν ἐχθρῶν ὑμῶν.

Αρ. 14,42 - Μη προχωρήτε διότι ο Κυριος δεν είναι μαζή σας, θα νικηθήτε και θα πέσετε ενώπιον των εχθρών σας.

Αρ. 14,43 - ὅτι ὁ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος ἐκεῖ ἔμπροσθεν ὑμῶν, καὶ πεσεῖσθε μαχαίρᾳ, οὗ εἵνεκεν ἀπεστράφητε ἀπειθοῦντες Κυρίῳ, καὶ οὐκ ἔσται Κύριος ἐν ὑμῖν.

Αρ. 14,43 - Οι Αμαληκίται και οι Χαναναίοι ευρίσκονται εκεί αντιμέτωποι έμπροσθέν σας και θα πέσετε εν στόματι μαχαίρας, επειδή απεστατήσατε και παρηκούσατε τον Κυριον και ο Κυριος δεν θα είναι πλέον μαζή σας”.

Αρ. 14,44 - καὶ διαβιασάμενοι ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους· ἡ δὲ κιβωτὸς τῆς διαθήκης Κυρίου καὶ Μωυσῆς οὐκ ἐκινήθησαν ἐκ τῆς παρεμβολῆς.

Αρ. 14,44 - Εκείνοι όμως επέμειναν εις την απερίσκεπτον απόφασίν των, επροχώρησαν και ανέβησαν εις την κορυφήν του όρους, αλλά η κιβωτός της Διαθήκης και ο Μωϋσής δεν εκινήθησαν από το στρατόπεδον.

Αρ. 14,45 - καὶ κατέβη ὁ Ἀμαλὴκ καὶ ὁ Χαναναῖος ὁ ἐγκαθήμενος ἐν τῷ ὄρει ἐκείνῳ καὶ ἐτρέψαντο αὐτοὺς καὶ κατέκοψαν αὐτοὺς ἕως Ἑρμάν· καὶ ἀπεστράφησαν εἰς τὴν παρεμβολήν.

Αρ. 14,45 - Οι δε Αμαληκίται και οι Χαναναίοι, οι κατοικούντες στο όρος εκείνο, κατέβησαν και επετέθησαν εναντίον των Ισραηλιτών, τους έτρεψαν εις φυγήν και κατέκοψαν αυτούς μέχρις Ερμάν. Οι δε διασωθέντες από την σφαγήν Ισραηλίται επέστρεψαν στο στρατόπεδον.

## ΑΡΙΘΜΟΙ 15

Αρ. 15,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 15,1 - Ο Κυριος είπε προς τον Μωϋσήν·

Αρ. 15,2 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτοῦς· ὅταν εἰσέλθητε εἰς τὴν γῆν τῆς κατοικήσεως ὑμῶν, ἣν ἐγὼ δίδωμι ὑμῖν,

Αρ. 15,2 - "ομίλησε προς τους Ισραηλίτας και ειπέ προς αυτούς· Οταν εισέλθετε εις την χώραν της οριστικής εγκαταστάσεώς σας, την οποίαν εγώ σας δίδω,

Αρ. 15,3 - καὶ ποιήσεις ὁλοκαυτώματα Κυρίῳ, ὁλοκάρπωμα ἢ θυσίαν, μεγαλῦναι εὐχὴν ἢ καθ᾿ ἑκούσιον ἢ ἐν ταῖς ἑορταῖς ὑμῶν ποιῆσαι ὀσμὴν εὐωδίας τῷ Κυρίῳ, εἰ μὲν ἀπὸ τῶν βοῶν ἢ ἀπό τῶν προβάτων,

Αρ. 15,3 - θα προσφέρετε προς τον Κυριον θυσίας ολοκαυτωμάτων, αιματηράν η αναίμακτον θυσίαν δια την εκπλήρωσιν ταξίματος η άλλην εκουσίαν προσφοράν η θυσίαν κατά τας εορτάς σας, ώστε αυτή να γίνη ευπρόσδεκτος ως οσμή ευωδίας προς τον Κυριον. Αν μεν η προσφορά είναι από τα βόδια η από τα πρόβατα,

Αρ. 15,4 - καὶ προσοίσει ὁ προσφέρων τὸ δῶρον αὐτοῦ Κυρίῳ θυσίαν σεμιδάλεως δέκατον τοῦ οἰφὶ ἀναπεποιημένης ἐν ἐλαίῳ ἐν τετάρτῳ τοῦ ἵν·

Αρ. 15,4 - ο προσφέρων αυτήν την αιματηράν θυσίαν προς τον Κυριον θα προσφέρη συγχρόνως και εν δέκατον του οιφί (δύο περίπου κιλά) σεμιγδάλι, ζυμωμένο με λάδι ενός τετάρτου του ιν (840 - περίπου γραμμάρ.).

Αρ. 15,5 - καὶ οἶνον εἰς σπονδὴν τὸ τέταρτον τοῦ ἲν ποιήσετε ἐπὶ τῆς ὁλοκαυτώσεως, ἢ ἐπὶ τῆς θυσίας· τῷ ἀμνῷ τῷ ἑνὶ ποιήσεις τοσοῦτο, κάρπωμα ὀσμὴν εὐωδίας τῷ Κυρίῳ.

Αρ. 15,5 - Εις την αιματηράν θυσίαν του ολοκαυτώματος η εις την αναίμακτον θυσίαν θα προσφέρετε προς σπονδήν και ένα τέταρτον του ιν οίνου (840 - περίπου γραμ.) εις κάθε θυσίαν αμνού θα προσφέρης και

θυσίαν του οίνου, ώστε αυτή να γίνεται ευάρεστος οσμή ευωδίας στον Κυριον.

Αρ. 15,6 - καὶ τῷ κριῷ, ὅταν ποιῆτε αὐτὸν εἰς ὁλοκαύτωμα ἢ εἰς θυσίαν, ποιήσεις θυσίαν σεμιδάλεως δύο δέκατα ἀναπεποιημένης ἐν ἐλαίῳ, τὸ τρίτον τοῦ ἵν·

Αρ. 15,6 - Και δι' εκάστην θυσίαν κριου, που προσφέρετε ως ολοκαύτωμα η ως θυσίαν άλλου είδους, θα προσφέρης και θυσίαν δύο δέκατα σεμιγδάλι ζυμωμένο με εν τρίτον του ιν ελαίου.

Αρ. 15,7 - καὶ οἶνον εἰς σπονδὴν τὸ τρίτον τοῦ ἳν προσοίσετε εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

Αρ. 15,7 - Θα προσφέρετε επίσης και εν τρίτον του ιν οίνου εις σπονδήν, ώστε η θυσία σας να γίνη ευπρόσδεκτος οσμή ευωδίας στον Κυριον.

Αρ. 15,8 - ἐὰν δέ ποιῆτε ἀπὸ τῶν βοῶν εἰς ὁλοκαύτωσιν ἢ εἰς θυσίαν μεγαλῦναι εὐχήν, ἢ εἰς σωτήριον Κυρίῳ,

Αρ. 15,8 - Οταν δε προσφέρετε βόδια ως θυσίαν ολοκαυτώματος η ως θυσίαν εις εκτέλεσιν ταξίματος η ως σωτήριον προς τον Κυριον,

Αρ. 15,9 - καὶ προσοίσει ἐπὶ τοῦ μόσχου θυσίαν σεμιδάλεως τρία δέκατα ἀναπεποιημένης ἐν ἐλαίῳ ἥμισυ τοῦ ἳν

Αρ. 15,9 - ο προσφέρων θα προσθέση στον θυσιαζόμενον μόσχον, ως αναίμακτον θυσίαν, τρία δέκατα σεμιγδάλι, ζυμωμένο με λάδι ημίσεως ιν,

Αρ. 15,10 - καὶ οἶνον εἰς σπονδὴν τὸ ἥμισυ τοῦ ἵν, κάρπωμα ὀσμὴν εὐωδίας Κυρίῳ.

Αρ. 15,10 - και οίνον προς σπονδήν ήμισυ του ιν, ώστε η θυσία να γίνη ευπρόσδεκτος οσμή ευωδίας στον Κυριον.

Αρ. 15,11 - οὕτω ποιήσεις τῷ μόσχῳ τῷ ἑνὶ ἢ τῷ κριῷ τῷ ἑνὶ ἢ τῷ ἀμνῷ τῷ ἑνὶ ἐκ τῶν προβάτων ἢ ἐκ τῶν αἰγῶν·

Αρ. 15,11 - Το αυτό θα κάμης δια την θυσίαν ενός μόσχου η ενός κριου η ενός αμνού από τα πρόβατα η από τα γίδια.

Αρ. 15,12 - κατὰ τὸν ἀριθμὸν ὧν ἐὰν ποιήσητε, οὕτως ποιήσετε τῷ ἑνὶ κατὰ τὸν ἀριθμὸν αὐτῶν.

Αρ. 15,12 - Αναλόγως του αριθμού των προσφερομένων, ως θυσίαν, ζώων θα κάμετε και δια την αναίμακτον προσφοράν σύμφωνα με τον αριθμόν ενός εκάστου από αυτά.

Αρ. 15,13 - πᾶς ὁ αὐτόχθων ποιήσει οὕτως τοιαῦτα, προσενέγκαι καρπώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

Αρ. 15,13 - Καθε εντόπιος Ισραηλίτης έτσι θα κάμνη προκειμένου να προσφέρη θυσίαν στον Κυριον, δια να γίνη ευπρόσδεκτος ως οσμή ευωδίας στον Κυριον.

Αρ. 15,14 - ἐὰν δὲ προσήλυτος ἐν ὑμῖν προσγένηται ἐν τῇ γῇ ὑμῶν, ἢ ὃς ἂν γένηται ἐν ὑμῖν ἐν ταῖς γενεαῖς ὑμῶν, καὶ ποιήσει κάρπωμα ὀσμὴν

εὐωδίας Κυρίῳ, ὃν τρόπον ποιεῖτε ὑμεῖς, οὕτω ποιήσει ἡ συναγωγὴ Κυρίῳ.

Αρ. 15,14 - Εάν έλθη ξένος εις την χώραν σας η άλλος κανείς ευρεθή μεταξύ σας σήμερον και εις τας κατόπιν γενεάς σας και θελήση να προσφέρη θυσίαν ευπρόσδεκτον, ως ευάρεστον ευωδίαν στον Κυριον, θα πράξη όπως και σεις κάμνετε. Ετσι θα προσφέρη τας θυσίας του προς τον Κυριον όλος ο λαός του Ισραήλ.

Αρ. 15,15 - νόμος εἷς ἔσται ὑμῖν καὶ τοῖς προσηλύτοις τοῖς προσκειμένοις ἐν ὑμῖν, νόμος αἰώνιος εἰς τὰς γενεὰς ὑμῶν· ὡς ὑμεῖς καὶ ὁ προσήλυτος ἔσται ἔναντι Κυρίου.

Αρ. 15,15 - Ενας νόμος θα υπάρχη δια σας και δια τους ξένους, οι οποίοι ευρίσκονται μεταξύ σας, νόμος παντοτεινός εις όλας τας γενεάς σας. Οπως σεις, έτσι και ο ξένος θα είναι και θα ενεργή απέναντι του Κυρίου.

Αρ. 15,16 - νόμος εἷς ἔσται καὶ δικαίωμα ἓν ἔσται ὑμῖν καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν ὑμῖν.

Αρ. 15,16 - Νομος ένας, καθήκον ένα θα υπάρχη και δια σας και δια τον ξένον, που κατοικεί μεταξύ σας”.

Αρ. 15,17 - Καί ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 15,17 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 15,18 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ἐν τῷ εἰσπορεύεσθαι ὑμᾶς εἰς τὴν γῆν, εἰς ἣν ἐγὼ εἰσάγω ὑμᾶς ἐκεῖ,

Αρ. 15,18 - “ομίλησε προς τους Ισραηλίτας και είπε προς αυτούς· Οταν εισέλθετε εις την χώραν, εις την οποίαν εγώ θα σας εισαγάγω,

Αρ. 15,19 - καὶ ἔσται ὅταν ἔσθητε ὑμεῖς ἀπὸ τῶν ἄρτων τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα ἀφόρισμα Κυρίῳ· ἀπαρχὴν φυράματος ὑμῶν

Αρ. 15,19 - και όταν πρόκειται να φάγετε σεις από τους άρτους της γης εκείνης, θα αφαιρέσετε, δια να αφιερώσετε στον Κυριον, την απαρχήν από τους ενζύμους άρτους σας.

Αρ. 15,20 - ἄρτον ἀφοριεῖτε ἀφαίρεμα αὐτό· ὡς ἀφαίρεμα ἀπὸ ἅλω, οὕτως ἀφελεῖτε αὐτόν,

Αρ. 15,20 - Θα ξεχωρίσετε ένα άρτον ως αφιέρωμα θυσίας, ως “αφαίρεμα” προς τον Κυριον. Οπως προσφέρετε τας απαρχάς από το αλώνι, έτσι θα προσφέρετε και τον ένζυμον άρτον.

Αρ. 15,21 - ἀπαρχὴν φυράματος ὑμῶν, καὶ δώσετε Κυρίῳ ἀφαίρεμα εἰς τὰς γενεὰς ὑμῶν.

Αρ. 15,21 - Αυτός ο άρτος θα είναι η απαρχή, την οποίαν ως αφιέρωμα θα δώσετε στον Κυριον. Αυτό θα το τηρήτε εις όλας τας γενεάς σας.

Αρ. 15,22 - Ὅταν δὲ διαμάρτητε καὶ μὴ ποιήσητε πάσας τὰς ἐντολὰς ταύτας, ἃς ἐλάλησε Κύριος πρὸς Μωυσῆν,

Αρ. 15,22 - Οταν δε αμαρτήσετε και δεν εκτελέσετε αυτάς τας εντολάς, τας οποίας έδωσε προς τον Μωϋσήν ο Κυριος,

Αρ. 15,23 - καθὰ συνέταξε Κύριος πρὸς ὑμᾶς ἐν χειρὶ Μωυσῆ ἀπὸ τῆς ἡμέρας, ᾗ συνέταξε Κύριος πρὸς ὑμᾶς καὶ ἐπέκεινα εἰς τὰς γενεὰς ὑμῶν,

Αρ. 15,23 - όπως διέταξε δια του Μωϋσέως εις σας από την ημέραν, κατά την οποίαν έδωσε τας εντολάς αυτάς ο Κυριος προς σας και εις όλας τας κατόπιν γενεάς σας,

Αρ. 15,24 - καὶ ἔσται ἐὰν ἐξ ὀφθαλμῶν τῆς συναγωγῆς γενηθῇ ἀκουσίως, καὶ ποιήσει πᾶσα ἡ συναγωγὴ μόσχον ἕνα ἐκ βοῶν ἄμωμον εἰς ὁλοκαύτωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ καὶ θυσίαν τούτου καὶ σπονδὴν αὐτοῦ κατὰ τὴν σύνταξιν καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας.

Αρ. 15,24 - εάν μεν η αμαρτία αυτή δεν υποπέση εις την αντίληψιν της συναγωγής και γίνη ακουσίως εκ μέρους του λαού, όλος ο λαός θα προσφέρη ένα μοσχάρι υγιές και αρτιμελές εις θυσίαν ολοκαυτώματος, δια να γίνη αυτή ευάρεστος ως οσμή ευωδίας στον Κυριον. Θα προσθέσετε εις την αιματηράν αυτήν θυσίαν και την ανάλογον θυσίαν του οίνου, σύμφωνα με την προαναφερθείσαν εντολήν, και ένα τράγον προς θυσίαν περί αμαρτίας.

Αρ. 15,25 - καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ πάσης συναγωγῆς υἱῶν Ἰσραήλ, καὶ ἀφεθήσεται αὐτοῖς· ὅτι ἀκούσιόν ἐστι, καὶ αὐτοὶ ἤνεγκαν τὸ δῶρον αὐτῶν κάρπωμα Κυρίῳ περὶ τῆς ἁμαρτίας αὐτῶν ἔναντι Κυρίου, περὶ τῶν ἀκουσίων αὐτῶν.

Αρ. 15,25 - Ο ιερεύς με όλα αυτά θα εξιλεώση ενώπιον του Θεού όλον το πλήθος των Ισραηλιτών και θα συγχωρηθή εις αυτούς η αμαρτία, διότι είναι ακουσία και διότι οι παραβάται προσέφεραν δια την αμαρτίαν των αυτήν προς τον Κυριον θυσίαν, όπως ορίζει ο νόμος δια τα ακούσια αμαρτήματά των.

Αρ. 15,26 - καὶ ἀφεθήσεται κατὰ πᾶσαν συναγωγὴν υἱῶν Ἰσραὴλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ πρὸς ὑμᾶς, ὅτι παντὶ τῷ λαῷ ἀκούσιον.

Αρ. 15,26 - Θα δοθή δε άφεσις εις όλον το πλήθος των Ισραηλιτών και στον ξένον, ο οποίος ευρίσκεται μεταξύ σας, διότι η ακουσία αυτή αμαρτία είναι όλου του λαού.

Αρ. 15,27 - ἐάν τε ψυχὴ μία ἁμάρτῃ ἀκουσίως, προσάξει αἶγα μίαν ἐνιαυσίαν περὶ ἁμαρτίας,

Αρ. 15,27 - Εάν ένας άνθρωπος αμαρτήση ακουσίως θα προσφέρη προς θυσίαν περί αμαρτίας μίαν αίγα ενός έτους.

Αρ. 15,28 - καὶ ἐξιλάσεται ὁ ἱερεὺς περὶ τῆς ψυχῆς τῆς ἀκουσιασθείσης καὶ ἁμαρτούσης ἀκουσίως ἔναντι Κυρίου ἐξιλάσασθαι περὶ αὐτοῦ.

Αρ. 15,28 - Ο ιερεύς δια της θυσίας της αιγός θα εξιλεώση ενώπιον του Κυρίου τον άνθρωπον, ο οποίος ακουσίως και εν αγνοία του ημάρτησεν ενώπιον του Κυρίου.

Αρ. 15,29 - τῷ ἐγχωρίῳ ἐν υἱοῖς Ἰσραὴλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν αὐτοῖς νόμος εἷς ἔσται αὐτοῖς, ὃς ἐὰν ποιήσῃ ἀκουσίως.

Αρ. 15,29 - Δια τον εντόπιον Ισραηλίτην, όπως και δια τον ξένον που ευρίσκεται μεταξύ των Ισραηλιτών, ένας νόμος θα ισχύη δι' αυτούς, όταν κανείς ακουσίως αμαρτήση.

Αρ. 15,30 - καὶ ψυχή, ἥτις ποιήσει ἐν χειρὶ ὑπερηφανίας ἀπὸ τῶν αὐτοχθόνων ἢ ἀπὸ τῶν προσηλύτων, τὸν Θεὸν οὗτος παροξυνεῖ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ τοῦ λαοῦ αὐτῆς,

Αρ. 15,30 - Εκείνος όμως ο άνθρωπος, ο οποίος από υπερηφάνειαν και πείσμα θα αμαρτήση ενσυνειδήτως και εγωϊστικώς, είτε εντόπιος είναι είτε ξένος, αυτός θα εξοργίση τον Θεόν και θα εξολοθρευθή εκ μέσου του λαού,

Αρ. 15,31 - ὅτι τὸ ῥῆμα Κυρίου ἐφαύλισε καὶ τὰς ἐντολὰς αὐτοῦ διεσκέδασεν· ἐκτρίψει ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη, ἡ ἁμαρτία αὐτῆς ἐν αὐτῇ.

Αρ. 15,31 - διότι κατεφρόνησε τον λόγον του Κυρίου και διεσκόρπισεν ως στους ανέμους τας εντολάς αυτού. Θα εξοντωθή ο άνθρωπος αυτός, διότι η εν επιγνώσει αυτή αμαρτία του είναι ασυγχώρητος”.

Αρ. 15,32 - Καὶ ἦσαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῇ ἐρήμῳ καὶ εὗρον ἄνδρα συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τῶν σαββάτων.

Αρ. 15,32 - Εμεναν τότε οι Ισραηλίται εις την έρημον. Είδον ένα άνθρωπον να μαζεύη ξύλα κατά την ημέραν του Σαββάτου και να καταλύη έτσι την σαββατικήν αργίαν.

Αρ. 15,33 - καὶ προσήγαγον αὐτὸν οἱ εὑρόντες συλλέγοντα ξύλα τῇ ἡμέρᾳ τῶν σαββάτων πρὸς Μωυσῆν καὶ Ἀαρὼν καὶ πρὸς πᾶσαν συναγωγὴν υἱῶν Ἰσραήλ.

Αρ. 15,33 - Αυτοί, που τον εύρον να μαζεύη ξύλα κατά την ημέραν του Σαββάτου, τον ωδήγησαν προς τον Μωϋσήν και τον Ααρών και προς όλον τον λαόν των Ισραηλιτών.

Αρ. 15,34 - καὶ ἀπέθεντο αὐτὸν εἰς φυλακήν, οὐ γὰρ συνέκριναν τί ποιήσωσιν αὐτόν.

Αρ. 15,34 - Τον έθεσαν εις την φυλακήν, διότι δεν εγνώριζαν τι να κάμουν εις αυτόν, ποίαν τιμωρίαν να του επιβάλουν.

Αρ. 15,35 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων· θανάτῳ θανατούσθω ὁ ἄνθρωπος, λιθοβολήσατε αὐτὸν λίθοις πᾶσα ἡ συναγωγή.

Αρ. 15,35 - Ο Κυριος ομίλησε προς τον Μωϋσήν και είπεν· “ο άνθρωπος αυτός πρέπει να τιμωρηθή με θάνατον· να τον λιθοβολήση όλος ο λαός”.

Αρ. 15,36 - καὶ ἐξήγαγον αὐτὸν πᾶσα ἡ συναγωγὴ ἔξω τῆς παρεμβολῆς, καὶ ἐλιθοβόλησεν αὐτὸν πᾶσα ἡ συναγωγὴ λίθοις ἔξω τῆς παρεμβολῆς, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 15,36 - Ωδήγησεν αυτόν όλος ο λαός έξω από το στρατόπεδον και ελιθοβόλησαν όλοι αυτόν έξω από το στρατόπεδον, όπως δίεταξεν ο Κυριος τον Μωϋσήν.

Αρ. 15,37 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 15,37 - Ο Κυριος είπε προς τον Μωϋσήν·

Αρ. 15,38 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτοὺς καὶ ποιησάτωσαν ἑαυτοῖς κράσπεδα ἐπὶ τὰ πτερύγια τῶν ἱματίων αὐτῶν εἰς τὰς γενεὰς αὐτῶν καὶ ἐπιθήσετε ἐπὶ τὰ κράσπεδα τῶν πτερυγίων κλῶσμα ὑακίνθινον.

Αρ. 15,38 - "ομίλησε προς τους Ισραηλίτας και είπε προς αυτούς· Να ράψουν ταινίαν εις τα κάτω άκρα των ενδυμάτων των, να θέσουν εις τα άκρα των ιματίων των κλώσμα κυανούν. Αυτό θα γίνεται εις όλας των τας γενεάς.

Αρ. 15,39 - καὶ ἔσται ὑμῖν ἐν τοῖς κρασπέδοις καὶ ὄψεσθε αὐτὰ καὶ μνησθήσεσθε πασῶν τῶν ἐντολῶν Κυρίου καὶ ποιήσετε αὐτάς, καὶ οὐ διαστραφήσεσθε ὀπίσω τῶν διανοιῶν ὑμῶν καὶ τῶν ὀφθαλμῶν ὑμῶν, ἐν οἷς ὑμεῖς ἐκπορνεύετε ὀπίσω αὐτῶν,

Αρ. 15,39 - Θα υπάρχουν αυτά εις τα άκρα των ενδυμάτων σας, θα τα βλέπετε και θα ενθυμήσθε όλας τας εντολάς του Κυρίου, δια να τας εφαρμόζετε· και δεν θα διαφθαρήτε παρασυρόμενοι από τας αμαρτωλάς επιθυμίας της καρδίας σας και τα αμαρτωλά θεάματα των οφθαλμών σας, δια των οποίων απομακρύνεσθε από τον Θεόν εις παραστρατημένην ζωήν.

Αρ. 15,40 - ὅπως ἂν μνησθῆτε καὶ ποιήσητε πάσας τὰς ἐντολάς μου καὶ ἔσεσθε ἅγιοι τῷ Θεῷ ὑμῶν.

Αρ. 15,40 - Δι' αυτών θα ενθυμήσθε τας εντολάς εμού του Κυρίου, θα τας τηρήτε και θα γίνεσθε άγιοι ενώπιον του Θεού σας.

Αρ. 15,41 - ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν ὁ ἐξαγωγὼν ὑμᾶς ἐκ γῆς Αἰγύπτου εἶναι ὑμῶν Θεός, ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν.

Αρ. 15,41 - Εγώ είμαι Κυριος ο Θεός σας, ο οποίος σας έβγαλα ελευθέρους από την Αίγυπτον, δια να είμαι Θεός σας. Εγώ, Κυριος ο Θεός σας, δίδω αυτάς τας εντολάς".

## ΑΡΙΘΜΟΙ 16

Αρ. 16,1 - Καὶ ἐλάλησε Κορὲ υἱὸς Ἰσσάαρ υἱοῦ Καὰθ υἱοῦ Λευὶ καὶ Δαθὰν καὶ Ἀβειρὼν υἱοὶ Ἑλιὰβ καὶ Αὔν υἱὸς Φαλὲθ υἱοῦ Ῥουβήν,

Αρ. 16,1 - Ο Κορέ, υιός του Ισσαάρ υιού του Καάθ, υιού του Λευϊ, συνεσκέφθη και συνώμοσε με τον Δαθάν και τον Αβειρών, οι οποίοι ήσαν υιοί του Ελιάβ, και με τον Αυν, υιόν του Φαλέθ υιού του Ρουβήν,

Αρ. 16,2 - καὶ ἀνέστησαν ἔναντι Μωυσῆ, καὶ ἄνδρες τῶν υἱῶν Ἰσραὴλ πεντήκοντα καὶ διακόσιοι, ἀρχηγοὶ συναγωγῆς, σύγκλητοι βουλῆς καί ἄνδρες ὀνομαστοί,

Αρ. 16,2 - και εστασίασαν εναντίον του Μωϋσέως. Μαζή δε με αυτούς εστασίασαν και διακόσιοι πεντήκοντα από τους Ισραηλίτας, οι οποίοι ήσαν άρχοντες του λαού, εκλεκτά μέλη των συνελεύσεων του λαού, άνδρες με φήμην.

Αρ. 16,3 - συνέστησαν ἐπὶ Μωυσῆν καὶ Ἀαρὼν καὶ εἶπαν· ἐχέτω ὑμῖν, ὅτι πᾶσα ἡ συναγωγὴ πάντες ἅγιοι, καὶ ἐν αὐτοῖς Κύριος, καὶ διατί κατανίστασθε ἐπὶ τὴν συναγωγὴν Κυρίου;

Αρ. 16,3 - Αυτοί επαναστάτησαν εναντίον του Μωϋσέως και του Ααρών και είπαν προς αυτούς· “ακούσατε και μάθετε σεις, ότι ο λαός είναι άγιος, και ο Κυριος είναι μαζή με τον λαόν. Διατί, λοιπόν, σεις υψώνετε τον εαυτόν σας απέναντι του λαού και κατακρατείτε την αρχηγίαν;”

Αρ. 16,4 - καὶ ἀκούσας Μωυσῆς ἔπεσεν ἐπὶ πρόσωπον,

Αρ. 16,4 - Οταν ο Μωϋσής ήκουσεν αυτά, έπεσε με το πρόσωπον κατά γης (προφανώς ένεκα του πόνου του και δια να προσευχηθή μυστικώς προς τον Κυριον).

Αρ. 16,5 - καὶ ἐλάλησε πρὸς Κορὲ καὶ πρὸς πᾶσαν αὐτοῦ τὴν συναγωγὴν λέγων· ἐπέσκεπται καὶ ἔγνω ὁ Θεὸς τοὺς ὄντας αὐτοῦ καὶ τοὺς ἁγίους, καὶ προσηγάγετο πρὸς ἑαυτόν, καὶ οὓς ἐξελέξατο ἑαυτῷ, προσηγάγετο πρὸς ἑαυτόν.

Αρ. 16,5 - Ωμίλησε προς τον Κορέ και τους στασιαστάς, που τον είχον ακολουθήσει, λέγων· “ο Θεός είναι εκείνος, ο οποίος επεσκέφθη, εγνώρισε και εξέλεξε τους ιδικούς του ανθρώπους ως αφιερωμένους και τους ωδήγησεν εις την υπηρεσίαν του. Αυτούς, τους οποίους εξέλεξε δια τον εαυτόν του, αυτούς οδήγησε και τους κατέστησεν αξίους να τον υπηρετούν.

Αρ. 16,6 - τοῦτο ποιήσατε· λάβετε ὑμῖν αὐτοῖς πυρεῖα, Κορὲ καὶ πᾶσα ἡ συναγωγὴ αὐτοῦ,

Αρ. 16,6 - Δια να καταδειχθή όμως, εάν εκείνοι η σεις είσθε οι εκλεκτοί του Θεού, κάμετε τούτο· λάβετε σεις, ο Κορέ και όλοι όσοι τον ακολουθούν, πυροδοχεία,

Αρ. 16,7 - καὶ ἐπίθετε ἐπ᾽ αὐτὰ πῦρ, καὶ ἐπίθετε ἐπ᾽ αὐτὰ θυμίαμα ἔναντι Κυρίου αὔριον· καὶ ἔσται ὁ ἀνήρ, ὃν ἐκλέλεκται Κύριος, οὗτος ἅγιος· ἱκανούσθω ὑμῖν υἱοὶ Λευί.

Αρ. 16,7 - θέσατε εις αυτά πυρ και επάνω στο πυρ θυμίαμα, δια να θυμιάσετε ενώπιον του Κυρίου αύριο. Αυτός δε ο άνθρωπος τον οποίον θα εκλέξη ο Κυριος, δεχόμενος το θυμίαμά του, αυτός θα είναι ο ιερεύς. Ας θεωρηθή αυτό αξιόπιστος και ικανή μαρτυρία προς σας, Λευίται επαναστάται”.

Αρ. 16,8 - καὶ εἶπε Μωυσῆς πρὸς Κορέ· εἰσακούσατέ μου, υἱοὶ Λευί.

Αρ. 16,8 - Είπεν ακόμη ο Μωϋσής προς τον Κορέ και τους ακολούθους του· “ακούσατε τα λόγια μου σεις, που είσθε απόγονοι του Λευι·

Αρ. 16,9 - μὴ μικρόν ἐστι τοῦτο ὑμῖν, ὅτι διέστειλεν ὁ Θεὸς Ἰσραὴλ ὑμᾶς ἐκ συναγωγῆς Ἰσραὴλ καὶ προσηγάγετο ὑμᾶς πρὸς ἑαυτὸν λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς Κυρίου καὶ παρίστασθαι ἔναντι τῆς σκηνῆς λατρεύειν αὐτοῖς;

Αρ. 16,9 - μικρόν πράγμα για σας είναι το ότι ο Θεός του Ισραήλ σας εξεχώρισεν από όλον τον λαόν των Ισραηλιτών και σας προσέλαβε δια τον εαυτόν του, ώστε να υπηρετήτε και να προσφέρετε ιεράς υπηρεσίας εις την Σκηνήν του Κυρίου και να παρίστασθε ενώπιον αυτής της Σκηνής και να προσφέρετε λατρευτικάς διαικονίας υπέρ των αδελφών σας;

Αρ. 16,10 - καὶ προσηγάγετό σε καὶ πάντας τοὺς ἀδελφούς σου υἱοὺς Λευὶ μετὰ σοῦ καὶ ζητεῖτε καὶ ἱερατεύειν;

Αρ. 16,10 - Είναι μικρόν πράγμα ότι προσέλαβεν ο Θεός σε και μαζή με σε όλους τους αδελφούς σου από την φυλήν Λευί ως υπηρέτας εις την Σκηνήν και ζητείτε τώρα να γίνετε και ιερείς;

Αρ. 16,11 - οὕτως σὺ καὶ πᾶσα ἡ συναγωγή σου ἡ συνηθροισμένη πρὸς τὸν Θεόν· καὶ Ἀαρὼν τίς ἐστιν, ὅτι διαγογγύζετε κατ᾿ αὐτοῦ;

Αρ. 16,11 - Ετσι λοιπόν φέρεσθε συ, Κορέ και οι ομόφρονές σου, οι οποίοι ωργανώσατε συνωμοσίαν εναντίον του Θεού! Τι δε είναι ο Ααρών, εναντίον του οποίου σεις γογγύζετε; Δεν είναι αυτός, που έχει εκλεγή από τον Θεόν;”

Αρ. 16,12 - καὶ ἀπέστειλε Μωυσῆς καλέσαι Δαθὰν καὶ Ἀβειρὼν υἱοὺς Ἑλιάβ· καὶ εἶπαν· οὐκ ἀναβαίνομεν·

Αρ. 16,12 - Εστειλεν ο Μωϋσής και εκάλεσε τον Δαθάν και τον Αβειρών, τους υιούς του Ελιάβ, και εκείνοι απήντησαν· “δεν ερχόμεθα·

Αρ. 16,13 - μὴ μικρὸν τοῦτο, ὅτι ἀνήγαγες ἡμᾶς εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι ἀποκτεῖναι ἡμᾶς ἐν τῇ ἐρήμῳ, ὅτι κατάρχεις ἡμῶν ἄρχων;

Αρ. 16,13 - μήπως είναι μικρόν αυτό που μας έκαμες, ότι μας έβγαλές από την Αίγυπτον δια να μας οδηγήσης εις γην ρέουσαν γάλα και μέλι, εις δε την πραγματικότητα μας έφερες εις την έρημον, δια να μας θανατώσης; Και θέλεις δια της βίας να καθήσης επάνω μας ως άρχων;

Αρ. 16,14 - εἰ καὶ εἰς γῆν ῥέουσαν γάλα καὶ μέλι εἰσήγαγες ἡμᾶς καὶ ἔδωκας ἡμῖν κλῆρον ἀγροῦ καὶ ἀμπελῶνας, τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων ἐκείνων ἂν ἐξέκοψας· οὐκ ἀναβαίνομεν.

Αρ. 16,14 - Που είναι η γη η ρέουσα γάλα και μέλι, εις την οποίαν μας εισήγαγες και της οποίας τους αγρούς και τους αμπελώνας μας έδωκες κληρονομίαν; Ασφαλώς προσπαθείς να τυφλώσης τους οφθαλμούς των ανθρώπων τούτων. Ημείς δεν ερχόμεθα”.

Αρ. 16,15 - καὶ ἐβαρυθύμησε Μωυσῆς σφόδρα καὶ εἶπε πρὸς Κύριον· μὴ πρόσχῃς εἰς τὴν θυσίαν αὐτῶν· οὐκ ἐπιθύμημα οὐδενὸς αὐτῶν εἴληφα, οὐδὲ ἐκάκωσα οὐδένα αὐτῶν.

Αρ. 16,15 - Ελυπήθη και επικράνθη πάρα πολύ ο Μωϋσής και είπε προς τον Κυριον· “μη δώσης σημασίαν, Κυριε, και μη δεχθής την θυσίαν θυμιάματος, που θα σου προσφέρουν οι άνθρωποι αυτοί. Εγώ τίποτε δεν επεθύμησα και τίποτε δεν έλαβα από τα πράγματα των ανθρώπων αυτών και κανένα από αυτούς δεν έχω αδικήσει”.

Αρ. 16,16 - καὶ εἶπε Μωυσῆς πρὸς Κορέ· ἁγίασον τὴν συναγωγήν σου καὶ γίνεσθε ἕτοιμοι ἔναντι Κυρίου σὺ καὶ Ἀαρὼν καὶ αὐτοὶ αὔριον.

Αρ. 16,16 - Είπεν ο Μωϋσής προς τον Κορέ· “αύριον πάρε μαζή σου και ξεχώρισε τους ομόφρονάς σου και γίνεσθε έτοιμοι ενώπιον του Κυρίου συ και οι δικοί σου από το ένα μέρος, ο Ααρών δε από το άλλο.

Αρ. 16,17 - καὶ λάβετε ἕκαστος τὸ πυρεῖον αὐτοῦ καὶ ἐπιθήσετε ἐπ᾿ αὐτὰ θυμίαμα καὶ προσάξετε ἔναντι Κυρίου ἕκαστος τὸ πυρεῖον αὐτοῦ, πεντήκοντα καὶ διακόσια πυρεῖα, καὶ σὺ καὶ Ἀαρὼν ἕκαστος τὸ πυρεῖον αὐτοῦ.

Αρ. 16,17 - Ο καθένας σας ας πάρη το πυροδοχείον του και ας θέση εις αυτό θυμίαμα. Θα προσφέρετε ενώπιον του Κυρίου ο καθένας σας το πυροδοχείον του, διακόσια πεντήκοντα πυροδοχεία των ομοφρόνων σου και συ το ιδικόν σου, ο δε Ααρών το ιδικόν του πυροδοχείον”.

Αρ. 16,18 - καὶ ἔλαβεν ἕκαστος τὸ πυρεῖον αὐτοῦ καὶ ἐπέθηκαν ἐπ᾿ αὐτὰ πῦρ καὶ ἐπέβαλον ἐπ᾿ αὐτὰ θυμίαμα. καὶ ἔστησαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου Μωυσῆς καὶ Ἀαρών.

Αρ. 16,18 - Την επομένην ημέραν επήρεν ο καθένας από αυτούς το πυροδοχείον του, έθεσεν εις αυτό πυρ και επάνω στο πυρ το θυμίαμα. Ο Μωϋσής και ο Ααρών εστάθησαν ορθοί πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου.

Αρ. 16,19 - καὶ ἐπισυνέστησεν ἐπ᾿ αὐτοὺς Κορὲ τὴν πᾶσαν αὐτοῦ συναγωγὴν παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου. καὶ ὤφθη ἡ δόξα Κυρίου πάσῃ τῇ συναγωγῇ.

Αρ. 16,19 - Ο δε Κορέ και οι ομόφρονές του συνεκεντρώθησαν απέναντι αυτών πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου. Αμέσως δε θεία λάμψις εφάνη εις όλον το πλήθος του Ισραήλ.

Αρ. 16,20 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Αρ. 16,20 - Και ο Κυριος ωμίλησε προς τον Μωϋσήν και τον Ααρών λέγων·

Αρ. 16,21 - ἀποσχίσθητε ἐκ μέσου τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰσάπαξ.

Αρ. 16,21 - “απομακρυνθήτε μέσα από την συγκέντρωσιν του λαού αυτού, διότι εγώ με ένα μου κτύπημα θα τους εξοντώσω”.

Αρ. 16,22 - καὶ ἔπεσαν ἐπὶ πρόσωπον αὐτῶν καὶ εἶπαν· Θεός, Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκός, εἰ ἄνθρωπος εἷς ἥμαρτεν, ἐπὶ πᾶσαν τὴν συναγωγὴν ὀργὴ Κυρίου;

Αρ. 16,22 - Ο Μωϋσής και ο Ααρών έπεσαν με το πρόσωπον κατά γης και είπον· “ω Θεέ ! Συ ο Θεός των πνευμάτων και πάσης σαρκός, εάν ένας μόνον άνθρωπος ημάρτησεν απέναντί σου, θα εξαποστείλης την οργήν σου εναντίον όλης της συναγωγής;”

Αρ. 16,23 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 16,23 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και είπε·

Αρ. 16,24 - λάλησον τῇ συναγωγῇ λέγων· ἀναχωρήσατε κύκλῳ ἀπὸ τῆς συναγωγῆς Κορέ.

Αρ. 16,24 - “ομίλησε στον λαόν και ειπέ εις αυτούς· Φυγετε και απομακρυνθήτε γύρω από τους συνωμότας του Κορέ”.

Αρ. 16,25 - καὶ ἀνέστη Μωυσῆς καὶ ἐπορεύθη πρὸς Δαθὰν καὶ Ἀβειρών, καὶ συνεπορεύθησαν μετ᾿ αὐτοῦ πάντες οἱ πρεσβύτεροι Ἰσραήλ.

Αρ. 16,25 - Ηγέρθη ο Μωϋσής, μετέβη προς τον Δαθάν και τον Αβειρών και μαζή με αυτόν επορεύθησαν όλοι οι γεροντώτεροι Ισραηλίται.

Αρ. 16,26 - καὶ ἐλάλησε πρὸς τὴν συναγωγὴν λέγων· ἀποσχίσθητε ἀπὸ τῶν σκηνῶν τῶν ἀνθρώπων τῶν σκληρῶν τούτων, καὶ μὴ ἅπτεσθε ἀπὸ πάντων, ὧν ἐστιν αὐτοῖς, μὴ συναπόλησθε ἐν πάσῃ τῇ ἁμαρτίᾳ αὐτῶν.

Αρ. 16,26 - Ο Μωϋσής ωμίλησε προς τον λαόν του Ισραήλ και είπε· “απομακρυνθήτε από τας σκηνάς των σκληρών αυτών ανθρώπων και μη εγγίζετε τίποτε, από όσα πράγματα ανήκουν εις αυτούς, δια να μη καταστραφήτε μαζή των εξ αιτίας της αμαρτίας των”.

Αρ. 16,27 - καὶ ἀπέστησαν ἀπὸ τῆς σκηνῆς Κορὲ κύκλῳ· καὶ Δαθὰν καὶ Ἀβειρὼν ἐξῆλθον καὶ εἱστήκεισαν παρὰ τὰς θύρας τῶν σκηνῶν αὐτῶν καὶ αἱ γυναῖκες αὐτῶν καὶ τὰ τέκνα αὐτῶν καὶ ἡ ἀποσκευὴ αὐτῶν.

Αρ. 16,27 - Οι Ισραηλίται απεμακρύνθησαν ολόγυρα από την σκηνήν του Κορέ. Ο Δαθάν όμως και ο Αβειρών εβγήκαν από τας σκηνάς των και εστάθησαν εγωϊσταί και πείσμονες εις τας θύρας των σκηνών των αυτοί και αι γυναίκες των και τα τέκνα των και αι αποσκευαί των.

Αρ. 16,28 - καὶ εἶπε Μωυσῆς· ἐν τούτῳ γνώσεσθε ὅτι Κύριος ἀπέστειλέ με ποιῆσαι πάντα τὰ ἔργα ταῦτα, ὅτι οὐκ ἀπ᾿ ἐμαυτοῦ·

Αρ. 16,28 - Είπεν ο Μωϋσής προς όλους αυτούς· “με όσα θα γίνουν τώρα θα μάθετε ότι ο Κυριος με έστειλε να κάμω αυτά τα έργα, ότι δεν ήλθα από τον εαυτόν μου αυτόκλητος.

Αρ. 16,29 - εἰ κατὰ θάνατον πάντων ἀνθρώπων ἀποθανοῦνται οὗτοι, εἰ καὶ κατ᾿ ἐπίσκεψιν πάντων ἀνθρώπων ἐπισκοπὴ ἔσται αὐτῶν, οὐχὶ Κύριος

ἀπέσταλκέ με·

Αρ. 16,29 - Εάν ο Δαθάν και ο Αβειρών αποθάνουν φυσιολογικόν θάνατον, όπως όλοι οι άνθρωποι, εάν η επίσκεψις του Κυρίου προς αυτούς είναι όπως και προς όλους τους ανθρώπους, τότε αυτό θα είναι δείγμα, ότι δεν με έχει στείλει ο Κυριος.

Αρ. 16,30 - ἀλλ᾿ ἢ ἐν φάσματι δείξει Κύριος, καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς καταπίεται αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ τὰς σκηνὰς αὐτῶν καὶ πάντα, ὅσα ἐστὶν αὐτοῖς, καὶ καταβήσονται ζῶντες εἰς ᾅδου, καὶ γνώσεσθε, ὅτι παρώξυναν οἱ ἄνθρωποι οὗτοι τὸν Κύριον.

Αρ. 16,30 - Αλλ' εάν ο Κυριος δείξη θαύμα τρομερόν και ανοίξη η γη το στόμα της και καταπίη αυτούς και τας οικογενείας των και τας σκηνάς των και όλα όσα τους ανήκουν, και καταβούν έτσι εις στιγμήν χρόνου ζωντανοί στον άδην, τότε θα μάθετε καλά ότι οι άνθρωποι αυτοί εξώργισαν τον Κυριον με την επανάστασίν των”.

Αρ. 16,31 - ὡς δὲ ἐπαύσατο λαλῶν πάντας τοὺς λόγους τούτους, ἐῤῥάγη ἡ γῆ ὑποκάτω αὐτῶν,

Αρ. 16,31 - Μολις δε ο Μωϋσής έπαυσε να λέγη τα λόγια αυτά, εσχίσθη η γη κάτω από τα πόδια εκείνων,

Αρ. 16,32 - καὶ ἠνοίχθη ἡ γῆ καὶ κατέπιεν αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ πάντας τοὺς ἀνθρώπους τοὺς ὄντας μετὰ Κορὲ καὶ τὰ κτήνη αὐτῶν.

Αρ. 16,32 - ήνοιξεν η γη και κατέπιεν αυτούς και τας οικογενείας των και όλους όσοι ήσαν με τον Κορέ, και τα ζώα των,

Αρ. 16,33 - καὶ κατέβησαν αὐτοὶ καὶ ὅσα ἐστὶν αὐτῶν ζῶντα εἰς ᾅδου, καὶ ἐκάλυψεν αὐτοὺς ἡ γῆ, καὶ ἀπώλοντο ἐκ μέσου τῆς συναγωγῆς.

Αρ. 16,33 - και κατέβησαν αυτοί, και όσοι άλλοι ήσαν με το μέρος των, ζωντανοί στον άδην, τους εσκέπασεν η γη και εχάθησαν εκ μέσου του ισραηλιτικού λαού.

Αρ. 16,34 - καὶ πᾶς Ἰσραὴλ οἱ κύκλῳ αὐτῶν ἔφυγον ἀπὸ τῆς φωνῆς αὐτῶν, ὅτι λέγοντες· μή ποτε καταπίῃ ἡμᾶς ἡ γῆ.

Αρ. 16,34 - Οι δε άλλοι Ισραηλίται, που ήσαν γύρω και εις απόστασιν από αυτούς, όταν ήκουσαν τας σπαρακτικάς φωνάς εκείνων, ετράπησαν εις φυγήν λέγοντες· “ας φύγωμεν μήπως καταπίη και ημάς η γη” !

Αρ. 16,35 - καὶ πῦρ ἐξῆλθε παρὰ Κυρίου καὶ κατέφαγε τοὺς πεντήκοντα καὶ διακοσίους ἄνδρας τοὺς προσφέροντας τὸ θυμίαμα.

Αρ. 16,35 - Πυρ δε προερχόμενον κατ' ευθείαν από τον Κυριον εξήλθε και κατέφαγε τους διακοσίους πεντήκοντα άνδρας, οι οποίοι προσέφεραν τότε το θυμίαμά των.

## ΑΡΙΘΜΟΙ 17

Αρ. 17,1 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν
Αρ. 17,1 - Μετά ταύτα είπεν ο Κυριος προς τον Μωϋσήν,
Αρ. 17,2 - καὶ πρὸς Ἐλεάζαρ τὸν υἱὸν Ἀαρὼν τὸν ἱερέα· ἀνέλεσθε τὰ πυρεῖα τὰ χαλκᾶ ἐκ μέσου τῶν κατακεκαυμένων καὶ τὸ πῦρ τὸ ἀλλότριον τοῦτο σπεῖρον ἐκεῖ,
Αρ. 17,2 - και προς τον Ελεάζαρ τον ιερέα, τον υιόν του Ααρών· "πάρετε τα χάλκινα θυμιατήρια από τους κατακαέντας αυτούς άνδρας και διασκορπίσατε το ξένον πυρ εκεί μακράν·
Αρ. 17,3 - ὅτι ἡγίασαν τὰ πυρεῖα τῶν ἁμαρτωλῶν τούτων ἐν ταῖς ψυχαῖς αὐτῶν· καὶ ποίησον αὐτὰ λεπίδας ἐλατὰς περίθεμα τῷ θυσιαστηρίῳ, ὅτι προσηνέχθησαν ἔναντι Κυρίου καὶ ἡγιάσθησαν καὶ ἐγένοντο εἰς σημεῖον τοῖς υἱοῖς Ἰσραήλ.
Αρ. 17,3 - διότι και τα πυροδοχεία αυτά ηγιάσθησαν, εφ' όσον οι αμαρτωλοί αυτοί άνθρωποι επλήρωσαν με την ζωήν των την ενοχήν των. Καμε αυτά ελάσματα δια σφυρηλατήσεως και βάλε τα ως περίβλημα στο θυσιαστήριον, διότι, εφ' όσον προσεφέρθησαν προς τον Κυριον, ηγιάσθησαν και έγιναν πλέον δια τους Ισραηλίτας σημείον της δικαιοσύνης του Θεού".
Αρ. 17,4 - καὶ ἔλαβεν Ἐλεάζαρ υἱὸς Ἀαρὼν τοῦ ἱερέως τὰ πυρεῖα τὰ χαλκᾶ, ὅσα προσήνεγκαν οἱ κατακεκαυμένοι, καὶ προσέθηκαν αὐτὰ περίθεμα τῷ θυσιαστηρίῳ,
Αρ. 17,4 - Ο Ελεάζαρ, ο υιός του αρχιερέως Ααρών, επήρε τα χάλκινα πυροδοχεία, όσα προσέφεραν δια να θυμιάσουν οι κατακαέντες άνδρες, τα κατειργάσθησαν και τα έθεσαν ως περίβλημα στο θυσιαστήριον των ολοκαύτωματων.
Αρ. 17,5 - μνημόσυνον τοῖς υἱοῖς Ἰσραήλ, ὅπως ἂν μὴ προσέλθῃ μηδεὶς ἀλλογενής, ὃς οὐκ ἔστιν ἐκ τοῦ σπέρματος Ἀαρών, ἐπιθεῖναι θυμίαμα ἔναντι Κυρίου καὶ οὐκ ἔσται ὥσπερ Κορὲ καὶ ἡ ἐπισύστασις αὐτοῦ, καθὰ ἐλάλησε Κύριος ἐν χειρὶ Μωυσῆ αὐτῷ.
Αρ. 17,5 - Αυτό έγινε, δια να υπενθυμίζη στους Ισραηλίτας ότι δεν πρέπει κανείς ξένος, κανείς ο οποίος δεν κατάγεται από τους απογόνους του Ααρών, να προσέλθη και να προσφέρη θυμίαμα ενώπιον του Κυρίου, δια να μη συμβή εις αυτόν ο,τι στον Κορέ και τους αυστασιαστάς του. Εις τον Κορέ συνέβη ο,τι ακριβώς ανήγγειλεν ο Θεός δια του Μωϋσέως.
Αρ. 17,6 - Καὶ ἐγόγγυσαν οἱ υἱοὶ Ἰσραὴλ τῇ ἐπαύριον ἐπὶ Μωυσῆν καὶ Ἀαρὼν λέγοντες· ὑμεῖς ἀπεκτάγκατε τὸν λαὸν Κυρίου.
Αρ. 17,6 - Την επομένην ημέραν εγόγγυσαν πάλιν οι Ισραηλίται εναντίον του Μωϋσέως και του Ααρών κατηγορούντες αυτούς και λέγοντες· "σεις εφονεύσατε τον λαόν του Κυρίου" !
Αρ. 17,7 - καὶ ἐγένετο ἐν τῷ ἐπισυστρέφεσθαι τὴν συναγωγὴν ἐπὶ Μωυσῆν καὶ Ἀαρὼν καὶ ὥρμησαν ἐπὶ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ τήνδε

ἐκάλυψεν αὐτὴν ἡ νεφέλη καὶ ὤφθη ἡ δόξα Κυρίου.

Αρ. 17,7 - Και όταν ο λαός έξαλλος εστράφη και ώρμησεν εναντίον του Μωυσέως και του Ααρών, αυτοί έσπευσαν εις την Σκηνήν του Μαρτυρίου, δια να αποφύγουν την μανίαν των Ισραηλιτών. Αμέσως δε εκάλυψε την Σκηνήν η νεφέλη και εφάνη θεία λάμψις περιφρουρούσα αυτούς.

Αρ. 17,8 - καὶ εἰσῆλθε Μωυσῆς καὶ Ἀαρὼν κατὰ πρόσωπον τῆς σκηνῆς τοῦ μαρτυρίου.

Αρ. 17,8 - Ο Μωυσής και ο Ααρών ήλθον εμπρός εις την Σκηνήν του Μαρτυρίου.

Αρ. 17,9 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Αρ. 17,9 - Ο Κυριος ωμίλησε προς τον Μωυσήν και τον Ααρών λέγων·

Αρ. 17,10 - ἐκχωρήσατε ἐκ μέσου τῆς συναγωγῆς ταύτης, καὶ ἐξαναλώσω αὐτοὺς εἰσάπαξ. καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν.

Αρ. 17,10 - “απομακρυνθήτε ανάμεσα από τον λαόν αυτόν, διότι εγώ θα τους εξοντώσω όλους δια μιας”. Εκείνοι όμως έπεσαν με το πρόσωπον κατά γης, (παρακαλούντες προφανώς τον Θεόν δια τον στασιάσαντα λαόν),

Αρ. 17,11 - καὶ εἶπε Μωυσῆς πρὸς Ἀαρών· λάβε τὸ πυρεῖον καὶ ἐπίθες ἐπ᾿ αὐτὸ πῦρ ἀπὸ τοῦ θυσιαστηρίου καὶ ἐπίβαλε ἐπ᾿ αὐτὸ θυμίαμα καὶ ἀπένεγκε τὸ τάχος εἰς τὴν παρεμβολὴν καὶ ἐξίλασαι περὶ αὐτῶν· ἐξῆλθε γὰρ ὀργὴ ἀπὸ προσώπου Κυρίου, ἦρκται θραύειν τὸν λαόν.

Αρ. 17,11 - εγερθείς δε ο Μωϋσής είπε προς τον Ααρών· “πάρε το πυροδοχείον, θέσε επάνω εις αυτό πυρ από το θυσιαστήριον, και βάλε επάνω θαμίαμα και φέρε το, όσον το δυνατόν ταχύτερα, στο στρατόπεδον, δια να εξευμενίσης τον Θεόν δι' αυτούς”. Διότι οργή του Θεού είχεν εκσπάσει και θραύσις μεγάλη είχεν αρχίσει εναντίον του αποστάτου λαού.

Αρ. 17,12 - καὶ ἔλαβεν Ἀαρών, καθάπερ ἐλάλησεν αὐτῷ Μωυσῆς, καὶ ἔδραμεν εἰς τὴν συναγωγήν· καὶ ἤδη ἐνῆρκτο ἡ θραῦσις ἐν τῷ λαῷ· καὶ ἐπέβαλε τὸ θυμίαμα καὶ ἐξιλάσατο περὶ τοῦ λαοῦ

Αρ. 17,12 - Ο Ααρών επήρεν ο,τι είχεν είπει εις αυτόν ο Μωϋσής, έτρεξεν εις τον λαόν, εν μέσω του οποίου είχεν ήδη αρχίσει η θραύσις, έβαλε το θυμίαμα, εθυμίασε και εξιλέωσε τον Θεόν υπέρ του λαού.

Αρ. 17,13 - καὶ ἔστη ἀναμέσον τῶν τεθνηκότων καὶ τῶν ζώντων, καὶ ἐκόπασεν ἡ θραῦσις.

Αρ. 17,13 - Ο Ααρών εστάθη μεταξύ των νεκρών και των ζωντανών και εσταμάτησε το θανατικό.

Αρ. 17,14 - καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ θραύσει τεσσαρεσκαίδεκα χιλιάδες καὶ ἑπτακόσιοι, χωρὶς τῶν τεθνηκότων ἕνεκεν Κορέ.

Αρ. 17,14 - Ο αριθμός των αποθανόντων από το κτύπημα εκείνο του Θεού ανήλθεν εις δέκα τέσσαρας χιλιάδας επτακοσίους, πλην εκείνων που είχαν αποθάνει εξ αιτίας του Κορέ.

Αρ. 17,15 - καὶ ἐπέστρεψεν Ἀαρὼν πρὸς Μωυσῆν ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐκόπασεν ἡ θραῦσις.

Αρ. 17,15 - Ο Ααρών επέστρεψε προς τον Μωϋσήν εις την θύραν της Σκηνής του Μαρτυρίου, και κατέπαυσε το κτύπημα του θανάτου.

Αρ. 17,16 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 17,16 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Αρ. 17,17 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ λάβε παρ᾿ αὐτῶν ῥάβδον ῥάβδον κατ᾿ οἴκους πατριῶν παρὰ πάντων τῶν ἀρχόντων αὐτῶν, κατ᾿ οἴκους πατριῶν αὐτῶν, δώδεκα ῥάβδους, καὶ ἑκάστου τὸ ὄνομα αὐτοῦ ἐπίγραψον ἐπὶ τῆς ῥάβδου.

Αρ. 17,17 - "ομίλησε προς τους Ισραηλίτας, πάρε από αυτούς ράβδον, μίαν ράδδον από κάθε φυλήν, από τους αρχηγούς της φυλής, κατά τας πατριαρχικάς οικογενείας, δώδεκα ράβδου κατά τας δώδεκα φυλάς του Ισραήλ. Γράψε το όνομα εκάστου αρχηγού επάνω εις την ράβδον του.

Αρ. 17,18 - καὶ τὸ ὄνομα Ἀαρὼν ἐπίγραψον ἐπὶ τῆς ῥάβδου Λευί· ἔστι γὰρ ῥάβδος μία, κατὰ φυλὴν οἴκου πατριῶν αὐτῶν δώσουσι.

Αρ. 17,18 - Το όνομα του Ααρών να το επιγράψης εις την ράβδον της φυλής του Λευι, διότι κάθε φυλή θα δώση μίαν ράβδον.

Αρ. 17,19 - καὶ θήσεις αὐτὰς ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, κατέναντι τοῦ μαρτυρίου, ἐν οἷς γνωσθήσομαί σοι ἐκεῖ.

Αρ. 17,19 - Τας ράβδους αυτάς θα τας θέσης εις την Σκηνήν του Μαρτυρίου απέναντι της Κιβωτού του Μαρτυρίου, και δι' αυτών θα αποκαλυφθώ εγώ εκεί.

Αρ. 17,20 - καὶ ἔσται ὁ ἄνθρωπος, ὃν ἂν ἐκλέξωμαι αὐτόν, ἡ ῥάβδος αὐτοῦ ἐκβλαστήσει· καὶ περιελῶ ἀπ᾿ ἐμοῦ τὸν γογγυσμὸν υἱῶν Ἰσραήλ, ἃ αὐτοὶ γογγύζουσιν ἐφ᾿ ὑμῖν.

Αρ. 17,20 - Εκείνον, του οποίου η ράβδος θα βλαστήση, θα τον εκλέξω εγώ ως αρχιερέα. Ετσι δε θα αφαιρέσω τον εναντίον σας γογγυσμόν των Ισραηλιτών, ο οποίος εις την πραγματικότητα στρέφεται εναντίον εμού".

Αρ. 17,21 - καὶ ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραήλ, καὶ ἔδωκαν αὐτῷ πάντες οἱ ἄρχοντες αὐτῶν ῥάβδον, τῷ ἄρχοντι τῷ ἑνὶ ῥάβδον κατ᾿ ἄρχοντα, κατ᾿ οἴκους πατριῶν αὐτῶν, δώδεκα ῥάβδους, καὶ ἡ ῥάβδος Ἀαρὼν ἀνὰ μέσον τῶν ῥάβδων αὐτῶν.

Αρ. 17,21 - Ανεκοίνωσεν αυτά ο Μωϋσής προς τους Ισραηλίτας και όλοι οι αρχηγοί αυτών του έδωσαν τας ράβδους των. Εκαστος δηλαδή αρχηγός έδωσε ανά μίαν ράβδον, μίαν ράβδον δι' εκάστην φυλήν, δώδεκα εν συνόλω ράβδους. Μεταξύ δε αυτών ήτο και η ράβδος του Ααρών.

Αρ. 17,22 - καὶ ἀπέθηκε Μωυσῆς τὰς ῥάβδους ἔναντι Κυρίου ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

Αρ. 17,22 - Ο Μωϋσής έθεσε τας ράβδους αυτάς ενώπιον του Κυρίου εις την Σκηνήν του Μαρτυρίου.

Αρ. 17,23 - καὶ ἐγένετο τῇ ἐπαύριον καὶ εἰσῆλθε Μωυσῆς καὶ Ἀαρὼν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἰδοὺ ἐβλάστησεν ἡ ῥάβδος Ἀαρὼν εἰς οἶκον Λευὶ καὶ ἐξήνεγκε βλαστὸν καὶ ἐξήνθησεν ἄνθη καὶ ἐβλάστησε κάρυα.

Αρ. 17,23 - Την επομένην ημέραν εισήλθον εις την Σκηνήν ο Μωϋσής και ο Ααρών και ιδού, είχε βλαστήσει η ράβδος του Ααρών εκ της φυλής Λευι. Εβγαλε βλαστόν, άνθη και καρύδια.

Αρ. 17,24 - καὶ ἐξήνεγκε Μωυσῆς πάσας τὰς ῥάβδους ἀπὸ προσώπου Κυρίου πρὸς πάντας υἱοὺς Ἰσραήλ, καὶ εἶδον καὶ ἔλαβον ἕκαστος τὴν ῥάβδον αὐτοῦ.

Αρ. 17,24 - Ο Μωϋσής επήρεν όλας τας ράβδους από την κιβωτόν του Κυρίου και έδειξεν αυτάς προς όλους τους Ισραηλίτας. Αυτοί είδον το θαύμα εις την ράβδον του Ααρών και κάθε αρχηγός της φυλής επήρε την ράβδον του.

Αρ. 17,25 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἀπόθες τὴν ῥάβδον Ἀαρὼν ἐνώπιον τῶν μαρτυρίων εἰς διατήρησιν, σημεῖον τοῖς υἱοῖς τῶν ἀνηκόων, καὶ παυσάσθω ὁ γογγυσμὸς αὐτῶν ἀπ᾿ ἐμοῦ, καὶ οὐ μὴ ἀποθάνωσι.

Αρ. 17,25 - Είπε τότε ο Κυριος προς τον Μωϋσήν· “απόθεσε την ράβδον ενώπιον των άλλων μαρτυρίων, δια να μένη ως σημείον στους απογόνους των απειθάρχων τούτων και να παύση έτσι ο γογγυσμός των από εμπρός μου, δια να μη αποθάνουν όλοι των”.

Αρ. 17,26 - καὶ ἐποίησε Μωυσῆς καὶ Ἀαρών, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν.

Αρ. 17,26 - Εκαμαν ο Μωϋσής και ο Ααρών, όπως διέταξεν ο Κυριος τον Μωϋσήν. Ετσι έκαμαν.

Αρ. 17,27 - καὶ εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Μωυσῆν λέγοντες· ἰδοὺ ἐξανηλώμεθα, ἀπολώλαμεν, παρανηλώμεθα·

Αρ. 17,27 - Είπαν τότε οι Ισραηλίται προς τον Μωϋσήν· “εχάθημεν, εξωντώθημεν, εξεδαπανήθημεν !

Αρ. 17,28 - πᾶς ὁ ἁπτόμενος τῆς σκηνῆς Κυρίου ἀποθνήσκει· ἕως εἰς τέλος ἀποθάνωμεν;

Αρ. 17,28 - Επείσθημεν πλέον ότι εκείνος, που τολμά και εγγίζει την Σκηνήν του Μαρτυρίου, αποθνήσκει αμέσως. Λοιπόν, έως τέλος θα αποθάνωμεν όλοι; (Παρακάλεσε τον Θεόν δι' ημάς).

## ΑΡΙΘΜΟΙ 18

Αρ. 18,1 - Καὶ εἶπε Κύριος πρὸς Ἀαρὼν λέγων· σὺ καὶ οἱ υἱοί σου καὶ ὁ οἶκος τοῦ πατρός σου λήψεσθε τὰς ἁμαρτίας τῶν ἁγίων, καὶ σὺ καὶ οἱ υἱοί σου λήψεσθε τὰς ἁμαρτίας τῆς ἱερατείας ὑμῶν.

Αρ. 18,1 - Είπεν ο Κυριος προς τον Ααρών· "συ και οι υιοί σου και ο πατρικός σου οίκος θα αναλάβετε την ευθύνην και θα είσθε υπόλογοι δι' απρόσεκτον συμπεριφοράν ιδικήν σας και άλλων κατά των αγίων τούτων και ιερών σκευών, συ και οι υιοί σου θα επωμισθήτε την ευθύνην των σφαλμάτων, τα οποία τυχόν θα διαπράξετε κατά την άσκησιν των ιερατικών σας καθηκόντων.

Αρ. 18,2 - καὶ τοὺς ἀδελφούς σου, φυλὴν Λευί, δῆμον τοῦ πατρός σου, προσαγάγου πρὸς σεαυτόν, καὶ προστεθήτωσάν σοι καὶ λειτουργείτωσάν σοι, καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ ἀπέναντι τῆς σκηνῆς τοῦ μαρτυρίου.

Αρ. 18,2 - Τους αδελφούς σου, την φυλήν δηλαδή του Λευϊ, τους απογόνους του προπάτορός σου Λευϊ, πάρε μαζή σου, ως βοηθούς. Ας προστεθούν εις σε να σε υπηρετούν. Αλλά συ, και μαζή με σε οι υιοί σου, θα ιερουργήτε εις την Σκηνήν του Μαρτυρίου.

Αρ. 18,3 - καὶ φυλάξονται τὰς φυλακάς σου καὶ τὰς φυλακὰς τῆς σκηνῆς, πλὴν πρὸς τὰ σκεύη τὰ ἅγια καὶ πρὸς τὸ θυσιαστήριον οὐ προσελεύσονται, καὶ οὐκ ἀποθανοῦνται καὶ οὗτοι καὶ ὑμεῖς.

Αρ. 18,3 - Οι άλλοι Λευίται θα είναι φύλακες, άγρυπνοι βοηθοί εις την υπηρεσίαν της Σκηνής, αλλά εις τα άγια σκεύη και στο θυσιαστήριον δεν θα προσεγγίζουν, δια να μη τιμωρηθούν δια θανάτου και εκείνοι και σεις.

Αρ. 18,4 - καὶ προστεθήσονται πρὸς σὲ καὶ φυλάξονται τὰς φυλακὰς τῆς σκηνῆς τοῦ μαρτυρίου κατὰ πάσας τὰς λειτουργίας τῆς σκηνῆς· καὶ ὁ ἀλλογενὴς οὐ προσελεύσεται πρὸς σέ.

Αρ. 18,4 - Θα προστεθούν βοηθοί εις σέ, θα είναι άγρυπνοι και έτοιμοι βοηθοί εις την υπηρεσίαν της Σκηνής του Μαρτυρίου, εις όλας τας υπηρετικάς ανάγκας της Σκηνής. Κανείς άλλος από άλλην φυλήν δεν θα έλθη μαζή σου δια την εξυπηρέτησιν της Σκηνής.

Αρ. 18,5 - καὶ φυλάξεσθε τὰς φυλακὰς τῶν ἁγίων καὶ τὰς φυλακὰς τοῦ θυσιαστηρίου, καὶ οὐκ ἔσται θυμὸς ἐν τοῖς υἱοῖς Ἰσραήλ.

Αρ. 18,5 - Σεις όμως οι ιερείς θα αγρυπνήτε εις την υπηρεσίαν της Σκηνής, των αγίων και του θυσιαστηρίου, έτσι δε δεν θα δώσετε στον Κυριον αιτίαν να οργισθή κατά των Ισραηλιτών.

Αρ. 18,6 - καὶ ἐγὼ εἴληφα τοὺς ἀδελφοὺς ὑμῶν τοὺς Λευίτας ἐκ μέσου τῶν υἱῶν Ἰσραὴλ δόμα δεδομένον Κυρίῳ, λειτουργεῖν τὰς λειτουργίας τῆς σκηνῆς τοῦ μαρτυρίου·

Αρ. 18,6 - Εγώ επήρα ανάμεσα από όλους τους Ισραηλίτας τους αδελφούς σου τους Λευΐτας, ως δώρον εκ μέρους αυτών, δια να υπηρετούν εις τας διαφόρους υπηρεσίας της Σκηνής του Μαρτυρίου.

Αρ. 18,7 - καὶ σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ διατηρήσετε τὴν ἱερατείαν ὑμῶν, κατὰ πάντα τρόπον τοῦ θυσιαστηρίου καὶ τὸ ἔνδοθεν τοῦ καταπετάσματος καὶ λειτουργήσετε τὰς λειτουργίας δόμα τῆς ἱερατείας ὑμῶν· καὶ ὁ ἀλλογενὴς ὁ προσπορευόμενος ἀποθανεῖται.

Αρ. 18,7 - Αλλά συ, και έπειτα από σε οι υιοί σου, θα κρατήσετε και θα συνεχίσετε την ιερωσύνην σας και τας ιερατικάς υπηρεσίας σας δια κάθε τι, που αναφέρεται στο θυσιαστήριον και στον χώρον που είναι πίσω από το καταπέτασμα, και θα εκτελήτε εκεί τα λειτουργικά σας καθήκοντα, τα οποία σας εδόθησαν από τον Θεόν. Ανθρωπος άλλης φυλής, ο οποίος θα τολμήση να πλησιάση εις τα Αγια και θα θελήση να επιτελέση ιδικήν σας ιερουργίαν, θα τιμωρηθή με θάνατον”.

Αρ. 18,8 - Καὶ ἐλάλησε Κύριος πρὸς Ἀαρών· καὶ ἰδοὺ ἐγὼ δέδωκα ὑμῖν τὴν διατήρησιν τῶν ἀπαρχῶν· ἀπὸ πάντων τῶν ἡγιασμένων μοι παρὰ τῶν υἱῶν Ἰσραὴλ σοὶ δέδωκα αὐτὰ εἰς γέρας καὶ τοῖς υἱοῖς σου μετὰ σὲ νόμιμον αἰώνιον.

Αρ. 18,8 - Ελάλησε κατόπιν ο Κυριος προς τον Ααρών· “ιδού έγω έδωκα εις σας όλας τας απαρχάς, αι οποίαι προσφέρονται προς εμέ όλα δηλαδή όσα εκ μέρους των Ισραηλιτών αφιερώνονται εις εμέ τα έχω δώσει εις σε και τους απογόνους σου ως αμοιβήν σας και προνόμιον παντοτεινόν.

Αρ. 18,9 - καὶ τοῦτο ἔστω ὑμῖν ἀπὸ τῶν ἡγιασμένων ἁγίων τῶν καρπωμάτων, ἀπὸ πάντων τῶν δώρων αὐτῶν καὶ ἀπὸ πάντων τῶν θυσιασμάτων αὐτῶν καὶ ἀπὸ πάσης πλημμελείας αὐτῶν καὶ ἀπὸ πασῶν τῶν ἁμαρτιῶν αὐτῶν, ὅσα ἀποδιδόασί μοι ἀπὸ πάντων τῶν ἁγίων, σοὶ ἔσται καί τοῖς υἱοῖς σου.

Αρ. 18,9 - Από αυτά, που προσφέρονται εις εμέ ως θυσίαι, θα ανήκουν εις σας· Ολαι αι αναίμακτοι θυσίαι, όλαι αι αιματηραί θυσίαι αι οποίαι προσφέρονται δια πλημμέλειαν η βαρυτέραν αμαρτίαν. Ολαι αυταί αι προσφοραί,αι οποίαι προς εμέ προσφέρονται και είναι δια τούτο ηγιασμέναι, θα ανήκουν εις σε και στους υιούς σου.

Αρ. 18,10 - ἐν τῷ ἁγίῳ τῶν ἁγίων φάγεσθε αὐτά· πᾶν ἀρσενικὸν φάγεται αὐτά, σὺ καὶ οἱ υἱοί σου· ἅγια ἔσται σοι.

Αρ. 18,10 - Θα τρώγετε αυτάς εις τόπους αγίους. Αλλά μόνον οι άρρενες, συ και οι υιοί σου, θα τα τρώγετε. Θα είναι αυτά άγια δια σέ.

Αρ. 18,11 - καὶ τοῦτο ἔσται ὑμῖν ἀπαρχὴ δομάτων αὐτῶν· ἀπὸ πάντων τῶν ἐπιθεμάτων τῶν υἱῶν Ἰσραὴλ σοὶ δέδωκα αὐτὰ καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου μετὰ σοῦ, νόμιμον αἰώνιον· πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτά.

Αρ. 18,11 - Και τούτο ακόμη θα ανήκη εις σας· αι απαρχαί των προϊόντων, που θα προσφέρονται από τους Ισραηλίτας επίσης όλαι αι θυσίαι των “επιθεμάτων” που προσφέρουν οι Ισραηλίται, τας έχω δώσει εις

σε και εις τα παιδιά σου και εις τας θυγατέρας σου, στους απογόνους σου ως παντοτεινόν δικαίωμα. Καθε καθαρός από την οικογένειάν σου και τον οίκον σου θα έχη δικαίωμα να τρώγη αυτά.

Αρ. 18,12 - πᾶσα ἀπαρχὴ ἐλαίου καὶ πᾶσα ἀπαρχὴ οἴνου καὶ σίτου, ἀπαρχὴ αὐτῶν, ὅσα ἂν δῶσι τῷ Κυρίῳ, σοὶ δέδωκα αὐτά.

Αρ. 18,12 - Καθε απαρχήν ελαίου, απαρχήν οίνου και σίτου, γενικώς κάθε απαρχήν των προϊόντων, που θα προσφέρουν στον Κυριον οι Ισραηλίται, τα δίδω εγώ εις σέ.

Αρ. 18,13 - τὰ πρωτογεννήματα πάντα, ὅσα ἐν τῇ γῇ αὐτῶν, ὅσα ἂν ἐνέγκωσι Κυρίῳ, σοὶ ἔσται· πᾶς καθαρὸς ἐν τῷ οἴκῳ σου ἔδεται αὐτά.

Αρ. 18,13 - Ολα τα πρωτογεννήματα των καρπών, όσα παράγονται εις την χώραν σας και τα οποία θα προσφέρουν οι Ισραηλίται στον Κυριον, θα είναι ιδικά σου. Καθε καθαρός από την οικογένειάν σου θα έχη το δικαίωμα να τρώγη από αυτά.

Αρ. 18,14 - πᾶν ἀνατεθεματισμένον ἐν υἱοῖς Ἰσραὴλ σοὶ ἔσται.

Αρ. 18,14 - Καθε αυτοπροαίρετον αφιέρωμα των Ισραηλιτών προς εμέ θα είναι ιδικόν σου.

Αρ. 18,15 - καὶ πᾶν διανοῖγον μήτραν ἀπὸ πάσης σαρκός, ὅσα προσφέρουσι Κυρίῳ ἀπὸ ἀνθρώπου ἕως κτήνους, σοὶ ἔσται· ἀλλ᾽ ἢ λύτροις λυτρωθήσεται τὰ πρωτότοκα τῶν ἀνθρώπων, καὶ τὰ πρωτότοκα τῶν κτηνῶν τῶν ἀκαθάρτων λυτρώσῃ.

Αρ. 18,15 - Καθε πρωτότοκον παντός ζώου, όσα προσφέρουν οι Ισραηλίται στον Κυριον, από ανθρώπου έως κατοικιδίου ζώου, θα ανήκουν εις σέ. Αλλά τα πρωτότοκα των ανθρώπων και τα πρωτότοκα των ακαθάρτων ζώων θα εξαγοράζονται με χρήματα.

Αρ. 18,16 - καὶ ἡ λύτρωσις αὐτοῦ ἀπὸ μηνιαίου· ἡ συντίμησις πέντε σίκλων, κατὰ τὸν σίκλον τὸν ἅγιον, εἴκοσιν ὀβολοί εἰσι.

Αρ. 18,16 - Η εξαγορά αυτών θα γίνεται ένα μήνα μετά την γέννησιν, η δε καταβαλλομένη τιμή θα είναι πέντε σίκλοι, κατά τον ιερόν σίκλον της Σκηνής, ο οποίος έχει είκοσι οβολούς.

Αρ. 18,17 - πλὴν πρωτότοκα μόσχων καὶ πρωτότοκα προβάτων καὶ πρωτότοκα αἰγῶν οὐ λυτρώσῃ, ἅγιά ἐστι· καὶ τὸ αἷμα αὐτῶν προσχεεῖς πρὸς τὸ θυσιαστήριον καὶ τὸ στέαρ ἀνοίσεις κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ,

Αρ. 18,17 - Τα πρωτότοκα όμως των μόσχων, τα πρωτότοκα των προβάτων και των αιγών δεν θα εξαγοράζονται· αυτά προορίζονται δια θυσίαν. Το δε αίμα αυτών θα το χύσης κάτω από το θυσιαστήριον και το λίπος των θα προσφέρης θυσίαν ευάρεστον στον Κυριον.

Αρ. 18,18 - καὶ τὰ κρέα ἔσται σοί· καθὰ καὶ τὸ στηθύνιον τοῦ ἐπιθέματος καὶ κατὰ τὸν βραχίονα τὸν δεξιὸν σοὶ ἔσται.

Αρ. 18,18 - Τα κρέατα όμως αυτών θα ανήκουν εις σέ, όπως επίσης εις σε θα ανήκη το στήθος, που έχει προσφερθή ως θυσία επιθέματος, και η δεξιά ωμοπλάτη.

Αρ. 18,19 - πᾶν ἀφαίρεμα τῶν ἁγίων, ὅσα ἐὰν ἀφέλωσιν οἱ υἱοὶ Ἰσραὴλ Κυρίῳ, δέδωκά σοι καὶ τοῖς υἱοῖς σου καὶ ταῖς θυγατράσι σου μετὰ σοῦ, νόμιμον αἰώνιον· διαθήκη ἁλὸς αἰωνίου ἔστιν ἔναντι Κυρίου σοὶ καὶ τῷ σπέρματί σου μετὰ σέ.

Αρ. 18,19 - Γενικώς κάθε αφιέρωμα από τας αγίας προσφοράς, τας οποίας οι Ισραηλίται θα προσφέρουν προς τον Κυριον, το έχω δώσει εις σέ, στους υιούς σου και τας θυγατέρας σου ως παντοτεινόν δικαίωμα. Αυτά θα είναι “συμφωνία άλατος”, παντοτεινή δηλαδή συμφωνία μεταξύ εμού του Κυρίου, σου και των απογόνων σου”.

Αρ. 18,20 - Καὶ ἐλάλησε Κύριος πρὸς Ἀαρών· ἐν τῇ γῇ αὐτῶν οὐ κληρονομήσεις, καὶ μερὶς οὐκ ἔσται σοι ἐν αὐτοῖς, ὅτι ἐγὼ μερίς σου καὶ κληρονομία σου ἐν μέσῳ τῶν υἱῶν Ἰσραήλ.

Αρ. 18,20 - Ο Κυριος ωμίλησε προς τον Ααρών· “συ δεν θα πάρης καμμίαν κληρονομίαν εις την χώραν σας, κανένα μερίδιον δεν θα πάρης μεταξύ των Ισραηλιτών, διότι εγώ είμαι μερίδιόν σου και κληρονομία σου μεταξύ των υιών Ισραήλ.

Αρ. 18,21 - καὶ τοῖς υἱοῖς Λευὶ ἰδοὺ δώδεκα πᾶν ἐπιδέκατον ἐν Ἰσραὴλ ἐν κλήρῳ ἀντὶ τῶν λειτουργιῶν αὐτῶν, ὅσα αὐτοὶ λειτουργοῦσι λειτουργίαν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

Αρ. 18,21 - Εις δε τους Λευΐτας έδωκα το δέκατον από όλα τα εισοδήματα των Ισραηλιτών αντί των υπηρεσιών, τας οποίας αυτοί προσφέρουν εις την Σκηνήν του Μαρτυρίου.

Αρ. 18,22 - καὶ οὐ προσελεύσονται ἔτι οἱ υἱοὶ Ἰσραὴλ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου λαβεῖν ἁμαρτίαν θανατηφόρον.

Αρ. 18,22 - Οι άλλοι Ισραηλίται δεν θα προσεγγίζουν εις την Σκηνήν του Μαρτυρίου, δια να μη διαπράξουν αμαρτίαν θανατηφόρον.

Αρ. 18,23 - καὶ λειτουργήσει ὁ Λευίτης αὐτὸς τὴν λειτουργίαν τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ αὐτοὶ λήψονται τὰ ἁμαρτήματα αὐτῶν, νόμιμον αἰώνιον εἰς τὰς γενεὰς αὐτῶν· καὶ ἐν μέσῳ υἱῶν Ἰσραὴλ οὐ κληρονομήσουσι κληρονομίαν·

Αρ. 18,23 - Οι Λευίται μόνον θα υπηρετούν εις τας υπηρεσίας της Σκηνής του Μαρτυρίου και θα υποβοηθούν τους ιερείς εις την κάθαρσιν του λαού από τα αμαρτήματά του. Αυτό θα είναι παντοτεινός νόμος εις τας γενεάς σας. Και οι Λευίται επίσης δεν θα πάρουν καμμίαν κληρονομίαν γης εν μέσω των Ισραηλιτών.

Αρ. 18,24 - ὅτι τὰ ἐπιδέκατα τῶν υἱῶν Ἰσραήλ, ὅσα ἐὰν ἀφορίσωσι Κυρίῳ, ἀφαίρεμα δέδωκα τοῖς Λευίταις ἐν κλήρῳ· διὰ τοῦτο εἴρηκα αὐτοῖς,

ἐν μέσῳ υἱῶν Ἰσραὴλ οὐ κληρονομήσουσι κλῆρον.

Αρ. 18,24 - Διότι τα δέκατα των εισοδημάτων, τα οποία οι Ισραηλίται θα προσφέρουν εις εμέ ως αφιέρωμα, τα έδωκα στους Λευΐτας ως κληρονομίαν. Δια τούτο και είπα εις αυτούς ότι δεν θα πάρουν κληρονομίαν από την γην της επαγγελίας, όπως θα πάρουν αι άλλαι φυλαί του Ισραήλ”.

Αρ. 18,25 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 18,25 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν λέγων·

Αρ. 18,26 - καὶ τοῖς Λευίταις λαλήσεις καὶ ἐρεῖς πρὸς αὐτούς· ἐὰν λάβητε παρὰ τῶν υἱῶν Ἰσραὴλ τὸ ἐπιδέκατον, ὃ δέδωκα ὑμῖν παρ᾿ αὐτῶν ἐν κλήρῳ, καὶ ἀφελεῖτε ὑμεῖς ἀπ᾿ αὐτοῦ ἀφαίρεμα Κυρίῳ ἐπιδέκατον ἀπὸ τοῦ ἐπιδεκάτου.

Αρ. 18,26 - “θα ομιλήσης προς τους Λευΐτας και θα είπης προς αυτούς· Οταν θα λαμβάνετε από τους Ισραηλίτας το δέκατον, το οποίον επήρα από αυτούς και το έδωκα αντί κληρονομίας εις σας, θα αφαιρήτε από αυτό το εν δέκατον, το επιδέκατον, το οποίον θα αφιερώνετε στον Κυριον.

Αρ. 18,27 - καὶ λογισθήσεται ὑμῖν τὰ ἀφαιρέματα ὑμῶν ὡς σῖτος ἀπὸ ἅλω καὶ ἀφαίρεμα ἀπὸ ληνοῦ.

Αρ. 18,27 - Ως τέτοια αφιερώματα επιδεκάτου θα θεωρούνται το επιδέκατον από το σιτάρι που ευρίσκεται στο αλώνι μέχρι και του οίνου που θα είναι στον ληνόν.

Αρ. 18,28 - οὕτως ἀφελεῖτε αὐτοὺς καὶ ὑμεῖς ἀπὸ πάντων τῶν ἀφαιρεμάτων Κυρίου ἀπὸ πάντων τῶν ἐπιδεκάτων ὑμῶν, ὅσα ἐὰν λάβητε παρὰ τῶν υἱῶν Ἰσραήλ, καὶ δώσετε ἀπ᾿ αὐτῶν ἀφαίρεμα Κυρίῳ Ἀαρὼν τῷ ἱερεῖ.

Αρ. 18,28 - Ετσι λοιπόν και σεις από όλα τα δέκατα των προϊόντων, που θα προσφέρουν οι Ισραηλίται προς τον Θεόν και θα είναι ιδικά σας, θα δώσετε από αυτά το εν δέκατον, αφιέρωμα προς τον Κυριον, στον αρχιερέα τον Ααρών.

Αρ. 18,29 - ἀπὸ πάντων τῶν δομάτων ὑμῶν ἀφελεῖτε ἀφαίρεμα Κυρίῳ ἢ ἀπὸ πάντων τῶν ἀπαρχῶν τὸ ἡγιασμένον ἀπ᾿ αὐτοῦ.

Αρ. 18,29 - Από όλα τα δέκατα, που θα παίρνετε, θα αφαιρήτε το δέκατον ως αφιέρωμα προς τον Κυριον και από όλας τας απαρχάς θα ξεχωρίζετε το προοριζόμενον δια τον Κυριον.

Αρ. 18,30 - καὶ ἐρεῖς πρὸς αὐτούς· ὅταν ἀφαιρῆτε τὴν ἀπαρχὴν ἀπ᾿ αὐτοῦ, καὶ λογισθήσεται τοῖς Λευίταις ὡς γένημα ἀπὸ ἅλω καὶ ὡς γένημα ἀπὸ ληνοῦ.

Αρ. 18,30 - Θα είπης προς τους Λευΐτας· Οταν σεις οι Λευίται θα αφιερώνετε τας απαρχάς ως προσφοράς προς τον Θεόν, αυταί θα είναι από το σιτάρι, που ευρίσκεται στο αλώνι, έως τον οίνον που είναι στο πατητήρι.

Αρ. 18,31 - καὶ ἔδεσθε αὐτὸ ἐν παντὶ τόπῳ ὑμεῖς καὶ οἱ οἶκοι ὑμῶν, ὅτι μισθὸς οὗτος ὑμῖν ἐστιν ἀντὶ τῶν λειτουργιῶν ὑμῶν τῶν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου.

Αρ. 18,31 - Θα τρώγετε αυτά τα αφιερώματα σεις και αι οικογένειαί σας εις κάθε τόπον, όπου θα ευρεθήτε, διότι αυτός είναι ο μισθός σας αντί των υπηρεσιών, τας οποίας προσφέρετε εις την Σκηνήν του Μαρτυρίου.

Αρ. 18,32 - καὶ οὐ λήψεσθε δι᾿ αὐτὸ ἁμαρτίαν, ὅτι ἂν ἀφαιρῆτε τὴν ἀπαρχὴν ἀπ᾿ αὐτοῦ· καὶ τὰ ἅγια τῶν υἱῶν Ἰσραὴλ οὐ βεβηλώσετε, ἵνα μὴ ἀποθάνητε.

Αρ. 18,32 - Θα είσθε δε απηλλαγμένοι από κάθε ενοχήν αμαρτίας, εάν από τας απαρχάς, τας οποίας θα λάβετε ως αφιέρωμα, προσφέρετε το καλύτερον μέρος. Οταν δε κατ' αυτόν τον τρόπον φέρεσθε και πράττετε, δεν θα βεβηλώσετε τας προσφοράς των Ισραηλιτών και δεν θα τιμωρηθήτε δια θανάτου”.

ΑΡΙΘΜΟΙ 19

Αρ. 19,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν λέγων·

Αρ. 19,1 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και τον Ααρών λέγων·

Αρ. 19,2 - αὕτη ἡ διαστολὴ τοῦ νόμου, ὅσα συνέταξε Κύριος λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ λαβέτωσαν πρὸς σὲ δάμαλιν πυῤῥὰν ἄμωμον, ἥτις οὐκ ἔχει ἐν αὐτῇ μῶμον, καὶ ᾗ οὐκ ἐπεβλήθη ἐπ᾿ αὐτὴν ζυγός.

Αρ. 19,2 - “ιδού, η τελετουργική διάταξις του νόμου, την οποίαν ο Κυριος έδωσε δια τους Ισραηλίτας· ειπέ στους Ισραηλίτας να πάρουν και να φέρουν εις σε μίαν ερυθρωπήν δάμαλιν, άμωμον, χωρίς κανένα σωματικόν ελάττωμα, και επάνω εις την οποίαν δεν ετέθη ζυγός.

Αρ. 19,3 - καὶ δώσεις αὐτὴν πρὸς Ἐλεάζαρ τὸν ἱερέα, καὶ ἐξάξουσιν αὐτὴν ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρὸν καὶ σφάξουσιν αὐτὴν ἐνώπιον αὐτοῦ.

Αρ. 19,3 - Θα δώσης αυτήν προς τον Ελεάζαρ τον ιερέα μερικοί δε άνδρες θα οδηγήσουν αυτήν έξω από το στρατόπεδον, εις καθαρόν τόπον και θα την σφάξουν ενώπιον αυτού.

Αρ. 19,4 - καὶ λήψεται Ἐλεάζαρ ἀπὸ τοῦ αἵματος αὐτῆς καὶ ῥανεῖ ἀπέναντι τοῦ προσώπου τῆς σκηνῆς τοῦ μαρτυρίου ἀπὸ τοῦ αἵματος αὐτῆς ἑπτάκις.

Αρ. 19,4 - Ο Ελεάζαρ θα πάρη από το αίμα αυτής, θα ραντίση προς το έμπροσθεν μέρος της Σκηνής του Μαρτυρίου επτά φορές.

Αρ. 19,5 - καὶ κατακαύσουσιν αὐτὴν ἐναντίον αὐτοῦ, καὶ τὸ δέρμα καὶ τὰ κρέα αὐτῆς καὶ τὸ αἷμα αὐτῆς σὺν τῇ κόπρῳ αὐτῆς κατακαυθήσεται.

Αρ. 19,5 - Κατόπιν δε θα καύσουν εξ ολοκλήρου αυτήν ενώπιόν του· θα καούν το δέρμα της, το κρέας, το αίμα και αυτή ακόμη η κόπρος της.

Αρ. 19,6 - καὶ λήψεται ὁ ἱερεὺς ξύλον κέδρινον καὶ ὕσσωπον καὶ κόκκινον καὶ ἐμβαλοῦσιν εἰς μέσον τοῦ κατακαύματος τῆς δαμάλεως.

Αρ. 19,6 - Θα λάβη ο ιερεύς ένα ξύλον κέδρινον, ένα κλωναράκι υσσώπου, μίαν κλωστήν κοκκίνην και θα ρίψη αυτά μέσα στο πυρ της καιομένης δαμάλεως.

Αρ. 19,7 - καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ ὁ ἱερεὺς καὶ λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι καὶ μετὰ ταῦτα εἰσελεύσεται εἰς τὴν παρεμβολήν, καὶ ἀκάθαρτος ἔσται ὁ ἱερεὺς ἕως ἑσπέρας.

Αρ. 19,7 - Θα πλύνη κατόπιν τα ιμάτιά του ο ιερεύς, θα λούση το σώμα του με νερό και θα εισέλθη εις την κατασκήνωσιν. Αλλά και εκεί θα είναι ακάθαρτος έως την εσπέραν.

Αρ. 19,8 - καὶ ὁ κατακαίων αὐτὴν πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται τὸ σῶμα αὐτοῦ καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Αρ. 19,8 - Και ο Ισραηλίτης επίσης, ο οποίος ανέλαβε και έκαυσε την δάμαλιν, θα πλύνη τα ενδύματά του, θα λούση το σώμα του, και θα είναι πάλιν ακάθαρτος έως την εσπέραν.

Αρ. 19,9 - καὶ συνάξει ἄνθρωπος καθαρὸς τὴν σποδὸν τῆς δαμάλεως καὶ ἀποθήσει ἔξω τῆς παρεμβολῆς εἰς τόπον καθαρόν, καὶ ἔσται τῇ συναγωγῇ υἱῶν Ἰσραὴλ εἰς διατήρησιν, ὕδωρ ῥαντισμοῦ, ἄγνισμά ἐστι.

Αρ. 19,9 - Ενας δε άλλος άνθρωπος, καθαρός, θα μαζεύση την στάκτην της καείσης δαμάλεως και θα τοποθετήση αυτήν εις τόπον καθαρόν, έξω από το στρατόπεδον. Θα φυλάσσεται εκεί από τον ισραηλιτικόν λαόν, να του χρησιμεύη δια το ύδωρ του ραντισμού, θα είναι προς εξαγνισμόν, θα είναι άγνισμα.

Αρ. 19,10 - καὶ ὁ συνάγων τὴν σποδιὰν τῆς δαμάλεως πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας. καὶ ἔσται τοῖς υἱοῖς Ἰσραὴλ καὶ τοῖς προσηλύτοις προσκειμένοις νόμιμον αἰώνιον.

Αρ. 19,10 - Ο άνθρωπος, που θα μαζεύση την στάκτην της δαμάλεως, θα πλύνη και αυτός τα ενδύματά του και θα είναι ακάθαρτος έως την εσπέραν. Αυτό θα είναι διάταξις παντοτεινή τόσον δια τους Ισραηλίτας όσον και δια τους ξένους, οι οποίοι μένουν μεταξύ αυτών.

Αρ. 19,11 - Ὁ ἁπτόμενος τοῦ τεθνηκότος πάσης ψυχῆς ἀνθρώπου ἀκάθαρτος ἔσται ἑπτὰ ἡμέρας·

Αρ. 19,11 - Εκείνος που θα εγγίση το σώμα νεκρού ανθρώπου, θα είναι ακάθαρτος επί επτά ημέρας.

Αρ. 19,12 - οὗτος ἁγνισθήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἡμέρα τῇ ἑβδόμῃ καὶ καθαρὸς ἔσται· ἐὰν δὲ μὴ ἀφαγνισθῇ τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, οὐ καθαρὸς ἔσται.

Αρ. 19,12 - Αυτός θα καθαρισθή (δια ραντισμού) την τρίτην και την εβδόμην ημέραν, και θα είναι κατόπιν καθαρός. Εάν όμως δεν καθαρισθή την τρίτην και την εβδόμην ημέραν, δεν θα είναι καθαρός.

Αρ. 19,13 - πᾶς ὁ ἁπτόμενος τοῦ τεθνηκότος ἀπὸ ψυχῆς ἀνθρώπου, ἐὰν ἀποθάνῃ, καὶ μὴ ἀφαγνισθῇ, τὴν σκηνὴν Κυρίου ἐμίανεν· ἐκτριβήσεται ἡ ψυχὴ ἐκείνη ἐξ Ἰσραήλ, ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιεῤῥαντίσθη ἐπ᾿ αὐτόν, ἀκάθαρτός ἐστιν, ἔτι ἡ ἀκαθαρσία αὐτοῦ ἐν αὐτῷ ἐστι.

Αρ. 19,13 - Εκείνος ο οποίος θα εγγίση το νεκρόν σώμα οιουδήποτε ανθρώπου και δεν καθαρισθή, όπως ελέχθη ανωτέρω, εμόλυνε την Σκηνήν του Μαρτυρίου. Αυτός ο άνθρωπος θα ξερριζωθή ανάμεσα από τον ισραηλιτικόν λαόν, διότι δεν ερραντίσθη με το ύδωρ του εξαγνισμού, και είναι ακάθαρτος· ο μολυσμός μένει και θα μένη εις αυτόν.

Αρ. 19,14 - Καὶ οὗτος ὁ νόμος· ἄνθρωπος ἐὰν ἀποθάνῃ ἐν οἰκίᾳ, πᾶς ὁ εἰσπορευόμενος εἰς τὴν οἰκίαν καὶ ὅσα ἐστὶν ἐν τῇ οἰκίᾳ, ἀκάθαρτα ἔσται ἑπτὰ ἡμέρας.

Αρ. 19,14 - Αυτός είναι ο νόμος του καθαρισμού ειδικώτερον· εάν ένας άνθρωπος αποθάνη εις την οικίαν. Καθένας που εισέρχεται εις αυτήν και όσα υπάρχουν εις αυτήν, θα είναι ακάθαρτα επί επτά ημέρας.

Αρ. 19,15 - καὶ πᾶν σκεῦος ἀνεῳγμένον, ὅσα οὐχὶ δεσμὸν καταδέδεται ἐπ᾿ αὐτῷ, ἀκάθαρτά ἐστι.

Αρ. 19,15 - Καθε δοχείον ανοικτόν και όλα τα δοχεία, τα οποία δεν είναι σκεπασμένα με το κάλυμμά των, θα θεωρούνται ακάθαρτα.

Αρ. 19,16 - καὶ πᾶς, ὃς ἐὰν ἅψηται ἐπὶ προσώπου τοῦ πεδίου τραυματίου ἢ νεκροῦ ἢ ὀστέου ἀνθρωπίνου ἢ μνήματος, ἑπτὰ ἡμέρας ἀκάθαρτος ἔσται.

Αρ. 19,16 - Εκείνος ο οποίος θα εγγίση στο έδαφος πεδιάδος νεκρόν φονευθέντα η φυσικώς αποθανόντα η άνθρωπινον οστούν, η μνήμα, θα είναι ακάθαρτος επί επτά ημέρας.

Αρ. 19,17 - καὶ λήψονται τῷ ἀκαθάρτῳ ἀπὸ τῆς σποδιᾶς τῆς κατακεκαυμένης τοῦ ἁγνισμοῦ καὶ ἐκχεοῦσιν ἐπ᾿ αὐτὴν ὕδωρ ζῶν εἰς σκεῦος·

Αρ. 19,17 - Δια κάθε τέτοιον ακάθαρτον θα πάρουν από την προς εξαγνισμόν στάκτην της καείσης δαμάλεως θα την θέσουν εις δοχείον, που περιέχει πηγαίον ύδωρ.

Αρ. 19,18 - καὶ λήψεται ὕσσωπον καὶ βάψει εἰς τὸ ὕδωρ ἀνὴρ καθαρός, καὶ περιῤῥανεῖ ἐπὶ τὸν οἶκον καὶ ἐπὶ τὰ σκεύη καὶ ἐπὶ τὰς ψυχάς, ὅσαι ἂν

ὦσιν ἐκεῖ, καὶ ἐπὶ τὸν ἡμμένον τοῦ ὀστέου τοῦ ἀνθρωπίνου ἢ τοῦ τραυματίου ἢ τοῦ τεθνηκότος ἢ τοῦ μνήματος·

Αρ. 19,18 - και, άνθρωπος καθαρός θα πάρη ύσσωπον, θα βυθίση αυτόν στο ύδωρ και θα ραντίση το σπίτι και τα σκεύη και όλους τους ανθρώπους, που υπάρχουν εκεί, θα ραντίση και εκείνον που ήγγισεν ανθρώπινον οστούν η φονευμένον η φυσιολογικώς αποθανόντα η μνήμα.

Αρ. 19,19 - καὶ περιῤῥανεῖ ὁ καθαρὸς ἐπὶ τὸν ἀκάθαρτον ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἀφαγνισθήσεται τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ καὶ λούσεται ὕδατι καὶ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Αρ. 19,19 - Ενας καθαρός άνθρωπος θα ραντίση τον ακάθαρτον τούτον την τρίτην ημέραν και την εβδόμην η μέραν, και κατά την εβδόμην ημέραν θα εξαγνισθή αυτός από τον μολυσμόν. Θα πλύνη τα ενδύματά του, θα λουσθή με νερό και θα είναι ακάθαρτος έως το βράδυ.

Αρ. 19,20 - καὶ ἄνθρωπος, ὃς ἐὰν μιανθῇ καὶ μὴ ἀφαγνισθῇ, ἐξολοθρευθήσεται ἡ ψυχὴ ἐκείνη ἐκ μέσου τῆς συναγωγῆς, ὅτι τὰ ἅγια Κυρίου ἐμίανεν, ὅτι ὕδωρ ῥαντισμοῦ οὐ περιεῤῥαντίσθη ἐπ᾿ αὐτόν, ἀκάθαρτός ἐστι.

Αρ. 19,20 - Ο άνθρωπος όμως, ο οποίος θα μολυνθή και δεν θα θελήση να εξαγνισθή κατά τα ανωτέρω, θα εξολοθρευθή ανάμεσα από τον ισραηλιτικόν λαόν, διότι εμόλυνε τα Αγια του Θεού, δεν ερραντίσθη με το ύδωρ του εξαγνισμού και είναι ακάθαρτος.

Αρ. 19,21 - καὶ ἔσται ὑμῖν νόμιμον αἰώνιον· καὶ ὁ περιῤῥαίνων ὕδωρ ῥαντισμοῦ πλυνεῖ τὰ ἱμάτια αὐτοῦ, καὶ ὁ ἁπτόμενος τοῦ ὕδατος τοῦ ῥαντισμοῦ ἀκάθαρτος ἔσται ἕως ἑσπέρας·

Αρ. 19,21 - Αυτό θα είναι παντοτεινός νόμος δια σας. Και εκείνος ο οποίος θα ραντίση τον ακάθαρτον με το ύδωρ του εξαγνισμού, θα πλύνη τα ενδύματά του. Και εκείνος ακόμη που εγγίζει το ύδωρ του ραντισμού, θα είναι ακάθαρτος έως την εσπέραν.

Αρ. 19,22 - καὶ παντὸς οὗ ἐὰν ἅψηται αὐτοῦ ὁ ἀκάθαρτος, ἀκάθαρτον ἔσται, καὶ ψυχὴ ἡ ἁπτομένη ἀκάθαρτος ἔσται ἕως ἑσπέρας.

Αρ. 19,22 - Καθε τι το οποίον θα εγγίζη ο ακάθαρτος, θα είναι ακάθαρτον· και εκείνος ακόμη που θα εγγίση τον ακάθαρτον, θα είναι ακάθαρτος έως την εσπέραν.

## ΑΡΙΘΜΟΙ 20

Αρ. 20,1 - Καὶ ἦλθον οἱ υἱοὶ Ἰσραὴλ πᾶσα ἡ συναγωγὴ εἰς τὴν ἔρημον Σίν, ἐν τῷ μηνὶ τῷ πρώτῳ, καὶ κατέμεινεν ὁ λαὸς ἐν Κάδης, καὶ ἐτελεύτησεν

ἐκεῖ Μαριὰμ καὶ ἐτάφη ἐκεῖ.

Αρ. 20,1 - Ηλθον οι Ισραηλίται, όλος ο ισραηλιτικός λαός, εις την έρημον Σιν κατά τον πρώτον μήνα και εγκατεστάθησαν εις Καδης. Εκεί απέθανε και ετάφη η Μαριάμ, αδελφή του Μωϋσέως.

Αρ. 20,2 - καὶ οὐκ ἦν ὕδωρ τῇ συναγωγῇ, καὶ ἠθροίσθησαν ἐπὶ Μωυσῆν καὶ Ἀαρών.

Αρ. 20,2 - Εις Καδης δεν υπήρχεν ύδωρ δια τον λαόν. Οι Ισραηλίται δυσφορούντες και αγανακτούντες συνεκεντρώθησαν και ήλθον προς τον Μωϋσήν και τον Ααρών.

Αρ. 20,3 - καὶ ἐλοιδορεῖτο ὁ λαὸς πρὸς Μωυσῆν λέγοντες· ὄφελον ἀπεθάνομεν ἐν τῇ ἀπωλείᾳ τῶν ἀδελφῶν ἡμῶν ἔναντι Κυρίου·

Αρ. 20,3 - Αυτοί ύβριζον και κατεφέροντο εναντίον του Μωϋσέως λέγοντες· “είθε να είχαμεν αποθάνει και ημείς μαζή με τους αδελφούς μας, τον Κορέ και τους άλλους στασιαστάς ενώπιον του Κυρίου (αντί να ταλαιπωρούμεθα από την δίψαν εις την κατάξηρον αυτήν περιοχήν).

Αρ. 20,4 - καὶ ἱνατί ἀνηγάγετε τὴν συναγωγὴν Κυρίου εἰς τὴν ἔρημον ταύτην ἀποκτεῖναι ἡμᾶς καὶ τὰ κτήνη ἡμῶν;

Αρ. 20,4 - Διατί σεις εφέρατε ημάς, τον λαόν του Κυρίου, εις την έρημον αυτήν γην; Θέλετε να φονεύσετε ημάς και τα ζώα μας;

Αρ. 20,5 - καὶ ἱνατί τοῦτο; ἀνηγάγετε ἡμᾶς ἐξ Αἰγύπτου παραγενέσθαι εἰς τὸν τόπον τὸν πονηρὸν τοῦτον, τόπος οὗ οὐ σπείρεται, οὐδὲ συκαῖ, οὐδὲ ἄμπελοι, οὔτε ῥοαί, οὔτε ὕδωρ ἐστὶ πιεῖν.

Αρ. 20,5 - Διατί το εκάματε αυτό; Μας εβγάλατε από την Αίγυπτον, δια να έλθωμεν στον άγονον και ξηρόν αυτόν τόπον, όπου ούτε σπορά υπάρχει, ούτε συκιές, ούτε αμπέλια, ούτε ροδιές, ούτε νερό να πίωμεν” !

Αρ. 20,6 - καὶ ἦλθε Μωυσῆς καὶ Ἀαρὼν ἀπὸ προσώπου τῆς συναγωγῆς ἐπὶ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου καὶ ἔπεσον ἐπὶ πρόσωπον, καὶ ὤφθη ἡ δόξα Κυρίου πρὸς αὐτούς.

Αρ. 20,6 - Ο Μωϋσής και ο Ααρών στενοχωρημένοι δια τον νέον αυτόν γογγυσμόν, έφυγαν από την συγκέντρωσιν εκείνην του λαού. Ηλθον εις την θύραν της Σκηνής του Μαρτυρίου και έπεσαν με το πρόσωπον κατά γης. Εφάνη τότε θεία λάμψις προς αυτούς.

Αρ. 20,7 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 20,7 - Και μίλησε ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 20,8 - λάβε τὴν ῥάβδον σου καὶ ἐκκλησίασον τὴν συναγωγὴν σὺ καὶ Ἀαρὼν ὁ ἀδελφός σου καὶ λαλήσατε πρὸς τὴν πέτραν ἐναντίον αὐτῶν, καὶ δώσει τὰ ὕδατα αὐτῆς, καὶ ἐξοίσετε αὐτοῖς ὕδωρ ἐκ τῆς πέτρας, καὶ ποτιεῖτε τὴν συναγωγὴν καὶ τὰ κτήνη αὐτῶν.

Αρ. 20,8 - “πάρε την ράβδον σου, συγκέντρωσε συ και ο Ααρών ο αδελφός σου τον λαόν και διατάξατε τον βράχον, που είναι ενώπιόν σας, και

αυτός θα αναβλύση πολλά ύδατα. Θα βγάλετε από τον βράχον ύδωρ δι' αυτούς και θα δώσετε να πίουν όλος ο λαός και τα ζώα των”.

Αρ. 20,9 - καὶ ἔλαβε Μωυσῆς τὴν ῥάβδον τὴν ἀπέναντι Κυρίου, καθὰ συνέταξε Κύριος,

Αρ. 20,9 - Επήρεν ο Μωϋσής την ράβδον, η οποία ευρίσκετο απέναντι της Κιβωτού του Μαρτυρίου, όπως διέταξεν ο Κυριος,

Αρ. 20,10 - καὶ ἐξεκλησίασε Μωυσῆς καὶ Ἀαρὼν τὴν συναγωγὴν ἀπέναντι τῆς πέτρας καὶ εἶπε πρὸς αὐτούς· ἀκούσατέ μου, οἱ ἀπειθεῖς· μὴ ἐκ τῆς πέτρας ταύτης ἐξάξομεν ὑμῖν ὕδωρ;

Αρ. 20,10 - και μαζή με τον Ααρών συνεκέντρωσε τον λαόν απέναντι από τον βράχον και είπε προς αυτούς· “ακούσατέ μου, σεις οι ανυπάκοοι και οι ανυπότακτοι· μήπως είναι δυνατόν να βγάλωμεν νερό από τον βράχον αυτόν;” ( Αν κάτι τέτοιο γίνη, θα είναι θαύμα Θεού).

Αρ. 20,11 - καὶ ἐπάρας Μωυσῆς τὴν χεῖρα αὐτοῦ ἐπάταξε τὴν πέτραν τῇ ῥάβδῳ δίς, καὶ ἐξῆλθεν ὕδωρ πολύ, καὶ ἔπιεν ἡ συναγωγὴ καὶ τὰ κτήνη αὐτῶν.

Αρ. 20,11 - Εσήκωσεν ο Μωϋσής το χέρι του, εκτύπησε δύο φορές με την ράβδον του τον βράχον και αμέσως ανέβλυσεν άφθονον ύδωρ και έπιε όλος ο Ισραηλιτικός λαός και τα ζώα αυτών.

Αρ. 20,12 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρών· ὅτι οὐκ ἐπιστεύσατε ἁγιάσαι με ἐναντίον τῶν υἱῶν Ἰσραήλ, διὰ τοῦτο οὐκ εἰσάξετε ὑμεῖς τὴν συναγωγὴν ταύτην εἰς τὴν γῆν, ἣν δέδωκα αὐτοῖς.

Αρ. 20,12 - Είπε τότε ο Κυριος προς τον Μωϋσήν και τον Ααρών· “επειδή δεν επιστεύσατε αδιστάκτως εις εμέ, ώστε με την ζωντανήν σας πίστιν να με ευπροσωπήσετε και να με δοξάσετε ενώπιον των Ισραηλιτών, δια τούτο δεν θα οδηγήσετε και δεν θα εγκαταστήσετε σστον λαόν αυτόν εις την γην, την οποίαν υπεσχέθην ότι θα δώσω εις αυτούς”.

Αρ. 20,13 - τοῦτο τὸ ὕδωρ ἀντιλογίας, ὅτι ἐλοιδορήθησαν οἱ υἱοὶ Ἰσραὴλ ἔναντι Κυρίου καὶ ἡγιάσθη ἐν αὐτοῖς.

Αρ. 20,13 - Αυτός ο βράχος και η πηγή ωνομάσθη “ύδωρ αντιλογίας”, διότι οι Ισραηλίται έφεραν εκεί αντιρρήσεις και εξεφράσθησαν ανευλαβώς ενώπιον του Κυρίου, ο οποίος εν τούτοις έκαμεν εκεί θαύμα και έδειξεν εις αυτούς την δόξαν του.

Αρ. 20,14 - Καὶ ἀπέστειλε Μωυσῆς ἀγγέλους ἐκ Κάδης πρὸς βασιλέα Ἐδὼμ λέγων· τάδε λέγει ὁ ἀδελφός σου Ἰσραήλ· σὺ ἐπίστῃ πάντα τὸν μόχθον τὸν εὑρόντα ἡμᾶς,

Αρ. 20,14 - Ο Μωϋσής από την περιοχήν Καδης, όπου ευρίσκοντο, έστειλεν αγγελιαφόρους προς τον βασιλέα των Ιδουμαίων λέγων· “αυτά λέγει ο αδελφός σου ο Ισραηλιτικός λαός· συ γνωρίζεις όλας τας ταλαιπωρίας και τας πικρίας, αι οποίαι μας ευρήκαν.

Αρ. 20,15 - καὶ κατέβησαν οἱ πατέρες ἡμῶν εἰς Αἴγυπτον, καὶ παρῳκήσαμεν ἐν Αἰγύπτῳ ἡμέρας πλείους, καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι καὶ τοὺς πατέρας ἡμῶν,

Αρ. 20,15 - Πως δηλαδή οι προπάτορές μας επήγαν εις την Αίγυπτον, όπου ως ξένοι και παρεπίδημοι κατοικήσαμεν χρόνον πολύν, πως οι Αιγύπτιοι κατεβασάνισαν ημάς και τους προγόνους μας.

Αρ. 20,16 - καὶ ἀνεβοήσαμεν πρὸς Κύριον, καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς ἡμῶν καὶ ἀποστείλας ἄγγελον ἐξήγαγεν ἡμᾶς ἐξ Αἰγύπτου, καὶ νῦν ἐσμεν ἐν Κάδης πόλει, ἐκ μέρους τῶν ὁρίων σου·

Αρ. 20,16 - Εκραυγάσαμεν με θερμάς προσευχάς προς τον Κυριον και ο Κυριος ήκουσε την ικεσίαν μας. Εστειλεν άγγελον και μας έβγαλεν ελευθέρους από την Αίγυπτον. Και ιδού τώρα ευρισκόμεθα εις την περιοχήν Καδης κοντά εις τα σύνορά σου.

Αρ. 20,17 - παρελευσόμεθα διὰ τῆς γῆς σου, οὐ διελευσόμεθα δι᾿ ἀγρῶν, οὐδὲ δι᾿ ἀμπελώνων, οὐδὲ πιόμεθα ὕδωρ ἐκ λάκκου σου, ὁδῷ βασιλικῇ πορευσόμεθα, οὐκ ἐκκλινοῦμεν δεξιὰ οὐδὲ εὐώνυμα, ἕως ἂν παρέλθωμεν τὰ ὅριά σου.

Αρ. 20,17 - Σε παρακαλούμεν να μας επιτρέψης, όπως διέλθωμεν δια μέσου της χώρας σου. Σε διαβεβαιούμεν ότι δεν θα περάσωμεν δια μέσου των αγρών σου, ούτε δια μέσου των αμπελώνων σου, ούτε καν θα πίωμεν νερά από τα φρέατά σου. Θα βαδίσωμεν στον δημόσιον, στον κεντρικόν δρόμον· δεν θα παρεκκλίνωμεν ούτε δεξιά ούτε αριστερά και έτσι θα περάσωμεν τα όρια της χώρας σου”.

Αρ. 20,18 - καὶ εἶπε πρὸς αὐτὸν Ἐδώμ· οὐ διελεύσῃ δι᾿ ἐμοῦ, εἰ δὲ μή, ἐν πολέμῳ ἐξελεύσομαι εἰς συνάντησίν σοι.

Αρ. 20,18 - Οι Ιδουμαίοι απήντησαν προς αυτούς· “δεν θα περάσετε από την χώραν μας. Εάν τολμήσετε κάτι τέτοιο, θα εξέλθωμεν εις πόλεμον εναντίον σας”.

Αρ. 20,19 - καὶ λέγουσιν αὐτῷ οἱ υἱοὶ Ἰσραήλ· παρά τὸ ὄρος παρελευσόμεθα, ἐὰν δὲ τοῦ ὕδατός σου πίωμεν ἐγώ τε καὶ τὰ κτήνη μου, δώσω τιμήν σοι· ἀλλὰ τὸ πρᾶγμα οὐδέν ἐστι, παρὰ τὸ ὄρος παρελευσόμεθα.

Αρ. 20,19 - Οι Ισραηλίται λέγουν πάλιν εις αυτούς με αγγελιαφόρους· “θα περάσωμεν πλησίον από το όρος. Εάν πίωμεν ύδωρ ημείς και τα ζώα μας, θα σας πληρώσωμεν την αξίαν του. Δεν θα σας δημιουργήσωμεν ουδέν ζήτημα· κοντά στο όρος θα περάσωμεν”.

Αρ. 20,20 - ὁ δὲ εἶπεν· οὐ διελεύσῃ δι᾿ ἐμοῦ. καὶ ἐξῆλθεν Ἐδὼμ εἰς συνάντησιν αὐτῷ ἐν ὄχλῳ βαρεῖ καὶ ἐν χειρὶ ἰσχυρᾷ.

Αρ. 20,20 - Οι Ιδουμαίοι απήντησαν· “κατ' ουδένα τρόπον δεν θα περάσετε από την χώραν μας”. Εξήλθον δε με πολύν λαόν ισχυρώς

εξωπλισμένον, δια να πολεμήσουν, κατά του ισραηλιτικού λαού.

Αρ. 20,21 - καὶ οὐκ ἠθέλησεν Ἐδὼμ δοῦναι τῷ Ἰσραὴλ παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ· καὶ ἐξέκλινεν Ἰσραὴλ ἀπ᾿ αὐτοῦ.

Αρ. 20,21 - Δεν ηθέλησαν οι Ιδουμαίοι να δώσουν δίοδον δια μέσου των ορίων των στους Ισραηλίτας και έτσι ο Ισραηλιτικός λαός ηναγκάσθη να παρακάμψη την χώραν των Ιδουμαίων.

Αρ. 20,22 - Καὶ ἀπῆραν ἐκ Κάδης· καὶ παρεγένοντο οἱ υἱοὶ Ἰσραήλ, πᾶσα ἡ συναγωγὴ εἰς Ὢρ τὸ ὄρος.

Αρ. 20,22 - Ανεχώρησαν οι Ισραηλίται από την περιοχήν Καδης και όλον το πλήθος αυτών ήλθον στο όρος Ωρ.

Αρ. 20,23 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν καὶ Ἀαρὼν ἐν Ὢρ τῷ ὄρει ἐπὶ τῶν ὁρίων τῆς γῆς Ἐδὼμ λέγων·

Αρ. 20,23 - Είπε δε ο Κυριος προς τον Μωϋσήν και τον Ααρών εκεί στο όρος Ωρ, που ευρίσκετο εις τα σύνορα της χώρας των Ιδουμαίων·

Αρ. 20,24 - προστεθήτω Ἀαρὼν πρὸς τὸν λαὸν αὐτοῦ, ὅτι οὐ μὴ εἰσέλθητε εἰς τὴν γῆν, ἣν δέδωκα τοῖς υἱοῖς Ἰσραήλ, διότι παρωξύνατέ με ἐπὶ τοῦ ὕδατος τῆς λοιδορίας.

Αρ. 20,24 - "εδώ ας αποθάνη εν ειρήνη ο Ααρών και ας προστεθή στον εκδημήσαντα λαόν του, διότι και εκείνος και συ δεν θα εισέλθετε εις την χώραν, την οποίαν υπεσχέθην να δώσω στους Ισραηλίτας, επειδή με παρωργίσατε στο ύδωρ της αντιλογίας.

Αρ. 20,25 - λάβε τὸν Ἀαρὼν καὶ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ καὶ ἀναβίβασον αὐτοὺς εἰς Ὢρ τὸ ὄρος ἔναντι πάσης τῆς συναγωγῆς

Αρ. 20,25 - Παρε τον Ααρών και τον υιόν αυτού τον Ελεάζαρ, ανέβασέ τους στο όρος Ωρ ενώπιον όλου του λαού.

Αρ. 20,26 - καὶ ἔκδυσον Ἀαρὼν τὴν στολὴν αὐτοῦ καὶ ἔνδυσον Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ, καὶ Ἀαρὼν προστεθεὶς ἀποθανέτω ἐκεῖ.

Αρ. 20,26 - Βγάλε από τον Ααρών την αρχιερατικήν στολήν του και ένδυσε με αυτήν τον υιόν του τον Ελεάζαρ. Ο δε Ααρών ας αποθάνη εκεί, δια να προστεθή στους προγόνους του".

Αρ. 20,27 - καὶ ἐποίησε Μωυσῆς καθὰ συνέταξε Κύριος αὐτῷ, καὶ ἀνεβίβασεν αὐτὸν εἰς Ὢρ τὸ ὄρος ἐναντίον πάσης τῆς συναγωγῆς.

Αρ. 20,27 - Ο Μωϋσής έκαμε, όπως τον διέταξεν ο Κυριος. Ωδήγησε τον Ααρών στο όρος Ωρ ενώπιον όλου του ισραηλιτικού λαού.

Αρ. 20,28 - καὶ ἐξέδυσε τὸν Ἀαρὼν τὰ ἱμάτια αὐτοῦ καὶ ἐνέδυσεν αὐτὰ Ἐλεάζαρ τὸν υἱὸν αὐτοῦ· καὶ ἀπέθανεν Ἀαρὼν ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους, καὶ κατέβη Μωυσῆς καὶ Ἐλεάζαρ ἐκ τοῦ ὄρους.

Αρ. 20,28 - Εβγαλε από αυτόν τα αρχιερατικά ιμάτια και ενέδυσε με αυτά τον υιόν του τον Ελεάζαρ. Εις την κορυφήν του όρους απέθανεν ο Ααρών, ο δε Μωϋσής και ο Ελεάζαρ κατέβησαν από το όρος.

Αρ. 20,29 - καὶ εἶδε πᾶσα ἡ συναγωγή, ὅτι ἀπελύθη Ἀαρών, καὶ ἔκλαυσαν τὸν Ἀαρὼν τριάκοντα ἡμέρας πᾶς οἶκος Ἰσραήλ.

Αρ. 20,29 - Ολος ο λαός είδεν ότι απέθανεν εν ειρήνη ο Ααρών και όλοι τον έκλαυσαν επί τριάκοντα ημέρας.

ΑΡΙΘΜΟΙ 21

Αρ. 21,1 - Καὶ ἤκουσεν ὁ Χαναναῖος βασιλεὺς Ἀρὰδ ὁ κατοικῶν κατὰ τὴν ἔρημον, ὅτι ἦλθεν Ἰσραὴλ ὁδὸν Ἀθαρείν, καὶ ἐπολέμησε πρὸς Ἰσραὴλ καὶ καταπροενόμευσεν ἐξ αὐτῶν αἰχμαλωσίαν.

Αρ. 21,1 - Ο βασιλεύς της Αράδ, ο Χαναναίος ο οποίος κατοικούσε προς την έρημον (νοτίως της Παλαιστίνης) επληροφορήθη ότι οι Ισραηλίται ήρχοντο από την οδόν Αθαρείν. Εκινήθη εναντίον των και συνέλαβε μερικούς αιχμαλώτους από αυτούς.

Αρ. 21,2 - καὶ ηὔξατο Ἰσραὴλ εὐχὴν Κυρίῳ καὶ εἶπεν· ἐάν μοι παραδῷς τὸν λαὸν τοῦτον ὑποχείριον, ἀναθεματιῶ αὐτὸν καὶ τὰς πόλεις αὐτοῦ.

Αρ. 21,2 - Οι Ισραηλίται, δικαίως αγανακτήσαντες, έκαμαν τάμα προς τον Κυριον και είπαν· “εάν δώσης εις τα χέρια μας νικημένον τον λαόν αυτόν, θα αφιερώσωμεν ως ανάθεμα αυτόν και τας πόλστου”.

Αρ. 21,3 - καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς Ἰσραὴλ καὶ παρέδωκε τὸν Χαναναῖον ὑποχείριον αὐτοῦ, καὶ ἀνεθεμάτισεν αὐτὸν καὶ τὰς πόλεις αὐτοῦ· καὶ ἐπεκάλεσαν τὸ ὄνομα τοῦ τόπου ἐκείνου Ἀνάθεμα.

Αρ. 21,3 - Ο Κυριος ήκουσε την δέησιν και το τάμα των Ισραηλιτών και παρέδωκεν εις τα χέρια των τον βασιλέα Χαναναίων και το βασίλειόν του. Εκείνοι δε αφιέρωσαν προς τον Θεόν ως ανάθεμα αυτόν και τας πόλστου, καταστρέψαντες αυτάς, χωρίς να πάρουν τίποτε από αυτάς ως λάφυρον. Δια τούτο επωνόμασαν τον τόπον εκείνον “Ανάθεμα”.

Αρ. 21,4 - Καὶ ἀπάραντες ἐξ Ὢρ τοῦ ὄρους ὁδὸν ἐπὶ θάλασσαν ἐρυθρὰν περιεκύκλωσαν γῆν Ἐδώμ· καὶ ὠλιγοψύχησεν ὁ λαὸς ἐν τῇ ὁδῷ.

Αρ. 21,4 - Κατόπιν οι Ισραηλίται εξεκίνησαν από το όρος Ωρ, επήραν κατέθυνσιν προς την Ερυθράν Θαλασσαν και βάδισαν κύκλω από την χώραν των Ιδουμαίων. Κατά την πορείαν όμως αυτήν ωλιγοψύχησεν ο λαός·

Αρ. 21,5 - καὶ κατελάλει ὁ λαὸς πρὸς τὸν Θεὸν καὶ κατὰ Μωυσῆ λέγοντες· ἱνατί τοῦτο; ἐξήγαγες ἡμᾶς ἐξ Αἰγύπτου, ἀποκτεῖναι ἐν τῇ ἐρήμῳ; ὅτι οὐκ ἔστιν ἄρτος οὐδὲ ὕδωρ, ἡ δὲ ψυχὴ ἡμῶν προσώχθισεν ἐν τῷ ἄρτῳ τῷ διακένῳ τούτῳ.

Αρ. 21,5 - εγόγγυζον και κατεφέροντο πάλιν εναντίον του Θεού και του Μωυσέως λέγοντες· τι είναι αυτό που επάθαμεν; Μας έβγαλες από την Αίγυπτον, δια να μας θανατώσης εις την έρημον; Διότι εδώ δεν υπάρχει, ούτε

ψωμί ούτε νερό. Η ψυχή μας εβαρύνθη πλέον και αηδίασε τον άνοστον και κούφιον αυτόν άρτον, το μάννα”.

Αρ. 21,6 - καὶ ἀπέστειλε Κύριος εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν λαόν, καὶ ἀπέθανε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ.

Αρ. 21,6 - Ηγανάκτησεν ο Κυριος εναντίον του αχαρίστου αυτού λαού και έστειλε δηλητηριώδεις θανατηφόρους όφεις, οι οποίοι εδάγκωναν τους Ισραηλίτας, ώστε πολλοί από αυτούς απέθανον.

Αρ. 21,7 - καὶ παραγενόμενος ὁ λαὸς πρὸς Μωυσῆν ἔλεγον· ὅτι ἡμάρτομεν, ὅτι κατελαλήσαμεν κατὰ τοῦ Κυρίου καὶ κατὰ σοῦ· εὖξαι οὖν πρὸς Κύριον, καὶ ἀφελέτω ἀφ᾿ ἡμῶν τὸν ὄφιν. καὶ ηὔξατο Μωυσῆς πρὸς Κύριον περὶ τοῦ λαοῦ.

Αρ. 21,7 - Συντετριμμένος τότε ο ισραηλιτικός λαός ήλθε προς τον Μωϋσήν και έλεγον εν μετανοία· “ημαρτήσαμεν, διότι κατεφέρθημεν εναντίον του Κυρίου και εναντίον σου. Προσευχήσου προς τον Κυριον και παρακάλεσέ τον να μας συγχωρήση και να διώξη εκ μέσου ημών τα φίδια”. Ο Μωυσής παρεκάλεσε πράγματι τον Κυριον υπέρ του λαού.

Αρ. 21,8 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ποίησον σεαυτῷ ὄφιν καὶ θὲς αὐτὸν ἐπὶ σημείου, καὶ ἔσται ἐὰν δάκῃ ὄφις ἄνθρωπον, πᾶς ὁ δεδηγμένος ἰδὼν αὐτὸν ζήσεται.

Αρ. 21,8 - Ο δε Κυριος είπε προς τον Μωϋσήν· κατασκεύασε χάλκινον όφιν, θέσε αυτόν εις σημείον εμφανές, επάνω εις υψηλόν πάσσαλον. Εκείνος ο οποίος θα δαγκωθή από τα δηλητηριώδη φίδια, θα βλέπη προς τον χάλκινον όφιν, θα θεραπεύεται και θα διαφεύγη τον θάνατον.

Αρ. 21,9 - καὶ ἐποίησε Μωυσῆς ὄφιν χαλκοῦν καὶ ἔστησεν αὐτὸν ἐπὶ σημείου, καὶ ἐγένετο ὅταν ἔδακνεν ὄφις ἄνθρωπον, καὶ ἐπέβλεψεν ἐπὶ τὸν ὄφιν τὸν χαλκοῦν καὶ ἔζη.

Αρ. 21,9 - Ο Μωϋσής κατεσκεύασεν ένα χάλκινον όφιν, εστερέωσεν αυτόν εις ένα υψηλόν πάσσαλον και όταν ένα φίδι εδάγκωνεν Ισραηλίτην, αυτός έστρεφε τα βλέμματά του προς τον χάλκινον όφιν, εθεραπεύετο και διέφευγε τον θάνατον.

Αρ. 21,10 - Καὶ ἀπῆραν οἱ υἱοὶ Ἰσραὴλ καὶ παρενέβαλον ἐν Ὠβώθ.

Αρ. 21,10 - Από εκεί ανεχώρησαν οι Ισραηλίται και εστρατοπέδευσαν εις Ωβώθ.

Αρ. 21,11 - καὶ ἐξάραντες ἐξ Ὠβώθ, καὶ παρενέβαλον ἐν Ἀχαλγαὶ ἐκ τοῦ πέραν ἐν τῇ ἐρήμῳ, ἥ ἐστι κατὰ πρόσωπον Μωάβ, κατ᾿ ἀνατολὰς ἡλίου.

Αρ. 21,11 - Και από εκεί όμως ανεχώρησαν και εστρατοπέδευσαν πέραν από την πόλιν Αχαλγαί, μέσα εις την έρημον, η οποία ευρίσκεται εμπρός εις την Μωάβ ανατολικά από αυτήν.

Αρ. 21,12 - καὶ ἐκεῖθεν ἀπῆραν καὶ παρενέβαλον εἰς φάραγγα Ζαρέδ.

Αρ. 21,12 - Από εκεί ανεχώρησαν και εστρατοπέδευσαν εις την κοιλάδα Ζαρέδ.

Αρ. 21,13 - καὶ ἐκεῖθεν ἀπάραντες παρενέβαλον εἰς τὸ πέραν Ἀρνῶν ἐν τῇ ἐρήμῳ, τὸ ἐξέχον ἀπὸ τῶν ὁρίων τῶν Ἀμοῤῥαίων· ἔστι γὰρ Ἀρνῶν ὅρια Μωὰβ ἀνὰ μέσον Μωὰβ καὶ ἀνὰ μέσον τοῦ Ἀμοῤῥαίου.

Αρ. 21,13 - Αναχωρήσαντες και από εκεί, εστρατοπέδευσαν πέραν από τον χείμαρρον Αρνών εις την έρημον, εις περιοχήν που εξέρχεται από τα όρια των Αμορραίων. Διότι ο χείμαρρος Αρνών είναι σύνορον μεταξύ της χώρας των Μωαβιτών και των Αμορραίων.

Αρ. 21,14 - διὰ τοῦτο λέγεται ἐν βιβλίῳ· πόλεμος τοῦ Κυρίου τὴν Ζωὸβ ἐφλόγιζε, καὶ τοὺς χειμάῤῥους Ἀρνῶν,

Αρ. 21,14 - Δια τούτο και έχει γραφή στο βιβλίον των πολέμων του Κυρίου· Ο πόλεμος του Κυρίου εφλόγισε την Ζωόβ και τον χείμαρρον Αρνών

Αρ. 21,15 - καὶ τοὺς χειμάῤῥους κατέστησε κατοικίσαι Ἤρ, καὶ πρόσκειται τοῖς ὁρίοις Μωάβ.

Αρ. 21,15 - και ωσάν χειμάρρους ωδήγησε τους Ισραηλίτας να κατοικήσουν πλησίον της Ηρ, η οποία κείται μέσα εις τα όρια της χώρας των Μωαβιτών.

Αρ. 21,16 - καὶ ἐκεῖθεν τὸ φρέαρ· τοῦτο τὸ φρέαρ, ὃ εἶπε Κύριος πρὸς Μωυσῆν· συνάγαγε τὸν λαόν, καὶ δώσω αὐτοῖς ὕδωρ πιεῖν.

Αρ. 21,16 - Από εκεί εβάδισαν και έφθασαν εις μέρος ονομαζόμενον φρέαρ. Αυτό το φρέαρ είναι εκείνο, δια το οποίον είπεν ο Κυριος προς τον Μωϋσήν· “συγκέντρωσε τον λαόν, και εγώ θα δώσω εις αυτούς νερό να πίουν”.

Αρ. 21,17 - τότε ᾖσεν Ἰσραὴλ τὸ ᾆσμα τοῦτο ἐπὶ τοῦ φρέατος· ἐξάρχετε αὐτῷ· φρέαρ,

Αρ. 21,17 - Τοτε έψαλαν οι Ισραηλίται εκεί στο φρέαρ τούτο το άσμα· “ας αρχίσωμεν άσμα γύρω από το φρέαρ· Φρέαρ !

Αρ. 21,18 - ὤρυξαν αὐτὸ ἄρχοντες, ἐξελατόμησαν αὐτὸ βασιλεῖς ἐθνῶν ἐν τῇ βασιλείᾳ αὐτῶν, ἐν τῷ κυριεῦσαι αὐτῶν. καὶ ἀπὸ φρέατος εἰς Μανθαναείν·

Αρ. 21,18 - Αρχοντες το ήνοιξαν, βασιλείς λαών επάνω εις την δόξαν της βασιλικής των δυνάμεως έκοψαν πέτρες δια το κτίσιμον του φρέατος, όταν εκυρίευσαν τας περιοχάς εκείνας” ! Από την περιοχήν του φρέατος αυτού ήλθον οι Ισραηλίται εις Μανθαναείν.

Αρ. 21,19 - καὶ ἀπὸ Μανθαναεὶν εἰς Νααλιήλ· καὶ ἀπὸ Νααλιὴλ εἰς Βαμώθ· καὶ ἀπὸ Βαμὼθ εἰς Ἰανήν, ἥ ἐστιν ἐν τῷ πεδίῳ Μωὰβ ἀπὸ κορυφῆς τοῦ λελαξευμένου τὸ βλέπον κατὰ πρόσωπον τῆς ἐρήμου.

Αρ. 21,19 - Από Μανθαναείν ήλθον εις Νααλιήλ. Από Νααλιήλ επορεύθησαν εις Βαμώθ, και από Βαμώθ ήλθον εις Ιανήν, η οποία ευρίσκεται εις τας πεδιάδας των Μωαβιτών ολίγον απέχουσα από την

κορυφήν του Λελαξευμένου (Φασγά του όρους Ναβαύ), από όπου φαίνεται η έκτασις της ερήμου.

Αρ. 21,20 - Καὶ ἀπέστειλε Μωυσῆς πρέσβεις πρὸς Σηὼν βασιλέα Ἀμοῤῥαίων λόγοις εἰρηνικοῖς λέγων·

Αρ. 21,20 - Εστειλεν ο Μωυσής πρέσβεις προς τον Σηών, βασιλέα των Αμορραίων, παρακαλών αυτόν με ειρηνικούς λόγους·

Αρ. 21,21 - παρελευσόμεθα διὰ τῆς γῆς σου· τῇ ὁδῷ πορευσόμεθα, οὐκ ἐκκλινοῦμεν οὔτε εἰς ἀγρὸν οὔτε εἰς ἀμπελῶνα,

Αρ. 21,21 - "θα περάσωμεν δια μέσου της χώρας σου, θα βαδίσωμεν τον δημόσιον δρόμον, δεν θα παρεκκλίνωμεν ούτε στους αγρούς σας ούτε στους αμπελώνας σας·

Αρ. 21,22 - οὐ πιόμεθα ὕδωρ ἐκ φρέατός σου· ὁδῷ βασιλικῇ πορευσόμεθα, ἕως παρέλθωμεν τὰ ὅριά σου.

Αρ. 21,22 - ούτε νερό θα πίωμεν από τα φρέατά σας. Εις τον δημόσιον δρόμον θα βαδίσωμεν, έως ότου εξέλθωμεν από τα όριά σας".

Αρ. 21,23 - καὶ οὐκ ἔδωκε Σηὼν τῷ Ἰσραὴλ παρελθεῖν διὰ τῶν ὁρίων αὐτοῦ, καὶ συνήγαγε Σηὼν πάντα τὸν λαὸν αὐτοῦ καὶ ἐξῆλθε παρατάξασθαι τῷ Ἰσραὴλ εἰς τὴν ἔρημον καὶ ἦλθεν εἰς Ἰασσὰ καὶ παρετάξατο τῷ Ἰσραήλ.

Αρ. 21,23 - Ο Σηών όμως δεν επέτρεψεν στους Ισραηλίτας να διέλθουν δια μέσου της χώρας των, αλλά συνεκέντρωσε όλον τον λαόν του, εξήλθεν εις πόλεμον εναντίον του Ισραηλιτικού λαού εις την έρημον, ήλθεν εις πόλιν Ιασσά και αντιπαρετάχθη δια να πολεμήση κατά των Ισραηλιτών.

Αρ. 21,24 - καὶ ἐπάταξεν αὐτὸν Ἰσραὴλ φόνῳ μαχαίρας καὶ κατεκυρίευσαν τῆς γῆς αὐτοῦ ἀπὸ Ἀρνῶν ἕως Ἰαβόκ, ἕως υἱῶν Ἀμμάν· ὅτι Ἰαζὴρ ὅρια υἱῶν Ἀμμάν ἐστι.

Αρ. 21,24 - Οι Ισραηλίται όμως τον εκτύπησαν και τον εθανάτωσαν με τας μαχαίρας των, και εκυρίευσαν την χώραν του από τον χείμαρρον Αρνών έως τον παραπόταμον του Ιορδάνου Ιαβόκ, της χώρας των Αμμωνιτών. Η Ιαζήρ ήτο το νότιον σύνορον των Αμμωνιτών.

Αρ. 21,25 - καὶ ἔλαβεν Ἰσραὴλ πάσας τὰς πόλεις ταύτας, καὶ κατῴκησεν Ἰσραὴλ ἐν πάσαις ταῖς πόλεσι τῶν Ἀμοῤῥαίων, ἐν Ἐσεβὼν καὶ ἐν πάσαις ταῖς συγκυρούσαις αὐτῇ.

Αρ. 21,25 - Οι Ισραηλίται κατέλαβον όλας τας πόλεις της περιοχής αυτής και εγκατεστάθησαν εις τας πόλεις των Αμορραίων, εις την Εσεβών και τας πλησιοχώρους περιοχάς.

Αρ. 21,26 - ἔστι γὰρ Ἐσεβὼν πόλις Σηὼν τοῦ βασιλέως τῶν Ἀμοῤῥαίων, καὶ οὗτος ἐπολέμησε βασιλέα Μωὰβ τὸ πρότερον καὶ ἔλαβον πᾶσαν τὴν γῆν αὐτοῦ ἀπὸ Ἀροὴρ ἕως Ἀρνῶν.

Αρ. 21,26 - Η πόλις Εσεβών ήτο η πρωτεύουσα του βασιλέως των Αμορραίων Σηών. Αυτός είχε πολεμήσει προ καιρού τον βασιλέα της Μωάβ

και εκυρίευσεν όλην την χώραν αυτού από της πόλεως Αροήρ έως του ποταμού Αρνών.

Αρ. 21,27 - διὰ τοῦτο ἐροῦσιν οἱ αἰνιγματισταί· ἔλθετε εἰς Ἐσεβών, ἵνα οἰκοδομηθῇ καὶ κατασκευασθῇ πόλις Σηών.

Αρ. 21,27 - Δια τούτο και οι ποιηταί της περιοχής ψάλλουν “ελάτε εις την Εσεβών, δια να ανοικοδομηθή και κατασκευασθή εις κατοικίαν των ανθρώπων η πόλις αυτή του βασιλέως Σηών.

Αρ. 21,28 - ὅτι πῦρ ἐξῆλθεν ἐξ Ἐσεβών, φλὸξ ἐκ πόλεως Σηὼν καὶ κατέφαγεν ἕως Μωὰβ καὶ κατέπιε στήλας Ἀρνῶν.

Αρ. 21,28 - Διότι φωτιά εβγήκεν από την Εσεβών, φλόγα από την πόλιν αυτήν του βασιλέως Σηών και κατέφαγεν έως τα άκρα την χώραν των Μωαβιτών· και κατέστρεψε τας προς τιμήν των ειδώλων στήλας του ποταμού Αρνών.

Αρ. 21,29 - οὐαί σοι, Μωάβ· ἀπώλου, λαὸς Χαμώς. ἀπεδόθησαν οἱ υἱοὶ αὐτῶν διασῴζεσθαι καὶ αἱ θυγατέρες αὐτῶν αἰχμάλωτοι τῷ βασιλεῖ τῶν Ἀμοῤῥαίων Σηών·

Αρ. 21,29 - Αλλοίμονον ! αλλοίμονόν σου Μωάβ ! Εχάθηκε ο λαός του Θεού σου Χαμώς. Οι υιοί των Μωαβιτών παρεδόθησαν αιχμάλωτοι δια να σώσουν την ζωήν των και αι θυγατέρες των έγιναν αιχμάλωτοι του Σηών, βασιλέως των Αμορραίων.

Αρ. 21,30 - καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται, Ἐσεβὼν ἕως Δαιβών, καὶ αἱ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ.

Αρ. 21,30 - Οι απόγονοι αυτών εξωλοθρεύθησαν, η Εσεβών μέχρι της Δαιβών κατεστράφη. Και αυταί ακόμη αι γυναίκες των Αμορραίων άναψαν πυρκαϊάς εις τας πόλεις των Μωαβιτών”.

Αρ. 21,31 - Κατώκησε δὲ Ἰσραὴλ ἐν πάσαις ταῖς πόλεσι τῶν Ἀμοῤῥαίων.

Αρ. 21,31 - Ο ισραηλιτικός λαός εγκατεστάθη εις τας πόλεις των Αμορραίων εις την περιοχήν, που κατείχον προηγουμένως οι Μωαβίται.

Αρ. 21,32 - καὶ ἀπέστειλε Μωυσῆς κατασκέψασθαι τὴν Ἰαζήρ, καὶ κατελάβοντο αὐτὴν καὶ τὰς κώμας αὐτῆς καὶ ἐξέβαλον τὸν Ἀμοῤῥαῖον τὸν κατοικοῦντα ἐκεῖ.

Αρ. 21,32 - Από εκεί έστειλεν ο Μωϋσής ανθρώπους, δια να κατασκοπεύσουν την πόλιν Ιαζήρ. Κατόπιν δε οι Ισραηλίται κατέλαβον αυτήν και τας γύρω κώμας και εξεδίωξαν τους Αμορραίους, οι οποίοι κατοικούσαν εκεί.

Αρ. 21,33 - καὶ ἐπιστρέψαντες ἀνέβησαν ὁδὸν τὴν εἰς Βασάν· καὶ ἐξῆλθεν Ὢγ βασιλεὺς τῆς Βασὰν εἰς συνάντησιν αὐτοῖς καὶ πᾶς ὁ λαὸς αὐτοῦ εἰς πόλεμον εἰς Ἐδραείν.

Αρ. 21,33 - Από εκεί οι Ισραηλίται εξεκίνησαν και εβάδισαν βορειότερον δια της οδού, η οποία οδηγεί προς την χώραν Βασάν. Ο Ωγ όμως, ο

βασιλεύς της Βασάν, μαζή με όλον τον λαόν του εξήλθεν εις Εδραείν, δια να συναντήση και πολεμήση τους Ισραηλίτας.

Αρ. 21,34 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· μὴ φοβηθῇς αὐτόν, ὅτι εἰς τὰς χεῖράς σου παραδέδωκα αὐτὸν καὶ πάντα τὸν λαὸν αὐτοῦ καὶ πᾶσαν τὴν γῆν αὐτοῦ, καὶ ποιήσεις αὐτῷ καθὼς ἐποίησας τῷ Σηὼν βασιλεῖ τῶν Ἀμοῤῥαίων, ὃς κατῴκει ἐν Ἐσεβών.

Αρ. 21,34 - Αλλά ο Κυριος είπε προς τον Μωϋσήν· “μη φοβηθής αυτόν, διότι εγώ έχω ήδη παραδώσει εις τα χέρια σου αυτόν, όλον τον λαόν του και όλην την χώραν του. Θα κάμης εις αυτόν, ο,τι έπραξες στον βασιλέα των Αμορραίων Σηών, ο οποίος κατοικούσε εις την Εσεβών”.

Αρ. 21,35 - καὶ ἐπάταξεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ πάντα τὸν λαὸν αὐτοῦ, ἕως τοῦ μὴ καταλιπεῖν αὐτοῦ ζωγρείαν· καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτοῦ.

Αρ. 21,35 - Πράγματι ο Μωϋσής εκτύπησε τον Ωγ, τους υιούς του και όλον τον λαόν του, ώστε δεν έμεινε κανείς ζωντανός, δια να συλληφθή αιχμάλωτος. Οι Ισραηλίται κατέκτησαν την χώραν του Ωγ, την Βασάν.

## ΑΡΙΘΜΟΙ 22

Αρ. 22,1 - Καὶ ἀπάραντες οἱ υἱοὶ Ἰσραὴλ παρενέβαλον ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχώ.

Αρ. 22,1 - Από εκεί εξεκίνησαν και επροχώρησαν οι Ισραηλίται και στρατοπέδευσαν προς δυσμάς της χώρας Μωάβ, παρά τον Ιορδάνην ποταμόν απέναντι από την Ιεριχώ.

Αρ. 22,2 - καὶ ἰδὼν Βαλὰκ υἱὸς Σεπφὼρ πάντα ὅσα ἐποίησεν Ἰσραὴλ τῷ Ἀμοῤῥαίῳ,

Αρ. 22,2 - Ο Βαλάκ, υιός του Σεπφώρ, όταν είδε όσα έκαμαν οι Ισραηλίται εναντίον των Αμορραίων,

Αρ. 22,3 - καὶ ἐφοβήθη Μωὰβ τὸν λαὸν σφόδρα ὅτι πολλοὶ ἦσαν, καὶ προσώχθισε Μωὰβ ἀπὸ προσώπου υἱῶν Ἰσραήλ.

Αρ. 22,3 - εφοβήθη πολύ, αυτός και οι Μωαβίται, τους Ισραηλίτας, διότι ήσαν πολλοί. Οι δε Μωαβίται είχον κυριευθή από μίσος και αγανάκτησιν εναντίον των Ισραηλιτών.

Αρ. 22,4 - καὶ εἶπε Μωὰβ τῇ γερουσίᾳ Μαδιάμ· νῦν ἐκλείξει ἡ συναγωγὴ αὕτη πάντας τοὺς κύκλῳ ὑμῶν, ὡσεὶ ἐκλείξαι ὁ μόσχος τὰ χλωρὰ ἐκ τοῦ πεδίου. καὶ Βαλὰκ υἱὸς Σεπφὼρ βασιλεὺς Μωὰβ ἦν κατὰ τὸν καιρὸν ἐκεῖνον.

Αρ. 22,4 - Είπον δε εις την γερουσίαν των Μαδιανιτών· “ο λαός αυτός των Ισραηλιτών τώρα πλέον θα σαρώση όλους τους γύρω μας λαούς και θα

γλείψη την περιοχήν, όπως το μοσχάρι γλείφει το χλωρό χορτάρι της πεδιάδος". Ο δε Βαλακ, ο υιός του Σεπφώρ, ήτο βασιλεύς των Μωαβιτών κατά τον καιρόν εκείνον.

Αρ. 22,5 - καὶ ἀπέστειλε πρέσβεις πρὸς Βαλαὰμ υἱὸν Βεὼρ Φαθουρά, ὅ ἐστιν ἐπὶ τοῦ ποταμοῦ γῆς υἱῶν λαοῦ αὐτοῦ, καλέσαι αὐτὸν λέγων· ἰδοὺ λαὸς ἐξελήλυθεν ἐξ Αἰγύπτου καὶ ἰδοὺ κατεκάλυψε τὴν ὄψιν τῆς γῆς καὶ οὗτος ἐγκάθηται ἐχόμενός μου·

Αρ. 22,5 - Αυτός λοιπόν έστειλε πρεσβευτάς προς τον Βαλαάμ, υιόν του Βεώρ, εις Φαθουρά, η οποία ευρίσκεται πλησίον του ποταμού Ευφράτου, εις την χώραν του λαού του Βαλαάμ, δια να προσκαλέσουν αυτόν, λέγοντες· "ιδού ένας λαός ισχυρός εβγήκεν από την Αίγυπτον και εκάλυψε την επιφάνειαν της γης. Αυτός είναι τώρα εγκατεστημένος πλησίον μου.

Αρ. 22,6 - καὶ νῦν δεῦρο ἄρασαί μοι τὸν λαὸν τοῦτον, ὅτι ἰσχύει οὗτος ἢ ὑμεῖς· ἐὰν δυνώμεθα πατάξαι ἐξ αὐτῶν, καὶ ἐκβαλῶ αὐτοὺς ἐκ τῆς γῆς· ὅτι οἶδα οὓς ἐὰν εὐλογήσῃς σύ, εὐλόγηνται, καὶ οὓς ἐὰν καταράσῃ σύ, κεκατήρανται.

Αρ. 22,6 - Ελα λοιπόν τώρα εδώ και καταράσου προς χάριν μου τον λαόν αυτόν, διότι είναι πολύ ισχυρότερος από ημάς. Ισως τότε ημπορέσωμεν να κτυπήσωμεν αυτούς, να τους νικήσωμεν και να τους εκδιώξωμεν από την χώραν μας. Σου ζητώ να τους καταρασθής, διότι γνωρίζω, ότι εκείνοι, τους οποίους συ θα ευλογήσης, θα είναι ευλογημένοι· και εκείνοι, τους οποίους συ θα κοταρασθής, θα είναι καταραμένοι".

Αρ. 22,7 - καὶ ἐπορεύθη ἡ γερουσία Μωὰβ καὶ ἡ γερουσία Μαδιάμ, καὶ τὰ μαντεῖα ἐν ταῖς χερσὶν αὐτῶν, καὶ ἦλθον πρὸς Βαλαὰμ καὶ εἶπαν αὐτῷ τὰ ῥήματα Βαλάκ.

Αρ. 22,7 - Η γερουσία των Μωαβιτών και των Μαδιανιτών, έχοντες εις τα χέρια των και την αμοιβήν που θα έδιναν στον Βαλαάμ δια τα μαντικά, επορεύθησαν και ήλθαν προς τον Βαλαάμ και του διεβίδασαν τα λόγια του Βαλάκ.

Αρ. 22,8 - καὶ εἶπε πρὸς αὐτούς· καταλύσατε αὐτοῦ τὴν νύκτα, καὶ ἀποκριθήσομαι ὑμῖν πράγματα, ἃ ἂν λαλήσῃ Κύριος πρός με· καὶ κατέμειναν οἱ ἄρχοντες Μωὰβ παρὰ Βαλαάμ.

Αρ. 22,8 - Ο Βαλαάμ απήντησεν εις αυτούς· "μείνατε εδώ την νύκτα αυτήν και θα απαντήσω εις σας όσα ο Κυριος θα φανερώση εις εμέ". Οι άρχοντες των Μωαβιτών έμειναν πλησίον του Βαλαάμ.

Αρ. 22,9 - καὶ ἦλθεν ὁ Θεὸς πρὸς Βαλαὰμ καὶ εἶπεν αὐτῷ· τί οἱ ἄνθρωποι οὗτοι παρὰ σοι;

Αρ. 22,9 - Ηλθεν ο Θεός προς τον Βαλαάμ και του είπε. "Τι ζητούν οι άνθρωποι αυτοί, οι οποίοι ευρίσκονται πλησίον σου;"

Αρ. 22,10 - καὶ εἶπε Βαλαὰμ πρὸς τὸν Θεόν· Βαλὰκ υἱὸς Σεπφώρ, βασιλεὺς Μωάβ, ἀπέστειλεν αὐτοὺς πρός με λέγων·

Αρ. 22,10 - Ο Βαλαάμ απήντησεν προς τον Θεόν· "ο Βαλάκ, υιός του Σεπφώρ και βασιλεύς των Μωαβιτών, έστειλε αυτούς τους πρεσβευτάς εις εμέ, λέγων·

Αρ. 22,11 - ἰδοὺ λαὸς ἐξελήλυθεν ἐξ Αἰγύπτου καὶ κεκάλυφε τὴν ὄψιν τῆς γῆς καὶ οὗτος ἐγκάθηται ἐχόμενός μου· καὶ νῦν δεῦρο ἄρασαί μοι αὐτόν, εἰ ἄρα δυνήσομαι πατάξαι αὐτὸν καὶ ἐκβαλῶ αὐτὸν ἀπὸ τῆς γῆς.

Αρ. 22,11 - Ιδού λαός πολύς και ισχυρός εβγήκεν από την Αίγυπτον και εσκέπασεν εξ ολοκλήρου την όψιν της γης· έχει δε εγκατασταθή πλησίον μου. Ελα λοιπόν τώρα να καταρασθής προς χάριν μου αυτόν τον λαόν, μήπως και ημπορέσω να τον κτυπήσω και τον εκδιώξω από την χώραν μου".

Αρ. 22,12 - καὶ εἶπεν ὁ Θεὸς πρὸς Βαλαάμ· οὐ πορεύσῃ μετ᾿ αὐτῶν, οὐδὲ καταράσῃ τὸν λαόν· ἔστι γὰρ εὐλογημένος.

Αρ. 22,12 - Είπεν ο Θεός προς τον Βαλαάμ· "δεν θα πορευθής μαζή με τους άρχοντας αυτούς, ούτε και θα καταρασθής τον λαόν αυτόν, διότι είναι ευλογημένος".

Αρ. 22,13 - καὶ ἀναστὰς Βαλαὰμ τὸ πρωΐ εἶπε τοῖς ἄρχουσι Βαλάκ· ἀποτρέχετε πρὸς τὸν κύριον ὑμῶν· οὐκ ἀφίησί με ὁ Θεὸς πορεύεσθαι μεθ᾿ ὑμῶν.

Αρ. 22,13 - Εγερθείς ο Βαλαάμ την πρωΐαν είπεν στους άρχοντας του Βαλάκ· "επιστρέψατε προς τον κύριόν σας. Ο Θεός δεν με αφήνει να έλθω μαζή σας".

Αρ. 22,14 - καὶ ἀναστάντες οἱ ἄρχοντες Μωὰβ ἦλθον πρὸς Βαλὰκ καὶ εἶπαν· οὐ θέλει Βαλαὰμ πορευθῆναι μεθ᾿ ἡμῶν.

Αρ. 22,14 - Οι άρχοντες των Μωαβιτών ανεχώρησαν άπρακτοι, ήλθον προς τον Βαλάκ και του είπαν· "δεν θέλει ο Βαλαάμ να έλθη μαζή μας".

Αρ. 22,15 - Καὶ προσέθετο Βαλὰκ ἔτι ἀποστεῖλαι ἄρχοντας πλείους καὶ ἐντιμοτέρους τούτων.

Αρ. 22,15 - Ο Βαλάκ απέστειλε και πάλιν περισσοτέρους άρχοντας και περισσότερον επισήμους από τους πρώτους.

Αρ. 22,16 - καὶ ἦλθον πρὸς Βαλαὰμ καὶ λέγουσιν αὐτῷ· τάδε λέγει Βαλὰκ ὁ τοῦ Σεπφώρ· ἀξιῶ σε, μὴ ὀκνήσῃς ἐλθεῖν πρός με·

Αρ. 22,16 - Ηλθον αυτοί προς τον Βαλαάμ και του είπαν· "αυτά λέγει ο βασιλεύς Βαλάκ, ο υιός του Σεπφώρ· Εχω την αξίωσιν από σε να μη βραδύνης να έλθης προς εμέ.

Αρ. 22,17 - ἐντίμως γὰρ τιμήσω σε, καὶ ὅσα ἐὰν εἴπῃς, ποιήσω σοι· καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν λαὸν τοῦτον.

Αρ. 22,17 - Οταν δε έλθης εγώ θα σε τιμήσω και θα σε αμείψω πλουσίως και όσα μου είπης θα τα εκτελέσω. Ελα λοιπόν εδώ, δια να καταρασθής προς χάριν μου αυτόν τον λαόν”.

Αρ. 22,18 - καὶ ἀπεκρίθη Βαλαὰμ καὶ εἶπε τοῖς ἄρχουσι Βαλάκ· ἐὰν δῷ μοι Βαλὰκ πλήρη τὸν οἶκον αὐτοῦ ἀργυρίου καὶ χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα Κυρίου τοῦ Θεοῦ, ποιῆσαι αὐτὸ μικρὸν ἢ μέγα ἐν τῇ διανοίᾳ μου·

Αρ. 22,18 - Ο Βαλαάμ απήντησεν στους άρχοντας του Βαλάκ, λέγων· “και αν ακόμη ο Βαλάκ μου δώση όλον τον οίκον του γεμάτον αργύριον και χρυσίον, δεν θα ημπορέσω να παραβώ τον λόγον Κυρίου του Θεού και να σκεφθώ κάτι μικρόν η μεγάλον ανίιθετον προς εκείνα που μου είπεν ο Θεός.

Αρ. 22,19 - καὶ νῦν ὑπομείνατε αὐτοῦ καὶ ὑμεῖς τὴν νύκτα ταύτην, καὶ γνώσομαι τί προσθήσει Κύριος λαλῆσαι πρός με.

Αρ. 22,19 - Αλλά τώρα μείνατε και σεις εδώ αυτήν την νύκτα και θα μάθω τι θα θελήση ο Θεός να μου φανέρωση πάλιν”.

Αρ. 22,20 - καὶ ἦλθεν ὁ Θεὸς πρὸς Βαλαὰμ νυκτὸς καὶ εἶπεν αὐτῷ· εἰ καλέσαι σε πάρεισιν οἱ ἄνθρωποι οὗτοι, ἀναστὰς ἀκολούθησον αὐτοῖς· ἀλλὰ τὸ ῥῆμα, ὃ ἐὰν λαλήσω πρὸς σε, τοῦτο ποιήσεις.

Αρ. 22,20 - Ηλθεν ο Θεός προς τον Βαλαάμ κατά το διάστημα της νυκτός και είπε προς τον Βαλαάμ· “εφ' όσον οι άνθρωποι αυτοί ήλθαν να σε καλέσουν, σήκω και ακολούθησέ τους. Αλλά θα κάμης σύμφωνα με εκείνα, τα οποία εγώ θα σου φανερώσω”.

Αρ. 22,21 - καὶ ἀναστὰς Βαλαὰμ τὸ πρωΐ ἐπέσαξε τὴν ὄνον αὐτοῦ καὶ ἐπορεύθη μετὰ τῶν ἀρχόντων Μωάβ.

Αρ. 22,21 - Ηγέρθη το πρωϊ ο Βαλαάμ, εσαμάρωσε την όνον του και επορεύθη μαζή με τους άρχοντας των Μωαβιτών, (δελεασθείς και από την μεγάλην αμοιβήν).

Αρ. 22,22 - καὶ ὠργίσθη θυμῷ ὁ Θεός, ὅτι ἐπορεύθη αὐτός, καὶ ἀνέστη ὁ ἄγγελος τοῦ Θεοῦ διαβαλεῖν αὐτόν, καὶ αὐτὸς ἐπιβεβήκει ἐπὶ τῆς ὄνου αὐτοῦ, καὶ δύο παῖδες αὐτοῦ μετ᾿ αὐτοῦ.

Αρ. 22,22 - Δια τούτο ωργίσθη ο Θεός, διότι ο Βαλαάμ επορεύθη με τους άρχοντας και άγγελος Θεού παρουσιάσθη, δια να αποτρέψη αυτόν. Αυτός δε εκάθητο επάνω εις την όνον, είχε δε μαζή του και δύο υπηρέτας.

Αρ. 22,23 - καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ Θεοῦ ἀνθεστηκότα ἐν τῇ ὁδῷ καὶ τὴν ῥομφαίαν ἐσπασμένην ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἐξέκλινεν ἡ ὄνος ἐκ τῆς ὁδοῦ καὶ ἐπορεύετο εἰς τὸ πεδίον· καὶ ἐπάταξε τὴν ὄνον ἐν τῇ ῥάβδῳ αὐτοῦ τοῦ εὐθῦναι αὐτὴν ἐν τῇ ὁδῷ.

Αρ. 22,23 - Η όνος, όταν είδε τον άγγελον του Θεού να της εμποδίζη τον δρόμον και να κρατή ρομφαίαν γυμνήν στο χέρι του, παρεξέκλινε από την

οδόν και επήγαινε εις την πεδιάδα. Ο Βαλαάμ εκτύπησεν αυτήν με την ράβδον του, δια να την επαναφέρη και κατευθύνη εις την οδόν.

Αρ. 22,24 - καὶ ἔστη ὁ ἄγγελος τοῦ Θεοῦ ἐν ταῖς αὔλαξι τῶν ἀμπέλων, φραγμὸς ἐντεῦθεν καὶ φραγμὸς ἐντεῦθεν·

Αρ. 22,24 - Ο άγγελος του Θεού εστάθη εμπρός από την όνον εις τα αυλάκια των αμπέλων· από την μία μεριά των οποίων και την άλλη υπήρχον τοίχοι προς περίφραγμα αυτών.

Αρ. 22,25 - καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ Θεοῦ προσέθλιψεν ἑαυτὴν πρὸς τὸν τοῖχον καὶ ἀπέθλιψε τὸν πόδα Βαλαὰμ πρὸς τὸν τοῖχον· καὶ προσέθετο ἔτι μαστίξαι αὐτήν.

Αρ. 22,25 - Οταν η όνός είδε τον άγγελον του Θεού εστριμώχθη στον τοίχον και επίεσε προς αυτόν τον πόδα του Βαλαάμ. Ο δε Βαλαάμ την εκτύπησε και πάλιν.

Αρ. 22,26 - καὶ προσέθετο ὁ ἄγγελος τοῦ Θεοῦ καὶ ἀπελθὼν ὑπέστη ἐν τόπῳ στενῷ, εἰς ὃν οὐκ ἦν ἐκκλῖναι δεξιὰν ἢ ἀριστεράν.

Αρ. 22,26 - Ο άγγελος του Θεού επροχώρησεν, εσταμάτησεν εις δίοδον στενήν, όπου δεν ήτο δυνατόν εις την όνον να παρεκκλίνη δεξιά η αριστερά.

Αρ. 22,27 - καὶ ἰδοῦσα ἡ ὄνος τὸν ἄγγελον τοῦ Θεοῦ συνεκάθισεν ὑποκάτω Βαλαάμ· καὶ ἐθυμώθη Βαλαὰμ καὶ ἔτυπτε τὴν ὄνον τῇ ῥάβδῳ.

Αρ. 22,27 - Οταν είδεν η όνος τον άγγελον του Θεού εμπρός, εκάθησεν στο έδαφος έχουσα επάνω της τον Βαλαάμ. Αυτός εθύμωσε και εκτυπούσε συνεχώς την όνον με την ράβδον του.

Αρ. 22,28 - καὶ ἤνοιξεν ὁ Θεὸς τὸ στόμα τῆς ὄνου, καὶ λέγει τῷ Βαλαάμ· τί ἐποίησά σοι ὅτι πέπαικάς με τρίτον τοῦτο;

Αρ. 22,28 - Ηνοιξε τότε ο Θεός το στόμα της όνου, η οποία και είπε προς αυτόν· "τι σου έκαμα, ώστε τρίτην αυτήν φοράν να με κτυπάς;"

Αρ. 22,29 - καὶ εἶπε Βαλαὰμ τῇ ὄνῳ· ὅτι ἐμπέπαιχάς μοι· καὶ εἰ εἶχον μάχαιραν ἐν τῇ χειρί, ἤδη ἂν ἐξεκέντησά σε.

Αρ. 22,29 - Και ο Βαλαάμ είπεν εις την όνον· "σε κτυπώ, διότι με περιπαίζεις, και αν είχα στο χέρι μου μαχαίρι, θα σε είχα σφάξει".

Αρ. 22,30 - καὶ λέγει ἡ ὄνος τῷ Βαλαάμ· οὐκ ἐγὼ ἡ ὄνος σου, ἐφ᾿ ἧς ἐπέβαινες ἀπὸ νεότητός σου ἕως τῆς σήμερον ἡμέρας; μὴ ὑπερoράσει ὑπεριδοῦσα ἐποίησά σοι οὕτως; ὁ δὲ εἶπεν· οὐχί.

Αρ. 22,30 - Η όνος είπε προς τον Βαλαάμ· "δεν είμαι εγώ η όνος σου, επάνω εις την οποίαν εκάθησο από την νεότητά σου μέχρι της σημερινής ημέρας; Πές μου, μήπως τυχόν μέχρι σήμερα σε παρήκουσα και εφέρθην όπως τώρα;" Εκείνος της απήντησεν "όχι".

Αρ. 22,31 - ἀπεκάλυψε δὲ ὁ Θεὸς τοὺς ὀφθαλμοὺς Βαλαάμ, καὶ ὁρᾷ τὸν ἄγγελον Κυρίου ἀνθεστηκότα ἐν τῇ ὁδῷ καὶ τὴν μάχαιραν ἐσπασμένην ἐν τῇ χειρὶ αὐτοῦ καὶ κύψας προσεκύνησε τῷ προσώπῳ αὐτοῦ.

Αρ. 22,31 - Τοτε ο Θεός ήνοιξεν τα μάτια του Βαλαάμ και είδε τον άγγελον του Θεού να αντιστέκεται στον δρόμον και να κρατή στο χέρι του γυμνήν την μάχαιραν. Ο Βαλαάμ έσκυψε το πρόσωπόν του κατά γης και επροσκύνησε τον άγγελον.

Αρ. 22,32 - καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος τοῦ Θεοῦ· διατί ἐπάταξας τὴν ὄνον σου τοῦτο τρίτον; καὶ ἰδοὺ ἐγὼ ἐξῆλθον εἰς διαβολήν σου, ὅτι οὐκ ἀστεία ἡ ὁδός σου ἐναντίον μου,

Αρ. 22,32 - Είπε δε προς αυτόν ο άγγελος του Θεού· “διατί εκτύπησες την όνον σου, τρίτην μάλιστα φοράν; Ιδού εγώ εβγήκα εις τον δρόμον σου, δια να σε παρεμποδίσω, διότι η πορεία σου αυτή δεν μου είναι αρεστή.

Αρ. 22,33 - καὶ ἰδοῦσά με ἡ ὄνος ἐξέκλινεν ἀπ᾿ ἐμοῦ τρίτον τοῦτο· καὶ εἰ μὴ ἐξέκλινεν, νῦν οὖν σὲ μὲν ἀπέκτεινα, ἐκείνην δ᾿ ἂν περιεποιησάμην.

Αρ. 22,33 - Η όνος με είδε, παραμέρισεν από εμέ τρίτην φοράν. Εάν δε δεν ελοξοδρομούσε, σε μεν θα εφόνευον, εκείνην δε θα την άφηνα να ζήση”.

Αρ. 22,34 - καὶ εἶπε Βαλαὰμ τῷ ἀγγέλῳ Κυρίου· ἡμάρτηκα, οὐ γὰρ ἠπιστάμην ὅτι σύ μοι ἀνθέστηκας ἐν τῇ ὁδῷ εἰς συνάντησιν· καὶ νῦν εἰ μή σοι ἀρκέσει, ἀποστραφήσομαι.

Αρ. 22,34 - Συντετριμμένος τότε ο Βαλαάμ είπε προς τον άγγελον του Κυρίου· “ημάρτησα, διότι δεν εγνώριζα ότι συ εστάθης απέναντί μου και έφραξες τον δρόμον μου. Και τώρα εάν δεν είναι αρεστόν εις σέ, θα επιστρέψω στον τόπον μου”.

Αρ. 22,35 - καὶ εἶπεν ὁ ἄγγελος τοῦ Θεοῦ πρὸς Βαλαάμ· συμπορεύθητι μετὰ τῶν ἀνθρώπων· πλὴν τὸ ῥῆμα, ὃ ἐὰν εἴπω πρὸς σε, τοῦτο φυλάξῃ λαλῆσαι. καὶ ἐπορεύθη Βαλαὰμ μετὰ τῶν ἀρχόντων Βαλάκ.

Αρ. 22,35 - Ο δε άγγελος του Θεού, είπε προς αυτόν· “πήγαινε μαζή με τους ανθρώπους αυτούς. Αλλά πρόσεξε τα λόγια, τα οποία εγώ θα είπω προς σέ, αυτά συ θα είπης προς τον Βαλάκ”. Ο Βαλαάμ επορεύθη μαζή με τους άρχοντας του Βαλάκ.

Αρ. 22,36 - Καὶ ἀκούσας Βαλὰκ ὅτι ἥκει Βαλαάμ, ἐξῆλθεν εἰς συνάντησιν αὐτῷ, εἰς πόλιν Μωάβ, ἥ ἐστιν ἐπὶ τῶν ὁρίων Ἀρνῶν, ὅ ἐστιν ἐκ μέρους τῶν ὁρίων.

Αρ. 22,36 - Ο Βαλάκ, όταν ήκουσεν ότι έρχεται ο Βαλαάμ, εβγήκεν εις συνάντησίν του εις μίαν πόλιν των Μωαβιτών, η οποία ευρίσκεται πλησίον του πόταμου Αρνών εις κάποιο μέρος των ορίων της χώρας Μωάβ.

Αρ. 22,37 - καὶ εἶπε Βαλὰκ πρὸς Βαλαάμ· οὐχὶ ἀπέστειλα πρὸς σὲ καλέσαι σε; διατί οὐκ ἤρχου πρός με; ὄντως οὐ δυνήσομαι τιμῆσαί σε;

Αρ. 22,37 - Είπε δε ο Βαλάκ προς τον Βαλαάμ· “δεν απέστειλα προς σε ανθρώπους μου και σε εκάλεσα; Διατί δεν ήθελες να έλθης προς εμέ; Μηπως ενόμισες ότι δεν θα ημπορούσα να σε αμείψω, όπως σου αξίζει;”

Αρ. 22,38 - καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ· ἰδοὺ ἥκω πρὸς σὲ νῦν· δυνατὸς ἔσομαι λαλῆσαί τι; τὸ ῥῆμα, ὃ ἐὰν ἐμβάλῃ ὁ Θεὸς εἰς τὸ στόμα μου, τοῦτο λαλήσω.

Αρ. 22,38 - Ο Βαλαάμ απήντησεν προς τον Βαλάκ· “ιδού τώρα έχω έλθει προς σέ. Μηπως όμως και έχω την δύναμιν να σου μιλήσω κάτι από τον εαυτόν μου; Εγώ θα σου ειπώ ο,τι ο Θεός θα βάλη στο στόμα μου”.

Αρ. 22,39 - καὶ ἐπορεύθη Βαλαὰμ μετὰ Βαλάκ, καὶ ἦλθον εἰς πόλεις ἐπαύλεων.

Αρ. 22,39 - Ο Βαλαάμ επορεύθη μαζή με τον Βαλάκ και ήλθαν εις πόλεις αγροτικών περιοχών.

Αρ. 22,40 - καὶ ἔθυσε Βαλὰκ πρόβατα καὶ μόσχους καὶ ἀπέστειλε τῷ Βαλαὰμ καὶ τοῖς ἄρχουσι τοῖς μετ᾿ αὐτοῦ.

Αρ. 22,40 - Ο Βαλάκ εθυσίασεν εκεί πρόβατα και μοσχάρια και έστειλε τεμάχια από αυτά στον Βαλαάμ και τους άρχοντας, που ήσαν μαζή του.

Αρ. 22,41 - καὶ ἐγενήθη πρωΐ καὶ παραλαβὼν Βαλὰκ τὸν Βαλαὰμ ἀνεβίβασεν αὐτὸν ἐπὶ τὴν στήλην τοῦ Βαὰλ καὶ ἔδειξεν αὐτῷ ἐκεῖθεν μέρος τι τοῦ λαοῦ.

Αρ. 22,41 - Οταν δε εξημέρωσε, παρέλαβεν ο Βαλάκ τον Βαλαάμ, τους ανεβίβασεν εις υψηλόν τόπον, όπου υπήρχε η ειδωλολατρική στήλη προς τιμήν του ειδώλου Βαάλ, και από εκεί, έδειξεν εις αυτόν ένα μέρος του ισραηλιτικού λαού.

## ΑΡΙΘΜΟΙ 23

Αρ. 23,1 - Καὶ εἶπε Βαλαὰμ τῷ Βαλάκ· οἰκοδόμησόν μοι ἐνταῦθα ἑπτὰ βωμοὺς καὶ ἑτοίμασόν μοι ἐνταῦθα ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς.

Αρ. 23,1 - Ο Βαλαάμ είπεν στον Βαλάκ· “κτίσε μου εδώ επτά βωμούς και ετοίμασέ μου επτά μοσχάρια και επτά κριούς”.

Αρ. 23,2 - καὶ ἐποίησε Βαλὰκ ὃν τρόπον εἶπεν αὐτῷ Βαλαάμ, καὶ ἀνήνεγκε μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

Αρ. 23,2 - Ο Βαλάκ έκαμε όπως του είπεν ο Βαλαάμ και έφερεν ένα μοσχάρι και ένα κριον δια τον κάθε βωμόν.

Αρ. 23,3 - καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ· παράστηθι ἐπὶ τῆς θυσίας σου, καὶ πορεύσομαι εἴ μοι φανεῖται ὁ Θεὸς ἐν συναντήσει, καὶ ῥῆμα, ὃ ἐάν μοι δείξῃ, ἀναγγελῶ σοι. καὶ παρέστη Βαλὰκ ἐπὶ τῆς θυσίας αὐτοῦ, καὶ Βαλαὰμ ἐπορεύθη ἐπερωτῆσαι τὸν Θεὸν καὶ ἐπορεύθη εὐθεῖαν.

Αρ. 23,3 - Του είπε δε ο Βαλαάμ· “στάσου εδώ κοντά εις την θυσίαν σου, και εγώ θα προχωρήσω μήπως τυχόν και φανή ο Θεός εις συνάντησίν μου. Εάν ναι, τον λόγον τον οποίον θα μου φανερώση, θα σου τον

γνωστοποιήσω”. Ο Βαλάκ εστάθη πράγματι κοντά στον βωμόν της θυσίας, ενώ ο Βαλαάμ επροχώρησε να ερωτήση τον Θεόν. Κατ' ευθείαν εμπρός εβάδισε.

Αρ. 23,4 - καὶ ἐφάνη ὁ Θεὸς τῷ Βαλαάμ, καὶ εἶπε πρὸς αὐτὸν Βαλαάμ· τοὺς ἑπτὰ βωμοὺς ἡτοίμασα καὶ ἀνεβίβασα μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

Αρ. 23,4 - Παρουσιάσθη όντως ο Θεός στον Βαλαάμ, και προς Αυτόν είπεν ο Βαλαάμ· “ητοίμασα επτά βωμούς, έθεσα επάνω στον καθένα από αυτούς ένα μοσχάρι και ένα κριόν”.

Αρ. 23,5 - καὶ ἐνέβαλεν ὁ Θεὸς ῥῆμα εἰς τὸ στόμα Βαλαὰμ καὶ εἶπεν· ἐπιστραφεὶς πρὸς Βαλὰκ οὕτω λαλήσεις.

Αρ. 23,5 - Ο Θεός έβαλεν στο στόμα του Βαλαάμ τον λόγον, που έπρεπε να πη, και του είπε· “γύρισε προς τον Βαλάκ και θα ομιλήσης προς αυτόν, όπως εγώ σε ωδήγησα”.

Αρ. 23,6 - καὶ ἀπεστράφη πρὸς αὐτόν, καὶ ὅδε ἐφειστήκει ἐπὶ τῶν ὁλοκαυτωμάτων αὐτοῦ, καὶ πάντες οἱ ἄρχοντες Μωὰβ μετ᾿ αὐτοῦ. καὶ ἐγενήθη πνεῦμα Θεοῦ ἐπ᾿ αὐτῷ,

Αρ. 23,6 - Επέστρεψεν ο Βαλαάμ προς τον Βαλάκ. Εκείνος δε ήτο όρθιος κοντά εις τα ολοκαυτώματα, μαζή δε με αυτόν και οι Μωαβίται άρχοντες. Πνεύμα Θεού ήλθεν στον Βαλαάμ,

Αρ. 23,7 - καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν· ἐκ Μεσοποταμίας μετεπέμψατό με Βαλάκ, βασιλεὺς Μωάβ, ἐξ ὀρέων ἀπ᾿ ἀνατολῶν λέγων· δεῦρο ἄρασαί μοι τὸν Ἰακὼβ καὶ δεῦρο ἐπικατάρασαί μοι τὸν Ἰσραήλ.

Αρ. 23,7 - ο οποίος ήρχισε παραβολικόν λόγον και είπεν· “ο Βαλάκ, ο βασιλεύς των Μωαβιτών, έστειλε και με εκάλεσε από την Μεσοποταμίαν, από τα όρη της Ανοτολής, και μου είπε· Ελα εδώ και προς χάριν μου καταράσου τον ισραηλιτικόν λαόν.

Αρ. 23,8 - τί ἀράσωμαι ὃν μὴ ἀρᾶται Κύριος, ἢ τί καταράσωμαι ὃν μὴ καταρᾶται ὁ Θεός;

Αρ. 23,8 - Πως όμως εγώ θα καταρασσθώ εκείνον, τον οποίον ο Κυριος δεν καταράται; Τι ειδός κατάρας θα είπω εναντίον εκείνου, τον οποίον ο Θεός δεν καταράται;

Αρ. 23,9 - ὅτι ἀπὸ κορυφῆς ὀρέων ὄψομαι αὐτὸν καὶ ἀπὸ βουνῶν προσνοήσω αὐτόν. ἰδοὺ λαὸς μόνος κατοικήσει καὶ ἐν ἔθνεσιν οὐ συλλογισθήσεται.

Αρ. 23,9 - Διότι βλέπω τον λαόν αυτόν από την κορυφήν των ορέων, τον εννοώ πολύ καλά από τα βουνά, επί των οποίων ευρίσκομαι. Και ιδού ότι ο λαός αυτός θα κατοική μόνος του, δεν θα σαγκαταριθμήται και δεν θα κατατάσσεται μεταξύ των άλλων λαών.

Αρ. 23,10 - τίς ἐξηκριβάσατο τὸ σπέρμα Ἰακώβ, καὶ τίς ἐξαριθμήσεται δήμους Ἰσραήλ; ἀποθάνοι ἡ ψυχή μου ἐν ψυχαῖς δικαίων, καὶ γένοιτο τὸ

σπέρμα μου ὡς τὸ σπέρμα τούτων.

Αρ. 23,10 - Ποιός εξηκρίβωσε το πλήθος των απογόνων του Ιακώβ και ποιός θα ημπορέση να μετρήση τας φυλάς του Ισραήλ; Κανείς. Είθε δε να απέθνησκα και εγώ μαζή με τους δικαίους αυτούς ανθρώπους και οι απόγονοί μου να γίνουν πολυάριθμοι και ισχυροί, όπως είναι οι απόγονοι αυτών”.

Αρ. 23,11 - καὶ εἶπε Βαλὰκ πρὸς Βαλαάμ· τί πεποίηκάς μοι; εἰς κατάρασιν ἐχθρῶν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλόγηκας εὐλογίαν.

Αρ. 23,11 - Ο Βαλάκ είπε τότε προς τον Βαλαάμ· “τι μου έκαμες; Εγώ σε εκάλεσα να καταρασθής τους εχθρούς μου και ιδού ότι συ τους ευλόγησες ευλογίαν μεγάλην”.

Αρ. 23,12 - καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ· οὐχὶ ὅσα ἂν ἐμβάλῃ ὁ Θεὸς εἰς τὸ στόμα μου, τοῦτο φυλάξω λαλῆσαι;

Αρ. 23,12 - Είπεν ο Βαλαάμ προς τον Βαλάκ· “δεν σου είπα, ότι όσα θα βάλη ο Θεός στο στόμα μου, αυτά θα προσέξω να σου είπω;”

Αρ. 23,13 - Καὶ εἶπε πρὸς αὐτὸν Βαλάκ· δεῦρο ἔτι μετ᾿ ἐμοῦ εἰς τόπον ἄλλον, ἐξ οὗ οὐκ ὄψει αὐτὸν ἐκεῖθεν, ἀλλ᾿ ἢ μέρος τι αὐτοῦ ὄψει, πάντας δὲ οὐ μὴ ἴδῃς, καὶ κατάρασαί μοι αὐτὸν ἐκεῖθεν.

Αρ. 23,13 - Ο Βαλάκ είπε προς τον Βαλαάμ· “έλα και πάλιν μαζή μου εις άλλον τόπον, από τον οποίον δεν θα ίδης όλους τους Ισραηλίτας, αλλά ένα μέρος από τον λαόν αυτών. Δεν θα τους ίδης όλους. Από εκεί καταράσου αυτόν τον λαόν προς χάριν μου”.

Αρ. 23,14 - καὶ παρέλαβεν αὐτὸν εἰς ἀγροῦ σκοπιὰν ἐπὶ κορυφὴν λελαξευμένου καὶ ᾠκοδόμησεν ἐκεῖ ἑπτὰ βωμοὺς καὶ ἀνεβίβασε μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

Αρ. 23,14 - Παρέλαβεν αυτόν και τον ωδήγησεν εις υψηλόν μέρος ένος ορεινού αγρού εις την κορυφήν του “Λελαξευμένου”, του όρους δηλ. Ναβαύ. Εκτισεν εκεί επτά βωμούς και επάνω στον κάθε βωμόν έθεσεν ανά ένα μοσχάρι και ανά ένα κριόν.

Αρ. 23,15 - καὶ εἶπε Βαλαὰμ πρός Βαλάκ· παράστηθι ἐπὶ τῆς θυσίας σου, ἐγὼ δὲ πορεύσομαι ἐπερωτῆσαι τὸν Θεόν.

Αρ. 23,15 - Ο Βαλαάμ είπε προς τον Βαλάκ· “στάσου κοντά εις την θυσίαν σου και εγώ θα προχωρήσω να ερωτήσω τον Θεόν”.

Αρ. 23,16 - καὶ συνήντησεν ὁ Θεὸς τῷ Βαλαὰμ καὶ ἐνέβαλε ῥῆμα εἰς τὸ στόμα αὐτοῦ καὶ εἶπεν· ἀποστράφηθι πρὸς Βαλὰκ καὶ τάδε λαλήσεις.

Αρ. 23,16 - Ο Θεός συνήντησε τον Βαλαάμ, έβαλε λόγον στο στόμα του και του είπε· “γύρισε προς τον Βαλάκ και θα του είπης, ο,τι εγώ θα θέσω στο στόμα σου”.

Αρ. 23,17 - καὶ ἀπεστράφη πρὸς αὐτόν, καὶ ὅδε ἐφειστήκει ἐπὶ τῆς ὁλοκαυτώσεως αὐτοῦ, καὶ πάντες οἱ ἄρχοντες Μωὰβ μετ᾿ αὐτοῦ. καὶ εἶπεν

αὐτῷ Βαλάκ· τί ἐλάλησε Κύριος;

Αρ. 23,17 - Επέστρεψεν ο Βαλαάμ προς αυτόν, που ήτο όρθιος κοντά εις τα ολοκαυτώματά του· μαζή του δε ήσαν και όλοι οι άρχοντες των Μωαβιτών. Ηρώτησε δε αυτόν ο Βαλάκ· “τι σου είπεν ο Κυριος;”

Αρ. 23,18 - καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν· ἀνάστηθι Βαλάκ, καὶ ἄκουε· ἐνώτισαι μάρτυς, υἱὸς Σεπφώρ.

Αρ. 23,18 - Ο Βαλαάμ ήρχισε τον αλληγορικόν του λόγον και είπε· “σήκω, Βαλάκ, και άκουε· παιδί του Σεπφώρ, άνοιξε τα αυτιά σου να ακούσης ο ίδιος.

Αρ. 23,19 - οὐχ ὡς ἄνθρωπος ὁ Θεὸς διαρτηθῆναι, οὐδ᾿ ὡς υἱὸς ἀνθρώπου ἀπειληθῆναι· αὐτὸς εἴπας, οὐχὶ ποιήσει; λαλήσει, καὶ οὐχὶ ἐμμενεῖ;

Αρ. 23,19 - Ο αληθινός Θεός δεν είναι όπως ο άνθρωπος, ώστε να εξαπατηθή, δεν είναι όπως οι υιοί των ανθρώπων, ώστε να φοβηθή απειλάς. Αυτός είπε και δεν θα το εκτελέση; Θα ομιλήση αυτός και δεν θα επιμείνη μέχρι τέλους εις αυτό που είπε;

Αρ. 23,20 - ἰδοὺ εὐλογεῖν παρείλημμαι· εὐλογήσω καὶ οὐ μὴ ἀποστρέψω.

Αρ. 23,20 - Ιδού εγώ έλαβα την διαταγήν να ευλογήσω, θα ευλογήσω και δεν θα κάμω διαφορετικά.

Αρ. 23,21 - οὐκ ἔσται μόχθος ἐν Ἰακώβ, οὐδὲ ὀφθήσεται πόνος ἐν Ἰσραήλ· Κύριος ὁ Θεὸς αὐτοῦ μετ᾿ αὐτοῦ, τὰ ἔνδοξα ἀρχόντων ἐν αὐτῷ·

Αρ. 23,21 - Δεν θα υπάρχη κατάθλιψις και βαρύς σωματικός κόπος στους απογόνους του Ιακώβ, καμμία λύπη και αγωνία δεν θα παρουσιασθή στους Ισραηλίτας. Κυριος ο Θεός αυτών είναι μαζή των, όλαι αι τιμαί και αι δόξαι των αρχόντων υπάρχουν στον λαόν αυτόν.

Αρ. 23,22 - Θεὸς ὁ ἐξαγαγὼν αὐτοὺς ἐξ Αἰγύπτου· ὡς δόξα μονοκέρωτος αὐτῷ.

Αρ. 23,22 - Ο Θεός είναι εκείνος, που έβγαλεν αυτούς ελευθέρους από την Αίγυπτον. Η δύναμις του λαού αυτού είναι όμοια προς την δύναμιν του ισχυρού ρινοκέρωτος.

Αρ. 23,23 - οὐ γάρ ἐστιν οἰωνισμὸς ἐν Ἰακώβ, οὐδὲ μαντεία ἐν Ἰσραήλ· κατὰ καιρὸν ῥηθήσεται Ἰακὼβ καὶ τῷ Ἰσραήλ, τί ἐπιτελέσει ὁ Θεός.

Αρ. 23,23 - Δεν ισχύει δια τους απογόνους του Ιακώβ κανένας ειδωλολατρικός οιωνός, ούτε μαγεία και μαντεία, διότι ο Θεός κατά τον κατάλληλον καιρόν αποκαλύπτει στους Ισραηλίτας τι θα κάμη.

Αρ. 23,24 - ἰδοὺ λαὸς ὡς σκύμνος ἀναστήσεται καὶ ὡς λέων γαυρωθήσεται· οὐ κοιμηθήσεται, ἕως φάγῃ θήραν, καὶ αἷμα τραυματιῶν πίεται.

Αρ. 23,24 - Ιδού ο λαός αυτός θα εγερθή ωσάν νεαρός λέων, θα καμαρώση την μεγαλοπρέπειάν του ως μεγάλος λέων. Δεν θα κοιμηθή πριν

κατασπαράξη την λεία του και πριν πίη το αίμα εκείνων, που θα φονεύση”.

Αρ. 23,25 - καὶ εἶπε Βαλὰκ πρὸς Βαλαάμ· οὔτε κατάραις καταράσῃ μοι αὐτὸν οὔτε εὐλογῶν μὴ εὐλογήσῃς αὐτόν.

Αρ. 23,25 - Καταστενοχωρημένος ο Βαλάκ είπε προς τον Βαλαάμ· “ούτε με κατάρες θα μου καταρασθής αυτόν τον λαόν, αλλ' ούτε πάλιν με ευλογίας θα τον ευλογήσης”.

Αρ. 23,26 - καὶ ἀποκριθεὶς Βαλαὰμ εἶπε τῷ Βαλάκ· οὐκ ἐλάλησά σοι λέγων, τὸ ῥῆμα, ὃ ἐὰν λαλήσῃ ὁ Θεός, τοῦτο ποιήσω;

Αρ. 23,26 - Απεκρίθη ο Βαλαάμ και του είπεν· “δεν ωμίλησα και δεν σου είπα, ότι εγώ θα κάμω σύμφωνα με εκείνο που θα μου είπη ο Θεός;”

Αρ. 23,27 - Καὶ εἶπε Βαλὰκ πρὸς Βαλαάμ· δεῦρο παραλάβω σε εἰς τόπον ἄλλον, εἰ ἀρέσει τῷ Θεῷ, καὶ κατάρασαί μοι αὐτὸν ἐκεῖθεν.

Αρ. 23,27 - Είπε ο Βαλάκ προς τον Βαλαάμ· “έλα θα σε πάρω και θα σε οδηγήσω εις άλλον τόπον· μήπως τυχόν και αρέσει αυτό στον Θεόν και από εκεί μου καταρασθής τον ισραηλιτικόν λαόν”.

Αρ. 23,28 - καὶ παρέλαβε Βαλὰκ τὸν Βαλαὰμ ἐπὶ κορυφὴν τοῦ Φογὼρ τὸ παρατεῖνον εἰς τὴν ἔρημον.

Αρ. 23,28 - Παρέλαβε, λοιπόν, ο Βαλάκ τον Βαλαάμ και τον ωδήγησεν εις την κορυφήν του όρους Φογώρ, το οποίον εκτείνεται εις την έρημον.

Αρ. 23,29 - καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ· οἰκοδόμησόν μοι ὧδε ἑπτὰ βωμοὺς καὶ ἑτοίμασόν μοι ὧδε ἑπτὰ μόσχους καὶ ἑπτὰ κριούς.

Αρ. 23,29 - Είπεν ο Βαλαάμ προς τον Βαλάκ· “κτίσε μου πάλιν εδώ επτά βωμούς και ετοίμασέ μου επτά μοσχάρια και επτά κριούς”.

Αρ. 23,30 - καὶ ἐποίησε Βαλὰκ καθάπερ εἶπεν αὐτῷ Βαλαάμ, καὶ ἀνήνεγκε μόσχον καὶ κριὸν ἐπὶ τὸν βωμόν.

Αρ. 23,30 - Ο Βαλάκ έκαμεν, όπως ακριβώς του είπεν ο Βαλαάμ, και έθεσεν επάνω στον κάθε βωμόν ανά ένα μοσχάρι και ανά ένα κριόν.

## ΑΡΙΘΜΟΙ 24

Αρ. 24,1 - Καὶ ἰδὼν Βαλαὰμ ὅτι καλόν ἐστιν ἐναντίον Κυρίου εὐλογεῖν τὸν Ἰσραήλ, οὐκ ἐπορεύθη κατὰ τὸ εἰωθὸς εἰς συνάντησιν τοῖς οἰωνοῖς καὶ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ εἰς τὴν ἔρημον.

Αρ. 24,1 - Ο Βαλαάμ επειδή είδεν ότι είναι ευάρεστον στον Θεόν να ευλογή τον ισραηλιτικόν λαόν, δεν επήγεν, όπως εσυνήθιζε προηγουμένως, να συμβουλευθή τους οιωνούς, αλλά έστρεψε κατ' ευθείαν το πρόσωπόν του εις την έρημον, όπου ήσαν στρατοπεδευμένοι οι Ισραηλίται.

Αρ. 24,2 - καὶ ἐξάρας Βαλαὰμ τοὺς ὀφθαλμοὺς αὐτοῦ καθορᾷ τὸν Ἰσραὴλ ἐστρατοπεδευκότα κατὰ φυλάς, καὶ ἐγένετο πνεῦμα Θεοῦ ἐν αὐτῷ,

Αρ. 24,2 - Εσήκωσε τα μάτια του και είδε τους Ισραηλίτας να έχουν στρατοπεδεύσει κατά φυλάς. Πνεύμα δε Θεού ήλθεν εις αυτόν.

Αρ. 24,3 - καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπε· φησὶ Βαλαὰμ υἱὸς Βεώρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν,

Αρ. 24,3 - Ηρχισε τον αλληγορικόν αυτού λόγον και είπεν· "εγώ ο Βαλαάμ, ο υιός του Βεώρ, ομιλώ ωσάν άνθρωπος, ο οποίος βλέπει πραγματικά το μέλλον.

Αρ. 24,4 - φησὶν ἀκούων λόγια ἰσχυροῦ, ὅστις ὅρασιν Θεοῦ εἶδεν ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ·

Αρ. 24,4 - Ομιλεί αυτός, που ακούει τα λόγια του παντοδυνάμου Θεού, αυτός που βλέπει κατά τον ύπνον του οράματα Θεού. Ομιλεί εκείνος, του οποίου τα μάτια είναι ανοικτά, ώστε να βλέπη το μέλλον. Ομιλεί και λέγει·

Αρ. 24,5 - ὡς καλοὶ οἱ οἶκοί σου Ἰακώβ, αἱ σκηναί σου Ἰσραήλ!

Αρ. 24,5 - Ποσον ωραίοι είναι οι οίκοι σου, Ιακώβ, αι σκηναί σου, Ισραηλιτικέ λαέ !

Αρ. 24,6 - ὡσεὶ νάπαι σκιάζουσαι καὶ ὡσεὶ παράδεισοι ἐπὶ ποταμῷ καὶ ὡσεὶ σκηναί, ἃς ἔπηξε Κύριος, καὶ ὡσεὶ κέδροι παρ᾿ ὕδατα.

Αρ. 24,6 - Είναι ωσάν κοιλάδες με βαθύσκια δένδρα, ωσάν κήποι πλησίον ποταμού, ωσάν σκηναί, τας οποίας έστησεν ο Κυριος, ωσάν κέδροι πλησίον εις νερά !

Αρ. 24,7 - ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ καὶ κυριεύσει ἐθνῶν πολλῶν, καὶ ὑψωθήσεται ἢ Γὼγ βασιλεία αὐτοῦ, καὶ αὐξηθήσεται βασιλεία αὐτοῦ.

Αρ. 24,7 - Από τους απογόνους του λαού αυτού θα προέλθη ένας ανήρ, ο οποίος θα γίνη κύριος εις πολλά έθνη και του οποίου η βασιλεία θα υψωθή περιοσότερον από την βασιλείαν του Γωγ. Η βασιλεία του θα μεγαλυνθή !

Αρ. 24,8 - Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μονοκέρωτος αὐτῷ· ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ καὶ τὰ πάχη αὐτῶν ἐκμυελιεῖ καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν·

Αρ. 24,8 - Ο Θεός ωδήγησε τον λαόν αυτόν από την Αίγυπτον, και η δύναμίς του είναι ωσάν την δύναμιν του ρινοκέρωτος. Θα καταβροχθίση τα εχθρικά προς αυτόν έθνη, θα σπάση τα κόκκαλά των και θα απομυζήση το μεδούλι των, με τα βέλη του θα κατατοξεύση και θα εξοντώση τους εχθρούς του !

Αρ. 24,9 - κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων καὶ ὡς σκύμνος· τίς ἀναστήσει αὐτόν; οἱ εὐλογοῦντές σε εὐλόγηνται, καὶ οἱ καταρώμενοί σε κεκατήρανται.

Αρ. 24,9 - Κατακλιθείς θα αναπαυθή ωσάν λέων και ωσάν νεαρό λιοντάρι γεμάτο δύναμιν ! Ποιός θα τολμήση να εξυπνήση αυτόν; Λαέ του Ισραήλ, εκείνοι που θα σε ευλογούν, θα είναι ευλογημένοι και όσοι σε καταρώνται, θα είναι κατηραμένοι".

Αρ. 24,10 - καὶ ἐθυμώθη Βαλὰκ ἐπὶ Βαλαὰμ καὶ συνεκρότησε ταῖς χερσὶν αὐτοῦ, καὶ εἶπε Βαλὰκ πρὸς Βαλαάμ· καταρᾶσθαι τὸν ἐχθρόν μου κέκληκά σε, καὶ ἰδοὺ εὐλογῶν εὐλόγησας τρίτον τοῦτο·

Αρ. 24,10 - Εθύμωσεν ο Βαλάκ εναντίον του Βαλαάμ, εκτύπησε με οργήν τα χέρια του και του είπε· "σε εκάλεσα να καταρασθής τον εχθρόν μου και ιδού ότι συ τρίτην αυτήν φοράν τον ευλόγησες.

Αρ. 24,11 - νῦν οὖν φεῦγε εἰς τὸν τόπον σου· εἶπα, τιμήσω σε, καὶ νῦν ἐστέρησέ σε Κύριος τῆς δόξης.

Αρ. 24,11 - Τωρα λοιπόν φύγε και πήγαινε στον τόπον σου. Είπα ότι θα σε αμείψω· αλλά τώρα ο Θεός σε εστέρησεν από την αμοιβήν αυτήν, την οποίαν είχα προορίσει δια σέ".

Αρ. 24,12 - καὶ εἶπε Βαλαὰμ πρὸς Βαλάκ· οὐχὶ καὶ τοῖς ἀγγέλοις σου, οὓς ἀπέστειλας πρός με, ἐλάλησα λέγων·

Αρ. 24,12 - Είπε ο Βαλαάμ προς τον Βαλαάκ· "εγώ και προς τους αγγελιαφόρους, που μου έστειλες, δεν τους είπα ρητώς·

Αρ. 24,13 - ἐάν μοι δῷ Βαλὰκ πλήρη τὸν οἶκον αὐτοῦ ἀργυρίου καὶ χρυσίου, οὐ δυνήσομαι παραβῆναι τὸ ῥῆμα Κυρίου ποιῆσαι αὐτὸ καλὸν ἢ πονηρὸν παρ᾿ ἐμαυτοῦ· ὅσα ἐὰν εἴπῃ ὁ Θεός, ταῦτα ἐρῶ.

Αρ. 24,13 - Εάν ο Βαλάκ μου δώση τον οίκον του γεμάτον αργύριον και χρυσίον, δεν θα ημπορέσω να παραβώ αυθαιρέτως την εντολήν του Κυρίου, ώστε να μεταβάλω την καλήν προφητείαν εις κακήν η την κακήν εις καλήν; Οσα θα μου αποκαλύψη ο Θεός, αυτά εγώ θα είπω.

Αρ. 24,14 - καὶ νῦν ἰδοὺ ἀποτρέχω εἰς τὸν τόπον μου· δεῦρο συμβουλεύσω σοι, τί ποιήσει ὁ λαὸς οὗτος τὸν λαόν σου ἐπ᾿ ἐσχάτου τῶν ἡμερῶν.

Αρ. 24,14 - Λοιπόν, ιδού εγώ τώρα επιστρέφω εις τον τόπον μου. Ελα όμως να σου φανερώσω, τι θα κάμη ο λαός αυτός στον λαόν σου κατά τους επομένους καιρούς".

Αρ. 24,15 - καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπε· φησὶ Βαλαὰμ υἱὸς Βεώρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν,

Αρ. 24,15 - Ηρχισεν ο Βαλαάμ τον αλληγορικόν λόγον και είπεν· "ομιλεί ο Βαλαάμ, ο υιός του Βεώρ· ομιλεί ο άνθρωπος, ο οποίος πράγματι βλέπει το μέλλον·

Αρ. 24,16 - ἀκούων λόγια Θεοῦ, ἐπιστάμενος ἐπιστήμην παρὰ ὑψίστου καὶ ὅρασιν Θεοῦ ἰδὼν ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ·

Αρ. 24,16 - αυτός που ακούει τα λόγια του Θεού, που κατέχει την αληθινήν γνώσιν από τον Θεόν· αυτός που κατά τον ύπνον του βλέπει οράσεις Θεού και του οποίου τα μάτια είναι ανοικτά, ώστε να εισδύουν στο μέλλον.

Αρ. 24,17 - δείξω αὐτῷ, καὶ οὐχὶ νῦν· μακαρίζω, καὶ οὐκ ἐγγίζει· ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ, ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωὰβ καὶ προνομεύσει πάντας υἱοὺς Σήθ.

Αρ. 24,17 - Θα τον ίδω και θα τον δείξω τον Μεσσίαν, όχι όμως τώρα. Μακαρίζω αυτόν, αλλά δεν είναι πλησίον. Αργότερα θα ανατείλη άστρον από τους απογόνους του Ιακώβ, θα αναδειχθή άνθρωπος από τον ισραηλιτικόν λαόν και θα συντρίψη τους αρχηγούς των Μωαβιτών και θα λαφυραγωγήση όλους τους απογόνους του Σηθ.

Αρ. 24,18 - καὶ ἔσται Ἐδὼμ κληρονομία, καὶ ἔσται κληρονομία Ἠσαῦ ὁ ἐχθρὸς αὐτοῦ· καὶ Ἰσραὴλ ἐποίησεν ἐν ἰσχύϊ.

Αρ. 24,18 - Αυτός θα κληρονομήση την Ιδουμαίαν. Κληρονομία του θα είναι οι απόγονοι του Ησαύ, οι εχθροί του. Ο ισραηλιτικός λαός επραγματοποίησεν όλα αυτά με την δύναμίν του.

Αρ. 24,19 - καὶ ἐξεγερθήσεται ἐξ Ἰακὼβ καὶ ἀπολεῖ σῳζόμενον ἐκ πόλεως.

Αρ. 24,19 - Και θα προέλθη από την φυλήν Ιακώβ ο άνθρωπος αυτός και θα εξολοθρεύση κάθε εχθρόν του, ο οποίος θα θελήση να σωθή φεύγων από την πόλιν”.

Αρ. 24,20 - καὶ ἰδὼν τὸν Ἀμαλὴκ καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν· ἀρχὴ ἐθνῶν Ἀμαλήκ, καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται.

Αρ. 24,20 - Στρέψας δε το βλέμμα του ο Βαλαάμ προς τους Αμαληκίτας, είπεν άλλον αλληγορικόν λόγον· “πρώτοι μεταξύ των εθνών, που επολέμησαν τους Ισραηλίτας, είναι οι Αμαληκίται. Δια τούτο οι απόγονοί των θα καταστραφούν”.

Αρ. 24,21 - καὶ ἰδὼν τὸν Κεναῖον καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν· ἰσχυρὰ ἡ κατοικία σου· καὶ ἐὰν θῇς ἐν πέτρᾳ τὴν νοσσιάν σου,

Αρ. 24,21 - Ιδών δε τους Κεναίους, είπε νέον χρησμόν· “ισχυρά είναι η κατοικία σας. Αλλά εάν κτίσετε την φωλεάν σας στον βράχον,

Αρ. 24,22 - καὶ ἐὰν γένηται τῷ Βεὼρ νοσσιὰ πανουργίας, Ἀσσύριοι αἰχμαλωτεύσουσί σε.

Αρ. 24,22 - και εάν ακόμη κτισθή η φωλεά σας με την επιτηδειότητα του Βεώρ, οι Ασσύριοι θα σας αιχμαλωτίσουν”.

Αρ. 24,23 - καὶ ἰδὼν τὸν Ὢγ καὶ ἀναλαβὼν τὴν παραβολὴν αὐτοῦ εἶπεν· ὦ ὦ, τίς ζήσεται, ὅταν θῇ ταῦτα ὁ Θεός;

Αρ. 24,23 - Ιδών τον Ωγ, είπε νέον παραβολικόν λόγον· “Ω ! Ω ! Ποις θα ζήση, όταν θα στείλη ο Θεός την τιμωρίαν εναντίον σου;

Αρ. 24,24 - καὶ ἐξελεύσεται ἐκ χειρῶν Κιτιαίων καὶ κακώσουσιν Ἀσσοὺρ καὶ κακώσουσιν Ἑβραίους, καὶ αὐτοὶ ὁμοθυμαδὸν ἀπολοῦνται.

Αρ. 24,24 - Στρατιωτικαί δυνάμεις θα εξέλθουν από την Κυπρον, θα ταλαιπωρήσουν και θα ταπεινώσουν τους Ασσυρίους και τους Εβραίους.

Αλλά όλοι αυτοί οι λαοί και οι καταστρέψαντες αυτούς, θα καταστραφούν μαζή!”

Αρ. 24,25 - καὶ ἀναστὰς Βαλαὰμ ἀπῆλθεν ἀποστραφεὶς εἰς τὸν τόπον αὐτοῦ, καὶ Βαλὰκ ἀπῆλθε πρὸς ἑαυτόν.

Αρ. 24,25 - Ο Βαλαάμ εξεκίνησε και επέστρεψεν στον τόπον του, ο δε Βαλάκ επανήλθεν στον οίκον του.

ΑΡΙΘΜΟΙ 25

Αρ. 25,1 - Καὶ κατέλυσεν Ἰσραὴλ ἐν Σαττείν· καὶ ἐβεβηλώθη ὁ λαὸς ἐκπορνεῦσαι εἰς τὰς θυγατέρας Μωάβ.

Αρ. 25,1 - Ο ισραηλιτικός λαός εστρατοπέδευσεν εις την περιοχήν Σαττείν. Εκεί όμως εμολύνθη, διότι εκυλίσθη εις πορνείαν με τας θυγατέρας των Μωαβιτών.

Αρ. 25,2 - καὶ ἐκάλεσαν αὐτοὺς εἰς τὰς θυσίας τῶν εἰδώλων αὐτῶν, καὶ ἔφαγεν ὁ λαὸς τῶν θυσιῶν αὐτῶν καὶ προσεκύνησαν τοῖς εἰδώλοις αὐτῶν.

Αρ. 25,2 - Οι Μωαβίται προσεκάλεσαν τους Ισραηλίτας εις τας θυσίας των ειδώλων των. Και οι Ισραηλίται προσήλθον και έφαγον από τας θυσίας τας ειδωλολατρικάς και επροσκύνησαν τα είδωλα των Μωαβιτών.

Αρ. 25,3 - καὶ ἐτελέσθη Ἰσραὴλ τῷ Βεελφεγώρ· καὶ ὠργίσθη θυμῷ Κύριος τῷ Ἰσραήλ.

Αρ. 25,3 - Ετσι δε ο Ισραηλιτικός λαός έλαβε μέρος εις τας ειδωλολατρικάς τελετάς του Βεελφεγώρ. Ο Κυριος ωργίσθη και εθυμώθη εναντίον του ισραηλιτικού λαού δια την παρανομίαν αυτήν.

Αρ. 25,4 - καὶ εἶπε Κύριος τῷ Μωυσῇ· λαβὲ πάντας τοὺς ἀρχηγοὺς τοῦ λαοῦ καὶ παραδειγμάτισον αὐτοὺς Κυρίῳ κατέναντι τοῦ ἡλίου, καὶ ἀποστραφήσεται ὀργὴ θυμοῦ Κυρίου ἀπὸ Ἰσραήλ.

Αρ. 25,4 - Είπε δε προς τον Μωϋσήν· “πάρε όλους τους παραστρατήσαντας αρχηγούς του λαού και εν πλήρει ημέρα τιμώρησέ τοες παραδειγματικώς ενώπιον όλων και έτσι θα παύση η οργή μου από τον ισραηλιτικόν λαόν”.

Αρ. 25,5 - καὶ εἶπε Μωυσῆς ταῖς φυλαῖς Ἰσραήλ· ἀποκτείνατε ἕκαστος τὸν οἰκεῖον αὐτοῦ τὸν τετελεσμένον τῷ Βεελφεγώρ.

Αρ. 25,5 - Εις την εντολήν του Θεού υπακούων ο Μωϋσής είπε προς τους Ισραηλίτας· “ο καθένας σας να φονεύση τον συγγενή του, ο οποίος συμμετέσχε εις τας ειδωλαλατρικάς τελετάς του Βεελφεγώρ”. Και οι Ισραηλίται υπήκουσαν.

Αρ. 25,6 - Καὶ ἰδοὺ ἄνθρωπος τῶν υἱῶν Ἰσραὴλ ἐλθὼν προσήγαγε τὸν ἀδελφὸν αὐτοῦ πρὸς τὴν Μαδιανῖτιν ἐναντίον Μωυσῆ καὶ ἐναντίον πάσης

συναγωγῆς υἱῶν Ἰσραήλ, αὐτοὶ δὲ ἔκλαιον παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.

Αρ. 25,6 - Αλλά αίφνης ένας Ισραηλίτης ελθών ωδήγησε τον αδελφόν του προς μία γυναίκα Μαδιανίτιν, δια να αμαρτήση ενώπιον του Μωϋσέως και ενώπιον όλου του πλήθους των Ισραηλιτών, όταν αυτοί συντετριμμένοι δια τας αμαρτίας του λαού έκλαιον πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου.

Αρ. 25,7 - καὶ ἰδὼν Φινεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως ἐξανέστη ἐκ μέσου τῆς συναγωγῆς καὶ λαβὼν σειρομάστην ἐν τῇ χειρὶ

Αρ. 25,7 - Ο Φινεές, υιός του Ελεάζαρ, υιού του αρχιερέως Ααρών, όταν είδε την αναισχυντίαν αυτήν, ηγέρθη εκ μέσου του ισραηλιτικού λαού, επήρε στο χέρι του λόγχην ακιδωτήν,

Αρ. 25,8 - εἰσῆλθεν ὀπίσω τοῦ ἀνθρώπου τοῦ Ἰσραηλίτου εἰς τὴν κάμινον καὶ ἀπεκέντησεν ἀμφοτέρους, τόν τε ἄνθρωπον τὸν Ἰσραηλίτην καὶ τὴν γυναῖκα διὰ τῆς μήτρας αὐτῆς· καὶ ἐπαύσατο ἡ πληγὴ ἀπὸ υἱῶν Ἰσραήλ.

Αρ. 25,8 - εισήλθεν εις την σκηνήν οπίσω από τον Ισραηλίτην αυτόν στον κοιτώνα του, διεπέρασε με την λόγχην και τους δύο, τον Ισραηλίτην και την γυναίκα δια της μήτρας της. Αμέσως δε έπαυσεν η εκ μέρους του Θεού τιμωρία των Ισραηλιτών.

Αρ. 25,9 - καὶ ἐγένοντο οἱ τεθνηκότες ἐν τῇ πληγῇ τέσσαρες καὶ εἴκοσι χιλιάδες.

Αρ. 25,9 - Ο αριθμός εκείνων, οι οποίοι εφονεύθησαν κατά την πληγήν αυτήν, έφθασε τας είκοσι τέσσαρας χιλιάδας.

Αρ. 25,10 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 25,10 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και είπεν·

Αρ. 25,11 - Φινεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως κατέπαυσε τὸν θυμόν μου ἀπὸ υἱῶν Ἰσραὴλ ἐν τῷ ζηλῶσαί μου τὸν ζῆλον ἐν αὐτοῖς, καὶ οὐκ ἐξανήλωσα τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ζήλῳ μου.

Αρ. 25,11 - “Ο Φινεές, ο υιός του Ελεάζαρ, υιού του αρχιερέως Ααρών, κατέπαυσε τον θυμόν μου εναντίον των Ισραηλιτών, διότι με ζήλον ιερόν και αγανάκτησιν ιεράν εφόνευσε τους ενόχους και έτσι δεν κατέστρεψα τους Ισραηλίτας επάνω εις την ιεράν αγανάκτησίν μου.

Αρ. 25,12 - οὕτως εἶπον· ἰδοὺ ἐγὼ δίδωμι αὐτῷ διαθήκην εἰρήνης,

Αρ. 25,12 - Δια την θεάρεστον αυτήν διαγωγήν του, είπα· ιδού εγώ ο Θεός συνάπτω με αυτόν ένα συμβόλαιον ιδιαιτέρας ειρήνης.

Αρ. 25,13 - καὶ ἔσται αὐτῷ καὶ τῷ σπέρματι αὐτοῦ μετ᾿ αὐτὸν διαθήκη ἱερατείας αἰωνία, ἀνθ᾿ ὧν ἐζήλωσε τῷ Θεῷ αὐτοῦ καὶ ἐξιλάσατο περὶ τῶν υἱῶν Ἰσραήλ.

Αρ. 25,13 - Υπόσχομαι να δώσω εις αυτόν και στους απογόνους του, έπειτα από αυτόν, παντοτεινήν την ιερωσύνην, ένεκα του γεγονότος, ότι

έδειξε ζήλον υπέρ εμού του Θεού του και εξιλέωσε απέναντί μου τους Ισραηλίτας από τας αμαρτίας των”.

Αρ. 25,14 - τὸ δὲ ὄνομα τοῦ ἀνθρώπου τοῦ Ἰσραηλίτου τοῦ πεπληγότος, ὃς ἐπλήγη μετὰ τῆς Μαδιανίτιδος, Ζαμβρὶ υἱὸς Σαλώ, ἄρχων οἴκου πατριᾶς τῶν Συμεών·

Αρ. 25,14 - Το δε όνομα του Ισραηλίτου, ο οποίος εθανατώθη μαζή με την Μαδιανίτιδα ήτο Ζαμβρί, παιδί του Σαλώ, ο οποίος ήτο άρχων από την φυλήν του Συμεών.

Αρ. 25,15 - καὶ ὄνομα τῇ γυναικὶ τῇ Μαδιανίτιδι τῇ πεπληγυίᾳ Χασβί, θυγάτηρ Σοὺρ ἄρχοντος ἔθνους Ὀμμώθ, οἴκου πατριᾶς ἐστι τῶν Μαδιάμ.

Αρ. 25,15 - Το δε όνομα της φονευθείσης γυναικός, της Μαδιανίτιδος, ήτο Χασβί. Αυτή ήτο θυγάτηρ του Σούρ, του άρχοντος στο έθνος Ομμώθ, το οποίον ήτο φυλή των Μαδιανιτών.

Αρ. 25,16 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων·

Αρ. 25,16 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν και είπεν· “ομίλησε προς τους Ισραηλίτας και ειπέ εις αυτούς.

Αρ. 25,17 - ἐχθραίνετε τοῖς Μαδιηναίοις καὶ πατάξατε αὐτούς,

Αρ. 25,17 - Να θεωρήτε πάντοτε εχθρούς τους Μαδιανίτας. Κτυπήσατέ τους,

Αρ. 25,18 - ὅτι ἐχθραίνουσιν αὐτοὶ ὑμῖν ἐν δολιότητι, ὅσα δολιοῦσιν ὑμᾶς διὰ Φογὼρ καὶ διὰ Χασβὶ θυγατέρα ἄρχοντος Μαδιὰμ ἀδελφὴν αὐτῶν τὴν πεπληγυῖαν ἐν τῇ ἡμέρᾳ τῆς πληγῆς διὰ Φογώρ.

Αρ. 25,18 - διότι είναι δόλιοι εχθροί σας, όπως εφάνη εκ της δολιότητος που έδειξαν εναντίον σας εις Φογώρ και δια της Χασβί, της θυγατρός του άρχοντος των Μαδιανιτών, της αδελφής των, η οποία εφονεύθη κατά την ημέραν που ετιμωρούντο οι Ισραηλίται δια το ανοσιούργημα, το οποίον διέπραξαν εις την πόλιν Φογώρ.

## ΑΡΙΘΜΟΙ 26

Αρ. 26,1 - Καὶ ἐγένετο μετὰ τὴν πληγὴν καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν καὶ Ἐλεάζαρ τὸν ἱερέα λέγων·

Αρ. 26,1 - Επειτα από την τιμωρίαν αυτήν, ο Κυριος ωμίλησε προς τον Μωϋσήν και τον Ελεάζαρ τον αρχιερέα, λέγων·

Αρ. 26,2 - λαβὲ τὴν ἀρχὴν πάσης συναγωγῆς υἱῶν Ἰσραὴλ ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω κατ᾿ οἴκους πατριῶν αὐτῶν, πᾶς ὁ ἐκπορευόμενος παρατάξασθαι ἐν Ἰσραήλ.

Αρ. 26,2 - “κάμε αρίθμησιν όλου του ισραηλιτικού λαού κατά φυλάς από είκοσι ετών και άνω, όλων αυτών οι οποίοι δύνανται να λάβουν μέρος εις

πόλεμον”.

Αρ. 26,3 - καὶ ἐλάλησε Μωυσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς ἐν Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχὼ λέγων·

Αρ. 26,3 - Ο Μωϋσής και Ελεάζαρ ο αρχιερεύς ωμίλησαν προς τον ισραηλιτικόν λαόν εις την περιοχήν Αραβώθ της χώρας των Μωαβιτών, πλησίον του Ιορδάνου απέναντι από την Ιεριχώ και είπαν·

Αρ. 26,4 - ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ. καὶ οἱ υἱοὶ Ἰσραὴλ οἱ ἐξελθόντες ἐξ Αἰγύπτου·

Αρ. 26,4 - “όλοι οι Ισραηλίται όσοι εξήλθαν από την γην Αιγύπτου και είναι σήμερον ηλικίας είκοσι ετών και άνω, ας αριθμηθούν, σύμφωνα με την διαταγήν που έδωσεν ο Κυριος στον Μωϋσήν.

Αρ. 26,5 - Ῥουβὴν πρωτότοκος Ἰσραήλ. υἱοὶ δὲ Ῥουβήν· Ἐνὼχ καὶ δῆμος τοῦ Ἐνώχ· τῷ Φαλλοὺ δῆμος τοῦ Φαλλουΐ·

Αρ. 26,5 - Ο Ρουβήν ήτο πρωτότοκος υιός του Ιακώβ. Υιοί δε του Ρουβήν ήσαν· Ο Ενώχ και ο δήμος, ο οποίος προήλθεν από τον Ενώχ. Ο Φαλλού, στον οποίον ανήκει ο δήμος Φαλλουΐ.

Αρ. 26,6 - τῷ Ἀσρὼν δῆμος τοῦ Ἀσρωνί· τῷ Χαρμὶ δῆμος τοῦ Χαρμί.

Αρ. 26,6 - Ο Ασρών και ο δήμος του Ασρών· ο Χαρμί και ο δήμος που ανήκει στον Χαρμί.

Αρ. 26,7 - οὗτοι δῆμοι Ῥουβήν· καὶ ἐγένετο ἡ ἐπίσκεψις αὐτῶν τρεῖς καὶ τεσσαράκοντα χιλιάδες καὶ ἑπτακόσιοι καὶ τριάκοντα.

Αρ. 26,7 - Αυτοί ήσαν οι δήμοι της φυλής του Ρουβήν. Εγινε καταμέτρησις αυτών και ευρέθη ότι ήσαν τεσσαράκοντα τρεις χιλιάδες επτακόσιοι τριάκοντα.

Αρ. 26,8 - καὶ υἱοὶ Φαλλοὺ Ἑλιάβ.

Αρ. 26,8 - Υιός του Φαλλού ήτο ο Ελιάβ.

Αρ. 26,9 - καὶ υἱοὶ Ἑλιάβ· Ναμουὴλ καὶ Δαθὰν καὶ Ἀβειρών· οὗτοι ἐπίκλητοι τῆς συναγωγῆς, οὗτοί εἰσιν οἱ ἐπισυστάντες ἐπὶ Μωυσῆν καὶ Ἀαρὼν ἐν τῇ συναγωγῇ Κορέ, ἐν τῇ ἐπισυστάσει Κυρίου,

Αρ. 26,9 - Υιοί του Ελιάβ ήσαν, ο Ναμουήλ, ο Δαθάν και ο Αβειρών. Αυτοί ήσαν επίσημοι μεταξύ των Ισραηλιτών. Αυτοί ήσαν που επαναστάτησαν εναντίον του Μωϋσέως και του Ααρών μαζή με τους οπαδούς του Κορέ, τότε που έκαναν επανάστασιν κατά του Κυρίου,

Αρ. 26,10 - καὶ ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς καὶ Κορὲ ἐν τῷ θανάτῳ τῆς συναγωγῆς αὐτοῦ, ὅτε κατέφαγε τὸ πῦρ τοὺς πεντήκοντα καὶ διακοσίους, καὶ ἐγενήθησαν ἐν σημείῳ,

Αρ. 26,10 - ότέ ήνοιξεν η γη το στόμα της και κατέπιε και εθανάτωσεν αυτούς μαζή με τον Κορέ και τους οπαδούς του και ότε πυρ κατέφαγε και τους άλλους διακοσίους πεντήκοντα στασιαστάς. Ολοι αυτοί έγιναν σημείον και σωφρονιστικόν γεγονός στους άλλους δια της τιμωρίας των εκ μέρους της δικαιοσύνης του Θεού.

Αρ. 26,11 - οἱ δὲ υἱοὶ Κορὲ οὐκ ἀπέθανον.

Αρ. 26,11 - Οι υιοί όμως του Κορέ δεν απέθανον.

Αρ. 26,12 - καὶ οἱ υἱοὶ Συμεών· ὁ δῆμος τῶν υἱῶν Συμεών· τῷ Ναμουὴλ δῆμος ὁ Ναμουηλί· τῷ Ἰαμὶν δῆμος ὁ Ἰαμινί· τῷ Ἰαχὶν δῆμος Ἰαχινί·

Αρ. 26,12 - Οι υιοί του Συμεών μαζή με τους δήμους αυτών ήσαν· Ο Ναμουήλ και ο δήμος Ναμουηλί· ο Ιαμίν και ο δήμος Ιαμινί, ο Ιαχίν και ο δήμος Ιαχινί·

Αρ. 26,13 - τῷ Ζαρὰ δῆμος ὁ Ζαραΐ· τῷ Σαοὺλ δῆμος ὁ Σαουλί.

Αρ. 26,13 - ο Ζαρά και ο δήμος Ζαραΐ· ο Σαούλ και ο δήμος Σαουλί.

Αρ. 26,14 - οὗτοι δῆμοι Συμεὼν ἐκ τῆς ἐπισκέψεως αὐτῶν, δύο καὶ εἴκοσι χιλιάδες καὶ διακόσιοι.

Αρ. 26,14 - Αυτοί είναι οι δήμοι της φυλής Συμεών, των οποίων οι άνδρες αριθμηθέντες ανήλθον εις είκοσιδυο χιλιάδας διακοσίους.

Αρ. 26,15 - υἱοὶ δὲ Ἰούδα· Ἢρ καὶ Αὐνάν· καὶ ἀπέθανεν Ἢρ καὶ Αὐνὰν ἐν γῇ Χαναάν.

Αρ. 26,15 - Υιοί δε του Ιούδα ήσαν, εκτός εκείνων που αναφέρονται κατωτέρω, ο Ηρ και ο Αυνάν. Αυτοί όμως, ο Ηρ και ο Αυνάν, απέθανον εις την χώραν Χαναάν.

Αρ. 26,16 - καὶ ἐγένοντο οἱ υἱοὶ Ἰούδα κατὰ δήμους αὐτῶν· τῷ Σηλὼμ δῆμος ὁ Σηλωνί· τῷ Φαρὲς δῆμος ὁ Φαρεσί· τῷ Ζαρὰ δῆμος ὁ Ζαραΐ.

Αρ. 26,16 - Οι άλλοι υιοί του Ιούδα και οι δήμοι αυτών ήσαν· Ο Σηλώμ και ο δήμος Σηλωνί· ο Φαρές και ο δήμος Φαρεσί· ο Ζαρά και ο δήμος Ζαραΐ.

Αρ. 26,17 - καὶ ἐγένοντο οἱ υἱοὶ Φαρές· τῷ Ἀσρὼν δῆμος ὁ Ἀσρωνί· τῷ Ἰαμούν, δῆμος ὁ Ἰαμουνί.

Αρ. 26,17 - Υιοί δε του Φαρές ήσαν· ο Ασρών και ο δήμος Ασρωνί· ο Ιαμούν και ο δήμος Ιαμουνί.

Αρ. 26,18 - οὗτοι δῆμοι τοῦ Ἰούδα κατὰ τὴν ἐπίσκεψιν αὐτῶν, ἓξ καὶ ἑβδομήκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 26,18 - Αυτοί ήσαν οι δήμοι της φυλής Ιούδα. Κατά δε την καταμέτρησίν των ευρέθη ότι ήσαν εβδομήκοντα εξ χιλιάδες πεντακόσιοι.

Αρ. 26,19 - καὶ υἱοὶ Ἰσσάχαρ κατὰ δήμους αὐτῶν· τῷ Θωλᾷ δῆμος ὁ Θωλαΐ· τῷ Φουᾷ δῆμος ὁ Φουαΐ·

Αρ. 26,19 - Υιοί του Ισσάχαρ και οι δήμοι αυτών ήσαν· Ο Θωλά και ο δήμος Θωλαΐ· ο Φουά και ο δήμος Φουαΐ.

Αρ. 26,20 - τῷ Ἰασοὺβ δῆμος ὁ Ἰασουβί· τῷ Σαμρὰμ δῆμος ὁ Σαμραμί.

Αρ. 26,20 - ο Ιασούβ και ο δήμος Ιασουβί· ο Σαμράμ και ο δήμος Σαμραμί.

Αρ. 26,21 - οὗτοι δῆμοι Ἰσσάχαρ ἐξ ἐπισκέψεως αὐτῶν, τέσσαρες καὶ ἑξήκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 26,21 - Αυτοί ήσαν οι δήμοι της φυλής Ισσάχαρ. Κατά δε την καταμέτρησίν των ευρέθη ότι ήσαν εξήκοντα τεσσάρες χιλιάδες τετρακόσιοι άνδρες.

Αρ. 26,22 - υἱοὶ Ζαβουλὼν κατὰ δήμους αὐτῶν· τῷ Σαρὲδ δῆμος ὁ Σαρεδί· τῷ Ἀλλὼν δῆμος ὁ Ἀλλωνί· τῷ Ἀλλὴλ δῆμος ὁ Ἀλληλί·

Αρ. 26,22 - Υιοί του Ζαβουλών μαζή με τους δήμους των ήσαν· Ο Σαρέδ και ο δήμος Σαρεδί· ο Αλλών και ο δήμος Αλλωνί· ο Αλλήλ και ο δήμος Αλληλί.

Αρ. 26,23 - οὗτοι δῆμοι Ζαβουλὼν ἐξ ἐπισκέψεως αὐτῶν, ἑξήκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 26,23 - Αυτοί ήσαν οι καταμετρηθέντες δήμοι Ζαβουλών, εκ της αριθμήσεως των οποίων ευρέθη ότι οι άνδρες ήσαν εξήκοντά χιλιάδας πεντακόσιοι.

Αρ. 26,24 - υἱοὶ Γὰδ κατὰ δήμους αὐτῶν· τῷ Σαφὼν δῆμος ὁ Σαφωνί· τῷ Ἀγγὶ δῆμος ὁ Ἀγγί· τῷ Σουνὶ δῆμος ὁ Σουνί·

Αρ. 26,24 - Υιοί του Γαδ μαζή με τους δήμους των ήσαν· Ο Σαφών και ο δήμος Σαφωνί· ο Αγγί και ο δήμος Αγγί· ο Σουνί και ο δήμος Σουνί·

Αρ. 26,25 - τῷ Ἀζενὶ δῆμος ὁ Ἀζενί· τῷ Ἀδδὶ δῆμος ὁ Ἀδδί·

Αρ. 26,25 - ο Αζενί και ο δήμος 'Αζενι· ο Αδδί και ο δήμος Αδδί·

Αρ. 26,26 - τῷ Ἀροαδὶ δῆμος ὁ Ἀροαδί· τῷ Ἀριὴλ δῆμος ὁ Ἀριηλί.

Αρ. 26,26 - ο Αροαδί και ο δήμος Αροαδί· ο Αριήλ και ο δήμος Αριηλί.

Αρ. 26,27 - οὗτοι δῆμοι υἱῶν Γὰδ ἐξ ἐπισκέψεως αὐτῶν, τέσσαρες καὶ τεσσαράκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 26,27 - Αυτοί ήσαν οι καταμετρηθέντες δήμοι Γαδ, των οποίων οι άνδρες ευρέθη ότι ήσαν τεσσαράκοντα χιλιάδες πεντακόσιοι.

Αρ. 26,28 - υἱοὶ Ἀσὴρ κατὰ δήμους αὐτῶν· τῷ Ἰαμὶν δῆμος ὁ Ἰαμινί· τῷ Ἰεσοὺ δῆμος ὁ Ἰεσουΐ· τῷ Βαριὰ δῆμος ὁ Βαριαΐ·

Αρ. 26,28 - Υιοί του Ασήρ μαζή με τους δήμους των ήσαν· Ο Ιαμίν και ο δήμος Ιαμινί· ο Ιεσού και ο δήμος Ιεσουΐ· ο Βαιριά και ο δήμος Βαριαΐ.

Αρ. 26,29 - τῷ Χοβὲρ δῆμος ὁ Χοβερί· τῷ Μελχιὴλ δῆμος ὁ Μελχιηλί.

Αρ. 26,29 - Ο Χοβέρ και ο δήμος Χοβερί· ο Μελχιήλ και ο δήμος Μελχιηλί.

Αρ. 26,30 - καὶ τὸ ὄνομα θυγατρὸς Ἀσὴρ Σάρα.

Αρ. 26,30 - Η θυγάτηρ του Ασήρ ωνομάζετο Σαρα.

Αρ. 26,31 - οὗτοι δῆμοι Ἀσὴρ ἐξ ἐπισκέψεως αὐτῶν, τρεῖς καὶ τεσσαράκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 26,31 - Αυτοί ήσαν οι δήμοι Ασήρ, εκ της καταμετρήσεως των οποίων ευρέθή ότι οι άνδρες ήσαν τεσσαράκοντα τρεις χιλιάδες τετρακόσιοι.

Αρ. 26,32 - υἱοὶ Ἰωσὴφ κατὰ δήμους αὐτῶν· Μανασσῆ καὶ Ἐφραίμ.

Αρ. 26,32 - Υιοί του Ιωσήφ με τους δήμους των ήσαν, ο Μανασσή και ο Εφραίμ.

Αρ. 26,33 - υἱοὶ Μανασσῆ· τῷ Μαχὶρ δῆμος ὁ Μαχιρί· καὶ Μαχὶρ ἐγέννησε τὸν Γαλαάδ· τῷ Γαλαὰδ δῆμος ὁ Γαλααδί.

Αρ. 26,33 - Υιοί του Μανασσή ήσαν· Ο Μαχίρ και ο δήμος Μαχιρί. Ο Μαχίρ απέκτησε υιόν τον Γαλαάδ. Εκ δε του Γαλαάδ κατήγετο ο δήμος Γαλααδί.

Αρ. 26,34 - καὶ οὗτοι υἱοὶ Γαλαάδ· Ἀχιέζερ δῆμος ὁ Ἀχιεζερί· τῷ Χελὲγ δῆμος ὁ Χελεγί·

Αρ. 26,34 - Αυτοί δε ήσαν οι υιοί του Γαλαάδ· Αχιέζερ και ο δήμος Αχιεζερί· ο Χελέγ και ο δήμος Χελεγί·

Αρ. 26,35 - τῷ Ἐσριὴλ δῆμος ὁ Ἐσριηλί· τῷ Συχὲμ δῆμος ὁ Συχεμί·

Αρ. 26,35 - ο Εσριήλ και ο δήμος Εσριηλί· ο Συχέμ και ο δήμος Συχεμί·

Αρ. 26,36 - τῷ Συμαὲρ δῆμος ὁ Συμαερί· καὶ τῷ Ὀφὲρ δῆμος ὁ Ὀφερί·

Αρ. 26,36 - ο Συμαέρ και ο δήμος Συμαερί· ο Οφέρ και ο δήμος Οφερί.

Αρ. 26,37 - καὶ τῷ Σαλπαὰδ υἱῷ Ὀφὲρ οὐκ ἐγένοντο αὐτῷ υἱοί, ἀλλ᾿ ἢ θυγατέρες, καὶ ταῦτα τὰ ὀνόματα τῶν θυγατέρων Σαλπαάδ· Μαλὰ καὶ Νουὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά.

Αρ. 26,37 - Ο Σαλπαάδ, υιός του Οφέρ, δεν απέκτησεν υιούς αλλά μόνον θυγατέρας. Αι θυγατέρες δε του Σαλπαάδ ωνομάζοντο· Μαλά, Νουα, Εγλά, Μελχά και Θερσά.

Αρ. 26,38 - οὗτοι δῆμοι Μανασσῆ ἐξ ἐπισκέψεως αὐτῶν, δύο καὶ πεντήκοντα χιλιάδες καὶ ἑπτακόσιοι.

Αρ. 26,38 - Αυτοί ήσαν οι καταμετρηθέντες δήμοι Μανασσή, εκ της αριθμήσεως των οποίων ευρέθη ότι οι άνδρες ανήρχοντο εις πεντήκοντα δύο χιλιάδας επτακοσίους.

Αρ. 26,39 - καὶ οὗτοι υἱοὶ Ἐφραίμ· τῷ Σουθαλὰ δῆμος ὁ Σουθαλαΐ· τῷ Τανὰχ δῆμος ὁ Ταναχί.

Αρ. 26,39 - Υιοί του Εφραίμ ήσαν οι εξής· Ο Σουθαλά και ο δήμος Σουθαλαΐ· ο Τανάχ και ο δήμος Ταναχί.

Αρ. 26,40 - οὗτοι υἱοὶ Σουθαλά· τῷ Ἐδὲν δῆμος ὁ Ἐδενί.

Αρ. 26,40 - Υιοί δε του Σουθαλά ήσαν, ο Εδέν και ο δήμος Εδενί.

Αρ. 26,41 - οὗτοι δῆμοι Ἐφραὶμ ἐξ ἐπισκέψεως αὐτῶν, δύο καὶ τριάκοντα χιλιάδες καὶ πεντακόσιοι. οὗτοι δῆμοι υἱῶν Ἰωσὴφ κατὰ δήμους αὐτῶν.

Αρ. 26,41 - Αυτοί ήσαν οι δήμοι Εφραίμ, εκ της καταμετρήσεως των οποίων ευρέθη, ότι οι άνδρες ανήρχοντο εις τριάκοντα δύο χιλιάδας πεντακοσίους. Αυτοί ήσαν οι υιοί του Ιωσήφ και οι δήμοι αυτών.

Αρ. 26,42 - υἱοὶ Βενιαμὶν κατὰ δήμους αὐτῶν· τῷ Βαλὲ δῆμος ὁ Βαλί· τῷ Ἀσυβὴρ δῆμος ὁ Ἀσυβηρί· τῷ Ἰαχιρὰν δῆμος ὁ Ἰαχιρανί·

Αρ. 26,42 - Υιοί του Βενιαμίν και οι δήμοι αυτών ήσαν· Ο Βαλέ και ο δήμος Βαλί· ο Ασυβήρ και ο δήμος Ασυβηρί· ο Ιαχιράν και ο δήμος Ιαχιρανί·

Αρ. 26,43 - τῷ Σωφὰν δῆμος ὁ Σωφανί.

Αρ. 26,43 - ο Σωφάν και ο δήμος Σωφανί.

Αρ. 26,44 - καὶ ἐγένοντο οἱ υἱοὶ Βαλὲ Ἀδὰρ καὶ Νοεμάν· τῷ Ἀδὰρ δῆμος ὁ Ἀδαρὶ καὶ τῷ Νοεμὰν δῆμος ὁ Νοεμανί.

Αρ. 26,44 - Υιοί του Βαλέ ήσαν, ο Αδάρ και ο Νοεμάν· εκ του Αδάρ κατήγετο ο δήμος Αδαρί και εκ του Νοεμάν ο δήμος Νοεμανί.

Αρ. 26,45 - οὗτοι οἱ υἱοὶ Βενιαμὶν κατὰ δήμους αὐτῶν ἐξ ἐπισκέψεως αὐτῶν, πέντε καὶ τριάκοντα χιλιάδες καὶ πεντακόσιοι.

Αρ. 26,45 - Αυτοί ήσαν οι υιοί του Βενιαμίν και οι δήμοι των, εκ της αριθμήσεως των οποίων ευρέθη, ότι οι άνδρες ανήρχοντο εις τριάκοντα πέντε χιλιάδας πεντακοσίους.

Αρ. 26,46 - καὶ υἱοὶ Δὰν κατὰ δήμους αὐτῶν· τῷ Σαμὲ δῆμος ὁ Σαμεΐ· οὗτοι δῆμοι Δὰν κατὰ δήμους αὐτῶν.

Αρ. 26,46 - Υιοί του Δαν και οι δήμοι αυτών ήσαν· Ο Σαμέ και ο δήμος Σαμεΐ. Αυτός μόνος ήτο ο δήμος της φυλής Δαν.

Αρ. 26,47 - πάντες οἱ δῆμοι Σαμεΐ κατ᾿ ἐπισκοπὴν αὐτῶν τέσσαρες καὶ ἑξήκοντα χιλιάδες καὶ τετρακόσιοι.

Αρ. 26,47 - Ολοι οι άνδρες του δήμου Σαμεΐ, οι καταμετρηθέντες τότε, ευρέθη ότι ανήρχοντο εις εξήκοντα τέσσαρας χιλιάδας τετρακοσίους.

Αρ. 26,48 - υἱοὶ Νεφθαλὶ κατὰ δήμους αὐτῶν· τῷ Ἀσιὴλ δῆμος ὁ Ἀσιηλί· τῷ Γαυνὶ δῆμος ὁ Γαυνί·

Αρ. 26,48 - Υιοί του Νεφθαλί με τους δήμους αυτών ήσαν· Ο Ασιήλ και ο δήμος Ασιηλί· ο Γαυνί και ο δήμος Γαυνί·

Αρ. 26,49 - τῷ Ἰεσὲρ δῆμος ὁ Ἰεσερί· τῷ Σελλὴμ δῆμος ὁ Σελλημί.

Αρ. 26,49 - ο Ιεσέρ και ο δήμος Ιεσερί· ο Σελλήμ και ο δήμος Σελλημί.

Αρ. 26,50 - οὗτοι δῆμοι Νεφθαλὶ ἐξ ἐπισκέψεως αὐτῶν, τεσσαράκοντα χιλιάδες καὶ τριακόσιοι.

Αρ. 26,50 - Αυτοί ήσαν οι δήμοι Νεφθαλί, εκ της αριθμήσεως των οποίων ευρέθη ότι οι άνδρες της ήσαν τεσσαράκοντα χιλιάδες τριακόσιοι.

Αρ. 26,51 - αὕτη ἡ ἐπίσκεψις υἱῶν Ἰσραήλ, ἑξακόσιαι χιλιάδες καὶ χίλιοι καὶ ἑπτακόσιοι καὶ τριάκοντα.

Αρ. 26,51 - Αυτή ήτο η νέα αρίθμησις των Ισραηλιτών κατ' αυτήν δε ευρέθη ότι οι άνδρες του Ισραήλ ανήρχοντο εν συνόλω εις εξακοσίας χιλιάδας χιλίους επτακοσίους τριάκοντα.

Αρ. 26,52 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 26,52 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν και είπεν·

Αρ. 26,53 - τούτοις μερισθήσεται ἡ γῆ κληρονομεῖν ἐξ ἀριθμοῦ ὀνομάτων·

Αρ. 26,53 - “εις αυτούς οι οποίοι ηριθμήθησαν θα κατανεμηθή η χώρα της Χαναάν ως κληρονομία αναλόγως του αριθμού των ατόμων.

Αρ. 26,54 - τοῖς πλείοσι πλεονάσεις τὴν κληρονομίαν καὶ τοῖς ἐλάττοσιν ἐλαττώσεις τὴν κληρονομίαν αὐτῶν· ἑκάστῳ καθὼς ἐπεσκέπησαν, δοθήσεται ἡ κληρονομία αὐτῶν.

Αρ. 26,54 - Οπου δηλαδή υπάρχουν μεγαλύτεραι ομάδες, θα δώσης μεγαλύτερον κλήρον γης, και όπου υπάρχουν μικρότεραι, θα δώσης μικρότερον κλήρον. Εις κάθε φυλήν και δήμον θα κατανεμηθή η γη αναλόγως του αριθμού των.

Αρ. 26,55 - διὰ κλήρων μερισθήσεται ἡ γῆ· τοῖς ὀνόμασι, κατὰ φυλὰς πατριῶν αὐτῶν κληρονομήσουσιν·

Αρ. 26,55 - Τα τμήματα, εις τα οποία θα διαιρεθή η γη, θα δοθούν δια κληρώσεως. Κατά τα άτομα των φυλών θα γίνη η κλήρωσις

Αρ. 26,56 - ἐκ τοῦ κλήρου μεριεῖς τὴν κληρονομίαν αὐτῶν ἀνὰ μέσων πολλῶν καὶ ὀλίγων.

Αρ. 26,56 - Δια της κληρώσεως θα κατανείμης τας περιοχάς της χώρας ως κληρονομίαν εις τας μεγαλυτέρας ομάδας και εις τας μικροτέρας”.

Αρ. 26,57 - Καὶ υἱοὶ Λευὶ κατὰ δήμους αὐτῶν· τῷ Γεδσὼν δῆμος ὁ Γεδσωνί· τῷ Καὰθ δῆμος ὁ Κααθί· τῷ Μεραρὶ δῆμος ὁ Μεραρί.

Αρ. 26,57 - Υιοί του Λευί με τους δήμους αυτών ήσαν· Ο Γεδσών και ο δήμος Γεδσωνί· ο Καάθ και ο δήμος Κααθί· ο Μεραρί και ο δήμος Μεραρί.

Αρ. 26,58 - οὗτοι οἱ δῆμοι υἱῶν Λευί· δῆμος ὁ Λοβενί, δῆμος ὁ Χεβρωνί, δῆμος ὁ Κορὲ καὶ δῆμος ὁ Μουσί. καὶ Καὰθ ἐγέννησε τὸν Ἀμράμ.

Αρ. 26,58 - Και οι επόμενοι ήσαν επίσης δήμοι των υιών Λευϊ· Ο δήμος Λοβενί, ο δήμος Χεβρωνί, ο δήμος Κορέ και ο δήμος Μουσί. Ο Καάθ απέκτησε υιόν τον Αμράμ.

Αρ. 26,59 - τὸ δέ ὄνομα τῆς γυναικὸς αὐτοῦ Ἰωχαβέδ, θυγάτηρ Λευί, ἣ ἔτεκε τούτους τῷ Λευΐ ἐν Αἰγύπτῳ· καὶ ἔτεκε τῷ Ἀμρὰμ τὸν Ἀαρὼν καὶ Μωυσῆν καὶ Μαριὰμ τὴν ἀδελφὴν αὐτῶν.

Αρ. 26,59 - Η σύζυγός του ωνομάζετο Ιωχαβέδ και ήτο απόγονος της φυλής του Λευϊ. Αυτή εις την Αίγυπτον εγέννησεν εις την φυλήν του Λευϊ τους εξής. Εκ του συζύγου της Αμράμ εγέννησε τον Ααρών, τον Μωϋσήν και Μαριάμ την αδελφήν των.

Αρ. 26,60 - καὶ ἐγεννήθησαν τῷ Ἀαρὼν ὅ τε Ναδὰβ καὶ Ἀβιοὺδ καὶ Ἐλεάζαρ καὶ Ἰθάμαρ.

Αρ. 26,60 - Ο Ααρών απέκτησεν υιούς τον Ναδάβ, τον Αβιούδ, τον Ελεάζαρ και τον Ιθάμαρ.

Αρ. 26,61 - καὶ ἀπέθανε Ναδὰβ καὶ Ἀβιοὺδ ἐν τῷ προσφέρειν αὐτοὺς πῦρ ἀλλότριον ἔναντι Κυρίου ἐν τῇ ἐρήμῳ Σινά.

Αρ. 26,61 - Ο Ναβάδ και ο Αβιούδ απέθανον, τιμωρηθέντες παρά του Θεού, όταν εκεί εις την έρημον Σινά προσέφερον ξένον κοσμικόν πυρ στο θυσιστήριον του Κυρίου.

Αρ. 26,62 - καὶ ἐγενήθησαν ἐξ ἐπισκέψεως αὐτῶν τρεῖς καὶ εἴκοσι χιλιάδες, πᾶν ἀρσενικὸν ἀπὸ μηνιαίου καὶ ἐπάνω· οὐ γὰρ συνεπεσκέπησαν ἐν μέσῳ υἱῶν Ἰσραήλ, ὅτι οὐ δίδοται αὐτοῖς κλῆρος ἐν μέσῳ υἱῶν Ἰσραήλ.

Αρ. 26,62 - Από την αρίθμησιν που έγινεν εις την φυλήν Λεί ευρλεθη ότι όλοι οι άρρενες, από ενός μηνός και επάνω, ήσαν είκοσι τρεις χιλιάδες. Δεν συμπεριελήφθησαν αυτοί εις την καταμέτρησιν μαζή με τους άλλους Ισραηλίτας, διότι δεν θα εδίδετο εις αυτούς κλήρος γης ανά μέσον των άλλων Ισραηλιτών.

Αρ. 26,63 - καὶ αὕτη ἡ ἐπίσκεψις Μωυσῆ καὶ Ἐλεάζαρ τοῦ ἱερέως, οἳ ἐπεσκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν Ἀραβὼθ Μωάβ, ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ.

Αρ. 26,63 - Αυτή είναι η καταμέτρησις των Ισραηλιτών, η οποία έγινεν από τον Μωϋσήν και τον αρχιερέα Ελεάζαρ, όταν ηρίθμησαν τους Ισραηλίτας εις την περιοχήν Αραβώθ της χώρας Μωάβ, πλησίον του Ιορδάνου, απέναντι από την Ιεριχώ.

Αρ. 26,64 - καὶ ἐν τούτοις οὐκ ἦν ἄνθρωπος τῶν ἐπεσκεμμένων ὑπὸ Μωυσῆ καὶ Ἀαρών, οὓς ἐπεσκέψαντο τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ Σινά·

Αρ. 26,64 - Μεταξύ αυτών, που κατεμετρήθησαν, δεν υπήρχε κανείς από τους Ισραηλίτας, οι οποίοι είχον καταμετρηθή κατά την πρώτην φοράν υπό του Μωϋσέως και του Ααρών εις την έρημον Σινά,

Αρ. 26,65 - ὅτι εἶπε Κύριος αὐτοῖς· θανάτῳ ἀποθανοῦνται ἐν τῇ ἐρήμῳ· καὶ οὐ κατελείφθη ἐξ αὐτῶν οὐδὲ εἷς, πλὴν Χάλεβ υἱὸς Ἰεφοννὴ καὶ Ἰησοῦς ὁ τοῦ Ναυή.

Αρ. 26,65 - επειδή εν τω μεταξύ είχε πραγματοποιηθή δι' αυτούς η προαναγγελθείσα παρά του Κυρίου τιμωρία. Διότι ο Κυριος είπεν ότι θα αποθάνουν όλοι εις την έρημον. Και τράγματι κανείς από αυτούς δεν έμενε, πλην του Χαλεβ, υιού του Ιεφοννή, και Ιησού του υιού του Ναυή.

## ΑΡΙΘΜΟΙ 27

Αρ. 27,1 - Καὶ προσελθοῦσαι αἱ θυγατέρες Σαλπαὰδ υἱοῦ Ὀφέρ, υἱοῦ Γαλαάδ, υἱοῦ Μαχίρ, τοῦ δήμου Μανασσῆ, τῶν υἱῶν Ἰωσήφ (καὶ ταῦτα τὰ ὀνόματα αὐτῶν· Μααλὰ καὶ Νουὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά)

Αρ. 27,1 - Τοτε προσήλθον προς τον Μωϋσήν αι θυγατέρες του Σαλπαάδ, υιού του Οφέρ, υιού του Γαλαάδ, ο οποίος ήτο υιός του Μαχίρ, καταγόμενοι όλοι από την φυλήν Μανασσή, ενός από τους υιούς του Ιωσήφ.

(Τα δε ονόματα των θυγατέρων του Σαλπαάδ ήσαν, Μααλά, Νουα, Εγλά, Μελχά και Θερσά).

Αρ. 27,2 - καὶ στᾶσαι ἔναντι Μωυσῆ καὶ ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως καὶ ἔναντι τῶν ἀρχόντων καὶ ἔναντι πάσης συναγωγῆς ἐπὶ τῆς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου λέγουσιν·

Αρ. 27,2 - Εστάθησαν ενώπιον του Μωϋσέως, ενώπιον του αρχιερέως Ελεάζαρ, ενώπιον των αρχόντων και όλου του λαού, εις την θύραν της Σκηνής του Μαρτυρίου, και είπον·

Αρ. 27,3 - ὁ πατὴρ ἡμῶν ἀπέθανεν ἐν τῇ ἐρήμῳ, καὶ αὐτὸς οὐκ ἦν ἐν μέσῳ τῆς συναγωγῆς τῆς ἐπισυστάσης ἔναντι Κυρίου ἐν τῇ συναγωγῇ Κορέ, ὅτι δι᾽ ἁμαρτίαν αὐτοῦ ἀπέθανε, καὶ υἱοὶ οὐκ ἐγένοντο αὐτῷ· μὴ ἐξαλειφθήτω τὸ ὄνομα τοῦ πατρὸς ἡμῶν ἐκ μέσου τοῦ δήμου αὐτοῦ, ὅτι οὐκ ἔστιν αὐτῷ υἱός· δότε ἡμῖν κατάσχεσιν ἐν μέσῳ ἀδελφῶν πατρὸς ἡμῶν.

Αρ. 27,3 - “ο πατήρ ημών απέθανεν εις την έρημον. Δεν ανήκεν αυτός εις την ομάδα, η οποία επανεστάτησεν εναντίον του Κυρίου μαζή με τους οπαδούς του Κορέ. Απέθανεν όμως εις την έρημον δια την άλλην αμαρτίαν, όπως και οι άλλοι Ισραηλίται. Υιούς δεν επέκτησεν. Ας μη σβήση όμως το όνομα του πατρός μας από τον δήμον, στον οποίον ανήκεν, επειδή δεν απέκτησεν υιούς. Οταν θα μοιράζετε την γην της Χαναάν δώσατε εις ημάς ανάμεσα στους Ισραηλίτας τον κλήρον, που ανήκει στον πατέρα μας”.

Αρ. 27,4 - καὶ προσήγαγε Μωυσῆς τὴν κρίσιν αὐτῶν ἔναντι Κυρίου.

Αρ. 27,4 - Ο Μωϋσής έφερεν την υπόθεσιν αυτήν ενώπιον του Κυρίου.

Αρ. 27,5 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 27,5 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν και είπεν·

Αρ. 27,6 - ὀρθῶς θυγατέρες Σαλπαὰδ λελαλήκασι· δόμα δώσεις αὐταῖς κατάσχεσιν κληρονομίας ἐν μέσῳ ἀδελφῶν πατρὸς αὐτῶν καὶ περιθήσεις τὸν κλῆρον τοῦ πατρὸς αὐτῶν αὐταῖς.

Αρ. 27,6 - “Ορθώς ωμίλησα αι θυγατέρες Σαλπαάδ. Θα δώσης, ως ιδιοκτησίαν των, κληρονομίαν εις αυτάς μεταξύ των αδελφών του πατρός των και θα μεταβιβάσης εις αυτάς τον κλήρον, που εδικαιούτο ο πατήρ των.

Αρ. 27,7 - καὶ τοῖς υἱοῖς Ἰσραὴλ λαλήσεις λέγων·

Αρ. 27,7 - Εις δε τους Ισραηλίτας θα είπης τα εξής·

Αρ. 27,8 - ἄνθρωπος ἐὰν ἀποθάνῃ καὶ υἱὸς μὴ ᾖ αὐτῷ, περιθήσετε τὴν κληρονομίαν αὐτοῦ τῇ θυγατρὶ αὐτοῦ·

Αρ. 27,8 - Εάν ένας άνθρωπος αποθάνη, και δεν έχει αποκτήσει υιόν, η κληρονομία του θα περιέλθη εις την θυγατέρα του.

Αρ. 27,9 - ἐὰν δὲ μὴ ᾖ θυγάτηρ αὐτῷ, δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ τοῦ πατρὸς αὐτοῦ·

Αρ. 27,9 - Εάν όμως δεν έχη αυτός θυγατέρα, θα δώσετε την κληρονομίαν στον αδελφόν του αποθανόντος πατρός.

Αρ. 27,10 - ἐὰν δὲ μὴ ὦσιν αὐτῷ ἀδελφοί, δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ τοῦ πατρὸς αὐτοῦ·

Αρ. 27,10 - Εάν αυτός δεν έχη αδελφούς, θα δώσετε την κληρονομίαν στον αδελφόν του πατρός του, τον θείον του.

Αρ. 27,11 - ἐὰν δὲ μὴ ὦσιν ἀδελφοὶ τοῦ πατρὸς αὐτοῦ, δώσετε τὴν κληρονομίαν τῷ οἰκείῳ τῷ ἔγγιστα αὐτοῦ ἐκ τῆς φυλῆς αὐτοῦ κληρονομῆσαι τὰ αὐτοῦ. καὶ ἔσται τοῦτο τοῖς υἱοῖς Ἰσραὴλ δικαίωμα κρίσεως, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 27,11 - Εάν δε δεν υπάρχουν αδελφοί του πατρός του, θα δώσετε την κληρονομίαν στον πλησιέστερον συγγενή εκ της φυλής του, δια να παραλάβη αυτός την κληρονομίαν εκείνου". Αυτό θα είναι δια τους Ισραηλίτας το κληρονομικόν δίκαιον, σύμφωνα με την εντολήν που έδωσε ο Κυριος στον Μωϋσήν.

Αρ. 27,12 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἀνάβηθι εἰς τὸ ὄρος τὸ ἐν τῷ πέραν τοῦ Ἰορδάνου (τοῦτο τὸ ὄρος Ναβαύ) καὶ ἰδὲ τὴν γῆν Χαναάν, ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραὴλ ἐν κατασχέσει·

Αρ. 27,12 - Ο Κυριος είπε προς τον Μωϋσήν· "ανέβα επάνω στο όρος, που ευρίσκεται ανατολικά από τον Ιορδάνην στο όρος Νααύ - και από εκεί ιδέ την χώραν της Χαναάν, την οποίαν εγώ δίδω προς κατάκτησιν στους Ισραηλίτας.

Αρ. 27,13 - καὶ ὄψῃ αὐτὴν καὶ προστεθήσῃ πρὸς τὸν λαόν σου καὶ σύ, καθὰ προσετέθη Ἀαρὼν ὁ ἀδελφός σου ἐν Ὢρ τῷ ὄρει,

Αρ. 27,13 - Θα ίδης αυτήν και κατόπιν θα αποθάνης, δια να προστεθής και συ στον λαόν σου, όπως προσετέθη ο αδελφός σου ο Ααρών, ο οποίος απέθανεν επάνω στο όρος Ωρ.

Αρ. 27,14 - διότι παρέβητε τὸ ῥῆμά μου ἐν τῇ ἐρήμῳ Σὶν ἐν τῷ ἀντιπίπτειν τὴν συναγωγὴν ἁγιάσαι με· οὐχ ἡγιάσατέ με ἐπὶ τῷ ὕδατι ἔναντι αὐτῶν (τοῦτ᾿ ἔστι τὸ ὕδωρ ἀντιλογίας ἐν Κάδης ἐν τῇ ἐρήμῳ Σίν).

Αρ. 27,14 - Και θα αποθάνετε, χωρίς να εισέλθητε εις την γην της Επαγγελίας, διότι παρέβητε την εντολήν μου εις την έρημον Σιν και δεν με ευπροσωπήσατε ούτε με εδοξάσατε ενώπιον των Ισραηλιτών, όταν το πλήθος αυτών κατεφέρετο εναντίον μου δια την έλλειψιν του ύδατος εις την έρημον Σιν (επρόκειτο δια το ύδωρ που εδόθη στους Ισραηλίτας μετά τον γογγυσμόν των εις την πόλιν Καδης εν τη ερήμω Σιν δια το ύδωρ της αντιλογίας).

Αρ. 27,15 - καὶ εἶπε Μωυσῆς πρὸς Κύριον·

Αρ. 27,15 - Παρεκάλεσε δε ο Μωϋσής τον Θεόν και είπε·

Αρ. 27,16 - ἐπισκεψάσθω Κύριος ὁ Θεὸς τῶν πνευμάτων καὶ πάσης σαρκὸς ἄνθρωπον ἐπὶ τῆς συναγωγῆς ταύτης,

Αρ. 27,16 - "Συ, Κυριος ο Θεός των πνευμάτων και πάσης σαρκός, αφού εν τη δικαιοσύνη σου ώρισες να αποθάνω εγώ εν τη ερήμω, ας θελήσης να εκλέξης άνθρωπον ικανόν από τον λαόν αυτόν,

Αρ. 27,17 - ὅστις ἐξελεύσεται πρὸ προσώπου αὐτῶν καὶ ὅστις εἰσελεύσεται πρὸ προσώπου αὐτῶν καὶ ὅστις ἐξάξει αὐτοὺς καὶ ὅστις εἰσάξει αὐτούς, καὶ οὐκ ἔσται ἡ συναγωγὴ Κυρίου ὡσεὶ πρόβατα οἷς οὐκ ἔστι ποιμήν.

Αρ. 27,17 - ο οποίος ως αρχηγός θα ηγήται και θα προηγήται από όλους αυτούς και θα εισέρχεται με εξουσίαν εν μέσω αυτών και ο οποίος θα εξαγάγη αυτούς από εδώ και θα τους οδηγήση ασφαλείς και νικητάς εις την Χαναάν, και δεν θα είναι ο λαός του Κυρίου ωσάν πρόβατα, εις τα οποία δεν υπάρχει ποιμήν.

Αρ. 27,18 - καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων· λάβε πρὸς σεαυτὸν Ἰησοῦν υἱὸν Ναυή, ἄνθρωπον ὃς ἔχει πνεῦμα ἐν ἑαυτῷ, καὶ ἐπιθήσεις τὰς χεῖράς σου ἐπ᾿ αὐτὸν

Αρ. 27,18 - Ο Κυριος ωμίλησεν προς τον Μωϋσήν και είπεν· "πάρε μαζή σου τον Ιησούν, τον υιόν του Ναυή, άνδρα ο οποίος έχει πνεύμα Θεού μέσα του, θα θέσης επάνω εις αυτόν τα χέρια σου,

Αρ. 27,19 - καὶ στήσεις αὐτὸν ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως καὶ ἐντελῇ αὐτῷ ἔναντι πάσης συναγωγῆς καὶ ἐντελῇ περὶ αὐτοῦ ἐναντίον αὐτῶν

Αρ. 27,19 - θα παρουσιάσης αυτόν ενώπιον του αρχιερέως Ελεάζαρ και θα δώσης εις αυτόν την εντολήν και το δικαίωμα του αρχηγού ενώπιον όλου του λαού· θα τον περιβάλης με αυτήν την εξουσίαν ενώπιον όλων·

Αρ. 27,20 - καὶ δώσεις τῆς δόξης σου ἐπ᾿ αὐτόν, ὅπως ἂν εἰσακούσωσιν αὐτοῦ οἱ υἱοὶ Ἰσραήλ.

Αρ. 27,20 - και θα του δώσης ένα μέρος από το ιδικόν σου κύρος και από την ιδικήν σου εξουσίαν, ώστε οι Ισραηλίται να υπακούουν πλέον εις αυτόν.

Αρ. 27,21 - καὶ ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως στήσεται, καὶ ἐπερωτήσουσιν αὐτὸν τὴν κρίσιν τῶν δήλων ἔναντι Κυρίου· ἐπὶ τῷ στόματι αὐτοῦ ἐξελεύσονται καὶ ἐπὶ τῷ στόματι αὐτοῦ εἰσελεύσονται αὐτὸς καὶ οἱ υἱοὶ Ἰσραὴλ ὁμοθυμαδὸν καὶ πᾶσα ἡ συναγωγή.

Αρ. 27,21 - Ενώπιον του αρχιερέως Ελεάζαρ θα παρουσιασθή αυτός. Ο λαός και ο Ιησούς του Ναυή τον Ελεάζαρ θα ερωτούν και αυτός θα αποκαλύπτη την γνώμην και το θέλημα του Κυρίου. Κατόπιν εντολής αυτού θα κινούνται και θα ενεργούν ο Ιησούς του Ναυη και οι Ισραηλίται, όλοι μαζή, όλος ο λαός του Ισραήλ με μία ψυχή".

Αρ. 27,22 - καὶ ἐποίησε Μωυσῆς, καθὰ ἐνετείλατο αὐτῷ Κύριος, καὶ λαβὼν τὸν Ἰησοῦν ἔστησεν αὐτὸν ἐναντίον Ἐλεάζαρ τοῦ ἱερέως καὶ

ἐναντίον πάσης συναγωγῆς

Αρ. 27,22 - Ο Μωϋσής έκαμε όπως τον διέταξε ο Κυριος. Επήρε τον Ιησούν του Ναυή, τον παρουσίασεν ενώπιον του αρχιερέως Ελεάζαρ και ενώπιον όλου του λαού,

Αρ. 27,23 - καὶ ἐπέθηκε τὰς χεῖρας αὐτοῦ ἐπ᾿ αὐτόν, καὶ συνέστησεν αὐτὸν καθάπερ συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 27,23 - έθεσε τα χέρια του επάνω εις αυτόν και εγκατέστησεν αυτόν ως αρχηγόν του λαού, όπως ο Κυριος είχε διατάξει τον Μωϋσήν.

## ΑΡΙΘΜΟΙ 28

Αρ. 28,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 28,1 - Ο Κυριος ομίλησε προς τον Μωϋσήν και είπεν·

Αρ. 28,2 - ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτοὺς λέγων· τὰ δῶρά μου δόματά μου καρπώματά μου εἰς ὀσμὴν εὐωδίας διατηρήσετε προσφέρειν ἐμοὶ ἐν ταῖς ἑορταῖς μου.

Αρ. 28,2 - “δώσε εκ μέρους μου εντολήν στους Ισραηλίτας και είπε προς αυτούς· Αι προς εμέ προσφοραί σας, αναίμακτοι και αιματηραί, δια να είναι ευπρόσδεκτοι ως οσμή ευωδίας εις εμέ, θα φροντίζετε να μου τας προσφέρετε κατά τας εορτάς, που εγώ έχω ορίσει.

Αρ. 28,3 - καὶ ἐρεῖς πρὸς αὐτούς· ταῦτα τὰ καρπώματα ὅσα προσάξετε Κυρίῳ· ἀμνοὺς ἐνιαυσίους ἀμώμους δύο τὴν ἡμέραν εἰς ὁλοκαύτωσιν ἐνδελεχῶς,

Αρ. 28,3 - Θα είπης προς αυτούς· αυταί είναι αι αιματηραί θυσίαι που θα προσφέρετε προς τον Κυριον. Δυο αμνούς ενός έτους, υγιείς και αρτιμελείς κάθε ημέραν πάντοτε προς ολοκαύτωσιν.

Αρ. 28,4 - τὸν ἀμνὸν τὸν ἕνα ποιήσεις τὸ πρωΐ καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ πρὸς ἑσπέραν·

Αρ. 28,4 - Τον ένα αμνόν θα προσφέρης θυσίαν το πρωϊ και τον άλλον αμνόν θα τον προσφέρης κατά την εσπέραν.

Αρ. 28,5 - καὶ ποιήσεις τὸ δέκατον τοῦ οἰφὶ σεμίδαλιν εἰς θυσίαν ἀναπεποιημένην ἐν ἐλαίῳ ἐν τετάρτῳ τοῦ ἴν.

Αρ. 28,5 - Μαζή με αυτόν θα προσφέρης προς θυσίαν το εν δέκατον του οιφί (δύο περίπου κιλά) σεμιγδάλι ζυμωμένον με ένα τέταρτον του ιν ελαίου (840 - περίπου γραμμάρια).

Αρ. 28,6 - ὁλοκαύτωμα ἐνδελεχισμοῦ, ἡ γενομένη ἐν τῷ ὄρει Σινὰ εἰς ὀσμὴν εὐωδίας Κυρίῳ·

Αρ. 28,6 - Αυτά είναι τα καθημερινά ολοκαυτώματα, θυσία η οποία προσεφέρθη στο όρος Σινά ως οσμή ευωδίας προς τον Κυριον.

Αρ. 28,7 - καὶ σπονδὴν αὐτοῦ τὸ τέταρτον τοῦ ἳν τῷ ἀμνῷ τῷ ἑνί, ἐν τῷ ἁγίῳ σπείσεις σπονδὴν σίκερα Κυρίῳ.

Αρ. 28,7 - Θα προσφέρης ακόμα ως σπονδήν και ένα τέταρτόν του ιν οίνου (840 - περίπου γραμμάρια) μαζή με κάθε αμνόν. Εις τον ιερόν χώρον θα προοφέρης προς τον Κυριον την θυσίαν αυτού του οίνου.

Αρ. 28,8 - καὶ τὸν ἀμνὸν τὸν δεύτερον ποιήσεις τὸ πρὸς ἑσπέραν· κατὰ τὴν θυσίαν αὐτοῦ καὶ κατὰ τὴν σπονδὴν αὐτοῦ ποιήσετε εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

Αρ. 28,8 - Τον δεύτερον αμνόν θα τον θυσιάσης την εσπέραν. Μαζή με αυτόν θα προσφέρης την προαναφερθείσαν θυσίαν του σεμιγδαλιού και του οίνου εις οσμήν ευωδίας προς τον Κυριον.

Αρ. 28,9 - Καὶ τῇ ἡμέρᾳ τῶν σαββάτων προσάξετε δύο ἀμνοὺς ἐνιαυσίους ἀμώμους καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ εἰς θυσίαν καὶ σπονδήν,

Αρ. 28,9 - Κατά δε την ημέραν του Σαββάτου θα προσφέρης και δύο ακόμη αμνούς ενός έτους, υγιείς και αρτιμελείς, δύο δέκατα σεμιγδάλι ζυμωμένον με έλαιον, ως θυσίαν αναίμακτον και την ανάλογον θυσίαν του οίνου.

Αρ. 28,10 - ὁλοκαύτωμα σαββάτων ἐν τοῖς σαββάτοις, ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς καὶ τὴν σπονδὴν αὐτοῦ.

Αρ. 28,10 - Αυτοί οι δύο αμνοί είναι το επί πλέον ολοκαύτωμα του Σαββάτου, το οποίον θα προσφέρεται πάντοτε κάθε Σαββατο, πλην της καθημερινής αιματηράς θυσίας με την σχετικήν προσφοράν του οίνου.

Αρ. 28,11 - Καὶ ἐν ταῖς νεομηνίαις προσάξετε ὁλοκαύτωμα τῷ Κυρίῳ μόσχους ἐκ βοῶν δύο καὶ κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους,

Αρ. 28,11 - Κατά την πρώτην εκάστου μηνός θα προσφέρετε ολοκαύτωμα προς τον Κυριον δύο μοσχάρια, ένα κριον και επτά αμνούς, ενός έτους υγιείς και αρτιμελείς.

Αρ. 28,12 - τρία δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ κριῷ τῷ ἑνί,

Αρ. 28,12 - Θα προσφέρετε μαζή με κάθε μοσχάρι τρία δέκατα σεμιγδάλι (6 - περίπου κιλά) ζυμωμένον με λάδι και μαζή με τον κριον δύο δέκατα σεμιγδάλι (4 - περίπου κιλά) ζυμωμένο με λάδι.

Αρ. 28,13 - δέκατον δέκατον σεμιδάλεως ἀναπεποιημένης ἐν ἐλαίῳ τῷ ἀμνῷ τῷ ἑνί, θυσίαν ὀσμὴν εὐωδίας κάρπωμα Κυρίῳ.

Αρ. 28,13 - Μαζή δε με κάθε αμνόν, θα προσφέρετε εν δέκατον σεμιγδάλι (δύο περίπου κιλά) ζυμωμένο με λάδι. Θα προσφερθή αυτό ολοκαύτωμα, ως οσμήν ευωδίας προς τον Κυριον.

Αρ. 28,14 - ἡ σπονδὴ αὐτῶν τὸ ἥμισυ τοῦ ἳν ἔσται τῷ μόσχῳ τῷ ἑνί, καὶ τὸ τρίτον τοῦ ἳν ἔσται τῷ κριῷ τῷ ἑνί, καὶ τὸ τέταρτον τοῦ ἳν ἔσται τῷ ἀμνῷ τῷ ἑνὶ οἴνου. τοῦτο τὸ ὁλοκαύτωμα μῆνα ἐκ μηνὸς εἰς τοὺς μῆνας τοῦ ἐνιαυτοῦ.

Αρ. 28,14 - Η σπονδή του οίνου, το ήμισυ του ιν, (χίλια επτακόσια γραμ. περίπου) θα είναι δι' έκαστον μόσχον· δια κάθε κριον το εν τρίτον του ιν οίνου και δια κάθε αμνόν το εν τέταρτόν του ιν οίνου. Το ολοκαύτωμα αύτο θα προσφέρεται την πρώτην εκάστου μηνός καθ' όλους τους μήνας του έτους.

Αρ. 28,15 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας Κυρίῳ· ἐπὶ τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς ποιηθήσεται καὶ ἡ σπονδὴ αὐτοῦ.

Αρ. 28,15 - Θα προσφέρετε ακόμη ένα τράγον ως θυσίαν περί αμαρτίας στον Κυριον επί πλέον της καθημερινής ολοκαυτώσεως και της σχετικής θυσίας του οίνου.

Αρ. 28,16 - Καὶ ἐν τῷ μηνὶ τῷ πρώτῳ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς πάσχα Κυρίῳ.

Αρ. 28,16 - Κατά δε την δεκάτην τετάρτην του πρώτου μηνός θα εορτάσετε το Πασχα προς τιμήν του Κυρίου.

Αρ. 28,17 - καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τούτου ἑορτή· ἑπτὰ ἡμέρας ἄζυμα ἔδεσθε.

Αρ. 28,17 - Την δεκάτην πέμπτην ημέραν του μηνός αυτού θα είναι η εορτή. Επί επτά ημέρας που τρώγετε ψωμιά άζυμα.

Αρ. 28,18 - καὶ ἡ ἡμέρα ἡ πρώτη ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

Αρ. 28,18 - Η πρώτη ημέρα θα είναι δια σας η κατ' εξοχήν επίσημος, Αγία ημέρα. Κανένα βαρύ έργον δεν θα κάμετε κατά το διάστημα αυτής.

Αρ. 28,19 - καὶ προσάξετε ὁλοκαυτώματα κάρπωμα Κυρίῳ μόσχους ἐκ βοῶν δύο, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτά, ἄμωμοι ἔσονται ὑμῖν·

Αρ. 28,19 - Την ημέραν αυτήν θα προσφέρετε ως θυσίαν ολοκαυτώσεως προς τον Κυριον δύο μοσχάρια, ένα κριόν, επτά αμνούς ενός έτους, χωρίς κανένα σωματικόν ελάττωμα.

Αρ. 28,20 - καὶ ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί,

Αρ. 28,20 - Η δε αναίμακτος μαζή με αυτά θυσία θα είναι δια κάθε μοσχάριον σεμιγδάλι τρία δέκατα (εξ περίπου κιλά) ζυμωμένο με λάδι και δια τον κάθε κριον δύο δέκατα,

Αρ. 28,21 - δέκατον δέκατον ποιήσεις τῷ ἀμνῷ τῷ ἑνί, τοῖς ἑπτὰ ἀμνοῖς·

Αρ. 28,21 - δια τον καθένα δε από τους επτά αμνούς ανά εν δέκατον σεμιγδάλι.

Αρ. 28,22 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν·

Αρ. 28,22 - Θα προσφέρετε επίσης ένα τράγον, δια να εξιλεωθούν απέναντι του Κυρίου αι αμαρτίαι σας.

Αρ. 28,23 - πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντὸς τῆς πρωϊνῆς, ὅ ἐστιν ὁλοκαύτωμα ἐνδελεχισμοῦ.

Αρ. 28,23 - Ολα αυτά θα προσφέρωνται εκτός της καθημερινής πρωϊνής ολοκαυτώσεως, η οποία θα προσφέρεται, πάντοτε.

Αρ. 28,24 - ταῦτα κατὰ ταῦτα ποιήσετε τὴν ἡμέραν εἰς τὰς ἑπτὰ ἡμέρας, δῶρον κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ· ἐπὶ τοῦ ὁλοκαυτώματος τοῦ διὰ παντὸς ποιήσεις τὴν σπονδὴν αὐτοῦ.

Αρ. 28,24 - Αυτά θα τα προσφέρετε κατά τας επτά ημέρας του Πασχα, ως αιματηράν και αναίμακτον θυσίαν, ευάρεστον οσμήν ευωδίας στον Κυριον. Την παντοτεινήν θυσίαν της ολοκαυτώσεως θα την προσφέρετε μαζή με την σχετικήν σπονδήν του οίνου.

Αρ. 28,25 - καὶ ἡμέρα ἡ ἑβδόμη κλητὴ ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ.

Αρ. 28,25 - Η εβδόμη ημέρα του Πασχα θα είναι επίσης δια σας, ιδιαιτέρως επίσημος, αγία. Κατ' αυτήν δεν θα κάνετε καμμίαν βαρείαν εργασίαν.

Αρ. 28,26 - Καὶ τῇ ἡμέρᾳ τῶν νέων, ὅταν προσφέρητε θυσίαν νέαν Κυρίῳ τῶν ἑβδομάδων, ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε.

Αρ. 28,26 - Κατά την ημέραν των νέων σιτηρών, των πρωτογεννημάτων, όταν προσφέρετε θυσίαν από τα νέα σιτηρά, δηλαδή την εορτήν των “εβδομάδων”, την Πεντηκοστήν, θα την θεωρήτε ιδιαιτέρως επίσημον και αγίαν ημέραν. Κατ' αυτήν δεν θα κάνετε κανένα βαρύ έργον.

Αρ. 28,27 - καὶ προσάξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ μόσχους ἐκ βοῶν δύο, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους·

Αρ. 28,27 - Θα προσφέρετε εις οσμήν ευωδίας προς τον Κυριον ολοκαυτώματα, δύο μοσχάρια, ένα κριον και επτά αμνούς ενός έτους, υγιείς και αρτιμελείς.

Αρ. 28,28 - ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί,

Αρ. 28,28 - Εις τας θυσίας αυτάς θα πραστεθή και η ανάλογος αναίμακτος θυσία του σεμιγδαλιού ζυμωμένου με λάδι, τρία δέκατα δια τον κάθε μόσχον, δύο δέκατα δια τον κριον και ένα δέκατον δια τον κάθε αμνόν.

Αρ. 28,29 - δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνί, τοῖς ἑπτὰ ἀμνοῖς·

Αρ. 28,29 - Ενα δέκατον σεμιγδαλιού δια τον κάθε ένα από τους επτά αμνούς.

Αρ. 28,30 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν·

Αρ. 28,30 - Θα προσφέρετε ακόμη και ένα τράγον εις θυσίαν περί αμαρτίας δια την εξιλέωσίν σας.

Αρ. 28,31 - πλὴν τοῦ ὁλοκαυτώματος τοῦ διὰ παντός· καὶ τὴν θυσίαν αὐτῶν ποιήσετέ μοι. ἄμωμοι ἔσονται ὑμῖν, καὶ τὰς σπονδὰς αὐτῶν.

Αρ. 28,31 - Ολα αυτά θα τα προσφέρετε, εκτός της καθημερινής θυσίας του ολοκαυτώματος. Μαζή με τας θυσίας αυτάς των ζώων, τα οποία πρέπει να είναι υγιή και αρτιμελή, θα προσφέρετε και τας αναλόγους θυσίας του σεμιγδαλιού και του οίνου.

## ΑΡΙΘΜΟΙ 29

Αρ. 29,1 - Καὶ τῷ μηνὶ τῷ ἑβδόμῳ, μιᾷ τοῦ μηνός, ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε· ἡμέρα σημασίας ἔσται ὑμῖν.

Αρ. 29,1 - Η πρώτη ημέρα του εβδόμου μηνός θα είναι δια σας επίσημος και αγία ημέρα. Κατ' αυτήν δεν θα κάνετε κανένα βαρύ έργο. Η ημέρα αυτή θα αναγγέλλεται με ειδικά σαλπίσματα.

Αρ. 29,2 - καὶ ποιήσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, μόσχον ἕνα ἐκ βοῶν, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους·

Αρ. 29,2 - Κατ' αυτήν θα προσφέρετε ολοκαυτώματα, εις οσμήν ευωδίας προς τον Κυριον, ένα μοσχάρι, ένα κριον και επτά αμνούς ενός έτους, όλα υγιή και αρτιμελή.

Αρ. 29,3 - ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνί, καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί,

Αρ. 29,3 - Η αναίμακτος θυσία θα είναι σεμιγδάλι ζυμωμένο με λάδι, τρία δέκατα δια τον κάθε μόσχον, δύο δέκατα δια τον κάθε κριόν,

Αρ. 29,4 - δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνί, τοῖς ἑπτὰ ἀμνοῖς·

Αρ. 29,4 - και ένα δέκατον δια τον καθένα από τους επτά αμνούς.

Αρ. 29,5 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν·

Αρ. 29,5 - Θα προσφέρετε επίσης θυσίαν, περί αμαρτίας δια την εξιλέωσίν σας, ένα τράγον.

Αρ. 29,6 - πλὴν τῶν ὁλοκαυτωμάτων τῆς νουμηνίας, καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν καὶ τὸ ὁλοκαύτωμα τὸ διαπαντὸς καὶ αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν κατὰ τὴν σύγκρισιν αὐτῶν εἰς ὀσμὴν εὐωδίας Κυρίῳ.

Αρ. 29,6 - Εκτός όμως από τα ολοκαυτώματα της πρώτης εκάστου μηνός, θα προσφέρετε κατά την ημέραν αυτήν και τας άλλας αναιμάκτους θυσίας του σεμιγδαλιού και του οίνου, όπως επίσης και το καθημερινόν παντοτεινόν ολοκαύτωμα μαζή με την αναίμακτον προσφοράν του

σεμιγδαλιού και του οίνου, σύμφωνα με τας δοθείσας εντολάς, εις οσμήν ευωδίας προς τον Κυριον.

Αρ. 29,7 - Καὶ τῇ δεκάτῃ τοῦ μηνὸς τούτου ἐπίκλητος ἁγία ἔσται ὑμῖν, καὶ κακώσετε τὰς ψυχὰς ὑμῶν καὶ πᾶν ἔργον οὐ ποιήσετε.

Αρ. 29,7 - Και η δεκάτη ημέρα του εβδόμου αυτού μηνός θα είναι δια σας επίσημος και αγία· θα την διέλθετε με νηστείαν και συντριβήν και κανένα έργον δεν θα κάνετε κατ' αυτήν.

Αρ. 29,8 - καὶ προσοίσετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, καρπώματα Κυρίῳ, μόσχον ἐκ βοῶν ἕνα, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτά, ἄμωμοι ἔσονται ὑμῖν·

Αρ. 29,8 - Θα προσφέρετε ολοκαυτώματα εις οσμήν ευωδίας προς τον Κυριον, θυσίας αιματηράς, ένα μοσχάρι, ένα κριόν, επτά αμνούς ενός έτους· όλα αυτά υγιή και αρτιμελή.

Αρ. 29,9 - ἡ θυσία αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχω τῷ ἑνὶ καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί,

Αρ. 29,9 - Η μαζή με αυτά αναίμακτος θυσία θα είναι σεμιγδάλι ζυμωμένο με λάδι, τρία δέκατα δια τον μόσχον, δύο δέκατα δια τον κριον

Αρ. 29,10 - δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνὶ εἰς τοὺς ἑπτὰ ἀμνούς·

Αρ. 29,10 - και ανά εν δέκατον δια τον κάθε ένα από τους επτά αμνούς.

Αρ. 29,11 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας ἐξιλάσασθαι περὶ ὑμῶν· πλὴν τὸ περὶ τῆς ἁμαρτίας τῆς ἐξιλάσεως καὶ ἡ ὁλοκαύτωσις ἡ διὰ παντός, ἡ θυσία αὐτῆς καὶ ἡ σπονδὴ αὐτῆς κατὰ τὴν σύγκρισιν εἰς ὀσμὴν εὐωδίας κάρπωμα Κυρίῳ.

Αρ. 29,11 - Να προσφέρετε ακόμη ένα τράγον θυσίαν περί αμαρτίας δια την εξιλέωσίν σας. Πλην όμως της θυσίας αυτής περί αμαρτίας προς εξιλέωσίν σας θα προσφέρετε και την παντοτεινήν καθημερινήν θυσίαν της ολοκαυτώσεως προς τον Κυριον μαζή με την προσφοράν του σεμιγδαλιού και του οίνου, σύμφωνα με την εντολήν, εις οσμήν ευωδίας προς τον Κυριον.

Αρ. 29,12 - Καὶ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ ἑβδόμου τούτου ἐπίκλητος ἁγία ἔσται ὑμῖν, πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε. καὶ ἑορτάσατε αὐτὴν ἑορτὴν Κυρίῳ ἑπτὰ ἡμέρας.

Αρ. 29,12 - Η δεκάτη πέμπτη ημέρα του εβδόμου σύτου μηνός, θα είναι δια σας επίσημος και αγία ημέρα. Καμμίαν βαρείαν εργασίαν δεν θα κάνετε την ημέραν αυτήν. Θα εορτάσετε αυτήν προς τιμήν του Κυρίου, εορτήν επί επτά ημέρας.

Αρ. 29,13 - καὶ προσάξατε ὁλοκαυτώματα κάρπωμα εἰς ὀσμὴν εὐωδίας Κυρίῳ, τῇ ἡμέρᾳ τῇ πρώτῃ μόσχους ἐκ βοῶν τρεῖς καὶ δέκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας, ἄμωμοι ἔσονται·

Αρ. 29,13 - Θα προσφέρετε ολοκαυτώματα προς θυσίαν, οσμήν ευωδίας προς τον Κυριον, κατά μεν την πρώτην ημέραν δεκατρία μοσχάρια, δύο

κριούς, δεκατέσσαρας αμνούς ενός έτους, όλα υγιή και αρτιμελή.
Αρ. 29,14 - αἱ θυσίαι αὐτῶν σεμίδαλις ἀναπεποιημένη ἐν ἐλαίῳ, τρία δέκατα τῷ μόσχῳ τῷ ἑνί, τοῖς τρισκαίδεκα μόσχοις, καὶ δύο δέκατα τῷ κριῷ τῷ ἑνί, ἐπὶ τοὺς δύο κριούς,
Αρ. 29,14 - Αι αναίμακτοι θυσίαι, που θα συνοδεύουν αυτά, θα είναι σεμιγδάλι, ζυμωμένο με λάδι, δια τον κάθε μόσχον τρία δέκατα, δια τον κάθε κριον δύο δέκατα,
Αρ. 29,15 - δέκατον δέκατον τῷ ἀμνῷ τῷ ἑνί, ἐπὶ τοὺς τέσσαρας καὶ δέκα ἀμνούς·
Αρ. 29,15 - δια δε τον κάθε αμνόν από τους δεκατέσσαρας αμνούς, ένα δέκατον.
Αρ. 29,16 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.
Αρ. 29,16 - Θα προσφέρετε ακόμη ένα τράγον εις θυσίαν περί αμαρτίας, εκτός της καθημερινής ολοκαυτώσεως με τας σχετικάς αναιμάκτους θυσίας σεμιγδαλιού και οίνου.
Αρ. 29,17 - καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ μόσχους δώδεκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους τέσσαρας καὶ δέκα ἀμώμους·
Αρ. 29,17 - Κατά την δευτέραν ημέραν θα θυσιάζετε δώδεκα μοσχάρια, δύο κριούς, δεκατέσσαρας αμνούς, όλα αυτά υγιή και αρτιμελή.
Αρ. 29,18 - ἡ θυσία αὐτῶν καὶ ἡ σπονδὴ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν·
Αρ. 29,18 - Η μαζή με αυτά αναίμακτος θυσία σεμιγδαλιού και οίνου θα είναι ανάλογος προς τον αριθμόν αυτών, προς τον αριθμόν δηλαδή των μόσχων, των κριών και των αμνών, σύμφωνα με τας σχετικάς πιρί αυτών διατάξεις του Θεού.
Αρ. 29,19 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.
Αρ. 29,19 - Θα προοφέρετε ακόμη προς θυσίαν περί αμαρτίας και ένα τράγον, πλην της καθημερινής ολοκαυτώσεως, μαζή με τας ανάλογους αναιμάκτους προσφοράς του σεμιγδαλιού και του οίνου.
Αρ. 29,20 - τῇ ἡμέρᾳ τῇ τρίτῃ μόσχους ἕνδεκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους τέσσαρας καὶ δέκα ἀμώμους·
Αρ. 29,20 - Κατά την τρίτην ημέραν θα προσφέρετε θυσίαν ένδεκα μοσχάρια, δύο κριους και δεκατέσσαρας αμνούς ενός έτους, όλα υγιή και αρτιμελή.
Αρ. 29,21 - ἡ θυσία αὐτῶν καὶ ἡ σπονδὴ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν·
Αρ. 29,21 - Η μαζή με αυτά αναίμακτος θυσία σεμιγδαλιού και οίνου θα είναι ανάλογος προς τον αριθμόν των μόσχων, των κριών και των αμνών,

σύμφωνα με τας περί αυτών διατάξστου Θεού.

Αρ. 29,22 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.

Αρ. 29,22 - Θα προσφέρετε ακόμη κατά την ημέραν αυτήν προς θυσίαν περί αμαρτίας και ένα τράγον, εκτός της καθημερινής ολοκαυτώσεως, μαζή με τας καθωρισμένας αναιμάκτους θυσίας σεμιγδαλιού και οίνου.

Αρ. 29,23 - τῇ ἡμέρᾳ τῇ τετάρτῃ μόσχους δέκα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους τέσσαρας καὶ δέκα ἀμώμους·

Αρ. 29,23 - Κατά την τετάρτην ημέραν θα προσφέρετε εις θυσίαν δέκα μόσχους, δύο κριούς, δεκατέσσαρας αμνούς ενός έτους, όλα υγιή και αρτιμελή.

Αρ. 29,24 - αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν κατὰ τὴν σύγκρισιν αὐτῶν·

Αρ. 29,24 - Ολαι αι καθωρισμέναι αναίμακτοι θυσίαι του σεμιγδαλιού και του οίνου θα είναι ανάλογοι με τον αριθμόν των μόσχων, των κριών και των αμνών σύμφωνα με τας εντολάς του Θεού.

Αρ. 29,25 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.

Αρ. 29,25 - Θα προσφέρετε ακόμη θυσίαν περί αμαρτίας ένα τράγον, πλην της καθημερινής ολοκαυτώσεως, μαζή με τας αναλόγους αναιμάκτους θυσίας σεμιγδαλιού και οίνου.

Αρ. 29,26 - τῇ ἡμέρᾳ τῇ πέμπτῃ μόσχους ἐννέα, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους τέσσαρας καὶ δέκα ἀμώμους·

Αρ. 29,26 - Κατά δε την πέμπτην ημέραν θα προσφέρετε εννέα μόσχους, δύο κριους και δεκατέσσαρας αμνούς· όλα υγιή και αρτιμελή.

Αρ. 29,27 - αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν·

Αρ. 29,27 - Αι μαζή με αυτά αναίμακτοι θυσίαι του σεμιγδαλιού και του οίνου, θα είναι ανάλογοι με τον αριθμόν των μόσχων, των κριών και των αμνών, σύμφωνα με τας περί αυτών διατάξστου Θεού.

Αρ. 29,28 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διὰ παντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.

Αρ. 29,28 - Θα προσφέρετε ακόμη προς θυσίαν περί αμαρτίας ένα τράγον, πλην της καθημερινής ολοκαυτώσεως, μαζή δε με αυτά και τας σχετικάς αναιμάκτους θυσίας, σεμιγδαλιού και οίνου.

Αρ. 29,29 - τῇ ἡμέρᾳ τῇ ἕκτῃ μόσχους ὀκτώ, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας ἀμώμους·

Αρ. 29,29 - Κατά την έκτην ημέραν θα προσφέρετε οκτώ μόσχους, δύο κριούς, δεκατέσσαρες αμνούς ενός έτους, χωρίς κανένα σωματικόν ελάττωμα.

Αρ. 29,30 - αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν·

Αρ. 29,30 - Αι μαζή με αυτά αναίμακτοι θυσίαι του σεμιγδαλιού και του οίνου θα είναι ανάλογοι προς τον αριθμόν των μόσχων, των κριών και των αμνών, όπως έχει διατάξει δι' αυτά ο Θεός.

Αρ. 29,31 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.

Αρ. 29,31 - Θα προσφέρετε ακόμη προς θυσίαν περί αμαρτίας ένα τράγον, εκτός της καθημερινής θυσίας, μαζή με τας σχετικάς αναιμάκτους θυσίας σεμιγδαλιού και οίνου.

Αρ. 29,32 - τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ μόσχους ἑπτά, κριοὺς δύο, ἀμνοὺς ἐνιαυσίους δεκατέσσαρας ἀμώμους·

Αρ. 29,32 - Κατά την εβδόμην ημέραν θα προσφέρετε επτά μοσχάρια, δύο κριους και δεκατέσσαρας αμνούς, όλα χωρίς κανένα σωματικόν ελάττωμα.

Αρ. 29,33 - αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τοῖς μόσχοις καὶ τοῖς κριοῖς καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν·

Αρ. 29,33 - Αι μαζή με αυτά αναίμακτοι θυσίαι του σεμιγδαλιού και του οίνου, θα είναι ανάλογοι προς τον αριθμόν των μόσχων, των κριών και των αμνών, όπως έχει διατάξει δι' αυτά ο Θεός.

Αρ. 29,34 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.

Αρ. 29,34 - Τέλος θα προσφέρετε ένα τράγον προς θυσίαν περί αμαρτίας, εκτός της καθημερινής ολοκαυτώσεως, μαζή με τας καθωρισμένας αναιμάκτους θυσίας του σεμιγδαλιού και του οίνου.

Αρ. 29,35 - καὶ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξόδιον ἔσται ὑμῖν. πᾶν ἔργον λατρευτὸν οὐ ποιήσετε ἐν αὐτῇ.

Αρ. 29,35 - Η δε ογδόη ημέρα θα είναι η τελευταία της εορτής. Κανένα βαρύ έργον δεν θα κάνετε κατ' αυτήν.

Αρ. 29,36 - καὶ προσάξετε ὁλοκαυτώματα εἰς ὀσμὴν εὐωδίας καρπώματα τῷ Κυρίῳ, μόσχον ἕνα, κριὸν ἕνα, ἀμνοὺς ἐνιαυσίους ἑπτὰ ἀμώμους.

Αρ. 29,36 - Θα προσφέρετε προς θυσίαν ολοκαυτώματα εις οσμήν ευωδίας προς τον Κυριον, ένα μόσχον, ένα κριον και επτά αμνούς ενός έτους, χωρίς κανένα σωματικόν ελάττωμα.

Αρ. 29,37 - αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν τῷ μόσχῳ καὶ τῷ κριῷ καὶ τοῖς ἀμνοῖς κατὰ ἀριθμὸν αὐτῶν, κατὰ τὴν σύγκρισιν αὐτῶν.

Αρ. 29,37 - Αι θυσίαι αυτών και αι μαζή με αυτά αναίμακτοι θυσίαι σεμιγδαλιού και οίνου θα είναι ανάλογοι με τον αριθμόν των ζώων, του

μόσχου, του κριου και των αμνών, σύμφωνα με όσα σχετικώς έχει διατάξει ο Θεός.

Αρ. 29,38 - καὶ χίμαρον ἐξ αἰγῶν ἕνα περὶ ἁμαρτίας, πλὴν τῆς ὁλοκαυτώσεως τῆς διαπαντός· αἱ θυσίαι αὐτῶν καὶ αἱ σπονδαὶ αὐτῶν.

Αρ. 29,38 - Θα προσφέρετε επίσης ένα τράγον θυσίαν περί αμαρτίας εκτός της καθημερινής ολοκαυτώσεως μαζή με τας αναλόγους αναιμάκτους θυσίας του σεμιγδαλιού και του οίνου.

Αρ. 29,39 - Ταῦτα ποιήσετε Κυρίῳ ἐν ταῖς ἑορταῖς ὑμῶν, πλὴν τῶν εὐχῶν ὑμῶν, καὶ τὰ ἑκούσια ὑμῶν καὶ τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰς θυσίας ὑμῶν καὶ τὰς σπονδὰς ὑμῶν καὶ τὰ σωτήρια ὑμῶν.

Αρ. 29,39 - Αυτάς τας θυσίας θα προσφέρετε προς τον Κυριον κατά τας ημέρας των εορτών σας, εκτός των θυσιών που θα προσφέρετε εις εκπλήρωσιν των ταξιμάτων σας, εκτός από τας αυτοπροαιρέτους προσφοράς σας, τα ολοκαυτώματά σας, τας άλλας αναιμάκτους θυσίας σας, τας θυσίας του οίνου και γενικώς εκτός από τας ευχαριστηρίους και ειρηνικάς θυσίας σας.

## ΑΡΙΘΜΟΙ 30

Αρ. 30,1 - Καὶ ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ κατὰ πάντα, ὅσα ἐνετείλατο Κύριος τῷ Μωυσῇ.

Αρ. 30,1 - Ο Μωϋσής ανεκοίνωσεν στους Ισραηλίτας όλα όσα τον είχε διατάξει ο Θεός.

Αρ. 30,2 - καὶ ἐλάλησε Μωυσῆς πρὸς τοὺς ἄρχοντας τῶν φυλῶν υἱῶν Ἰσραὴλ λέγων· τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε Κύριος·

Αρ. 30,2 - Και ωμίλησε προς τους άρχοντας των φυλών του Ισραήλ, λέγων· “Αυτή είναι η εντολή, την οποίαν διέταξεν ο Κυριος σχετικώς με τα ταξίματα.

Αρ. 30,3 - ἄνθρωπος ἄνθρωπος, ὃς ἂν εὔξηται εὐχὴν Κυρίῳ ἢ ὀμόσῃ ὅρκον ἢ ὁρίσηται ὁρισμῷ περὶ τῆς ψυχῆς αὐτοῦ, οὐ βεβηλώσει τὸ ῥῆμα αὐτοῦ· πάντα ὅσα ἂν ἐξέλθῃ ἐκ τοῦ στόματος αὐτοῦ, ποιήσει·

Αρ. 30,3 - Ενας άνθρωπος, ο οποίος έκανε τάξιμο προς τον Κυριον η, ωρκίσθη ότι θα στερηθή κάτι δια τον Κυριον, δεν πρέπει να παραβή τον λόγον του και να μολύνη το τάξιμό του. Ολα όσα έχει υποσχεθή πρέπει να τα εκτελέση.

Αρ. 30,4 - ἐὰν δὲ εὔξηται γυνὴ εὐχὴν Κυρίῳ ἢ ὁρίσηται ὁρισμὸν ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτῆς ἐν τῇ νεότητι αὐτῆς καὶ ἀκούσῃ ὁ πατὴρ αὐτῆς τὰς εὐχὰς αὐτῆς καὶ τοὺς ὁρισμοὺς αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, καὶ παρασιωπήσῃ αὐτῆς ὁ πατήρ, καὶ στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς,

Αρ. 30,4 - Εάν δε μία γυναίκα έκαμε τάξιμο προς τον Κυριον η δια λόγους ευλαβείας ώρισε να στερηθή κάτι, όταν νέα ακόμη ευρίσκετο στον οίκον του πατρός της, ήκουσε δε ο πατήρ της το τάξιμο της η την απόφασίν της να στερηθή κάτι δια τον Κυριον, δεν έφερε δε αντίρρησιν ο πατήρ, αλλά εσιώπησε και δια της σιωπής του έδειξε ότι συγκατατίθεται στο τάξιμο, τότε το τάξιμον είναι έγκυρον και πρέπει να εκπληρωθή.

Αρ. 30,5 - καὶ πάντες οἱ ὁρισμοί, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, μενοῦσιν αὐτῇ.

Αρ. 30,5 - Οσα ώρισεν η γυνή να στερηθή δια τον εαυτόν της προς χάριν του Κυρίου, μένουν έγκυρα και πρέπει να εκτελεθούν.

Αρ. 30,6 - ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ ὁ πατὴρ αὐτῆς, ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ πάσας τὰς εὐχὰς αὐτῆς καὶ τοὺς ὁρισμούς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ στήσονται· καὶ Κύριος καθαριεῖ αὐτήν, ὅτι ἀνένευσεν ὁ πατὴρ αὐτῆς.

Αρ. 30,6 - Εάν όμως ο πατήρ αρνηθή να εγκρίνη τα ταξίματα της κόρης του, την ημέραν που θα τα ακούση, όπως επίσης και τας αποφάσεις της περί στερήσεως της από κάποιον πράγμα, τας οποίας αυτή ανεκοίνωσε, το τάξιμό της και αι αποφάσεις της δεν είναι έγκυροι. Ο δε Κυριος θεωρεί αυτήν καθαράν και άπηλλαγμένην από τας σχετικάς υποχρεώσεις, διότι ο πατήρ της δεν τας ενέκρινεν.

Αρ. 30,7 - ἐὰν δὲ γενομένη γένηται ἀνδρὶ καὶ αἱ εὐχαὶ αὐτῆς ἐπ᾿ αὐτῇ κατὰ τὴν διαστολὴν τῶν χειλέων αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς,

Αρ. 30,7 - Εάν δε αυτή υπανδρευθή, και με το ίδιο της το στόμα είχε κάμει, πριν η έλθη εις γάμον, τάξιμον προς τον Κυριον η είχεν εκφράσει την απόφασιν να υποβληθή υπέρ της ψυχής της εις ωρισμένας στερήσεις,

Αρ. 30,8 - καὶ ἀκούσῃ ὁ ἀνὴρ αὐτῆς καὶ παρασιωπήσῃ αὐτῇ, ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ, καὶ οὕτω στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς καὶ οἱ ὁρισμοὶ αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, στήσονται.

Αρ. 30,8 - μετά δε τον γάμον της ο σύζυγός της πληροφορηθή το τάμα της και σιωπηρώς συγκατατεθή, το τάξιμό της και αι άλλαι ευχαί της περί στερήσεώς της εκ πραγμάτων τινών, είναι έγκυρα και πρέπει να εκπληρωθούν.

Αρ. 30,9 - ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ ὁ ἀνὴρ αὐτῆς, ᾗ ἐὰν ἡμέρᾳ ἀκούσῃ, πᾶσαι αἱ εὐχαὶ αὐτῆς καὶ οἱ ὁρισμοὶ αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ μενοῦσιν, ὅτι ὁ ἀνὴρ ἀνένευσεν ἀπ᾿ αὐτῆς, καὶ Κύριος καθαριεῖ αὐτήν.

Αρ. 30,9 - Εάν όμως ο σύζυγός της, όταν πληροφορηθή το τάξιμόν της, τας ευχάς της και τας αποφάσεις της δια την στέρησίν της από κάποιον πράγμα, και αρνηθή να τας αναγνωρίση, τότε αυταί δεν είναι έγκυροι· διότι ο

σύζυγός της τας ηρνήθη και ο Κυριος θεωρεί αυτήν καθαράν από την υποχρέωσιν της εκπληρώσεως του τάματος η της ευχής της.

Αρ. 30,10 - καὶ εὐχὴ χήρας καὶ ἐκβεβλημένης ὅσα ἐὰν εὔξηται κατὰ τῆς ψυχῆς αὐτῆς, μενοῦσιν αὐτῇ.

Αρ. 30,10 - Το τάξιμο όμως της χήρας και της διεζευγμένης και όσα αυτή θα είχεν ευχηθή προς τον Κυριον δια τον εαυτόν της, μένουν έγκυρα και πρέπει να εκπληρωθούν.

Αρ. 30,11 - ἐὰν δὲ ἐν τῷ οἴκῳ τοῦ ἀνδρὸς αὐτῆς ἡ εὐχὴ αὐτῆς ἢ ὁ ὁρισμὸς κατὰ τῆς ψυχῆς αὐτῆς μεθ᾿ ὅρκου

Αρ. 30,11 - Εάν όμως το τάξιμον και η ένορκος υπόσχεσις περί στερήσεως πράγματός τινος έγινε μετά τον γάμον της,

Αρ. 30,12 - καὶ ἀκούσῃ ὁ ἀνὴρ αὐτῆς καὶ παρασιωπήσῃ αὐτῇ καὶ μὴ ἀνανεύσῃ αὐτῇ, καὶ στήσονται πᾶσαι αἱ εὐχαὶ αὐτῆς, καὶ πάντες οἱ ὁρισμοὶ αὐτῆς, οὓς ὡρίσατο κατὰ τῆς ψυχῆς αὐτῆς, στήσονται κατ᾿ αὐτῆς.

Αρ. 30,12 - ο δε ανήρ ήκουσεν αυτά και δεν τα ηρνήθη, αλλά σιωπηρώς τα παρεδέχθη, όλα τα ταξίματά της και όσα άλλα είχεν ορίσει δια τον Κυριον είναι έγκυρα και πρέπει να εκπληρωθούν.

Αρ. 30,13 - ἐὰν δὲ περιελὼν περιέλῃ ὁ ἀνὴρ αὐτῆς, ᾗ ἂν ἡμέρᾳ ἀκούσῃ, πάντα ὅσα ἐὰν ἐξέλθῃ ἐκ τῶν χειλέων αὐτῆς κατὰ τὰς εὐχὰς αὐτῆς καὶ κατὰ τοὺς ὁρισμοὺς τοὺς κατὰ τῆς ψυχῆς αὐτῆς, οὐ μενεῖ αὐτῇ· ὁ ἀνὴρ αὐτῆς περιεῖλε, καὶ Κύριος καθαριεῖ αὐτήν.

Αρ. 30,13 - Εάν όμως ο σύζυγός της αρνηθή όλα, όσα κατά την ημέραν εκείνην ήθελεν ακούσει να εξέρχωνται από τα χείλη της συζύγου του ως ταξίματα δια τον Κυριον η ευλαβείς αποφάσεις της περί στερήσεως πράγματός τινος, αυτά δεν θα έχουν κύρος, διότι ο σύζυγός της τα ηρνήθη και ο Θεός θεωρεί αυτήν απηλλαγμένην από τας σχετικάς υποχρεώσεις.

Αρ. 30,14 - πᾶσα εὐχὴ καὶ πᾶς ὅρκος δεσμοῦ κακῶσαι ψυχήν, ὁ ἀνὴρ αὐτῆς στήσει αὐτῇ καὶ ὁ ἀνὴρ αὐτῆς περιελεῖ.

Αρ. 30,14 - Καθε τάξιμον της συζύγου και κάθε ένορκον δέσμευσιν και ευλαβή απόφασιν περί στερήσεως από κάποιο πράγμα και σχετικής ταλαιπωρίας της, ο σύζυγός της θα καταστήση αυτάς εγκύρους και υποχρεωτικάς δια την σύζυγόν του η ακύρους και ανεκτελέστους.

Αρ. 30,15 - ἐὰν δὲ σιωπῶν παρασιωπήσῃ αὐτῇ ἡμέραν ἐξ ἡμέρας, καὶ στήσει αὐτῇ πάσας τὰς εὐχὰς αὐτῆς, καὶ τοὺς ὁρισμοὺς τοὺς ἐπ' αὐτῆς στήσει αὐτῇ, ὅτι ἐσιώπησεν αὐτῇ τῇ ἡμέρᾳ, ᾗ ἤκουσεν.

Αρ. 30,15 - Εάν ο σύζυγος ακούων το τάξιμον σιωπήση επί αρκετάς ημέρας, δια της σιωπής του αυτής θα καταστήση αποδεκτάς και εγκύρους τας ιεράς ευχάς και τας υποσχέσεις της γυναικός του, διότι ενώ τας ήκουσεν εσιώπησε και δεν διεμαρτυρήθη κατά την ημέραν, που ελέχθησαν.

Αρ. 30,16 - ἐὰν δὲ περιελὼν περιέλῃ ὁ ἀνὴρ αὐτῆς μετὰ τὴν ἡμέραν, ἣν ἤκουσε, καὶ λήψεται τὴν ἁμαρτίαν αὐτοῦ.

Αρ. 30,16 - Εάν όμως ο ανήρ αρνηθή το τάξιμο της γυναικός του μετά την ημέραν, που το ήκουσεν, θα είναι αυτός υπεύθυνος ενώπιον του Θεού δια την μη εκπλήρωσιν".

Αρ. 30,17 - ταῦτα τὰ δικαιώματα, ὅσα ἐνετείλατο Κύριος τῷ Μωυσῇ, ἀνὰ μέσον ἀνδρὸς καὶ γυναικὸς αὐτοῦ καὶ ἀναμέσον πατρὸς καὶ θυγατρὸς ἐν νεότητι ἐν οἴκῳ πατρός.

Αρ. 30,17 - Αυταί είναι αι εντολαί, τας οποίας ο Θεός έδωσεν στον Μωϋσήν αναφορικώς με τα ταξίματα και τας άλλας ευχάς σχετικώς με τον σύζυγον και την σύζυγον, σχετικώς με τον πατέρα και την θυγατέρα, όταν αυτή είναι νέα και ανύπανδρος στον οίκον του πατρός της.

## ΑΡΙΘΜΟΙ 31

Αρ. 31,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 31,1 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν και είπε·

Αρ. 31,2 - ἐκδίκει τὴν ἐκδίκησιν υἱῶν Ἰσραὴλ ἐκ τῶν Μαδιανιτῶν, καὶ ἔσχατον προστεθήσῃ πρὸς τὸν λαόν σου.

Αρ. 31,2 - "πάρε προηγουμένως την εκδίκησιν των Ισραηλιτών εναντίον των Μαδιανιτών και κατόπιν θα απέλθης από τον κόσμον αυτόν και θα προστεθής στον λαόν σου".

Αρ. 31,3 - καὶ ἐλάλησε Μωυσῆς πρὸς τὸν λαὸν λέγων· ἐξοπλίσατε ἐξ ὑμῶν ἄνδρας καὶ παρατάξασθε ἔναντι Κυρίου ἐπὶ Μαδιὰν ἀποδοῦναι ἐκδίκησιν παρὰ τοῦ Κυρίου τῇ Μαδιάν·

Αρ. 31,3 - Ο Μωϋσής ωμίλησε τότε προς τους Ισραηλίτας, λέγων· "εξοπλίσατε άνδρας από σας και σύμφωνα με την εντολήν του Κυρίου παραταχθήτε εις πόλεμον εναντίον των Μαδιανιτών, δια να τιμωρήσετε αυτούς κατά διαταγήν του Κυρίου.

Αρ. 31,4 - χιλίους ἐκ φυλῆς, χιλίους ἐκ φυλῆς, ἐκ πασῶν φυλῶν υἱῶν Ἰσραὴλ ἀποστείλατε παρατάξασθαι.

Αρ. 31,4 - Θα πάρετε και θα στείλετε εις πόλεμον εναντίον των Μαδιανιτών χίλιους άνδρας από κάθε φυλήν των Ισραηλιτών".

Αρ. 31,5 - καὶ ἐξηρίθμησαν ἐκ τῶν χιλιάδων Ἰσραὴλ χιλίους ἐκ φυλῆς, δώδεκα χιλιάδας ἐνωπλισμένοι εἰς παράταξιν.

Αρ. 31,5 - Κατόπιν αυτής της εντολής εμέτρησαν από όλας τας χιλιάδας των Ισραηλιτών χίλιους από κάθε φυλήν, δώδεκα εν όλω χιλιάδας άνδρας εξωπλισμένους, ικανούς προς πόλεμον.

Αρ. 31,6 - καὶ ἀπέστειλεν αὐτοὺς Μωυσῆς χιλίους ἐκ φυλῆς, χιλίους ἐκ φυλῆς σὺν δυνάμει αὐτῶν καὶ Φινεὲς υἱὸν Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱερέως, καὶ τὰ σκεύη τὰ ἅγια καὶ αἱ σάλπιγγες τῶν σημασιῶν ἐν ταῖς χερσὶν αὐτῶν.

Αρ. 31,6 - Ο Μωϋσής απέστειλεν αυτούς τους χίλιους άνδρας από κάθε φυλήν αρτίως εξωπλισμένους, μαζή δε με αυτούς τον Φινεές, υιόν του Ελεαζάρου, υιού του αρχιερέως Ααρών, και τα ιερά σκευή μαζή με αυτούς και τας σάλπιγγας εις τα χέρια αυτών δια τα καθωρισμένα σαλπίσματα.

Αρ. 31,7 - καὶ παρετάξαντο ἐπὶ Μαδιάν, καθὰ ἐνετείλατο Κύριος Μωυσῇ, καὶ ἀπέκτειναν πᾶν ἀρσενικόν·

Αρ. 31,7 - Εξήλθον αυτοί και επολέμησαν εναντίον των Μαδιανιτών, όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν, κατενίκησαν αυτούς και εξώντωσαν κάθε αρσενικόν αυτών.

Αρ. 31,8 - καὶ τοὺς βασιλεῖς Μαδιὰν ἀπέκτειναν ἅμα τοῖς τραυματίαις αὐτῶν, καὶ τὸν Εὐὶν καὶ τὸν Ῥοκὸν καὶ τὸν Σοὺρ καὶ τὸν Οὗρ καὶ τὸν Ῥοβόκ, πέντε βασιλεῖς Μαδιάν· καὶ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἀπέκτειναν ἐν ῥομφαίᾳ σὺν τοῖς τραυματίαις αὐτῶν.

Αρ. 31,8 - Εκτός των άλλων φονευθέντων, εφόνευσαν συγχρόνως και τους βασιλείς των Μαδιανιτών,τον Ευίν, τον Ροκόν, τον Σούρ, τον Ουρ και τον Ροβόκ, τους πέντε αυτούς βασιλείς των Μαδιανιτών. Εφόνευσαν επίσης δια μαχαίρας, μαζή με τους άλλους φονευθέντας και τον Βαλαάμ, τον υιόν του Βεώρ.

Αρ. 31,9 - καὶ ἐπρονόμευσαν τὰς γυναῖκας Μαδιὰν καὶ τὴν ἀποσκευὴν αὐτῶν, καὶ τὰ κτήνη αὐτῶν καὶ πάντα τὰ ἔγκτητα αὐτῶν καὶ τὴν δύναμιν αὐτῶν ἐπρονόμευσαν·

Αρ. 31,9 - Επήραν δε ως αιχμαλώτους τας γυναίκας των Μαδιανιτών, τα παιδιά των, τα ζώα των και όλην την κινητήν περιουσίαν των, και γενικώς ελεηλάτησαν όλα τα υπάρχοντά των.

Αρ. 31,10 - καὶ πάσας τὰς πόλεις αὐτῶν τὰς ἐν ταῖς κατοικίαις αὐτῶν καὶ τὰς ἐπαύλεις αὐτῶν ἐνέπρησαν ἐν πυρί.

Αρ. 31,10 - Ολας δε τας πόλεις, όπου κατοικούσαν οι Μαδιανίται, και τας αγροτικάς ακόμη οικίας των παρέδωσαν στο πυρ.

Αρ. 31,11 - καὶ ἔλαβον πᾶσαν τὴν προνομὴν αὐτῶν καὶ πάντα τὰ σκῦλα αὐτῶν ἀπὸ ἀνθρώπου ἕως κτήνους

Αρ. 31,11 - Επήραν όλην αυτήν την λείαν και όλα τα λάφυρά των από ανθρώπου έως ζώου,

Αρ. 31,12 - καὶ ἤγαγον πρὸς Μωυσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ πρὸς πάντας υἱοὺς Ἰσραὴλ τὴν αἰχμαλωσίαν καὶ τὰ σκῦλα καὶ τὴν προνομὴν εἰς τὴν παρεμβολὴν εἰς Ἀραβὼθ Μωάβ, ἥ ἐστιν ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ.

Αρ. 31,12 - και τα έφεραν προς τον Μωϋσήν προς τον αρχιερέα τον Ελεάζαρ και προς όλους τους Ισραηλίτας, όλα όσα εκυρίευσαν, και τα λάφυρα και την λείαν, τα έφεραν στο στρατόπεδον που ευρίσκετο εις την περιοχήν Αραβώθ της χώρας Μωάβ, η οποία είναι πλησίον του Ιορδάνου απέναντι από την Ιεριχώ.

Αρ. 31,13 - Καὶ ἐξῆλθε Μωυσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς εἰς συνάντησιν αὐτοῖς ἔξω τῆς παρεμβολῆς.

Αρ. 31,13 - Ο Μωϋσής, ο αρχιερεύς Ελεάζαρ και όλοι οι άρχοντες του Ισραηλιτικού λαού εξήλθον εις συνάντησιν των νικητών έξω από το στρατόπεδον του Ισραήλ.

Αρ. 31,14 - καὶ ὠργίσθη Μωυσῆς ἐπὶ τοῖς ἐπισκόποις τῆς δυνάμεως, χιλιάρχοις καὶ ἑκατοντάρχοις τοῖς ἐρχομένοις ἐκ τῆς παρατάξεως τοῦ πολέμου,

Αρ. 31,14 - Ο Μωϋσής, όταν είδε και γυναίκας Μαδιανίτας αιχμαλώτους, ωργίσθη εναντίον των χιλιάρχων και των εκατοντάρχων, οι οποίοι επανήρχοντο από την πολεμικήν αυτήν επιχείρησιν,

Αρ. 31,15 - καὶ εἶπεν αὐτοῖς Μωυσῆς· ἱνατί ἐζωγρήσατε πᾶν θῆλυ;

Αρ. 31,15 - και είπεν εις αυτούς· "διατί συνελάβατε αιχμαλώτους και τας εφέρατε ζωντανάς εδώ;

Αρ. 31,16 - αὗται γὰρ ἦσαν τοῖς υἱοῖς Ἰσραὴλ κατὰ τὸ ῥῆμα Βαλαὰμ τοῦ ἀποστῆσαι καὶ ὑπεριδεῖν τὸ ῥῆμα Κυρίου ἕνεκεν Φογώρ, καὶ ἐγένετο ἡ πληγὴ ἐν τῇ συναγωγῇ Κυρίου.

Αρ. 31,16 - Δεν έπρεπε αύται να ζήσουν, διότι αυταί ήσαν η αιτία, σύμφωνα με την συμβουλήν του Βαλαάμ, να αποστατήσουν οι Ισραηλίται από τον Θεόν, να καταφρονήσουν τας εντολάς του Κυρίου, να λατρεύσουν το είδωλον Φογώρ, και έτσι να ασταλή εκ μέρους του Κυρίου μεγάλη τιμωρία στον ισραηλιτικόν λαόν.

Αρ. 31,17 - καὶ νῦν ἀποκτείνατε πᾶν ἀρσενικὸν ἐν πάσῃ τῇ ἀπαρτίᾳ, πᾶσαν γυναῖκα, ἥτις ἔγνω κοίτην ἄρσενος, ἀποκτείνατε·

Αρ 31,17 - Τωρα λοιπόν φονεύσατε όλους γενικώς τους άρρενας και κάθε γυναίκα, η οποία έχει έλθει εις συνάφειαν με άνδρα.

Αρ. 31,18 - καὶ πᾶσαν τὴν ἀπαρτίαν τῶν γυναικῶν, ἥτις οὐκ οἶδε κοίτην ἄρσενος, ζωγρήσατε αὐτάς.

Αρ. 31,18 - Ολας δε τας αλλάς γυναίκας, τας παρθένους, αι οποίαι δεν ήλθον εις συνάφειαν με άνδρα τινά, κρατήσατέ τας αιχμαλώτους.

Αρ. 31,19 - καὶ ὑμεῖς παρεμβάλετε ἔξω τῆς παρεμβολῆς ἑπτὰ ἡμέρας· πᾶς ὁ ἀνελὼν καὶ ὁ ἁπτόμενος τοῦ τετρωμένου ἁγνισθήσεται τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ὑμεῖς καὶ ἡ αἰχμαλωσία ὑμῶν·

Αρ. 31,19 - Σεις δε όλοι να στρατοπεδεύσετε επί επτά ημέρας έξω από το στρατόπεδόν μας. Εκείνος ο οποίος εφόνευσεν εχθρόν η ήγγισεν

φονευμένον πρέπει να εξαγνισθή την τρίτην και την εβδόμην ημέραν, σεις και όλοι οι αιχμάλωτοί σας.

Αρ. 31,20 - καὶ πᾶν περίβλημα καὶ πᾶν σκεῦος δερμάτινον καὶ πᾶσαν ἐργασίαν ἐξ αἰγείας καὶ πᾶν σκεῦος ξύλινον ἀφαγνιεῖτε.

Αρ. 31,20 - Θα καθαρίσετε δε κάθε ένδυμά σας, κάθε δερμάτινον σκεύος, κάθε τι που έχει κατασκευασθή από δέρμα αιγός και κάθε ξύλινον σκεύος”.

Αρ. 31,21 - καὶ εἶπεν Ἐλεάζαρ ὁ ἱερεὺς πρὸς τοὺς ἄνδρας τῆς δυνάμεως τοὺς ἐρχομένους ἐκ τῆς παρατάξεως τοῦ πολέμου· τοῦτο τὸ δικαίωμα τοῦ νόμου, ὃ συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 31,21 - Ο αρχιερεύς Ελεάζαρ, είπε προς τους άνδρας του στρατού, οι οποίοι είχαν επιστρέψει από τον πόλεμον· “Αυτή είναι η εντολή του Νομου, την οποίαν έδωσεν ο Κυριος στον Μωϋσήν.

Αρ. 31,22 - πλὴν τοῦ χρυσίου καὶ τοῦ ἀργυρίου καὶ χαλκοῦ καὶ σιδήρου καὶ μολίβου καὶ κασσιτέρου,

Αρ. 31,22 - Εκτός από το χρυσίον, τον άργυρον, τον χαλκόν, τον σίδηρον, τον μόλυβδον και τον κασσίτερον,

Αρ. 31,23 - πᾶν πρᾶγμα, ὃ διελεύσεται ἐν πυρί, καὶ καθαρισθήσεται, ἀλλ᾽ ἢ τῷ ὕδατι τοῦ ἁγνισμοῦ ἁγνισθήσεται· καὶ πάντα ὅσα ἐὰν μὴ διαπορεύηται διὰ πυρός, διελεύσεται δι᾽ ὕδατος.

Αρ. 31,23 - και κάθε άλλον αντικείμενον το οποίον αντέχει στο πυρ, θα καθαρισθή δια του πυρός, αλλά και με το ύδωρ του εξαγνισμού θα εξαγνισθή. Ολα δε όσα δεν αντέχουν στο πυρ θα περάσουν από το ύδωρ του εξαγνισμού, ώστε να καθαρισθούν.

Αρ. 31,24 - καὶ πλυνεῖσθε τὰ ἱμάτια τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ καθαρισθήσεσθε καὶ μετὰ ταῦτα εἰσελεύσεσθε εἰς τὴν παρεμβολήν.

Αρ. 31,24 - Και σεις οι ίδιοι θα πλύνετε τα ενδύματά σας κατά την εβδόμην ημέραν και θα καταστήτε έτσι καθαροί. Μετά ταύτα θα εισέλθετε στο στρατόπεδον του Ισραήλ”.

Αρ. 31,25 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 31,25 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν και είπε·

Αρ. 31,26 - λάβε τὸ κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας ἀπὸ ἀνθρώπου ἕως κτήνους, σὺ καὶ Ἐλεάζαρ ὁ ἱερεὺς καὶ οἱ ἄρχοντες τῶν πατριῶν τῆς συναγωγῆς,

Αρ. 31,26 - “συ, ο αρχιερεύς Ελεάζαρ και οι άρχοντες των φυλών του λαού, αριθμήσατε και καταγράψατε όλα τα λάφυρα, που επήρατε από τους Μαδιανίτας, από ανθρώπου μέχρι ζώου·

Αρ. 31,27 - καὶ διελεῖτε τὰ σκῦλα ἀνὰ μέσον τῶν πολεμιστῶν τῶν ἐκπεπορευμένων εἰς τὴν παράταξιν, καὶ ἀνὰ μέσον πάσης συναγωγῆς.

Αρ. 31,27 - και διαμοιράσατε τα λάφυρα αυτά εις δύο ίσα μέρη, ένα μέρος δια τους άνδρας, οι οποίοι εξήλθον στον πόλεμον, και το άλλο δι' όλον το

άλλο πλήθος των Ισραηλιτών.

Αρ. 31,28 - καὶ ἀφελεῖτε τέλος Κυρίῳ παρὰ τῶν ἀνθρώπων τῶν πολεμιστῶν τῶν ἐκπεπορευμένων εἰς τὴν παράταξιν μίαν ψυχὴν ἀπὸ πεντακοσίων, ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν κτηνῶν καὶ ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προβάτων καὶ ἀπὸ τῶν ὄνων·

Αρ. 31,28 - Θα αφαιρέσετε όμως, ως φόρον δια τον Κυριον, από την μερίδα των ανδρών, που εξήλθον στον πόλεμον, ένα άνδρα επί πεντακοσίων αιχμαλώτων, ένα ζώον επί πεντακοσίων ζώων βοών, προβάτων και όνων.

Αρ. 31,29 - καὶ ἀπὸ τοῦ ἡμίσους αὐτῶν λήψεσθε καὶ δώσεις Ἐλεάζαρ τῷ ἱερεῖ τὰς ἀπαρχὰς Κυρίου.

Αρ. 31,29 - Αυτό που θα βγάλετε ως φόρον δια τον Κυριον, από το ήμισυ, που θα έχουν πάρει οι πολεμισταί, θα το δώσης στον αρχιερέα Ελεάζαρ, ως απαρχήν προς τον Κυριον.

Αρ. 31,30 - καὶ ἀπὸ τοῦ ἡμίσους τοῦ τῶν υἱῶν Ἰσραὴλ λήψῃ ἕνα ἀπὸ πεντήκοντα ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν βοῶν καὶ ἀπὸ τῶν προβάτων καὶ ἀπὸ τῶν ὄνων καὶ ἀπὸ πάντων τῶν κτηνῶν καὶ δώσεις αὐτὰ τοῖς Λευίταις τοῖς φυλάσσουσι τὰς φυλακὰς ἐν τῇ σκηνῇ Κυρίου.

Αρ. 31,30 - Από δε το άλλο ήμισυ, από το μερίδιον δηλαδή του ισραηλιτικού λαού, θα πάρετε ένα επί πεντήκοντα αιχμαλώτων ανθρώπων, επί πεντήκοντα βοών και προβάτων και όνων και επί όλων γενικώς των ζώων και θα δώσης αυτά στους Λευΐτας, οι οποίοι έχουν την επίβλεψιν και προσφέρουν τας υπηρεσίας των εις την Σκηνήν του Κυρίου”.

Αρ. 31,31 - καὶ ἐποίησε Μωυσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 31,31 - Ο Μωϋσής και ο αρχιερεύς Ελεάζαρ έκαμαν, όπως διέταξεν ο Θεός τον Μωϋσήν.

Αρ. 31,32 - καὶ ἐγενήθη τὸ πλεόνασμα τῆς προνομῆς, ὃ προενόμευσαν οἱ ἄνδρες οἱ πολεμισταὶ ἀπὸ τῶν προβάτων, ἑξακόσιαι χιλιάδες καὶ ἑβδομήκοντα καὶ πέντε χιλιάδες

Αρ. 31,32 - Το πλήθος δε των λαφύρων, τα οποία οι άνδρες οι πολεμήσαντες έφεραν, ήτο εξακόσιαι εβδομήκοντα πέντε χιλιάδες πρόβατα,

Αρ. 31,33 - καὶ βόες δύο καὶ ἑβδομήκοντα χιλιάδες

Αρ. 31,33 - εβδομήκοντα δύο χιλιάδες βόδια

Αρ. 31,34 - καὶ ὄνοι μία καὶ ἑξήκοντα χιλιάδες

Αρ. 31,34 - και εξήκοντά μία χιλιάδες όνοι.

Αρ. 31,35 - καὶ ψυχαὶ ἀνθρώπων ἀπὸ τῶν γυναικῶν, αἳ οὐκ ἔγνωσαν κοίτην ἀνδρός, πᾶσαι ψυχαὶ δύο καὶ τριάκοντα χιλιάδες.

Αρ. 31,35 - Από τους αιχμαλωτισθέντας ανθρώπους ήσαν γυναίκες παρθένοι, αι οποίαι δεν είχον έλθει εις συνάφειαν με άνδρα, τριάκοντα δύο

χιλιάδες.

Αρ. 31,36 - καὶ ἐγενήθη τὸ ἡμίσευμα ἡ μερὶς τῶν ἐκπεπορευμένων εἰς τὸν πόλεμον ἐκ τοῦ ἀριθμοῦ τῶν προβάτων τριακόσιαι καὶ τριάκοντα χιλιάδες καὶ ἑπτακισχίλια καὶ πεντακόσια.

Αρ. 31,36 - Και άρα το ήμισυ από όλα αυτά, το μερίδιον δηλαδή των λαβόντων μέρος στον πόλεμον, ήτο από μεν τα πρόβατα τριακόσιαι τριάκοντα επτά χιλιάδες πεντακόσια

Αρ. 31,37 - καὶ ἐγένετο τὸ τέλος Κυρίῳ ἀπὸ τῶν προβάτων ἑξακόσιαι ἑβδομήκοντα πέντε·

Αρ. 31,37 - και ο φόρος από αυτά δια τον Κυριον ήτο εξακόσια εβδομήκοντα πέντε πρόβατα.

Αρ. 31,38 - καὶ βόες ἓξ καὶ τριάκοντα χιλιάδες, καὶ τὸ τέλος Κυρίῳ δύο καὶ ἑβδομήκοντα·

Αρ. 31,38 - Τα δε βόδια στο μερίδιον των πολεμιστών, ήσαν τριάκοντα εξ χιλιάδες, ο φόρος από αυτά προς τον Κυριον εβδομήκοντα δύο.

Αρ. 31,39 - καὶ ὄνοι τριάκοντα χιλιάδες καὶ πεντακόσιοι, καὶ τὸ τέλος Κυρίῳ εἷς καὶ ἑξήκοντα·

Αρ. 31,39 - Οι όνοι ήσαν τριάκοντα χιλιάδες πεντακόσιοι ο δε φόρος προς τον Κυριον εξήκοντα ένας.

Αρ. 31,40 - καὶ ψυχαὶ ἀνθρώπων ἑκκαίδεκα χιλιάδες, καὶ τὸ τέλος αὐτῶν Κυρίῳ δύο καὶ τριάκοντα ψυχαί.

Αρ. 31,40 - Αιχμάλωτοι δε άνθρωποι, ήσαν δέκα εξ χιλιάδες και ο φόρος προς τον Κυριον τριάκοντα δύο ψυχαί.

Αρ. 31,41 - καὶ ἔδωκε Μωυσῆς τὸ τέλος Κυρίῳ τὸ ἀφαίρεμα τοῦ Θεοῦ Ἐλεάζαρ τῷ ἱερεῖ, καθὰ συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 31,41 - Ο Μωϋσής αυτόν τον προς τον Κυριον φόρον, τον ως αφιέρωμα προς τον Θεόν, παρέδωκε προς τον Ελεάζαρ τον αρχιερέα, όπως τον είχε διατάξει ο Θεός.

Αρ. 31,42 - ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν Ἰσραήλ, οὓς διεῖλε Μωυσῆς ἀπὸ τῶν ἀνδρῶν τῶν πολεμιστῶν.

Αρ. 31,42 - Το άλλο ήμισυ των λαφύρων, το οποίον ο Μωϋσής κατόπιν της διανομής που είχε κάμει μεταξύ των πολεμιστών και του λαού, το έδωσεν στον λαόν.

Αρ. 31,43 - καὶ ἐγένετο τὸ ἡμίσευμα ἀπὸ τῆς συναγωγῆς ἀπὸ τῶν προβάτων τριακόσιαι καὶ τριάκοντα χιλιάδες καὶ ἑπτακισχίλια καὶ πεντακόσια

Αρ. 31,43 - Το ήμισυ αυτό ήτο τριακόσιοι τριάκοντα επτά χιλιάδες πεντακόσια πρόβατα,

Αρ. 31,44 - καὶ βόες ἓξ καὶ τριάκοντα χιλιάδες,

Αρ. 31,44 - τριάκοντα εξ χιλιάδες βόδια,

Αρ. 31,45 - ὄνοι τριάκοντα χιλιάδες καὶ πεντακόσιοι

Αρ. 31,45 - τριάκοντα χιλιάδες πεντακόσιοι όνοι

Αρ. 31,46 - καὶ ψυχαὶ ἀνθρώπων ἓξ καὶ δέκα χιλιάδες.

Αρ. 31,46 - και δέκα εξ χιλιάδες άνθρωποι.

Αρ. 31,47 - καὶ ἔλαβε Μωυσῆς ἀπὸ τοῦ ἡμισεύματος τῶν υἱῶν Ἰσραὴλ τὸ ἓν ἀπὸ τῶν πεντήκοντα, ἀπὸ τῶν ἀνθρώπων καὶ ἀπὸ τῶν κτηνῶν, καὶ ἔδωκεν αὐτὰ τοῖς Λευίταις τοῖς φυλάσσουσι τὰς φυλακὰς τῆς σκηνῆς Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ.

Αρ. 31,47 - Από αυτό το ήμισυ μερίδιον του ισραηλιτικού λαού επήρεν ο Μωϋσής ένα επί πεντήκοντα ανθρώπων και ένα επί πεντήκοντα ζώων και έδωκεν αυτά στους Λευΐτας, οι οποίοι επέβλεπον και προσέφεραν τας υπηρεσίας των εις την Σκηνήν του Μαρτυρίου, όπως τον είχε διατάξει ο Κυριος.

Αρ. 31,48 - Καὶ προσῆλθον πρὸς Μωυσῆν πάντες οἱ καθεσταμένοι εἰς τὰς χιλιαρχίας τῆς δυνάμεως, χιλίαρχοι καὶ ἑκατόνταρχοι, καὶ εἶπαν πρὸς Μωυσῆν·

Αρ. 31,48 - Προσήλθον προς τον Μωϋσήν όλοι οι διοικηταί των στρατιωτικών μονάδων, χιλίαρχοι και εκατόνταρχοι και είπον προς τον Μωϋσήν·

Αρ. 31,49 - οἱ παῖδές σου εἰλήφασι τὸ κεφάλαιον τῶν ἀνδρῶν τῶν πολεμιστῶν τῶν παρ᾿ ἡμῖν, καὶ οὐ διαπεφώνηκεν ἀπ᾿ αὐτῶν οὐδὲ εἷς·

Αρ. 31,49 - "ημείς, οι δούλοι σου, ηριθμήσαμεν τους άνδρας μας τους πολεμιστάς και είδομεν ότι κανείς δεν λείπει από αυτούς.

Αρ. 31,50 - καὶ προσενηνόχαμεν τὸ δῶρον Κυρίῳ, ἀνὴρ ὃ εὗρε σκεῦος χρυσοῦν καὶ χλιδῶνα καὶ ψέλλιον καὶ δακτύλιον καὶ περιδέξιον καὶ ἐμπλόκιον, ἐξιλάσασθαι περὶ ἡμῶν ἔναντι Κυρίου.

Αρ. 31,50 - Δια τούτο εις ένδειξιν ευγνωμοσύνης μας, έχομεν φέρει στον Κυριον, ως δώρον ο καθένας μας, ο,τι του ευρίσκετο, δηλαδή χρυσούν δοχείον, βραχιόλι, κρίκον χρυσόν, δακτυλίδι, βραχιόλι δεξιάς χειρός, κοσμήματα κόμης γυναικών, προς εξιλέωσίν μας ενώπιον του Κυρίου".

Αρ. 31,51 - καὶ ἔλαβε Μωυσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρ᾿ αὐτῶν πᾶν σκεῦος εἰργασμένον·

Αρ. 31,51 - Ο Μωϋσής και ο Ελεάζαρ ο αρχιερεύς επήραν από αυτούς τα κατειργασμένα αυτά χρυσά αντικείμενα.

Αρ. 31,52 - καὶ ἐγένετο πᾶν τὸ χρυσίον τὸ ἀφαίρεμα, ὃ ἀφεῖλον Κυρίῳ, ἑκκαίδεκα χιλιάδες καὶ ἑπτακόσιοι καὶ πεντήκοντα σίκλοι παρὰ τῶν χιλιάρχων καὶ παρὰ τῶν ἑκατοντάρχων.

Αρ. 31,52 - Ολον δε το αφιερωθέν αυτό χρυσίον προς τον Κυριον εκ μέρους των χιλιάρχων και εκατοντάρχων ανήλθεν εις δέκα εξ χιλιάδας επτακοσίους πεντήκοντα σίκλους (εκατόν εβδομήκοντα περίπου χιλιόγραμμα).

Αρ. 31,53 - καὶ οἱ ἄνδρες οἱ πολεμισταὶ ἐπρονόμευσαν ἕκαστος ἑαυτῷ.
Αρ. 31,53 - Αλλά και οι άνδρες, οι οποίοι είχον λάβει μέρος στον πόλεμον επήραν λάφυρα ο καθένας δια τον εαυτόν του.
Αρ. 31,54 - καὶ ἔλαβε Μωυσῆς καὶ Ἐλεάζαρ ὁ ἱερεὺς τὸ χρυσίον παρὰ τῶν χιλιάρχων καὶ παρὰ τῶν ἑκατοντάρχων καὶ εἰσήνεγκεν αὐτὰ εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, μνημόσυνον τῶν υἱῶν Ἰσραὴλ ἔναντι Κυρίου.
Αρ. 31,54 - Ο Μωϋσής και ο αρχιερεύς Ελεάζαρ έλαβον το χρυσίον αυτό, το αφιερωθέν εκ μέρους των χιλιάρχων και εκατοντάρχων, και το προσέφεραν εις την Σκηνήν του Μαρτυρίου, εις μνημόσυνον των Ισραηλιτών ενώπιον του Κυρίου.

ΑΡΙΘΜΟΙ 32

Αρ. 32,1 - Καὶ κτήνη πλῆθος ἦν τοῖς υἱοῖς Ῥουβὴν καὶ τοῖς υἱοῖς Γάδ, πλῆθος σφόδρα· καὶ εἶδον τὴν χώραν Ἰαζὴρ καὶ τὴν χώραν Γαλαάδ, καὶ ἦν ὁ τόπος τόπος κτήνεσι.
Αρ. 32,1 - Εις την φυλήν του Ρουβήν και του Γαδ υπήρχε πολύ μεγάλο πλήθος ζώων. Παρετήρησαν την χώραν Ιαζήρ και Γαλαάδ και είδον, ότι ο τόπος αυτός ήτο βοσκότοπος, κατάλληλος δια τα ζώα των.
Αρ. 32,2 - καὶ προσελθόντες οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ εἶπαν πρὸς Μωυσῆν καὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ πρὸς τοὺς ἄρχοντας τῆς συναγωγῆς λέγοντες·
Αρ. 32,2 - Προσήλθον λοιπόν εκ της φυλής Ρουβήν και Γαδ προς τον Μωϋσήν, προς τον αρχιερέα Ελεάζαρ και προς τους άρχοντας του λαού και είπον·
Αρ. 32,3 - Ἀταρὼθ καὶ Δαιβὼν καὶ Ἰαζὴρ καὶ Ναμρὰ καὶ Ἐσεβών, καὶ Ἐλεαλὴ καὶ Σεβαμὰ καὶ Ναβαὺ καὶ Βαιάν,
Αρ. 32,3 - "αι πόλεις Αταρώθ, Δαιβών, Ιαζήρ, Ναμρά, Εσεβών, Ελεαλή, Σαβαμά, Ναβαύ και Βαιάν
Αρ. 32,4 - τὴν γῆν ἣν παραδέδωκε Κύριος ἐνώπιον τῶν υἱῶν Ἰσραήλ, γῆ κτηνοτρόφος ἐστί, καὶ τοῖς παισί σου κτήνη ὑπάρχει.
Αρ. 32,4 - είναι εις την ανατολικώς του Ιορδάνου χώραν, την οποίαν έχει παραδώσει ο Κυριος στους Ισραηλίτας. Η χώρα αυτή είναι κτηνοτροφική, έχει βοσκότοπους. Εις ημάς δέ, τους δούλους σου, υπάρχουν ζώα".
Αρ. 32,5 - καὶ ἔλεγον· εἰ εὕρομεν χάριν ἐνώπιόν σου, δοθήτω ἡ γῆ αὕτη τοῖς οἰκέταις σου ἐν κατασχέσει, καὶ μὴ διαβιβάσῃς ἡμᾶς τὸν Ἰορδάνην.
Αρ. 32,5 - Και προσέθεσαν αυτοί απευθυνόμενοι προς τον Μωϋσήν ειδικώτερον· "Εάν έχωμεν χάριν ενώπιόν σου, ας δοθή αυτή η χώρα ως ιδιοκτησία εις ημάς τους δούλους σου και μη θελήσης να μας διαπεράσης εκείθεν από τον Ιορδάνην".

Αρ. 32,6 - καὶ εἶπε Μωυσῆς τοῖς υἱοῖς Γὰδ καὶ τοῖς υἱοῖς Ῥουβήν· οἱ ἀδελφοὶ ὑμῶν πορεύονται εἰς τὸν πόλεμον, καὶ ὑμεῖς καθήσεσθε αὐτοῦ;

Αρ. 32,6 - Ο Μωϋσής είπεν στους υιούς των φυλών Γαδ και Ρουβήν. “Οι αδελφοί σας πορεύονται στον πόλεμον και σεις θέλετε να καθήσετε ήσυχοι εδώ;

Αρ. 32,7 - καὶ ἱνατί διαστρέφετε τὰς διανοίας τῶν υἱῶν Ἰσραὴλ μὴ διαβῆναι εἰς τὴν γῆν, ἣν Κύριος δίδωσιν αὐτοῖς;

Αρ. 32,7 - Διατί με τας ιδιοτελείς αυτάς προτάσεις σας διαστρέφετε τας διαθέσεις των Ισραηλιτών και τους αποθαρρύνετε, ώστε να μη διαβούν εις την γην Χαναάν, την οποίαν ο Κυριος δίδει εις αυτούς;

Αρ. 32,8 - οὐχ οὕτως ἐποίησαν οἱ πατέρες ὑμῶν, ὅτε ἀπέστειλα αὐτοὺς ἐκ Κάδης Βαρνὴ κατανοῆσαι τὴν γῆν;

Αρ. 32,8 - Το ίδιο δεν έκαναν και οι πατέρες σας, όταν εγώ απέστειλα τους κατασκόπους από την περιοχήν Καδης Βαρνή, δια να κατασκοπεύσουν την χώραν και να μας πληροφορήσουν περί αυτής;

Αρ. 32,9 - καὶ ἀνέβησαν Φάραγγα βότρυος καὶ κατενόησαν τὴν γῆν καὶ ἀπέστησαν τὴν καρδίαν τῶν υἱῶν Ἰσραήλ, ὅπως μὴ εἰσέλθωσιν εἰς τὴν γῆν, ἣν ἔδωκε Κύριος αὐτοῖς.

Αρ. 32,9 - Μετέβησαν αυτοί εις την “Κοιλάδα της σταφυλής”, είδον και επείσθησαν, ότι η χώρα ήτο εύφορος, αλλά επανελθόντες διέστρεψαν και απεμάκρυναν τας καρδίας των Ισραηλιτών από τον Θεόν, ώστε να μη θέλουν να εισέλθουν εις την γην, την οποίαν ο Κυριος είχεν αποφασίσει να τους δώση.

Αρ. 32,10 - καὶ ὠργίσθη θυμῷ Κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ὤμοσε λέγων·

Αρ. 32,10 - Δι' αυτό δε και ωργίσθη πολύ ο Κυριος κατά την ημέραν εκείνην και ωρκίσθη λέγων·

Αρ. 32,11 - εἰ ὄψονται οἱ ἄνθρωποι οὗτοι οἱ ἀναβάντες ἐξ Αἰγύπτου ἀπὸ εἰκοσαετοῦς καὶ ἐπάνω, οἱ ἐπιστάμενοι τὸ ἀγαθὸν καὶ τὸ κακόν, τὴν γῆν ἣν ὤμοσα τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, οὐ γὰρ συνεπηκολούθησαν ὀπίσω μου,

Αρ. 32,11 - “Δεν θα ίδουν οι άνθρωποι αυτοί, που εξήλθον ελεύθεροι από την Αίγυπτον, όσοι είναι ηλικίας είκοσι ετών και άνω και οι οποίοι γνωρίζουν τι είναι καλόν και τι κακόν, την γην την οποίαν ωρκίσθην στον Αβραάμ, στον Ισαάκ και τον Ιακώβ. Οχι, ποτέ δεν θα την ίδουν, διότι δεν συνεμορφώθησαν προς τας εντολάς μου, δεν ηκολούθησαν τον Κυριον.

Αρ. 32,12 - πλὴν Χάλεβ υἱὸς Ἰεφοννὴ ὁ διακεχωρισμένος καὶ Ἰησοῦς ὁ τοῦ Ναυή, ὅτι συνεπηκολούθησαν ὀπίσω Κυρίου.

Αρ. 32,12 - Κανείς από αυτούς δεν θα εισέλθη, πλην του Χαλεβ, του υιού Ιεφοννή, ο οποίος εξεχώρισε τον εαυτόν του από εκείνους, και του Ιησού,

υιού του Ναυη, διότι οι δύο αυτοί μόνοι υπήκουσαν και ηκολούθησαν τον Κυριον.

Αρ. 32,13 - καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὸν Ἰσραὴλ καὶ κατεῤῥόμβευσεν αὐτοὺς ἐν τῇ ἐρήμῳ τεσσαράκοντα ἔτη, ἕως ἐξανηλώθη πᾶσα ἡ γενεὰ οἱ ποιοῦντες τὰ πονηρὰ ἔναντι Κυρίου.

Αρ. 32,13 - Και ωργίσθη πολύ ο Κυριος εναντίον των Ισραηλιτών και τους περιέφερε πλάνητας μέσα εις την έρημον επί τεσσαράκοντα έτη, μέχρις ότου εξωλοθρεύθη όλη εκείνη η γενεά, η οποία είχε φερθή κατά ένα τρόπον τόσον ασεβή και κακόν προς τον Κυριον !

Αρ. 32,14 - ἰδοὺ ἀνέστητε ἀντὶ τῶν πατέρων ὑμῶν, σύντριμμα ἀνθρώπων ἁμαρτωλῶν, προσθεῖναι ἔτι ἐπὶ τὸν θυμὸν τῆς ὀργῆς Κυρίου ἐπὶ Ἰσραήλ,

Αρ. 32,14 - Και ιδού ότι τώρα αντί των πατέρων σας παρουσιασθήκατε σεις, ελεεινά κατάλοιπα ανθρώπων αμαρτωλών, δια να αυξήσετε ακόμη περισσότερον την οργήν του Κυρίου εναντίον των Ισραηλιτών.

Αρ. 32,15 - ὅτι ἀποστραφήσεσθε ἀπ᾿ αὐτοῦ προσθεῖναι ἔτι καταλιπεῖν αὐτὸν ἐν τῇ ἐρήμῳ καὶ ἀνομήσετε εἰς ὅλην τὴν συναγωγὴν ταύτην.

Αρ. 32,15 - Διότι σεις εάν απομακρυνθήτε τώρα από τον Θεόν, θα γίνετε αφορμή να εγκατάλειψη πάλιν ο Θεός τον λαόν εις την έρημον και σεις θα είσθε οι ένοχοι της νέας αυτής παρανομίας και τιμωρίας όλου αυτού του λαού".

Αρ. 32,16 - καὶ προσῆλθον αὐτῷ καὶ ἔλεγον· ἐπαύλεις προβάτων οἰκοδομήσομεν ὧδε τοῖς κτήνεσιν ἡμῶν καὶ πόλεις ταῖς ἀποσκευαῖς ἡμῶν,

Αρ. 32,16 - Επλησίασαν με ταπείνωσιν τον Μωϋσήν οι εκπρόσωποι των φυλών Γαδ και Ρουβήν και του είπον· "δεν θα παρακούσωμεν ημείς την εντολήν του Κυρίου να εισέλθωμεν μαζή με τους άλλους αδελφούς μας εις την γην Χαναάν. Αλλά απλώς επιθυμούμεν να κτίσωμεν εδώ μάνδρας δια τα πρόβατα και τα κτήνη μας και πόλεις δια τα παιδιά μας και τον άλλον άμαχον πληθυσμόν μας.

Αρ. 32,17 - καὶ ἡμεῖς ἐνοπλισάμενοι προφυλακὴν πρότεροι τῶν υἱῶν Ἰσραήλ, ἕως ἂν ἀγάγωμεν αὐτοὺς εἰς τὸν ἑαυτῶν τόπον· καὶ κατοικήσει ἡ ἀποσκευὴ ἡμῶν ἐν πόλεσι τετειχισμέναις διὰ τοὺς κατοικοῦντας τὴν γῆν.

Αρ. 32,17 - Ημείς δε οι άνδρες, όταν έλθη η στιγμή, θα οπλισθώμεν και θα προπορευθώμεν από τους άλλους Ισραηλίτας στον πόλεμον, μέχρις ότου κατακτήσωμεν την γην Χαναάν και εγκαταστήσωμεν αυτούς εις τας περιοχάς των. Ο άμαχος μόνον πληθυσμός μας θα κατοικήση εις τας εντεύθεν του Ιορδάνου τειχισμένας πόλεις, δια να είναι ασφαλής από τους κατοίκους της χώρας αυτής.

Αρ. 32,18 - οὐ μὴ ἀποστραφῶμεν εἰς τὰς οἰκίας ἡμῶν, ἕως ἂν καταμερισθῶσιν οἱ υἱοὶ Ἰσραήλ, ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ·

Αρ. 32,18 - Δεν θα επιστρέψωμεν εις τας οικίας μας, μέχρις ότου νικηταί οι Ισραηλίται, και κύριοι της Χαναάν διαμοιρασθούν αυτήν και εγκατασταθούν κύριοι εις την κληρονομίαν των.

Αρ. 32,19 - καὶ οὐκέτι κληρονομήσομεν ἐν αὐτοῖς ἀπὸ τοῦ πέραν τοῦ Ἰορδάνου καὶ ἐπέκεινα, ὅτι ἀπέχομεν τοὺς κλήρους ἡμῶν ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν ἀνατολαῖς.

Αρ. 32,19 - Ημείς δε καμμίαν απολύτως αξίωσιν δεν θα έχωμεν να κληρονομήσωμεν κάτι μεταξύ των άλλων Ισραηλιτών από την πέραν του Ιορδάνου Χαναάν, διότι θα έχωμεν λάβει ως κληρονομίαν μας τας ανατολικώς του Ιορδάνου περιοχάς".

Αρ. 32,20 - καὶ εἶπε πρὸς αὐτοὺς Μωυσῆς· ἐὰν ποιήσητε κατὰ τὸ ῥῆμα τοῦτο, ἐὰν ἐξοπλίσησθε ἔναντι Κυρίου εἰς πόλεμον

Αρ. 32,20 - Ο Μωϋσής είπε προς αυτούς· "εάν εκτελέσετε αυτό το οποίον υπόσχεσθε, εάν δηλαδή οπλισθήτε δια τον πόλεμον αυτόν, τον οποίον ο Κυριος έχει διατάξει

Αρ. 32,21 - καὶ παρελεύσεται ὑμῶν πᾶς ὁπλίτης τὸν Ἰορδάνην ἔναντι Κυρίου, ἕως ἂν ἐκτριβῇ ὁ ἐχθρὸς αὐτοῦ ἀπὸ προσώπου αὐτοῦ

Αρ. 32,21 - και κάθε ένας από σας που ημπορεί να φέρη όπλα διαβή τον Ιορδάνην σύμφωνα με την εντολήν του Κυρίου και λάβη μέρος στον πόλεμον, έως ότου συντριβή ο εχθρός του Θεού από εμπρός του

Αρ. 32,22 - καὶ κατακυριευθῇ ἡ γῆ ἔναντι Κυρίου, καὶ μετὰ ταῦτα ἀποστραφήσεσθε, καὶ ἔσεσθε ἀθῷοι ἔναντι Κυρίου καὶ ἀπὸ Ἰσραήλ, καὶ ἔσται ἡ γῆ αὕτη ὑμῖν ἐν κατασχέσει ἔναντι Κυρίου.

Αρ. 32,22 - και κατακτηθή η πέραν του Ιορδάνου χώρα όπως ο Κυριος θέλει, έπειτα δε επιστρέψετε εις την χώραν που θέλετε να κατοικήσετε, τότε θα είσθε καθαροί και αθώοι απέναντι του Κυρίου και των Ισραηλιτών, και δικαιωματικώς με την ευλογίαν του Κυρίου θα είναι εις την κυριότητά σας η γη αυτή.

Αρ. 32,23 - ἐὰν δὲ μὴ ποιήσητε οὕτως, ἁμαρτήσεσθε ἔναντι Κυρίου καὶ γνώσεσθε τὴν ἁμαρτίαν ὑμῶν, ὅταν ὑμᾶς καταλάβῃ τὰ κακά.

Αρ. 32,23 - Εάν όμως τυχόν και δεν πράξετε έτσι, θα αμαρτήσετε και θα είσθε ένοχοι ενώπιον του Κυρίου και θα εννοήσετε καλά το μέγεθος της αμαρτίας σας, όταν επιπέσουν εναντίον σας αι συμφοραί, ως τιμωρία εκ μέρους του Θεού.

Αρ. 32,24 - καὶ οἰκοδομήσετε ὑμῖν αὐτοῖς πόλεις τῇ ἀποσκευῇ ὑμῶν καὶ ἐπαύλεις τοῖς κτήνεσιν ὑμῶν καὶ τὸ ἐκπορευόμενον ἐκ τοῦ στόματος ὑμῶν ποιήσετε.

Αρ. 32,24 - Λοιπόν, οικοδομήσατε δια τους εαυτούς σας και δια τον άμαχον πληθυσμόν πόλεις, μανδριά και σταύλους δια τα ζώα σας και όσα αυτήν την ώραν υπεσχέθητε, αυτά και θα κάμετε".

Αρ. 32,25 - καὶ εἶπαν οἱ υἱοὶ Ῥουβὴν καὶ υἱοὶ Γὰδ πρὸς Μωυσῆν λέγοντες· οἱ παῖδές σου ποιήσουσι καθὰ ὁ Κύριος ἡμῶν ἐντέλλεται·

Αρ. 32,25 - Απήντησαν αι φυλαί του Ρουβήν και του Γαδ προς τον Μωϋσήν και είπον· "ημείς οι δούλοι σου, θα κάμωμεν, όπως μας διατάσσει ο Κυριος·

Αρ. 32,26 - ἡ ἀποσκευὴ ἡμῶν καὶ αἱ γυναῖκες ἡμῶν καὶ πάντα τὰ κτήνη ἡμῶν ἔσονται ἐν ταῖς πόλεσι Γαλαάδ,

Αρ. 32,26 - τα μεν παιδιά μας και αι γυναίκες μας και οι γέροντες και όλα τα κτήνη μας θα μείνουν εις τας πόλεις Γαλαάδ,

Αρ. 32,27 - οἱ δὲ παῖδές σου παρελεύσονται πάντες ἐνωπλισμένοι καὶ ἐκτεταγμένοι ἔναντι Κυρίου εἰς τὸν πόλεμον, ὃν τρόπον ὁ Κύριος λέγει.

Αρ. 32,27 - ημείς δε οι άνδρες, οι δούλοι σου, θα περάσωμεν όλοι πάνοπλοι και συντεταγμένοι ενώπιον του Κυρίου, δια να λάβωμεν μέρος στον πόλεμον, όπως ο Κυριος λέγει".

Αρ. 32,28 - καὶ συνέστησεν αὐτοῖς Μωυσῆς Ἐλεάζαρ τὸν ἱερέα καὶ Ἰησοῦν υἱὸν Ναυὴ καὶ τοὺς ἄρχοντας πατριῶν τῶν φυλῶν Ἰσραήλ,

Αρ. 32,28 - Τοτε ο Μωϋσής ενώπιον των εκπροσώπων της φυλής Ρουβήν και Γαδ έδωκε σχετικώς με αυτούς οδηγίας στον Ελεάζαρ τον αρχιερέα, στον Ιησούν, υιόν του Ναυή, και στους άρχοντας των φυλών του Ισραήλ

Αρ. 32,29 - καὶ εἶπε πρὸς αὐτοὺς Μωυσῆς· ἐὰν διαβῶσιν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ μεθ᾿ ὑμῶν τὸν Ἰορδάνην, πᾶς ἐνωπλισμένος εἰς πόλεμον ἔναντι Κυρίου, καὶ κατακυριεύσητε τῆς γῆς ἀπέναντι ὑμῶν, καὶ δώσετε αὐτοῖς τὴν γῆν Γαλαὰδ ἐν κατασχέσει·

Αρ. 32,29 - και είπε προς αυτούς· "εάν μεν οι άνδρες της φυλής Ρουβήν και Γαδ διαβούν μαζή σας τον Ιορδάνην ωπλισμένοι προς πόλεμον ενώπιον του Κυρίου και κατακτήσετε την απέναντί σας χώραν, θα δώσετε εις την κυριότητά των την περιοχήν Γαλαάδ.

Αρ. 32,30 - ἐὰν δὲ μὴ διαβῶσιν ἐνωπλισμένοι μεθ᾿ ὑμῶν εἰς τὸν πόλεμον ἔναντι Κυρίου, καὶ διαβιβάσετε τὴν ἀποσκευὴν αὐτῶν καὶ τὰς γυναῖκας αὐτῶν καὶ τὰ κτήνη αὐτῶν πρότερα ὑμῶν εἰς γῆν Χαναάν, καὶ συγκατακληρονομηθήσονται ἐν ὑμῖν ἐν τῇ γῇ Χαναάν.

Αρ. 32,30 - Εάν όμως δεν διαβούν μαζή με σας ωπλισμένοι εις πόλεμον ενώπιον του Κυρίου, θα μεταφέρετε εις την Χαναάν τα παιδιά και τας γυναίκας των και τα ζώα των, πριν ακόμα σεις περάσετε και θα λάβουν και αυτοί κληρονομίαν μαζή με σας εις την Χαναάν και όχι εις την Γαλαάδ".

Αρ. 32,31 - καὶ ἀπεκρίθησαν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ λέγοντες· ὅσα ὁ Κύριος λέγει τοῖς θεράπουσιν, οὕτω ποιήσωμεν ἡμεῖς·

Αρ. 32,31 - Οι εκπρόσωποι της φυλής του Ρουβήν και του Γαδ, απεκρίθησαν και είπν· "όσα διατάσσει ο Θεός τους δούλους του, έτσι και θα

κάνωμεν.

Αρ. 32,32 - διαβησόμεθα ἐνωπλισμένοι ἔναντι Κυρίου εἰς γῆν Χαναάν, καὶ δώσετε τὴν κατάσχεσιν ἡμῖν ἐν τῷ πέραν τοῦ Ἰορδάνου.

Αρ. 32,32 - Θα διαβώμεν ωπλισμένοι ενώπιον του Κυρίου εις την χώραν Χαναάν, και θα δώσετε από την κατοχήν μας την ανατολικώς του Ιορδάνου περιοχήν, που σας εζητήσαμεν”.

Αρ. 32,33 - καὶ ἔδωκεν αὐτοῖς Μωυσῆς τοῖς υἱοῖς Γὰδ καὶ τοῖς υἱοῖς Ῥουβὴν καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ υἱῶν Ἰωσήφ, τὴν βασιλείαν Σηὼν βασιλέως Ἀμοῤῥαίων καὶ τὴν βασιλείαν Ὢγ βασιλέως τῆς Βασάν, τὴν γῆν καὶ τὰς πόλεις σὺν τοῖς ὁρίοις αὐτῆς, πόλεις τῆς γῆς κύκλῳ.

Αρ. 32,33 - Πράγματι ο Μωϋσής έδωκεν εις αυτούς, δηλαδή εις την φυλήν Γαδ και εις την φυλήν Ρουβήν και εις την ημίσειαν φυλήν του Μανασσή, ενός από τα παιδιά του Ιωσήφ, το βασίλειον του βασιλέως των Αμορραίων Σηών και το βασίλειον του Ωγ, βασιλέως της χώρας Βασάν· έδωκεν εις αυτούς όλας αυτάς τας χώρας και τας περιεχομένας πόλεις με τα περίχωρά των.

Αρ. 32,34 - Καὶ ᾠκοδόμησαν οἱ υἱοὶ Γὰδ τὴν Δαιβὼν καὶ τὴν Ἀταρὼθ καὶ τὴν Ἀροὴρ

Αρ. 32,34 - Οι άνθρωποι της φυλής του Γαδ έκτισαν την Δαιβών, την Αταρώθ, την Αροήρ,

Αρ. 32,35 - καὶ τὴν Σοφὰρ καὶ τὴν Ἰαζὴρ καὶ ὕψωσαν αὐτάς,

Αρ. 32,35 - την Σοφάρ και την Ιαζήρ, τας οποίας περιέβαλον με υψηλά τείχη·

Αρ. 32,36 - καὶ τὴν Ναμρὰμ καὶ τὴν Βαιθαράν, πόλεις ὀχυρὰς καὶ ἐπαύλεις προβάτων.

Αρ. 32,36 - επίσης οικοδόμηοαν την Ναμράμ και την Βαιθαράν, πόλις οχυράς, και στάνες προβάτων.

Αρ. 32,37 - καὶ οἱ υἱοὶ Ῥουβὴν ᾠκοδόμησαν τὴν Ἐσεβὼν καὶ Ἐλεάλην καὶ Καριαθὰμ

Αρ. 32,37 - Οι δε άνθρωποι της φυλής Ρουβήν έκτισαν την Εσεβών, την Ελεάλην, την Καριαθάμ,

Αρ. 32,38 - καὶ τὴν Βεελμεών, περικεκυκλωμένας, καὶ τὴν Σεβαμὰ καὶ ἐπωνόμασαν κατὰ τὰ ὀνόματα αὐτῶν τὰ ὀνόματα τῶν πόλεων, ἃς ᾠκοδόμησαν.

Αρ. 32,38 - και την Βεελμεών, περιτειχισμένας, και την Σεβαμά. Εδωκαν δε εις αυτάς τας πόλεις, τας οποίας έκτισαν, τα ονόματα τα οποία και προηγουμένως είχον.

Αρ. 32,39 - καὶ ἐπορεύθη υἱὸς Μαχὶρ υἱοῦ Μανασσῆ εἰς Γαλαὰδ καὶ ἔλαβεν αὐτὴν καὶ ἀπώλεσε τὸν Ἀμοῤῥαῖον τὸν κατοικοῦντα ἐν αὐτῇ.

Αρ. 32,39 - Οι απόγονοι του Μαχίρ, υιού του Μανασσή, εβάδισαν κατά της Γαλαάδ, την κατέλαβον και εξόντωσαν τους Αμορραίους, οι οποίοι κατοικούσαν εκεί.

Αρ. 32,40 - καὶ ἔδωκε Μωυσῆς τὴν Γαλαὰδ τῷ Μαχὶρ υἱῷ Μανασσῆ, καὶ κατῴκησεν ἐκεῖ.

Αρ. 32,40 - Ο δε Μωϋσής έδωσε την χώραν Γαλαάδ στους απογόνους του Μαχίρ, υιού του Μανασσή, οι οποίοι και εγκατεστάθησαν εκεί.

Αρ. 32,41 - καὶ Ἰαΐρ ὁ τοῦ Μανασσῆ ἐπορεύθη καὶ ἔλαβε τὰς ἐπαύλεις αὐτῶν καὶ ἐπωνόμασεν αὐτὰς Ἐπαύλεις Ἰαΐρ.

Αρ. 32,41 - Ο Ιαΐρ, υιός και αυτός του Μανασσή εβάδισε και κατέλαβε τας αγροτικάς και κτηνοτροφικάς περιοχάς των ανθρωπων της Γαλαάδ και ωνόμασεν αυτάς, αγροτικάς κατουκίας του Ιαΐρ.

Αρ. 32,42 - καὶ Ναβαὺ ἐπορεύθη καὶ ἔλαβε τὴν Καὰθ καὶ τὰς κώμας αὐτῆς καὶ ἐπωνόμασεν αὐτὰς Ναβὼθ ἐκ τοῦ ὀνόματος αὐτοῦ.

Αρ. 32,42 - Ο δε Ναβαύ εβάδισε και κατέλαβε την Καάθ και τας κώμας της και ωνόμασεν αυτάς με το όνομά του, Ναβώθ.

## ΑΡΙΘΜΟΙ 33

Αρ. 33,1 - Καὶ οὗτοι οἱ σταθμοὶ τῶν υἱῶν Ἰσραήλ, ὡς ἐξῆλθον ἐκ γῆς Αἰγύπτου σὺν δυνάμει αὐτῶν ἐν χειρὶ Μωυσῆ καὶ Ἀαρών·

Αρ. 33,1 - Αυτοί είναι οι σταθμοί, τους οποίους έκαμαν οι Ισραηλίται, όταν μαζή με τον στρατόν των και υπό την οδηγίαν του Μωϋσέως και του Ααρών εξήλθον από την χώραν της Αιγύπτου.

Αρ. 33,2 - καὶ ἔγραψε Μωυσῆς τὰς ἀπάρσεις αὐτῶν καὶ τοὺς σταθμοὺς αὐτῶν διὰ ῥήματος Κυρίου, καὶ οὗτοι οἱ σταθμοὶ τῆς πορείας αὐτῶν.

Αρ. 33,2 - Ο Μωϋσής έγραψε τας αναχωρήσεις και τας σταθμεύσεις των Ισραηλιτών, αι οποίαι έγιναν κατά διαταγήν του Κυρίου. Αυτοί λοιπόν είναι οι σταθμοί κατά την πορείαν των.

Αρ. 33,3 - ἀπῇραν ἐκ Ῥαμεσσῆ τῷ μηνὶ τῷ πρώτῳ τῇ πεντεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς τοῦ πρώτου· τῇ ἐπαύριον τοῦ πάσχα ἐξῆλθον οἱ υἱοὶ Ἰσραὴλ ἐν χειρὶ ὑψηλῇ ἐναντίον πάντων τῶν Αἰγυπτίων,

Αρ. 33,3 - Κατά την δεκάτην πέμπτην ημέραν του πρώτου μηνός ανεχώρησαν οι Ισραηλίται από την Ραμεσσή· την επομένην δηλαδή ημέραν του Πασχα ανεχώρησαν οι Ισραηλίται, από την παντοδύναμον προστασίαν του Θεού, ενώπιον όλων των Αιγυπτίων,

Αρ. 33,4 - καὶ οἱ Αἰγύπτιοι ἔθαπτον ἐξ αὐτῶν τοὺς τεθνηκότας πάντας, οὓς ἐπάταξε Κύριος, πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, καὶ ἐν τοῖς θεοῖς αὐτῶν ἐποίησε τὴν ἐκδίκησιν Κύριος.

Αρ. 33,4 - όταν οι Αιγύπτιοι έθαπτον κατά την ημέραν εκείνην όλους τους νεκρούς των, τα πρωτότοκα τα οποία εθανάτωσεν ο Κυριος εις την χώραν της Αιγύπτου και εξεδικήθη τότε ο Κυριος τους θεούς των Αιγυπτίων.

Αρ. 33,5 - καὶ ἀπάραντες οἱ υἱοὶ Ἰσραὴλ ἐκ Ῥαμεσσῆ παρενέβαλον εἰς Σοκχώθ.

Αρ. 33,5 - Αναχωρήσαντες έπειτα οι Ισραηλίται από την Ραμεσσή εστρατοπέδευσαν εις Σοκχώθ.

Αρ. 33,6 - καὶ ἀπάραντες ἐκ Σοκχὼθ παρενέβαλον εἰς Βουθάν, ὅ ἐστι μέρος τι τῆς ἐρήμου.

Αρ. 33,6 - Αναχωρήσαντες από Σοκχώθ, εστρατοπέδευσαν εις την Βουθάν, η οποία είναι μέρος της ερήμου περιοχής.

Αρ. 33,7 - καὶ ἀπῆραν ἐκ Βουθὰν καὶ παρενέβαλον ἐπὶ τὸ στόμα Εἰρώθ, ὅ ἐστιν ἀπέναντι Βεελσεπφῶν, καὶ παρενέβαλον ἀπέναντι Μαγδώλου.

Αρ. 33,7 - Ανεχώρησαν από την Βουθάν και εστρατοπέδευσαν πλησίον της Ερώθ, η οποία ευρίσκεται απέναντι της Βεελσεπφών και εστρατοπέδευσαν απέναντι της Μαγδώλου.

Αρ. 33,8 - καὶ ἀπῆραν ἀπέναντι Εἰρὼθ καὶ διέβησαν μέσον τῆς θαλάσσης εἰς τὴν ἔρημον καὶ ἐπορεύθησαν ὁδὸν τριῶν ἡμερῶν διὰ τῆς ἐρήμου αὐτοὶ καὶ παρενέβαλον ἐν Πικρίαις.

Αρ. 33,8 - Ανεχώρησαν από την απέναντι της Ειρώθ περιοχήν, διέβησαν δια μέσου της Ερυθράς Θαλάσσης εις την έρημον Σούρ, εβάδισαν δια μέσου της ερήμου δρόμον τριών ημερών και εστρατοπέδευσαν εις την περιοχήν την ονομαζομένην Πικρίαι.

Αρ. 33,9 - καὶ ἀπῆραν ἐκ Πικριῶν καὶ ἦλθον εἰς Αἰλίμ· καὶ ἐν Αἰλὶμ δώδεκα πηγαὶ ὑδάτων καὶ ἑβδομήκοντα στελέχη φοινίκων, καὶ παρενέβαλον ἐκεῖ παρὰ τὸ ὕδωρ.

Αρ. 33,9 - Ανεχώρησαν από τας Πικρίας και ήλθον εις την Αιλίμ. Εις δε την Αιλίμ υπήρχον δώδεκα πηγαί υδάτων και εβδομήκοντά υψηλοί φοίνικες και κατεσκήνωσαν εκεί πλησίον εις τα ύδατα.

Αρ. 33,10 - καὶ ἀπῆραν ἐξ Αἰλὶμ καὶ παρενέβαλον ἐπὶ θάλασσαν ἐρυθράν.

Αρ. 33,10 - Ανεχώρησαν από την Αιλίμ και εστρατοπέδευσαν πλησίον της Ερυθράς Θαλάσσης.

Αρ. 33,11 - καὶ ἀπῆραν ἀπὸ θαλάσσης ἐρυθρᾶς, καὶ παρενέβαλον εἰς τὴν ἔρημον Σίν.

Αρ. 33,11 - Ανεχώρησαν από την Ερυθράν θάλασσαν και έστρατοπεδευσαν εις την έρημον Σιν.

Αρ. 33,12 - καὶ ἀπῆραν ἐκ τῆς ἐρήμου Σὶν καὶ παρενέβαλον εἰς Ῥαφακά.

Αρ. 33,12 - Ανεχώρησαν από την έρημον Σιν και εστρατοπέδευσαν εις Ραφακά.

Αρ. 33,13 - καὶ ἀπῇραν ἐκ Ῥαφακὰ καὶ παρενέβαλον ἐν Αἰλούς.
Αρ. 33,13 - Ανεχώρησαν από Ραφακά και εστρατοπέδευσαν εις Αιλούς.
Αρ. 33,14 - καὶ ἀπῇραν ἐξ Αἰλοὺς καὶ παρενέβαλον ἐν Ῥαφιδίν, καὶ οὐκ ἦν ἐκεῖ ὕδωρ τῷ λαῷ πιεῖν.
Αρ. 33,14 - Ανεχώρησαν από Αιλούς και κατεσκήνωσαν εις Ραφιδίν· αλλ' εκεί δεν υπήρχεν ύδωρ δια να πίη ο λαός.
Αρ. 33,15 - καὶ ἀπῇραν ἐκ Ῥαφιδὶν καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ Σινά.
Αρ. 33,15 - Ανεχώρησαν από την Ραφιδίν και εστρατοπέδευσαν εις την έρημον Σινά.
Αρ. 33,16 - καὶ ἀπῇραν ἐκ τῆς ἐρήμου Σινὰ καὶ παρενέβαλον ἐν Μνήμασι τῆς ἐπιθυμίας.
Αρ. 33,16 - Ανεχώρησαν από την έρημον Σινά και εστρατοπέδευσαν εις την περιοχήν, την οποίαν είχον ονομάσει Μνήματα Επιθυμίας.
Αρ. 33,17 - καὶ ἀπῇραν ἐκ Μνημάτων τῆς ἐπιθυμίας καὶ παρενέβαλον ἐν Ἀσηρώθ.
Αρ. 33,17 - Ανεχώρησαν από την θέσιν Μνήματα Επιθυμίας και εστρατοπέδευσαν εις Ασηρώθ.
Αρ. 33,18 - καὶ ἀπῇραν ἐξ Ἀσηρὼθ καὶ παρενέβαλον ἐν Ῥαθαμᾷ.
Αρ. 33,18 - Ανεχώρησαν από Ασηρώθ και εστρατοπέδευσαν εις Ραθαμά.
Αρ. 33,19 - καὶ ἀπῇραν ἐκ Ῥαθαμᾶ καὶ παρενέβαλον ἐν Ῥεμμὼν Φαρές.
Αρ. 33,19 - Ανεχώρησαν από Ραθαμά και εστρατοπέδευσαν εις Ρεμμών Φαρές.
Αρ. 33,20 - καὶ ἀπῇραν ἐκ Ῥεμμὼν Φαρὲς καὶ παρενέβαλον ἐν Λεβωνᾷ.
Αρ. 33,20 - Ανεχώρησαν από Ρεμμών Φαρές και εστρατοπέδευσαν εις Λεβωνά.
Αρ. 33,21 - καὶ ἀπῇραν ἐκ Λεβωνᾶ καὶ παρενέβαλον εἰς Ῥεσσάν.
Αρ. 33,21 - Ανεχώρησαν από Λεβωνά και εστρατοπέδευσαν εις Ρεσσάν.
Αρ. 33,22 - καὶ ἀπῇραν ἐκ Ῥεσσὰν καὶ παρενέβαλον εἰς Μακελλάθ.
Αρ. 33,22 - Ανεχώρησαν από Ρεσσάν και εστρατοπέδευσαν εις Μακελλάθ.
Αρ. 33,23 - καὶ ἀπῇραν ἐκ Μακελλὰθ καὶ παρενέβαλον εἰς Σαφάρ.
Αρ. 33,23 - Ανεχώρησαν από Μακελλάθ και εστρατοπέδευσαν εις Σαφάρ.
Αρ. 33,24 - καὶ ἀπῇραν ἐκ Σαφὰρ καὶ παρενέβαλον εἰς Χαραδάθ.
Αρ. 33,24 - Ανεχώρησαν από Σαφάρ και εστρατοπέδευσαν εις Χαραδάθ.
Αρ. 33,25 - καὶ ἀπῇραν ἐκ Χαραδὰθ καὶ παρενέβαλον εἰς Μακηλώθ.
Αρ. 33,25 - Ανεχώρησαν από Χαραδάθ και εστρατοπέδευσαν εις Μακηλώθ.
Αρ. 33,26 - καὶ ἀπῇραν ἐκ Μακηλὼθ καὶ παρενέβαλον εἰς Καταάθ.
Αρ. 33,26 - Ανεχώρησαν από Μακηλώθ και εστρατοπέδευσαν εις Καταάθ.

Αρ. 33,27 - καὶ ἀπῇραν ἐκ Καταὰθ καὶ παρενέβαλον εἰς Ταράθ.
Αρ. 33,27 - Ανεχώρησαν από Καταάθ και εστρατοπέδευσαν εις Ταράθ.
Αρ. 33,28 - καὶ ἀπῇραν ἐκ Ταρὰθ καὶ παρενέβαλον εἰς Μαθεκκά.
Αρ. 33,28 - Ανεχώρησαν από την Ταράθ και εστρατοπέδευσαν εις Μαθεκκά.
Αρ. 33,29 - καὶ ἀπῇραν ἐκ Μαθεκκὰ καὶ παρενέβαλον εἰς Σελμωνᾶ.
Αρ. 33,29 - Ανεχώρησαν από την Μαθεκκά και εστρατοπέδευσαν εις Σελμωνά.
Αρ. 33,30 - καὶ ἀπῇραν ἐκ Σελμωνᾶ καὶ παρενέβαλον εἰς Μασουρούθ.
Αρ. 33,30 - Ανεχώρησαν από Σελμωνά και εστρατοπέδευσαν εις Μασουρούθ.
Αρ. 33,31 - καὶ ἀπῇραν ἐκ Μασουροὺθ καὶ παρενέβαλον εἰς Βαναία.
Αρ. 33,31 - Ανεχώρησαν από Μασουρούθ και εστρατοπέδευσαν εις Βαναίαν.
Αρ. 33,32 - καὶ ἀπῇραν ἐκ Βαναία καὶ παρενέβαλον εἰς τὸ ὄρος Γαδγάδ.
Αρ. 33,32 - Ανεχώρησαν από Βαναίαν και εστρατοπέδευσαν στο όρος Γαδγάδ.
Αρ. 33,33 - καὶ ἀπῇραν ἐκ τοῦ ὄρους Γαδγὰδ καὶ παρενέβαλον εἰς Ἐτεβαθά.
Αρ. 33,33 - Ανεχώρησαν εκ του όρους Γαδγάδ και εστρατοπέδευσαν εις Ετεβαθά.
Αρ. 33,34 - καὶ ἀπῇραν ἐξ Ἐτεβαθὰ καὶ παρενέβαλον εἰς Ἐβρωνά.
Αρ. 33,34 - Ανεχώρησαν από τον Ετεβαθά και εστρατοπέδευσαν εις Εβρωνά.
Αρ. 33,35 - καὶ ἀπῇραν ἐξ Ἐβρωνὰ καὶ παρενέβαλον εἰς Γεσιὼν Γάβερ.
Αρ. 33,35 - Ανεχώρησαν από την Εβρωνά και εστρατοπέδευσαν εις Γεσιών Γαβερ.
Αρ. 33,36 - καὶ ἀπῇραν ἐκ Γεσιὼν Γάβερ καὶ παρενέβαλον ἐν τῇ ἐρήμῳ Σίν. καὶ ἀπῇραν ἐκ τῆς ἐρήμου Σὶν καὶ παρενέβαλον εἰς τὴν ἔρημον Φαράν· αὕτη ἐστὶ Κάδης.
Αρ. 33,36 - Ανεχώρησαν από Γεσιών Γαβερ και εστρατοπέδευσαν εις την έρημον Σιν. Ανεχώρησαν από την έρημον Σιν και εστρατοπέδευσαν εις την έρημον Φαράν· αυτή είναι η έρημος Καδης.
Αρ. 33,37 - καὶ ἀπῇραν ἐκ Κάδης καὶ παρενέβαλον εἰς Ὢρ τὸ ὄρος πλησίον γῆς Ἐδώμ·
Αρ. 33,37 - Ανεχώρησαν από την έρημον Καδης και εστρατοπέδευσαν εις όρος Ωρ, πλησίον της χώρας Εδώμ.
Αρ. 33,38 - καὶ ἀνέβη Ἀαρὼν ὁ ἱερεὺς διὰ προστάγματος Κυρίου καὶ ἀπέθανεν ἐκεῖ ἐν τῷ τεσσαρακοστῷ ἔτει τῆς ἐξόδου τῶν υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου τῷ μηνὶ τῷ πέμπτῳ μιᾷ τοῦ μηνός·

Αρ. 33,38 - Εκεί ο αρχιερεύς Ααρών, κατόπιν εντολής του Κυρίου, ανέβη στο όρος, όπου και απέθανε κατά την πρώτην του πέμπτου μηνός του τεσσαρακοστού έτους από την έξοδον των Ισραηλιτών εκ της Αιγύπτου.

Αρ. 33,39 - καὶ Ἀαρὼν ἦν τριῶν καὶ εἴκοσι καὶ ἑκατὸν ἐτῶν, ὅτε ἀπέθνησκεν ἐν Ὢρ τῷ ὄρει.

Αρ. 33,39 - Ητο δε ο Ααρών εκατόν είκοσι τριών ετών, όταν απέθανεν επάνω στο όρος Ωρ.

Αρ. 33,40 - καὶ ἀκούσας ὁ Χανανὶς βασιλεὺς Ἀράδ, καὶ οὗτος κατῴκει ἐν γῇ Χαναάν, ὅτε εἰσεπορεύοντο οἱ υἱοὶ Ἰσραήλ.

Αρ. 33,40 - Ο δε Χανανίς βασιλεύς του Αράδ, ο οποίος κατοικούσε εις την χώραν Χαναάν, ήκουσεν ότι οι Ισραηλίται ητοιμάζοντο να εισβάλουν εις την Χαναάν.

Αρ. 33,41 - καὶ ἀπῆραν ἐξ Ὢρ τοῦ ὄρους καὶ παρενέβαλον εἰς Σελμωνά.

Αρ. 33,41 - Οι Ισραηλίται όμως ανεχώρησαν από το όρος Ωρ και εστρατοπέδευσαν εις Σελμωνά.

Αρ. 33,42 - καὶ ἀπῆραν ἐκ Σελμωνὰ καὶ παρενέβαλον εἰς Φινώ.

Αρ. 33,42 - Ανεχώρησαν από Σελμωνά και εστρατοπέδευσαν εις Φινώ.

Αρ. 33,43 - καὶ ἀπῆραν ἐκ Φινὼ καὶ παρενέβαλον ἐν Ὠβώθ.

Αρ. 33,43 - Ανεχώρησαν από Φινώ και εστρατοπέδευσαν εις Ωβώθ.

Αρ. 33,44 - καὶ ἀπῆραν ἐξ Ὠβὼθ καὶ παρενέβαλον ἐν Γαΐ, ἐν τῷ πέραν ἐπὶ τῶν ὁρίων Μωάβ.

Αρ. 33,44 - Ανεχώρησαν από Ωδώθ και εστρατοπέδευσαν εν Γαϊ, ανατολικώς από τον Ιορδάνην εις τα όρια της Μωάβ.

Αρ. 33,45 - καὶ ἀπῆραν ἐκ Γαΐ καὶ παρενέβαλον εἰς Δαιβὼν Γάδ.

Αρ. 33,45 - Ανεχώρησαν από την Γαί και εστρατοπέδευσαν εις την Δαιδών, πόλιν την οποίαν αργότερα έκτισαν οι της φυλής Γαδ.

Αρ. 33,46 - καὶ ἀπῆραν ἐκ Δαιβὼν Γὰδ καὶ παρενέβαλον ἐν Γελμὼν Δεβλαθαίμ.

Αρ. 33,46 - Ανεχώρησαν από την Δαιβών της Γαδ και εστρατοπέδευσαν εις Γελμών Δεβλαθαίμ.

Αρ. 33,47 - καὶ ἀπῆραν ἐκ Γελμὼν Δεβλαθαὶμ καὶ παρενέβαλον ἐπὶ τὰ ὄρη τὰ Ἀβαρίμ, ἀπέναντι Ναβαῦ.

Αρ. 33,47 - Ανεχώρησαν από Γελμών Δεβλαθαίμ και εστρατοπέδευσαν εις τα όρη Αβαρίμ, απέναντι από το όρος Ναβαύ.

Αρ. 33,48 - καὶ ἀπῆραν ἀπὸ τῶν ὀρέων Ἀβαρὶμ καὶ παρενέβαλον ἐπὶ δυσμῶν Μωάβ, ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ,

Αρ. 33,48 - Ανεχώρησαν από τα όρη Αβαρίμ και εστρατοπέδευσαν προς δυσμάς της χώρας των Μωαβιτών, πλησίον του Ιορδάνου απέναντι της Ιεριχούς.

Αρ. 33,49 - καὶ παρενέβαλον παρὰ τὸν Ἰορδάνην ἀνὰ μέσον Αἰσιμὼθ ἕως Βελσατὶμ κατὰ δυσμὰς Μωάβ.

Αρ. 33,49 - Εστρατοπέδευσαν πλησίον του Ιορδάνου, μεταξύ Αισιμώθ και Βελσατίμ, προς δυσμάς της Μωάβ.

Αρ. 33,50 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχὼ λέγων·

Αρ. 33,50 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν, εκεί προς δυσμάς της Μωάβ, πλησίον του Ιορδάνου ποταμού, απέναντι από την Ιεριχώ και είπεν·

Αρ. 33,51 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην εἰς γῆν Χαναὰν

Αρ. 33,51 - “ομίλησε προς τους Ισραηλίτας και ειπέ προς αυτούς· Σεις διέρχεσθε τώρα τον Ιορδάνην, δια να εισέλθετε εις την χώραν Χαναάν.

Αρ. 33,52 - καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦντας ἐν τῇ γῇ πρὸ προσώπου ὑμῶν καὶ ἐξαρεῖτε τὰς σκοπιὰς αὐτῶν καὶ πάντα τὰ εἴδωλα τὰ χωνευτὰ αὐτῶν ἀπολεῖτε αὐτὰ καὶ πάσας τὰς στήλας αὐτῶν ἐξαρεῖτε.

Αρ. 33,52 - Θα εξοντώσετε όλους τους κατοίκους της χώρας από εμπρός σας και θα κατακρημνίσετε τα υψώματα τα προς τιμήν των ειδώλων των, θα καταστρέψετε όλους τους ειδωλολατρικούς χωνευτούς θεούς των και θα διαλύσετε όλας τας ειδωλολατρικάς των στήλας.

Αρ. 33,53 - καὶ ἀπολεῖτε πάντας τοὺς κατοικοῦντας τὴν γῆν καὶ κατοικήσετε ἐν αὐτῇ· ὑμῖν γὰρ δέδωκα τὴν γῆν αὐτῶν ἐν κλήρῳ.

Αρ. 33,53 - Θα εξολοθρεύσετε όλους τους κατοίκους της χώρας και θα κατοικήσετε σεις εις αυτήν· διότι εις σας ως κληρονομίαν έδωκα την χώραν αυτών.

Αρ. 33,54 - καὶ κατακληρονομήσετε τὴν γῆν αὐτῶν ἐν κλήρῳ κατὰ φυλὰς ὑμῶν· τοῖς πλείοσι πληθυνεῖτε τὴν κατάσχεσιν αὐτῶν καὶ τοῖς ἐλάττοσιν ἐλαττώσετε τὴν κατάσχεσιν αὐτῶν· εἰς ὃ ἂν ἐξέλθῃ τὸ ὄνομα αὐτοῦ ἐκεῖ, αὐτοῦ ἔσται· κατὰ φυλὰς πατριῶν ὑμῶν κληρονομήσετε.

Αρ. 33,54 - Θα διαμοιράσετε δια κλήρου εις τας φυλάς σας την χώραν αυτήν, αναλόγως προς τον πληθυσμόν εκάστης φυλής. Εις τας φυλάς που έχουν μεγαλύτερον αριθμόν θα δώσετε μεγαλυτέραν κληρονομίαν, και εις τας φυλάς που έχουν ολιγώτερον πληθυσμόν, θα δώσετε μικροτέραν κληρονομίαν. Η περιοχή, δια την οποίαν κατά την κλήρωσιν θα εξέλθη το όνομα της φυλής, θα είναι ιδική της. Η διανομή θα γίνη σύμφωνα με τας φυλάς των Ισραηλιτών.

Αρ. 33,55 - ἐὰν δὲ μὴ ἀπολέσητε τοὺς κατοικοῦντας ἐπὶ τῆς γῆς ἀπὸ προσώπου ὑμῶν, καὶ ἔσται οὓς ἐὰν καταλίπητε ἐξ αὐτῶν, σκόλοπες ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν καὶ βολίδες ἐν ταῖς πλευραῖς ὑμῶν καὶ ἐχθρεύσουσιν ὑμῖν ἐπὶ τῆς γῆς, ἐφ᾿ ἣν ὑμεῖς κατοικήσετε,

Αρ. 33,55 - Εάν όμως δεν εξοντώσετε από εμπρός σας τελείως τους κατοίκους της χώρας αυτής, εκείνοι τους οποίους θα αφήσετε, θα γίνουν δια σας καρφί εις τα μάτια σας και μάχαιρα εις τα πλευρά σας. Θα είναι οι παντοτεινοί εχθροί σας εις την χώραν, όπου θα κατοικήσετε.

Αρ. 33,56 - καὶ ἔσται καθότι διεγνώκειν ποιῆσαι αὐτούς, ποιήσω ὑμᾶς.

Αρ. 33,56 - Εγώ δε δια την παρακοήν σας αυτήν θα πράξω εναντίον σας ο,τι είχα την απόφασιν να κάμω εναντίον εκείνων.

ΑΡΙΘΜΟΙ 34

Αρ. 34,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 34,1 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν, λέγων·

Αρ. 34,2 - ἔντειλαι τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ὑμεῖς εἰσπορεύεσθε εἰς τὴν γῆν Χαναάν· αὕτη ἔσται ὑμῖν εἰς κληρονομίαν, γῆ Χαναὰν σὺν τοῖς ὁρίοις αὐτῆς.

Αρ. 34,2 - “δώσε εντολήν στους Ισραηλίτας και ειπέ εις αυτούς· Σεις εισέρχεσθε εις την γην Χαναάν· αυτή θα είναι η κληρονομία σας, η χώρα Χαναάν εις όλην αυτής την έκτασιν.

Αρ. 34,3 - καὶ ἔσται ὑμῖν τὸ κλίτος τὸ πρὸς λίβα ἀπὸ ἐρήμου Σὶν ἕως ἐχόμενον Ἐδώμ, καὶ ἔσται ὑμῖν τὰ ὅρια πρὸς λίβα ἀπὸ μέρους τῆς θαλάσσης τῆς ἁλυκῆς ἀπὸ ἀνατολῶν·

Αρ. 34,3 - Το νότιον αυτής τμήμα από την έρημον Σιν, εν συνεχεία καθ' όλην την έκτασιν της Ιδουμαίας· τα νότια σύνορα θα αρχίζουν εξ ανατολών από την Νεκράν Θαλασσαν,

Αρ. 34,4 - καὶ κυκλώσει ὑμᾶς τὰ ὅρια ἀπὸ λιβὸς πρὸς ἀνάβασιν Ἀκραβὶν καὶ παρελεύσεται Σεννά, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ πρὸς λίβα Κάδης τοῦ Βαρνή καὶ ἐξελεύσεται εἰς ἔπαυλιν Ἀρὰδ καὶ παρελεύσεται Ἀσεμωνᾶ·

Αρ. 34,4 - θα προχωρούν κυκλικώς από τον νότον και θα ανέρχωνται προς το όρος Ακραβίν, θα διέρχωνται την ταποθεσίαν Σεννά, θα φθάνουν πάλιν προς νότον, μέχρι της Καδης του Βαρνή, θα διέρχωνται τους αγροτικούς καταυλισμούς Αράδ και θα περάσουν πλησίον της τοποθεσίας Ασεμωνά.

Αρ. 34,5 - καὶ κυκλώσει τὰ ὅρια ἀπὸ Ἀσεμωνᾶ χειμάῤῥουν Αἰγύπτου, καὶ ἔσται ἡ διέξοδος ἡ θάλασσα.

Αρ. 34,5 - Τα όρια αυτά θα περιγράψουν κύκλον, από Ασεμωνά προς τον χείμαρρον της Αιγύπτου και θα εξέλθουν έως την Μεσόγειον Θαλασσαν.

Αρ. 34,6 - καὶ τὰ ὅρια τῆς θαλάσσης ἔσται ὑμῖν· ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ, τοῦτο ἔσται ὑμῖν τὰ ὅρια τῆς θαλάσσης.

Αρ. 34,6 - Τα προς την Μεσόγειον Θαλασσαν σύνορά σας τα προς δυσμάς θα είναι· Η μεγάλη θάλασσα, η Μεσόγειος, το προς δυσμάς σύνορον. Αυτή θα είναι το δυτικον σύνορον όλης της γης Χαναάν.

Αρ. 34,7 - καὶ τοῦτο ἔσται ὑμῖν τὰ ὅρια πρὸς βοῤῥᾶν· ἀπὸ τῆς θαλάσσης τῆς μεγάλης καταμετρήσετε ὑμῖν αὐτοῖς παρὰ τὸ ὄρος τὸ ὄρος·

Αρ. 34,7 - Τα προς βορράν σύνορα θα είναι τα εξής· Παρετε ευθείαν γραμμήν από την Μεσόγειον θάλασσαν μέχρι του μεγάλου όρους, που λέγεται “Ορος” (ίσως το Ερμών η ο Λιβανος).

Αρ. 34,8 - καὶ ἀπὸ τοῦ ὄρους τὸ ὄρος καταμετρήσετε αὐτοῖς εἰσπορευομένων εἰς Ἐμάθ, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ τὰ ὅρια Σαραδάκ·

Αρ. 34,8 - Από το Ορος πάρετε νέαν γραμμήν μέχρις ότου φθάσατε εις Εμάθ. Η γραμμή αυτή θα διέρχεται μέχρις Σαραδάκ.

Αρ. 34,9 - καὶ ἐξελεύσεται τὰ ὅρια Δεφρωνά, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ Ἀρσεναΐν· τοῦτο ἔσται ὑμῖν ὅρια ἀπὸ βοῤῥᾶ.

Αρ. 34,9 - Από εκεί θα εξέρχεται εις τα όρια Δεφρωνά και θα φθάνη μέχρι της Αρσεναΐν. Αυτά θα είναι τα από βορρά σύνορά σας.

Αρ. 34,10 - καὶ καταμετρήσετε ὑμῖν αὐτοῖς τὰ ὅρια ἀνατολῶν ἀπὸ Ἀρσεναΐν Σεπφαμάρ·

Αρ. 34,10 - Τα δε σύνορά σας προς Ανατολάς θα είναι· Παρετε μίαν γραμμήν από την Αρσεναΐν μέχρι Σεπφαμάρ.

Αρ. 34,11 - καὶ καταβήσεται τὰ ὅρια ἀπὸ Σεπφάμ Ἀρβηλὰ ἀπὸ ἀνατολῶν ἐπὶ πηγάς, καὶ καταβήσεται τὰ ὅρια Βηλὰ ἐπὶ νώτου θαλάσσης Χενερὲθ ἀπὸ ἀνατολῶν·

Αρ. 34,11 - Η γραμμή αυτή θα κατεβή από Σεπφάμ εις Αρβηλά, από τα ανατολικά πάντοτε μέρη, πλησίον εις τας πηγάς, θα προχωρή εις Βηλά κατά μήκος της θαλάσσης Γεννησαρέτ προς ανατολάς αυτής.

Αρ. 34,12 - καὶ καταβήσεται τὰ ὅρια ἐπὶ τὸν Ἰορδάνην, καὶ ἔσται ἡ διέξοδος θάλασσα ἡ ἁλυκή. αὕτη ἔσται ὑμῖν ἡ γῆ καὶ τὰ ὅρια αὐτῆς κύκλῳ.

Αρ. 34,12 - Η γραμμή αυτή, η καθοριστική των ορίων, κατέρχεται προς τα νότια μέρη παρά τον Ιορδάνην ποταμόν και καταλήγει μέχρι της Νεκράς Θαλάσσης. Αυτή θα είναι η χώρα σας και αυτά θα είναι τα σύνορα της κύκλω”.

Αρ. 34,13 - καὶ ἐνετείλατο Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ λέγων· αὕτη ἡ γῆ, ἣν κατακληρονομήσετε αὐτὴν μετὰ κλήρου, ὃν τρόπον συνέταξε Κύριος δοῦναι αὐτὴν ταῖς ἐννέα φυλαῖς καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ·

Αρ. 34,13 - Διέταξεν ακόμη ο Μωϋσής τους Ισραηλίτας και είπεν· “αυτή είναι η χώρα, την οποίαν θα κληρονομήσετε και θα διαμοιρασθήτε με κλήρον εις τας φυλάς σας. Οπως διέταξεν ο Κυριος, θα διανείμετε αυτήν εις τας εννέα φυλάς σας και στο ήμισυ της φυλής Μανασσή,

Αρ. 34,14 - ὅτι ἔλαβε φυλὴ υἱῶν Ῥουβὴν καὶ φυλὴ υἱῶν Γὰδ κατ᾿ οἴκους πατριῶν αὐτῶν, καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἀπέλαβον τοὺς κλήρους αὐτῶν,

Αρ. 34,14 - διότι η φυλή Ρουβήν και η φυλή του Γαδ, όπως επίσης και το ήμισυ της φυλής Μανασσή, εζήτησαν ήδη και έλαβον δια τον εαυτόν των την κληρονομίαν των.

Αρ. 34,15 - δύο φυλαὶ καὶ ἥμισυ φυλῆς ἔλαβον τοὺς κλήρους αὐτῶν πέραν τοῦ Ἰορδάνου κατὰ Ἱεριχὼ ἀπὸ νότου κατὰ ἀνατολάς.

Αρ. 34,15 - Δηλαδή αι δύο φυλαί Γαδ και Ρουβήν και το ήμισυ της φυλής Μανασσή έλαβον ως κληρονομίαν των την πέραν του Ιορδάνου περιοχήν, απέναντι της Ιεριχούς, η οποία εκτείνεται από τον νότον προς τα βορειοανατολικά".

Αρ. 34,16 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 34,16 - Ωμίλησεν ο Κυριος προς τον Μωϋσήν λέγων·

Αρ. 34,17 - ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν, οἳ κληρονομήσουσιν ὑμῖν τὴν γῆν· Ἐλεάζαρ ὁ ἱερεὺς καὶ Ἰησοῦς ὁ τοῦ Ναυή.

Αρ. 34,17 - "αυτά είναι τα ονόματα των ανδρών, οι οποίοι, ως Επιτροπή, θα μοιράσουν την χώραν Χαναάν· Ο αρχιερεύς Ελεάζαρ και ο Ιησούς ο του Ναυη.

Αρ. 34,18 - καὶ ἄρχοντα ἕνα ἐκ φυλῆς λήψεσθε κατακληρονομῆσαι ὑμῖν τὴν γῆν.

Αρ. 34,18 - Θα πάρετε έπειτα ένα άρχοντα από κάθε φυλήν δια την κατανομήν της χώρας εις σας.

Αρ. 34,19 - καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀνδρῶν· τῆς φυλῆς Ἰούδα Χάλεβ υἱὸς Ἰεφοννή·

Αρ. 34,19 - Αυτά είναι τα ονόματα των ανδρών από κάθε φυλήν· Από την φυλήν του Ιούδα ο Χαλεβ, ο υιός του Ιεφοννή.

Αρ. 34,20 - τῆς φυλῆς Συμεὼν Σαλαμιὴλ υἱὸς Ἐμιούδ·

Αρ. 34,20 - Από την φυλή του Συμεών ο Σαλαμιήλ, υιός του Εμιούδ.

Αρ. 34,21 - τῆς φυλῆς Βενιαμὶν Ἐλδὰδ υἱὸς Χασλών·

Αρ. 34,21 - Από την φυλήν Βενιαμίν ο Ελδάδ, υιός του Χασλών.

Αρ. 34,22 - τῆς φυλῆς Δὰν ἄρχων Βακχὶρ υἱὸς Ἐγλί·

Αρ. 34,22 - Από την φυλήν Δαν ο άρχων Βακχίρ, υιός του Εγλί.

Αρ. 34,23 - τῶν υἱῶν Ἰωσὴφ φυλῆς υἱῶν Μανασσῆ ἄρχων Ἀνιὴλ υἱὸς Σουφί·

Αρ. 34,23 - Από δε τους υιούς του Ιωσήφ εκ της φυλής Μανασσή ο άρχων Ανιήλ, υιός του Σουφί.

Αρ. 34,24 - τῆς φυλῆς υἱῶν Ἐφραὶμ ἄρχων Καμουὴλ υἱὸς Σαβαθᾶν·

Αρ. 34,24 - Από την φυλήν Εφραίμ ο άρχων Καμουήλ, υιός του Σαβαθάν.

Αρ. 34,25 - τῆς φυλῆς Ζαβουλὼν ἄρχων Ἐλισαφὰν υἱὸς Φαρνάχ·

Αρ. 34,25 - Από την φυλήν Ζαβουλών ο άρχων Ελισαφάν, υιός του Φαρνάχ.

Αρ. 34,26 - τῆς φυλῆς υἱῶν Ἰσσάχαρ ἄρχων Φαλτιὴλ υἱὸς Ὀζᾶ·

Αρ. 34,26 - Από την φυλήν Ισσάχαρ ο άρχων Φαλιήλ, υιός του Οζά.

Αρ. 34,27 - τῆς φυλῆς υἱῶν Ἀσὴρ ἄρχων Ἀχιὼρ υἱὸς Σελεμί·

Αρ. 34,27 - Από την φυλήν Ασήρ, ο άρχων Αχιώρ, υιός του Σελεμί.

Αρ. 34,28 - τῆς φυλῆς Νεφθαλὶ ἄρχων Φαδαὴλ υἱὸς Ἰαμιούδ.

Αρ. 34,28 - Και από την φυλήν Νεφθαλί, ο άρχων Φαδαήλ, υιός του Ιαμιούδ".

Αρ. 34,29 - τούτοις ἐνετείλατο Κύριος καταμερίσαι τοῖς υἱοῖς Ἰσραὴλ ἐν γῇ Χαναάν.

Αρ. 34,29 - Εις αυτούς έδωσεν ο Κυριος την εντολήν να διαμοιράσουν την χώραν της Χαναάν στους Ισραηλίτας.

ΑΡΙΘΜΟΙ 35

Αρ. 35,1 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἐπὶ δυσμῶν Μωὰβ παρὰ τὸν Ἰορδάνην κατὰ Ἱεριχὼ λέγων·

Αρ. 35,1 - Ο Κυριος ωμίλησε προς τον Μωϋσήν εκεί στο δυτικόν μέρος της χώρας Μωάβ, πλησίον του Ιορδάνου, απέναντι από την Ιεριχώ και είπεν·

Αρ. 35,2 - σύνταξον τοῖς υἱοῖς Ἰσραὴλ καὶ δώσουσι τοῖς Λευίταις ἀπὸ τῶν κλήρων κατασχέσεως αὐτῶν πόλεις κατοικεῖν καὶ τὰ προάστεια τῶν πόλεων κύκλῳ αὐτῶν δώσουσι τοῖς Λευίταις,

Αρ. 35,2 - "διάταξέ τους Ισραηλίτας να παραχωρήσουν στους Λευΐτας από την χώραν της κληρονομίας των, πόλεις προς εγκατάστασίν των· θα δώσουν επίσης εις αυτούς και περιοχήν γύρω από αυτάς τας πόλεις.

Αρ. 35,3 - καὶ ἔσονται αὐτοῖς αἱ πόλεις κατοικεῖν, καὶ τὰ ἀφορίσματα αὐτῶν ἔσται τοῖς κτήνεσιν αὐτῶν καὶ πᾶσι τοῖς τετράποσιν αὐτῶν.

Αρ. 35,3 - Αυταί αι πόλεις θα είναι εις κατοικίαν των Λευϊτών, αι δε καθωρισμέναι περί αυτάς περιοχαί θα είναι δια την βασκήν των ζώων των και δι' όλα τα τετράποδα αυτών.

Αρ. 35,4 - καὶ τὰ συγκυροῦντα τῶν πόλεων, ἃς δώσετε τοῖς Λευίταις, ἀπὸ τείχους τῆς πόλεως καὶ ἔξω δισχιλίους πήχεις κύκλῳ·

Αρ. 35,4 - Τα όρια των περί τας πόλεις περιοχών, που θα δώσετε στους Λευΐτας, θα εκτείνωνται γύρω από το τείχος κάθε πόλεως κύκλω χίλια περίπου μέτρα.

Αρ. 35,5 - καὶ μετρήσεις ἔξω τῆς πόλεως τὸ κλίτος τὸ πρὸς ἀνατολὰς δισχιλίους πήχεις καὶ τὸ κλίτος τὸ πρὸς λίβα δισχιλίους πήχεις καὶ τὸ κλίτος τὸ πρὸς θάλασσαν δισχιλίους πήχεις καὶ τὸ κλίτος τὸ πρὸς βοῤῥᾶν

δισχιλίους πήχεις, καὶ ἡ πόλις μέσον τούτου ἔσται ὑμῖν καὶ τὰ ὅμορα τῶν πόλεων.

Αρ. 35,5 - Προς τούτο θα μετρήσης δύο χιλιάδας πήχεις (χίλια περίπου μέτρα) προς το ανατολικόν μέρος της πόλεως, δύο χιλιάδας πήχεις προς το νότιον, δύο χιλιάδας πήχεις προς δυσμάς και δύο χιλιάδας πήχεις προς βορράν. Η περιοχή αυτή, όπως και η πόλις που θα ευρίσκεται στο μέσον αυτής, θα ανήκουν στους Λιευΐτας.

Αρ. 35,6 - καὶ τὰς πόλεις δώσετε τοῖς Λευίταις, τὰς ἓξ πόλεις τῶν φυγαδευτηρίων, ἃς δώσετε φυγεῖν ἐκεῖ τῷ φονεύσαντι, καὶ πρὸς ταύταις τεσσαράκοντα καὶ δύο πόλεις·

Αρ. 35,6 - Πολεις, τας οποίας θα δώσετε επίσης στους Λευΐτας, θα είναι και αι εξ πόλεις καταφύγια, εις τας οποίας θα παρέχεται άσυλον εις κάθε ακούσιον φονέα, ώστε να καταφεύγη εις αυτάς δι' ασφάλειαν. Και επί πλέον από τας πόλεις αυτάς θα δώσετε άλλας τεσσαράκοντα δύο πόλεις.

Αρ. 35,7 - πάσας τὰς πόλεις δώσετε τοῖς Λευίταις τεσσαράκοντα καὶ ὀκτὼ πόλεις, ταύτας, καὶ τὰ προάστεια αὐτῶν.

Αρ. 35,7 - Ολαι δηλαδή αι πόλεις, τας οποίας μετά των περιοχών αυτών θα δώσετε στους Λευΐτας, θα είναι τεσσαράκοντά οκτώ.

Αρ. 35,8 - καὶ τὰς πόλεις, ἃς δώσετε ἀπὸ τῆς κατασχέσεως υἱῶν Ἰσραήλ, ἀπὸ τῶν τὰ πολλὰ πολλά. καὶ ἀπὸ τῶν ἐλαττόνων ἐλάττω· ἕκαστος κατὰ τὴν κληρονομίαν αὐτοῦ, ἣν κατακληρονομήσουσι δώσουσιν ἀπὸ τῶν πόλεων τοῖς Λευίταις.

Αρ. 35,8 - Αι πόλεις, τας οποίας από την χώραν, που κάθε φυλή κληρονομεί, θα δώσετε στους Λευΐτας, θα είναι πολλαί από τας φυλάς που έλαβον πολλάς πόλεις, και θα είναι ολίγαι, από τας φυλάς που έλαβον ολίγας. Καθε φυλή αναλόγως της εκτάσεως, την οποίαν κληρονομεί θα δώση και τον αριθμόν των πόλεων προς τους Λευΐτας”.

Αρ. 35,9 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων·

Αρ. 35,9 - Ωμίλησεν ακόμη ο Κυριος προς τον Μωυσήν λέγων·

Αρ. 35,10 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην εἰς γῆν Χαναὰν

Αρ. 35,10 - “Ομίλησε προς τους Ισραηλίτας και ειπέ προς αυτούς· Σεις διαβαίνετε τώρα τον Ιορδάνην, δια να καταλάβετε την χώραν Χαναάν.

Αρ. 35,11 - καὶ διαστελεῖτε ὑμῖν αὐτοῖς πόλεις· φυγαδευτήρια ἔσται ὑμῖν φυγεῖν ἐκεῖ τὸν φονευτήν, πᾶς ὁ πατάξας ψυχὴν ἀκουσίως.

Αρ. 35,11 - Οταν εγκατσοσταθήτε εις αυτήν θα ξεχωρίσετε δια τον εαυτόν σας μερικάς πόλεις, αι οποίαι θα είναι καταφύγια, δια να καταφεύγη εις αυτάς και ευρίσκη ασφάλειαν εκείνος, ο οποίος ακουσίως διέπραξε φόνον.

Αρ. 35,12 - καὶ ἔσονται αἱ πόλεις ὑμῖν φυγαδευτήρια ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, καὶ οὐ μὴ ἀποθάνῃ ὁ φονεύων ἕως ἂν στῇ ἔναντι

τῆς συναγωγῆς εἰς κρίσιν.
Αρ. 35,12 - Αι πόλεις αυταί θα είναι άσυλα, δια να προφυλάξουν τον ακούσιον φονέα από εκδίκησιν συγγενούς του φονευθέντος· εις αυτάς θα διαφεύγη τον θάνατον ο φονεύς και θα μένη ατιμώρητος, έως ότου οδηγηθή ενώπιον του λαού και δικασθή.
Αρ. 35,13 - καὶ αἱ πόλεις ἃς δώσετε, τὰς ἓξ πόλεις, φυγαδευτήρια ἔσονται ὑμῖν·
Αρ. 35,13 - Αι εξ πόλεις, τας οποίας θα δώσετε ως καταφύγια, θα είναι·
Αρ. 35,14 - τὰς τρεῖς πόλεις δώσετε πέραν τοῦ Ἰορδάνου καὶ τὰς τρεῖς πόλεις δώσετε ἐν γῇ Χαναάν·
Αρ. 35,14 - Αι τρεις από αυτάς θα ευρίσκωνται πέραν από τον Ιορδάνην και αι τρεις άλλαι δυτικώς από τον Ιορδάνην εις την χώραν Χαναάν.
Αρ. 35,15 - φυγαδεῖον ἔσται τοῖς υἱοῖς Ἰσραήλ, καὶ τῷ προσηλύτῳ καὶ τῷ παροίκῳ τῷ ἐν ὑμῖν ἔσονται αἱ πόλεις αὗται εἰς φυγαδευτήριον, φυγεῖν ἐκεῖ παντὶ πατάξαντι ψυχὴν ἀκουσίως.
Αρ. 35,15 - Καταφύγια θα είναι αυταί αι πόλεις, όχι μόνον δια τους Ισραηλίτας, αλλά και δια τους ξένους, που ευρίσκονται μαζή σας και δια τους παρεπιδημούντας. Αι πόλεις αυταί θα είναι καταφύγια, δια να καταφεύγη και ασφαλίζεται εις αυτάς από κάθε εκδίκησιν ο ακουσίως φονεύσας άνθρωπον.
Αρ. 35,16 - ἐὰν δὲ ἐν σκεύει σιδήρου πατάξῃ αὐτόν, καὶ τελευτήσῃ, φονευτής ἐστι· θανάτῳ θανατούσθω ὁ φονευτής.
Αρ. 35,16 - Εάν κανείς εκουσίως κτυπήση θανασίμως κάποιον με σιδερένιο ρόπαλον και αποθάνη εκείνος, ο κτυπήσας είναι φονεύς και θα τιμωρηθή δια θανάτου.
Αρ. 35,17 - ἐὰν δὲ ἐν λίθῳ ἐκ χειρός, ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ, πατάξῃ αὐτόν, καὶ ἀποθάνῃ, φονευτής ἐστι· θανάτῳ θανατούσθω ὁ φονευτής.
Αρ. 35,17 - Εάν κτυπήση κάποιον με λίθον και συνεπεία του κτυπήματος αποθάνη ο πληγείς, ο πλήξας αυτόν είναι φονεύς. Με θάνατον θα τιμωρηθή και αυτός ο φονεύς.
Αρ. 35,18 - ἐὰν δὲ ἐν σκεύει ξυλίνῳ ἐκ χειρός, ἐξ οὗ ἀποθανεῖται ἐν αὐτῷ, πατάξῃ αὐτόν, καὶ ἀποθάνῃ, φονευτής ἐστι· θανάτῳ θανατούσθω ὁ φονευτής.
Αρ. 35,18 - Εάν με ξύλινον σκεύος, που κρατεί εις την χείρα του, κτυπήση κάποιον και εκείνος αποθάνη, είναι φονεύς. Με θάνατον θα τυμωρηθή και ο φονεύς αυτός.
Αρ. 35,19 - ὁ ἀγχιστεύων τὸ αἷμα, οὗτος ἀποκτενεῖ τὸν φονεύσαντα· ὅταν συναντήσῃ αὐτῷ, οὗτος ἀποκτενεῖ αὐτόν.
Αρ. 35,19 - Ο συγγενής του φονευθέντος θα φονεύση τον φονέα· θα τον φονεύση, όπου και όταν τον συναντήση.

Αρ. 35,20 - ἐὰν δὲ δι᾿ ἔχθραν ὤσῃ αὐτὸν καὶ ἐπιῤῥίψῃ ἐπ᾿ αὐτὸν πᾶν σκεῦος ἐξ ἐνέδρου, καὶ ἀποθάνῃ,

Αρ. 35,20 - Εάν κανείς από εχθρότητα κινούμενος, σπρώξη κάποιον η ενεδρεύων ρίψη εναντίον του κάποιο αντικείμενον και αποθάνη ο κτυπηθείς,

Αρ. 35,21 - ἢ διὰ μῆνιν ἐπάταξεν αὐτὸν τῇ χειρί, καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω ὁ πατάξας, φονευτής ἐστι· θανάτῳ θανατούσθω ὁ φονεύων· ὁ ἀγχιστεύων τὸ αἷμα ἀποκτενεῖ τὸν φονεύσαντα ἐν τῷ συναντῆσαι αὐτῷ.

Αρ. 35,21 - η δια λόγους οργής κτυπήση αυτόν με το χέρι του και αποθάνη, ο κτυπήσας είναι φονεύς και πρέπει να τιμωρηθή με θάνατον. Ο συγγενής του φονευθέντος θα θανατώση τον φονέα, όταν και όπου τον συναντήση.

Αρ. 35,22 - ἐὰν δὲ ἐξάπινα οὐ δι᾿ ἔχθραν ὤσῃ αὐτὸν ἢ ἐπιῤῥίψῃ ἐπ᾿ αὐτὸν πᾶν σκεῦος οὐκ ἐξ ἐνέδρου

Αρ. 35,22 - Εάν όμως εξ απροσεξίας, όχι από εχθρότητα και μίσος, σπρώξη κανείς κάποιον η ρίψη εναντίον του κάποιο αντικείμενον, όχι πονηρώς ενεδρεύων,

Αρ. 35,23 - ἢ παντὶ λίθῳ, ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ, οὐκ εἰδώς, καὶ ἐπιπέσῃ ἐπ᾿ αὐτόν, καὶ ἀποθάνῃ, αὐτὸς δὲ οὐκ ἐχθρὸς αὐτοῦ ἦν, οὐδὲ ζητῶν κακοποιῆσαι αὐτόν,

Αρ. 35,23 - η λίθον, από το πλήγμα του οποίου θα αποθάνη ο κτυπηθείς, αυτά δε γίνουν ασυναισθήτως και ακουσίως, ο δε φονεύς δεν είχε καμμίαν προς εκείνον εχθρότητα και ούτε είχεν επιδιώξει ποτέ να του κάμη κακόν,

Αρ. 35,24 - καὶ κρινεῖ ἡ συναγωγὴ ἀνὰ μέσον τοῦ πατάξαντος καὶ ἀνὰ μέσον τοῦ ἀγχιστεύοντος τὸ αἷμα, κατὰ τὰ κρίματα ταῦτα,

Αρ. 35,24 - ο φονεύς αυτός θα κριθή και θα δικασθή υπό του λαού ενώπιον του συγγενούς του φονευθέντος και θα γίνη έρευνα εάν από τας ανωτέρω ελαφρυντικάς συνθήκας έγινεν ο φόνος.

Αρ. 35,25 - καὶ ἐξελεῖται ἡ συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, καὶ ἀποκαταστήσουσιν αὐτὸν ἡ συναγωγὴ εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου αὐτοῦ, οὗ κατέφυγε, καὶ κατοικήσει ἐκεῖ ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὃν ἔχρισαν αὐτὸν τῷ ἐλαίῳ τῷ ἁγίῳ.

Αρ. 35,25 - Εάν ναι, ο λαός θα αποσπάση από τα χέρια του συγγενούς του φονευθέντος τον φονέα, θα τον οδηγήσουν εις την πόλιν καταφύγιον, όπου είχε και προηγουμένως καταφύγει, δια να ζήση εκεί μέχρι ότου αποθάνη ο αρχιερεύς, τον οποίον έχρισαν με το άγιον έλαιον.

Αρ. 35,26 - ἐὰν δὲ ἐξόδῳ ἐξέλθῃ ὁ φονεύσας τὰ ὅρια τῆς πόλεως εἰς ἣν κατέφυγεν ἐκεῖ,

Αρ. 35,26 - Εάν όμως ο φονεύς εξέλθη από τα όρια της πόλεως, εις την οποίαν ως προς άσυλον κατέφυγεν,

Αρ. 35,27 - καὶ εὕρῃ αὐτὸν ὁ ἀγχιστεύων τὸ αἷμα ἔξω τῶν ὁρίων τῆς πόλεως καταφυγῆς αὐτοῦ καὶ φονεύσῃ ὁ ἀγχιστεύων τὸ αἷμα τὸν φονεύσαντα, οὐκ ἔνοχός ἐστιν·

Αρ. 35,27 - και ο συγγενής του φονευθέντος εύρη αυτόν έξω από τα όρια της πόλεως- καταφύγιον και τον φονεύση, δεν θα είναι ένοχος φόνου.

Αρ. 35,28 - ἐν γὰρ τῇ πόλει τῆς καταφυγῆς κατοικείτω, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, καὶ μετὰ τὸ ἀποθανεῖν τὸν ἱερέα τὸν μέγαν ἐπαναστραφήσεται ὁ φονεύσας εἰς τὴν γῆν τῆς κατασχέσεως αὐτοῦ.

Αρ. 35,28 - Εις την πόλιν καταφύγιον πρέπει να μένη ο φονεύς μέχρι του θανάτου του αρχιερέως. Οταν αποθάνη ο αρχιερεύς, θα επιστρέψη ο φονεύς ελεύθερος εις την πατρίδα του και εις την κληρονομίαν του.

Αρ. 35,29 - καὶ ἔσται ταῦτα ὑμῖν εἰς δικαίωμα κρίματος εἰς τὰς γενεὰς ὑμῶν ἐν πάσαις ταῖς κατοικίαις ὑμῶν.

Αρ. 35,29 - Αυτά θα είναι και θα ισχύουν δια σας, ως νόμοι αποδόσεως δικαιοσύνης, εις όλους τους απογόνους σας και εις όλας τας περιοχάς, εις τας οποίας θα κατοικήτε.

Αρ. 35,30 - πᾶς πατάξας ψυχήν, διὰ μαρτύρων φονεύσεις τὸν φονεύσαντα, καὶ μάρτυς εἷς οὐ μαρτυρήσει ἐπὶ ψυχὴν ἀποθανεῖν.

Αρ. 35,30 - Καθένας που εφόνευσεν άνθρωπον, θα τιμωρηθή δια θανάτου επί τη βάσει μαρτύρων. Δεν αρκεί η μαρτυρία ενός μάρτυρος, δια να καταδικασθή κανείς εις θάνατον.

Αρ. 35,31 - καὶ οὐ λήψεσθε λύτρα περὶ ψυχῆς παρὰ τοῦ φονεύσαντος τοῦ ἐνόχου ὄντος ἀναιρεθῆναι· θανάτῳ γὰρ θανατωθήσεται.

Αρ. 35,31 - Δεν θα δεχθήτε χρήματα από τον φονέα προς εξαγοράν της ζωής του, εφόσον είναι ένοχος θανάτου. Αυτός πρέπει να τιμωρηθή δια θανάτου.

Αρ. 35,32 - οὐ λήψεσθε λύτρα τοῦ φυγεῖν εἰς πόλιν τῶν φυγαδευτηρίων, τοῦ πάλιν κατοικεῖν ἐπὶ τῆς γῆς, ἕως ἂν ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας.

Αρ. 35,32 - Δεν θα λάβετε επίσης χρήματα, δια να φυγαδεύσετε φονέα εις την πόλι- καταφύγιον η δια να αφήσετε αυτόν να επιστρέψη εις την πατρίδα του, πριν αποθάνη ο αρχιερεύς.

Αρ. 35,33 - καὶ οὐ μὴ φονοκτονήσητε τὴν γῆν, εἰς ἣν ὑμεῖς κατοικεῖτε· τὸ γὰρ αἷμα τοῦτο φονοκτονεῖ τὴν γῆν, καὶ οὐκ ἐξιλασθήσεται ἡ γῆ ἀπὸ τοῦ αἵματος τοῦ ἐκχυθέντος ἐπ᾿ αὐτῆς, ἀλλ᾿ ἐπὶ τοῦ αἵματος τοῦ ἐκχέοντος.

Αρ. 35,33 - Εάν τηρήσετε αυτά θα αποφύγετε τους φόνους εις την χώραν, όπου κατοικείτε. Το αδίκως χυνόμενον αίμα πληθύνει τους φόνους εις την χώραν, εφόσον μένει ατιμώρητος ο φονεύς. Και αυτή δεν ημπορεί να εξιλεωθή από το αδίκως χυνόμενον αίμα, ειμή μόνον με το αίμα του φονέως.

Αρ. 35,34 - καὶ οὐ μιανεῖτε τὴν γῆν, ἐφ᾿ ἧς κατοικεῖτε ἐπ᾿ αὐτῆς, ἐφ᾿ ἧς ἐγὼ κατασκηνῶ ἐν ὑμῖν· ἐγὼ γάρ εἰμι Κύριος κατασκηνῶν ἐν μέσῳ τῶν

υἱῶν Ἰσραήλ.

Αρ. 35,34 - Δεν θα μολύνετε την χώραν, εις την οποίαν κατοικείτε, και επί της οποίας εν μέσω υμών κατοικώ και εγώ. Εγώ είμαι ο Κυριος, ο οποίος κατοικώ μεταξύ των Ισραηλιτών".

## ΑΡΙΘΜΟΙ 36

Αρ. 36,1 - Καὶ προσῆλθον οἱ ἄρχοντες φυλῆς υἱῶν Γαλαὰδ υἱοῦ Μαχὶρ υἱοῦ Μανασσῆ ἐκ τῆς φυλῆς υἱῶν Ἰωσὴφ καὶ ἐλάλησαν ἔναντι Μωυσῆ καὶ ἔναντι Ἐλεάζαρ τοῦ ἱερέως καὶ ἔναντι τῶν ἀρχόντων οἴκων πατριῶν τῶν υἱῶν Ἰσραὴλ

Αρ. 36,1 - Οι αρχηγοί της οικογενείας του Γαλαάδ, ο οποίος ήτο υιός Μαχίρ υιού του Μανασσή, ενός από τους υιούς του Ιωσήφ, προσήλθον ενώπιον του Μωϋσέως, ενώπιον του αρχιερέως Ελεάζαρ και ενώπιον των αρχηγών των φυλών του Ισραήλ,

Αρ. 36,2 - καὶ εἶπαν· τῷ κυρίῳ ἡμῶν ἐνετείλατο Κύριος ἀποδοῦναι τὴν γῆν τῆς κληρονομίας ἐν κλήρῳ τοῖς υἱοῖς Ἰσραήλ, καὶ τῷ κυρίῳ συνέταξε Κύριος δοῦναι τὴν κληρονομίαν Σαλπαὰδ τοῦ ἀδελφοῦ ἡμῶν ταῖς θυγατράσιν αὐτοῦ.

Αρ. 36,2 - και είπαν· "ο Κυριος διέταξε τον κύριόν μας (τον Μωϋσήν) να διαμοιράση δια κλήρου την χώραν Χαναάν στους Ισραηλίτας. Διέταξεν επίσης τον κύριόν μας να δοθή η κληρονομία του αδελφού Σαλπαάδ εις τας θυγατέρας του.

Αρ. 36,3 - καὶ ἔσονται ἑνὶ τῶν φυλῶν υἱῶν Ἰσραὴλ γυναῖκες, καὶ ἀφαιρεθήσεται ὁ κλῆρος αὐτῶν ἐκ τῆς κατασχέσεως τῶν πατέρων ἡμῶν καὶ προστεθήσεται εἰς κληρονομίαν τῆς φυλῆς, οἷς ἂν γένωνται γυναῖκες, καὶ ἐκ τοῦ κλήρου τῆς κληρονομίας ἡμῶν ἀφαιρεθήσεται.

Αρ. 36,3 - Εάν όμως αυταί υπανδρευθούν κάποιον από τας άλλας φυλάς των Ισραηλιτών, θα αφαιρεθή η κληρονομία των από την ιδιοκτησίαν της φυλής των και θα προστεθή εις την φυλήν του συζύγου των και έτσι θα αφαιρεθή από την ιδικήν μας κληρονομίαν το μερίδιον αυτών.

Αρ. 36,4 - ἐὰν δὲ γένηται ἡ ἄφεσις τῶν υἱῶν Ἰσραήλ, καὶ προστεθήσεται ἡ κληρονομία αὐτῶν ἐπὶ τὴν κληρονομίαν τῆς φυλῆς, οἷς ἂν γένωνται γυναῖκες, καὶ ἀπὸ τῆς κληρονομίας φυλῆς πατριᾶς ἡμῶν ἀφαιρεθήσεται ἡ κληρονομία αὐτῶν.

Αρ. 36,4 - Οταν δε έλθη δια τους Ισραηλίτας το πεντηκοστόν έτος, το έτος της αφέσεως, το μερίδιον των γυναικών αυτών θα ενσωματωθή οριστικώς εις την κληρονομίαν της φυλής, εις την οποίαν ανήκουν οι σύζυγοί των, και

έτσι από την κληρονομικώς δοθείσαν χώραν εις την φυλήν των πατέρων μας θα αφαιρεθή οριστικώς το μερίδιον εκείνων”.

Αρ. 36,5 - καὶ ἐνετείλατο Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ διὰ προστάγματος Κυρίου λέγων· οὕτως φυλὴ υἱῶν Ἰωσὴφ λέγουσι·

Αρ. 36,5 - Ο Μωϋσής κατόπιν εντολής του Κυρίου, διέταξεν στους Ισραηλίτας τα εξής· “αυτά λέγουν οι της φυλής του Ιωσήφ.

Αρ. 36,6 - τοῦτο τὸ ῥῆμα, ὃ συνέταξε Κύριος τοῖς θυγατράσι Σαλπαάδ, λέγων· οὗ ἀρέσκῃ ἐναντίον αὐτῶν, ἔστωσαν γυναῖκες, πλὴν ἐκ τοῦ δήμου τοῦ πατρὸς αὐτῶν ἔστωσαν γυναῖκες,

Αρ. 36,6 - Αυτή δε είναι η εντολή, την οποίαν διέταξεν ο Κυριος εις τας θυγατέρας Σαλπαάδ, λέγων· Ας γίνουν σύζυγοι, οιουδήποτε ανδρός, ο οποίος αρέσει εις αυτάς, αλλά από την φυλήν του πατρός των πρέπει να κατάγωνται οι σύζυγοι της προτιμήσεώς των,

Αρ. 36,7 - καὶ οὐχὶ περιστραφήσεται κληρονομία τοῖς υἱοῖς Ἰσραὴλ ἀπὸ φυλῆς ἐπὶ φυλήν, ὅτι ἕκαστος ἐν τῇ κληρονομίᾳ τῆς φυλῆς τῆς πατριᾶς αὐτοῦ προσκολληθήσονται οἱ υἱοὶ Ἰσραήλ.

Αρ. 36,7 - δια να μη περιφέρεται η κληρονομία από φυλής εις φυλήν, διότι καθένας από τους Ισραηλίτας θα προακολληθή εις την κληροδοτηθείσαν εις την φυλήν του χώραν.

Αρ. 36,8 - καὶ πᾶσα θυγάτηρ ἀγχιστεύουσα κληρονομίαν ἐκ τῶν φυλῶν υἱῶν Ἰσραὴλ ἑνὶ τῶν ἐκ τοῦ δήμου τοῦ πατρὸς αὐτῆς ἔσονται γυναῖκες, ἵνα ἀγχιστεύσωσιν οἱ υἱοὶ Ἰσραὴλ ἕκαστος τὴν κληρονομίαν τὴν πατρικὴν αὐτοῦ·

Αρ. 36,8 - Καθε κόρη, εις την οποίαν θα περιέλθη κληρονομία από κάποιον φυλήν των Ισραηλιτών, θα λάβη ως σύζυγον ένα από την φυλήν των πατέρων της, ίνα και νυμφευόμενοι οι Ισραηλίται, διατηρούν ο καθένας την πατρικήν του κληρονομίαν,

Αρ. 36,9 - καὶ οὐ περιστραφήσεται ὁ κλῆρος ἐκ φυλῆς ἐπὶ φυλὴν ἑτέραν, ἀλλ᾿ ἕκαστος ἐν τῇ κληρονομίᾳ αὐτοῦ προσκολληθήσονται οἱ υἱοὶ Ἰσραήλ.

Αρ. 36,9 - και δεν θα περιέρχεται η κληρονομία της μιας φυλής εις την άλλην, αλλά καθένας από τους Ισραηλίτας θα προσκολλάται εις την κληρονομίαν του”.

Αρ. 36,10 - ὃν τρόπον συνέταξε Κύριος Μωυσῇ, οὕτως ἐποίησαν θυγατράσι Σαλπαάδ,

Αρ. 36,10 - Οπως διέταξεν ο Κυριος τον Μωϋσήν, έτσι έκαμαν αι θυγατέρες Σαλπαάδ.

Αρ. 36,11 - καὶ ἐγένοντο Θερσὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Νούα καὶ Μαλαὰ θυγατέρες Σαλπαὰδ τοῖς ἀνεψιοῖς αὐτῶν·

Αρ. 36,11 - Η Θερσά, η Εγλά, η Μελχά, η Νούα, και η Μαλαά έλαβον συζύγους τους υιούς των θείων των.

Αρ. 36,12 - ἐκ τοῦ δήμου τοῦ Μανασσῆ υἱῶν Ἰωσὴφ ἐγενήθησαν γυναῖκες, καὶ ἐγενήθη ἡ κληρονομία αὐτῶν ἐπὶ τὴν φυλὴν δήμου τοῦ πατρὸς αὐτῶν.

Αρ. 36,12 - Ελαβον ως συζύγους άνδρας εκ της φυλής του Μανασσή, ενός από τους υιούς του Ιωσήφ, και παρέμεινεν ούτω η κληρονομία των εις την φυλήν των πατέρων των.

Αρ. 36,13 - Αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ἃ ἐνετείλατο Κύριος ἐν χειρὶ Μωυσῆ ἐπὶ δυσμῶν Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ.

Αρ. 36,13 - Αυταί είναι αι εντολαί και οι νόμοι και αι κρίσεις, τας οποίας δια του Μωϋσέως διέταξεν ο Θεός στους Ισραηλίτας, εις τα δυτικά μέρη της Μωάβ, πλησίον του Ιορδάνου και απέναντι από την Ιεριχώ.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ

ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 1

Δευτ. 1,1 - Οὗτοι οἱ λόγοι, οὓς ἐλάλησε Μωυσῆς παντὶ Ἰσραὴλ πέραν τοῦ Ἰορδάνου ἐν τῇ ἐρήμῳ πρὸς δυσμαῖς πλησίον τῆς ἐρυθρᾶς θαλάσσης ἀνὰ μέσον Φαρὰν Τοφὸλ καὶ Λοβὸν καὶ Αὐλὼν καὶ Καταχρύσεα·

Δευτ. 1,1 - Αυτοί είναι οι λόγοι, τους οποίους ο Μωϋσής είπεν εις όλον τον ισραηλιτικόν λαόν, ανατολικώς από τον Ιορδάνην, εις την προς δυσμάς έρημον, η οποία ευρίσκεται πλησίον της Ερυθράς Θαλάσσης, εις την ερήμον Φαράν και εις τας πόλεις Τοφόλ, Λοβόν, Αυλών και Καταχρύσεα.

Δευτ. 1,2 - ἕνδεκα ἡμερῶν ἐκ Χωρὴβ ὁδὸς ἐπ᾿ ὄρος Σηεὶρ ἕως Κάδης Βαρνή.

Δευτ. 1,2 - Ενδεκα ημερών πορεία είναι από το όρος Χωρήβ δια του όρους Σηείρ μέχρι της Καδης Βαρνή.

Δευτ. 1,3 - καὶ ἐγενήθη ἐν τῷ τεσσαρακοστῷ ἔτει ἐν τῷ ἑνδεκάτῳ μηνὶ μιᾷ τοῦ μηνὸς ἐλάλησε Μωυσῆς πρὸς πάντας υἱοὺς Ἰσραὴλ κατὰ πάντα, ὅσα ἐνετείλατο Κύριος αὐτῷ πρὸς αὐτούς.

Δευτ. 1,3 - Κατά την πρώτην του ενδεκάτου μηνός του τεσσαρακοστού έτους από την ημέραν της αναχωρήσεως των Ισραηλιτών εκ της Αιγύπτου, είπεν ο Μωϋσής προς όλους τους Ισραηλίτας όλα όσα διέταξεν αυτόν ο Κυριος να είπη προς αυτούς.

Δευτ. 1,4 - μετὰ τὸ πατάξαι Σηὼν βασιλέα Ἀμοῤῥαίων τὸν κατοικήσαντα ἐν Ἐσεβὼν καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν τὸν κατοικήσαντα ἐν Ἀσταρὼθ καὶ ἐν Ἐδραΐν,

Δευτ. 1,4 - Τα είπεν αυτά ο Μωϋσής μετά την νίκην των Ισραηλιτών εναντίον του Σηών του βασιλέως των Αμορραίων, ο οποίος κατοικούσε εις Εσεβών, και μετά την υποταγήν του Ωγ, βασιλέως της χώρας Βασάν, ο οποίος κατοικούσε εις την πόλιν Ασταρώθ και την πόλιν Εδραΐν.

Δευτ. 1,5 - ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν γῇ Μωάβ, ἤρξατο Μωυσῆς διασαφῆσαι τὸν νόμον τοῦτον λέγων·

Δευτ. 1,5 - Εις αυτήν την πέραν του Ιορδάνου περιοχήν, και ακριβέστερον, εις την χώραν Μωάβ, ήρχισεν ο Μωϋσής να εξαγγέλλη και αποσαφηνίζη τον Νομον τούτον, λέγων·

Δευτ. 1,6 - Κύριος ὁ Θεὸς ἡμῶν ἐλάλησεν ἡμῖν ἐν Χωρὴβ λέγων· ἱκανούσθω ὑμῖν κατοικεῖν ἐν τῷ ὄρει τούτῳ·

Δευτ. 1,6 - “Κυριος, ο Θεός ημών, ελάλησε προς ημάς στο όρος Χωρήβ και είπε· Αρκετόν πλέον χρόνον παροικήσατε στο όρος τούτο.

Δευτ. 1,7 - ἐπιστράφητε καὶ ἀπάρατε ὑμεῖς καὶ εἰσπορεύεσθε εἰς ὄρος Ἀμοῤῥαίων καὶ πρὸς πάντας τοὺς περιοίκους Ἄραβα, εἰς ὄρος καὶ πεδίον

καὶ πρὸς λίβα καὶ παραλίαν γῆν Χαναναίων καὶ Ἀντιλίβανον ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου Εὐφράτου.

Δευτ. 1,7 - Στραφήτε τώρα και ξεκινήσατε, δια να εισέλθετε εις την ορεινήν περιοχήν των Αμορραίων, εις την χώραν των κατοίκων Αραβα, εις την ορεινήν και πεδινήν περιοχήν της Χαναάν, στο νότιον μέρος αυτής, στο δυτικόν προς την παραλίαν μέρος, προς δε βορράν από το όρος Αντιλίβανον μέχρι του Ευφράτου, του μεγάλου ποταμού.

Δευτ. 1,8 - ἴδετε, παραδέδωκεν ἐνώπιον ὑμῶν τῆν γῆν· εἰσπορευθέντες κληρονομήσατε τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν, τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ δοῦναι αὐτοῖς καὶ τῷ σπέρματι αὐτῶν μετ᾿ αὐτούς.

Δευτ. 1,8 - Ιδέτε· έχω παραδώσει εις τα χέρια σας την χώραν αυτήν. Εισέλθετε και κληρονομήσατε την γην, την οποίαν ωρκίσθην να δώσω στους πατέρας σας, τον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ και στους απογόνους των έπειτα από αυτούς.

Δευτ. 1,9 - καὶ εἶπα πρὸς ὑμᾶς ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· οὐ δυνήσομαι μόνος φέρειν ὑμᾶς·

Δευτ. 1,9 - Κατά τον καιρόν εκείνον, ότε ανεχωρήσαμεν από την Αίγυπτον, είπα προς σας, ότι δεν θα ημπορέσω μόνος μου να σας οδηγώ και σας κυβερνώ·

Δευτ. 1,10 - Κύριος ὁ Θεὸς ὑμῶν ἐπλήθυνεν ὑμᾶς, καὶ ἰδού ἐστε σήμερον ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει·

Δευτ. 1,10 - διότι Κυριος ο Θεός σας σας επλήθυνε και ιδού ότι σήμερον είσθε πλήθος πολύ, ωσάν τα άστρα του ουρανού.

Δευτ. 1,11 - Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν προσθείη ὑμῖν ὡς ἐστὲ χιλιοπλασίως καὶ εὐλογήσαι ὑμᾶς, καθότι ἐλάλησεν ὑμῖν.

Δευτ. 1,11 - Είθε ο Κυριος και Θεός των πατέρων σας, να σας ευλογήση και να σας πληθύνη χίλιες φορές περισσότερον από ο,τι είσθε σήμερα, όπως άλλωστε και έχει υποσχεθή προς σας.

Δευτ. 1,12 - πῶς δυνήσομαι μόνος φέρειν τὸν κόπον ὑμῶν καὶ τὴν ὑπόστασιν ὑμῶν καὶ τὰς ἀντιλογίας ὑμῶν;

Δευτ. 1,12 - Πως θα ημπορέσω εγώ μόνος μου να βαστάσω όλον το βάρος σας, την ύπαρξιν και την διαβίωσίν σας και τας αντιδικίας, που παρουσιάζετε μεταξύ σας;

Δευτ. 1,13 - δότε ἑαυτοῖς ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας καὶ συνετοὺς εἰς τὰς φυλὰς ὑμῶν, καὶ καταστήσω ἐφ᾿ ὑμῶν ἡγουμένους ὑμῶν.

Δευτ. 1,13 - Δια τούτο και σας είπα τότε· εκλέξατε δια την εξυπηρέτησίν σας άνδρας σοφούς, επιστήμονας και συνετούς από τας φυλάς σας, και εγώ θα καταστήσω αυτούς αρχηγούς σας.

Δευτ. 1,14 - καὶ ἀπεκρίθητέ μοι καὶ εἴπατε· καλὸν τὸ ῥῆμα ὃ ἐλάλησας ποιῆσαι.

Δευτ. 1,14 - Τοτε αποκριθήκατε εις εμέ και είπατε· καλόν είναι αυτό το έργον, που μας είπες να κάμωμεν.

Δευτ. 1,15 - καὶ ἔλαβον ἐξ ὑμῶν ἄνδρας σοφοὺς καὶ ἐπιστήμονας καὶ συνετοὺς καὶ κατέστησα αὐτοὺς ἡγεῖσθαι ἐφ᾿ ὑμῶν χιλιάρχους καὶ ἑκατοντάρχους καὶ πεντηκοντάρχους καὶ δεκάρχους καὶ γραμματοεισαγωγεῖς τοῖς κριταῖς ὑμῶν.

Δευτ. 1,15 - Επήρα τότε από σας άνδρας σοφούς και επιστήμονας και συνετούς και ανέθεσα εις αυτούς να σας διοικούν, κατέστησα από αυτούς μεταξύ σας χιλιάρχους, εκατοντάρχους, πεντηκοντάρχους και αρχηγούς δέκα ανδρών, διδασκάλους και δικαστάς μεταξύ σας.

Δευτ. 1,16 - καὶ ἐνετειλάμην τοῖς κριταῖς ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· διακούετε ἀνὰ μέσον τῶν ἀδελφῶν ὑμῶν καὶ κρίνατε δικαίως ἀνὰ μέσον ἀνδρὸς καὶ ἀνὰ μέσον ἀδελφοῦ καὶ ἀνὰ μέσον προσηλύτου αὐτοῦ.

Δευτ. 1,16 - Εδωσα εντολήν στους δυκαστάς σας κατά τον καιρόν εκείνον, λέγων· Να ακούετε με προσοχήν τας μεταξύ των αδελφών σας παρουσιαζομένας διαφοράς, να κρίνετε δικαίως τας διαφοράς μεταξύ των Ισραηλιτών, όπως επίσης και τας μεταξύ αυτών και ξένου τινός.

Δευτ. 1,17 - οὐκ ἐπιγνώσῃ πρόσωπον ἐν κρίσει, κατὰ τὸν μικρὸν καὶ κατὰ τὸν μέγαν κρινεῖς, οὐ μὴ ὑποστείλῃ πρόσωπον ἀνθρώπου, ὅτι ἡ κρίσις τοῦ Θεοῦ ἐστι· καὶ τὸ ῥῆμα, ὃ ἐὰν σκληρὸν ᾖ ἀφ᾿ ὑμῶν, ἀνοίσετε αὐτὸ ἐπ᾿ ἐμέ, καὶ ἀκούσομαι αὐτό.

Δευτ. 1,17 - Κατά την δίκην δεν θα λαμβάνης υπ' όψει σου πρόσωπον. Οπως θα κρίνης τον ταπεινόν και άσημον, έτσι θα κρίνης τον αξιωματούχον και επίσημον. Δεν θα συστέλλεσαι και δεν θα δυστάζης ενώπιον ουδενός από τους διαδίκους, διότι η απονομή δικαιοσύνης είναι έργον Θεού. Εάν δε και παρουσιασθή καμμιά δύσκολος υπόθεσις, θα αναφέρετε εις εμέ την υπόθεσιν αυτήν· εγώ θα την εξετάζω, θα την κρίνω και θα αποφασίζω.

Δευτ. 1,18 - καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ πάντας τοὺς λόγους, οὓς ποιήσετε.

Δευτ. 1,18 - Κατά τον καιρόν εκείνον σας εδωσα εντολήν δι' όλα όσα πρέπει να κάμετε.

Δευτ. 1,19 - καὶ ἀπάραντες ἐκ Χωρὴβ ἐπορεύθημεν πᾶσαν τὴν ἔρημον τὴν μεγάλην καὶ τὴν φοβερὰν ἐκείνην, ἣν εἴδετε, ὁδὸν ὄρους τοῦ Ἀμοῤῥαίου, καθότι ἐνετείλατο Κύριος ὁ Θεὸς ἡμῶν ἡμῖν, καὶ ἤλθομεν ἕως Κάδης Βαρνή.

Δευτ. 1,19 - Εξεκινήσαμεν από το όρος Χωρήβ, εβαδίσαμεν όλην την μεγάλην και φοβεράν εκείνην έρημον, την οποίαν είδατε, επορεύθημεν προς την κατεύθυνσιν του όρους των Αμορραίων, όπως μας διέταξεν ο Κυριος και Θεός μας, και ήλθομεν έως την πόλιν Καδης Βαρνή.

Δευτ. 1,20 - καὶ εἶπα πρὸς ὑμᾶς· ἤλθατε ἕως τοῦ ὄρους τοῦ Ἀμοῤῥαίου, ὃ Κύριος ὁ Θεὸς ἡμῶν δίδωσιν ὑμῖν.

Δευτ. 1,20 - Και είπα προς σας· εφθάσατε έως το όρος των Αμορραίων, σύνορον της Χαναάν, την οποίαν ο Κυριος παραδίδει τώρα εις σας.

Δευτ. 1,21 - ἴδετε, παραδέδωκεν ἡμῖν Κύριος ὁ Θεὸς ὑμῶν πρὸ προσώπου ὑμῶν τὴν γῆν· ἀναβάντες κληρονομήσατε, ὃν τρόπον εἶπε Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν ὑμῖν· μὴ φοβεῖσθε μηδὲ δειλιάσητε.

Δευτ. 1,21 - Ιδέτε ! Ο Κυριος και Θεός σας έχει πλέον παραδώσει εις τα χέρια σας την χώραν αυτήν. Εισέλθετε εις αυτήν, κυριεύσατέ την ως κληρονομίαν σας, όπως είπεν εις σας ο Θεός των προγόνων σας. Μη φοβηθήτε κανένα και μη δειλιάσετε.

Δευτ. 1,22 - καὶ προσήλθατέ μοι πάντες καὶ εἴπατε· ἀποστείλωμεν ἄνδρας προτέρους ἡμῶν, καὶ ἐφοδευσάτωσαν ἡμῖν τὴν γῆν καὶ ἀναγγειλάτωσαν ἡμῖν ἀπόκρισιν τὴν ὁδόν, δι᾿ ἧς ἀναβησόμεθα ἐν αὐτῇ, καὶ τὰς πόλεις εἰς ἃς εἰσπορευσόμεθα εἰς αὐτάς.

Δευτ. 1,22 - Ηλθατε τότε προς εμέ όλοι και μου είπατε· Πριν ημείς εισέλθωμεν, ας αποστείλωμεν άνδρας κατασκόπους να επιθεωρήσουν και ερευνήσουν την χώραν και να μας δώσουν πληροφορίαν δια την οδόν, από την οποίαν θα διαβώμεν προς αυτήν και δια τας πόλεις, εις τας οποίας θα εισέλθωμεν.

Δευτ. 1,23 - καὶ ἤρεσεν ἐναντίον μου τὸ ῥῆμα, καὶ ἔλαβον ἐξ ὑμῶν δώδεκα ἄνδρας, ἄνδρα ἕνα κατὰ φυλήν.

Δευτ. 1,23 - Μου ήρεσεν αυτή η πρότασίς σας και εξέλεξα από σας δώδεκα άνδρας, ένα από κάθε φυλήν.

Δευτ. 1,24 - καὶ ἐπιστραφέντες ἀνέβησαν εἰς τὸ ὄρος καὶ ἤλθοσαν ἕως Φάραγγος βότρυος καὶ κατεσκόπευσαν αὐτήν.

Δευτ. 1,24 - Αυτοί δε ετράπησαν προς την Χαναάν, ανέβησαν προς την ορεινήν χώραν της Παλαιστίνης, έφθασαν μέχρι της κοιλάδας, που ονομάζεται “Φαραγξ Βοτρυος”, και κατεσκόπευσαν την χώραν.

Δευτ. 1,25 - καὶ ἐλάβοσαν ἐν ταῖς χερσὶν αὐτῶν ἀπὸ τοῦ καρποῦ τῆς γῆς καὶ κατήνεγκαν πρὸς ὑμᾶς καὶ ἔλεγον· ἀγαθὴ ἡ γῆ, ἣν Κύριος ὁ Θεὸς ἡμῶν δίδωσιν ἡμῖν.

Δευτ. 1,25 - Επήραν εις τα χέρια των από τον καρπόν της γης αυτής, έφεραν αυτόν ως δείγμα προς ημάς και έλεγαν· Εύφορος και πλουσία είναι η χώρα αυτή, την οποίαν μας δίδει ο Κυριος.

Δευτ. 1,26 - καὶ οὐκ ἠθελήσατε ἀναβῆναι, ἀλλ᾿ ἠπειθήσατε τῷ ῥήματι Κυρίου τοῦ Θεοῦ ἡμῶν

Δευτ. 1,26 - Αλλά σεις δεν ηθελήσατε να εισέλθετε εις αυτήν· δεν υπηκούσατε εις την εντολήν Κυρίου του Θεού ημών·

Δευτ. 1,27 - καὶ διεγογγύζετε ἐν ταῖς σκηναῖς ὑμῶν καὶ εἴπατε· διὰ τὸ μισεῖν Κύριον ἡμᾶς, ἐξήγαγεν ἡμᾶς ἐκ γῆς Αἰγύπτου παραδοῦναι ἡμᾶς εἰς χεῖρας Ἀμοῤῥαίων, ἐξολοθρεῦσαι ἡμᾶς.

Δευτ. 1,27 - μάλιστα δε και εγογγύζατε εις τας σκηνάς σας, πικρώς παραπονούμενοι κατά του Θεού και λέγοντες· Μας έβγαλεν ο Κυριος από την χώραν της Αιγύπτου, επειδή μας μισεί, δια να μας παραδώση εις τα χέρια των Αμορραίων και να μας εξολοθρεύση !

Δευτ. 1,28 - ποῦ ἡμεῖς ἀναβαίνομεν; οἱ δὲ ἀδελφοὶ ὑμῶν ἀπέστησαν τὴν καρδίαν ὑμῶν λέγοντες· ἔθνος μέγα καὶ πολὺ καὶ δυνατώτερον ἡμῶν καὶ πόλεις μεγάλαι καὶ τετειχισμέναι ἕως τοῦ οὐρανοῦ, ἀλλὰ καὶ υἱοὺς γιγάντων ἑωράκαμεν ἐκεῖ.

Δευτ. 1,28 - Που λοιπόν ημείς τώρα θα πορευθώμεν; Οι αδελφοί μας οι κατάσκοποι κατεπτόησαν και κατέθλιψαν τας καρδίας μας, λέγοντες· Οι άνδρες της Παλαιστίνης είναι μεγαλόσωμοι και πολύ δυνατώτεροι από ημάς, αι πόλεις των μεγάλαι και οχυραί με τείχη, που φθάνουν έως στον ουρανόν. Εκτός δε τούτου είδομεν εκεί και απογόνους των ονομαστών εκείνων γιγάντων !

Δευτ. 1,29 - καὶ εἶπα πρὸς ὑμᾶς· μὴ πτήξετε, μηδὲ φοβηθῆτε ἀπ᾿ αὐτῶν·

Δευτ. 1,29 - Εγώ όμως είπα προς σας. Μη πτοηθήτε, μη φοβηθήτε από αυτούς.

Δευτ. 1,30 - Κύριος ὁ Θεὸς ὑμῶν ὁ προπορευόμενος πρὸ προσώπου ὑμῶν αὐτὸς συνεκπολεμήσει αὐτοὺς μεθ᾿ ὑμῶν κατὰ πάντα, ὅσα ἐποίησεν ὑμῖν ἐν γῇ Αἰγύπτῳ

Δευτ. 1,30 - Κυριος ο Θεός σας, ο οποίος ως οδηγός και προστάτης προπορεύεται έμπροσθέν σας, αυτός θα πολεμήση μαζή σας και θα κατανικήση αυτούς, θα κάμη και εις την περίστασιν αυτήν, όσα έκαμε προς χάριν σας εις την χώραν της Αιγύπτου.

Δευτ. 1,31 - καὶ ἐν τῇ ἐρήμῳ ταύτῃ, ἣν εἴδετε, ὁδὸν ὄρους τοῦ Ἀμοῤῥαίου, ὡς ἐτροφοφόρησέ σε Κύριος ὁ Θεός σου, ὡς εἴ τις τροφοφορήσαι ἄνθρωπος τὸν υἱὸν αὐτοῦ, κατὰ πᾶσαν τὴν ὁδὸν εἰς ἣν ἐπορεύθητε, ἕως ἤλθετε εἰς τὸν τόπον τοῦτον.

Δευτ. 1,31 - Είδατε και σεις οι ίδιοι, πως εις την φοβεράν εκείνην έρημον Φαράν, την οποία διηρχόμεθα κατευθυνόμενοι προς την Παλαιστίνην, πως Κυριος ο Θεός σας σας διέθρεψε με τόσην στοργήν, όπώς δ στοργικός πατέρας διατρέφει το παιδί του. Και αύτο εις όλην την διαδρομήν που εκάμετε, μέχρις που εφθάσετε στούτον τον τόπον.

Δευτ. 1,32 - καὶ ἐν τῷ λόγῳ τούτῳ οὐκ ἐνεπιστεύσατε Κυρίῳ τῷ Θεῷ ἡμῶν,

Δευτ. 1,32 - Παρ' όλα όμως τα θαυμαστά αυτά δείγματα της θείας δυνάμεως και προστασίας δεν επιστεύσατε εις Κυριον τον Θεόν μας,

Δευτ. 1,33 - ὃς προπορεύεται πρότερος ὑμῶν ἐν τῇ ὁδῷ ἐκλέγεσθαι ὑμῖν τόπον, ὁδηγῶν ὑμᾶς ἐν πυρὶ νυκτός, δεικνύων ὑμῖν τὴν ὁδὸν καθ᾿ ἣν πορεύεσθε ἐπ᾿ αὐτῆς, καὶ ἐν νεφέλῃ ἡμέρας.

Δευτ. 1,33 - ο οποίος προπορεύεται εμπρός μας στον δρόμον, να εκλέξη δια σας τόπον, οδηγών συνεχώς σας κατά μεν την νύκτα δια πυρός, κατά δε την ημέραν δια νεφέλης, δεικνύων προς σας τον δρόμον, τον οποίον πρέπει να ακολουθήσετε.

Δευτ. 1,34 - καὶ ἤκουσε Κύριος τὴν φωνὴν τῶν λόγων ὑμῶν καὶ παροξυνθεὶς ὤμοσε λέγων·

Δευτ. 1,34 - Ο Θεός ήκουσε τα λόγια του γογγυσμού και της αχαριστίας σας, ωργίσθη και ωρκίσθη λέγων·

Δευτ. 1,35 - εἰ ὄψεταί τις τῶν ἀνδρῶν τούτων τὴν γῆν ἀγαθὴν ταύτην, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν,

Δευτ. 1,35 - Αν ποτέ κανείς ίδη από τους ανθρώπους αυτούς την έφορον και πλουσίαν χώραν, την οποίαν ωρκίσθην στους προπάτοράς σας !

Δευτ. 1,36 - πλὴν Χάλεβ υἱὸς Ἰεφοννή, οὗτος ὄψεται αὐτήν, καὶ τούτῳ δώσω τὴν γῆν, ἐφ᾿ ἣν ἐπέβη, καὶ τοῖς υἱοῖς αὐτοῦ διὰ τὸ προσκεῖσθαι αὐτὸν τὰ πρὸς Κύριον.

Δευτ. 1,36 - Πλην μόνον ο Χαλεβ, ο υιός του Ιεφοννή, αυτός θα ίδη την χώραν αυτήν και εις αυτόν θα δώσω την χώραν, την οποίαν επάτησε, δια να κατασκοπεύση, εις αυτόν και στους απογόνους του, διότι εστάθη με το μέρος του Κυρίου.

Δευτ. 1,37 - καὶ ἐμοὶ ἐθυμώθη Κύριος δι᾿ ὑμᾶς λέγων· οὐδὲ σὺ οὐ μὴ εἰσέλθῃς ἐκεῖ·

Δευτ. 1,37 - Εξ αιτίας σας ωργίσθη και εναντίον μου ο Θεός και μου είπε· Ούτε συ θα εισέλθης εκεί.

Δευτ. 1,38 - Ἰησοῦς υἱὸς Ναυὴ ὁ παρεστηκώς σοι, οὗτος εἰσελεύσεται ἐκεῖ· αὐτὸν κατίσχυσον, ὅτι αὐτὸς κατακληρονομήσει αὐτὴν τῷ Ἰσραήλ.

Δευτ. 1,38 - Αλλά ο Ιησούς, ο υιός του Ναυή, ο οποίος ευρίσκεται πάντοτε παρά το πλευρόν σου, αυτός θα εισέλθη εκεί. Αυτόν δε συ ενίσχυσέ τον και κατάρτισέ τον, διότι αυτός θα καταλάβη και δια κλήρου θα διαμοιράση την γην της Χαναάν ει τους Ισραηλίτας.

Δευτ. 1,39 - καὶ πᾶν παιδίον νέον, ὅστις οὐκ οἶδε σήμερον ἀγαθὸν ἢ κακόν, οὗτοι εἰσελεύσονται ἐκεῖ, καὶ τούτοις δώσω αὐτήν, καὶ αὐτοὶ κληρονομήσουσιν αὐτήν.

Δευτ. 1,39 - Επίσης τα μικρά παιδιά, τα οποία σήμερον δεν ημπορούν να ξεχωρίσουν καλόν και κακόν, αυτοί θα εισέλθουν εκεί· εις αυτούς θα δώσω την χώραν· αυτοί θα την κληρονομήσουν.

Δευτ. 1,40 - καὶ ὑμεῖς ἐπιστραφέντες ἐστρατοπεδεύσατε εἰς τὴν ἔρημον, ὁδὸν τὴν ἐπὶ τῆς ἐρυθρᾶς θαλάσσης.

Δευτ. 1,40 - Σεις δε τότε εγυρίσατε και εστρατοπεδεύσατε εις την έρημον Σιν με κατεύθυνσιν προς την Ερυθράν Θαλασσαν.

Δευτ. 1,41 - καὶ ἀπεκρίθητε καὶ εἴπατε· ἡμάρτομεν ἔναντι Κυρίου τοῦ Θεοῦ ἡμῶν· ἡμεῖς ἀναβάντες πολεμήσομεν κατὰ πάντα, ὅσα ἐνετείλατο Κύριος ὁ Θεὸς ἡμῶν ἡμῖν. καὶ ἀναλαβόντες ἕκαστος τὰ σκεύη τὰ πολεμικὰ αὐτοῦ καὶ συναθροισθέντες ἀνεβαίνετε εἰς τὸ ὄρος.

Δευτ. 1,41 - Αποκριθήκατε και είπατε· Ημαρτήσαμεν ενώπιον Κυρίου του Θεού μας. Μετανοούμεν και αποφασίζομεν τώρα να εισέλθομεν εις την Χαναάν και να πολεμήσωμεν σύμφωνα με τας εντολάς, που έχει δώσει Κυριος ο Θεός μας. Ο κάθε Ισραηλίτης ανέλαβε τα πολεμικά αυτού όπλα και συγκεντρωθέντες εβαδίζατε όλοι προς το όρος (δια την Παλαιστίνην).

Δευτ. 1,42 - καὶ εἶπε Κύριος πρός με· εἰπὸν αὐτοῖς· οὐκ ἀναβήσεσθε οὐδὲ μὴ πολεμήσετε, οὐ γάρ εἰμι μεθ᾿ ὑμῶν· καὶ οὐ μὴ συντριβῆτε ἐνώπιον τῶν ἐχθρῶν ὑμῶν·

Δευτ. 1,42 - Ο Κυριος όμως είπε τότε προς εμέ· Ειπέ προς αυτούς· δεν θα ανεβήτε εις την Παλαιστίνην και δεν θα πολεμήσετε τους κατοίκους της, διότι εγώ δεν είμαι πλέον μαζή σας. Αποφύγετε τον μάταιον αυτόν πόλεμον, δια να μη συντριβήτε από τους εχθρούς σας.

Δευτ. 1,43 - καὶ ἐλάλησα ὑμῖν, καὶ οὐκ εἰσηκούσατέ μου καὶ παρέβητε τὸ ῥῆμα Κυρίου καὶ παραβιασάμενοι ἀνέβητε εἰς τὸ ὄρος.

Δευτ. 1,43 - Αυτά εγώ σας τα είπα, αλλά σεις δεν με ακούσατε. Και έτσι καταπατήσατε την εντολήν του Κυρίου και παραβάται ενώπιον του Θεού επροχωρήσατε προς το όρος (δια την Παλαιστίνην).

Δευτ. 1,44 - καὶ ἐξῆλθεν ὁ Ἀμοῤῥαῖος ὁ κατοικῶν ἐν τῷ ὄρει ἐκείνῳ εἰς συνάντησιν ὑμῖν καὶ κατεδίωξαν ὑμᾶς, ὡσεὶ ποιήσαισαν αἱ μέλισσαι, καὶ ἐτίτρωσκον ὑμᾶς ἀπὸ Σηεὶρ ἕως Ἑρμᾶ.

Δευτ. 1,44 - Οι Αμορραίοι όμως, οι οποίοι κατοικούσαν την ορεινήν εκείνην περιοχήν της νοτίου Παλαιστίνης, εξήλθον εις πόλεμον εναντίον σας. Σας ενίκησαν και σας κατεδίωξαν, ωσάν εξερεθισμέναι μέλισσαι, και σας ετραυμάτιζαν με τα βέλη και τας μαχαίρας των, από το όρος Σηείρ έως την πόλιν Ερμά.

Δευτ. 1,45 - καὶ καθίσαντες ἐκλαίετε ἐναντίον Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ οὐκ εἰσήκουσε Κύριος τῆς φωνῆς ὑμῶν οὐδὲ προσέσχεν ὑμῖν.

Δευτ. 1,45 - Μετά το τραγικόν αυτό πάθημά σαςεκαθήσατε και εκλαίατε ενώπιον Κυρίου του Θεού μας, αλλά ο Κυριος δεν ήκουσε την φωνήν σας ούτε και σας επρόσεξε.

Δευτ. 1,46 - καὶ ἐνεκάθησθε ἐν Κάδης ἡμέρας πολλάς, ὅσας ποτὲ ἡμέρας ἐνεκάθησθε.

Δευτ. 1,46 - Και εκαθήσατε τότε εις Καδης επί τόσον μακρόν χρόνον, όσον εμείνατε εκεί.

ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 2

Δευτ. 2,1 - Καὶ ἐπιστραφέντες ἀπῄραμεν εἰς τὴν ἔρημον, ὁδὸν θάλασσαν ἐρυθράν, ὃν τρόπον ἐλάλησε Κύριος πρός με, καὶ ἐκυκλώσαμεν τὸ ὄρος τὸ Σηεὶρ ἡμέρας πολλάς.

Δευτ. 2,1 - Εστράφημεν τότε και εξεκινήσαμεν προς νότον εις την έρημον, πέραν από τον Ελανιτικόν κόλπον, όπως με διέταξεν ο Κυριος, εβαδίσαμεν ημέρας πολλάς και επορεύθημεν κύκλω από το όρος Σηείρ.

Δευτ. 2,2 - καὶ εἶπε Κύριος πρός με·

Δευτ. 2,2 - Τοτε μου είπεν ο Κυριος·

Δευτ. 2,3 - ἱκανούσθω ὑμῖν κυκλοῦν τὸ ὄρος τοῦτο, ἐπιστράφητε οὖν ἐπὶ βοῤῥᾶν·

Δευτ. 2,3 - Αρκετόν χρόνον εβαδίσατε κύκλω από το όρος τούτο· τώρα λοιπόν στραφήτε προς βορράν.

Δευτ. 2,4 - καὶ τῷ λαῷ ἔντειλαι λέγων· ὑμεῖς παραπορεύεσθε διὰ τῶν ὁρίων τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἡσαῦ, οἳ κατοικοῦσιν ἐν Σηείρ, καὶ φοβηθήσονται ὑμᾶς καὶ εὐλαβηθήσονται ὑμᾶς σφόδρα.

Δευτ. 2,4 - Δώσε εντολήν στον ισραηλιτικόν λαόν και ειπέ προς αυτούς· θα περάσετε πρώτα από τα σύνορα της χώρας των αδελφών σας, των Ιδουμαίων, των απογόνων του Ησαύ, οι οποίοι κατοικούν στο όρος Σηείρ. Αυτοί θα σας φοβηθούν και θα προσέξουν πολύ, ώστε να μη έλθουν εις σύγκρουσιν με σας.

Δευτ. 2,5 - μὴ συνάψητε πρὸς αὐτοὺς πόλεμον· οὐ γὰρ δῶ ὑμῖν ἀπὸ τῆς γῆς αὐτῶν οὐδὲ βῆμα ποδός, ὅτι ἐν κλήρῳ δέδωκα τοῖς υἱοῖς Ἡσαῦ τὸ ὄρος τὸ Σηείρ.

Δευτ. 2,5 - Αλλά και σεις να μου κάμετε προς αυτούς πόλεμον εναντίον των διότι εγώ δεν θα σας δώσω ούτε ένα βήμα ποδός από την χώραν των, επειδή το όρος Σηείρ και την περιοχήν του εκληροδότησα στους απογόνους του Ησαύ.

Δευτ. 2,6 - ἀργυρίου βρώματα ἀγοράσατε παρ᾿ αὐτῶν καὶ φάγεσθε καὶ ὕδωρ μέτρῳ λήψεσθε παρ᾿ αὐτῶν ἀργυρίου καὶ πίεσθε·

Δευτ. 2,6 - Με χρήματα θα αγοράζετε από αυτούς τρόφιμα δια να τρώγετε, και εν μέτρω αντί χρημάτων θα παίρνετε από αυτούς νερό δια να πίνετε.

Δευτ. 2,7 - ὁ γὰρ Κύριος ὁ Θεὸς ἡμῶν εὐλόγησέ σε ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου· διάγνωθι πῶς διῆλθες τὴν ἔρημον τὴν μεγάλην καὶ τὴν

φοβερὰν ἐκείνην· ἰδοὺ τεσσαράκοντα ἔτη Κύριος ὁ Θεός σου μετὰ σοῦ, οὐκ ἐπεδεήθης ῥήματος.

Δευτ. 2,7 - Να ενθυμήσθε δε ότι Κυριος ο Θεός σας σας ευλόγησεν εις κάθε έργον των χειρών σας. Μαθετε καλά και μη λησμονήτε, πως επεράσατε την μεγάλην εκείνην και φοβεράν έρημον Φαράν. Ιδού επί τεσσαράκοντα κατά συνέχειαν έτη Κυριος ο Θεός είναι μαζή σας και δεν εστερηθήκατε από τίποτε.

Δευτ. 2,8 - καὶ παρήλθομεν τοὺς ἀδελφοὺς ἡμῶν υἱοὺς Ἡσαῦ, τοὺς κατοικοῦντας ἐν Σηεὶρ παρὰ τὴν ὁδὸν τὴν Ἄραβα ἀπὸ Αἰλὼν καὶ ἀπὸ Γεσιὼν Γάβερ καὶ ἐπιστρέψαντες παρήλθομεν ὁδὸν ἔρημον Μωάβ.

Δευτ. 2,8 - Υπακούσαντες κατά την περίστασιν αυτήν στον Θεόν παρεκάμψαμεν και δεν ενοχλήσαμεν τους αδελφούς μας, απογόνους του Ησαύ, οι οποίοι κατοικούν στο όρος Σηείρ. Εβαδίσαμεν την οδόν, η οποία διέρχεται την περιοχήν Αραβα, επεράσαμεν από τας πόλεις Αιλών και Γεσιών Γαβερ. Επειτα εστρέψαμεν και εκινήθημεν προς την έρημον της χώρας Μωάβ.

Δευτ. 2,9 - καὶ εἶπε Κύριος πρός με· μὴ ἐχθραίνετε τοῖς Μωαβίταις καὶ μὴ συνάψητε πρὸς αὐτοὺς πόλεμον· οὐ γὰρ μὴ δῶ ὑμῖν ἀπὸ τῆς γῆς αὐτῶν ἐν κλήρῳ, τοῖς γὰρ υἱοῖς Λὼτ δέδωκα τὴν Ἀροὴρ κληρονομεῖν.

Δευτ. 2,9 - Είπε δε προς εμέ ο Κυριος· Μη τρέφετε εχθρικάς διαθέσεις κατά των Μωαβιτών και μη αναλάβετε πόλεμον εναντίον των· διότι εγώ δεν θα σας δώσω κληρονομίαν από την χώραν αυτών, επειδή στους απογόνους του Λωτ έχω δώσει ως κληρονομίαν την Αροήρ, την Μωάβ.

Δευτ. 2,10 - (οἱ Ὀμμὶν πρότεροι ἐνεκάθηντο ἐπ᾿ αὐτῆς ἔθνος μέγα καὶ πολὺ καὶ ἰσχύοντες, ὥσπερ οἱ Ἐνακίμ·

Δευτ. 2,10 - (Προ αυτών είχαν εγκατασταθή εις την χώραν Μωάβ, οι Ομμίν, άνδρες μεγάλου αναστήματος, πολυάριθμοι και ισχυροί όπως οι Ενακίμ.

Δευτ. 2,11 - Ῥαφαΐν λογισθήσονται καὶ οὗτοι ὥσπερ καὶ οἱ Ἐνακίμ, καὶ οἱ Μωαβῖται ἐπονομάζουσιν αὐτοὺς Ὀμμίν.

Δευτ. 2,11 - Εθεωρούντο Ραφαΐν, δηλαδή γίγαντες και αυτοί, όπως και οι Ενακίμ. Οι Μωαβίται ονομάζουν αυτούς Ομμίν.

Δευτ. 2,12 - καὶ ἐν Σηεὶρ ἐνεκάθητο ὁ Χορῥαῖος τὸ πρότερον, καὶ υἱοὶ Ἡσαῦ ἀπώλεσαν αὐτοὺς καὶ ἐξέτριψαν αὐτοὺς ἀπὸ προσώπου αὐτῶν καὶ κατῳκίσθησαν ἀντ᾿ αὐτῶν, ὃν τρόπον ἐποίησεν Ἰσραὴλ τὴν γῆν τῆς κληρονομίας αὐτοῦ, ἣν δέδωκε Κύριος αὐτοῖς).

Δευτ. 2,12 - Αλλά και εις την χώραν Σηείρ κάτοικοι προηγουμένως ήσαν οι Χορραίοι, τους οποίους οι απόγονοι του Ησαύ, οι Ιδουμαίοι, τους κατέστρεψαν και τους εξολόθρευσαν από εμπρός των και εγκατεστάθησαν αυτοί εις την χώραν αντί εκείνων. Εκαμαν οι Ιδουμαίοι στους παλαιούς

κατοίκους της χώρας, ο,τι οι Ισραηλίται θα κάμουν εις την χώραν, την οποίαν ως κληρονομίαν των θα τους δώση ο Κυριος).

Δευτ. 2,13 - νῦν οὖν ἀνάστητε καὶ ἀπάρατε ὑμεῖς καὶ παραπορεύεσθε τὴν φάραγγα Ζαρέτ.

Δευτ. 2,13 - Τωρα λοιπόν εγερθήτε, ξεκινήσατε και βαδίσατε παρά την φάραγγα Ζαρέτ.

Δευτ. 2,14 - καὶ αἱ ἡμέραι, ἃς παρεπορεύθημεν ἀπὸ Κάδης Βαρνὴ ἕως οὗ παρήλθομεν τὴν φάραγγα Ζαρέτ, τριάκοντα καὶ ὀκτὼ ἔτη, ἕως οὗ διέπεσε πᾶσα γενεὰ ἀνδρῶν πολεμιστῶν ἀποθνήσκοντες ἐκ τῆς παρεμβολῆς, καθότι ὤμοσε Κύριος ὁ Θεὸς αὐτοῖς·

Δευτ. 2,14 - Το χρονικόν διάστημα, κατά το οποίον επορεύθημεν από Καδης Βαρνή, μέχρις ότου διήλθαμεν την φάραγγα Ζαρέτ, ήτο τριάκοντα και οκτώ έτη, έως ότου όλη η γενεά εκείνη των ανδρών των δυναμένων να φέρουν όπλα απέθανον και εξέλιπον από το στρατόπεδον, όπως Κυριος ο Θεός είχεν ορκισθή δι' αυτούς.

Δευτ. 2,15 - καὶ ἡ χεὶρ τοῦ Θεοῦ ἦν ἐπ᾿ αὐτοῖς ἐξαναλῶσαι αὐτοὺς ἐκ μέσου τῆς παρεμβολῆς, ἕως οὗ διέπεσαν.

Δευτ. 2,15 - Η παντοδύναμος και τιμωρός χειρ του Θεού επέπεσεν εναντίον των, δια να τους εξοντώση εκ μέσου του στρατοπέδου, μέχρις ότου όλοι πράγματι εχάθησαν.

Δευτ. 2,16 - καὶ ἐγενήθη ἐπειδὴ ἔπεσαν πάντες οἱ ἄνδρες οἱ πολεμισταὶ ἀποθνήσκοντες ἐκ μέσου τοῦ λαοῦ,

Δευτ. 2,16 - Οτε απέθαναν και έλειψαν εκ μέσου του λαού όλοι οι άνδρες οι δυνάμενοι να φέρουν όπλα,

Δευτ. 2,17 - καὶ ἐλάλησε Κύριος πρός με λέγων·

Δευτ. 2,17 - ο Κυριος ωμίλησε προς εμέ και είπε·

Δευτ. 2,18 - σὺ παραπορεύσῃ σήμερον τὰ ὅρια Μωὰβ τὴν Σηεὶρ

Δευτ. 2,18 - Συ θα διαβής σήμερον τα σύνορα της Μωάβ και Σηείρ το όρος αυτής.

Δευτ. 2,19 - καὶ προσάξετε ἐγγὺς υἱῶν Ἀμμάν· μὴ ἐχθραίνετε αὐτοῖς μηδὲ συνάψητε αὐτοῖς εἰς πόλεμον· οὐ γὰρ μὴ δῶ ἀπὸ τῆς γῆς υἱῶν Ἀμμάν σοι ἐν κλήρῳ, ὅτι τοῖς υἱοῖς Λὼτ δέδωκα αὐτὴν ἐν κλήρῳ.

Δευτ. 2,19 - Θα φθάσετε πλησίον των Αμμανιτών. Μη δείξετε εχθρικάς διαθέσεις εναντίον των και ούτε να αναλάβετε πόλεμον κατ' αυτών, διότι από την χώραν των υιών Αμμάν δεν θα σας δώσω κανένα μέρος προς κληρονομίαν σας, διότι έχω δώσει αυτήν την χώραν ως κληρονομίαν στους απογόνους του Λωτ.

Δευτ. 2,20 - (γῆ Ῥαφαΐν λογισθήσεται· καὶ γὰρ ἐπ᾿ αὐτῆς κατῴκουν οἱ Ῥαφαΐν τὸ πρότερον, καὶ οἱ Ἀμμανῖται ἐπονομάζουσιν αὐτοὺς Ζομζομμίν,

Δευτ. 2,20 - (Και η χώρα αυτή θα θεωρηθή ως γη Ραφαΐν, δηλαδή χώρα γιγάντων, διότι προηγουμένως κατοικούσαν εις αυτήν οι γίγαντες, τους οποίους οι Αμμανίται, επωνόμασαν Ζομζομμίν.

Δευτ. 2,21 - ἔθνος μέγα καὶ πολὺ καὶ δυνατώτερον ὑμῶν, ὥσπερ καὶ οἱ Ἐνακίμ, καὶ ἀπώλεσεν αὐτοὺς Κύριος πρὸ προσώπου αὐτῶν, καὶ κατεκληρονόμησαν καὶ κατῳκίσθησαν ἀντ᾿ αὐτῶν ἕως τῆς ἡμέρας ταύτης·

Δευτ. 2,21 - Αυτοί ήσαν ένα πολυάριθμον έθνος, του οποίου οι άνδρες ήσαν μεγαλόσωμοι και πολύ ισχυρότεροι από σας όπως και οι Ενακίμ. Αυτούς κατέστρεψεν ο Κυριος από το πρόσωπον των Αμμανιτών και έτσι οι Αμμανίται κατέλαβον αντ' αυτών την χώραν και εγκατεστάθησαν εις αυτήν, μέχρι σήμερον·

Δευτ. 2,22 - ὥσπερ ἐποίησαν τοῖς υἱοῖς Ἡσαῦ κατοικοῦσιν ἐν Σηείρ, ὃν τρόπον ἐξέτριψαν τὸν Χοῤῥαῖον ἀπὸ προσώπου αὐτῶν καὶ κατεκληρονόμησαν αὐτοὺς καὶ κατῳκίσθησαν ἀντ᾿ αὐτῶν ἕως τῆς ἡμέρας ταύτης·

Δευτ. 2,22 - όπως ακριβώς έκαμεν ο Κυριος και με τους απογόνους Ησαύ, οι οποίοι κατοικούν τώρα το όρος Σηείρ, συνέτριψε δηλαδή από έμπροσθεν τους τους Χορραίους και κατέλαβον αυτοί την χώραν των και εγκατεστάθησαν αντ' αυτών μέχρι σήμερον.

Δευτ. 2,23 - καὶ οἱ Εὐαῖοι οἱ κατοικοῦντες ἐν Ἀσηδὼθ ἕως Γάζης, καὶ οἱ Καππάδοκες οἱ ἐξελθόντες ἐκ Καππαδοκίας ἐξέτριψαν αὐτοὺς καὶ κατῳκίσθησαν ἀντ᾿ αὐτῶν).

Δευτ. 2,23 - Το αυτό έγινε και με τους Ευαίους, οι οποίοι κατουκούσαν από Ασηδώθ έως Γαζαν. Ηλθον εναντίον των οι Καππαδόκες, ξεκινήσαντες από την Καππαδοκίαν, συνέτριψαν αυτούς και εγκατεστάθησαν αντ' αυτών εις την χώραν των).

Δευτ. 2,24 - νῦν οὖν ἀνάστητε καὶ ἀπάρατε καὶ παρέλθατε ὑμεῖς τὴν φάραγγα Ἀρνῶν· ἰδοὺ παραδέδωκα εἰς τὰς χεῖράς σου τὸν Σηὼν βασιλέα Ἐσεβὼν τὸν Ἀμοῤῥαῖον καὶ τὴν γῆν αὐτοῦ· ἐνάρχου κληρονομεῖν, σύναπτε πρὸς αὐτὸν πόλεμον.

Δευτ. 2,24 - Τωρα λοιπόν σηκωθήτε, ξεκινήσατε από εδώ και περάσατε την φάραγγα του ποταμού. Αρνών. Ιδού! Εχω παραδώσει εις τα χέρια σας τον Σηών, τον Αμορραίον, τον βασιλέα που μένει εις την πόλιν Εσεβών, και την χώραν αυτού. Αρχισε λοιπόν Ισραήλ, να κατακτάς την χώραν, κάμνε εναντίον αυτού πόλεμον.

Δευτ. 2,25 - ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐνάρχου δοῦναι τὸν τρόμον σου καὶ τὸν φόβον σου ἐπὶ προσώπου πάντων τῶν ἐθνῶν τῶν ὑποκάτω τοῦ οὐρανοῦ, οἵτινες ἀκούσαντες τὸ ὄνομά σου ταραχθήσονται καὶ ὠδῖνας ἕξουσιν ἀπὸ προσώπου σου.

Δευτ. 2,25 - Από την ημέραν αυτήν, κάμε αρχήν να εμπνέης τον τρόμον και τον φόβον σου, ενώπιον όλων των εθνών, που κατοικούν κάτω από τον

ουρανόν, και τα οποία, όταν ακούουν το όνομά σου, θα καταλαμβάνωνται από ταραχήν, και θα κυριεύονται από ωδίνας, όταν σε αντικρύζουν.

Δευτ. 2,26 - Καὶ ἀπέστειλα πρέσβεις ἐκ τῆς ἐρήμου Κεδαμὼθ πρὸς Σηὼν βασιλέα Ἐσεβὼν λόγοις εἰρηνικοῖς λέγων·

Δευτ. 2,26 - Εστειλα κατόπιν από την έρημον Κεδαμώθ πρέσβεις προς τον Σηών, βασιλέα της Εσεβών, και ειρηνικώς είπα προς αυτόν·

Δευτ. 2,27 - παρελεύσομαι διὰ τῆς γῆς σου, ἐν τῇ ὁδῷ πορεύσομαι, οὐκ ἐκκλινῶ δεξιὰ οὐδ᾿ ἀριστερά·

Δευτ. 2,27 - θα περάσω δια μέσου της χώρας σου, θα βαδίσω στον δρόμον, δεν θα παρεκκλίνω δεξιά η αριστερά από τον δρόμον.

Δευτ. 2,28 - βρώματα ἀργυρίου ἀποδώσῃ μοι, καὶ φάγομαι, καὶ ὕδωρ ἀργυρίου ἀποδώσῃ μοι, καὶ πίομαι· πλὴν ὅτι παρελεύσομαι τοῖς ποσί,

Δευτ. 2,28 - Τρόφιμα θα μου δώσης δια πληρωμής, δια να φάγω από αυτά. Νερό θα μου δώσης, αφού σου καταβάλω το ανάλογον αργύριον, και έτσι θα πίω. Το μόνον, που σου ζητώ, είναι να μου επιτραπή να διέλθω πεζοπορών την χώραν σου.

Δευτ. 2,29 - καθὼς ἐποίησάν μοι οἱ υἱοὶ Ἡσαῦ οἱ κατοικοῦντες ἐν Σηεὶρ καὶ οἱ Μωαβῖται οἱ κατοικοῦντες ἐν Ἀροήρ, ἕως ἂν παρέλθω τὸν Ἰορδάνην εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς ἡμῶν δίδωσιν ἡμῖν.

Δευτ. 2,29 - Οπως έκαμαν προς εμέ οι απόγονοι του Ησαύ, οι οποίοι κατοικούν εις Σηείρ, και οι Μωαβίται οι οποίοι κατοικούν εις Αροήρ, έτσι θα κάμης και συ προς εμέ, έως ότου περάσω τον Ιορδάνην και εισέλθω εις την χώραν, την οποίαν Κυριος ο Θεός δίδει εις ημάς.

Δευτ. 2,30 - καὶ οὐκ ἠθέλησε Σηὼν βασιλεὺς Ἐσεβὼν παρελθεῖν ἡμᾶς δι᾿ αὐτοῦ, ὅτι ἐσκλήρυνε Κύριος ὁ Θεὸς ἡμῶν τὸ πνεῦμα αὐτοῦ καὶ κατίσχυσε τὴν καρδίαν αὐτοῦ, ἵνα παραδοθῇ εἰς τὰς χεῖράς σου ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ.

Δευτ. 2,30 - Αλλα ο Σηών, ο βασιλεύς της Εσεβών, δεν ηθέλησε να περάσωμεν δια της χώρας του, διότι Κυριος ο Θεός ημών επέτρεψε να σκληρυνθή το πνεύμα του και έκαμε ανάλγητον την καρδίαν του, δια να παραδοθή, εξ αιτίας των αμαρτιών του, εις τα χέρια μας μέχρι σήμερον.

Δευτ. 2,31 - καὶ εἶπε Κύριος πρός με· ἰδοὺ ἦργμαι παραδοῦναι πρὸ προσώπου σου τὸν Σηὼν βασιλέα Ἐσεβὼν τὸν Ἀμοῤῥαῖον καὶ τὴν γῆν αὐτοῦ· ἔναρξαι κληρονομῆσαι τὴν γῆν αὐτοῦ.

Δευτ. 2,31 - Είπε δε τότε ο Κυριος προς εμέ· Ιδού ! Εχω αρχίσει να παραδίδω εις την εξουσίαν σου τον Σηών τον Αμορραίον, βασιλέα της Εσεβών, και την χώραν του. Καμε αρχήν να κατακτάς την χώραν του.

Δευτ. 2,32 - καὶ ἐξῆλθε Σηὼν βασιλεὺς Ἐσεβὼν εἰς συνάντησιν ἡμῖν, αὐτὸς καὶ πᾶς ὁ λαὸς αὐτοῦ, εἰς πόλεμον εἰς Ἰασσά.

Δευτ. 2,32 - Ο Σηών, ο βασιλεύς της Εσεβών, εξήλθε να πολεμήση εναντίον μας αυτός και ο λαός του, εις την πόλιν Ιασσά.

Δευτ. 2,33 - καὶ παρέδωκεν αὐτὸν Κύριος ὁ Θεὸς ἡμῶν πρὸ προσώπου ἡμῶν, καὶ ἐπατάξαμεν αὐτὸν καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ πάντα τὸν λαὸν αὐτοῦ·

Δευτ. 2,33 - Ομως Κυριος ο Θεός ημών παρέδωκεν αυτόν εις τα χέρια μας, και ημείς εκτυπήσαμεν μέχρις αφανισμού αυτόν και τους υιούς του και όλον τον λαόν του.

Δευτ. 2,34 - καὶ ἐκρατήσαμεν πασῶν τῶν πόλεων αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ καὶ ἐξωλοθρεύσαμεν πᾶσαν πόλιν ἑξῆς, καὶ τὰς γυναῖκας αὐτῶν καὶ τὰ τέκνα αὐτῶν, οὐ κατελίπομεν ζωγρείαν·

Δευτ. 2,34 - Κατελάβομεν και εκρατήσαμεν υπό την εξουσίαν μας όλας τας πόλεις αυτού, κατεστρέψαμεν κάθε πόλιν την μίαν μετά την άλλην, εθανατώσαμεν τας γυναίκας και τα τέκνα αυτών, δεν αφήσαμεν αιχμαλώτους ζωντανούς.

Δευτ. 2,35 - πλὴν τὰ κτήνη ἐπρονομεύσαμεν καὶ τὰ σκῦλα τῶν πόλεων ἐλάβομεν.

Δευτ. 2,35 - Μονον τα ζώα των κρατήσαμεν δια τον εαυτόν μας και τα λάφυρα των πόλεων επήραμεν.

Δευτ. 2,36 - ἐξ Ἀροήρ, ἥ ἐστι παρὰ τὸ χεῖλος χειμάῤῥου Ἀρνῶν, καὶ τὴν πόλιν τὴν οὖσαν ἐν τῇ φάραγγι καὶ ἕως ὄρους τοῦ Γαλαὰδ οὐκ ἐγενήθη πόλις, ἥτις διέφυγεν ἡμᾶς, τὰς πάσας παρέδωκε Κύριος ὁ Θεὸς ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν·

Δευτ. 2,36 - Από την πόλιν Αροήρ, η οποία ευρίσκεται παρά την όχθην του χειμάρρου Αρνών, και την πόλιν, η οποία ευρίσκεται εις την κοιλάδα του ποταμού τούτου, μέχρι του όρους Γαλαάδ, δεν υπήρξε πόλις και περιοχή, που διέφυγε την κατάκτησίν μας. Ολας τας πόλεις των Αμορραίων τας παρέδωκεν εις τα χέρια μας Κυριος ο Θεός ημών.

Δευτ. 2,37 - πλὴν ἐγγὺς υἱῶν Ἀμμὰν οὐ προσήλθομεν, πάντα τὰ συγκυροῦντα χειμάῤῥου Ἰαβὸκ καὶ τάς πόλεις τὰς ἐν τῇ ὀρεινῇ, καθότι ἐνετείλατο Κύριος ὁ Θεὸς ἡμῶν ἡμῖν.

Δευτ. 2,37 - Δεν επλησιάσαμεν όμως στους Αμμανίτας, εις όλα τα γειτονικά μέρη προς τον χείμαρρον Ιαβόκ και εις τας ορεινάς πόλεις των, διότι έτσι μας διέταξε Κυριος ο Θεός ημών.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 3

Δευτ. 3,1 - Καὶ ἐπιστραφέντες ἀνέβημεν ὁδὸν τὴν εἰς Βασάν, καὶ ἐξῆλθεν Ὢγ βασιλεὺς τῆς Βασὰν εἰς συνάντησιν ἡμῖν, αὐτὸς καὶ πᾶς ὁ

λαὸς αὐτοῦ, εἰς πόλεμον εἰς Ἑδραΐμ.

Δευτ. 3,1 - Κατόπιν εστράφημεν προς τα βόρεια μέρη και ανέβημεν την οδόν προς την Βασάν. Εκεί ο Ωγ, ο βασιλεύς της Βασάν, εξήλθε να πολεμήση εναντίον μας, αυτός και όλος ο λαός του, εις την πόλιν Εδραΐμ.

Δευτ. 3,2 - καὶ εἶπε Κύριος πρός με· μὴ φοβηθῇς αὐτόν, ὅτι εἰς τὰς χεῖράς σου παραδέδωκα αὐτὸν καὶ πάντα τὸν λαὸν αὐτοῦ καὶ πᾶσαν τὴν γῆν αὐτοῦ. καὶ ποιήσεις αὐτῷ ὥσπερ ἐποίησας Σηὼν βασιλεῖ τῶν Ἀμοῤῥαίων, ὃς κατῴκει ἐν Ἐσεβών.

Δευτ. 3,2 - Είπε τότε ο Κυριος προς εμέ· Μη φοβηθής αυτόν, διότι έχω ήδη παραδώσει εις τα χέρια σου αυτόν, όλον τον λαόν του και όλην την χώραν του. Θα κάμης δε εις αυτόν ο,τι ακριβώς έκαμες στον βασιλέα των Αμορραίων Σηών, που κατοικούσε εις την πόλιν Εσεβών.

Δευτ. 3,3 - καὶ παρέδωκεν αὐτὸν Κύριος ὁ Θεὸς ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν, καὶ τὸν Ὢγ βασιλέα τῆς Βασὰν καὶ πάντα τὸν λαὸν αὐτοῦ, καὶ ἐπατάξαμεν αὐτὸν ἕως τοῦ μὴ καταλιπεῖν αὐτοῦ σπέρμα.

Δευτ. 3,3 - Πράγματι Κυριος ο Θεός ημών παρέδωκεν εις τα χέρια μας και αυτόν τον ίδιον τον Ωγ, βασιλέα της Βασάν, και όλον τον λαόν του και εξωντώσαμεν αυτόν και όλους, ώστε να μη μείνη πλέον απόγονος από αυτούς.

Δευτ. 3,4 - καὶ ἐκρατήσαμεν πασῶν τῶν πόλεων αὐτοῦ ἐν τῷ καιρῷ ἐκείνῳ· οὐκ ἦν πόλις, ἣν οὐκ ἐλάβομεν παρ᾿ αὐτῶν, ἑξήκοντα πόλεις, πάντα τὰ περίχωρα Ἀργὸβ βασιλέως Ὢγ ἐν Βασάν,

Δευτ. 3,4 - Τοτε δε και κατελάβαμεν όλας τας πόλεις των και δεν υπήρξε πόλις, που να μη την έχωμεν κυριεύσει· εξήντα πόλεις, μαζή με όλην την περιοχήν Αργόβ εις Βασάν, όπου βασιλεύς ήτο ο Ωγ.

Δευτ. 3,5 - πᾶσαι πόλεις ὀχυραί, τείχη ὑψηλά, πύλαι καὶ μοχλοί, πλὴν τῶν πόλεων τῶν Φερεζαίων τῶν πολλῶν σφόδρα.

Δευτ. 3,5 - Ολαι αυταί αι πόλεις ήσαν οχυραί, περιεβάλλοντο από τείχη υψηλά, είχον στερεάς πύλας και μοχλούς πίσω από αυτάς. Και εν τούτοις κατελάβομεν όλας αυτάς, εκτός βέβαια από τας πολυαρίθμους πόλεις των Φερεζαίων.

Δευτ. 3,6 - ἐξωλοθρεύσαμεν αὐτούς, ὥσπερ ἐποιήσαμεν τὸν Σηὼν βασιλέα Ἐσεβών, καὶ ἐξωλοθρεύσαμεν πᾶσαν πόλιν ἑξῆς καὶ τὰς γυναῖκας καὶ τὰ παιδία·

Δευτ. 3,6 - Εξωλοθρεύσαμεν αυτούς, όπως ακριβώς και τον Σηών, βασιλέα της Εσεβών, κατεστρέψαμεν κάθε πόλιν του Ωγ, την μίαν μετά την άλλην, και εξωντώσαμεν και αυτάς ακόμη τας γυναίκας και τα παιδιά.

Δευτ. 3,7 - καὶ πάντα τὰ κτήνη, καὶ τὰ σκῦλα τῶν πόλεων ἐπρονομεύσαμεν ἑαυτοῖς.

Δευτ. 3,7 - Ολα δε τα ζώα και τα λάφυρα των πόλεων τα ελεηλατήσαμεν και τα επήραμεν δια τον εαυτόν μας.

Δευτ. 3,8 - Καὶ ἐλάβομεν ἐν τῷ καιρῷ ἐκείνῳ τὴν γῆν ἐκ χειρῶν δύο βασιλέων τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου ἀπὸ τοῦ χειμάῤῥου Ἀρνῶν καὶ ἕως Ἀερμών

Δευτ. 3,8 - Ετσι τότε κατελάβομεν την χώραν των δύο Αμορραίων βασιλέων, του Σηών και του Ωγ, οι οποίοι ήσαν εις τα ανατολικά μέρη του Ιορδάνου, από τον χείμαρρον Αρνών έως το όρος Αερμών.

Δευτ. 3,9 - (οἱ Φοίνικες ἐπονομάζουσι τὸ Ἀερμὼν Σανιώρ, καὶ ὁ Ἀμοῤῥαῖος ἐπωνόμασεν αὐτὸ Σανίρ),

Δευτ. 3,9 - (Οι Φοίνικες το όρος Αερμών έχουν επονομάσει Σανιώρ, οι δε Αμορραίοι το μετωνόμασαν Σανίρ).

Δευτ. 3,10 - πᾶσαι πόλεις Μισὼρ καὶ πᾶσα Γαλαὰδ καὶ πᾶσα Βασὰν ἕως Ἑλχᾶ καὶ Ἑδραΐμ, πόλεις βασιλείας τοῦ Ὢγ ἐν τῇ Βασάν.

Δευτ. 3,10 - Κατελάβομεν όλας τας πόλεις Μισώρ, όλην την περιοχήν Γαλαάδ και την χώραν Βασάν, μέχρι της Ελχά και της Εδραΐμ, αι οποίαι είναι πόλστου βασιλείου του Ωγ εις την χώραν Βασάν.

Δευτ. 3,11 - ὅτι πλὴν Ὢγ βασιλεὺς Βασὰν κατελείφθη ἀπὸ τῶν Ῥαφαΐν· ἰδοὺ ἡ κλίνη αὐτοῦ κλίνη σιδηρᾶ, ἰδοὺ αὕτη ἐν τῇ ἄκρᾳ τῶν υἱῶν Ἀμμάν, ἐννέα πήχεων τὸ μῆκος αὐτῆς καὶ τεσσάρων πήχεων τὸ εὖρος αὐτῆς ἐν πήχει ἀνδρός.

Δευτ. 3,11 - Ο Ωγ, ο βασιλεύς της Βασάν, ήτο ο μόνος που είχεν απομείνει από την γενεάν των γιγάντων. Η κλίνη του ήτο κλίνη σιδερένια. Ευρίσκεται δε αύτη σήμερον εις την ακρόπολιν των Αμμανιτών. Το μήκος της ήτο εννέα πήχεις, (υπέρ τα τέσσερα και ήμισυ μέτρα) το δε πλάτος της τέσσαρες πήχεις, σύμφωνα με το εν χρήσει μέτρον.

Δευτ. 3,12 - καὶ τὴν γῆν ἐκείνην ἐκληρονομήσαμεν ἐν τῷ καιρῷ ἐκείνῳ ἀπὸ Ἀροήρ, ἥ ἐστι παρὰ τὸ χεῖλος χειμάῤῥου Ἀρνῶν, καὶ τὸ ἥμισυ τοῦ ὄρους Γαλαὰδ καὶ τὰς πόλεις αὐτοῦ ἔδωκα τῷ Ῥουβὴν καὶ τῷ Γάδ.

Δευτ. 3,12 - Κατά την εποχήν λοιπόν εκείνην εκυριεύσαμεν, ως ιδικά μας πλέον μέρη, την νότιον περιοχήν από την Αροήρ, η οποία ευρίσκεται πλησίον της όχθης του χειμάρρου Αρνών μέχρι και του ημίσεως του όρους Γαλαάδ, μετά των πόλεων. Ολα δε αυτά τα έδωκα εις την φυλήν Ρουβήν και εις την φυλήν Γαδ.

Δευτ. 3,13 - καὶ τὸ κατάλοιπον τοῦ Γαλαὰδ καὶ πᾶσαν τὴν Βασὰν βασιλείαν Ὢγ ἔδωκα τῷ ἡμίσει φυλῆς Μανασσῆ καὶ πᾶσαν περίχωρον Ἀργόβ, πᾶσαν Βασὰν ἐκείνην· γῆ Ῥαφαΐν λογισθήσεται.

Δευτ. 3,13 - Το δε υπόλοιπον της χώρας Γαλαάδ και όλην την χώραν Βασάν, βασίλειον του Ωγ, έδωκα στο ήμισυ της φυλής του Μανασσή, όπως

επίσης και όλην την περίχωρον Αργόβ και όλην την χώραν Βασάν. Η χώρα δε αυτή εθεωρείτο ως χώρα των γιγάντων.

Δευτ. 3,14 - καὶ Ἰαΐρ υἱὸς Μανασσῆ ἔλαβε πᾶσαν τὴν περίχωρον Ἀργὸβ ἕως τῶν ὁρίων Γαργασὶ καὶ Μαχαθί· ἐπωνόμασεν αὐτὰς ἐπὶ τῷ ὀνόματι αὐτοῦ τὴν Βασὰν Αὐὼθ Ἰαΐρ ἕως τῆς ἡμέρας ταύτης.

Δευτ. 3,14 - Ο δε Ιαῒρ, υιός του Μανασσή, έλαβεν όλην την περιοχήν Αργόβ, έως εις τα όρια του Γαργασί και Μαχαθί. Επωνόμασε δε αυτάς με το όνομά του, δηλαδή Ιαΐρ την Βασάν Αυώθ μέχρι σήμερον.

Δευτ. 3,15 - καὶ τῷ Μαχὶρ ἔδωκα τὴν Γαλαάδ.

Δευτ. 3,15 - Εις τον Μαχίρ έδωκα προς νότον την περιοχήν Γαλαάδ.

Δευτ. 3,16 - καὶ τῷ Ῥουβὴν καὶ τῷ Γὰδ δέδωκα ἀπὸ τῆς Γαλαὰδ ἕως χειμάῤῥου Ἀρνῶν (μέσον τοῦ χειμάῤῥου ὅριον) καὶ ἕως τοῦ Ἰαβόκ· ὁ χειμάῤῥους ὅριον τοῖς υἱοῖς Ἀμμάν.

Δευτ. 3,16 - Εις τον Ρουβήν καaι τον Γαδ έδωκα, από την χώραν Γαλαάδ μέχρι του χειμάρρου Αρνών (ακριβέστερον, μέχρι του μέσου της κοίτης του χειμάρρου), προς βορράν δε μέχρι του χειμάρρου Ιαβόκ. Ο χείμαρρος αυτός Ιαβόκ είναι το σύνορον των Αμμανιτών.

Δευτ. 3,17 - καὶ ἡ Ἄραβα καὶ ὁ Ἰορδάνης ὅριον Μαχαναρέθ, καὶ ἕως θαλάσσης Ἄραβα, θαλάσσης ἁλυκῆς ὑπὸ Ἀσηδὼθ τὴν Φασγὰ ἀνατολῶν

Δευτ. 3,17 - Εις τας δύο αυτάς φυλάς θα ανήκη επίσης και ο Ιορδάνης, η κοιλάς του Ιορδάνου, από την λίμνην Γεννησαρέτ μέχρι της κοιλάδος, που ευρίσκεται εις την Αλμυράν (Νεκράν) θάλασσαν. Η θάλασσα αυτή ευρίσκεται εις τας υπωρείας Ασηδώθ του όρους Φασγά προς ανατολάς.

Δευτ. 3,18 - καὶ ἐνετειλάμην ὑμῖν ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· Κύριος ὁ Θεὸς ὑμῶν ἔδωκεν ὑμῖν τὴν γῆν ταύτην ἐν κλήρῳ· ἐνοπλισάμενοι προπορεύεσθε πρὸ προσώπου τῶν ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραήλ, πᾶς δυνατός·

Δευτ. 3,18 - Τοτε σας διέταξα, λέγων· Κυριος ο Θεός ημών έδωκεν εις κληρονομίαν σας, την γην αυτήν. Ολοι όσοι ημπορούν να φέρουν όπλα ας οπλισθούν και ας προπορεύωνται από τους άλλους πολεμιστάς αδελφούς σας Ισραηλίτας.

Δευτ. 3,19 - πλὴν αἱ γυναῖκες ὑμῶν καὶ τὰ τέκνα ὑμῶν καὶ τὰ κτήνη ὑμῶν, οἶδα ὅτι πολλὰ κτήνη ὑμῖν, κατοικείτωσαν ἐν ταῖς πόλεσιν ὑμῶν, αἷς ἔδωκα ὑμῖν,

Δευτ. 3,19 - Αι γυναίκες όμως και τα τέκνα σας και τα ζώα σας, γνωρίζω ότι έχετε πολλά ζώα, ας μείνουν εις τας πόλεις, τας οποίας σας έδωκα,

Δευτ. 3,20 - ἕως ἂν καταπαύσῃ Κύριος ὁ Θεὸς ὑμῶν τοὺς ἀδελφοὺς ὑμῶν, ὥσπερ καὶ ὑμᾶς, καὶ κατακληρονομήσωσι καὶ οὗτοι τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς ἡμῶν δίδωσιν αὐτοῖς ἐν τῷ πέραν τοῦ Ἰορδάνου, καὶ ἐπαναστραφήσεσθε ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, ἣν ἔδωκα ὑμῖν.

Δευτ. 3,20 - μέχρις ότου Κυριος ο Θεός σας εγκαταστήση τους αδελφούς σας, όπως και σας, και κληρονομήσουν και αυτοί την προς δυσμάς του Ιορδάνου χώραν, την οποίαν Κυριος ο Θεός ημών έχει δώσει εις αυτούς. Μετά δε την τακτοποίησιν αυτήν, θα επανέλθη ο καθένας από σας εις την κληρονομίαν του, την οποίαν σας έχω δώσει.

Δευτ. 3,21 - Καὶ τῷ Ἰησοῖ ἐνετειλάμην ἐν τῷ καιρῷ ἐκείνῳ λέγων· οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι πάντα, ὅσα ἐποίησε Κύριος ὁ Θεὸς ἡμῶν τοῖς δυσὶ βασιλεῦσι τούτοις· οὕτως ποιήσει Κύριος ὁ Θεὸς ἡμῶν πάσας τὰς βασιλείας, ἐφ᾿ ἃς σὺ διαβαίνεις ἐκεῖ·

Δευτ. 3,21 - Κατά τον καιρόν δε εκείνον έδωσα εντολήν στον Ιησούν του Ναυή, λέγων· Είδαν τα μάτια σας όλα όσα Κυριος ο Θεός ημών έκαμεν στους δύο αυτούς βασιλείς των Αμορραίων. Ετσι θα κάμη Κυριος ο Θεός σας και θα παραδώση εις τα χέρια σας όλας τας βασιλείας, που θα συναντήσετε, αφού διαβήτε τον Ιορδάνην.

Δευτ. 3,22 - οὐ φοβηθήσεσθε ἀπ᾿ αὐτῶν, ὅτι Κύριος ὁ Θεὸς ἡμῶν αὐτὸς πολεμήσει περὶ ὑμῶν.

Δευτ. 3,22 - Μη φοβηθήτε τους ανθρώπους αυτών των εθνών, διότι Κυριος ο Θεός ημών θα πολεμήση δια σας και μαζή με σας.

Δευτ. 3,23 - καὶ ἐδεήθην Κυρίου ἐν τῷ καιρῷ ἐκείνῳ λέγων·

Δευτ. 3,23 - Παρεκάλεσα δε τον Κυριον κατά τον καιρόν εκείνον λέγων·

Δευτ. 3,24 - Κύριε Θεέ, σὺ ἤρξω δεῖξαι τῷ σῷ θεράποντι τὴν ἰσχύν σου καὶ τὴν δύναμίν σου καὶ τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλόν· τίς γάρ ἐστι Θεὸς ἐν τῷ οὐρανῷ ἢ ἐπὶ τῆς γῆς, ὅστις ποιήσει καθὰ ἐποίησας σὺ καὶ κατὰ τὴν ἰσχύν σου;

Δευτ. 3,24 - Κυριε, Θεέ, Συ ήρχισες να φανερώνης εις εμέ τον δούλον σου την ισχύν και την δύναμίν σου, την παντοδύναμον δεξιάν σου και το απροσμέτρητον μεγαλείον σου· διότι ποίος άλλος Θεός υπάρχει στον ουρανόν η εις την γην, που θα ημπορέση να κάμη όσα έκαμες Συ με την παντοδυναμίαν σου;

Δευτ. 3,25 - διαβὰς οὖν ὄψομαι τὴν γῆν τὴν ἀγαθὴν ταύτην τὴν οὖσαν πέραν τοῦ Ἰορδάνου, τὸ ὄρος τοῦτο τὸ ἀγαθὸν καὶ τὸν Ἀντιλίβανον.

Δευτ. 3,25 - Σε παρακαλώ δώσε μου την άδειαν, αφού διαβώ τον Ιορδάνην ποταμόν, να ίδω την εύφορον και πλουσίαν αυτήν χώραν, την πέραν του Ιορδάνου, την ωραίαν αυτήν ορεινήν χώραν έως στον Αντιλίβανον !

Δευτ. 3,26 - καὶ ὑπερεῖδε Κύριος ἐμὲ ἕνεκεν ὑμῶν καὶ οὐκ εἰσήκουσέ μου, καὶ εἶπε Κύριος πρός με· ἱκανούσθω σοι, μὴ προσθῇς ἔτι λαλῆσαι τὸν λόγον τοῦτον·

Δευτ. 3,26 - Ο Κυριος όμως, εξ αιτίας των ιδικών σας αμαρτιών, απέστρεψε το πρόσωπόν του από εμέ και δεν άκουσε την παράκλησίν μου,

αλλά μου είπε· “αρκετόν έως εδώ. Μη θελήσης και άλλην φοράν να επαναλάβης αυτήν την παράκλησίν σου,

Δευτ. 3,27 - ἀνάβηθι ἐπὶ τὴν κορυφὴν τοῦ Λελαξευμένου καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς σου κατὰ θάλασσαν καὶ βοῤῥᾶν καὶ λίβα καὶ ἀνατολὰς καὶ ἰδὲ τοῖς ὀφθαλμοῖς σου, ὅτι οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον.

Δευτ. 3,27 - αλλά ανέβα εις την κορυφήν του όρους Λελαξευμένον (Ναβαύ), άφησε το βλέμμα σου να επιθεωρήση την χώραν προς δυσμάς (όπου η Μεσόγειος Θαλασσα) προς βορράν, προς νότον και προς ανατολάς. Ιδέ με τα μάτια σου και απόλαυσε την θέαν της χώρας αυτής, διότι συ δεν θα διαβής τον Ιορδάνην τούτον ποταμόν.

Δευτ. 3,28 - καὶ ἔντειλαι Ἰησοῖ καὶ κατίσχυσον αὐτὸν καὶ παρακάλεσον αὐτόν, ὅτι οὗτος διαβήσεται πρὸ προσώπου τοῦ λαοῦ τούτου, καὶ οὗτος κατακληρονομήσει αὐτοῖς πᾶσαν τὴν γῆν, ἣν ἑώρακας.

Δευτ. 3,28 - Δώσε εντολήν στον Ιησούν του Ναυή, ενίσχυσέ τον και καθοδήγησέ τον καταλλήλως, διότι αυτός θα διαβή τον Ιορδάνην, ως αρχηγός του λαού τούτου. Αυτός θα κυριεύση και δια κλήρου θα διανείμη εις τας φυλάς όλην την χώραν την οποίαν είδες”.

Δευτ. 3,29 - καὶ ἐνεκαθήμεθα ἐν νάπῃ σύνεγγυς οἴκου Φογώρ.

Δευτ. 3,29 - Και έτσι εμείναμε εις κάποιαν δασώδη περιοχήν πλησίον στον ναόν του ειδώλου Φογώρ.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 4

Δευτ. 4,1 - Καὶ νῦν, Ἰσραήλ, ἄκουε τῶν δικαιωμάτων καὶ τῶν κριμάτων, ὅσα ἐγὼ διδάσκω ὑμᾶς σήμερον ποιεῖν, ἵνα ζῆτε καὶ πολυπλασιασθῆτε καὶ εἰσελθόντες κληρονομήσητε τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν.

Δευτ. 4,1 - Και τώρα, λαέ του Ισραήλ, άκουσε τον Νομον και τας κρίσστου Θεού, όσα εγώ σας διδάσκω σήμερον να τηρήτε, δια να ζήτε και πολλαπλασιασθήτε και, εισελθόντες εις την γην της Επαγγελίας, να κληρονομήσετε αυτήν, την οποίαν Κυριος ο Θεός των πατέρων σας δίδει προς σας.

Δευτ. 4,2 - οὐ προσθήσετε πρὸς τὸ ῥῆμα ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν, καὶ οὐκ ἀφελεῖτε ἀπ᾿ αὐτοῦ· φυλάσσεσθε τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον.

Δευτ. 4,2 - Εις τας εντολάς, τας οποίας εγώ σας δίδω, δεν θα προσθέσετε τίποτε ούτε και θα αφαιρέσετε τίποτε από αυτάς. Προσέξατε και προσπαθήσατε, ώστε να τηρήτε τας εντολάς Κυρίου του Θεού σας, όσα εγώ σήμερον σας διατάσσω.

Δευτ. 4,3 - οἱ ὀφθαλμοὶ ὑμῶν ἑωράκασι πάντα, ὅσα ἐποίησε Κύριος ὁ Θεὸς ἡμῶν τῷ Βεελφεγώρ, ὅτι πᾶς ἄνθρωπος, ὅστις ἐπορεύθη ὀπίσω Βεελφεγώρ, ἐξέτριψεν αὐτὸν Κύριος ὁ Θεὸς ὑμῶν ἐξ ὑμῶν.

Δευτ. 4,3 - Με τα ίδια σας τα μάτια είδατε όλα όσα έκαμε Κυριος ο Θεός μας στο είδωλον Βεελφεγώρ· ότι δηλαδή κάθε άνθρωπος από σας, ο οποίος εξέκλινε και ηκολούθησε τον ειδωλικόν θεόν Βεελφεγώρ, συνετρίβη εκ μέρους Κυρίου του Θεού σας και εξηφανίσθη απ' ανάμεσά σας.

Δευτ. 4,4 - ὑμεῖς δὲ οἱ προσκείμενοι Κυρίῳ τῷ Θεῷ ὑμῶν ζῆτε πάντες ἐν τῇ σήμερον.

Δευτ. 4,4 - Αλλά σεις, οι οποίοι εμείνατε πιστοί κοντά στον Κυριον, ζήτε όλοι σήμερον.

Δευτ. 4,5 - ἴδετε, δέδειχα ὑμῖν δικαιώματα καὶ κρίσεις, καθὰ ἐνετείλατό μοι Κύριος, ποιῆσαι οὕτως ἐν τῇ γῇ, εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ κληρονομεῖν αὐτήν·

Δευτ. 4,5 - Ιδέτε ! Σας έδειξα τον Νομον του Θεού και τας κρίσστου Θεού, όπως ο Κυριος με διέταξε να εφαρμόζετε αυτά εις την γην, εις την οποίαν εισέρχεσθε, δια να την κληρονομήσετε και εγκατασταθήτε εις αυτήν.

Δευτ. 4,6 - καὶ φυλάξεσθε καὶ ποιήσετε, ὅτι αὕτη ἡ σοφία καὶ ἡ σύνεσις ὑμῶν ἐναντίον πάντων τῶν ἐθνῶν, ὅσοι ἐὰν ἀκούσωσι πάντα τὰ δικαιώματα ταῦτα καὶ ἐροῦσιν· ἰδοὺ λαὸς σοφὸς καὶ ἐπιστήμων τὸ ἔθνος τὸ μέγα τοῦτο.

Δευτ. 4,6 - Θα φυλάξετε και θα εφαρμόσετε όλα αυτά, διότι αυτά είναι η σοφία και η σύνεσις, το καύχημα και η υπεροχή σας ενώπιον όλων των εθνών. Οσοι δε θα ακούσουν όλους αυτούς τους νόμους του Θεού, θα είπουν· Ιδού λαός σοφός και συνετός, το ισχυρόν και ένδοξον αυτό έθνος !

Δευτ. 4,7 - ὅτι ποῖον ἔθνος μέγα, ᾧ ἐστιν αὐτῷ Θεὸς ἐγγίζων αὐτοῖς, ὡς Κύριος ὁ Θεὸς ἡμῶν ἐν πᾶσιν, οἷς ἐὰν αὐτὸν ἐπικαλεσώμεθα;

Δευτ. 4,7 - Διότι ποίον άλλο έθνος είναι τόσον μέγα, εφόσον πλησίον αυτού ευρίσκεται ο ίδιος ο Θεός και επικοινωνεί με αυτό, όπως Κυριος ο Θεός ημών, εις κάθε τι και δια κάθε τι, δια το οποίον θα τον επικαλεσθώμεν;

Δευτ. 4,8 - καὶ ποῖον ἔθνος μέγα, ᾧ ἐστιν αὐτῷ δικαιώματα καὶ κρίματα δίκαια κατὰ πάντα τὸν νόμον τοῦτον, ὃν ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον;

Δευτ. 4,8 - Ποίον άλλο έθνος είναι τόσον μέγα, στο οποίον υπάρχουν οι νόμοι και αι δίκαιαι εντολαί, όπως είναι ο Νομος αυτός, τον οποίον εγώ δίδω προς σας σήμερον;

Δευτ. 4,9 - πρόσεχε σεαυτῷ καὶ φύλαξον τὴν ψυχήν σου σφόδρα, μὴ ἐπιλάθῃ πάντας τοὺς λόγους, οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου· καὶ μὴ ἀποστήτωσαν ἀπὸ τῆς καρδίας σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ συμβιβάσεις τοὺς υἱούς σου καὶ τοὺς υἱοὺς τῶν υἱῶν σου

Δευτ. 4,9 - Ισραηλιτικέ λαέ ! Πρόσεχε στον εαυτόν σου, φύλαξε πολύ την ψυχήν σου, μήπως τυχόν και λησμονήσης όλους αυτούς τους λόγους και τα γεγονότα, που είδον οι οφθαλμοί σου ! Να μη φύγουν ποτέ από την καρδίαν σου όλας τας ημέρας της ζωής σου. Θα κρατής αυτά με πολλήν επιμέλειαν και θα τα διδάξης εις τα παιδιά σου και εις τα παιδιά των παιδιών σου.

Δευτ. 4,10 - ἡμέραν, ἣν ἔστητε ἐνώπιον Κυρίου τοῦ Θεοῦ ἡμῶν ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, ὅτι εἶπε Κύριος πρός με· ἐκκλησίασον πρός με τὸν λαόν, καὶ ἀκουσάτωσαν τὰ ῥήματά μου, ὅπως μάθωσι φοβεῖσθαί με πάσας τὰς ἡμέρας, ἃς αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς, καὶ τοὺς υἱοὺς αὐτῶν διδάξουσι.

Δευτ. 4,10 - Κρατήστε καλά εις την μνήμην σας την ημέραν, κατά την οποίαν όρθιοι εσταθήκατε ενώπιον Κυρίου του Θεού σας εις Χωρήβ, κατά την ημέραν που σας συνεκέντρωσα εκεί διότι τότε ο Κυριος μου είχε πει· Συγκέντρωσε ενώπιόν μου όλον τον λαόν και ας ακούσουν τα λόγια μου, δια να μάθουν να με ευλαβούνται και να με υπακούουν όλας τας ημέρας, που θα ζουν επί της γης και να διδάξουν αυτά εις τα παιδιά των.

Δευτ. 4,11 - καὶ προσήλθετε καὶ ἔστητε ὑπὸ τὸ ὄρος, καὶ τὸ ὄρος ἐκαίετο πυρὶ ἕως τοῦ οὐρανοῦ, σκότος, γνόφος, θύελλα, φωνὴ μεγάλη.

Δευτ. 4,11 - Προσήλθατε τότε και εσταθήκατε όρθιοι κοντά εις τας υπωρείας του όρους Σινά. Το όρος εκαίετο από πυρ, το οποίον έφθανεν έως τον ουρανόν, εκαλύπτετο από σκότος και γνόφον, συνεκλονίζετο από θύελλαν και ηκούετο ισχυρά η φωνή του Θεού.

Δευτ. 4,12 - καὶ ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐκ μέσου τοῦ πυρὸς φωνὴν ῥημάτων, ἣν ὑμεῖς ἠκούσατε, καὶ ὁμοίωμα οὐκ εἴδετε, ἀλλ᾽ ἢ φωνήν·

Δευτ. 4,12 - Ωμίλησε τότε ο Κυριος προς σας μέσα από το πυρ του όρους και είπε αυτά τα λόγια, τα οποία σεις με τα αυτιά σας ηκούσατε. Την μορφήν του Θεού δεν την είδατε, αλλά μόνον την φωνήν αυτού ηκούσατε.

Δευτ. 4,13 - καὶ ἀνήγγειλεν ὑμῖν τὴν διαθήκην αὐτοῦ, ἣν ἐνετείλατο ὑμῖν ποιεῖν, τὰ δέκα ῥήματα, καὶ ἔγραψεν αὐτὰ ἐπὶ δύο πλάκας λιθίνας.

Δευτ. 4,13 - Ανήγγειλεν εις σας την διαθήκην του, την οποίαν σας διέταξε να τηρήτε, τας δέκα δηλαδή εντολάς, τας οποίας ο ίδιος εχάραξεν επάνω εις δύο λιθίνας πλάκας.

Δευτ. 4,14 - καὶ ἐμοὶ ἐνετείλατο Κύριος ἐν τῷ καιρῷ ἐκείνῳ διδάξαι ὑμᾶς δικαιώματα καὶ κρίσεις, ποιεῖν ὑμᾶς αὐτά ἐπὶ τῆς γῆς, εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτήν.

Δευτ. 4,14 - Κατά τον καιρόν εκείνον διέταξεν ο Κυριος και εμέ τον ίδιον να σας διδάξω τον Νομον και τας εντολάς του, δια να εφαρμόζετε αυτά πάντοτε, μάλιστα δε εις την γην της Επαγγελίας, προς την οποίον εβαδίζατε, δια να την καταλάβετε και την κληρονομήσετε.

Δευτ. 4,15 - καὶ φυλάξεσθε σφόδρα τὰς ψυχὰς ὑμῶν, ὅτι οὐκ εἴδετε ὁμοίωμα ἐν τῇ ἡμέρᾳ, ᾗ ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐν Χωρὴβ ἐν τῷ ὄρει

ἐκ μέσου τοῦ πυρός.

Δευτ. 4,15 - Προσέξατε λοιπόν πάρα πολύ στον εαυτόν σας, διότι δεν είδατε καμμίαν εικόνα, κανένα ομοίωμα κατά την ημέραν που ωμίλησε προς σας στο όρος Χωρήβ εκ μέσου του πυρός,

Δευτ. 4,16 - μὴ ἀνομήσητε καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα πᾶσαν εἰκόνα ὁμοίωμα ἀρσενικοῦ ἢ θηλυκοῦ,

Δευτ. 4,16 - προσέξατε μη παρασυρθήτε εις παρανομίαν και κατασκευάσετε δια τον εαυτόν σας εικόνα τινά γλυπτήν, ομοίωμα προς οιονδήποτε ον, αρσενικόν η θηλυκόν,

Δευτ. 4,17 - ὁμοίωμα παντὸς κτήνους τῶν ὄντων ἐπὶ τῆς γῆς, ὁμοίωμα παντὸς ὀρνέου πτερωτοῦ, ὃ πέταται ὑπὸ τὸν οὐρανόν,

Δευτ. 4,17 - ομοίωμα προς οιονδήποτε ζώον από όσα υπάρχουν επάνω εις την γην, ομοίωμα παντός πτηνού που πετάει στον ουρανόν,

Δευτ. 4,18 - ὁμοίωμα παντὸς ἑρπετοῦ, ὃ ἕρπει ἐπὶ τῆς γῆς, ὁμοίωμα παντὸς ἰχθύος, ὅσα ἐστὶν ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς.

Δευτ. 4,18 - εικόνα οιουδήποτε ερπετού, που σύρεται εις την γην η οιουδήποτε ιχθύος, από αυτούς που υπάρχουν εις τα υπό την επιφάνειαν της γης ύδατα, (στους ποταμούς και τας θαλάσσας).

Δευτ. 4,19 - καὶ μὴ ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ἰδὼν τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας καὶ πάντα τὸν κόσμον τοῦ οὐρανοῦ, πλανηθεὶς προσκυνήσῃς αὐτοῖς καὶ λατρεύσῃς αὐτοῖς, ἃ ἀπένειμε Κύριος ὁ Θεός σου αὐτὰ πᾶσι τοῖς ἔθνεσι τοῖς ὑποκάτω τοῦ οὐρανοῦ.

Δευτ. 4,19 - Προσέξατε επίσης μήπως τυχόν παρατηρούντες τον ουρανόν άνω και βλέποντες τον ήλιον και την σελήνην και τους αστέρας και όλον τον διάκοσμον του ουρανού, πλανηθήτε και προσκυνήσετε αυτά και λατρεύσετε αυτά, τα οποία Κυριος ο Θεός σας έδωσεν εις όλα τα έθνη, όσα ζουν κάτω από τον ουρανόν.

Δευτ. 4,20 - ὑμᾶς δὲ ἔλαβεν ὁ Θεὸς καὶ ἐξήγαγεν ὑμᾶς ἐκ τῆς καμίνου τῆς σιδηρᾶς, ἐξ Αἰγύπτου, εἶναι αὐτῷ λαὸν ἔγκληρον ὡς ἐν τῇ ἡμέρᾳ ταύτῃ.

Δευτ. 4,20 - Σας επήρεν ο Θεός και σας έβγαλε από την σιδηράν χοάνην της καμίνου, από την σκληράν δουλείαν της Αιγύπτου, δια να είσθε λαός του και κληρονόμοι της γης της επαγγελίας, όπως ακριβώς βλέπετε να πραγματοποιήται αυτό σήμερον.

Δευτ. 4,21 - καὶ Κύριος ὁ Θεὸς ἐθυμώθη μοι περὶ τῶν λεγομένων ὑφ᾿ ὑμῶν καὶ ὤμοσεν ἵνα μὴ διαβῶ τὸν Ἰορδάνην τοῦτον καὶ ἵνα μὴ εἰσέλθω εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ·

Δευτ. 4,21 - Ενθυμηθήτε ακόμη ότι Κυριος ο Θεός, ωργίσθη εναντίον μου, εξ αιτίας των γογγυσμών και μεμψιμοιριών σας, και ωρκίσθη να μη

διαβώ εγώ τούτον τον Ιορδάνην και να μη εισέλθω εις την γην της Επαγγελίας την οποίον ο Κυριος σας δίδει ως κληρονομίαν σας.

Δευτ. 4,22 - ἐγὼ γὰρ ἀποθνήσκω ἐν τῇ γῇ ταύτῃ καὶ οὐ διαβαίνω τὸν Ἰορδάνην τοῦτον, ὑμεῖς δὲ διαβαίνετε καὶ κληρονομήσετε τὴν γῆν τὴν ἀγαθὴν ταύτην.

Δευτ. 4,22 - Εγώ θα αποθάνω εις την ξένην αυτήν γην, που τώρα ευρισκόμεθα, και δεν θα διαβώ τον Ιορδάνην. Αλλά σεις θα τον διαβήτε, θα γίνετε κληρονόμοι και κύριοι της ευφόρου και πλουσίας αυτής χώρας.

Δευτ. 4,23 - προσέχετε ὑμεῖς, μὴ ἐπιλάθησθε τὴν διαθήκην Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἣν διέθετο πρὸς ὑμᾶς, καὶ ἀνομήσητε, καὶ ποιήσητε ὑμῖν ἑαυτοῖς γλυπτὸν ὁμοίωμα πάντων, ὧν συνέταξέ σοι Κύριος ὁ Θεός σου·

Δευτ. 4,23 - Παλιν σας λέγω, προσέξατε, μήπως τυχόν και λησμονήσετε την διαθήκην Κυρίου του Θεού ημών, την οποίαν συνήψε με σας, και κατασκευάσετε ως θεόν σας γλυπτήν εικόνα από όλα εκείνα, τα οποάα σας έχει απαγορεύσει Κυριος ο Θεός σας.

Δευτ. 4,24 - ὅτι Κύριος ὁ Θεός σου πῦρ καταναλίσκον ἐστί, Θεὸς ζηλωτής.

Δευτ. 4,24 - Διότι Κυριος ο Θεός σου είναι φωτιά, που καταφλέγει και εξαφανίζει, είναι Θεός ζηλότυπος.

Δευτ. 4,25 - Ἐὰν δὲ γεννήσῃς υἱοὺς καὶ υἱοὺς τῶν υἱῶν σου καὶ χρονίσητε ἐπὶ τῆς γῆς καὶ ἀνομήσητε καὶ ποιήσητε γλυπτὸν ὁμοίωμα παντὸς καὶ ποιήσητε τὸ πονηρὸν ἐνώπιον Κυρίου τοῦ Θεοῦ ὑμῶν παροργίσαι αὐτόν,

Δευτ. 4,25 - Εάν δε αποκτήσετε παιδιά και εγγονούς και ζέσετε επί μακρά έτη εις την γην και τυχόν παρανομήσετε, ώστε να κατασκευάσετε γλυπτήν εικόνα οιουδήποτε όντος και διαπράξετε αυτό το πονηρόν ενώπιον Κυρίου του Θεού σας, ώστε να τον παροργίσετε εναντίον σας,

Δευτ. 4,26 - διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε ἀπὸ τῆς γῆς, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν. οὐχὶ πολυχρονιεῖτε ἡμέρας ἐπ᾿ αὐτῆς, ἀλλ᾿ ἢ ἐκτριβῇ ἐκτριβήσεσθε.

Δευτ. 4,26 - εγώ επικαλούμαι σήμερον ως μάρτυρας εναντίον σας τον ουρανόν και την γην, και σας διαβεβαιώνω, ότι ασφαλώς και βεβαίως θα καταστραφήτε και θα εξαφανισθήτε από την ώραν, την οποίαν, διαβαίνοντες τον Ιορδάνην, πηγαίνετε να την κληρονομήσετε. Το τονίζω· δεν θα ζήσετε πολύν χρόνον πάνω εις αυτήν, αλλά ολοκληρωτικώς θα ξεριζωθήτε από εκεί.

Δευτ. 4,27 - καὶ διασπερεῖ Κύριος ὑμᾶς ἐν πᾶσι τοῖς ἔθνεσι καὶ καταλειφθήσεσθε ὀλίγοι ἀριθμῷ ἐν πᾶσι τοῖς ἔθνεσιν, εἰς οὓς εἰσάξει Κύριος ὑμᾶς ἐκεῖ.

Δευτ. 4,27 - Θα σας διασκορπίση ο Κυριος εις όλα τα έθνη και θα απομείνετε ολίγοι μεταξύ των εθνών, ανάμεσα εις τα οποία θα σας διασκορπίση ο Κυριος,

Δευτ. 4,28 - καὶ λατρεύσετε ἐκεῖ θεοῖς ἑτέροις, ἔργοις χειρῶν ἀνθρώπων, ξύλοις καὶ λίθοις, οἳ οὐκ ὄψονται οὐδὲ μὴ ἀκούσωσιν οὔτε μὴ φάγωσιν οὔτε μὴ ὀσφρανθῶσι.

Δευτ. 4,28 - Εκεί θα λατρεύσετε άλλους θεούς, έργα χειρών ανθρώπων, ξύλα και λίθους, θεούς, οι οποίοι δεν θα βλέπουν, δεν θα ακούουν, δεν θα τρώγουν, ούτε θα οσφραίνωνται, διότι θα είναι άψυχα είδωλα.

Δευτ. 4,29 - καὶ ζητήσετε ἐκεῖ Κύριον τὸν Θεὸν ὑμῶν καὶ εὑρήσετε αὐτόν, ὅταν ἐκζητήσητε αὐτὸν ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου ἐν τῇ θλίψει σου·

Δευτ. 4,29 - Εκεί εις την θλίψιν της ξορίας σας θα αναζητήσετε Κυριον τον Θεόν σας και θα τον εύρετε, όταν υπό το βάρος της θλίψεώς σας τον ζητήσετε με όλην την καρδίαν σας και με όλην την ψυχήν σας.

Δευτ. 4,30 - καὶ εὑρήσουσί σε πάντες οἱ λόγοι οὗτοι ἐπ᾽ ἐσχάτῳ τῶν ἡμερῶν, καὶ ἐπιστραφήσῃ πρὸς Κύριον τὸν Θεόν σου καὶ εἰσακούσῃ τῆς φωνῆς αὐτοῦ·

Δευτ. 4,30 - Ολα αυτά, που λέγω εις σας σήμερον, θα σας εύρουν, μέχρις ότου κατά τας τελευταίας ημέρας θα επιστρέψτε εν μετανοία προς Κυριον τον Θεόν σας και θα ακούσετε την φωνήν αυτού.

Δευτ. 4,31 - ὅτι Θεὸς οἰκτίρμων Κύριος ὁ Θεός σου, οὐκ ἐγκαταλείψει σε οὐδὲ μὴ ἐκτρίψῃ σε, οὐκ ἐπιλήσεται τὴν διαθήκην τῶν πατέρων σου, ἣν ὤμοσεν αὐτοῖς Κύριος.

Δευτ. 4,31 - Ο Κυριος θα σας δεχθή, διότι Κυριος Θεός σου είναι εύσπλαγχνος, δεν θα σας εγκαταλείψη, ούτε θα σας ξεριζώση εξ ολοκλήρου, ούτε θα λησμονήση την διαθήκην, την οποίαν με όρκον έκαμε προς τους πατέρας σας ο Κυριος.

Δευτ. 4,32 - ἐπερωτήσατε ἡμέρας προτέρας τὰς γενομένας προτέρας σου ἀπὸ τῆς ἡμέρας, ἧς ἔκτισεν ὁ Θεὸς ἄνθρωπον ἐπὶ τῆς γῆς, καὶ ἐπὶ τὸ ἄκρον τοῦ οὐρανοῦ ἕως τοῦ ἄκρου τοῦ οὐρανοῦ, εἰ γέγονε κατὰ τὸ ῥῆμα τὸ μέγα τοῦτο, εἰ ἤκουσται τοιοῦτο·

Δευτ. 4,32 - Ερωτήσατε τους ανθρώπους των προηγουμένων γενεών, από την ημέραν κατά την οποίαν εδημιούργησεν ο Θεός τον άνθρωπον επί της γης, ερωτήσατε την υφήλιον από το ένα άκρον του ουρανού έως το άλλο, εάν άλλην ποτέ φοράν έγινε κανένα άλλο πράγμα όμοιον με το μεγάλο τούτο γεγονός, η εάν ποτέ ηκούσθη κάτι τέτοιο·

Δευτ. 4,33 - εἰ ἀκήκοεν ἔθνος φωνὴν Θεοῦ ζῶντος λαλοῦντος ἐκ μέσου τοῦ πυρός, ὃν τρόπον ἀκήκοας σὺ καὶ ἔζησας·

Δευτ. 4,33 - εάν δηλαδή ποτέ κανένα έθνος ήκουσε την φωνήν του Θεού του ζώντος να ομιλή εκ μέσου του πυρός, όπως ηκούσατε σεις, και οι οποίοι εν τούτοις εζήσατε και δεν απεθάνατε, υπό το βάρος του μεγαλειώδους γεγονότος.

Δευτ. 4,34 - εἰ ἐπείρασεν ὁ Θεὸς εἰσελθὼν λαβεῖν ἑαυτῷ ἔθνος ἐκ μέσου ἔθνους ἐν πειρασμῷ καὶ ἐν σημείοις καὶ ἐν τέρασι καί ἐν πολέμῳ καὶ ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ καὶ ἐν ὁράμασι μεγάλοις κατὰ πάντα, ὅσα ἐποίησε Κύριος ὁ Θεὸς ἡμῶν ἐν Αἰγύπτῳ ἐνώπιόν σου βλέποντος·

Δευτ. 4,34 - Η εάν ο Θεός επεχείρησε να έλθη και να πάρη δια τον εαυτόν του έθνος από άλλο έθνος, χρησιμοποιών την πανταδυναμίαν του, με δοκιμασίας και με θαύματα και με καταπληκτικά γεγονότα και με πόλεμον, δια της παντοδυνάμου δεξιάς του και της ενδόξου δυνάμεώς του, με οράματα και γεγονότα μεγάλα και τρομερά, όσα έκαμε Κυριος ο Θεός μας εις την Αίγυπτον, εμπρός εις τα μάτια σας.

Δευτ. 4,35 - ὥστε εἰδῆσαί σε ὅτι Κύριος ὁ Θεός σου, οὗτος Θεός ἐστι, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ.

Δευτ. 4,35 - Ολα αυτά έγιναν, δια να γνωρίσης συ καλά, ότι Κυριος ο Θεός σου, αυτός είναι ο αληθινός Θεός και δεν υπάρχει άλλος πλην αυτού.

Δευτ. 4,36 - ἐκ τοῦ οὐρανοῦ ἀκουστὴ ἐγένετο ἡ φωνὴ αὐτοῦ παιδεῦσαί σε, καὶ ἐπὶ τῆς γῆς ἔδειξέ σοι τὸ πῦρ αὐτοῦ τὸ μέγα, καὶ τὰ ῥήματα αὐτοῦ ἤκουσας ἐκ μέσου τοῦ πυρός.

Δευτ. 4,36 - Από τον ουρανόν ηκούσθη η φωνή αυτού προς σέ, δια να σε παιδαγωγήση και μορφώση, και επί της γης έδειξεν εις σε το ισχυρόν και θαυμαστόν αυτού πυρ, και ήκουσες τα λόγια του να βγαίνουν μέσα από το πυρ.

Δευτ. 4,37 - διὰ τὸ ἀγαπῆσαι αὐτὸν τοὺς πατέρας σου καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ᾿ αὐτοὺς ὑμᾶς καὶ ἐξήγαγέ σε αὐτὸς ἐν τῇ ἰσχύϊ αὐτοῦ τῇ μεγάλῃ ἐξ Αἰγύπτου

Δευτ. 4,37 - Και αυτά, διότι ο Θεός ηγάπησε τους προπάτοράς σου, εξέλεξε σας τους απογόνους των, υστέρα από αυτούς, και αυτός σε έφερε με την παντοδύναμον δεξιάν του ελεύθερον από την Αίγυπτον,

Δευτ. 4,38 - ἐξολοθρεῦσαι ἔθνη μεγάλα καὶ ἰσχυρότερά σου πρὸ προσώπου σου, εἰσαγαγεῖν σε δοῦναί σοι τὴν γῆν αὐτῶν κληρονομεῖν, καθὼς ἔχεις σήμερον.

Δευτ. 4,38 - δια να εξολοθρεύση από εμπρός σου έθνη μεγάλα και ισχυρότερά σου, να σε εισαγάγη και να δώση την χώραν αυτών εις σε ως κληρονομίαν σου, όπως βλέπετε να πραγματοποιήται αυτό σήμερον.

Δευτ. 4,39 - καὶ γνώσῃ σήμερον καὶ ἐπιστραφήσῃ τῇ διανοίᾳ ὅτι Κύριος ὁ Θεός σου οὗτος Θεὸς ἐν τῷ οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ

ἔστιν ἔτι πλὴν αὐτοῦ·

Δευτ. 4,39 - Θα μάθης σήμερον και θα εντυπώσης στον νουν και την καρδίαν σου, ότι Κυριος ο Θεός σου αυτός είναι ο αληθινός Θεός, άνω στον ουρανόν και κάτω εις την γην, και δεν υπάρχει άλλος πλην αυτού.

Δευτ. 4,40 - καὶ φυλάξασθε τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα εὖ σοι γένηται καὶ τοῖς υἱοῖς σου μετὰ σέ, ὅπως μακροήμεροι γένησθε ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι πάσας τὰς ἡμέρας.

Δευτ. 4,40 - Προσέξατε, ώστε να φυλάξετε τας εντολάς του και τον Νομον του, όλα όσα εγώ σας διατάσσω σήμερον δια να ζήσετε ευτυχείς, συ και τα παιδιά σου έπειτα από σέ, να γίνετε μακροχρόνιοι εις την γην της Επαγγελίας, την οποίαν σας δίδει ο Κυριος ως παντοτεινήν ιδιοκτησίαν σας".

Δευτ. 4,41 - Τότε ἀφώρισε Μωυσῆς τρεῖς πόλεις πέραν τοῦ Ἰορδάνου ἀπὸ ἀνατολῶν ἡλίου

Δευτ. 4,41 - Τοτε ο Μωϋσής εξεχώρισε και ώρισε τρεις πόλεις προς ανατολάς του Ιορδάνου,

Δευτ. 4,42 - φυγεῖν ἐκεῖ τὸν φονευτήν, ὃς ἂν φονεύσῃ τὸν πλησίον οὐκ εἰδώς, καὶ οὗτος οὐ μισῶν αὐτὸν πρὸ τῆς χθὲς καὶ τῆς τρίτης, καὶ καταφεύξεται εἰς μίαν τῶν πόλεων τούτων καὶ ζήσεται·

Δευτ. 4,42 - δια να καταφεύγη εκεί ο φονεύς, ο οποίος εφόνευσε τον πλησίον του εξ αγνοίας και χωρίς να το θέλη, χωρίς να έχη κανένα μίσος εναντίον αυτού κατά το παρελθόν. Αυτός ο φονεύς θα καταφύγη εις μίαν από τας τρεις αυτάς πόλεις και θα σώση εκεί την ζωήν του.

Δευτ. 4,43 - τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ ἐν τῇ γῇ τῇ πεδινῇ τῷ Ῥουβὴν καὶ τὴν Ῥαμὼθ ἐν Γαλαὰδ τῷ Γαδδὶ καὶ τὴν Γαυλὼν ἐν Βασὰν τῷ Μανασσῇ.

Δευτ. 4,43 - Αι πόλεις αυταί είναι· Η Βοσόρ εις την ακατοίκητον πεδινήν περιοχήν, η οποία ανήκει εις την φυλήν Ρουβήν, η Ραμώθ εις Γαλαάδ που ανήκει εις την φυλήν Γαδ, και η Γαυλών της χώρας Βοσάν, που ανήκει εις την φυλήν Μανασσή.

Δευτ. 4,44 - Οὗτος ὁ νόμος, ὃν παρέθετο Μωυσῆς ἐνώπιον υἱῶν Ἰσραήλ·

Δευτ. 4,44 - Αυτός είναι ο Νομος, τον οποίον παρέδωκεν ο Μωϋσής στους Ισραηλίτας.

Δευτ. 4,45 - ταῦτα τὰ μαρτύρια καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐλάλησε Μωυσῆς τοῖς υἱοῖς Ἰσραήλ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου

Δευτ. 4,45 - Αυταί είναι αι εντολαί, οι νόμοι και οι θεσμοί, τους οποίους είπεν ο Μωϋσής προς τους Ισραηλίτας, ότε εξήλθον από την Αίγυπτον,

Δευτ. 4,46 - ἐν τῷ πέραν τοῦ Ἰορδάνου, ἐν φάραγγι, ἐγγὺς οἴκου Φογώρ, ἐν γῇ Σηὼν βασιλέως τῶν Ἀμοῤῥαίων, ὃς κατῴκει ἐν Ἐσεβών, ὃν ἐπάταξε Μωυσῆς καὶ οἱ υἱοὶ Ἰσραήλ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου

Δευτ. 4,46 - εις την ανατολικώς του Ιορδάνου περιοχήν, εις κάποια κοιλάδα, κοντά στον ναόν του ειδωλολατρικού θεού Φογώρ, εις την χώραν του Σηών, βασιλέως των Αμορραίων, ο οποίος κατοικούσε εις την Εσεβών και τον οποίον εκτύπησαν μέχρις εξοντώσεως ο Μωϋσής και οι Ισραηλίται, όταν εξήλθον από την Αίγυπτον.

Δευτ. 4,47 - καὶ ἐκληρονόμησαν τὴν γῆν αὐτοῦ καὶ τὴν γῆν Ὢγ βασιλέως τῆς Βασάν, δύο βασιλέων τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου κατὰ ἀνατολὰς ἡλίου,

Δευτ. 4,47 - Εγιναν τότε κληρονόμοι και κόποχοι της χώρας του, όπως επίσης και της χώρας του Ωγ, βασιλέως της Βασάν· οι δύο αυτοί Αμορραίοι βασιλείς ήσαν πέραν από τον Ιορδάνην προς ανατολάς,

Δευτ. 4,48 - ἀπὸ Ἀροήρ, ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάῤῥου Ἀρνῶν, καὶ ἐπὶ τοῦ ὄρους τοῦ Σηὼν ὅ ἐστιν Ἀερμών,

Δευτ. 4,48 - και κατείχον τας χώρας από Αροήρ, η οποία ευρίσκεται εις την όχθην του χειμάρρου Αρνών, μέχρι του όρους Σηών, του επονομαζομένου Ερμών,

Δευτ. 4,49 - πᾶσαν τὴν Ἄραβα πέραν τοῦ Ἰορδάνου κατὰ ἀνατολὰς ἡλίου ὑπὸ Ἀσηδὼθ τὴν λαξευτήν.

Δευτ. 4,49 - όλην την κοιλάδα ανατολικώς πέραν του Ιορδάνου, έως τας υπωρείας Ασηδώθ του όρους Ναυάβ.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 5

Δευτ. 5,1 - Καὶ ἐκάλεσε Μωυσῆς πάντα Ἰσραήλ, καὶ εἶπε πρὸς αὐτούς· ἄκουε, Ἰσραήλ, τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐγὼ λαλῶ ἐν τοῖς ὠσὶν ὑμῶν ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ μαθήσεσθε αὐτὰ καὶ φυλάξεσθε ποιεῖν αὐτά.

Δευτ. 5,1 - Εκάλεσεν ο Μωϋσής όλους τους Ισραηλίτας και είπε προς αυτούς· “Ακουε λαέ του Ισραήλ, τον Νομον και τας εντολάς, όσα εγώ κατά την ημέραν αυτήν λέγω εις τα αυτιά σας, δια να μάθετε αυτά και να προσέξετε, ώστε να τα τηρήτε.

Δευτ. 5,2 - Κύριος ὁ Θεὸς ὑμῶν διέθετο πρὸς ὑμᾶς διαθήκην ἐν Χωρήβ·

Δευτ. 5,2 - Κυριος ο Θεός σας έκαμεν επίσημον συιμφωνίαν μαζή σας στο όρος Χωρήβ.

Δευτ. 5,3 - οὐχὶ τοῖς πατράσιν ὑμῶν διέθετο Κύριος τὴν διαθήκην ταύτην, ἀλλ᾿ ἢ πρὸς ὑμᾶς, ὑμεῖς ὧδε πάντες ζῶντες σήμερον·

Δευτ. 5,3 - Αυτήν την συμφωνίαν δεν την έκαμε ο Κυριος μόνον με τους προπάτοράς σας, αλλά και με σας όλους, οι οποίοι ζήτε εδώ σήμερον.

Δευτ. 5,4 - πρόσωπον κατὰ πρόσωπον ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός,

Δευτ. 5,4 - Πρόσωπον προς πρόσωπον ωμίλησεν ο Κυριος προς σας στο όρος Χωρήβ εκ μέσου του πυρός.

Δευτ. 5,5 - κἀγὼ εἱστήκειν ἀνὰ μέσον Κυρίου καὶ ὑμῶν ἐν τῷ καιρῷ ἐκείνῳ ἀναγγεῖλαι ὑμῖν τὰ ῥήματα Κυρίου, ὅτι ἐφοβήθητε ἀπὸ προσώπου τοῦ πυρὸς καὶ οὐκ ἀνέβητε εἰς τὸ ὄρος, λέγων·

Δευτ. 5,5 - Εγώ δε όρθιος έστεκα τότε, ως μεσίτης ανάμεσα στον Κυριον και εις σας, δια να σας αναγγείλω τα ιερά λόγια του Κυρίου, επειδή σεις είχατε φοβηθή το πυρ και δεν ανεβήκατε στο όρος. Ο Κυριος είπε τότε·

Δευτ. 5,6 - ἐγώ εἰμι Κύριος ὁ Θεός σου ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

Δευτ. 5,6 - Εγώ είμαι Κυριος ο Θεός σου, ο οποίος σε έβγαλα ελεύθερον από την Αίγυπτον, από τον οίκον της δουλείας.

Δευτ. 5,7 - οὐκ ἔσονταί σοι θεοὶ ἕτεροι πρὸ προσώπου μου.

Δευτ. 5,7 - Δεν θα υπάρχουν εις σε άλλοι θεοί εκτός από εμέ.

Δευτ. 5,8 - οὐ ποιήσεις σεαυτῷ εἴδωλον οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω καὶ ὅσα ἐν τῇ γῇ κάτω καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς.

Δευτ. 5,8 - Δεν θα κατασκευάσης δια τον εαυτόν σου άγαλμα ούτε εικόνα οιουδήποτε όντος, από όσα υπάρχουν άνω στον ουρανόν, από όσα υπάρχουν κάτω εις την γην και από όσα ευρίσκονται εις τα ύδατα ποταμών και θαλάσσης και κάτω από την επιφάνειαν της γης.

Δευτ. 5,9 - οὐ προσκυνήσεις αὐτοῖς οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς, ὅτι ἐγώ εἰμι Κύριος ὁ Θεός σου, Θεὸς ζηλωτής, ἀποδιδοὺς ἁμαρτίας πατέρων ἐπὶ τέκνα ἐπὶ τρίτην καὶ τετάρτην γενεὰν τοῖς μισοῦσί με.

Δευτ. 5,9 - Δεν θα προσκυνήσης αυτά ούτε θα τα λατρεύσης, διότι εγώ είμαι Κυριος ο Θεός σου, Θεός ζηλότυπος, τιμωρών τέκνα δια τας αμαρτίας των γονέων μέχρι τρίτης και τετάρτης γενεάς, εις εκείνους οι οποίοι με μισούν.

Δευτ. 5,10 - καὶ ποιῶν ἔλεος εἰς χιλιάδας τοῖς ἀγαπῶσί με καὶ τοῖς φυλάσσουσι τὰ προστάγματά μου.

Δευτ. 5,10 - Είμαι όμως και Θεός ελεήμων, ο οποίος δεικνύω και δίδω έλεος εις χιλιάδας ανθρώπων, οι οποίοι με αγαπούν και φυλάσουν τας εντολάς μου.

Δευτ. 5,11 - οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ Κύριος ὁ Θεός σου τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

Δευτ. 5,11 - Δέν θα προφέρης επιπόλαια και μάταια το όνομα Κυρίου του Θεού σου, διότι ο Κυριος δεν θα απαλλάξη από την ενοχήν, αλλά τουναντίον θα τιμωρήση οποίον παίρνει στο στόμα του το όνομα του Θεού επιπολαίως και ανωφελώς.

Δευτ. 5,12 - φύλαξαι τὴν ἡμέραν τῶν σαββάτων ἁγιάζειν αὐτήν, ὃν τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεός σου.
Δευτ. 5,12 - Πρόσεξε, ώστε την ημέραν του Σαββάτου να την αφιερώνης ως αγίαν προς τον Θεόν, όπως σε διέταξε Κυριος ο Θεός σου.
Δευτ. 5,13 - ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα σου·
Δευτ. 5,13 - Εξ ημέρας θα εργάζεσαι και κατ' αυτάς θα κάμνης όλα τα έργα σου.
Δευτ. 5,14 - τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ σάββατα Κυρίῳ τῷ Θεῷ σου, οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου καὶ πᾶν κτῆνός σου καὶ προσήλυτος ὁ παροικῶν ἐν σοί, ἵνα ἀναπαύσηται ὁ παῖς σου καὶ ἡ παιδίσκη σου καὶ τὸ ὑποζύγιόν σου, ὥσπερ καὶ σύ·
Δευτ. 5,14 - Κατά δε την εβδόμην ημέραν θα έχης σάββατον, ανάπαυσιν και αγιασμόν, ημέραν αφιερωμένην εις Κυριον τον Θεόν σου. Κανένα έργον δεν θα κάνης κατά την ημέραν αυτήν, συ και ο υιός σου και η θυγατέρα σου και ο δούλος σου και η δούλη σου και το βόδι σου και το φορτηγόν ζώον σου και οιονδήποτε άλλο ζώον, και ο ξένος που ζη κοντά σου. Τούτο δέ, δια να αναπαυθούν ο δούλος σου και η δούλη σου και το υποζύγιόν σου, όπως και συ.
Δευτ. 5,15 - καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ καὶ ἐξήγαγέ σε Κύριος ὁ Θεός σου ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ, διὰ τοῦτο συνέταξέ σοι Κύριος ὁ Θεός σου, ὥστε φυλάσσεσθαι τὴν ἡμέραν τῶν σαββάτων καὶ ἁγιάζειν αὐτήν.
Δευτ. 5,15 - Πρέπει να ενθυμήσαι ότι και συ ήσουν δούλος εις την Αίγυπτον, και Κυριος ο Θεός σου σε έβγαλεν από εκεί ελεύθερον, με την παντοδύναμον δεξιάν του και με την μεγαλειώδη δύναμίν του. Δια τούτο και σε διέταξε Κυριος ο Θεός σου να τηρής την αργίαν της ημέρας του Σαββάτου και να αφιερώνης την ημέραν αυτήν στον Κυριον.
Δευτ. 5,16 - τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ὃν τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεός σου, ἵνα εὖ σοι γένηται καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.
Δευτ. 5,16 - Τιμα τον πατέρα σου και την μητέρα σου, όπως Κυριος ο Θεός σου σε διέταξε, δια να σου έλθουν όλα καλά εις την ζωήν σου και να γίνης μακροχρόνιος εις την γην, την οποίαν Κυριος ο Θεός σου δίδει.
Δευτ. 5,17 - οὐ φονεύσεις.
Δευτ. 5,17 - Δεν θα φονεύσης.
Δευτ. 5,18 - οὐ μοιχεύσεις.
Δευτ. 5,18 - Δεν θα μοιχεύσης.
Δευτ. 5,19 - οὐ κλέψεις.
Δευτ. 5,19 - Δεν θα κλέψης.

Δευτ. 5,20 - οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

Δευτ. 5,20 - Δεν θα γίνης ψευδομάρτυς και δεν θα καταθέσης ποτέ ψευδομαρτυρίαν κατά του πλησίον σου.

Δευτ. 5,21 - οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου οὔτε τὸν ἀγρὸν αὐτοῦ οὔτε τὸν παῖδα αὐτοῦ οὔτε τὴν παιδίσκην αὐτοῦ οὔτε τοῦ βοὸς αὐτοῦ οὔτε τοῦ ὑποζυγίου αὐτοῦ οὔτε παντὸς κτήνους αὐτοῦ οὔτε πάντα ὅσα τῷ πλησίον σού ἐστι.

Δευτ. 5,21 - Δεν θα επιθυμήσης την γυναίκα του πλησίον σου· δεν θα επιθυμήσης την οικίαν του πλησίον σου ούτε τον αγρόν του, ούτε τον δούλον του, ούτε την δούλην του, ούτε το βόδι του, ούτε το υποζύγιόν του, ούτε κανένα άλλο από τα κτήνη του και γενικώς τίποτε από όλα, όσα ανήκουν στον πλησίον σου.

Δευτ. 5,22 - Ταῦτα τὰ ῥήματα ἐλάλησε Κύριος πρὸς πᾶσαν συναγωγὴν ὑμῶν ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός, σκότος, γνόφος, θύελλα, φωνὴ μεγάλη, καὶ οὐ προσέθηκε· καὶ ἔγραψεν αὐτὰ ἐπὶ δύο πλάκας λιθίνας καὶ ἔδωκέ μοι.

Δευτ. 5,22 - Αυτά είναι τα λόγια, το οποία είπε προς όλους σας τους Ισραηλίτας ο Κυριος στο όρος Χωρήβ εκ μέσου του πυρός, όταν σκότος και γνόφος εκάλυπτε το όρος, η θύελλα το συνεκλόνιζε και ηκούετο ισχυρά η φωνή. Τιποτε άλλο δεν προσέθεσεν. Εχάραζε δε αυτά εις δύο λιθίνας πλάκας, τας οποίας και έδωκεν εις εμέ.

Δευτ. 5,23 - καὶ ἐγένετο ὡς ἠκούσατε τὴν φωνὴν ἐκ μέσου τοῦ πυρὸς καὶ τὸ ὄρος ἐκαίετο πυρί, καὶ προσήλθετε πρός με πάντες οἱ ἡγούμενοι τῶν φυλῶν ὑμῶν καὶ ἡ γερουσία ὑμῶν,

Δευτ. 5,23 - Συνέβη δε και τούτο τότε· όταν σεις ηκούσατε την φωνήν του Θεού εκ μέσου του πυρός και είδατε ότι το όρος εκαίετο υπό του πυρός, προσήλθατε όλοι προς εμέ, οι αρχηγοί των φυλών και οι γεροντότεροι από σας,

Δευτ. 5,24 - καὶ ἐλέγετε· ἰδοὺ ἔδειξεν ἡμῖν Κύριος ὁ Θεὸς ἡμῶν τὴν δόξαν αὐτοῦ, καὶ τὴν φωνὴν αὐτοῦ ἠκούσαμεν ἐκ μέσου τοῦ πυρός· ἐν τῇ ἡμέρᾳ ταύτῃ εἴδομεν ὅτι λαλήσει ὁ Θεὸς πρὸς ἄνθρωπον, καὶ ζήσεται.

Δευτ. 5,24 - και ελέγατε· Ιδού ! Κυριος ο Θεός ημών έδειξεν εις ημάς κατά την ημέραν αυτήν την δόξαν του· και την φωνήν του εκ μέσου του πυρός την ηκούσαμεν· κατά την ημέραν αυτήν είδομεν ότι ομιλεί ο Θεός με τον άνθρωπον και ο άνθρωπος ζη, δεν αποθνήσκει.

Δευτ. 5,25 - καὶ νῦν μὴ ἀποθάνωμεν, ὅτι ἐξαναλώσει ἡμᾶς τὸ πῦρ τὸ μέγα τοῦτο, ἐὰν προσθώμεθα ἡμεῖς ἀκοῦσαι τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ ἡμῶν ἔτι, καὶ ἀποθανούμεθα·

Δευτ. 5,25 - Και τώρα, ας μη αποθάνωμεν. Διότι εάν συνεχίσωμεν να ακούωμεν την φωνήν Κυρίου του Θεού μας θα απαθάνωμεν. Το φοβερόν αυτό πυρ θα μας εξοντώση,

Δευτ. 5,26 - τίς γὰρ σάρξ, ἥτις ἤκουσε φωνὴν Θεοῦ ζῶντος λαλοῦντος ἐκ μέσου τοῦ πυρός, ὡς ἡμεῖς, καὶ ζήσεται;

Δευτ. 5,26 - διότι ποίος ποτέ άνθρωπος ακούσας την φωνήν του Θεού του ζώντος να λαλή εκ μέσου του πυρός, όπως ημείς, έζησε;

Δευτ. 5,27 - πρόσελθε σὺ καὶ ἄκουσον πάντα, ὅσα ἂν εἴπῃ Κύριος ὁ Θεὸς ἡμῶν, καὶ σὺ λαλήσεις πρὸς ἡμᾶς πάντα, ὅσα ἂν λαλήσῃ Κύριος ὁ Θεὸς ἡμῶν πρὸς σέ, καὶ ἀκουσόμεθα καὶ ποιήσομεν.

Δευτ. 5,27 - Συ μόνος πλησίασε τον Κυριον και άκουσε όλα όσα θα είπη εις σε Κυριος ο Θεός ημών, συ δε θα μας είπης όλα όσα ο Κυριος θα σου φανερώση, ημείς δε θα τα ακούσωμεν και θα τα εφαρμόσωμεν.

Δευτ. 5,28 - καὶ ἤκουσε Κύριος τὴν φωνὴν τῶν λόγων ὑμῶν λαλούντων πρός με, καὶ εἶπε Κύριος πρός με· ἤκουσα τὴν φωνὴν τῶν λόγων τοῦ λαοῦ τούτου, ὅσα ἐλάλησαν πρός σε· ὀρθῶς πάντα, ὅσα ἐλάλησαν.

Δευτ. 5,28 - Ο Κυριος ήκουσε τους λόγους αυτούς, τους οποίους είπατε προς εμέ, και μου είπε· Ηκουσα τα λόγια του λαού αυτού, που είπαν εις σέ. Ολα όσα σου είπαν είναι ορθά.

Δευτ. 5,29 - τίς δώσει εἶναι οὕτω τὴν καρδίαν αὐτῶν ἐν αὐτοῖς, ὥστε φοβεῖσθαί με καὶ φυλάσσεσθαι τὰς ἐντολάς μου πάσας τὰς ἡμέρας, ἵνα εὖ ᾗ αὐτοῖς καὶ τοῖς υἱοῖς αὐτῶν δι᾽ αἰῶνος;

Δευτ. 5,29 - Ποιός θα δώση εις αυτούς μίαν τέτοιαν καρδίαν, ώστε να με ευλαβούνται, να με υπακούουν και να τηρούν τας εντολάς μου, όλας τας ημέρας της ζωής των, δια να είναι πάντοτε ευτυχείς αυτοί και τα παιδιά των;

Δευτ. 5,30 - βάδισον, εἰπὸν αὐτοῖς· ἀποστράφητε ὑμεῖς εἰς τοὺς οἴκους ὑμῶν·

Δευτ. 5,30 - Πηγαινε και ειπέ προς αυτούς· Γυρίστε σεις εις τας σκηνάς σας.

Δευτ. 5,31 - σὺ δὲ αὐτοῦ στῆθι μετ᾽ ἐμοῦ, καὶ λαλήσω πρὸς σὲ τὰς ἐντολὰς καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα διδάξεις αὐτούς, καί ποιείτωσαν οὕτως ἐν τῇ γῇ, ἣν ἐγὼ δίδωμι αὐτοῖς ἐν κλήρῳ.

Δευτ. 5,31 - Συ όμως έλα και στάσου κοντά εις εμέ, και εγώ θα σου είπω όλας τας εντολάς μου και τον Νομον μου και τας κρίσεις μου, όλα όσα θα διδάξης εις αυτούς. Αυτοί δε ας τα εφαρμόσουν και ας ζήσουν σύμφωνα με αυτά εις την γην της επαγγελίας, την οποίαν, ως κληρονομίαν των εγώ τους δίδω.

Δευτ. 5,32 - καὶ φυλάξεσθε ποιεῖν ὃν τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεός σου· οὐκ ἐκκλινεῖτε εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερά,

Δευτ. 5,32 - Θα φροντίσετε, ώστε να τηρήτε τας εντολάς αυτάς, όπως Κυριος ο Θεός σας διέταξε. Δεν θα παρεκλίνετε ούτε δεξιά ούτε αριστερά.

Δευτ. 5,33 - κατὰ πᾶσαν τὴν ὁδόν, ἣν ἐνετείλατό σοι Κύριος ὁ Θεός σου πορεύεσθαι ἐν αὐτῇ, ὅπως καταπαύσῃ σε καὶ εὖ σοι ᾖ καὶ μακροημερεύσητε ἐπὶ τῆς γῆς, ἣν κληρονομήσετε.

Δευτ. 5,33 - Την οδόν, την οποίαν ο Κυριος σου έδειξε και σε διέταξε να βαδίζης, έτσι θα πορευθής αυτήν, δια να σε επαναπαύση και σε καταστήση ευτυχή και σου χαρίση μακρότητα ημερών εις την γην της Επαγγελίας, την οποίαν θα καταλάβετε και θα κατέχετε ως ιδικήν σας.

ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 6

Δευτ. 6,1 - Καὶ αὗται αἱ ἐντολαὶ καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐνετείλατο Κύριος ὁ Θεὸς ἡμῶν διδάξαι ὑμᾶς ποιεῖν οὕτως ἐν τῇ γῇ, εἰς ἣν ὑμεῖς εἰσπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτήν,

Δευτ. 6,1 - Αυταί είναι αι εντολαί και οι νόμοι, που Κυριος ο Θεός ημών με διέταξε να σας διδάξω, ώστε έτσι να τας εφαρμόζετε και να ζήτε εις την χώραν, εις την οποίαν σεις τώρα εισέρχεσθε, να την κληρονομήσετε ως ιδικήν σας·

Δευτ. 6,2 - ἵνα φοβῆσθε Κύριον τὸν Θεὸν ὑμῶν, φυλάσσεσθαι πάντα τὰ δικαιώματα αὐτοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, σὺ καὶ οἱ υἱοί σου καὶ οἱ υἱοὶ τῶν υἱῶν σου πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, ἵνα μακροημερεύσητε.

Δευτ. 6,2 - δια να φοβήσθε Κυριον τον Θεόν σας, ώστε να φυλάσσετε όλους τους νόμους και τας εντολάς του, όσας εγώ διατάσσω προς σας σήμερον, να τηρήτε αυτάς σεις και τα παιδιά σας και τα παιδιά των παιδιών σας όλας τας ημέρας της ζωής σας, δια να έχετε μακρά και ευτυχισμένα χρόνια.

Δευτ. 6,3 - καὶ ἄκουσον, Ἰσραήλ, καὶ φύλαξον ποιεῖν, ὅπως εὖ σοι ᾖ καὶ ἵνα πληθυνθῆτε σφόδρα, καθάπερ ἐλάλησε Κύριος ὁ Θεὸς τῶν πατέρων σου δοῦναί σοι γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ ταῦτα τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐνετείλατο Κύριος τοῖς υἱοῖς Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰγύπτου.

Δευτ. 6,3 - Ακουσε, λαέ του Ισραήλ, και πρόσεξε να τηρής όλα αυτά, δια να ζης ευτυχισμένος, δια να αυξηθής και πληθυνθής πολύ, όπως είπε και υπεσχέθη Κυριος ο Θεός των πατέρων σου, να δωσ εις σε την γην της Επαγγελίας, την ρέουσαν γάλα και μέλι. Αυτοί είναι οι νόμοι και αι εντολαί, τας οποίας διέταξεν ο Κυριος στους Ισραηλίτας, όταν εξήλθον ελεύθεροι από την Αίγυπτον και ήσαν εις την έρημον Σινά·

Δευτ. 6,4 - Ἄκουε, Ἰσραήλ· Κύριος ὁ Θεὸς ἡμῶν Κύριος εἷς ἐστι·

Δευτ. 6,4 - Ακουε, λαέ του Ισραήλ, Κυριος ο Θεός ημών ένας και μοναδικός Κυριος είναι.

Δευτ. 6,5 - καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου καὶ ἐξ ὅλης τῆς δυνάμεώς σου.

Δευτ. 6,5 - Να αγαπήσης Κυριον τον Θεόν σου με όλην σου την καρδίαν και με όλην την ψυχήν σου και με όλην την δύναμίν σου.

Δευτ. 6,6 - καὶ ἔσται τὰ ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν τῇ καρδίᾳ σου καὶ ἐν ψυχῇ σου·

Δευτ. 6,6 - Τα λόγια, τα οποία εγώ σήμερον σε διατάσσω, θα είναι εντυπωμένα και μόνιμα εις την καρδίαν σου και την διάνοιάν σου.

Δευτ. 6,7 - καὶ προβιβάσεις αὐτὰ τοὺς υἱούς σου, καὶ λαλήσεις ἐν αὐτοῖς καθήμενος ἐν οἴκῳ καὶ πορευόμενος ἐν ὁδῷ καὶ κοιταζόμενος καὶ διανιστάμενος·

Δευτ. 6,7 - Θα τα μεταβιβάσης και θα τα διδάξης εις τα παιδιά σου. Θα ομιλής περί αυτών και όταν κάθεσαι στον οίκον σου, πριν κοιμηθής, και όταν πορεύεσαι στον δρόμον σου και όταν εξυπνάς από τον ύπνον.

Δευτ. 6,8 - καὶ ἀφάψεις αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρός σου, καὶ ἔσται ἀσάλευτον πρὸ ὀφθαλμῶν σου·

Δευτ. 6,8 - Θα τα κολλήσης και θα τα δέσης επάνω στο χέρι σου, δια να ευρίσκωνται πάντοτε σταθερώς κάτω από τα μάτια σου.

Δευτ. 6,9 - καὶ γράψετε αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν καὶ τῶν πυλῶν ὑμῶν.

Δευτ. 6,9 - Θα γράψετε αυτά στους παραστάτας των οικιών σας και εις τας θύρας των αυλών σας, δια να τα έχετε παντού και πάντοτε εμπρός εις τα μάτια σας.

Δευτ. 6,10 - Καὶ ἔσται ὅταν εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν, ἣν ὤμοσε τοῖς πατράσι σου, τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακὼβ δοῦναί σοι, πόλεις μεγάλας καὶ καλάς, ἃς οὐκ ᾠκοδόμησας,

Δευτ. 6,10 - Οταν δε Κυριος ο Θεός σου, σε εισαγάγη εις την γην, την οποίαν ενόρκως υπεσχέθη στους προπάτοράς σου, τον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ, να δώση εις σε την χώραν η οποία έχει πόλεις μεγάλας και ωραίας, τας οποίας δεν έκτισες συ,

Δευτ. 6,11 - οἰκίας πλήρεις πάντων ἀγαθῶν ἃς οὐκ ἐνέπλησας, λάκκους λελατομημένους, οὓς οὐκ ἐξελατόμησας, ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐ κατεφύτευσας, καὶ φαγὼν καὶ ἐμπλησθεὶς

Δευτ. 6,11 - οικίας πλήρεις από όλα τα αγαθά, τας οποίας δεν εγέμισες συ, φρέατα και δεξαμενάς λαξευμένας και κτισμένας, τας οποίας δεν ελάξευσες και δεν έκτισες συ, αμπέλια και ελαιώνας που δεν εφύτευσες συ. Αυτά θα είναι ιδικά σου. Θα φάγης και θα χορτάσης.

Δευτ. 6,12 - πρόσεχε σεαυτῷ, μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

Δευτ. 6,12 - Πρόσεχε όμως στον εαυτόν σου, μήπως τυχόν και λησμονήσης Κυριον τον Θεόν σου, ο οποίος σε έβγαλε ελεύθερον από την Αίγυπτον, από τον οίκον εκείνο της δουλείας.

Δευτ. 6,13 - Κύριον τὸν Θεόν σου φοβηθήσῃ καὶ αὐτῷ μόνῳ λατρεύσεις καὶ πρὸς αὐτὸν κολληθήσῃ καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ.

Δευτ. 6,13 - Κυριον τον Θεόν σου θα ευλαβήσαι και θα υπακούης, και αυτόν μόνον θα λατρεύης, και εις αυτόν θα προσκολληθής, και στο όνομά του θα ορκίζεσαι.

Δευτ. 6,14 - οὐ πορεύεσθε ὀπίσω θεῶν ἑτέρων ἀπὸ τῶν θεῶν τῶν ἐθνῶν τῶν περικύκλῳ ὑμῶν,

Δευτ. 6,14 - Μη πορευθήτε πίσω από άλλους θεούς, μη λατρεύσετε θεούς από εκείνους που έχουν τα ολόγυρά σας ειδωλολατρικά έθνη,

Δευτ. 6,15 - ὅτι ὁ Θεὸς ζηλωτὴς Κύριος ὁ Θεός σου ἐν σοί, μὴ ὀργισθεὶς θυμῷ Κύριος ὁ Θεός σού σοι ἐξολοθρεύσῃ σε ἀπὸ προσώπου τῆς γῆς.

Δευτ. 6,15 - διότι Κυριος ο Θεός σου είναι Θεός ζηλότυπος δια σέ. Μηπως οργισθή εναντίον σου και σε εξολοθρεύση από το πρόσωπον της γης, εάν τυχόν λατρεύσης ξένους θεούς.

Δευτ. 6,16 - οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου, ὃν τρόπον ἐξεπειράσατε ἐν τῷ Πειρασμῷ.

Δευτ. 6,16 - Δεν θα θέσης εις πειρασμόν και δοκιμασίαν τον Κυριον, όπως ασεβώς φερόμενος επίκρανες τον Κυριον με τους γογγυσμούς σου στον τόπον εκείνον, ο οποίος ωνομάσθη δια τούτο “Πειρασμός”.

Δευτ. 6,17 - φυλάσσων φυλάξῃ τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ σου, τὰ μαρτύρια καὶ τὰ δικαιώματα, ὅσα ἐνετείλατό σοι·

Δευτ. 6,17 - Με κάθε επιμέλειαν θα φυλάττης πάντοτε τας εντολάς Κυρίου του Θεού σου, τας διατάξεις και τους νόμους, όσα σε διέταξε.

Δευτ. 6,18 - καὶ ποιήσεις τὸ ἀρεστὸν καὶ τὸ καλὸν ἔναντι Κυρίου τοῦ Θεοῦ σου, ἵνα εὖ σοι γένηται καὶ εἰσέλθῃς καὶ κληρονομήσῃς τὴν γῆν τὴν ἀγαθήν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν,

Δευτ. 6,18 - Θα πράττης ο,τι είναι ευάρεστον και αγαθόν ενώπιον Κυρίου του Θεού σου, δια να ζήσης ευτυχής, να εισέλθης ασφαλής και να κληρονομήσης δια παντός την γην, την εύφορον και πλουσίαν, την οποίαν ωρκίσθη ο Κυριος στους προπάτοράς σας,

Δευτ. 6,19 - ἐκδιῶξαι πάντας τοὺς ἐχθρούς σου πρὸ προσώπου σου, καθὰ ἐλάλησε Κύριος.

Δευτ. 6,19 - ότι θα σας την δώση και θα εκδιώξη όλους τους εχθρούς σας από εμπρός σας, όπως ο Κυριος είπε.

Δευτ. 6,20 - Καὶ ἔσται ὅταν ἐρωτήσῃ σε ὁ υἱός σου αὔριον λέγων· τί ἐστι τὰ μαρτύρια καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα, ὅσα ἐνετείλατο Κύριος ὁ Θεὸς ἡμῶν ἡμῖν;

Δευτ. 6,20 - Οταν δε στο μέλλον, θα σε ερωτήση ο υιός σου λέγων· τι είναι αύται αι εντολαί, οι νόμοι και αι διατάξεις, όλα όσα Κυριος ο Θεός μας διατάσσει ημάς;

Δευτ. 6,21 - καὶ ἐρεῖς τῷ υἱῷ σου· οἰκέται ἦμεν τῷ Φαραὼ ἐν γῇ Αἰγύπτῳ, καὶ ἐξήγαγεν ἡμᾶς Κύριος ἐκεῖθεν ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ.

Δευτ. 6,21 - Συ θα απαντήσης στο παιδί σου. Υπήρξαμεν δούλοι του Φαραώ εις την χώραν της Αιγύπτου, και ο Κυριος μας έβγαλεν ελευθέρους από εκεί, με την παντοδύναμον δεξιάν Του και την μεγαλειώδη ισχύν του.

Δευτ. 6,22 - καὶ ἔδωκε Κύριος σημεῖα καὶ τέρατα μεγάλα καὶ πονηρὰ ἐν Αἰγύπτῳ ἐν Φαραὼ καὶ ἐν τῷ οἴκῳ αὐτοῦ ἐνώπιον ἡμῶν·

Δευτ. 6,22 - Εκαμε τότε ο Κυριος θαύματα καταπληκτικά, θαύματα μεγάλα και φοβερά δια τους Αιγυπτίους, δια τον Φαραώ και τον οίκον του, εμπρός εις τα μάτια μας.

Δευτ. 6,23 - καὶ ἡμᾶς ἐξήγαγεν ἐκεῖθεν δοῦναι ἡμῖν τὴν γῆν ταύτην, ἣν ὤμοσε δοῦναι τοῖς πατράσιν ἡμῶν.

Δευτ. 6,23 - Μας έβγαλε από εκεί ελευθέρους, δια να μας δώση την χώραν αυτήν, την οποίαν ωρκίσθη στους προπάτοράς μας ότι θα μας έδιδε.

Δευτ. 6,24 - καὶ ἐνετείλατο ἡμῖν Κύριος ποιεῖν πάντα τὰ δικαιώματα ταῦτα φοβεῖσθαι Κύριον τὸν Θεὸν ἡμῶν, ἵνα εὖ ᾖ ἡμῖν πάσας τὰς ἡμέρας, ἵνα ζῶμεν ὥσπερ καὶ σήμερον.

Δευτ. 6,24 - Μας διέταξε δε ο Κυριος να τηρούμεν όλους αυτούς τους νόμους, να φοβούμεθα Κυριον τον Θεόν μας, δια να είμεθα ευτυχείς όλας τας ημέρας της ζωής μας και να ζώμεν, όπως σήμερον, ασφαλείς κάτω από την προστασίαν του.

Δευτ. 6,25 - καὶ ἐλεημοσύνη ἔσται ἡμῖν, ἐὰν φυλασσώμεθα ποιεῖν πάσας τὰς ἐντολὰς ταύτας ἐναντίον Κυρίου τοῦ Θεοῦ ἡμῶν, καθὰ ἐνετείλατο ἡμῖν.

Δευτ. 6,25 - Το δε έλεος του Κυρίου θα είναι πάντοτε μαζή μας, εάν φροντίζωμεν και προσπαθούμεν να τηρούμεν όλας αυτάς τας εντολάς, ενώπιον Κυρίου του Θεού ημών, όπως μας διέταξε.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 7

Δευτ. 7,1 - Ἐὰν δὲ εἰσάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν, καὶ ἐξάρῃ ἔθνη μεγάλα ἀπὸ

προσώπου σου, τὸν Χετταῖον καὶ Γεργεσσαῖον καὶ Ἀμοῤῥαῖον καὶ Χαναναῖον καὶ Φερεζαῖον καὶ Εὐαῖον καὶ Ἰεβουσαῖον, ἑπτὰ ἔθνη πολλὰ καὶ ἰσχυρότερα ὑμῶν,

Δευτ. 7,1 - Οταν δε Κυριος ο Θεός σου σε εισαγάγη εις την χώραν, προς την οποίαν τώρα πορεύεσαι, δια να την κληρονομήσης ως ιδικήν σου, και εκβάλη από εμπρός σου έθνη μεγάλα, τους Χετταίους, τους Γεργεσαίους, τους Αμορραίους, τους Χαναναίους, τους Φερεζαίους, τους Ευαίους και τους Ιεβουσαίους, επτά έθνη πολυαριθμότερα και ισχυρότερα από σας

Δευτ. 7,2 - καὶ παραδώσει αὐτοὺς Κύριος ὁ Θεός σου εἰς τὰς χεῖράς σου καὶ πατάξεις αὐτούς, ἀφανισμῷ ἀφανιεῖς αὐτούς, οὐ διαθήσῃ πρὸς αὐτοὺς διαθήκην, οὐδὲ μὴ ἐλεήσητε αὐτούς,

Δευτ. 7,2 - και θα παραδώση αυτούς Κυριος ο Θεός σου εις τα χέρια σου, θα κτυπήσης αυτούς, θα τους εξαφανίσης τελείως, δεν θα συνάψης καμμίαν συνθήκην μαζή των και δεν θα τους λυπηθήτε καθόλου.

Δευτ. 7,3 - οὐδὲ μὴ γαμβρεύσητε πρὸς αὐτούς· τὴν θυγατέρα σου οὐ δώσεις τῷ υἱῷ αὐτοῦ, καὶ τὴν θυγατέρα αὐτοῦ οὐ λήψῃ τῷ υἱῷ σου·

Δευτ. 7,3 - Δεν θα έλθετε εις γάμους μαζή των. Ούτε την θυγατέρα σου θα δώσης ως σύζυγον στον υιόν κάποιου από αυτούς, ούτε την θυγατέρα εκείνου θα πάρης ως νύμφην δια τον υιόν σου.

Δευτ. 7,4 - ἀποστήσει γὰρ τὸν υἱόν σου ἀπ᾿ ἐμοῦ, καὶ λατρεύσει θεοῖς ἑτέροις, καὶ ὀργισθήσεται θυμῷ Κύριος εἰς ὑμᾶς καὶ ἐξολοθρεύσει σε τὸ τάχος.

Δευτ. 7,4 - Διότι η αλλοεθνής νύμφη θα απομακρύν τον υιόν σου από εμέ και θα λατρεύση αυτός άλλους θεούς, οπότε θα οργισθή πολύ ο Κυριος εναντίον σας και θα σε εξολοθρεύση το ταχύτερον.

Δευτ. 7,5 - ἀλλ᾿ οὕτω ποιήσετε αὐτοῖς· τοὺς βωμοὺς αὐτῶν καθελεῖτε καὶ τὰς στήλας αὐτῶν συντρίψετε καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρί·

Δευτ. 7,5 - Αλλά και αυτά ακόμη θα πράξης εναντίον των ειδωλολατρών αλλοεθνών· Θα κρημνίσετε τους βωμούς των, θα συντρίψετε τας ειδωλολατρικάς των στήλας, θα κατακάψετε τα ιερά δάση των και θα κάψετε εις την φωτιά τα ξυλόγλυπτα αγάλματά των.

Δευτ. 7,6 - ὅτι λαὸς ἅγιος εἶ Κυρίῳ τῷ Θεῷ σου, καὶ σὲ προείλετο Κύριος ὁ Θεός σου εἶναι αὐτῷ λαὸν περιούσιον παρὰ πάντα τὰ ἔθνη, ὅσα ἐπὶ προσώπου τῆς γῆς.

Δευτ. 7,6 - Διότι συ εν αντιθέσει προς εκείνους είσαι λαός άγιος, αφιερωμένος στον Κυριον και Θεόν σου. Κυριος ο Θεός σου σε εξέλεξεν ανάμεσα από όλα τα άλλα έθνη της γης να είσαι ιδική του εκλεκτή περιουσία.

Δευτ. 7,7 - οὐχ ὅτι πολυπληθεῖτε παρὰ πάντα τὰ ἔθνη, προείλετο Κύριος ὑμᾶς καὶ ἐξελέξατο Κύριος ὑμᾶς, ὑμεῖς γάρ ἐστε ὀλιγοστοὶ παρὰ πάντα τὰ

ἔθνη,

Δευτ. 7,7 - Σας εξέλεξε δε ο Κυριος ανάμεσα από όλα τα άλλα έθνη, όχι διότι είσθε πολυάριθμοι, τουναντίον είσθε ολιγάριθμοι εν συγκρίσει προς όλα τα αλλά έθνη,

Δευτ. 7,8 - ἀλλὰ παρὰ τὸ ἀγαπᾶν Κύριον ὑμᾶς καὶ διατηρῶν τὸν ὅρκον, ὃν ὤμοσε τοῖς πατράσιν ὑμῶν, ἐξήγαγεν ὑμᾶς Κύριος ἐν χειρὶ κραταιᾷ καὶ βραχίονι ὑψηλῷ καὶ ἐλυτρώσατό σε Κύριος ἐξ οἴκου δουλείας, ἐκ χειρὸς Φαραὼ βασιλέως Αἰγύπτου.

Δευτ. 7,8 - αλλά διότι σας αγαπά ο Κυριος και διότι τηρεί τον όρκον, τον οποίον έδωσεν στους προπάτοράς σας. Ο Κυριος σας έβγαλεν ελευθέρους με την παντοδύναμον αυτού δεξιάν και την ακατανίκητον δύναμίν του και σας απήλλαξεν από την χώραν της δουλείας, από τα χέρια του Φαραώ, του βασιλέως της Αιγύπτου.

Δευτ. 7,9 - καὶ γνώσῃ ὅτι Κύριος ὁ Θεός σου, οὗτος Θεός, Θεὸς πιστός, ὁ φυλάσσων διαθήκην καὶ ἔλεος τοῖς ἀγαπῶσιν αὐτὸν καὶ τοῖς φυλάσσουσι τὰς ἐντολὰς αὐτοῦ εἰς χιλίας γενεὰς

Δευτ. 7,9 - Από όλα αυτά, και από όσα άλλα θα κάμη προς χάριν σου ο Θεός, θα μάθης, ότι Κυριος ο Θεός σου αυτός είναι ο αληθινός Θεός, Θεός αξιόπιστος, ο οποίος τηρεί την υπόσχεσίν του και εκδηλώνει το έλεός του εις αυτούς που τον αγαπούν και τηρούν τας εντολάς του μέχρι χιλίων γενεών.

Δευτ. 7,10 - καὶ ἀποδιδοὺς τοῖς μισοῦσι κατὰ πρόσωπον ἐξολοθρεῦσαι αὐτούς· καὶ οὐχὶ βραδυνεῖ τοῖς μισοῦσι, κατὰ πρόσωπον ἀποδώσει αὐτοῖς.

Δευτ. 7,10 - Αλλά είναι και Θεός δίκαιος, ο οποίος ανταποδίδει προσωπικώς στους μισούντας αυτόν και αμετανοήτους κατά τα έργα αυτών και εξολοθρεύει αυτούς. Δεν θα βραδύνη δε να τιμωρήση προσωπικώς τους μισούντας αυτόν και να ανταποδώση εις αυτούς κατά τα έργα των.

Δευτ. 7,11 - καὶ φυλάξῃ τὰς ἐντολὰς καὶ τὰ δικαιώματα καὶ τὰ κρίματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον ποιεῖν.

Δευτ. 7,11 - Λοιπόν, προσέξατε, ώστε να τηρήσετε τας εντολάς, τους νόμους και τας διατάξεις αυτάς, όλα όσα εγώ εκ μέρους του Θεού σας διατάσσω σήμερον να πράττετε.

Δευτ. 7,12 - Καὶ ἔσται ἡνίκα ἂν ἀκούσητε τὰ δικαιώματα ταῦτα καὶ φυλάξητε καὶ ποιήσητε αὐτά, καὶ διαφυλάξει Κύριος ὁ Θεός σού σοι τὴν διαθήκην καὶ τὸ ἔλεος, ὃ ὤμοσε τοῖς πατράσιν ὑμῶν,

Δευτ. 7,12 - Εάν δε σεις ακούσετε με προσοχήν τας εντολάς αυτάς και φροντίσετε, ώστε να τας τηρήτε, θα τηρήση και Κυριος ο Θεός σας την υπόσχεσίν του και το έλεός του που ωρκίσθη στους προπάτοράς σας.

Δευτ. 7,13 - καὶ ἀγαπήσει σε καὶ εὐλογήσει σε καὶ πληθυνεῖ σε καὶ εὐλογήσει τὰ ἔκγονα τῆς κοιλίας σου καὶ τὸν καρπὸν τῆς γῆς σου, τὸν σῖτόν σου καὶ τὸν οἶνόν σου καὶ τὸ ἔλαιόν σου, τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ

ποίμνια τῶν προβάτων σου ἐπὶ τῆς γῆς, ἧς ὤμοσε Κύριος τοῖς πατράσι σου δοῦναί σοι.

Δευτ. 7,13 - Θα σε αγαπήση ο Κυριος, θα σε ευλογήση, θα σε πληθύνη, θα ευλογήση τα παιδιά σου και τα προϊόντα της χώρας σου, το σιτάρι σου, το κρασί σου, το λάδι σου, τα κοπάδια των βοών σου, τα κοπάδια των προβάτων σου εις την χώραν, την οποίαν ο Κυριος ωρκίσθη στους προπάτοράς σου, ότι θα δώση εις σέ.

Δευτ. 7,14 - εὐλογητός ἔσῃ παρὰ πάντα τὰ ἔθνη· οὐκ ἔσται ἐν ὑμῖν ἄγονος οὐδὲ στεῖρα καὶ ἐν τοῖς κτήνεσί σου.

Δευτ. 7,14 - Θα είσαι ευλογημένος περισσότερον από όλα τα άλλα έθνη. Κανένας άνδρας από σας δεν θα είναι άγονος και καμμιά γυνή δεν θα είναι στείρα. Το ίδιο θα συμβή και εις τα ζώα σου· δεν θα υπάρξη εις αυτά στειρότης.

Δευτ. 7,15 - καὶ περιελεῖ Κύριος ὁ Θεός σου ἀπὸ σοῦ πᾶσαν μαλακίαν· καὶ πάσας νόσους Αἰγύπτου τὰς πονηράς, ἃς ἑώρακας, καὶ ὅσα ἔγνως, οὐκ ἐπιθήσει ἐπὶ σὲ καὶ ἐπιθήσει αὐτὰ ἐπὶ πάντας τοὺς μισοῦντάς σε.

Δευτ. 7,15 - Θα αφαιρέση και θα απομακρύνη Κυριος ο Θεός από σε και κάθε αδιαθεσίαν ακόμη. Από όλας τας ασθενείας της Αιγύπτου, τας βαρείας και σκληράς που είδες και εγνώρισες, καμμίαν δεν θα σου στείλη ο Θεός. Θα τας επιρρίψη όμως εις εκείνους, οι οποίοι σε μισούν.

Δευτ. 7,16 - καὶ φαγῄ πάντα τὰ σκῦλα τῶν ἐθνῶν, ἃ Κύριος ὁ Θεός σου δίδωσί σοι· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ᾿ αὐτοῖς, καὶ οὐ μὴ λατρεύσῃς τοῖς θεοῖς αὐτῶν, ὅτι σκῶλον τοῦτό ἐστί σοι.

Δευτ. 7,16 - Συ θα απολαύσης τα λάφυρα των εθνών, τα οποία ο Κυριος σου δίδει. Πρόσεξε όμως· δεν θα λυπηθή το μάτι σου αυτούς και δεν θα λατρεύσης τους θεούς των, διότι άλλως, θα αποβή αυτό πρόσκομμα και συμφορά εις σέ.

Δευτ. 7,17 - ἐὰν δὲ λέγῃς ἐν τῇ διανοίᾳ σου, ὅτι πολὺ τὸ ἔθνος τοῦτο ἢ ἐγώ, πῶς δυνήσομαι ἐξολοθρεῦσαι αὐτούς;

Δευτ. 7,17 - Εάν είπης κατά νουν, ότι το εχθρικον αυτό έθνος είναι πολυαριθμότερον από εμέ και πως θα ημπορέσω εγώ να τους εξολοθρεύσω;

Δευτ. 7,18 - οὐ φοβηθήσῃ αὐτούς· μνείᾳ μνησθήσῃ ὅσα ἐποίησε Κύριος ὁ Θεός σου τῷ Φαραὼ καὶ πᾶσι τοῖς Αἰγυπτίοις,

Δευτ. 7,18 - Μη τους φοβηθής ! Επανάφερε ζωηρά εις την μνήμην σου, όσα έκαμε Κυριος ο Θεός σου στον Φαραώ και και εις όλους τους Αιγυπτίους, οι οποίοι, φυσικά, ήσαν ασυγκρίτως πολυαριθμότεροι από σέ.

Δευτ. 7,19 - τοὺς πειρασμοὺς τοὺς μεγάλους, οὓς εἴδοσαν οἱ ὀφθαλμοί σου, τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα ἐκεῖνα, τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλόν, ὡς ἐξήγαγέ σε Κύριος ὁ Θεός σου, οὕτω ποιήσει

Κύριος ὁ Θεὸς ὑμῶν πᾶσι τοῖς ἔθνεσιν, οὓς σὺ φοβῇ ἀπὸ προσώπου αὐτῶν.

Δευτ. 7,19 - Ενθυμήσου τας μεγάλας τιμωρίας, που είδον οι οφθαλμοί σου, τα καταπληκτικά και μεγάλα εκείνα σημεία και τέρατα, την παντοδύναμον δεξιάν του Κυρίου και την ακατανίκητον δύναμίν του, όταν Κυριος ο Θεός σου, ελεύθερον σε έβγαλε από την Αίγυπτον. Τα ίδια και τώρα θα κάμη εναντίον όλων των ειδωλολατρικών και εχθρικών προς σε εθνών, ενώπιον των οποίων συ σήμερον φοβείσαι.

Δευτ. 7,20 - καὶ τὰς σφηκίας ἀποστελεῖ Κύριος ὁ Θεός σου εἰς αὐτούς, ἕως ἂν ἐκτριβῶσιν οἱ καταλελειμμένοι καὶ οἱ κεκρυμμένοι ἀπὸ σοῦ.

Δευτ. 7,20 - Και σμήνη ακόμη από σφήκας θα αποστείλη Κυριος ο Θεός σου εναντίον αυτών, μέχρις ότου συντριβούν και εξαφανισθούν, όσοι θα έχουν γλυτώσει από την μάχην και θα έχουν κρυβή από τα μάτια σου.

Δευτ. 7,21 - οὐ τρωθήσῃ ἀπὸ προσώπου αὐτῶν, ὅτι Κύριος ὁ Θεός σου ἐν σοί, Θεὸς μέγας καὶ κραταιός,

Δευτ. 7,21 - Συ δε ούτε καν θα πληγωθής από αυτούς, διότι Κυριος ο Θεός σου είναι μαζί σου, είναι μεταξύ σας, ο Θεός ο μέγας και παντοδύναμος.

Δευτ. 7,22 - καὶ καταναλώσει Κύριος ὁ Θεός σου τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου σου κατὰ μικρὸν μικρόν· οὐ δυνήσῃ ἐξαναλῶσαι αὐτοὺς τὸ τάχος, ἵνα μὴ γένηται ἡ γῆ ἔρημος καὶ πληθυνθῇ ἐπὶ σὲ τὰ θηρία τὰ ἄγρια.

Δευτ. 7,22 - Κυριος ο Θεός σου θα καταστρέψη και θα εξαφανίση ολίγον κατ' ολίγον τα έθνη αυτά από εμπρός σου. Δεν θα ημπορέσης, και δεν πρέπει, να εξαφανίσης αυτούς ταχέως, δια να μη μείνη έρημος και ακατοίκητος η χώρα από ανθρώπους και πληθυνθούν τα άγρια θηρία εναντίον σου.

Δευτ. 7,23 - καὶ παραδώσει αὐτοὺς Κύριος ὁ Θεός σου εἰς τὰς χεῖράς σου καὶ ἀπολεῖς αὐτοὺς ἀπωλείᾳ μεγάλῃ, ἕως ἂν ἐξολοθρεύσητε αὐτούς.

Δευτ. 7,23 - Αυτούς Κυριος ο Θεός σου θα τους παραδώση εις τα χέρια σου και θα καταστρέφης αυτούς ολοκληρωτικώς, μέχρις ότου εξολοθρευθούν και εξαφανισθούν πλήρως.

Δευτ. 7,24 - καὶ παραδώσει τοὺς βασιλεῖς αὐτῶν εἰς τὰς χεῖρας ὑμῶν, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου· οὐκ ἀντιστήσεται οὐδεὶς κατὰ πρόσωπόν σου, ἕως ἂν ἐξολοθρεύσῃς αὐτούς.

Δευτ. 7,24 - Ο Θεός θα παραδώση εις τα χέρια σας τους βασιλείς των εθνών αυτών, θα τους εξοντώσετε, ώστε να χαθούν και τα ονόματα αυτών από τον τόπον, όπου εβασίλευον. Κανείς δεν θα ημπορέση να αντισταθή απέναντί σας, μέχρις ότου τους εξολοθρεύσετε όλους.

Δευτ. 7,25 - τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν καύσετε πυρί· οὐκ ἐπιθυμήσεις ἀργύριον οὐδὲ χρυσίον ἀπ᾽ αὐτῶν σὺ λήψῃ σεαυτῷ, μὴ πταίσῃς δι᾽ αὐτό,

ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σού ἐστι·

Δευτ. 7,25 - Τα αγάλματα των θεών των θα τα παραδώσετε στο πυρ, δια να καούν. Δεν θα επιθυμήσης και δεν θα πάρης δια τον εαυτόν σου το χρυσίον και το αργύριον από αυτά. Μη θελήσης να αμαρτήσης λαμβάνων το χρυσίον αυτό, διότι είναι πολύ μισητόν ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 7,26 - καὶ οὐκ εἰσοίσεις βδέλυγμα εἰς τὸν οἶκόν σου καὶ ἀνάθεμα ἔσῃ ὥσπερ τοῦτο· προσοχθίσματι προσοχθιεῖς καὶ βδελύγματι βδελύξῃ, ὅτι ἀνάθημά ἐστι.

Δευτ. 7,26 - Τέτοια βδελύγματα δεν θα εισαγάγης στο σπίτι σου, διότι άλλως θα είσαι και συ αναθεματισμένος, όπως και εκείνο. Θα το αποστρέφεσαι με όλην σου την δύναμιν και θα αισθάνεσαι κάθε βδελυγμίαν εναντίον των αγαλμάτων αυτών, διότι είναι κατηραμένα.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 8

Δευτ. 8,1 - Πάσας τὰς ἐντολάς, ἃς ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, φυλάξεσθε ποιεῖν, ἵνα ζῆτε καὶ πολυπλασιασθῆτε καὶ εἰσέλθητε καὶ κληρονομήσητε τὴν γῆν, ἣν ὤμοσε Κύριος ὁ Θεὸς ὑμῶν τοῖς πατράσιν ὑμῶν.

Δευτ. 8,1 - Ολας αυτάς τας εντολάς, τας οποίας εγώ σήμερον σας δίδω φροντίσατε να τας τηρήσετε, δια να ζήτε ασφαλείς και μακροχρόνιοι και να πολλαπλασιασθήτε, να εισέλθετε και να κληρονομήσετε ως ιδικήν σας την χώραν, την οποίαν Κυριος ο Θεός σας ωρκίσθη στους προπάτοράς σας, ότι θα δώση εις σας.

Δευτ. 8,2 - καὶ μνησθήσῃ πᾶσαν τὴν ὁδόν, ἣν ἤγαγέ σε Κύριος ὁ Θεός σου ἐν τῇ ἐρήμῳ, ὅπως ἂν κακώσῃ σε καὶ πειράσῃ σε καὶ διαγνωσθῇ τὰ ἐν τῇ καρδίᾳ σου, εἰ φυλάξῃ τὰς ἐντολὰς αὐτοῦ ἢ οὔ.

Δευτ. 8,2 - Θα ενθυμήσθε όλην την πορείαν, κατά την οποίαν ο Κυριος και Θεός σας σας ωδηγούσε δια μέσου της ερήμου δια να σας ταλαιπωρήση παιδαγωγικώς και σας υποβάλη εις δοκιμασίας, δια να φανερωθούν έτσι αι διαθέσεις της καρδίας σας, εάν δηλαδή θα είχατε την απόφασιν να τηρήσετε η όχι τας εντολάς του.

Δευτ. 8,3 - καὶ ἐκάκωσέ σε καὶ ἐλιμαγχόνησέ σε καὶ ἐψώμισέ σε τὸ μάννα, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου, ἵνα ἀναγγείλῃ σοι, ὅτι οὐκ ἐπ᾿ ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος, ἀλλ᾿ ἐπὶ παντὶ ῥήματι τῷ ἐκπορευομένῳ διὰ στόματος Θεοῦ ζήσεται ὁ ἄνθρωπος.

Δευτ. 8,3 - Σας εταλαιπώρησε, σας αφήκε να πεινάσετε και κατόπιν σας έδωσε ως καθημερινόν σας ψωμί το μάννα, το οποίον δεν εγνώριζαν οι προπάτορές σας, δια να διδάξη εις σας, ότι δέιν ζη ο άνθρωπος μόνον με

τον συνήθη άρτον,άλλα ζη και με κάθε λόγον, ο οποίος εξέρχεται από το στόμα του Θεού (με θαύματα δηλαδή που κάνει ο Θεός).

Δευτ. 8,4 - τὰ ἱμάτιά σου οὐκ ἐπαλαιώθη ἀπὸ σοῦ, τὰ ὑποδήματά σου οὐ κατετρίβη ἀπὸ σοῦ, οἱ πόδες σου οὐκ ἐτυλώθησαν, ἰδοὺ τεσσαράκοντα ἔτη.

Δευτ. 8,4 - Και ιδού ότι επί τεσσαράκοντα έτη τα ενδύματά σας και τα υποδήματά σας δεν επάλησωσαν και δεν εφθάρησαν, τα δε πόδια σας δεν έκαμαν κάλους.

Δευτ. 8,5 - καὶ γνώσῃ τῇ καρδίᾳ σου ὅτι ὡς εἴ τις ἄνθρωπος παιδεύσῃ τὸν υἱὸν αὐτοῦ, οὕτω Κύριος ὁ Θεός σου παιδεύσει σε,

Δευτ. 8,5 - Από όλα αυτά θα μάθετε, ότο, όπως ένας πατέρας θα παιδαγωγήση τα παιδί του δια μέσου διαφόρων δοκιμασιών, έτσι και Κυριος ο Θεός σας δια των θλίψεων θα σας παιδαγωγήση.

Δευτ. 8,6 - καὶ φυλάξῃ τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ σου πορεύεσθαι ἐν ταῖς ὁδοῖς αὐτοῦ καὶ φοβεῖσθαι αὐτόν·

Δευτ. 8,6 - Αυτά έχοντες υπ' όψει, θα φυλάξετε τας εντολάς Κυρίου του Θεού σας, ώστε να πορεύεσθε την οδόν των εντολών του και να φοβείσθε αυτόν.

Δευτ. 8,7 - ὁ γὰρ Κύριος ὁ Θεός σου εἰσάξει σε εἰς γῆν ἀγαθὴν καὶ πολλήν, οὗ χείμαῤῥοι ὑδάτων καὶ πηγαὶ ἀβύσσων ἐκπορευόμεναι διὰ τῶν πεδίων καὶ διὰ τῶν ὀρέων·

Δευτ. 8,7 - Διότι Κυριος ο Θεός σας θα σας εισαγάγη εις την γην, την εύφορον και μεγάλην, όπου υπάρχουν άφθονα ύδατα χειμάρρων και πηγαί αναβλύζουσαι από τα έγκατα της γης, των οποίων τα ύδατα θα ρέουν δια μέσου των πεδιάδων και επάνω ακόμη εις τα όρη.

Δευτ. 8,8 - γῆ πυροῦ καὶ κριθῆς, ἄμπελοι, συκαῖ, ῥοαί, γῆ ἐλαίας ἐλαίου καὶ μέλιτος·

Δευτ. 8,8 - Η γη αυτή παράγει σίτον και κριθήν, έχει αμπέλους, συκιές και ροδιές· είναι γη της ελιάς, του λαδιού και του μέλιτος.

Δευτ. 8,9 - γῆ, ἐφ᾿ ἧς οὐ μετὰ πτωχείας φαγῇ τὸν ἄρτον σου καὶ οὐκ ἐνδεηθήσῃ ἐπ᾿ αὐτῆς οὐδέν· γῆ, ἧς οἱ λίθοι σίδηρος, καὶ ἐκ τῶν ὀρέων αὐτῆς μεταλλεύσεις χαλκόν·

Δευτ. 8,9 - Χωρα, επί της οποίας δεν θα τρώγετε ολιγοστόν τον άρτον σας και δεν θα στερηθήτε τίποτε από αυτήν. Είναι χώρα, της οποίας οι λίθοι είναι ωσάν σίδηρος και από τα όρη αυτής θα βγάνετε μεταλλεύματα χαλκού.

Δευτ. 8,10 - καὶ φαγῇ καὶ ἐμπλησθήσῃ καὶ εὐλογήσεις Κύριον τὸν Θεόν σου ἐπὶ τῆς γῆς τῆς ἀγαθῆς, ἧς δέδωκέ σοι.

Δευτ. 8,10 - Θα φάτε και θα χορτάσετε και θα δοξολογήσετε Κυριον τον Θεόν σας, εγκατεστημένοι πλέον εις την εύφορον και πλουσίαν αυτήν γην, την οποίαν ο Κυριος σας έδωσε.

Δευτ. 8,11 - πρόσεχε σεαυτῷ, μὴ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου τοῦ μὴ φυλάξαι τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ κρίματα καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον,

Δευτ. 8,11 - Προσέχετε όμως στον εαυτόν σας, μήπως τυχόν και λησμονήσετε Κυριον τον Θεόν σας και δεν τηρήσετε τας εντολάς αυτού, τας διατάξεις και τους νόμους του, όσα εγώ σήμερον σας παραγγέλλω.

Δευτ. 8,12 - μὴ φαγὼν καὶ ἐμπλησθεὶς καὶ οἰκίας καλὰς οἰκοδομήσας καὶ κατοικήσας ἐν αὐταῖς

Δευτ. 8,12 - Προσέχετε, μήπως, αφού φάγετε καλά και χορτασθήτε και οικοδομήσετε ωραίας και ανέτους οικίας και εγκατασταθήτε εις αυτάς,

Δευτ. 8,13 - καὶ τῶν βοῶν σου καὶ τῶν προβάτων σου πληθυνθέντων σοι, ἀργυρίου καὶ χρυσίου πληθυνθέντος σοι καὶ πάντων, ὅσων σοι ἔσται, πληθυνθέντων σοι,

Δευτ. 8,13 - πολλαπλασιασθούν δε τα βόδια σας και τα πρόβατά σας, πληθυνθή το αργύριον και το χρυσάφι σας και γενικώς αυξηθούν όλα τα υπάρχοντά σου,

Δευτ. 8,14 - ὑψωθῇς τῇ καρδίᾳ καὶ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας,

Δευτ. 8,14 - μήπως τυχόν και υπερηφανευθή η καρδία σας και λησμονήσετε Κυριον τον Θεόν σας, ο οποίος σας ηλευθέρωσε από την Αίγυπτον, την χώραν αυτήν της δουλείας,

Δευτ. 8,15 - τοῦ ἀγαγόντος σε διὰ τῆς ἐρήμου τῆς μεγάλης καὶ τῆς φοβερᾶς ἐκείνης, οὗ ὄφις δάκνων καὶ σκορπίος καὶ δίψα, οὗ οὐκ ἦν ὕδωρ, τοῦ ἐξαγαγόντος σοι ἐκ πέτρας ἀκροτόμου πηγὴν ὕδατος,

Δευτ. 8,15 - σας ωδήγησε δια μέσου της μεγάλης εκείνης και φοβεράς ερήμου, όπου τα δηλητηριώδη φίδια και οι σκορπιοί και η δίψα, εις τας περιοχάς που δεν υπήρχε ύδωρ· προσέχετε μήπως λησμονήσετε τον Θεόν, ο οποίος έβγαλε από απόκρημνον βράχον πλουσίαν πηγήν ύδατος·

Δευτ. 8,16 - τοῦ ψωμίσαντός σε τὸ μάννα ἐν τῇ ἐρήμῳ, ὃ οὐκ ᾔδεις σὺ καὶ οὐκ ᾔδεισαν οἱ πατέρες σου, ἵνα κακώσῃ σε καὶ ἐκπειράσῃ σε καὶ εὖ σε ποιήσῃ ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν σου.

Δευτ. 8,16 - τον Θεόν, ο οποίος αντί άρτου σας έδωσε εις την έρημον το μάννα, το οποίον ούτε σεις ούτε οι πρόγονοί σας εγνωρίσατε, και σας έστειλε δσκιμασίας, δια να σας θλίψη και καταρτίση, έπειτα δε κατά τους τελευταίους τούτους καιρούς, να σας ευλογήση.

Δευτ. 8,17 - μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου· ἡ ἰσχύς μου καὶ τὸ κράτος τῆς χειρός μου ἐποίησέ μοι τὴν δύναμιν τὴν μεγάλην ταύτην·

Δευτ. 8,17 - Προσέξατε μήπως τυχόν και πήτε κατά διάνοιαν· Η ισχύς μου και η δύναμις της χειρός μου, μου προσεπόρισαν την μεγάλην αυτήν ευημερίαν.

Δευτ. 8,18 - καὶ μνησθήσῃ Κυρίου τοῦ Θεοῦ σου, ὅτι αὐτός σοι δίδωσιν ἰσχὺν τοῦ ποιῆσαι δύναμιν καὶ ἵνα στήσῃ τὴν διαθήκην αὐτοῦ, ἣν ὤμοσε Κύριος τοῖς πατράσι σου, ὡς σήμερον.

Δευτ. 8,18 - Αλλά πρέπει να ενθυμήσθε Κυριον τον Θεόν σας, διότι αυτός σας έδωκε την δύναμιν να αποκτήσετε τα πλούσια αυτά αγαθά, δια να τηρήση την υπόσχεσίν του, που είχε δώσει με όρκον στους προπάτοράς σας, πράγμα το οποίον και έκαμε σήμερον.

Δευτ. 8,19 - καὶ ἔσται ἐὰν λήθῃ ἐπιλάθῃ Κυρίου τοῦ Θεοῦ σου καὶ πορευθῇς ὀπίσω θεῶν ἑτέρων καὶ λατρεύσῃς αὐτοῖς καὶ προσκυνήσῃς αὐτοῖς, διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν, ὅτι ἀπωλείᾳ ἀπολεῖσθε·

Δευτ. 8,19 - Εάν όμως λησμονήσετε Κυριον τον Θεόν σας, εκτραπήτε δε οπίσω άλλων ψευδών θεών και λατρεύσετε αυτούς και προσκυνήσετε αυτούς, σας διαβεβαιώνω σήμερον ενώπιον του ουρανού και της γης, ότι θα υποστήτε πανωλεθρίαν.

Δευτ. 8,20 - καθὰ καὶ τὰ λοιπὰ ἔθνη, ὅσα Κύριος ὁ Θεὸς ἀπολλύει πρὸ προσώπου ὑμῶν, οὕτως ἀπολεῖσθε, ἀνθ᾿ ὧν οὐκ ἠκούσατε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ὑμῶν.

Δευτ. 8,20 - Οπως Κυριος ο Θεός καταστρέφει σήμερον από εμπρός σας τα αλλά έθνη δια τας αμαρτίας των, έτσι και σεις θα καταστραφήτε, διότι δεν ηκούσατε τα λόγια Κυρίου του Θεού σας.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 9

Δευτ. 9,1 - Ἄκουε, Ἰσραήλ· σὺ διαβαίνεις σήμερον τὸν Ἰορδάνην εἰσελθεῖν κληρονομῆσαι ἔθνη μεγάλα καὶ ἰσχυρότερα μᾶλλον ἢ ὑμεῖς, πόλεις μεγάλας καὶ τειχήρεις ἕως τοῦ οὐρανοῦ,

Δευτ. 9,1 - Ακουσε, λαέ του Ισραήλ, θα διαβής κατά τον χρόνον αυτόν τον Ιορδάνην, θα εισέλθης εις την γην της Επαγγελίας δια να γίνης κύριος και κληρονόμος λαών μεγάλων κατά πολύ ισχυροτέρων από σέ, πόλεων μεγάλων, των οποίων τα οχυρά τείχη φθάνουν έως τον ουρανόν.

Δευτ. 9,2 - λαὸν μέγαν καὶ πολὺν καὶ εὐμήκη, υἱοὺς Ἐνάκ, οὓς σὺ οἶσθα καὶ σὺ ἀκήκοας· τίς ἀντιστήσεται κατὰ πρόσωπον υἱῶν Ἐνάκ;

Δευτ. 9,2 - Θα κυριεύσετε λαόν ισχυρόν πολυάριθμον, ανθρώπους μεγάλου αναστήματος, τους απογόνους Ενάκ, τους οποίους γνωρίζεις και έχεις ακούσει να λέγεται δι' αυτούς· “ποιός ημπορεί να αντισταθή εμπρός στους Ενακίτας;”

Δευτ. 9,3 - καὶ γνώσῃ σήμερον, ὅτι Κύριος ὁ Θεός σου, οὗτος προπορεύσεται πρὸ προσώπου σου· πῦρ καταναλίσκον ἐστίν· οὗτος

ἐξολοθρεύσει αὐτούς, καὶ οὗτος ἀποστρέψει αὐτοὺς ἀπὸ προσώπου σου, καὶ ἀπολεῖ αὐτοὺς ἐν τάχει, καθάπερ εἶπέ σοι Κύριος.

Δευτ. 9,3 - Θα μάθης όμως σήμερον, ότι Κυριος ο Θεός σου θα προχωρή εμπρός από σέ, ωσάν καταστρεπτικόν πυρ δια τους εχθρούς σου. Αυτός θα τους εξολοθρεύση. Αυτός θα τους τρέψη εις φυγήν από εμπρός σου και ταχέως θα τους καταστρέψη, όπως σου έχει υποσχεθή ο Κυριος.

Δευτ. 9,4 - μὴ εἴπῃς ἐν τῇ καρδίᾳ σου ἐν τῷ ἐξαναλῶσαι Κύριον τὸν Θεόν σου τὰ ἔθνη ταῦτα πρὸ προσώπου σου λέγων· διὰ τὰς δικαιοσύνας μου εἰσήγαγέ με Κύριος κληρονομῆσαι τὴν γῆν τὴν ἀγαθὴν ταύτην·

Δευτ. 9,4 - Οταν όμως Κυριος ο Θεός σου συντρίψη και εξαφανίση εμπρός από τα μάτια σου τα έθνη αυτά, μη σου έλθη ποτέ στον νουν η σκέψις και είπης· ο Κυριος με εισήγαγε, δια να καταλάβω ως κληροναμίαν μου την εύφορον και πλουσίαν αυτήν χώραν, ένεκα των αρετών μου.

Δευτ. 9,5 - οὐχὶ διὰ τὴν δικαιοσύνην σου, οὐδὲ διὰ τὴν ὁσιότητα τῆς καρδίας σου σὺ εἰσπορεύῃ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀλλὰ διὰ τὴν ἀσέβειαν τῶν ἐθνῶν τούτων Κύριος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου σου καὶ ἵνα στήσῃ τὴν διαθήκην αὐτοῦ, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ Ἰσαὰκ καὶ τῷ Ἰακώβ.

Δευτ. 9,5 - Οχι δια τας αρετάς σου· ούτε δια την αγνότητα και ευσέβειαν της καρδίας σου εισέρχεσαι συ να κληρονομήσης την χώραν αυτών των εθνών, αλλά δια την αθεράπευτον ασέβειαν αυτών των εθνών, θα τα εξολοθρεύση ο Κυριος από εμπρός σου, δια να εκπληρώση και την υπόσχεσίν του, την οποίαν με όρκον επεβεβαίωσεν στους προπάτοράς μας, τον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ.

Δευτ. 9,6 - καὶ γνώσῃ σήμερον ὅτι οὐχὶ διὰ τὰς δικαιοσύνας σου Κύριος ὁ Θεός σου δίδωσί σοι τὴν γῆν τὴν ἀγαθὴν ταύτην κληρονομῆσαι, ὅτι λαὸς σκληροτράχηλος εἶ.

Δευτ. 9,6 - Και θα μάθης σήμερον, ότι Κυριος ο Θεός σου σου παραχωρεί την ευλογημένην αυτήν γην ως κληρονομίαν, όχι δια τας αρετάς σου, διότι εις την πραγματικότητα και συ είσαι λαός ανυπότακτος και σκληρός.

Δευτ. 9,7 - μνήσθητι, μὴ ἐπιλάθῃ ὅσα παρώξυνας Κύριον τὸν Θεόν σου ἐν τῇ ἐρήμῳ· ἀφ᾿ ἧς ἡμέρας ἐξήλθετε ἐξ Αἰγύπτου ἕως ἤλθετε εἰς τὸν τόπον τοῦτον, ἀπειθοῦντες διετελεῖτε τὰ πρὸς Κύριον.

Δευτ. 9,7 - Ενθυμήσου, και ποτέ μη λησμονήσης, πόσον πολύ και πόσας φοράς παρώργισες Κυριον τον Θεόν σου εις την έρημον. Από την ημέραν που ανεχωρήσατε ελεύθεροι από την Αίγυπτον, μέχρις ότου ήλθατε στον τόπον τούτον, κατά συνέχειαν εφερθήκατε με δυστροπίαν και απείθειαν απέναντι του Κυρίου.

Δευτ. 9,8 - καὶ ἐν Χωρὴβ παρωξύνατε Κύριον, καὶ ἐθυμώθη Κύριος ἐφ᾿ ὑμῖν ἐξολοθρεῦσαι ὑμᾶς,

Δευτ. 9,8 - Ιδιαιτέρως στο όρος Χωρήβ παρωργίσατε πολύ τον Κυριον και ο Κυριος ηγανάκτησε εναντίον σας, ώστε απεφάσισε να σας εξολοθρεύση,

Δευτ. 9,9 - ἀναβαίνοντός μου εἰς τὸ ὄρος λαβεῖν τὰς πλάκας τὰς λιθίνας, πλάκας διαθήκης, ἃς διέθετο Κύριος πρὸς ὑμᾶς. καὶ κατεγινόμην ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας· ἄρτον οὐκ ἔφαγον καὶ ὕδωρ οὐκ ἔπιον.

Δευτ. 9,9 - τότε που εγώ ανέβαινα στο όρος Σινά, δια να πάρω τας πλάκας της Διαθήκης, την οποίαν συνήψε με σας ο Κυριος. Επί τεσσαράκοντα ημέρας και τεσσαράκοντα νύκτας παρέμεινα στο όρος. Αρτον εκεί δεν έφαγον και νερό δεν έπιον.

Δευτ. 9,10 - καὶ ἔδωκέ μοι Κύριος τὰς δύο πλάκας τὰς λιθίνας γεγραμμένας ἐν τῷ δακτύλῳ τοῦ Θεοῦ, καὶ ἐπ᾿ αὐταῖς ἐγέγραπτο πάντες οἱ λόγοι, οὓς ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἡμέρᾳ ἐκκλησίας·

Δευτ. 9,10 - Και μου έδωκε τότε ο Κυριος τας δύο λιθίνας πλάκας, γραμμένας με το θείον του δάκτυλον. Επάνω εις αυτάς ήσαν χαραγμέναι αι εντολαί, τας οποίας ο Κυριος είπε προς σας στους πρόποδας του όρους, κατά την ημέραν της γενικής συγκεντρώσεώς σας.

Δευτ. 9,11 - καὶ ἐγένετο διὰ τεσσαράκοντα ἡμερῶν καὶ διὰ τεσσαράκοντα νυκτῶν ἔδωκε Κύριος ἐμοὶ τὰς δύο πλάκας τὰς λιθίνας, πλάκας διαθήκης.

Δευτ. 9,11 - Μετά δεκτεσσάρα κοντά ημέρας και τεσσαράκοντα νύκτας μου έδωσεν ο Κυριος τας δύο λιθίνας αυτάς πλάκας της Διαθήκης

Δευτ. 9,12 - καὶ εἶπε Κύριος πρός με· ἀνάστηθι, κατάβηθι τὸ τάχος ἐντεῦθεν, ὅτι ἠνόμησεν ὁ λαός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου· παρέβησαν ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς ἐνετείλω αὐτοῖς· καὶ ἐποίησαν ἑαυτοῖς χώνευμα.

Δευτ. 9,12 - και μου είπε ο Κυριος· σήκω, κατέβα αμέσως από εδώ, διότι ο λαός σου, τον οποίον έβγαλες ελεύθερον από την χώραν της Αιγύπτου, παρηνάμησεν, εξέκλινε και εξετράπη ταχέως από την οδόν, την οποίαν διέταξες αυτούς να πορεύωνται. Κατεσκεύασαν δια τον εαυτόν των είδωλον εις χωνευτήοιον.

Δευτ. 9,13 - καὶ εἶπε Κύριος πρός με λέγων· λελάληκα πρός σε ἅπαξ καὶ δὶς λέγων· ἑώρακα τὸν λαὸν τοῦτον, καὶ ἰδοὺ λαὸς σκληροτράχηλός ἐστι·

Δευτ. 9,13 - Είπε δε πάλιν ο Κυριος προς εμέ· Εχω ομιλήσει προς σε και μίαν και δύο φοράς και σου είπα· είδα και παρακολούθησα τον λαόν τούτον και ιδού, ότι ο λαός αυτός είναι σκληρός και ανυπότακτος !

Δευτ. 9,14 - καὶ νῦν ἔασόν με ἐξολοθρεῦσαι αὐτούς, καὶ ἐξαλείψω τὸ ὄνομα αὐτῶν ὑποκάτωθεν τοῦ οὐρανοῦ καὶ ποιήσω σε εἰς ἔθνος μέγα καὶ ἰσχυρὸν καὶ πολὺ μᾶλλον ἢ τοῦτο.

Δευτ. 9,14 - Και τώρα άφησέ με να τους εξολοθρεύσω και να εξαλείψω το όνομα αυτών από την υφήλιον και αναδείξω σε λαόν μεγάλον και ισχυρόν πολύ περισσότερον από αυτόν.

Δευτ. 9,15 - καὶ ἐπιστρέψας κατέβην ἐκ τοῦ ὄρους, καὶ τὸ ὄρος ἐκαίετο πυρὶ ἕως τοῦ οὐρανοῦ, καὶ αἱ δύο πλάκες τῶν μαρτυρίων ἐπὶ ταῖς δυσὶ χερσί μου.

Δευτ. 9,15 - Επέστρεψα εγώ τότε και κατέβην από το όρος, ενώ το όρος εκαίετο με φωτιά που έφθανεν έως τον ουρανόν, και αι δύο πλάκες της Διαθήκης ευρίσκοντο εις τα δύο μου χέρια.

Δευτ. 9,16 - καὶ ἰδὼν ὅτι ἡμάρτετε ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν καὶ ἐποιήσατε ὑμῖν αὐτοῖς χωνευτὸν καὶ παρέβητε ἀπὸ τῆς ὁδοῦ, ἧς ἐνετείλατο Κύριος ὑμῖν ποιεῖν,

Δευτ. 9,16 - Είδα τότε και εγώ, ότι όντως είχατε αμαρτήσει ενώπιον Κυρίου του Θεού σας και είχατε κατασκευάσει σεις οι ίδιοι δια τον εαυτόν σας ειδωλικόν άγαλμα χυτόν και έτσι εξεκλίνατε από την οδόν, εις την οποίαν ο Κυριος σας είχε διατάξει να βαδίσετε.

Δευτ. 9,17 - καὶ ἐπιλαβόμενος τῶν δύο πλακῶν ἔῤῥιψα αὐτὰς ἀπὸ τῶν δύο χειρῶν μου, καὶ συνέτριψα ἐναντίον ὑμῶν.

Δευτ. 9,17 - Λαβών τας δύο πλάκας τας επέταξα με ορμήν από τα δύο χέρια μου και τας εθρυμμάτισα ενώπιόν σας.

Δευτ. 9,18 - καὶ ἐδεήθην ἐναντίον Κυρίου δεύτερον καθάπερ καὶ τὸ πρότερον τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ἄρτον οὐκ ἔφαγον καὶ ὕδωρ οὐκ ἔπιον, περὶ πασῶν τῶν ἁμαρτιῶν ὑμῶν, ὧν ἡμάρτετε ποιῆσαι τὸ πονηρὸν ἐναντίον Κυρίου τοῦ Θεοῦ παροξῦναι αὐτόν.

Δευτ. 9,18 - Ικέτευσα εκ βάθους καρδίας τον Κυριον, δευτέραν αυτήν φοράν, όπως ακριβώς και προηγουμένως επί τεσσαράκοντα ημέρας και νύκτας, κατά τας οποίας άρτον δεν έφαγον και ύδωρ δεν έπιον, τον ικέτευσα δι' όλας τας αμαρτίας, τας οποίας διειπράξατε, ώστε να καταπέσετε μέχρι τέτοιου σημείου, να διαπράξετε αύτο το φοβερόν αμάρτημα της ειδωλοποιΐας ενώπιον Κυρίου του Θεού σας και να τον παροργίσετε τόσον πολύ εναντίον σας.

Δευτ. 9,19 - καὶ ἔκφοβός εἰμι διὰ τὸν θυμὸν καὶ τὴν ὀργήν, ὅτι παρωξύνθη Κύριος ἐφ᾿ ὑμῖν τοῦ ἐξολοθρεῦσαι ὑμᾶς καὶ εἰσήκουσε Κύριος ἐμοῦ καὶ ἐν τῷ καιρῷ τούτῳ.

Δευτ. 9,19 - Ενώπιον του μεγάλου θυμού και της οργής του Κυρίου κατελήφθην από μέγαν φόβον, διότι τόσον πολύ ηγανάκτησεν εναντίον σας ο Κυριος, ώστε επήρε την απόφασιν να σας εξολοθρεύση. Αλλά ο Κυριος εισήκουσε την δέησίν μου κατά τον καιρόν εκείνον.

Δευτ. 9,20 - καὶ ἐπὶ Ἀαρὼν ἐθυμώθη ἐξολοθρεῦσαι αὐτόν, καὶ ηὐξάμην καὶ περὶ Ἀαρὼν ἐν τῷ καιρῷ ἐκείνῳ.

Δευτ. 9,20 - Και εναντίον του Ααρών ηγανάκτησε τότε ο Κυριος και ηθέλησε να τον εξολοθρεύση, αλλά εγώ προσευχήθην και δι' αυτόν κατά τον καιρόν εκείνον.

Δευτ. 9,21 - καὶ τὴν ἁμαρτίαν ὑμῶν, ἣν ἐποιήσατε, τὸν μόσχον, ἔλαβον αὐτὸν καὶ κατέκαυσα αὐτὸν ἐν πυρὶ καὶ συνέκοψα αὐτὸν καταλέσας σφόδρα, ἕως οὗ ἐγένετο λεπτόν· καὶ ἐγένετο ὡσεὶ κονιορτός, καὶ ἔῤῥιψα τὸν κονιορτὸν εἰς τὸν χειμάῤῥουν τὸν καταβαίνοντα ἐκ τοῦ ὄρους.

Δευτ. 9,21 - Αυτήν δε την μεγάλην αμαρτίαν που εκάματε, το είδωλον δηλαδή του χρυσού μόσχου που ανεκηρύξατε ως θεόν σας, εγώ το επήρα και τα μεν ξύλινα αυτού εξαρτήματα κατέκαυσα, το δε υπόλοιπον χρυσόν τμήμα το έκοψα εις μικρά κομμάτια, το άλεσα έως ότου έτινε λεπτότατη σκόνι, την οποίαν έρριψα στον χείμαρρον, που κατεβαίνει από το όρος Σινά.

Δευτ. 9,22 - καὶ ἐν τῷ Ἐμπυρισμῷ καὶ ἐν τῷ Πειρασμῷ, καὶ ἐν τοῖς Μνήμασι τῆς ἐπιθυμίας παροξύναντες ἦτε Κύριον τὸν Θεὸν ὑμῶν.

Δευτ. 9,22 - Αλλά και εις άλλας περιστάσεις εξοργίσατε Κυριον τον Θεόν σας, όπως συνέβη εις τας τοποθεσίας, που ωνομάζοντο Εμπυρισμός, Πειρασμός, Μνήματα Επιθυμίας.

Δευτ. 9,23 - καὶ ὅτε ἐξαπέστειλεν ὑμᾶς Κύριος ἐκ Κάδης Βαρνὴ λέγων· ἀνάβητε καὶ κληρονομήσατε τὴν γῆν, ἣν δίδωμι ὑμῖν, καὶ ἠπειθήσατε τῷ ῥήματι Κυρίου τοῦ Θεοῦ ὑμῶν καὶ οὐκ ἐπιστεύσατε αὐτῷ καὶ οὐκ εἰσηκούσατε τῆς φωνῆς αὐτοῦ.

Δευτ. 9,23 - Και ότε ο Κυριος ηθέλησε να σας αποστείλη προς την Παλαιστίνην από την Καδης Βαρνή και σας είπε· Προχωρήσατε και καταλάβετε ως δικήν σας κληρονομίαν την χώραν, την οποίαν εγώ σας δίδω· σεις παρηκούσατε την εντολήν Κυρίου του Θεού ημών, δεν επιστεύσατε εις αυτόν και δεν υπετάχθητε εις την εντολήν του.

Δευτ. 9,24 - ἀπειθοῦντες ἦτε τὰ πρὸς Κύριον ἀπὸ τῆς ἡμέρας, ἧς ἐγνώσθη ὑμῖν.

Δευτ. 9,24 - Υπήρξατε και εφανήκατε απειθείς κατά συνέχειαν εις τας προς Κυριον σχέσεις σας από την ημέραν, κατά την οποίαν τον εγνωρίσατε, και εντεύθεν.

Δευτ. 9,25 - καὶ ἐδεήθην ἔναντι Κυρίου τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, ὅσας ἐδεήθην· εἶπε γὰρ Κύριος ἐξολοθρεῦσαι ὑμᾶς·

Δευτ. 9,25 - Εγώ δε ικέτευσα τον Κυριον επί τεσσαράκοντα ημέρας και τεσσαράκοντα νύκτας και τον παρεκάλουν κατά το διάστημα αυτό δια σας, διότι ο Κυριος είχεν είπει ότι θα σας εξολοθρεύση.

Δευτ. 9,26 - καὶ ηὐξάμην πρὸς τὸν Θεὸν καὶ εἶπα· Κύριε βασιλεῦ τῶν θεῶν, μὴ ἐξολοθρεύσῃς τὸν λαόν σου καὶ τὴν μερίδα σου, ἣν ἐλυτρώσω, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψηλῷ·

Δευτ. 9,26 - Προσευχήθην προς τον Θεόν και είπα· Κυριε, βασιλεύ των θεών, μη εξολοθρεύσης τον λαόν σου, την εκλεκτήν αυτήν μερίδα σου, την οποίαν απηλευθέρωσες, του Ισραηλίτας δηλαδή τους οποίους ελευθέρους έβγαλες από την χώραν της Αιγύπτου, με την μεγάλην σου δύναμιν, τη παντοδύναμον δεξιάν σου και την μεγαλειώδη ισχύν σου.

Δευτ. 9,27 - μνήσθητι Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ τῶν θεραπόντων σου, οἷς ὤμοσας κατὰ σεαυτοῦ· μὴ ἐπιβλέψῃς ἐπὶ τὴν σκληρότητα τοῦ λαοῦ τούτου καὶ τὰ ἀσεβήματα, καὶ τὰ ἁμαρτήματα αὐτῶν,

Δευτ. 9,27 - Ενθυμήσου τον Αβραάμ και τον Ισαάκ και τον Ιακώβ, τους δούλους σου, στους οποίους ωρκίσθης επί του εαυτού σου υπέρ του λαού αυτού· μη βλέπης την σκληρότητα του λαού αυτού, την ασέβειάν του και τα αμαρτήματά του.

Δευτ. 9,28 - μὴ εἴπωσιν οἱ κατοικοῦντες τὴν γῆν, ὅθεν ἐξήγαγες ἡμᾶς ἐκεῖθεν, λέγοντες· παρὰ τὸ μὴ δύνασθαι Κύριον εἰσαγαγεῖν αὐτοὺς εἰς τὴν γῆν, ἣν εἶπεν αὐτοῖς, καὶ παρὰ τὸ μισῆσαι αὐτοὺς ἐξήγαγεν αὐτοὺς ἐν τῇ ἐρήμῳ ἀποκτεῖναι αὐτούς.

Δευτ. 9,28 - Μη τους καταστρέψης, Κυριε, δια να μη είπουν οι κάτοικοι της γης, από όπου μας έβγαλες ελευθέρους· Επειδή ο Κυριος δεν ημπόρεσε να εισαγάγη αυτούς εις την χώραν, την οποίαν είχεν υποσχεθή και επειδή εμίσησεν αυτούς, τους έβγαλε εις την έρημον, δια να τους θανατώση !

Δευτ. 9,29 - καὶ οὗτοι λαός σου καὶ κλῆρός σου, οὓς ἐξήγαγες ἐκ γῆς Αἰγύπτου ἐν τῇ ἰσχύϊ σου τῇ μεγάλῃ καὶ ἐν τῇ χειρί σου τῇ κραταιᾷ καὶ ἐν τῷ βραχίονί σου τῷ ὑψηλῷ.

Δευτ. 9,29 - Αλλά αυτοί είναι ιδικός σου λαός, ιδική σου κληρονομία αυτοί, τους οποίους έβγαλες από την χώραν της Αιγύπτου με την μεγάλην σου ισχύν, με την παντοδύναμον δεξιάν σου, με την μεγαλοπρεπή δύναμίν σου.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 10

Δευτ. 10,1 - Ἐν ἐκείνῳ τῷ καιρῷ εἶπε Κύριος πρός με· λάξευσον σεαυτῷ δύο πλάκας λιθίνας, ὥσπερ τὰς πρώτας, καὶ ἀνάβηθι πρός με εἰς τὸ ὄρος· καὶ ποιήσεις σεαυτῷ κιβωτὸν ξυλίνην·

Δευτ. 10,1 - Κατ' εκείνον τον καιρόν μου είπεν ο Κυριος· Πελέκησε συ ο ίδιος δύο λιθίνας πλάκας, όπως ήσαν αι δύο προηγούμεναι, και ανέβα στο όρος, προς εμέ. Επίσης συ ο ίδιος να κατασκευάσης και ένα ξύλινο κιβώτιον.

Δευτ. 10,2 - καὶ γράψεις ἐπὶ τὰς πλάκας τὰ ῥήματα, ἃ ἦν ἐν ταῖς πλαξὶ ταῖς πρώταις, ἃς συνέτριψας, καὶ ἐμβαλεῖς αὐτὰς εἰς τὴν κιβωτόν.

Δευτ. 10,2 - Θα γράψης εις τας λιθίνας αυτάς πλάκας τας εντολάς, αι οποίαι ήσαν χαραγμέναι εις τας δύο προηγουμένας πλάκας, που συνέτριψες,

και θα τοποθετήσης αυτάς στο κιβώτιον, την Κιβωτόν του Μαρτυρίου.

Δευτ. 10,3 - καὶ ἐποίησα κιβωτὸν ἐκ ξύλων ἀσήπτων καί ἐλάξευσα τὰς πλάκας λιθίνας, ὡς αἱ πρῶται· καὶ ἀνέβην εἰς τὸ ὄρος καὶ αἱ δύο πλάκες ἐπὶ ταῖς χερσί μου.

Δευτ. 10,3 - Εκαμα όπως μου είπεν ο Θεός. Κατεσκεύασα την κιβωτόν από ξύλα που δεν σήπονται, επελέκησα τας δύο λιθίνας πλάκας, όπως ήσαν αι προηγούμεναι, και ανέβηκα στο όρος κρατών εις τας χείρας μου τας δύο πλάκας.

Δευτ. 10,4 - καὶ ἔγραψεν ἐπὶ τὰς πλάκας κατὰ τὴν γραφὴν τὴν πρώτην τοὺς δέκα λόγους, οὓς ἐλάλησε Κύριος πρὸς ὑμᾶς ἐν τῷ ὄρει ἐκ μέσου τοῦ πυρός, καὶ ἔδωκεν αὐτὰς Κύριος ἐμοί.

Δευτ. 10,4 - Ο δε Κυριος έγραψεν επάνω εις τας δύο αυτάς πλάκας, ο,τι είχε γράψει εις τας προηγουμένας, δηλαδή τον Δεκάλογον, τας δέκα εντολάς, τας οποίας είχεν είπει προς σας ο Κυριος στο όρος το Σινά μέσα από το πυρ. Αυτάς δε και μου τας έδωκεν.

Δευτ. 10,5 - καὶ ἐπιστρέψας κατέβην ἐκ τοῦ ὄρους καὶ ἐνέβαλον τὰς πλάκας εἰς τὴν κιβωτόν, ἣν ἐποίησα, καὶ ἦσαν ἐκεῖ, καθὰ ἐνετείλατό μοι Κύριος.

Δευτ. 10,5 - Εγώ επέστρεψα, κατέβηκα από το όρος και έβαλα τας πλάκας μέσα εις την κιβωτόν, την οποίαν είχα κατασκευάσει, έμειναν δε και μένουν αυταί εκεί, όπως με διέταξεν ο Κυριος. Επειτα, όπως ενθυμείσθε,

Δευτ. 10,6 - καὶ οἱ υἱοὶ Ἰσραὴλ ἀπῇραν ἐκ Βηρὼθ υἱῶν Ἰακὶμ Μισαδαΐ· ἐκεῖ ἀπέθανεν Ἀαρὼν καὶ ἐτάφη ἐκεῖ, καὶ ἱεράτευσεν Ἐλεάζαρ υἱὸς αὐτοῦ ἀντ᾿ αὐτοῦ.

Δευτ. 10,6 - ανεχώρησαν οι Ισραηλίται από την Βηρώθ, την περιοχήν της φυλής Ιακίμ, και κατηυθύνθησαν προς Μισαδαΐ. Εκεί απέθανε και ετάφη ο Ααρών ο αρχιερεύς. Αντί δε του Ααρών έγινεν αρχιερεύς ο υιός του, ο Ελεάζαρ.

Δευτ. 10,7 - ἐκεῖθεν ἀπῇραν εἰς Γαδγὰδ καὶ ἀπὸ Γαδγὰδ εἰς Ἐτεβαθᾶ, γῆ χείμαῤῥοι ὑδάτων.

Δευτ. 10,7 - Από εκεί επροχώρησαν οι Ισραηλίται εις Γαδγάδ και από την περιοχήν Γαδγάδ εις την διεύθυνσιν Ετεβαθά, εις περιοχήν όπου υπάρχουν ύδατα και χείμαρροι.

Δευτ. 10,8 - ἐν ἐκείνῳ τῷ καιρῷ διέστειλε Κύριος τὴν φυλὴν τὴν Λευὶ αἴρειν τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου, παρεστάναι ἔναντι Κυρίου, λειτουργεῖν καὶ ἐπεύχεσθαι ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης.

Δευτ. 10,8 - Κατά την εποχήν δε εκείνην εξεχώρισεν ο Κυριος την φυλήν Λευί από τας αλλάς φυλάς και ώρισε να μεταφέρη αυτή την Κιβωτόν της Διαθήκης του Κυρίου, να παρίσταται ενώπιον του Κυρίου, να λειτουργή και εν τω ονόματι του Κυρίου, να ευλογή τον λαόν, όπως γίνεται μέχρι σήμερον.

Δευτ. 10,9 - διὰ τοῦτο οὐκ ἔστι τοῖς Λευίταις μερὶς καὶ κλῆρος ἐν τοῖς ἀδελφοῖς αὐτῶν· Κύριος αὐτὸς κλῆρος αὐτοῦ, καθότι εἶπεν αὐτῷ.

Δευτ. 10,9 - Δια τούτο δεν υπάρχει μερίδιον γης και κληρονομία στους Λευΐτας μεταξύ των άλλων Ισραηλιτών, διότι αυτός ο ίδιος ο Κυριος, είναι η κληρονομία της φυλής Λευϊ, όπως είπεν εις αυτήν.

Δευτ. 10,10 - κἀγὼ εἱστήκειν ἐν τῷ ὄρει τεσσαράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας, καὶ εἰσήκουσε Κύριος ἐμοῦ καὶ ἐν τῷ καιρῷ τούτῳ, καὶ οὐκ ἠθέλησε Κύριος ἐξολοθρεῦσαι ὑμᾶς.

Δευτ. 10,10 - Εγώ έμεινα στο όρος Σινά τεσσαράκοντα ημέρας και τεσσαράκοντα νύκτας και προσηυχόμην δια σας· και ο Κυριος ήκουσε την πρασευχήν μου κατά τον καιρόν εκείνον και δεν ηθέλησε να σας εξολοθρεύση.

Δευτ. 10,11 - καὶ εἶπε Κύριος πρός με· βάδιζε, ἄπαρον ἐναντίον τοῦ λαοῦ τούτου, καὶ εἰσπορευέσθωσαν καὶ κληρονομήτωσαν τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν δοῦναι αὐτοῖς.

Δευτ. 10,11 - Αλλά είπεν ο Κυριος προς εμέ· Πηγαινε, αναχώρησε ως αρχηγός και προπορευόμενος του λαού αυτού, και ας εισέλθουν οι Ισραηλίται, δια να κληρονομήσουν την χώραν, την οποίαν με όρκον στους προπάτοράς των υπεσχέθην εγώ να δώσω εις αυτούς.

Δευτ. 10,12 - Καὶ νῦν, Ἰσραήλ, τί Κύριος ὁ Θεός σου αἰτεῖται παρὰ σοῦ, ἀλλ᾿ ἢ φοβεῖσθαι Κύριον τὸν Θεόν σου καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ ἀγαπᾶν αὐτὸν καὶ λατρεύειν Κυρίῳ τῷ Θεῷ σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου,

Δευτ. 10,12 - Και τώρα, λαέ του Ισραήλ, τι άλλο ζητεί από σένα ο Θεός σου αντί όλων των ευεργεσιών του, ειμή μόνον να φοβήσαι τον Θεόν σου, να βαδίζης εις όλας τας οδούς αυτού, να αγαπάς και να λατρεύης Κυριον τον Θεόν σου, με όλην σου την καρδίαν και με όλην σου την ψυχήν,

Δευτ. 10,13 - φυλάσσεσθαι τάς ἐντολὰς Κυρίου τοῦ Θεοῦ σου καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα εὖ σοι ᾖ;

Δευτ. 10,13 - να τηρής τας εντολάς Κυρίου του Θεού σου και τους νόμους του, όσα εγώ σήμερον σε διατάσσω, δια να είσαι έτσι ευτυχής;

Δευτ. 10,14 - ἰδοὺ Κυρίου τοῦ Θεοῦ σου ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ, ἡ γῆ καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ·

Δευτ. 10,14 - Ιδού ο ουρανός και ο υπεράνω του γηΐνου ουρανού έναστρος ουρανός, η γη και όλα όσα υπάρχουν εις αυτήν, ανήκουν στον Κυριον και Θεόν σου.

Δευτ. 10,15 - πλὴν τοὺς πατέρας ὑμῶν προείλετο Κύριος ἀγαπᾶν αὐτούς, καὶ ἐξελέξατο τὸ σπέρμα αὐτῶν μετ᾿ αὐτοὺς ὑμᾶς παρὰ πάντα τὰ ἔθνη κατὰ τὴν ἡμέραν ταύτην.

Δευτ. 10,15 - Εν τούτοις από όλους τους εν τη γη λαούς εξέλεξεν ο Κυριος τους προγόνους σας να τους αγαπά και τους προστατεύη ιδιαιτέρως και έπειτα από αυτούς εξέλεξε τους απογόνους των, δηλαδή σας, ανάμεσα από όλα τα έθνη κατά τους χρόνους τούτους.

Δευτ. 10,16 - καὶ περιτεμεῖσθε τὴν σκληροκαρδίαν ὑμῶν καὶ τὸν τράχηλον ὑμῶν οὐ σκληρυνεῖτε ἔτι·

Δευτ. 10,16 - Απέναντι λοιπόν των δωρεών αυτών του Θεού πρέπει και σεις να περικόψετε και να πετάξετε από επάνω σας την σκληρότητα και ανυπακοήν της καρδίας σας και να μη κρατήτε σκληρόν και άκαμπτον τον τράχηλόν σας απέναντι των εντολών του Κυρίου.

Δευτ. 10,17 - ὁ γὰρ Κύριος ὁ Θεὸς ὑμῶν οὗτος Θεὸς τῶν θεῶν καὶ Κύριος τῶν κυρίων, ὁ Θεὸς ὁ μέγας· καὶ ἰσχυρὸς καὶ φοβερός, ὅστις οὐ θαυμάζει πρόσωπον, οὐδ᾿ οὐ μὴ λάβῃ δῶρον,

Δευτ. 10,17 - Διότι Κυριος ο Θεός σας, αυτός είναι ο αληθινός Θεός, Θεός των θεών και Κυριος των κυρίων, ο Θεός ο μέγας, ο ισχυρός και φοβερός, ο οποίος δεν καταπλήσσεται από πρόσωπα, όσον έξοχα και αν είναι αυτά, και δεν θα δελεασθή με δώρα, ώστε να μη κρίνη δικαίως.

Δευτ. 10,18 - ποιῶν κρίσιν προσηλύτῳ καὶ ὀρφανῷ καὶ χήρᾳ, καὶ ἀγαπᾷ τὸν προσήλυτον δοῦναι αὐτῷ ἄρτον καὶ ἱμάτιον.

Δευτ. 10,18 - Είναι Θεός δίκαιος, ο οποίος κρίνει δικαίως και αποδίδει το δίκαιον στον ξένον, στο ορφανόν, εις την χήραν, και αγαπά τον ξένον, ώστε να δίδη και εις αυτόν άρτον και ένδυμα.

Δευτ. 10,19 - καὶ ἀγαπήσετε τὸν προσήλυτον· προσήλυτοι γὰρ ἦτε ἐν γῇ Αἰγύπτῳ.

Δευτ. 10,19 - Και σεις πρέπει να αγαπήσετε τον ξένον, διότι κάποτε, εκεί εις την Αίγυπτον, υπήρξατε και σεις ξένοι.

Δευτ. 10,20 - Κύριον τὸν Θεόν σου φοβηθήσῃ καὶ αὐτῷ λατρεύσεις καὶ πρὸς αὐτὸν κολληθήσῃ καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ·

Δευτ. 10,20 - Κυριον τον Θεόν σου μόνον αυτόν να φοβήσαι και αυτόν να λατρεύης και εις αυτόν θα προσκολληθής και στο όνομα αυτού θα ορκίζεσαι.

Δευτ. 10,21 - οὗτος καύχημά σου καὶ οὗτος Θεός σου, ὅστις ἐποίησεν ἐν σοὶ τὰ μεγάλα καὶ τὰ ἔνδοξα ταῦτα, ἃ εἴδοσαν οἱ ὀφθαλμοί σου.

Δευτ. 10,21 - Αυτός ο Θεός σου θα είναι το καύχημά σου, ο οποίος επραγματοποίησεν εις σε τα μεγάλα και ένδοξα αυτά, τα οποία είδον τα μάτια σου.

Δευτ. 10,22 - ἐν ἑβδομήκοντα ψυχαῖς κατέβησαν οἱ πατέρες σου εἰς Αἴγυπτον, νυνὶ δὲ ἐποίησέ σε Κύριος ὁ Θεός σου ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει.

Δευτ. 10,22 - Ενθυμήσου, ότι εβδομήκοντα ήσαν όλοι-όλοι οι, πρόγονοί σου, ο Ιακώβ με τους απογόνους του, οι οποίοι κατέβησαν από την Χαναάν

εις την Αίγυπτον. Τωρα δε ο Κυριος σας επλήθυνε τόσον πολύ, ώστε κατά τον αριθμόν να είσθε όσα είναι τα άστρα του ουρανού.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 11

Δευτ. 11,1 - Καὶ ἀγαπήσεις Κύριον τὸν Θεόν σου καὶ φυλάξῃ τὰ φυλάγματα αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ καὶ τὰς ἐντολὰς αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ πάσας τὰς ἡμέρας.

Δευτ. 11,1 - Πρέπει, λοιπόν, να αγαπήσης Κυριον τον Θεόν σου και να τηρήσης όσα σου ζητεί να φυλάξης, δηλαδή τους νόμους του, τας εντολάς του και τας διατάξστου, όλας τας ημέρας της ζωής σου.

Δευτ. 11,2 - καὶ γνώσεσθε σήμερον, ὅτι οὐχὶ τὰ παιδία ὑμῶν, ὅσοι οὐκ οἴδασιν οὐδὲ εἴδοσαν τὴν παιδείαν Κυρίου τοῦ Θεοῦ σου καὶ τὰ μεγαλεῖα αὐτοῦ καὶ τὴν χεῖρα τὴν κραταιὰν καὶ τὸν βραχίονα τὸν ὑψηλὸν

Δευτ. 11,2 - Σας καλώ σήμερον να κατανοήσετε τας δωρεάς του Θεού. Δεν απευθύνομαι εις τα παιδιά σας, τα οποία δεν εγνώρισαν και ούτε είδον την στοργικήν και παιδαγωγικήν φροντίδα του Κυρίου δια σας, τα μεγάλα του έργα, την παντοδύναμον δεξιάν του, την μεγαλειώδη δύναμίν του,

Δευτ. 11,3 - καὶ τὰ σημεῖα αὐτοῦ καὶ τὰ τέρατα αὐτοῦ, ὅσα ἐποίησεν ἐν μέσῳ Αἰγύπτου Φαραὼ βασιλεῖ Αἰγύπτου καὶ πάσῃ τῇ γῇ αὐτοῦ,

Δευτ. 11,3 - τα σημάδια της παντοδυνάμου παρουσίας του και τα καταπληκτικά θαύματα, όσα έκαμε εις όλην την Αίγυπτον, εναντίον του Φαραώ και εναντίον όλης της χώρας του,

Δευτ. 11,4 - καὶ ὅσα ἐποίησε τὴν δύναμιν τῶν Αἰγυπτίων, τὰ ἅρματα αὐτῶν καὶ τὴν ἵππον αὐτῶν, καὶ τὴν δύναμιν αὐτῶν, ὡς ἐπέκλυσε τὸ ὕδωρ τῆς θαλάσσης τῆς ἐρυθρᾶς ἐπὶ προσώπου αὐτῶν καταδιωκόντων αὐτῶν ἐκ τῶν ὀπίσω ὑμῶν καὶ ἀπώλεσεν αὐτοὺς Κύριος ἕως τῆς σήμερον ἡμέρας,

Δευτ. 11,4 - όσα έκαμε εναντίον της στρατιωτικής δυνάμεως των Αιγυπτίων, των πολεμικών αρμάτων, του ιππικού των, εναντίον όλης της ισχυράς δυνάμεώς των, πως, δηλαδή, το ύδωρ της Ερυθράς Θαλάσσης κατεπλημμύρησεν εναντίον αυτών, τότε που σας κατεδίωκον κατά πόδας, και τους κατέστρεψεν ο Κυριος, όπως και μέχρι σήμερον το βλέπει κανείς.

Δευτ. 11,5 - καὶ ὅσα ἐποίησεν ὑμῖν ἐν τῇ ἐρήμῳ, ἕως ἤλθετε εἰς τὸν τόπον τοῦτον,

Δευτ. 11,5 - Ομιλώ προς σας, δια να ενθυμηθήτε πόσα άλλα θαύματα έκαμε προς χάριν σας ο Θεός, εις την έρημον, μέχρις ότου ήλθατε στον τόπον τούτον.

Δευτ. 11,6 - καὶ ὅσα ἐποίησε τῷ Δαθὰν καὶ Ἀβειρὼν υἱοὺς Ἑλιὰβ υἱοῦ Ῥουβήν, οὓς ἀνοίξασα ἡ γῆ τὸ στόμα αὐτῆς κατέπιεν αὐτοὺς καὶ τοὺς οἴκους αὐτῶν καὶ τὰς σκηνὰς αὐτῶν καὶ πᾶσαν αὐτῶν τὴν ὑπόστασιν τὴν μετ᾿ αὐτῶν ἐν μέσῳ παντὸς Ἰσραήλ,

Δευτ. 11,6 - Οσα έκαμε εναντίον του Δαθάν και του Αβειρών, οι οποίοι ήσαν υιοί του Ελιάβ, υιού του Ρουβήν, τους οποίους ήνοιξεν η γη το στόμα της και κατέπιεν αυτούς και τας οικογενείας των και τας σκηνάς των και όλα τα υπάρχοντά των, εν μέσω όλου του ισραηλιτικού λαού.

Δευτ. 11,7 - ὅτι οἱ ὀφθαλμοὶ ὑμῶν ἑώρακαν πάντα τὰ ἔργα Κυρίου τὰ μεγάλα, ὅσα ἐποίησεν ἐν ὑμῖν σήμερον.

Δευτ. 11,7 - Είδατε, με τα ίδια σας τα μάτια, όλα τα μεγάλα και θαυμαστά έργα του Κυρίου, όσα έκαμεν ο Θεός μέχρις σήμερον ενώπιόν σας.

Δευτ. 11,8 - καὶ φυλάξεσθε πάσας τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἵνα ζῆτε καὶ πολυπλασιασθῆτε καὶ εἰσελθόντες κληρονομήσετε τὴν γῆν, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν,

Δευτ. 11,8 - Φυλάξατε, λοιπόν, όλας τας εντολάς του, τας οποίας εγώ σήμερον σας παραγγέλλω, δια να ζήτε και πληθυνθήτε, δια να εισέλθετε και καταλάβετε ως ιδικήν σας την γην της Επαγγελίας, προς την οποίαν διαβαίνετε τώρα τον Ιορδάνην ποταμόν, δια να γίνετε κύριοι αυτής.

Δευτ. 11,9 - ἵνα μακροημερεύσητε ἐπὶ τῆς γῆς, ἧς ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς καὶ τῷ σπέρματι αὐτῶν μετ᾿ αὐτούς, γῆν ῥέουσαν γάλα καὶ μέλι·

Δευτ. 11,9 - Συμμορφωθήτε προς το θέλημα του Θεού, δια να ζήσετε πολλάς ημέρας εις την χώραν, την οποίαν με όρκον υπεσχέθη να την δώση ο Κυριος στους προπάτοράς σας και έπειτα από αυτούς εις σας, τους απογόνους των, την γην της Επαγγελίας, την ρέουσαν γάλα και μέλι.

Δευτ. 11,10 - ἔστι γὰρ ἡ γῆ, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν, οὐχ ὥσπερ γῆ Αἰγύπτου ἐστίν, ὅθεν ἐκπεπόρευσθε ἐκεῖθεν, ὅταν σπείρωσι τὸν σπόρον καὶ ποτίζωσι τοῖς ποσὶν αὐτῶν ὡσεὶ κῆπον λαχανείας·

Δευτ. 11,10 - Είναι δε η χώρα, προς την οποίαν βαδίζετε δια να την κληρονομήσετε, όχι όπως είναι η χώρα της Αιγύπτου, από την οποίαν εξήλθατε. Εκεί όταν ρίπτουν τον σπόρον, ποτίζουν την γην, ως εάν είναι λαχανόκηπος, με ποτιστικά μέσα, που τα κινούν με τα πόδια των.

Δευτ. 11,11 - ἡ δὲ γῆ, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν, γῆ ὀρεινὴ καὶ πεδεινή, ἐκ τοῦ ὑετοῦ τοῦ οὐρανοῦ πίεται ὕδωρ,

Δευτ. 11,11 - Ενώ η χώρα, εις την οποίαν σεις πορεύεσθε δια να την καταλάβετε ως ιδιοκτησίαν σας, είναι χώρα ορεινή και πεδινή, ποτίζεται δε και χορταίνει από το νερό της βροχής που έρχεται εκ του ουρανού.

Δευτ. 11,12 - γῆ, ἣν Κύριος ὁ Θεός σου ἐπισκοπεῖται αὐτὴν διαπαντός, οἱ ὀφθαλμοὶ Κυρίου τοῦ Θεοῦ σου ἐπ᾿ αὐτῆς ἀπ᾿ ἀρχῆς τοῦ ἐνιαυτοῦ καὶ ἕως συντελείας τοῦ ἐνιαυτοῦ.

Δευτ. 11,12 - Είναι χώρα, την οποίαν Κυριος ο Θεός σου επιβλέπει πάντοτε και επιμελείται, επί της οποίας οι οφθαλμοί του Κυρίου με στοργήν επιβλέπουν από την αρχήν έως το τέλος εκάστου έτους.

Δευτ. 11,13 - Ἐὰν δὲ ἀκοῇ ἀκούσητε πάσας τὰς ἐντολάς, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἀγαπᾶν Κύριον τὸ Θεόν σου καὶ λατρεύειν αὐτῷ ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου,

Δευτ. 11,13 - Εάν, λοιπόν, ακούσετε και υπακούσετε εις πάσας τας εντολάς, τας οποίας εγώ σήμερον σας δίδω, δηλαδή να αγαπάτε Κυριον τον Θεόν σας και αυτόν να λατρεύετε με όλην σας την καρδίαν και με όλην σας την διάνοιαν,

Δευτ. 11,14 - καὶ δώσει τὸν ὑετὸν τῇ γῇ σου καθ᾿ ὥραν πρώϊμον καὶ ὄψιμον, καὶ εἰσοίσεις τὸν σῖτόν σου καὶ τὸν οἶνόν σου καὶ τὸ ἔλαιόν σου·

Δευτ. 11,14 - Ο Θεός θα στέλλη (ποτιστικήν) βροχήν εις την γην σας, πρώϊμον και όψιμον, εις τον κατάλληλον καιρόν, και θα συγκομίζετε το σιτάρι σας, τον οίνον σας και το έλαιόν σας.

Δευτ. 11,15 - καὶ δώσει χορτάσματα ἐν τοῖς ἀγροῖς σου τοῖς κτήνεσί σου·

Δευτ. 11,15 - Θα δίδη επίσης ο Θεός πλούσια χόρτα στους αγρούς σας, άφθονον βοσκήν δια τα ζώα σας.

Δευτ. 11,16 - καὶ φαγὼν καὶ ἐμπλησθεὶς πρόσεχε σεαυτῷ, μὴ πλατυνθῇ ἡ καρδία σου καὶ παραβῆτε καὶ λατρεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς,

Δευτ. 11,16 - Οταν όμως φάγετε και χορτασθήτε, προσέχετε στον εαυτόν σας, μήπως τυχόν ανοίξη εις τα υλικά διάπλατα η καρδιά σας και δελεαζόμενοι από τας τέρψεις παραβήτε το θέλημα του Κυρίου και λατρεύσετε άλλους θεούς και προσκυνήσετε αυτούς,

Δευτ. 11,17 - καὶ θυμωθεὶς ὀργῇ Κύριος ἐφ᾿ ὑμῖν καὶ συσχῇ τὸν οὐρανόν, καὶ οὐκ ἔσται ὑετός, καὶ ἡ γῆ οὐ δώσει τὸν καρπὸν αὐτῆς, καὶ ἀπολεῖσθε ἐν τάχει ἀπό τῆς γῆς τῆς ἀγαθῆς, ἧς Κύριος ἔδωκεν ὑμῖν.

Δευτ. 11,17 - Οπότε θα οργισθή ο Κυριος εναντίον σας και θα κλείση τον ουρανόν. Και τότε δεν θα πέση βροχή εις την γην και η χώρα δεν θα δώση τους καρπούς της και σεις θα καταστραφήτε αμέσως από το πρόσωπον της ευφόρου και πλουσίας γης, την οποίαν σας έδωκεν ο Κυριος.

Δευτ. 11,18 - καὶ ἐμβαλεῖτε τὰ ῥήματα ταῦτα εἰς τὴν καρδίαν ὑμῶν καὶ εἰς τὴν ψυχὴν ὑμῶν· καὶ ἀφάψετε αὐτὰ εἰς σημεῖον ἐπὶ τῆς χειρὸς ὑμῶν, καὶ ἔσται ἀσάλευτον πρὸ ὀφθαλμῶν ὑμῶν·

Δευτ. 11,18 - Βαλετε τα λόγια αυτά εις την διάνοιάν σας και εις την καρδίαν σας, δέσατέ τα, ως σημείον Θεού, εις τα χέρια σας, δια να είναι

πάντοτε σταθερά εμπρός εις τα μάτια σας.

Δευτ. 11,19 - καὶ διδάξετε αὐτὰ τὰ τέκνα ὑμῶν λαλεῖν ἐν αὐτοῖς καθημένους ἐν οἴκῳ καὶ πορευομένους ἐν ὁδῷ καὶ καθεύδοντας καὶ διανισταμένους.

Δευτ. 11,19 - Αυτά τα λόγια του Θεού πρέπει να τα διδάξετε εις τα παιδιά σας, δια να συνομιλούν γύρω από αυτά, όταν κάθωνται στο σπίτι, όταν περιπατούν στον δρόμον, όταν ετοιμάζωνται να κοιμηθούν και όταν σηκώνωνται από τον ύπνον.

Δευτ. 11,20 - καὶ γράψετε αὐτὰ ἐπὶ τὰς φλιὰς τῶν οἰκιῶν ὑμῶν καὶ τῶν πυλῶν ὑμῶν,

Δευτ. 11,20 - Θα γράψετε αυτά στους παραστάτας της θύρας των οικιών σας και εις όλας τας θύρας σας.

Δευτ. 11,21 - ἵνα μακροημερεύσητε καὶ αἱ ἡμέραι τῶν υἱῶν ὑμῶν ἐπὶ τῆς γῆς, ἧς ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς, καθὼς αἱ ἡμέραι τοῦ οὐρανοῦ ἐπὶ τῆς γῆς.

Δευτ. 11,21 - Θα τηρήσετε όλα αυτά δια να μακροημερεύσετε σεις οι ίδιο, και δια να γίνουν πολλαί και μακραί αι ημέραι των παιδιών σας επάνω εις την γην, την οποίαν ωρκίσθη ο Κυριος στους προπάτοράς σας να τους την δώση, να γίνουν όσαι αι ημέραι του ουρανού επί της γης, να διαρκέσουν μέχρι τέλους του κόσμου.

Δευτ. 11,22 - καὶ ἔσται ἐὰν ἀκοῇ ἀκούσητε πάσας τὰς ἐντολὰς ταύτας, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον ποιεῖν, ἀγαπᾶν Κύριον τὸν Θεὸν ἡμῶν καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ προσκολλᾶσθαι αὐτῷ,

Δευτ. 11,22 - Εάν με την καρδιά και την ψυχήν σας υπακούσετε εις όλας αυτάς τας εντολάς, τας οποίας εγώ σας δίδω δια να τηρήσετε, εάν δηλαδή αγαπάτε Κυριον τον Θεόν σας και βαδίζετε στον δρόμον των εντολών του και είσθε προσκολλημμένοι με πίστιν εις αυτόν,

Δευτ. 11,23 - καὶ ἐκβαλεῖ Κύριος πάντα τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου ὑμῶν, καὶ κληρονομήσετε ἔθνη μεγάλα καὶ ἰσχυρὰ μᾶλλον ἢ ὑμεῖς.

Δευτ. 11,23 - τότε ο Κυριος θα εκδιώξη από εμπρός σας όλα τα εχθρικά προς σας ειδωλολατρικά έθνη και θα κληρονομήσετε σεις την χώραν και τα αγαθά εθνών πολύ μεγαλυτέρων και ισχυρότερων από σας.

Δευτ. 11,24 - πάντα τὸν τόπον, οὗ ἐὰν πατήσῃ τὸ ἴχνος τοῦ ποδὸς ὑμῶν, ὑμῖν ἔσται· ἀπὸ τῆς ἐρήμου καὶ Ἀντιλιβάνου καὶ ἀπὸ τοῦ ποταμοῦ τοῦ μεγάλου, ποταμοῦ Εὐφράτου, καὶ ἕως τῆς θαλάσσης τῆς ἐπὶ δυσμῶν ἔσται τὰ ὅριά σου.

Δευτ. 11,24 - Καθε τόπος, τον οποίον θα πατήσουν τα πόδια σας θα είναι ιδικός σας. Από την έρημον περιοχήν του νότου έως το όρος Αντιλίβανον προς βρραν, από τον μεγάλον ποταμόν τον Ευφράτην και δυτικώς μέχρι της Μεσογείου Θαλάσσης θα εκταθούν τα όρια της χώρας σας.

Δευτ. 11,25 - οὐκ ἀντιστήσεται οὐδεὶς κατὰ πρόσωπον ὑμῶν· τὸν φόβον ὑμῶν καὶ τὸν τρόμον ὑμῶν ἐπιθήσει Κύριος ὁ Θεὸς ὑμῶν ἐπὶ πρόσωπον πάσης τῆς γῆς, ἐφ᾿ ἧς ἂν ἐπιβῆτε ἐπ᾿ αὐτῆς, ὃν τρόπον ἐλάλησε πρὸς ὑμᾶς.

Δευτ. 11,25 - Κανείς δεν θα αντισταθή ενώπιόν σας. Τον φόβον και τον τρόμον σας, θα εμβάλη Κυριος ο Θεός σας στους ανθρώπους όλων των χωρών, προς τας οποίας σεις θα απλωθήτε, όπως σας υπεσχέθη ο Θεός.

Δευτ. 11,26 - ᾿Ἰδοὺ ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον τὴν εὐλογίαν καὶ τὴν κατάραν·

Δευτ. 11,26 - Ιδού, εγώ σας δίδω σήμερον και παραθέτω ενώπιόν σας την ευλογίαν μου και την κατάραν μου.

Δευτ. 11,27 - τὴν εὐλογίαν, ἐὰν ἀκούσητε τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον,

Δευτ. 11,27 - Την ευλογίαν, εάν υπακούσετε εις τας εντολάς Κυρίου του Θεού σας, όσας εγώ σήμερον παραγγέλλω προς σας.

Δευτ. 11,28 - καὶ τὴν κατάραν, ἐὰν μὴ ἀκούσητε τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, καὶ πλανηθῆτε ἀπὸ τῆς ὁδοῦ, ἧς ἐνετειλάμην ὑμῖν, πορευθέντες· λατρεύειν θεοῖς ἑτέροις, οὓς οὐκ οἴδατε.

Δευτ. 11,28 - Την κατάραν δέ, εάν δεν υπακούσετε εις τας εντολάς Κυρίου του Θεού μας, τας οποίας εγώ σήμερον σας δίδω, εάν παρεκκλίνετε και απομακρυνθήτε από την οδόν, την οποίαν σας διέταξα, και πορευθήτε να λατρεύσετε θεούς άλλους, τους οποίους προηγουμένως δεν εγνωρίζατε.

Δευτ. 11,29 - καὶ ἔσται ὅταν εἰσαγάγῃ σε Κύριος ὁ Θεός σου εἰς τὴν γῆν, εἰς ἣν διαβαίνεις ἐκεῖ κληρονομῆσαι αὐτήν, καὶ δώσεις τὴν εὐλογίαν ἐπ᾿ ὄρος Γαριζὶν καὶ τὴν κατάραν ἐπ᾿ ὄρος Γαιβάλ.

Δευτ. 11,29 - Οταν δε Κυριος ο Θεός σας σας εισαγάγη εις την χώραν, προς την όποίαν μεταβαίνετε δια να την καταλάβετε, θα απαγγείλετε τας μεν ευλογίας στο όρος Γαριζίν, τας δε κατάρας στο όρος Γαιβάλ.

Δευτ. 11,30 - (οὐκ ἰδοὺ ταῦτα πέραν τοῦ Ἰορδάνου ὀπίσω ὁδὸν δυσμῶν ἡλίου ἐν γῇ Χαναὰν τὸ κατοικοῦν ἐπὶ δυσμῶν ἐχόμενον τοῦ Γολγὸλ πλησίον τῆς δρυὸς τῆς ὑψηλῆς;)

Δευτ. 11,30 - (Τα όρη αυτά δεν ευρίσκονται πέραν του Ιορδάνου, οπίσω της οδού, που οδηγεί προς δυσμάς, εις την χώραν των Χαναναίων, οι οποίοι κατοικούν δυτικώς πλησίον του Γολγόλ και πλησίον της υψηλής δρυός;)

Δευτ. 11,31 - ὑμεῖς γὰρ διαβαίνετε τὸν Ἰορδάνην εἰσελθόντες κληρονομῆσαι τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς ἡμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ πάσας τὰς ἡμέρας, καὶ κατοικήσετε ἐν αὐτῇ·

Δευτ. 11,31 - Ανακοινώνω αυτά προς σας τώρα, διότι εντός ολίγου θα διαβήτε τον Ιορδάνην ποταμόν, δια να εισέλθετε και κληρονομήσετε την γην,

την οποίαν Κυριος ο Θεός σας δίδει ως κλήρον σας όλας τας ημέρας της ζωής σας, δια να κατοικήσετε εις αυτήν.

Δευτ. 11,32 - καὶ φυλάξεσθε τοῦ ποιεῖν πάντα τὰ προστάγματα αὐτοῦ καὶ τὰς κρίσεις ταύτας, ὅσας ἐγὼ δίδωμι ἐνώπιον ὑμῶν σήμερον.

Δευτ. 11,32 - Θα προσέξετε, λοιπόν, ώστε να τηρήτε όλας τας εντολάς του, όλα τα προστάγματά του και τας κρίσστου, όσας εγώ σήμερον παραθέτω ενώπιόν σας.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 12

Δευτ. 12,1 - Καὶ ταῦτα τὰ προστάγματα καὶ αἱ κρίσεις, ἃς φυλάξετε τοῦ ποιεῖν ἐν τῇ γῇ, ἣν Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν ἐν κλήρῳ πάσας τὰς ἡμέρας, ἃς ὑμεῖς ζῆτε ἐπὶ τῆς γῆς.

Δευτ. 12,1 - Αυτά δε είναι τα προστάγματα κα αι διατάξεις, τας οποίας θα φροντίσετε να τηρήτε εις την χώραν, την οποίαν Κυριος ο Θεός των πατέρων σας δίδει ως κληρονομίαν σας όλας τας ημέρας, που θα ζήσετε επί της γης.

Δευτ. 12,2 - ἀπωλείᾳ ἀπολεῖτε πάντας τοὺς τόπους, ἐν οἷς ἐλάτρευσαν ἐκεῖ τοῖς θεοῖς αὐτῶν, οὓς ὑμεῖς κληρονομεῖτε αὐτούς, ἐπὶ τῶν ὀρέων τῶν ὑψηλῶν καὶ ἐπὶ τῶν θινῶν καὶ ὑποκάτω δένδρου δασέος.

Δευτ. 12,2 - Θα καταστρέψετε εξ ολοκλήρου όλους τους τόπους, επάνω στους οποίους οι ειδωλολάτραι ελάτρευσαν τους θεούς των- τόπους οι οποίοι θα γίνουν πλέον ιδικοί σας- επάνω εις τα υψηλά όρη και στους λόφους και κάτω από βαθύσκια δένδρα.

Δευτ. 12,3 - καὶ κατασκάψετε τοὺς βωμοὺς αὐτῶν καὶ συντρίψετε τὰς στήλας αὐτῶν καὶ τὰ ἄλση αὐτῶν ἐκκόψετε καὶ τὰ γλυπτὰ τῶν θεῶν αὐτῶν κατακαύσετε πυρί, καὶ ἀπολεῖται τὸ ὄνομα αὐτῶν ἐκ τοῦ τόπου ἐκείνου.

Δευτ. 12,3 - Θα κατασκάψετε εκ θεμελίων τους βωμούς των, θα συντρίψετε τας ειδωλολατρικάς στήλας των, θα κόψετε από την ρίζαν τα ιερά δάση των, θα καύσετε στο πυρ τα αγάλματα των θεών των, και αυτά ακόμη τα ονόματά των θα τα εξαλείψετε από εκείνους τους τόπους.

Δευτ. 12,4 - οὐ ποιήσετε οὕτω Κυρίῳ τῷ Θεῷ ὑμῶν,

Δευτ. 12,4 - Δεν θα κάμετε όμως το ίδιον πράγμα δια τον Κυριον και Θεόν σας.

Δευτ. 12,5 - ἀλλ᾿ ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐν μιᾷ τῶν πόλεων ὑμῶν ἐπονομάσαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ καὶ ἐπικληθῆναι, καὶ ἐκζητήσετε καὶ εἰσελεύσεσθε ἐκεῖ

Δευτ. 12,5 - Αλλά θα προσέρχεσθε να ζητήτε αυτόν, στον τόπον, τον οποίον θα εκλέξη Κυριος ο Θεός σας, εις μίαν από τας πόλεις σας, δια να τιμάται ιδιαιτέρως εκεί το όνομά του.

Δευτ. 12,6 - καὶ οἴσετε ἐκεῖ τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ θυσιάσματα ὑμῶν καὶ τὰς ἀπαρχὰς ὑμῶν καὶ τὰς εὐχὰς ὑμῶν καὶ τὰ ἑκούσια ὑμῶν καὶ τὰς ὁμολογίας ὑμῶν, τὰ πρωτότοκα τῶν βοῶν ὑμῶν καὶ τῶν προβάτων ὑμῶν

Δευτ. 12,6 - Εκεί θα προσφέρετε τα ολοκαυτώματά σας, τας θυσίας σας, τους πρώτους καρπούς από τα προϊόντα σας, τα ταξίματά σας, τας άλλας αυτοπροαιρέτους προσφοράς σας, ο,τι άλλο ηθέλατε ξεχωρίσει δια τον Κυριον, τα πρωτότοκα από τα βόδια σας και από τα πρόβατά σας.

Δευτ. 12,7 - καὶ φάγεσθε ἐκεῖ ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν καὶ εὐφρανθήσεσθε ἐπὶ πᾶσιν, οὗ ἐὰν ἐπιβάλητε τὴν χεῖρα, ὑμεῖς καὶ οἱ οἶκοι ὑμῶν, καθότι εὐλόγησέ σε Κύριος ὁ Θεός σου.

Δευτ. 12,7 - Εκεί θα φάτε ενώπιον Κυρίου του Θεού σας και θα ευφρανθήτε δι' όλα αυτά, τα οποία προσφέρετε με το χέρι σας· θα είσθε ευτυχείς σεις και αι οικογενέιαί σας, με όλα όσα σας ηυλόγησεν Κυριος ο Θεός σας.

Δευτ. 12,8 - οὐ ποιήσετε πάντα ὅσα ἡμεῖς ποιοῦμεν ὧδε σήμερον, ἕκαστος τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ·

Δευτ. 12,8 - Δεν θα κάμετε αυτά, που ημείς σήμερον κάμνομεν εδώ, όπου ο καθένας κάμνει ο,τι του αρέσει,

Δευτ. 12,9 - οὐ γὰρ ἥκατε ἕως τοῦ νῦν εἰς τὴν κατάπαυσιν καὶ εἰς τὴν κληρονομίαν ἣν Κύριος ὁ Θεὸς ἡμῶν δίδωσιν ὑμῖν.

Δευτ. 12,9 - διότι δεν έχετε εισέλθει ακόμη εις την ανάπαυσιν και εις την κληρονομίαν την οποίαν ο Κυριος ο Θεός μας δίδει εις σας.

Δευτ. 12,10 - καὶ διαβήσεσθε τὸν Ἰορδάνην, καὶ κατοικήσετε ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεὸς ἡμῶν κατακληρονομεῖ ὑμῖν, καὶ καταπαύσει ὑμᾶς ἀπὸ πάντων τῶν ἐχθρῶν ὑμῶν τῶν κύκλῳ, καὶ κατοικήσετε μετὰ ἀσφαλείας.

Δευτ. 12,10 - Οταν όμως διαβήτε τον Ιορδάνην και εγκατασταθήτε εις την γην, την οποίαν Κυριος ο Θεός μας κληροδοτεί εις σας, εκεί όπου θα σας αναπαύση και θα σας κατασφαλίση από όλους τους γύρω εχθρούς σας, και σεις θα κατοικήτε εκεί με ασφάλειαν,

Δευτ. 12,11 - καὶ ἔσται ὁ τόπος, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ἐκεῖ οἴσετε πάντα, ὅσα ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, τὰ ὁλοκαυτώματα ὑμῶν καὶ τὰ θυσιάσματα ὑμῶν καὶ τὰ ἐπιδέκατα ὑμῶν καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν ὑμῶν καὶ πᾶν ἐκλεκτὸν τῶν δώρων ὑμῶν, ὅσα ἂν εὔξησθε Κυρίῳ τῷ Θεῷ ὑμῶν,

Δευτ. 12,11 - τότε στον τόπον, τον οποίον θα εκλέξη ο Κυριος δια να λατρεύετε το όνομά του, εκεί θα προσφέρετε όσα εγώ σήμερον σας διατάσσω, δηλαδή τα ολοκαυτώματά σας, τας θυσίας σας, τα δέκατα των εισοδημάτων σας, τα πρωτογεννήματα από τους κόπους των χειρών σας και

κάθε τι εκλεκτόν δώρον από τα δώρα σας, όσα ηθέλατε τάξει προς Κυριον τον Θεόν σας.

Δευτ. 12,12 - καὶ εὐφρανθήσεσθε ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν, ὑμεῖς καὶ οἱ υἱοὶ ὑμῶν καὶ αἱ θυγατέρες ὑμῶν καὶ οἱ παῖδες ὑμῶν καὶ αἱ παιδίσκαι ὑμῶν καὶ ὁ Λευίτης ὁ ἐπὶ τῶν πυλῶν ὑμῶν, ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μεθ᾿ ὑμῶν.

Δευτ. 12,12 - Θα ευφρανθήτε ενώπιον Κυρίου του Θεού σας, σεις και οι υιοί σας και αι θυγατέρες σας, οι δούλοι σας και αι δούλαι σας και ο Λευΐτης, ο οποίος ευρίσκεται έξω από την θύραν σας, διότι αυτός δεν έχει μερίδιον και κλήρον μαζή με σας εις την γην της Επαγγελίας.

Δευτ. 12,13 - πρόσεχε σεαυτῷ, μὴ ἀνενέγκῃς τὰ ὁλοκαυτώματά σου ἐν παντὶ τόπῳ, οὗ ἐὰν ἴδῃς,

Δευτ. 12,13 - Προσέχετε στον εαυτόν σας να μη προσφέρετε τα ολοκαυτώματά σας εις οιονδήποτε τόπον, τον οποίον σεις ηθέλατε ίδει και προτιμήσει,

Δευτ. 12,14 - ἀλλ᾿ ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν ἐν μιᾷ τῶν φυλῶν σου, ἐκεῖ ἀνοίσετε τὰ ὁλοκαυτώματα ὑμῶν καὶ ἐκεῖ ποιήσεις πάντα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον.

Δευτ. 12,14 - αλλά μόνον στον τόπον, τον οποίον ήθελεν εκλέξει Κυριος ο Θεός σου, τον ωρισμένον τόπον εις μίαν από τας δώδεκα φυλάς σας, εκεί θα προσφέρετε τα ολοκαυτώματά σας και όλα όσα εγώ σας διατάσσω σήμερον.

Δευτ. 12,15 - ἀλλ᾿ ἢ ἐν πάσῃ ἐπιθυμίᾳ σου θύσεις καὶ φαγῇ κρέα κατὰ τὴν εὐλογίαν Κυρίου τοῦ Θεοῦ σου, ἣν ἔδωκέ σοι ἐν πάσῃ πόλει· ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ἐπὶ τὸ αὐτὸ φάγεται αὐτό, ὡς δορκάδα ἢ ἔλαφον.

Δευτ. 12,15 - Εάν όμως επιθυμήσης να σφάξης ένα ζώον σου και να φάγης το κρέας του, δώρον το οποίον Κυριος ο Θεός σου σου έδωκεν, ημπορείς να το σφάξης και να το φάγης εις οιανδήποτε πόλιν. Από αυτό δύναται να φάγη όχι μόνον ο καθαρός κατά τον Νομον του Θεού, αλλά και ο ακάθαρτος, όπως αδιαφόρως τρώγετε το ζαρκάδι η το ελάφι.

Δευτ. 12,16 - πλὴν τὸ αἷμα οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖτε αὐτὸ ὡς ὕδωρ

Δευτ. 12,16 - Αλλά το αίμα αυτών δεν θα το φάγετε· θα το χύσετε εις την γην, όπως χύνετε το νερό.

Δευτ. 12,17 - οὐ δυνήσῃ φαγεῖν ἐν ταῖς πόλεσί σου τὸ ἐπιδέκατον τοῦ σίτου σου καὶ τοῦ οἴνου σου καὶ τοῦ ἐλαίου σου, τὰ πρωτότοκα τῶν βοῶν σου καὶ τῶν προβάτων σου καὶ πάσας τάς εὐχάς, ὅσας ἂν εὔξησθε, καὶ τὰς ὁμολογίας ὑμῶν καὶ τὰς ἀπαρχὰς τῶν χειρῶν ὑμῶν,

Δευτ. 12,17 - Δεν επιτρέπεται όμως να φάγης μέσα εις τας οιασδήποτε πόλεις σου το δέκατον του σίτου σου και του οίνου σου και του ελαίου σου,

τα πρωτότοκα των βοών και των προβάτων σου, τα ταξίματα που ήθελες κάμει προς τον Θεόν, τας αυτοπροαιρέτους προσφοράς και τα πρωτογεννήματα των αγρών σου, που συλλέγετε με τα χέρια σας.

Δευτ. 12,18 - ἀλλ᾽ ἢ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου φαγῇ αὐτὸ ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτῷ, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου καὶ ὁ προσήλυτος ὁ ἐν ταῖς πόλεσιν ὑμῶν, καὶ εὐφρανθήσῃ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου ἐπὶ πάντα, οὗ ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου.

Δευτ. 12,18 - Αυτά, δώρα του Κυρίου και προσφοραί προς τον Κυριον, θα φαγωθούν στον ιερόν τόπον, τον οποίον θα εκλέξη δια τον εαυτόν του Κυριος ο Θεός σου. Θα φάγης αυτά συ, ο υιός σου και η κόρη σου, ο δούλος και η δούλη σου και ο ξένος, που θα ευρίσκεται εις τας πόλεις σας. Θα ευφρανθήτε ενώπιον Κυρίου του Θεού σας από όλα αυτά, που θα είναι και των ιδικών σας χειρών έργα.

Δευτ. 12,19 - πρόσεχε σεαυτῷ, μὴ ἐγκαταλίπῃς τὸν Λευίτην πάντα τὸν χρόνον, ὅσον ἂν ζῇς ἐπὶ τῆς γῆς.

Δευτ. 12,19 - Προσέχετε να μη εγκαταλείψετε αβοηθήτον τον Λευΐτην όλον τον καιρόν, που θα ζήτε εις την χώραν σας.

Δευτ. 12,20 - Ἐὰν δὲ ἐμπλατύνῃ Κύριος ὁ Θεός σου τὰ ὅριά σου, καθάπερ ἐλάλησέ σοι, καὶ ἐρεῖς· φάγομαι κρέα, ἐὰν ἐπιθυμήσῃ ἡ ψυχή σου ὥστε φαγεῖν κρέα, ἐν πάσῃ ἐπιθυμίᾳ τῆς ψυχῆς σου φαγῇ κρέα.

Δευτ. 12,20 - Εάν Κυριος ο Θεός σας ευρύνη τα όριά σας, όπως σας υπεσχέθη, και σας δώση τα αγαθά του, συ δε είπης· Θα φάγω κρέας. Εάν επιθυμή η ψυχή σου να φάγη κρέας, φάγε κατά την επιθυμίαν σου.

Δευτ. 12,21 - ἐὰν δὲ μακρὰν ἀπέχῃ σου ὁ τόπος, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐκεῖ ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, καὶ θύσεις ἀπὸ τῶν βοῶν σου καὶ ἀπὸ τῶν προβάτων σου, ὧν ἂν δῷ ὁ Θεός σοι, ὃν τρόπον ἐνετειλάμην σοι καὶ φαγῇ ἐν ταῖς πόλεσί σου κατὰ τὴν ἐπιθυμίαν τῆς ψυχῆς σου·

Δευτ. 12,21 - Εαν ο τόπος, εις τον οποίον μένεις, ευρίσκεται μακράν από τον τόπον, τον οποίον εξέλεξε Κυριος ο Θεός σου, δια να λατρεύεται εκεί το όνομά του, θα σφάξης από τα βόδια του και από τα πρόβατά σου, που σου έχει δώσει ο Θεός, και, όπως σε διέταξα, θα φάγης από αυτά εις τας πόλεις σου σύμφωνα με την επιθυμίαν και την διάθεσίν σου.

Δευτ. 12,22 - ὡς ἔσθεται ἡ δορκὰς καὶ ἡ ἔλαφος, οὕτω φαγῇ αὐτό, ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ὡσαύτως ἔδεται.

Δευτ. 12,22 - Οπως αδιαφόρως τρώγεται το ζαρκάδι και το ελάφι, έτσι και συ θα φάγης αυτό. Από αυτό θα φάγη επίσης, όχι μόνον ο κατά τον Νομον του Θεού καθαρός, αλλά και ο ακάθαρτος.

Δευτ. 12,23 - πρόσεχε ἰσχυρῶς τοῦ μὴ φαγεῖν αἷμα, ὅτι τὸ αἷμα αὐτοῦ ψυχή· οὐ βρωθήσεται ψυχὴ μετὰ τῶν κρεῶν,

Δευτ. 12,23 - Πρόσεχε όμως πολύ να μη φάγης αίμα, διότι το αίμα του ζώου είναι η ζωη του (κάθε δε ζωή ανήκει στον Θεόν). Δεν πρέπει να φαγωθή η ζωή μαζή με το κρέας.

Δευτ. 12,24 - οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖτε αὐτὸ ὡς ὕδωρ·

Δευτ. 12,24 - Δεν θα φάγετε το αίμα, αλλά θα το χύσετε στο χώμα, όπως το νερό.

Δευτ. 12,25 - οὐ φαγῇ αὐτό, ἵνα εὖ σοι γένηται καὶ τοῖς υἱοῖς σου μετὰ σέ, ἐὰν ποιήσῃς τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἐναντίον Κυρίου τοῦ Θεοῦ σου.

Δευτ. 12,25 - Δεν θα φάγης, λοιπόν, το αίμα του ζώου, δια να ζήσης έτσι ευτυχής συ και οι υιοί σου έπειτα από σέ, εάν θα πράξετε το καλόν και ευάρπτον ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 12,26 - πλὴν τὰ ἅγιά σου, ἐὰν γένηταί σοι, καὶ τὰς εὐχάς σου λαβὼν ἥξεις εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ,

Δευτ. 12,26 - Ομως τας αγίας προσφοράς σου, όταν αυτάς θα τας ετοιμάσης, και τα ταξίματά σου, λάβε τα και πρόσφερέ τα στον τόπον, τον οποίον θα εκλέξη Κυριος ο Θεός σου, δια να λατρεύεται εκεί το όνομά του.

Δευτ. 12,27 - καὶ ποιήσεις τὰ ὁλοκαυτώματά σου· τὰ κρέα ἀνοίσεις ἐπὶ τὸ θυσιαστήριον Κυρίου τοῦ Θεοῦ σου, τὸ δὲ αἷμα τῶν θυσιῶν σου προσχεεῖς πρὸς τὴν βάσιν τοῦ θυσιαστηρίου Κυρίου τοῦ Θεοῦ σου, τὰ δὲ κρέα φαγῇ.

Δευτ. 12,27 - Εκεί θα πρασφέρης τα ολοκαυτώματά σου, το κρέας με το αίμα επάνω στο θυσιαστήριον Κυρίου του Θεού σου. Το αίμα όμως των άλλων θυσιών, θα το χύσης εις την βάσιν του θυσιαστηρίου Κυρίου του Θεού σου, το δε κρέας αυτών θα το φάγετε σεις.

Δευτ. 12,28 - φυλάσσου καὶ ἄκουε καὶ ποιήσεις πάντας τοὺς λόγους, οὓς ἐγὼ ἐντέλλομαί σοι, ἵνα εὖ σοι γένηται καὶ τοῖς υἱοῖς σου δι᾿ αἰῶνος, ἐὰν ποιήσῃς τὸ ἀρεστὸν καὶ τὸ καλὸν ἐναντίον Κυρίου τοῦ Θεοῦ σου.

Δευτ. 12,28 - Πρόσεχε, άκουε, και θέσε εις εφαρμογήν όλας τας εντολάς, τας οποίας εγώ σε διατάσσω, δια να ζήσης ευτυχής συ και τα τέκνα σου πάντοτε, εφόσον θα πράττης το καλόν και ευάρεστον ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 12,29 - Ἐὰν δὲ ἐξολοθρεύσῃ Κύριος ὁ Θεός σου τὰ ἔθνη, εἰς οὓς εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι τὴν γῆν αὐτῶν, ἀπὸ προσώπου σου καὶ κατακληρονομήσῃς αὐτήν, καὶ κατοικήσῃς ἐν τῇ γῇ αὐτῶν,

Δευτ. 12,29 - Οταν δε ο Κυριος εξολοθρεύση τα έθνη, εις τα οποία συ πορεύεσαι, δια να καταλάβης ως ιδικήν σου κληρονομίαν την χώραν αυτών, και την κληρονομήσης και εγκατασταθής εις αυτήν,

Δευτ. 12,30 - πρόσεχε σεαυτῷ, μὴ ἐκζητήσῃς ἐπακολουθῆσαι αὐτοῖς μετὰ τὸ ἐξολοθρευθῆναι αὐτοὺς ἀπὸ προσώπου σου λέγων· πῶς ποιοῦσι τὰ ἔθνη ταῦτα τοῖς θεοῖς αὐτῶν, ποιήσω κἀγώ.

Δευτ. 12,30 - πρόσεχε τον εαυτόν σου, μήπως τυχόν και ζητήσης να ακολουθήσης τρόπους ζωής των εθνών αυτών μετά την εξολόθρευσίν των, λέγων, ότι όπως κάμνουν τα έθνη αυτά στους θεούς των, έτσι θα κάμνω και εγώ στον Θεόν μου.

Δευτ. 12,31 - οὐ ποιήσεις οὕτω τῷ Θεῷ σου· τὰ γὰρ βδελύγματα Κυρίου, ἃ ἐμίσησεν, ἐποίησαν ἐν τοῖς θεοῖς αὐτῶν, ὅτι τοὺς υἱοὺς αὐτῶν καὶ τὰς θυγατέρας αὐτῶν κατακαίουσιν ἐν πυρὶ τοῖς θεοῖς αὐτῶν.

Δευτ. 12,31 - Οχι· δεν θα κάμης συ έτσι στον Θεόν σου· διότι αηδιαστικά και αποκρουστικά πράγματα, τα οποία εμίσησεν ο Θεός, έκαμαν αυτοί προς τους θεούς των, αφού έφθασαν μέχρι του σημείου να καίουν τους υιούς και τας θυγατέρας των εις την φωτιάν χάριν των θεών των.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 13

Δευτ. 13,1 - Πᾶν ῥῆμα ὃ ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον, τοῦτο φυλάξῃ ποιεῖν· οὐ προσθήσεις ἐπ᾿ αὐτὸ οὐδὲ ἀφελεῖς ἀπ᾿ αὐτοῦ.

Δευτ. 13,1 - Καθε εντολήν, την οποίαν εγώ σήμερα σας δίδω, θα επιμεληθήτε να την εφαρμόσετε. Ούτε θα προσθέσετε τίποτε εις αυτάς, ούτε και θα αφαιρέσετε.

Δευτ. 13,2 - ἐὰν δὲ ἀναστῇ ἐν σοὶ προφήτης ἢ ἐνυπνιαζόμενος τὸ ἐνύπνιον καὶ δῷ σοι σημεῖον ἢ τέρας

Δευτ. 13,2 - Εάν δε παρουσιασθή μεταξύ σας προφήτης (διδάσκαλος ψευδής) η άνθρωπος, ο οποίος βλέπει και ερμηνεύει όνειρα και σας, είπη ότι θα δώση κάποιο σημάδι η, θα κάμη κάποιο καταπληκτικό θαύμα,

Δευτ. 13,3 - καὶ ἔλθῃ τὸ σημεῖον ἢ τὸ τέρας, ὃ ἐλάλησε πρός σε λέγων· πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, οὓς οὐκ οἴδατε,

Δευτ. 13,3 - και πραγματοποιήση έστω το σημάδι η το θαύμα, που σας προανήγγειλε, έπειτα δε σας είπη· “Ας πάμε να λατρεύσωμεν άλλους θεούς, τους οποίους δεν γνωρίζετε”,

Δευτ. 13,4 - οὐκ ἀκούσεσθε τῶν λόγων τοῦ προφήτου ἐκείνου ἢ τοῦ ἐνυπνιαζομένου τὸ ἐνύπνιον ἐκεῖνο, ὅτι πειράζει Κύριος ὁ Θεός σου ὑμᾶς εἰδέναι, εἰ ἀγαπᾶτε τὸν Θεὸν ὑμῶν ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν.

Δευτ. 13,4 - δεν θα δώσετε καμμίαν προσοχήν εις τα λόγια του ψεύδους εκείνου προφήτου η του ενιπνιαστού αλλά να σκεφθήτε ότι Κυριος ο Θεός σου επέτρεψε να γίνουν τα σημεία αυτά, δια να σας δοκιμάση και να

γνωρίση, εάν πράγματι αγαπάτε τον Θεόν σας με όλην σας την καρδίαν και με όλην σας την ψυχήν.

Δευτ. 13,5 - ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύσεσθε καὶ τοῦτον φοβηθήσεσθε καὶ τῆς φωνῆς αὐτοῦ ἀκούσεσθε καὶ αὐτῷ προστεθήσεσθε.

Δευτ. 13,5 - Κυριον τον Θεόν σας, αυτόν μόνον θα ακολουθήστε, αυτόν θα φοβήσθε, αυτού τας εντολάς θα ακούετε και εις αυτόν θα προσκολληθήτε.

Δευτ. 13,6 - καὶ ὁ προφήτης ἐκεῖνος ἢ ὁ τὸ ἐνύπνιον ἐνυπνιαζόμενος ἐκεῖνος ἀποθανεῖται· ἐλάλησε γὰρ πλανῆσαί σε ἀπὸ Κυρίου τοῦ Θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, τοῦ λυτρωσαμένου σε ἐκ τῆς δουλείας, ἐξῶσαί σε ἀπὸ τῆς ὁδοῦ, ἧς ἐνετείλατό σοι Κύριος ὁ Θεός σου πορεύεσθαι ἐν αὐτῇ· καὶ ἀφανιεῖς τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Δευτ. 13,6 - Ο δε προφήτης εκείνος η ο ενυπνιαστής πρέπει να τιμωρηθή δια θανάτου, διότι εδίδαξε ψευδή δια να σε παραπλανήση και σε απομακρύνη από Κυριον τον Θεόν σου, ο οποίος σε έβγαλεν από την χώραν της Αιγύπτου και σε ηλευθέρωσε από την δουλείαν. Αυτός ο προφήτης ηθέλησε να σε ωθήση έξω από τον δρόμον, τον οποίον ο Θεός σε διέταξε να ακολουθής. Πρέπει να τον τιμωρήσης με θάνατον, δια να εξαφανίσης από ανάμεσά σας το κακόν, το οποίον εκείνος ήθελε να σας κάμη.

Δευτ. 13,7 - Ἐὰν δὲ παρακαλέσῃ σε ὁ ἀδελφός σου ἐκ πατρός σου ἢ ἐκ μητρός σου ἢ ὁ υἱός σου ἢ ἡ θυγάτηρ ἢ ἡ γυνή σου ἡ ἐν κόλπῳ σου ἢ φίλος ἴσος τῇ ψυχῇ σου λάθρα λέγων· βαδίσωμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, οὓς οὐκ ᾔδεις σὺ καὶ οἱ πατέρες σου,

Δευτ. 13,7 - Εάν δε ακόμη και αυτός ο αδελφός σου, ο ομοπάτριος σε παρακαλέση η ο ομομήτριος, η ο υιός σου, η η κόρη σου, η η σύζυγος, που κρατείς εις την αγκάλην σου, η ο ισόψυχος φίλος σου και σου είπη κρυφίως “πάμε να λατρεύσωμεν άλλους θεούς, τους οποίους ούτε συ εγνώριζες, ούτε οι πατέρες σου,

Δευτ. 13,8 - ἀπὸ τῶν θεῶν τῶν ἐθνῶν τῶν περικύκλῳ ὑμῶν, τῶν ἐγγιζόντων σοι ἢ τῶν μακρὰν ἀπὸ σοῦ, ἀπ᾿ ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς γῆς,

Δευτ. 13,8 - οι οποίοι θεοί είναι από τους θεούς των γύρω μας ειδωλολατρικών λαών”, αυτών που ευρίσκονται πλησίον σου η μακράν από σέ, στο ένα η, στο άλλο άκρον της γης,

Δευτ. 13,9 - οὐ συνθελήσεις αὐτῷ καὶ οὐκ εἰσακούσῃ αὐτοῦ καὶ οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ᾿ αὐτῷ, οὐκ ἐπιποθήσεις ἐπ᾿ αὐτῷ οὐδ᾿ οὐ μὴ σκεπάσῃς αὐτόν·

Δευτ. 13,9 - όχι μόνον δεν θα συμφωνήσης με αυτόν και δεν θα δεχθής τας πονηράς προτάσστου, αλλά δεν θα τον λυπηθή το μάτι σου, δεν θα τον λυπηθής και ούτε θα τον συγκαλύψης.

Δευτ. 13,10 - ἀναγγέλων ἀναγγελεῖς περὶ αὐτοῦ, καὶ αἱ χεῖρές σου ἔσονται ἐπ᾽ αὐτὸν ἐν πρώτοις ἀποκτεῖναι αὐτόν, καὶ αἱ χεῖρες παντὸς τοῦ λαοῦ ἐπ᾽ ἐσχάτῳ,

Δευτ. 13,10 - Θα τον καταγγείλης αμέσως, δια να καταδικασθή εις θάνατον· και στον λιθοδολισμόν του αι χείρες σου θα ρίψουν πρώται τον λίθον εναντίον του, διότι συ υπήρξες ο μάρτυς της κατηγορίας, και έπειτα αι χείρες του λαού θα τον λιθοβολήσουν.

Δευτ. 13,11 - καὶ λιθοβολήσουσιν αὐτὸν ἐν λίθοις, καὶ ἀποθανεῖται, ὅτι ἐζήτησεν ἀποστῆσαί σε ἀπὸ Κυρίου τοῦ Θεοῦ σου τοῦ ἐξαγαγόντος σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας.

Δευτ. 13,11 - Θα τον θανατώσουν δια λιθοβολισμού, θα τιμωρηθή δια θανάτου, διότι επεζήτησε να σε απομακρύνη από τον Κυριον και Θεόν σου, ο οποίος σε έβγαλε από την Αίγυπτον, από την χώραν της δουλείας.

Δευτ. 13,12 - καὶ πᾶς Ἰσραὴλ ἀκούσας φοβηθήσεται καὶ οὐ προσθήσωσι ποιῆσαι ἔτι κατὰ τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο ἐν ὑμῖν.

Δευτ. 13,12 - Οταν δε οι Ισραηλίται πληροφορηθούν την τιμωρίαν αυτήν, θα φοβηθούν και δεν θα τολμήση κανείς να επαναλάβη την κακήν αυτήν πράξιν μεταξύ σας.

Δευτ. 13,13 - Ἐὰν δὲ ἀκούσῃς ἐν μιᾷ τῶν πόλεών σου, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι κατοικεῖν σε ἐκεῖ, λεγόντων·

Δευτ. 13,13 - Εάν δε εις μίαν από τας πόλεις, την οποίαν Κυριος ο Θεός σας έδωσε ως κατοικίαν σας, ακούσης να λέγουν·

Δευτ. 13,14 - ἐξήλθοσαν ἄνδρες παράνομοι ἐξ ὑμῶν καὶ ἀπέστησαν πάντας τοὺς κατοικοῦντας τὴν γῆν αὐτῶν λέγοντες· πορευθῶμεν καὶ λατρεύσωμεν θεοῖς ἑτέροις, οὓς οὐκ ᾔδειτε,

Δευτ. 13,14 - “εβγήκαν παράνομοι άνδρες από σας και απεμάκρυναν από τον Θεόν τους κατοίκους της πολεώς των, λέγοντες δολίως, ας πάμε να λατρεύσωμεν άλλους θεούς, τους οποίους δεν εγνωρίζατε”,

Δευτ. 13,15 - καὶ ἐτάσεις καὶ ἐρωτήσεις καὶ ἐρευνήσεις σφόδρα, καὶ ἰδοὺ ἀληθὴς σαφῶς ὁ λόγος, γεγένηται τὸ βδέλυγμα τοῦτο ἐν ὑμῖν,

Δευτ. 13,15 - συ, θα εξετάσης, θα ερωτήσης, θα ερευνήσης με πολλήν επιμέλειαν και προσοχήν και εάν αποδειχθή αληθινή και βεβαία αυτή η κατηγορία, εάν δηλαδή όντως έλαβε χώραν μεταξύ σας αυτό το βδελυρόν γεγονός,

Δευτ. 13,16 - ἀναιρῶν ἀνελεῖς πάντας τοὺς κατοικοῦντας ἐν τῇ γῇ ἐκείνῃ ἐν φόνῳ μαχαίρας, ἀναθέματι ἀναθεματιεῖτε αὐτὴν καὶ πάντα τὰ ἐν αὐτῇ

Δευτ. 13,16 - σεις τότε θα φονεύσετε όλους τους κατοίκους της πόλεως εκείνης εν στόματι μαχαίρας, θα αναθεματίσετε εξ ολοκλήρου αυτήν και όσα υπάρχουν εις αυτήν.

Δευτ. 13,17 - καὶ πάντα τὰ σκῦλα αὐτῆς συνάξεις εἰς τὰς διόδους αὐτῆς καὶ ἐμπρήσεις τὴν πόλιν ἐν πυρὶ καὶ πάντα τὰ σκῦλα αὐτῆς πανδημεὶ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, καὶ ἔσται ἀοίκητος εἰς τὸν αἰῶνα, οὐκ ἀνοικοδομηθήσεται ἔτι.

Δευτ. 13,17 - Ολα δε τα λάφυρα αυτής θα τα συγκεντρώσετε στους δρόμους της και θα παραδώσετε στο πυρ, την πόλιν και όλα τα λάφυρά της, ενώπιον Κυρίου του Θεού σου και θα μείνη η πόλις εκείνη ακατοίκητος παντοτεινά· ουδέποτε πλέον θα ανοικοδομηθή.

Δευτ. 13,18 - καὶ οὐ προσκολληθήσεται οὐδὲν ἀπὸ τοῦ ἀναθέματος ἐν τῇ χειρί σου, ἵνα ἀποστραφῇ Κύριος ἀπὸ θυμοῦ τῆς ὀργῆς αὐτοῦ καὶ δώσῃ σοι ἔλεος καὶ ἐλεήσῃ σε καὶ πληθύνῃ σε, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου,

Δευτ. 13,18 - Τιποτε από τα αναθεματισμένα πράγματα της πόλεως εκείνης δεν θα κρατήση το χέρι σου, δια να αποστρέψη έτσι ο Κυριος τον θυμόν και την οργήν του από σας, να σας ευσπλαγχνισθή, να σας ελεήση, να σας αυξήση και πολλαπλασιάση, όπως ωρκίσθη στους προγόνους σας.

Δευτ. 13,19 - ἐὰν ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, φυλάσσειν τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, ποιεῖν τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἐναντίον Κυρίου τοῦ Θεοῦ σου.

Δευτ. 13,19 - Και η ευλογία αυτή του Κυρίου θα έλθη και θα μείνη εις σας, εάν ακούσετε την φωνήν του, ώστε να τηρήτε τας εντολάς του, τας οποίας εγώ σήμερον σας διατάσσω, να πράττετε το κολόν και το ευάρεστον ενώπιον Κυρίου του Θεού σας.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 14

Δευτ. 14,1 - Υἱοί ἐστε Κυρίου τοῦ Θεοῦ ὑμῶν· οὐκ ἐπιθήσετε φαλάκρωμα ἀνὰ μέσον τῶν ὀφθαλμῶν ὑμῶν ἐπὶ νεκρῷ·

Δευτ. 14,1 - Σεις είσθε τέκνα Κυρίου του Θεού σας. Δεν θα ξυρίσετε την κεφαλήν η το πρόσωπόν σας δια τον θάνατον οιουδήποτε οικείου σας·

Δευτ. 14,2 - ὅτι λαὸς ἅγιος εἶ Κυρίῳ τῷ Θεῷ σου, καὶ σὲ ἐξελέξατο Κύριος ὁ Θεός σου γενέσθαι σε λαὸν αὐτῷ περιούσιον ἀπὸ πάντων τῶν ἐθνῶν τῶν ἐπὶ προσώπου τῆς γῆς.

Δευτ. 14,2 - διότι είσαι συ λαός εκλεκτός και ξεχωριστός ενώπιον Κυρίου του Θεού σου· ο Θεός σε εξέλεξεν ανάμεσα από όλα τα έθνη της υφηλίου, δια να είσαι ιδιαιτέρα του περιουσία, ο εκλεκτός λαός του.

Δευτ. 14,3 - Οὐ φάγεσθε πᾶν βδέλυγμα.

Δευτ. 14,3 - Δεν θα φάγης κανένα ακάθαρτον ζώον.

Δευτ. 14,4 - ταῦτα κτήνη, ἃ φάγεσθε, μόσχον ἐκ βοῶν καὶ ἀμνὸν ἐκ προβάτων καὶ χίμαρον ἐξ αἰγῶν,

Δευτ. 14,4 - Αυτά δε είναι τα καθαρά ζώα, που έχετε δικαίωμα να τρώγετε· μοσχάρι από τα βόδια, αμνόν από τα πρόβατα, τράγον από τα γίδια.

Δευτ. 14,5 - ἔλαφον καὶ δορκάδα καὶ πύγαργον, ὄρυγα καὶ καμηλοπάρδαλιν·

Δευτ. 14,5 - Επίσης έχετε δικαίωμα να τρώγετε ελάφι, ζαρκάδι, πύγαργον (είδος δορκάδος), όρυγα (είδος αιγάγρου) και καμηλοπάρδαλιν.

Δευτ. 14,6 - πᾶν κτῆνος διχηλοῦν ὁπλὴν καὶ ὀνυχιστῆρας ὀνυχίζον δύο χηλῶν καὶ ἀνάγον μηρυκισμὸν ἐν τοῖς κτήνεσι, ταῦτα φάγεσθε.

Δευτ. 14,6 - Γενικώς έχετε το δικαίωμα να τρώγετε κάθε ζώον δίχηλον, ζώον δηλαδή που έχει δύο όνυχας στο κάθε πόδι του, χωρισμένους αναμεταξύ των, και το οποίον αναμασά την τροφήν του.

Δευτ. 14,7 - καὶ ταῦτα οὐ φάγεσθε ἀπὸ τῶν ἀναγόντων μηρυκισμὸν καὶ ἀπὸ τῶν διχηλούντων τὰς ὁπλὰς καὶ ὀνυχιζόντων ὀνυχιστῆρας· τὸν κάμηλον καὶ δασύποδα καὶ χοιρογρύλλιον, ὅτι ἀνάγουσι μηρυκισμὸν καὶ ὁπλὴν οὐ διχηλοῦσιν, ἀκάθαρτα ταῦτα ὑμῖν ἐστι·

Δευτ. 14,7 - Αλλά και από αυτά τα μηρυκαστικά ζώα, η τα δίχηλα, αυτά που έχουν τους δύο ονυχάς των ξεχωριστούς, δεν θα φάγετε τα εξής· Την κάμηλον, τον λαγωόν, τον ακανθόχοιρον, τα οποία ναι μεν μηρυκάζουν αλλά δεν είναι δίχηλα. Αυτά λοιπόν θα είναι ακάθαρτα δια σας.

Δευτ. 14,8 - καὶ τὸν ὗν, ὅτι διχηλεῖ ὁπλὴν τοῦτο καὶ ὀνυχίζει ὀνυχιστῆρας ὁπλῆς, καὶ τοῦτο μηρυκισμὸν οὐ μηρυκᾶται, ἀκάθαρτον τοῦτο ὑμῖν· ἀπὸ τῶν κρεῶν αὐτῶν οὐ φάγεσθε καὶ τῶν θνησιμαίων αὐτῶν οὐχ ἅψεσθε.

Δευτ. 14,8 - Δεν θα φάτε επίσης τον χοίρον, διότι ναι μεν είναι δίχηλον ζώον, έχει δηλαδή στους πόδας του δύο όνυχας χωρισμένους, αλλά δεν μηρυκάζει την τροφήν του· είναι δια σας ακάθαρτον ζώον. Τα κρέατα των ζώων αυτών δεν θα τα φάγετε και τα νεκρά σώματά των δεν θα τα εγγίσετε.

Δευτ. 14,9 - καὶ ταῦτα φάγεσθε ἀπὸ πάντων τῶν ἐν τῷ ὕδατι· πάντα ὅσα ἐστὶν ἐν αὐτοῖς πτερύγια καὶ λεπίδες, φάγεσθε.

Δευτ. 14,9 - Από τα ζώα που υπάρχουν εις τα ύδατα, έχετε το δικαίωμα να τρώγετε, όσα από αυτά έχουν πτερύγια και λέπια.

Δευτ. 14,10 - καὶ πάντα ὅσα οὐκ ἔστιν αὐτοῖς πτερύγια καὶ λεπίδες, οὐ φάγεσθε, ἀκάθαρτα ὑμῖν ἐστι.

Δευτ. 14,10 - Ολα όμως όσα δεν έχουν πτερύγια και λέπια, δεν θα τα τρώγετε. Θα είναι δια σας ακάθαρτα.

Δευτ. 14,11 - πᾶν ὄρνεον καθαρὸν φάγεσθε.

Δευτ. 14,11 - Καθε πτηνόν καθαρόν έχετε το δικαίωμα να τρώγετε.

Δευτ. 14,12 - καὶ ταῦτα οὐ φάγεσθε ἀπ᾿ αὐτῶν· τὸν ἀετὸν καὶ τὸν γρύπα καὶ τὸν ἁλιαίετον

Δευτ. 14,12 - Αυτά δε είναι τα πτηνά, από τα οποία δεν επιτρέπεται να τρώγετε· Ο αετός, ο γρυψ (είδος αετού), ο αλιάετος

Δευτ. 14,13 - καὶ τὸν γύπα καὶ τὸν ἴκτινον καὶ τὰ ὅμοια αὐτῷ

Δευτ. 14,13 - ο γυψ (πτηνόν που τρώγει πτώματα), ο ιέραξ και τα όμοια προς αυτόν.

Δευτ. 14,14 - καὶ πάντα κόρακα καὶ τὰ ὅμοια αὐτῷ

Δευτ. 14,14 - Δεν θα φάτε κανένα είδος κόρακος και τα όμοια προς αυτόν.

Δευτ. 14,15 - καὶ στρουθὸν καί γλαῦκα καὶ λάρον

Δευτ. 14,15 - Επίσης στρουθίον, γλαύκα, γλάρον,

Δευτ. 14,16 - καὶ ἐρωδιὸν καὶ κύκνον καὶ ἶβιν

Δευτ. 14,16 - τον ερωδιόν, τον τσικνιάν, την ίβιν,

Δευτ. 14,17 - καὶ καταράκτην καὶ ἱέρακα καὶ τὰ ὅμοια αὐτῷ καὶ ἔποπα καὶ νυκτικόρακα

Δευτ. 14,17 - τον καταράκτην (είδος ορμητικοπύ γλάρου), τον ιέρακα και τα όμοια προς αυτόν, τον τσαλαπετεινόν και τον νυκτοκόρακα,

Δευτ. 14,18 - καὶ πελεκᾶνα καὶ χαραδριὸν καὶ τὰ ὅμοια αὐτῷ καὶ πορφυρίωνα καὶ νυκτερίδα.

Δευτ. 14,18 - τον πελεκάνο, τον χαραδριόν (υποκίτρινον λαίμαργον πτηνόν) και τα όμοια προς αυτόν, τον πορφυρίωνα (πτηνόν καλοβατικόν) και την νυκτερίδα.

Δευτ. 14,19 - πάντα τὰ ἑρπετὰ τῶν πετεινῶν ἀκάθαρτά ἐστιν ὑμῖν, οὐ φάγεσθε ἀπ᾿ αὐτῶν.

Δευτ. 14,19 - Επίσης όλα όσα έρπουν και πετούν, δηλαδή τα έντομα, θα είναι δια σας ακάθαρτα και δεν θα τρώγετε από αυτά.

Δευτ. 14,20 - πᾶν πετεινὸν καθαρὸν φάγεσθε.

Δευτ. 14,20 - Εχετε όμως το δικαίωμα να τρώγετε κάθε καθαρόν πτηνόν.

Δευτ. 14,21 - πᾶν θνησιμαῖον οὐ φάγεσθε· τῷ παροίκῳ τῷ ἐν ταῖς πόλεσί σου δοθήσεται, καὶ φάγεται, ἢ ἀποδώσῃ τῷ ἀλλοτρίῳ· ὅτι λαὸς ἅγιος εἶ Κυρίῳ τῷ Θεῷ σου. οὐχ ἑψήσεις ἄρνα ἐν γάλακτι μητρὸς αὐτοῦ.

Δευτ. 14,21 - Κανένα θνησιμαίον δεν θα φάγετε. Οσα ο νόμος ορίζει δια σας ακάθαρτα ημπορείτε να τα δίδετε στον ξένον, που φιλοξενείτε εις την πόλιν σας δια να φάγη από αυτά η να τα πωλήσετε εις μη Ισραηλίτην. Σεις όμως δεν πρέπει να τρώγετε από τα ακάθαρτα, διότι είσθε λαός άγιος αφιερωμένος στον Κυριον. Δεν θα βράσης αρνί με το γάλα της μητρός του.

Δευτ. 14,22 - Δεκάτην ἀποδεκατώσεις παντὸς γενήματος τοῦ σπέρματός σου, τὸ γένημα τοῦ ἀγροῦ σου ἐνιαυτὸν κατ᾿ ἐνιαυτόν,

Δευτ. 14,22 - Από όλα τα προϊόντα των σπαρτών σας, από όλα δηλαδή όσα οι αγροί σας κάθε χρόνον σας δίδουν, θα αφαιρέσης το εν δέκατον.

Δευτ. 14,23 - καὶ φαγῇ αὐτὸ ἐν τῷ τόπῳ ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου, ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ· οἴσετε τὰ ἐπιδέκατα τοῦ σίτου σου καὶ τοῦ οἴνου σου καὶ τοῦ ἐλαίου σου, τὰ πρωτότοκα τῶν βοῶν σου καὶ τῶν προβάτων σου, ἵνα μάθῃς φοβεῖσθαι Κύριον τὸν Θεόν σου πάσας τὰς ἡμέρας.

Δευτ. 14,23 - Θα φάγετε αυτό στον τόπον, τον οποίον ήθελεν εκλέξει Κυριος ο Θεός σας δια να αφιερωθή στο όνομά του (δηλαδή στον ναόν). Εκεί θα φέρετε το εν δέκατον από τον σίτον σας, από τον οίνον, από το έλαιον, όπως επίσης και τα πρωτότοκα από τα βόδια και τα πρόβατά σας, δια να μάθετε να ευλαβήσθε Κυριον τον Θεόν σας όλας τας ημέρας της ζωής σας.

Δευτ. 14,24 - ἐὰν δὲ μακρὰν γένηται ἡ ὁδὸς ἀπὸ σοῦ καὶ μὴ δύνῃ ἀναφέρειν αὐτά, ὅτι μακρὰν ἀπὸ σοῦ ὁ τόπος, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, ὅτι εὐλογήσει σε Κύριος ὁ Θεός σου,

Δευτ. 14,24 - Εάν όμως είναι μακρά η απόστασις από την κατοικίαν σου μέχρι του ναού και δεν σου είναι δυνατόν να φέρης εκεί αυτά τα δέκατα, στον τόπον δηλαδή που εξέλεξεν ο Κυριος δια να λατρεύετε το όνομά του, συ δε θέλης πράγματι να προσφέρης, από όσα η ευλογία του Κυρίου σου έδωσε,

Δευτ. 14,25 - καὶ ἀποδώσῃ αὐτὰ ἀργυρίου καὶ λήψῃ τὸ ἀργύριον ἐν ταῖς χερσί σου καὶ πορεύσῃ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτόν,

Δευτ. 14,25 - θα πωλήσης αυτά, θα πάρης το αντίτιμον αυτών εις τα χέρια σου και θα μεταβής στον τόπον, τον οποίον εξέλεξε Κυριος ο Θεός σου.

Δευτ. 14,26 - καὶ δώσεις ἀργύριον ἐπὶ παντός, οὗ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, ἐπὶ βουσὶν ἢ ἐπὶ προβάτοις, ἐπ᾽ οἴνῳ ἢ ἐπὶ σίκερα ἢ ἐπὶ παντός, οὗ ἂν ἐπιθυμῇ ἡ ψυχή σου, καὶ φαγῇ ἐκεῖ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου καὶ εὐφρανθήσῃ σὺ καὶ ὁ οἶκός σου

Δευτ. 14,26 - Εκεί δύνασαι να δαπανήσης αυτά τα χρήματα και να αγοράσης ο,τι η ψυχή σου επιθυμεί να προσφέρης προς τον Θεόν, βόδια, πρόβατα, οίνον, οινοπνευματώδη ποτά και ο,τι άλλο επιθυμείς. ' Εκεί δε ενώπιον Κυρίου του Θεού σου θα φάγης και θα ευφρανθής συ και η οικογένειά σου.

Δευτ. 14,27 - καὶ ὁ Λευίτης ὁ ἐν ταῖς πόλεσί σου, ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ.

Δευτ. 14,27 - Μαζή σου δε εκεί θα φάγη και ο Λευΐτης, που ευρίσκεται εις τας πόλεις σου, διότι αυτός δεν έχει μερίδιον κληρονομίας, όπως συ έχεις.

Δευτ. 14,28 - μετὰ τρία ἔτη ἐξοίσεις πᾶν τὸ ἐπιδέκατον τῶν γενημάτων σου· ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ θήσεις αὐτὸ ἐν ταῖς πόλεσί σου,

Δευτ. 14,28 - Καθε τρία χρόνια θα βάζης κατά μέρος ένά δέκατον από τα προϊόντα σου. Κατά το τρίτον δε αυτό έτος θα θέτης αυτό εις την πόλιν σου· δεν θα το προσφέρης στον ναόν.

Δευτ. 14,29 - καὶ ἐλεύσεται ὁ Λευίτης, ὅτι οὐκ ἔστιν αὐτῷ μερὶς οὐδὲ κλῆρος μετὰ σοῦ, καὶ ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα ἡ ἐν ταῖς πόλεσί σου καὶ φάγονται καὶ ἐμπλησθήσονται, ἵνα εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις, οἷς ἐὰν ποιῇς.

Δευτ. 14,29 - Θα έλθη δε ο Λευΐτης, διότι αυτός δεν έχει μερίδιον και κληρονομίαν εις την γην της Επαγγελίας, θα έλθη ο ξένος και το ορφανόν και η χήρα, που ευρίσκεται εις τας πόλεις σας, και θα φάγουν από το δέκατον αυτό και θα χορτάσουν. Δια την καλήν σου δε αυτήν πράξιν θα σε ευλογήση ο Θεός εις όλα τα έργα, τα οποία θα έκαμνες.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 15

Δευτ. 15,1 - Δι᾿ ἑπτὰ ἐτῶν ποιήσεις ἄφεσιν.

Δευτ. 15,1 - Καθε επτά έτη θα παρέχης άφεσιν των χρεών.

Δευτ. 15,2 - καὶ οὕτω τὸ πρόσταγμα τῆς ἀφέσεως· ἀφήσεις πᾶν χρέος ἴδιον, ὃ ὀφείλει σοι ὁ πλησίον, καὶ τὸν ἀδελφόν σου οὐκ ἀπαιτήσεις, ἐπικέκληται γὰρ ἄφεσις Κυρίῳ τῷ Θεῷ σου.

Δευτ. 15,2 - Ως εξής θα εφαρμόζεται ο νόμος της αφέσεως των χρεών· δηλαδή κάθε χρέος, το οποίον σου οφείλει ο πλησίον και ο αδελφός σου, δεν θα το ζητήσης, αλλά θα το χαρίσης, διότι εκ μέρους Κυρίου του Θεού σου ορίζεται και επιβάλλεται αυτή η άφεσις των χρεών.

Δευτ. 15,3 - τὸν ἀλλότριον ἀπαιτήσεις ὅσα ἐὰν ᾖ σοι παρ᾿ αὐτῷ, τῷ δὲ ἀδελφῷ σου ἄφεσιν ποιήσεις τοῦ χρέους σου·

Δευτ. 15,3 - Από τον ξένον θα απαιτήσης να σου δώση το χρέος του. Εις τον αδελφόν σου όμως τον Ισραηλίτην θα χαρίσης το χρέος κατά το έτος της αφέσεως.

Δευτ. 15,4 - ὅτι οὐκ ἔσται ἐν σοὶ ἐνδεής, ὅτι εὐλογῶν εὐλογήσει σε Κύριος ὁ Θεός σου ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ κατακληρονομῆσαι αὐτήν.

Δευτ. 15,4 - Τούτο δέ, διότι δεν πρέπει να υπάρχη μεταξύ σας πτωχός (χρεοφειλέτης αδυνατών να πληρώση τα χρέη του). Εφόσον δε συ χαρίζστο χρέος, θα σε ευλογήση ο Κυριος εις την χώραν, την οποίαν σου έδωκε ως κληρονομίαν.

Δευτ. 15,5 - ἐὰν δὲ ἀκοῇ εἰσακούσητε τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ὑμῶν φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς ταύτας, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον,

Δευτ. 15,5 - Εάν προθύμως υπακούσετε εις την φωνήν Κυρίου του Θεού σας, ώστε να φυλάσσετε και να πράττετε όλας τας εντολάς, τας οποίας εγώ σήμερον σας διατάσσω,

Δευτ. 15,6 - ὅτι Κύριος ὁ Θεός σου εὐλόγησέ σε, ὃν τρόπον ἐλάλησέ σοι, καὶ δανειεῖς ἔθνεσι πολλοῖς, σὺ δὲ οὐ δανειῇ, καὶ ἄρξεις ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσιν.

Δευτ. 15,6 - τότε Κυριος ο Θεός σας θα σας ευλογήση, όπως σας έχει υποσχεθή. Θα έχης αφθονίαν αγαθών και χρήματα, ώστε να δανείζης έθνη πολλά, ενώ συ δεν θα ευρεθής εις την ανάγκην να ζητήσης δάνειον. Θα είσαι άρχων εις πολλούς λαούς, ενώ κανείς δεν θα είναι άρχων και αυθέντης εις σέ.

Δευτ. 15,7 - Ἐὰν δὲ γένηται ἐν σοὶ ἐνδεὴς ἐκ τῶν ἀδελφῶν σου ἐν μιᾷ τῶν πόλεών σου ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐκ ἀποστέρξεις τὴν καρδίαν σου οὐδ᾿ οὐ μὴ συσφίγξῃς τὴν χεῖρά σου ἀπὸ τοῦ ἀδελφοῦ σου τοῦ ἐπιδεομένου·

Δευτ. 15,7 - Εάν συμβή, ώστε εις μίαν από τας πόλεις της χώρας, που σας έδωσε Κυριος ο Θεός, να υπάρξη πτωχός μεταξύ των αδελφών σου, συ να μη κλείσης τα σπλάγχνα σου, να μη σκληρύνης και αποτραβήξης την καρδίαν σου από αυτόν, να μη κλείσης σφικτά τα χέρια σου, δια να μη δώσης τίποτε στον πεινασμένον και πονεμένον αδελφόν σου.

Δευτ. 15,8 - ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου αὐτῷ καὶ δάνειον δανειεῖς αὐτῷ ὅσον ἐπιδέεται, καθότι ἐνδεεῖται.

Δευτ. 15,8 - Αλλά πλούσια θα ανοίξης τα χέρια σου προς αυτόν. Θα του προσφέρης και θα του δανείσης όσον και ο,τι του χρειάζεται, αφού ευρίσκεται εις ανάγκην.

Δευτ. 15,9 - πρόσεχε σεαυτῷ, μὴ γένηται ῥῆμα κρυπτὸν ἐν τῇ καρδίᾳ σου ἀνόμημα λέγων· ἐγγίζει τό ἔτος τὸ ἕβδομον, ἔτος τῆς ἀφέσεως, καὶ πονηρεύσηται ὁ ὀφθαλμός σου τῷ ἀδελφῷ σου τῷ ἐπιδεομένῳ, καὶ οὐ δώσεις αὐτῷ, καὶ καταβοήσεται κατὰ σοῦ πρὸς Κύριον, καὶ ἔσται ἐν σοὶ ἁμαρτία μεγάλη.

Δευτ. 15,9 - Πρόσεχε στον εαυτόν σου, μήπως μέσα εις την διάνοιαν και την καρδίαν σου σκεφθής κατά παράνομον τρόπον και είπης “πλησιάζει το έβδομον έτος, το έτος αυτό της αφέσεως των χρεών”· και έτσι βλέπων με πονηρόν βλέμμα τον αδελφόν σου και σκεπτόμενος ότι μετ' ολίγον θα είσαι υποχρεωμένος να του χαρίσης τα χρέος- και δεν τον δανείσης, τότε ο αδελφός σου αυτός θα φωνάξη προς τον Κυριον εναντίον σου και θα είναι μεγάλη η ενοχή σου δια την πονηρίαν αυτήν.

Δευτ. 15,10 - διδοὺς δώσεις αὐτῷ καὶ δάνειον δανειεῖς αὐτῷ ὅσον ἐπιδέεται, καὶ οὐ λυπηθήσῃ τῇ καρδίᾳ σου διδόντος σου αὐτῷ, ὅτι διά τὸ ῥῆμα τοῦτο εὐλογήσει σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις καὶ ἐν πᾶσιν, οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου·

Δευτ. 15,10 - Ολοπρόθυμα πρέπει να δώσης εις αυτόν δάνειον, ανάλογον προς την ανάγκην του· δεν πρέπει δε να λυπηθή η καρδία σου δια το δάνειον, που θα δώσης στον αδελφόν σου, διότι δια την καλήν σου αυτήν πράξιν θα σε ευλογήση ο Θεός εις όλας τας εργασίας σου, θα ευλογήση όλα τα έργα των χειρών σου.

Δευτ. 15,11 - οὐ γὰρ μὴ ἐκλίπῃ ἐνδεὴς ἀπὸ τῆς γῆς σου. διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο λέγων· ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου τῷ ἀδελφῷ σου τῷ πένητι καὶ τῷ ἐπιδεομένῳ τῷ ἐπὶ τῆς γῆς σου.

Δευτ. 15,11 - Επειδή ποτέ δεν θα λείψη πτωχός από την χώραν σου, δια τούτο σου δίδω εγώ αυτήν την εντολήν και σε διατάσσω· Απλόχερα θα ανοιξης τα χέρια σου στον πτωχόν αδελφόν σου που κατοικεί εις την χώραν σου και ευρίσκεται εις ανάγκην.

Δευτ. 15,12 - Ἐὰν δὲ πραθῇ σοι ὁ ἀδελφός σου ὁ Ἑβραῖος ἢ Ἑβραία, δουλεύσει σοι ἓξ ἔτη, καὶ τῷ ἑβδόμῳ ἐξαποστελεῖς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ.

Δευτ. 15,12 - Εάν ο αδελφός σου, Εβραίος η Εβραία, πωληθή εις σε ένεκα των οικονομικών του αναγκών ως δούλος, επί εξ έτη θα σε δουλεύση. Κατά το έβδομον έτος θα αποστείλης αυτόν ελεύθερον.

Δευτ. 15,13 - ὅταν δὲ ἐξαποστέλλῃς αὐτὸν ἐλεύθερον ἀπὸ σοῦ, οὐκ ἐξαποστελεῖς αὐτὸν κενόν·

Δευτ. 15,13 - Οταν δε τον αφήσης να αναχωρήση ελεύθερον πλέον από τον οίκον σου, δεν θα τον αποστείλης με αδειανά τα χέρια.

Δευτ. 15,14 - ἐφόδιον ἐφοδιάσεις αὐτὸν ἀπὸ τῶν προβάτων σου καὶ ἀπὸ τοῦ σίτου σου καὶ ἀπὸ τοῦ οἴνου σου· καθὰ εὐλόγησέ σε Κύριος ὁ Θεός σου, δώσεις αὐτῷ.

Δευτ. 15,14 - Θα τον εφοδιάσης από τα πρόβατά σου, από το σιτάρι σου, από το κρασί σου. Θα δώσης εις αυτόν ανάλογα με τας ευλογίας και δωρεάς, που έχεις λάβει και συ από τον Κυριον,

Δευτ. 15,15 - καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτου καὶ ἐλυτρώσατό σε Κύριος ὁ Θεός σου ἐκεῖθεν· διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.

Δευτ. 15,15 - Να ενθυμηθής δέ, ότι και συ υπήρξες δούλος εις την χώραν της Αιγύπτου και σε ηλευθέρωσεν ο Κυριος από εκεί. Δια τούτο και εγώ σου δίδω την εντολήν να φέρεσαι με γενναιοδωρίαν προς τον απελεύθερον δούλον σου.

Δευτ. 15,16 - ἐὰν δὲ λέγῃ πρός σε, οὐκ ἐξελεύσομαι ἀπὸ σοῦ, ὅτι ἠγάπηκέ σε καὶ τὴν οἰκίαν σου, ὅτι εὖ ἐστιν αὐτῷ παρὰ σοί,

Δευτ. 15,16 - Εάν όμως ο δούλος αυτός σου είπη, δεν θα φύγω από σέ, διότι έχω αγαπήσει και σε και την οικογένειάν σου και ότι είμαι ευτυχισμένος μένων πλησίον σου,

Δευτ. 15,17 - καὶ λήψῃ τὸ ὀπήτιον, καὶ τρυπήσεις τὸ ὠτίον αὐτοῦ πρὸς τὴν θύραν, καὶ ἔσται σοι οἰκέτης εἰς τὸν αἰῶνα· καὶ τὴν παιδίσκην σου ὡσαύτως ποιήσεις.

Δευτ. 15,17 - θα λάβης το τρυπητήρι, θα τρυπήσης το αυτί του εις την θύραν σου, και θα μένη αυτός δούλος σου ισοβίως. Το ίδιο θα κάμης και δια την δούλην σου, εάν και αυτή εκφράση την αυτήν επιθυμίαν.

Δευτ. 15,18 - οὐ σκληρὸν ἔσται ἐναντίον σου ἐξαποστελλομένων αὐτῶν ἐλευθέρων ἀπὸ σοῦ, ὅτι ἐπέτειον μισθὸν τοῦ μισθωτοῦ ἐδούλευσέ σοι ἓξ ἔτη· καὶ εὐλογήσει σε Κύριος ὁ Θεός σου ἐν πᾶσιν, οἷς ἐὰν ποιῇς.

Δευτ. 15,18 - Δεν θα στενοχωρηθής και δεν θα δυσφορήσης εναντίον των δούλων, τους οποίους αφήνεις ελευθέρους, διότι αυτοί επί εξ έτη σε υπηρέτησαν ως δούλοι, σου προσέφεραν ως δούλοι εξ ετησίων υπηρεσιών μισθούς. Υπακούων εις όσα εγώ σε διατάσσω θα έχεις την ευλογίαν Κυρίου του Θεού σου εις όλα τα έργα σου.

Δευτ. 15,19 - Πᾶν πρωτότοκον, ὃ ἐὰν τεχθῇ ἐν ταῖς βουσί σου καὶ ἐν τοῖς προβάτοις σου, τὰ ἀρσενικά, ἁγιάσεις Κυρίῳ τῷ Θεῷ σου· οὐκ ἐργᾷ ἐν τῷ πρωτοτόκῳ μόσχῳ σου καὶ οὐ μὴ κείρῃς τὰ πρωτότοκα τῶν προβάτων σου·

Δευτ. 15,19 - Καθε πρωτότοκον αρσενικόν, που θα γεννηθή εις τα βόδια σου και εις τα πρόβατά σου, θα το αφιερώσης εις Κυριον τον Θεόν σου. Δεν θα χρησιμοποιήσης δι' ιδικάς σου εργασίας το πρωτότοκον μοσχάρι σου ούτε και θα κουρεύσης δια λογαριασμόν σου τα πρωτότοκα εκ των προβάτων σου.

Δευτ. 15,20 - ἔναντι Κυρίου φαγῇ αὐτὸ ἐνιαυτὸν ἐξ ἐνιαυτοῦ ἐν τῷ τόπῳ, ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου, σὺ καὶ ὁ οἶκός σου.

Δευτ. 15,20 - Ενώπιον του Κυρίου και στον τόπον, τον οποίον εκείνος ήθελεν εκλέξει, θα τρώγης συ και η οικογένειά σου κάθε χρόνον τα πρωτότοκα αυτά.

Δευτ. 15,21 - ἐὰν δὲ ᾖ ἐν αὐτῷ μῶμος, χωλὸν ἢ τυφλὸν ἢ καὶ πᾶς μῶμος πονηρός, οὐ θύσεις αὐτὸ Κυρίῳ τῷ Θεῷ σου·

Δευτ. 15,21 - Εάν όμως το προσφερόμενον πρωτότοκον έχη κάποιο ελάττωμα, είναι δηλαδή χωλόν η τυφλόν η με άλλο τι σωματικόν ελάττωμα, δεν θα το θυσιάσης εις Κυριον τον Θεόν σου.

Δευτ. 15,22 - ἐν ταῖς πόλεσί σου φαγῇ αὐτό, ὁ ἀκάθαρτος ἐν σοὶ καὶ ὁ καθαρὸς ὡσαύτως ἔδεται ὡς δορκάδα ἢ ἔλαφον·

Δευτ. 15,22 - Εις τας πόλεις σου θα το σφάξης και θα το φάγης. Από αυτό έχει το δικαίωμα να φάγη όχι μόνον ο νομικώς καθαρός αλλά και ο ακάθαρτος που μένει κοντά σου, όπως αδιαφόρως τρώγετε το κρέας της δορκάδος η της ελάφου.

Δευτ. 15,23 - πλὴν αἷμα οὐ φάγεσθε, ἐπὶ τὴν γῆν ἐκχεεῖς αὐτὸ ὡς ὕδωρ.

Δευτ. 15,23 - Το αίμα όμως δεν θα το φάγετε. Θα το χύσετε εις την γην, όπως το νερό.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 16

Δευτ. 16,1 - Φύλαξαι τὸν μῆνα τῶν νέων καὶ ποιήσεις τὸ πάσχα Κυρίῳ τῷ Θεῷ σου, ὅτι ἐν τῷ μηνὶ τῶν νέων ἐξῆλθες ἐξ Αἰγύπτου νυκτός.

Δευτ. 16,1 - Να φυλάττης τον μήνα των νέων σιτηρών (τον Νισάν). Κατ' αυτόν θα εορτάσης το Πασχα εις δόξαν και τιμήν Κυρίου του Θεού σου, διότι κατά τον μήνα αυτόν των νέων σιτηρών εξήλθες ελεύθερος δια νυκτός από την Αίγυπτον.

Δευτ. 16,2 - καὶ θύσεις τὸ πάσχα Κυρίῳ τῷ Θεῷ σου πρόβατα καὶ βόας ἐν τῷ τόπῳ, ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ.

Δευτ. 16,2 - Προς τιμήν Κυρίου του Θεού σου θα θυσιάσης κατά το Πασχα πρόβατα και βόδια στον τόπον, τον οποίον ο Κυριος ήθελεν εκλέξει, δια να τιμάται εκεί και λατρεύεται το όνομά του.

Δευτ. 16,3 - οὐ φαγῇ ἐπ᾿ αὐτοῦ ζύμην· ἑπτὰ ἡμέρας φαγῇ ἐπ᾿ αὐτοῦ ἄζυμα, ἄρτον κακώσεως, ὅτι ἐν σπουδῇ ἐξήλθετε ἐξ Αἰγύπτου· ἵνα μνησθῆτε τὴν ἡμέραν τῆς ἐξοδίας ὑμῶν ἐκ γῆς Αἰγύπτου πάσας τὰς ἡμέρας τῆς ζωῆς ὑμῶν.

Δευτ. 16,3 - Με τον πασχάλιον αμνόν δεν θα φάγης ψωμί ένζυμον. Επτά ημέρας θα τρώγης μαζή με τας πασχαλινάς θυσίας άζυμα, άρτον που θα συμβολίζη ταλαιπωρίαν και θλίψιν, διότι με πολλήν βίαν εφύγατε τότε από την Αίγυπτον. Ετσι θα πράττετε, δια να ενθυμήσθε την ημέραν της αναχωρήσεώς σας από την Αίγυπτον, όλας τας ημέρας της ζωής σας.

Δευτ. 16,4 - οὐκ ὀφθήσεταί σοι ζύμη ἐν πᾶσι τοῖς ὁρίοις σου ἑπτὰ ἡμέρας, καὶ οὐ κοιμηθήσεται ἀπὸ τῶν κρεῶν, ὧν ἐὰν θύσῃς τὸ ἑσπέρας τῇ ἡμέρᾳ τῇ πρώτῃ εἰς τὸ πρωΐ.

Δευτ. 16,4 - Επί επτά ημέρας εντός των ορίων όλης της περιοχής σου δεν θα παρουσιασθή καν προζύμι, από δε τα κρέατα των ζώων, που θα θυσιάσης την εσπέραν της πρώτης ημέρας, δεν θα μείνη τίποτε έως το πρωϊ.

Δευτ. 16,5 - οὐ δυνήσῃ θῦσαι τὸ πάσχα ἐν οὐδεμιᾷ τῶν πόλεών σου, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι,

Δευτ. 16,5 - Δεν σου επιτρέπεται να τελέσης τας θυσίας του Πασχα εις καμμίαν από τας πόλεις, που σου έδωκεν ο Κυριος,

Δευτ. 16,6 - ἀλλ᾽ ἢ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ, θύσεις τὸ πάσχα ἑσπέρας πρὸς δυσμὰς ἡλίου ἐν τῷ καιρῷ, ᾧ ἐξῆλθες ἐξ Αἰγύπτου,

Δευτ. 16,6 - αλλά μόνον στον τόπον τον οποίον ήθελεν εκλέξει Κυριος ο Θεός σου, δια να ακούεται και τιμάται εκεί το όνομά του. Εκεί θα προσφέρης την θυσίαν του Πασχα την εσπέραν με την δύσιν του ηλίου εις ανάμνησιν της ώρας, κατά την οποίαν έφυγες από την Αίγυπτον.

Δευτ. 16,7 - καὶ ἑψήσεις καὶ ὀπτήσεις καὶ φαγῇ ἐν τῷ τόπῳ, οὗ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτόν, καὶ ἀποστραφήσῃ τὸ πρωΐ καὶ ἐλεύσῃ εἰς τοὺς οἴκους σου.

Δευτ. 16,7 - Θα βράσης και θα ψήσης και θα φάγης τον θυσιαζόμενον αμνόν στον τόπον, τον οποίον ήθελεν εκλέξει Κυριος ο Θεός σου και την πρωΐαν θα επιστρέψης και θα μεταβής εις την οικίαν σου.

Δευτ. 16,8 - ἓξ ἡμέρας φαγῇ ἄζυμα, καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἐξόδιον, ἑορτὴ Κυρίῳ τῷ Θεῷ σου· οὐ ποιήσεις ἐν αὐτῇ πᾶν ἔργον πλὴν ὅσα ποιηθήσεται ψυχῇ.

Δευτ. 16,8 - Επί εξ ημέρας θα τρώγης άζυμον άρτον ημέρά δε η εβδόμη θα είναι η τελευταία των εορτών του Πασχα, επίσημος εορτή προς τιμήν Κυρίου του Θεού σου. Κατ' αυτήν δεν θα κάμης καμμίαν εργασίαν πλην εκείνων, που είναι απαραίτητοι δια την συντήρησιν της ζωής σου.

Δευτ. 16,9 - ἑπτά ἑβδομάδας ἐξαριθμήσεις σεαυτῷ· ἀρξαμένου σου δρέπανον ἐπ᾽ ἀμητόν, ἄρξῃ ἐξαριθμῆσαι ἑπτὰ ἑβδομάδας.

Δευτ. 16,9 - Θα μετρήσης επτά εβδομάδας, τεσσαράκοντα εννέα ημέρας, θα αρχίσης να μετράς από την ημέραν, που θα πάρης το δρεπάνι δια τον θερισμόν.

Δευτ. 16,10 - καὶ ποιήσεις ἑορτὴν ἑβδομάδων Κυρίῳ τῷ Θεῷ σου καθὼς ἡ χείρ σου ἰσχύει, ὅσα ἂν δῷ Κύριος ὁ Θεός σου·

Δευτ. 16,10 - Την τελευταίαν ημέραν, δηλαδή την πεντηκαστήν, θα τελέσης την εορτήν των εβδομάδων, την Πεντηκοστής, προς χάριν Κυρίου του Θεού σου και θα προσφέρης από τα πρωτογεννήματα των αγρών σου, αναλόγως με την οικονομικήν σου κατάστασιν, αναλόγως με όσα Κυριος ο Θεός σου θα σου δώση.

Δευτ. 16,11 - καὶ εὐφρανθήσῃ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου καὶ ὁ Λευίτης καὶ ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα ἡ οὖσα ἐν ὑμῖν, ἐν τῷ τόπῳ, ᾧ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτὸν ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ,

Δευτ. 16,11 - Κατά την εορτήν αυτήν της Πεντηκοστής θα φάγης και θα ευφρανθής ενώπιον Κυρίου του Θεού σου, συ και ο υιός σου και η θυγάτηρ σου, ο δούλος και η δούλη σου, ο Λευΐτης και ο ξένος, ο ορφανός και η χήρα, που ευρίσκεται μεταξύ σας, θα φάγετε στον τόπον, τον οποίον ήθελεν εκλέξει Κυριος ο Θεός σου, δια να επικαλήται εκεί και λατρεύεται το Ονομά του.

Δευτ. 16,12 - καὶ μνησθήσῃ ὅτι οἰκέτης ἐγένου ἐν γῇ Αἰγύπτῳ, καὶ φυλάξῃ καὶ ποιήσεις τὰς ἐντολὰς ταύτας.

Δευτ. 16,12 - Να ενθυμηθής δε τότε, ότι υπήρξες και συ δούλος εις την χώραν της Αιγύπτου. Δι' αυτό και πρέπει να φυλάξης και αφαρμόσης τας εντολάς μου αυτάς.

Δευτ. 16,13 - ἑορτὴν σκηνῶν ποιήσεις σεαυτῷ ἑπτὰ ἡμέρας ἐν τῷ συναγαγεῖν σε ἐκ τῆς ἅλωνός σου καὶ ἀπὸ τῆς ληνοῦ σου·

Δευτ. 16,13 - Την εορτήν των Σκηνών, δηλαδή την εορτήν της Σκηνοπηγίας, επί επτά επίσης ημέρας θα την εορτάσης, όταν συγκεντρώσης από το αλώνι σου το σιτάρι και από τον ληνόν σου τον οίνον.

Δευτ. 16,14 - καὶ εὐφρανθήσῃ ἐν τῇ ἑορτῇ σου, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου καὶ ὁ Λευίτης καὶ ὁ προσήλυτος καὶ ὁ ὀρφανὸς καὶ ἡ χήρα ἡ οὖσα ἐν ταῖς πόλεσί σου.

Δευτ. 16,14 - Και κατά την εορτήν αυτήν θα ευφρανθής συ και ο υιός σου και η θυγάτηρ σου, ο δούλος σου και η δούλη σου, ο Λευΐτης και ο ξένος, ο αρφανός και η χήρα, που ευρίσκεται εις τας πόλεις σου.

Δευτ. 16,15 - ἑπτὰ ἡμέρας ἑορτάσεις Κυρίῳ τῷ Θεῷ σου ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου αὐτῷ· ἐὰν δὲ εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς γενήμασί σου καὶ ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου, καὶ ἔσῃ εὐφραινόμενος.

Δευτ. 16,15 - Επί επτά ημέρας θα εορτάσης την Σκηνοπηγίαν προς τιμήν και δόξαν Κυρίου του Θεού σου στον τόπον, στον οποίον ήθελεν εκλέξει δια τον εαυτόν του Κυριος ο Θεός σου. Ετσι δε Κυριος ο Θεός σου θα σε ευλογήση εις όλα τα προϊόντα σου, εις όλα τα έργα των χειρών σου. Και εφ' όσον θα σε έχη ευλογήσει θα είσαι ευχαριστημένος και χαρούμενος.

Δευτ. 16,16 - τρεῖς καιροὺς τοῦ ἐνιαυτοῦ ὀφθήσεται πᾶν ἀρσενικόν σου ἐναντίον Κυρίου τοῦ Θεοῦ σου ἐν τῷ τόπῳ, ᾧ ἐὰν ἐκλέξηται αὐτὸν Κύριος, ἐν τῇ ἑορτῇ τῶν ἀζύμων καὶ ἐν τῇ ἑορτῇ τῶν ἑβδομάδων καὶ ἐν τῇ ἑορτῇ τῆς σκηνοπηγίας. οὐκ ὀφθήσῃ ἐνώπιον Κυρίου τοῦ Θεοῦ σου κενός·

Δευτ. 16,16 - Εις τρεις καιρούς του έτους θα παρουσιάζεται κάθε άρρην Ισραηλίτης ενώπιον του Κυρίου του Θεού σου στον τόπον, τον οποίον ο Κυριος ήθελεν εκλέξει δια τον εαυτόν του κατά την εορτήν των αζύμων, δηλαδή το Πασχα, κατά την εορτήν των επτά εβδομάδων, δηλαδή την Πεντηκοστήν, και κατά την εορτήν της Σκηνοπηγίας. Δεν θα παρουσιασθής ενώπιον Κυρίου του Θεού σου με αδειανά τα χέρια.

Δευτ. 16,17 - ἕκαστος κατὰ δύναμιν τῶν χειρῶν ὑμῶν, κατὰ τὴν εὐλογίαν Κυρίου τοῦ Θεοῦ σου, ἣν ἔδωκέ σοι.

Δευτ. 16,17 - Ο καθένας θα προσφέρη τα δώρα του αναλόγως της οικονομικής του δυνατότητος, αναλόγως των ευλογιών και δωρεών, τας οποίας του έδωκεν ο Κυριος.

Δευτ. 16,18 - Κριτὰς καὶ γραμματοεισαγωγεῖς ποιήσεις σεαυτῷ ἐν ταῖς πόλεσί σου, αἷς Κύριος ὁ Θεός σου δίδωσί σοι, κατὰ φυλάς, καὶ κρινοῦσι τὸν λαὸν κρίσιν δικαίαν.

Δευτ. 16,18 - Θα διορίσης κατά φυλάς, δικαστάς και διδασκάλους εις τας πόλεις σου, τας οποίας Κυριος ο Θεός σου σου δίδει, δια να δικάζουν τον λαόν με δικαιοσύνην.

Δευτ. 16,19 - οὐκ ἐκκλινοῦσι κρίσιν, οὐδὲ ἐπιγνώσονται πρόσωπον οὐδὲ λήψονται δῶρον· τὰ γὰρ δῶρα ἀποτυφλοῖ ὀφθαλμοὺς σοφῶν καὶ ἐξαίρει λόγους δικαίων.

Δευτ. 16,19 - Δεν θα παρεκκλίνουν κατά την απόδοσιν της δικαιοσύνης, δεν θα επηρεασθούν από πρόσωπα, ούτε και θα λάβουν δώρα, διότι τα δώρα τυφλώνουν τους οφθαλμούς των σοφών και εκτρέπουν από την αλήθειαν και την δικαιοσύνην τους λόγους και τας αποφάσεις των δικαίων.

Δευτ. 16,20 - δικαίως τὸ δίκαιον διώξῃ, ἵνα ζῆτε καὶ εἰσελθόντες κληρονομήσητε τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι.

Δευτ. 16,20 - Κατά λόγον δικαιοσύνης θα αποδίδης αυστηρώς το δίκαιον, δια να ζήτε και εισέλθετε και κληρονομήσετε την γην, την οποίαν Κυριος ο Θεός σου δίδει εις σέ.

Δευτ. 16,21 - Οὐ φυτεύσεις σεαυτῷ ἄλσος, πᾶν ξύλον, παρὰ τὸ θυσιαστήριον τοῦ Θεοῦ σου οὐ ποιήσεις σεαυτῷ.

Δευτ. 16,21 - Δεν θα φυτεύσης ιερόν άλσος, όπως φυτεύουν οι ειδωλολάτραι προς τιμήν των ειδώλων των, ούτε και κανένα δένδρον θα φυτεύσης πλησίον στο θυσιαστήριον του Θεού σου.

Δευτ. 16,22 - οὐ στήσεις σεαυτῷ στήλην, ἃ ἐμίσησε Κύριος ὁ Θεός σου.

Δευτ. 16,22 - Δεν θα κτίσης ούτε θα στήσης ειδωλολατρικήν στήλην. Αυτά τα εμίσησε και τα μισεί Κυριος ο Θεός σου.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 17

Δευτ. 17,1 - Οὐ θύσεις Κυρίῳ τῷ Θεῷ σου μόσχον ἢ πρόβατον, ἐν ᾧ ἐστιν ἐν αὐτῷ μῶμος, πᾶν ῥῆμα πονηρόν, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σού ἐστιν.

Δευτ. 17,1 - Δεν θα θυσιάσης εις Κυριον τον Θεόν σου μοσχάρι η πρόβατον, στο οποίον υπάρχει κάποιο ελάττωμα η οιαδήποτε άλλη

αναπηρία η ασθένεια, διότι μία τέτοια προσφορά είναι αποκρουστική ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 17,2 - Ἐὰν δὲ εὑρεθῇ ἐν μιᾷ τῶν πόλεών σου, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι, ἀνὴρ ἢ γυνή, ὃς ποιήσει τὸ πονηρὸν ἐναντίον Κυρίου τοῦ Θεοῦ σου παρελθεῖν τὴν διαθήκην αὐτοῦ,

Δευτ. 17,2 - Εάν εις κάποιαν από τας πόλεις, τας οποίας Κυριος ο Θεός σου δίδει, ευρεθή άνδρας η γυναίκα, που θα διαπράξουν πονηρίαν ενώπιον Κυρίου του Θεού σου, ώστε να παραβούν και καταπατήσουν την εντολήν του,

Δευτ. 17,3 - καὶ ἐλθόντες λατρεύσωσι θεοῖς ἑτέροις καὶ προσκυνήσωσιν αὐτοῖς, τῷ ἡλίῳ ἢ τῇ σελήνῃ ἢ παντὶ τῶν ἐκ τοῦ κόσμου τοῦ οὐρανοῦ, ἃ οὐ προσέξατέ σοι,

Δευτ. 17,3 - και μεταβούν αλλού δια να λατρεύσουν άλλους θεούς και προσκυνήσουν αυτούς, τον ήλιον, την σελήνην, η ο,τιδήποτε άλλο από τον ουράνιον κόσμον, τα οποία σε διέταξεν ο Κυριος να μη λατρεύης,

Δευτ. 17,4 - καὶ ἀναγγελῇ σοι, καὶ ἐκζητήσεις σφόδρα, καὶ ἰδοὺ ἀληθῶς γέγονε τὸ ῥῆμα, γεγένηται τὸ βδέλυγμα τοῦτο ἐν Ἰσραήλ,

Δευτ. 17,4 - και σου αναγγελή το γεγονός αυτό, τότε θα ερευνήσης με υπομονήν, δια να εξακριβώσης την αλήθειαν. Εάν δε διαπιστώσης ότι πράγματι έγινεν αυτή η παρανομία, τούτο σημαίνει ότι έγινε μία μισητή και αποκρουστική πράξις μεταξύ των Ισραηλιτών.

Δευτ. 17,5 - καὶ ἐξάξεις τὸν ἄνθρωπον ἐκεῖνον ἢ τὴν γυναῖκα ἐκείνην καὶ λιθοβολήσετε αὐτοὺς ἐν λίθοις, καὶ τελευτήσουσιν.

Δευτ. 17,5 - Αυτόν τον άνδρα η εκείνην την γυναίκα, που διέπραξαν αυτήν την παράβασιν, θα τους βγάλετε έξω από την πόλιν και θα τους λιθοβολήσετε, ώστε να αποθάνουν.

Δευτ. 17,6 - ἐπὶ δυσὶ μάρτυσιν ἢ ἐπὶ τρισὶ μάρτυσιν ἀποθανεῖται ὁ ἀποθνήσκων· οὐκ ἀποθανεῖται ἐφ᾿ ἑνὶ μάρτυρι.

Δευτ. 17,6 - Κατόπιν μαρτυρίας δύο η τριών μαρτύρων θα καταδικάζεται εις θάνατον και θα εκτελήται ο ένοχος. Κανείς δεν θα καταδικάζεται εις θάνατον βάσει της μαρτυρικής καταθέσεως ενός μόνον.

Δευτ. 17,7 - καὶ ἡ χεὶρ τῶν μαρτύρων ἔσται ἐπ᾿ αὐτῷ ἐν πρώτοις θανατῶσαι αὐτόν, καὶ ἡ χεὶρ τοῦ λαοῦ ἐπ᾿ ἐσχάτων· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Δευτ. 17,7 - Κατά δε την εκτέλεσιν του δια λιθοβολισμού θανάτου πρώτη η χειρ των μαρτύρων θα ρίψη τον λίθον κατά του καταδίκου, και κατόπιν θα ρίψουν λίθους τα χέρια του λαού. Ετσι δε θα αφαιρέσετε από ανάμεσά σας τον παραβάτην της θείας εντολής.

Δευτ. 17,8 - Ἐὰν δὲ ἀδυνατήσῃ ἀπὸ σοῦ ῥῆμα ἐν κρίσει ἀναμέσον αἷμα αἵματος καὶ ἀναμέσον κρίσις κρίσεως καὶ ἀναμέσον ἁφὴ ἁφῆς καὶ

ἀναμέσον ἀντιλογία ἀντιλογίας, ῥήματα κρίσεως ἐν ταῖς πόλεσιν ὑμῶν, καὶ ἀναστὰς ἀναβήσῃ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐκεῖ,

Δευτ. 17,8 - Εάν δε ως δικαστής ευρίσκεσαι εις αδυναμίαν να αποφανθής εις κάποιαν δίκην, αν πρόκειται περί φόνου και τι είδους φόνου, η υπάρχη διαφορά γνώμης μεταξύ των δικαστών και αναζητήται ποία είναι η ορθή η εις περίπτωσιν τραaματισμού περί του είδους αυτού και άρα της ενοχής του κατηγορουμένου η γενικώς εις περίπτωσιν απορίας δια την λήψιν δικαίας αποφάσεως εις δίκας που διεξάγονται εις τας πόλεις σας, θα σηκωθής και θα μεταβής στον τόπον, τον οποίον θα εκλέξη Κυριος ο Θεός σου, στον ναόν,

Δευτ. 17,9 - καὶ ἐλεύσῃ πρὸς τοὺς ἱερεῖς τοὺς Λευίτας καὶ πρὸς τὸν κριτήν, ὃς ἂν γένηται ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐκζητήσαντες ἀναγγελοῦσί σοι τὴν κρίσιν.

Δευτ. 17,9 - θα προσέλθης στους Λευΐτας ιερείς και προς τον καθωρισμένον δια τας ημέρας εκείνας δικαστήν. Αυτοί θα ερευνήσουν επιμελώς την υπόθεσιν και θα σου αναγγείλουν την δικαίαν κρίσιν.

Δευτ. 17,10 - καὶ ποιήσεις κατὰ τὸ πρᾶγμα, ὃ ἂν ἀναγγείλωσί σοι ἐκ τοῦ τόπου, οὗ ἐὰν ἐκλέξηται Κύριος ὁ Θεός σου, καὶ φυλάξῃ ποιῆσαι πάντα ὅσα ἂν νομοθετηθῇ σοι·

Δευτ. 17,10 - Συ δε πρέπει να συμμορφωθής προς την απόφασιν, την οποίαν θα εκδώσουν και θα αναγγείλουν εις σε οι αρμόδιοι αυτοί εκ του τόπου, τον οποίον θα εκλέξη Κυριος ο Θεός σου, και θα φροντίσης να τηρήσης εκείνο πλέον, το οποίον ως νόμος θα διατυπωθή εις σέ.

Δευτ. 17,11 - κατὰ τὸν νόμον καὶ κατὰ τὴν κρίσιν, ἣν ἂν εἴπωσί σοι, ποιήσεις, οὐκ ἐκκλινεῖς ἀπὸ τοῦ ῥήματος, οὗ ἐὰν ἀναγγείλωσί σοι, δεξιὰ οὐδὲ ἀριστερά.

Δευτ. 17,11 - Συμφωνα με τον νόμον και με την απόφασιν, που εξέδωκαν και ανήγγειλαν εις σε εκείνοι, θα πράξης και δεν θα παρεκκλίνης ούτε δεξιά ούτε αριστερά από την απόφασιν, που σου έχουν αναγγείλει.

Δευτ. 17,12 - καὶ ὁ ἄνθρωπος, ὃς ἐὰν ποιήσῃ ἐν ὑπερηφανίᾳ ὥστε μὴ ὑπακοῦσαι τοῦ ἱερέως τοῦ παρεστηκότος λειτουργεῖν ἐπὶ τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ σου ἢ τοῦ κριτοῦ, ὃς ἂν ᾖ ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἀποθανεῖται ὁ ἄνθρωπος ἐκεῖνος, καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ·

Δευτ. 17,12 - Ο Ισραηλίτης δε εκείνος, ο οποίος εν τω εγωϊσμώ του δεν θα ήθελε να υπακούση εις την απόφασιν του αρχιερέως του προσφέροντος τας υπηρεσίας του πλησίον του Κυρίου και εις δόξαν του Κυρίου, η δεν ήθελε να υπακούση στον εντεταλμένον κριτήν, ο οποίος δικάζει κατά την περίοδον εκείνην, ο ανυπάκουος αυτός ο άνθρωπος θα τιμωρηθή δια θανάτου και έτσι θα αποβάλης τον πονηρόν εκ μέσου του ισραηλιτικού λαού.

Δευτ. 17,13 - καὶ πᾶς ὁ λαὸς ἀκούσας φοβηθήσεται καὶ οὐκ ἀσεβήσει ἔτι.

Δευτ. 17,13 - Οι άλλοι δε Ισραηλίται, όταν ακούσουν την τιμωρίαν αυτήν, θα φοβηθούν και δεν θα εκτραπούν στο εξής εις ασεβείας.

Δευτ. 17,14 - Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, καὶ κληρονομήσῃς αὐτὴν καὶ κατοικήσῃς ἐπ᾿ αὐτὴν καὶ εἴπῃς· καταστήσω ἐπ᾿ ἐμαυτὸν ἄρχοντα, καθὰ καὶ τὰ λοιπὰ ἔθνη τὰ κύκλῳ μου,

Δευτ. 17,14 - Οταν δε εισέλθης εις την γην της επαγγελίας, την οποίαν Κυριος ο Θεός σου δίδει εις σέ, και την καταλάβης ως ιδικήν σου και κατοικήσης εις αυτήν και είπης· Λοιπόν θα εγκαταστήσω τώρα άρχοντα και βασιλέα μου, όπως έχουν και τα γύρω μου ειδωλολατρικά έθνη, μη λησμονήσης Κυριον τον Θεόν σου.

Δευτ. 17,15 - καθιστῶν καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεὸς αὐτόν. ἐκ τῶν ἀδελφῶν σου καταστήσεις ἐπὶ σεαυτὸν ἄρχοντα· οὐ δυνήσῃ καταστῆσαι ἐπὶ σεαυτὸν ἄνθρωπον ἀλλότριον, ὅτι οὐκ ἀδελφός σού ἐστι.

Δευτ. 17,15 - Θα εγκαταστήσης βεβαίως βασιλέα δια τον εαυτόν σου, εκείνον όμως τον οποίον ο Θεός θα εκλέξη εκ μέσου των αδελφών σου και θα ορίση ως βασιλέα και άρχοντα δια σέ. Δεν θα εγκαταστήσης βασιλέα επί του εαυτού σου άνθρωπον ξένον, διότι αυτός δεν είναι αδελφός σου.

Δευτ. 17,16 - διότι οὐ πληθυνεῖ ἑαυτῷ ἵππον οὐδὲ μὴ ἀποστρέψῃ τὸν λαὸν εἰς Αἴγυπτον, ὅπως μὴ πληθύνῃ αὐτῷ ἵππον, ὁ δὲ Κύριος εἶπεν· οὐ προσθήσεσθε ἀποστρέψαι τῇ ὁδῷ ταύτῃ ἔτι.

Δευτ. 17,16 - Ο εκ των αδελφών σου βασιλεύς, που πιστεύει εις την προστασίαν του Θεού, δεν θα συγκροτήση ιππικόν δια τον εαυτόν του, οπότε θα επαναφέρη τον λαόν εις την Αίγυπτον δια να λάβη από εκεί και άλλο ιππικόν δια τον εαυτόν του, διότι ο Κυριος είπεν· ουδέποτε θα θελήσετε να επιστρέψετε πλέον εις την οδόν προς την Αίγυπτον.

Δευτ. 17,17 - καὶ οὐ πληθυνεῖ ἑαυτῷ γυναῖκας, ἵνα μὴ μεταστῇ αὐτοῦ ἡ καρδία· καὶ ἀργύριον καὶ χρυσίον οὐ πληθυνεῖ ἑαυτῷ σφόδρα.

Δευτ. 17,17 - Ο βασιλεύς αυτός δεν θα έχη δια τον εαυτόν του πολλάς γυναίκας, δια να μη δοθή η καρδία του εις την σαρκολατρείαν. Δεν θα συγκεντρώνη πολύν χρυσόν και άργυρον δια τον εαυτόν του.

Δευτ. 17,18 - καὶ ὅταν καθίσῃ ἐπὶ τῆς ἀρχῆς αὐτοῦ, καὶ γράψει αὐτῷ τὸ δευτερονόμιον τοῦτο εἰς βιβλίον παρὰ τῶν ἱερέων τῶν Λευιτῶν,

Δευτ. 17,18 - Οταν δε εγκατασταθή στον θρόνον και την εξουσίαν του, θα αντιγράψη δια τον εαυτόν του το δευτερονόμιον τούτο εις βιβλίον από το πρωτότυπον, το οποίον φυλάσσεται παρά των ιερέων της φυλής των Λευϊτών.

Δευτ. 17,19 - καὶ ἔσται μετ᾿ αὐτοῦ, καὶ ἀναγνώσεται ἐν αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, ἵνα μάθῃ φοβεῖσθαι Κύριον τὸν Θεόν σου καὶ φυλάσσεσθαι πάσας τὰς ἐντολὰς ταύτας καὶ τὰ δικαιώματα ταῦτα ποιεῖν,

Δευτ. 17,19 - Θα έχη πάντοτε μαζή του το βιβλίον τούτο, θα το μελετά όλας τας ημέρας της ζωής του, δια να μάθη να φοβήται Κυριον τον Θεόν σου και να φροντίζη, ώστε να εφαρμόζη όλας αυτάς τάςεντολάς και τους νόμους.

Δευτ. 17,20 - ἵνα μὴ ὑψωθῇ ἡ καρδία αὐτοῦ ἀπὸ τῶν ἀδελφῶν αὐτοῦ, ἵνα μὴ παραβῇ ἀπὸ τῶν ἐντολῶν δεξιὰ ἢ ἀριστερά, ὅπως ἂν μακροχρονίσῃ ἐπὶ τῆς ἀρχῆς αὐτοῦ, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἐν τοῖς υἱοῖς Ἰσραήλ.

Δευτ. 17,20 - Τούτο δέ, δια να μη αλαζονευθή η καρδία του απέναντι των αδελφών του, δια να μη παρεκκλίνη από τας εντολάς του Κυρίου, δεξιά η αριστερά, και δια να μείνη έτσι επί πολλά έτη εις την εξουσίαν του αυτός και μετ' αυτόν οι απόγονοί του εν μέσω των Ισραηλιτών.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 18

Δευτ. 18,1 - Οὐκ ἔσται τοῖς ἱερεῦσι τοῖς Λευίταις, ὅλῃ φυλῇ Λευί, μερὶς οὐδὲ κλῆρος μετὰ Ἰσραήλ· καρπώματα Κυρίου ὁ κλῆρος αὐτῶν, φάγονται αὐτά.

Δευτ. 18,1 - Δεν θα υπάρξη και δεν θα δοθή στους ιερείς εκ της φυλής Λευϊ και εις ολόκληρον την φυλήν Λευϊ μερίδιον ούτε κληρονομία μεταξύ του ισραηλιτικού λαού. Πρόσοδος και κληρονομία αυτών και μέσα διατροφής των θα είναι αι προς Κυριον θυσίαι και προσφοραί των Ισραηλιτών.

Δευτ. 18,2 - κλῆρος δὲ οὐκ ἔσται αὐτοῖς ἐν τοῖς ἀδελφοῖς αὐτῶν· Κύριος αὐτὸς κλῆρος αὐτοῦ, καθότι εἶπεν αὐτῷ.

Δευτ. 18,2 - Δεν θα έχουν αυτοί κληροναμίαν γης μεταξύ των αδελφών των Ισραηλιτών· κληρονομία των θα είναι, ο ίδιος ο Θεός, όπως και είπεν εις αυτούς.

Δευτ. 18,3 - καὶ αὕτη ἡ κρίσις τῶν ἱερέων, τὰ παρὰ τοῦ λαοῦ, παρὰ τῶν θυόντων τὰ θύματα, ἐάν τε μόσχον ἐάν τε πρόβατον· καὶ δώσεις τὸν βραχίονα τῷ ἱερεῖ καὶ τά σιαγόνια καὶ τὸ ἔνυστρον.

Δευτ. 18,3 - Τα δικαιώματα των ιερέων εκ μέρους του λαού από τας θυσίας των μόσχων και των προβάτων, που θα προσφέρουν οι Ισραηλίται, είναι τα εξής· Θα δώσετε στον ιερέα από τας θυσίας αυτάς την δεξιάν ωμοπλάτην μαζή με το πόδι, τας δύο σιαγόνας και τον στάμαχον του θυσιαζομένου ζώου.

Δευτ. 18,4 - καὶ τὰς ἀπαρχὰς τοῦ σίτου σου καὶ τοῦ οἴνου σου καὶ τοῦ ἐλαίου σου καὶ τὴν ἀπαρχὴν τῶν κουρῶν τῶν προβάτων σου δώσεις αὐτῷ·

Δευτ. 18,4 - Επίσης θα δώσης τας απαρχάς του σίτου σου και του οίνου σου και του ελαίου σου, όπως επίσης και την απαρχήν της κουράς των προβάτων σου. Θα δώσης αυτά στους Λευΐτας,

Δευτ. 18,5 - ὅτι αὐτὸν ἐξελέξατο Κύριος ἐκ πασῶν τῶν φυλῶν σου παρεστάναι ἔναντι Κυρίου τοῦ Θεοῦ, λειτουργεῖν καὶ εὐλογεῖν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἐν τοῖς υἱοῖς Ἰσραήλ.

Δευτ. 18,5 - διότι αυτούς εξέλεξεν ο Κυριος από όλας τας φυλάς σας να παρίστανται πλησίον Κυρίου του Θεού, να υπηρετούν αυτόν και εν τω ονόματι αυτού να σας ευλογούν. Αυτούς και τους υιούς των μεταξύ όλων των Ισραηλιτών εξέλεξεν ο Θεός δια τα διάκονηματα αυτά.

Δευτ. 18,6 - ἐὰν δὲ παραγένηται ὁ Λευίτης ἐκ μιᾶς τῶν πόλεων ἐκ πάντων τῶν υἱῶν Ἰσρήλ, οὗ αὐτὸς παροικεῖ, καθ᾿ ὅτι ἐπιθυμεῖ ἡ ψυχὴ αὐτοῦ, εἰς τὸν τόπον ὃν ἂν ἐκλέξηται Κύριος.

Δευτ. 18,6 - Εάν δε ένας Λευΐτης από κάποιαν πόλιν των Ισραηλιτών, όπου κατοικεί, έλθη, σύμφωνα με την επιθυμίαν της καρδίας του, στον τόπον τον οποίον ο Κυριος θα εκλέξη δια τον εαυτόν του,

Δευτ. 18,7 - καὶ λειτουργήσει τῷ ὀνόματι Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ὥσπερ πάντες οἱ ἀδελφοὶ αὐτοῦ οἱ Λευῖται οἱ παρεστηκότες ἐκεῖ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου·

Δευτ. 18,7 - θελήση δε και αποφασίση να υπηρετή εκεί εν ονόματι Κυρίου του Θεού καθ' όλην του την ζωήν, όπως και όλοι οι εκεί αδελφοί του Λευίται, οι οποίοι παρίστανται ενώπιον Κυρίου του Θεού σου,

Δευτ. 18,8 - μερίδα μεμερισμένην φάγεται, πλὴν τῆς πράσεως τῆς κατὰ πατριάν.

Δευτ. 18,8 - θα λάβη και αυτός εις διατροφήν του την κανονισμένην και δια τους άλλους Λευΐτας μερίδα, και θα εισπράττη επί πλέον τα χρήματα εκ της πωλήσεως των εισοδημάτων της πατρικής του κληρονομίας.

Δευτ. 18,9 - Ἐὰν δὲ εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐ μαθήσῃ ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων.

Δευτ. 18,9 - Οταν δε εισέλθης εις την γην της Επαγγελίας, την οποίαν σου προσφέρει Κυριος ο Θεός σου, πρόσεχε, μήπως τυχόν και μάθης να πράττης τα μισητά και αηδή έργα των λαών εκείνων.

Δευτ. 18,10 - οὐχ εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ ἢ τὴν θυγατέρα αὐτοῦ ἐν πυρί, μαντευόμενος μαντείαν, κληδονιζόμενος καὶ οἰωνιζόμενος,

Δευτ. 18,10 - Και συγκεκριμένως· δεν πρέπει να υπάρξη ποτέ μεταξύ σας Ισραηλίτης, ο οποίος, δια να εξαγνίση τάχα τον υιόν η την θυγατέρα του, θα περνά αυτούς δια του πυρός. Η άλλος ο οποίος θα ζητή μαντείας η θα λέγη μαντείας, η θα παρατηρή σημεία και οιωνούς, δια να εξακριβώνη το μέλλον.

Δευτ. 18,11 - φαρμακὸς ἐπαείδων ἐπαοιδήν, ἐγγαστρίμυθος καὶ τερατοσκόπος, ἐπερωτῶν τοὺς νεκρούς.

Δευτ. 18,11 - Δεν θα υπάρχη μεταξύ σας μάγος, που θα ψάλλη μαγικάς ωδάς, ούτε άνθρωπος που θα φαίνεται ομιλών από την κοιλίαν, ούτε

τερατοσκόπος που θα παρατηρή τάχα τέρατα στον ουρανόν δια να προλέγη το μέλλον, ούτε άλλος (πνευματιστής) που θα ερωτά τους νεκρούς.

Δευτ. 18,12 - ἔστι γὰρ βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα· ἕνεκεν γὰρ τῶν βδελυγμάτων τούτων Κύριος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου σου.

Δευτ. 18,12 - Εκείνος, που θα πράττη αυτά, είναι μισητός και αποκρουστικός εκ μέρους Κυρίου του Θεού σου. Δια τας βδελυρίας αυτάς των κατοίκων της Χαναάν, θα εξολοθρεύση αυτούς ο Κυριος από τα μάτια σας.

Δευτ. 18,13 - τέλειος ἔσῃ ἐναντίον Κυρίου τοῦ Θεοῦ σου·

Δευτ. 18,13 - Θα προσπαθής να είσαι τέλειος και άμεμπτος ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 18,14 - τὰ γὰρ ἔθνη ταῦτα, οὓς σὺ κατακληρονομεῖς αὐτούς, οὗτοι κληδόνων καὶ μαντειῶν ἀκούσονται, σοὶ δὲ οὐχ οὕτως ἔδωκε Κύριος ὁ Θεός σου.

Δευτ. 18,14 - Οι ειδωλολατρικοί λαοί, τους οποίους συ θα κληρονομήσης, θέλουν να ακούουν και να συμβουλεύονται σημεία και μαντείας. Εις σε όμως δεν εδίδαξεν ούτε επιτρέπει Κυριος ο Θεός σου τοιαύτας μαγείας.

Δευτ. 18,15 - προφήτην ἐκ τῶν ἀδελφῶν σου ὡς ἐμὲ ἀναστήσει σοι Κύριος ὁ Θεός σου, αὐτοῦ ἀκούσεσθε

Δευτ. 18,15 - Κυριος ο Θεός σου θα αναδείξη ανάμεσα οπό τους αδελφούς σου Ισραηλίτας ένα προφήτην ωσάν εμέ· εις αυτόν πλέον θα υπακούετε.

Δευτ. 18,16 - κατὰ πάντα, ὅσα ᾐτήσω παρὰ Κυρίου τοῦ Θεοῦ σου ἐν Χωρὴβ τῇ ἡμέρᾳ τῆς ἐκκλησίας λέγοντες· οὐ προσθήσομεν ἀκοῦσαι τὴν φωνὴν Κυρίου τοῦ Θεοῦ σου καὶ τὸ πῦρ τοῦτο τὸ μέγα οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ ἀποθάνωμεν.

Δευτ. 18,16 - Συμφωνα με όλα όσα εζητήσατε από τον Κυριον και Θεόν σας στο όρος Χωρήβ, κατά την ημέραν της γενικής σας συγκεντρώσεως, όταν είπατε να μη ομιλή κατ' ευθείαν πρας σας ο Θεός αλλ' ο Μωϋσής “διότι δεν θα ημπορέσωμεν ημείς να ακούσωμεν την φωνήν Κυρίου του Θεού ούτε θα δυνηθώμεν να αντικρύσωμεν το μέγα εκείνο πυρ και να διαφύγωμεν τον θάνατον”,

Δευτ. 18,17 - καὶ εἶπε Κύριος πρός με· ὀρθῶς πάντα ὅσα ἐλάλησαν πρὸς σέ·

Δευτ. 18,17 - ο Κυριος είπε τότε εις εμέ· Ορθά είναι όλα όσα εκείνοι ωμίλησαν και εζήτησαν από σέ.

Δευτ. 18,18 - προφήτην ἀναστήσω αὐτοῖς ἐκ τῶν ἀδελφῶν αὐτῶν, ὥσπερ σέ, καὶ δώσω τὰ ῥήματα ἐν τῷ στόματι αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ᾿ ὅτι ἂν ἐντείλωμαι αὐτῷ·

Δευτ. 18,18 - Δια τούτο θα αναδείξω ένα προφήτην εκ μέσου των Ισραηλιτών όμοιον με σέ, θα βάλω τα λόγια μου στο στόμα του και αυτός θα αναγγέλλη εις εκείνους κάθε τι, το οποίον εγώ θα δίδω εις αυτόν ως εντολήν μου.

Δευτ. 18,19 - καὶ ὁ ἄνθρωπος, ὃς ἐὰν μὴ ἀκούσῃ ὅσα ἂν λαλήσῃ ὁ προφήτης ἐκεῖνος ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ.

Δευτ. 18,19 - Καθε δε άνθρωπον, ο οποίος θα παρακούση όσα εν τω ονόματί μου θα είπη ο προφήτης εκείνος, εγώ θα τον τιμωρήσω.

Δευτ. 18,20 - πλὴν ὁ προφήτης, ὃς ἂν ἀσεβήσῃ λαλῆσαι ἐπὶ τῷ ὀνόματί μου ῥῆμα, ὃ οὐ προσέταξα λαλῆσαι, καὶ ὃς ἂν λαλήσῃ ἐν ὀνόματι θεῶν ἑτέρων, ἀποθανεῖται ὁ προφήτης ἐκεῖνος.

Δευτ. 18,20 - Εάν δε και υπάρξη προφήτης, ο οποίος, ασεβών απέναντί μου, θα ομιλήση εξ ονόματός μου και θα αναγγείλη λόγον, τον οποίον εγώ δεν διέταξα, και εκείνος ο ψευδοπροφήτης ο οποίος θα ομιλήση προς τον λαόν μου εξ ονόματος άλλων θεών, θα τιμωρηθή δια θανάτου.

Δευτ. 18,21 - ἐὰν δὲ εἴπῃς ἐν τῇ καρδίᾳ σου· πῶς γνωσόμεθα τὸ ῥῆμα, ὃ οὐκ ἐλάλησε Κύριος;

Δευτ. 18,21 - Εάν σου γενηθή απορία και διαλογισθής, πως θα ξεχωρίσω εγώ τον λόγον που ο Κυριος ελάλησε, από τα λόγια του ψευδοπροφήτου; Σε πληροφορώ,

Δευτ. 18,22 - ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐκεῖνος τῷ ὀνόματι Κυρίου, καὶ μὴ γένηται καὶ μὴ συμβῇ, τοῦτο τὸ ῥῆμα ὃ οὐκ ἐλάλησε Κύριος· ἐν ἀσεβείᾳ ἐλάλησεν ὁ προφήτης ἐκεῖνος, οὐκ ἀφέξεσθε αὐτοῦ.

Δευτ. 18,22 - ότι όσα θα προείπη εξ ονόματος του Κυρίου ένας προφήτης και δεν πραγματοποιηθή εκείνο το οποίον είπε, να σκεφθής ότι εις αυτόν τον προφήτην δεν ωμίλησεν ο Κυριος. Ασεβώς και ψευδώς μίλησε. Αυτόν τον προφήτην δεν θα τον σεβασθήτε καθόλου ούτε και θα τον λυπηθήτε.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 19

Δευτ. 19,1 - Ἐὰν δὲ ἀφανίσῃ Κύριος ὁ Θεός σου τὰ ἔθνη, ἃ ὁ Θεὸς δίδωσί σοι τὴν γῆν αὐτῶν, καὶ κατακληρονομήσητε αὐτοὺς καὶ κατοικήσετε ἐν ταῖς πόλεσιν αὐτῶν καὶ ἐν τοῖς οἴκοις αὐτῶν,

Δευτ. 19,1 - Οταν Κυριος ο Θεός σου εξαφανίση τους λαούς, των οποίων την χώραν θα δώση εις σας, και θα κληρονομήσετε αυτούς και θα εγκατασταθήτε εις τας πόλεις των και εις τας οικίας των,

Δευτ. 19,2 - τρεῖς πόλεις διαστελεῖς σεαυτῷ ἐν μέσῳ τῆς γῆς σου, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

Δευτ. 19,2 - θα ξεχωρίσης μέσα εις την χώραν, που σου δίδει ο Κυριος ως ιδιοκτησίαν σου, τρεις πόλεις ως καταφύγια.

Δευτ. 19,3 - στόχασαί σοι τὴν ὁδὸν καὶ τριμεριεῖς τὰ ὅρια τῆς γῆς σου, ἣν καταμερίζει σοι Κύριος ὁ Θεός σου, καὶ ἔσται ἐκεῖ καταφυγὴ παντὶ φονευτῇ.

Δευτ. 19,3 - Δια την θέσιν των πόλεων αυτών υπολόγισε καλά το μήκος των οδών, αι οποίαι οδηγούν εις αυτάς· μοίρασε την περιοχήν που ο Κυριος σου δίδει εις τρία ίσα μέρη, ώστε εις τας πόλεις- καταφύγια των τριών αυτών περιοχών να προλαμβάνη και καταφεύγη κάθε φονεύς.

Δευτ. 19,4 - τοῦτο δὲ ἔσται τὸ πρόσταγμα τοῦ φονευτοῦ, ὃς ἂν φύγῃ ἐκεῖ καὶ ζήσεται· ὃς ἂν πατάξῃ τὸν πλησίον αὐτοῦ οὐκ εἰδὼς καὶ οὗτος οὐ μισῶν αὐτὸν πρὸ τῆς χθὲς καὶ τρίτης,

Δευτ. 19,4 - Αυτός δε είναι ο νόμος, τον οποίον θα τηρήτε προκειμένου περί του φονέως που καταφεύγει εκεί, δια να εξασφαλίση την ζωήν του· άνθρωπος ο οποίος θα φονεύση τον πλησίον του εν αγνοία του, χωρίς να έχη κανένα προηγουμένως μίσος εναντίον αυτού, θα σωθή εις την πόλιν αυτήν.

Δευτ. 19,5 - καὶ ὃς ἐὰν εἰσέλθῃ μετὰ τοῦ πλησίον εἰς τὸν δρυμὸν συναγαγεῖν ξύλα, καὶ ἐκκρουσθῇ ἡ χεὶρ αὐτοῦ τῇ ἀξίνῃ κόπτοντος τὸ ξύλον, καὶ ἐκπεσὸν τὸ σιδήριον ἀπὸ τοῦ ξύλου τύχῃ τοῦ πλησίον, καὶ ἀποθάνῃ, οὗτος καταφεύξεται εἰς μίαν τῶν πόλεων τούτων καὶ ζήσεται,

Δευτ. 19,5 - Εάν π.χ. εισέλθη κανείς με κάποιον άλλον στο δάσος δια να κόψη και συλλέξη ξύλα και καθ' ον χρόνον με το τσεκούρι θα κόβη το ξύλον σκοντάψη το χέρι και ξεφύγη το σίδηρον από το στυλιάρι, επιτύχη δε τον πλησίον του και φονεύση αυτόν, ο φονεύς αυτός θα καταφύγη εις μίαν από τας τρεις πόλεις και θα ασφαλίση εκεί την ζωήν του. Κανείς δεν έχει δικαίωμα να τον φονεύση.

Δευτ. 19,6 - ἵνα μὴ διώξας ὁ ἀγχιστεύων τοῦ αἵματος ὀπίσω τοῦ φονεύσαντος, ὅτι παρατεθέρμανται τῇ καρδίᾳ, καὶ καταλάβῃ αὐτόν, ἐὰν μακροτέρα ᾖ ἡ ὁδός, καὶ πατάξῃ αὐτοῦ ψυχήν, καὶ ἀποθάνῃ, καὶ τούτῳ οὐκ ἔστι κρίσις θανάτου, ὅτι οὐ μισῶν ἦν αὐτὸν πρὸ τῆς χθές, οὐδὲ πρὸ τῆς τρίτης.

Δευτ. 19,6 - Αι αποστάσεις των καταφυγίων πόλεων θα είναι κανονικαί, ώστε ο στενώτερος συγγενής του φονευθέντος, υπό την επήρειαν της αγανακτήσεως από τας πρώτας εντυπώσεις, να μη δυνηθή να καταδιώξη και καταφθάση τον ακούσιον φονέα και τον φονεύση, ενώ είναι αθώος και ενώ δεν υπάρχει ενοχή θανάτου, διότι ο φονεύς δεν εμισούσε προηγουμένως και δεν αντιπαθούσε τον φονευθέντα. Εάν όμως είναι μακρά η οδός προς το καταφύγιον, υπάρξει φόβος να τον καταφθάση και τον φονεύση αδίκως.

Δευτ. 19,7 - διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι τὸ ῥῆμα τοῦτο λέγων· τρεῖς πόλεις διαστελεῖς σεαυτῷ·

Δευτ. 19,7 - Δια να αποφευχθή, λοιπόν ένας δεύτερος άδικος θάνατος, σου δίδω εγώ αυτήν την εντολήν· Θα ξεχωρίσης τρεις πόλεις εις την

περιοχήν σου εις αναλόγους αποστάσεις.

Δευτ. 19,8 - ἐὰν δὲ ἐμπλατύνῃ Κύριος ὁ Θεός σου τὰ ὅριά σου, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ δῷ σοι Κύριος πᾶσαν τὴν γῆν, ἣν εἶπε δοῦναι τοῖς πατράσι σου,

Δευτ. 19,8 - Οταν Κυριος ο Θεός ευρύνη τα όρια της χώρας σου, όπως ωρκίσθη στους προπάτοράς σου, και δώση εις σε όλην την γην, που υπεσχέθη εις εκείνους,

Δευτ. 19,9 - ἐὰν ἀκούσῃς ποιεῖν πάσας τὰς ἐντολὰς ταύτας, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἀγαπᾶν Κύριον τὸν Θεόν σου, πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ πάσας τὰς ἡμέρας, προσθήσεις σεαυτῷ ἔτι τρεῖς πόλεις πρὸς τὰς τρεῖς ταύτας,

Δευτ. 19,9 - υπό την προυπόθεσιν βέβαια, ότι συ θα υπακούης και θα τηρής όλας τας εντολάς, τας οποίας εγώ σου δίδω σήμερον, να αγαπάς δηλαδή Κυριον τον Θεόν σου, να πορεύεσαι τον δρόμον των εντολών του όλας τας ημέρας της ζωής σου, θα προσθέσης τρεις ακόμη πόλεις εις τας τρεις προηγουμένας, ώστε να είναι εν συνόλω εξ.

Δευτ. 19,10 - καὶ οὐκ ἐκχυθήσεται αἷμα ἀναίτιον ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ, καὶ οὐκ ἔσται ἐν σοὶ αἵματι ἔνοχος.

Δευτ. 19,10 - Τούτο δε δια να διευκολύνεται η σωτηρία των αθελήτων φονέων και να μη χύνεται αθώον αίμα εις την γην, την οποίαν σου δίδει δια κλήρου Κυριος ο Θεός σου και δια να μη υπάρχη έτσι μεταξύ σας ένοχος αθώου αίματος.

Δευτ. 19,11 - ἐὰν δὲ γένηται ἐν σοὶ ἄνθρωπος μισῶν τὸν πλησίον καὶ ἐνεδρεύσῃ αὐτὸν καὶ ἐπαναστῇ ἐπ᾿ αὐτὸν καὶ πατάξῃ αὐτοῦ ψυχήν, καὶ ἀποθάνῃ, καὶ φύγῃ εἰς μίαν τῶν πόλεων τούτων,

Δευτ. 19,11 - Εάν όμως υπάρχη μεταξύ σας άνθρωπος, ο οποίος μισεί τον πλησίον του και στήση ενέδραν δι' αυτόν και επιτεθή εναντίον του και τον κτυπήση θανασίμως, ο κτυπηθείς δε αποθάνη και ο εκ προμελέτης φονεύς καταφύγη εις μίαν από τας πόλεις αυτάς,

Δευτ. 19,12 - καὶ ἀποστελοῦσιν ἡ γερουσία τῆς πόλεως αὐτοῦ καὶ λήψονται αὐτὸν ἐκεῖθεν καὶ παραδώσουσιν αὐτὸν εἰς χεῖρας τῶν ἀγχιστευόντων τοῦ αἵματος, καὶ ἀποθανεῖται·

Δευτ. 19,12 - η γερουσία της πόλεως του φονέως θα στείλουν και θα συλλάβουν αυτόν από εκεί και θα τον παραδώσουν εις τα χέρια των στενωτέρων εξ αίματος συγγενών του φονευθέντος, και εκείνοι θα θανατώσουν τον ένοχον.

Δευτ. 19,13 - οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ᾿ αὐτῷ καὶ καθαριεῖς τὸ αἷμα τὸ ἀναίτιον ἐξ Ἰσραήλ, καὶ εὖ σοι ἔσται.

Δευτ. 19,13 - Τον εκ προμελέτης αυτόν φονέα δεν θα τον λυπηθή το μάτι σου, αλλά θα εκπλύνης την ενοχήν του αθώου αίματος εκ μέσου των

Ισραηλιτών και θα ευτυχήσης.

Δευτ. 19,14 - Οὐ μετακινήσεις ὅρια τοῦ πλησίον, ἃ ἔστησαν οἱ πατέρες σου ἐν τῇ κληρονομίᾳ, ᾗ κατεκληρονομήθης ἐν τῇ γῇ, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ.

Δευτ. 19,14 - Δεν θα μετακινήσης εις τα κτήματα του πλησίον σου τα σύνορα τα οποία εχάραξαν και έβαλαν οι πρόγονοί σου εις την κληρονομίαν, την οποίαν απέκτησες εις την χώραν, που ο Κυριος δια κλήρου σου έδωκε.

Δευτ. 19,15 - Οὐκ ἐμμενεῖ μάρτυς εἷς μαρτυρῆσαι κατὰ ἀνθρώπου κατὰ πᾶσαν ἀδικίαν καὶ κατὰ πᾶν ἁμάρτημα καὶ κατὰ πᾶσαν ἁμαρτίαν, ἣν ἐὰν ἁμάρτῃ· ἐπὶ στόματος δύο μαρτύρων καὶ ἐπὶ στόματος τριῶν μαρτύρων στήσεται πᾶν ῥῆμα.

Δευτ. 19,15 - Δεν θα είναι αρκετός ένας μάρτυς, δια να καταθέση μαρτυρίαν κατά ανθρώπου, ο οποίος διέπραξεν οιανδήποτε αδικίαν εναντίον του πλησίον η οιουδήποτε είδους αμαρτίαν κατά του Θεού. Η καταδικαστική απόφασις πρέπει να στηρίζεται εις την μαρτυρίαν δύο και τριών μαρτύρων.

Δευτ. 19,16 - ἐὰν δὲ καταστῇ μάρτυς ἄδικος κατὰ ἀνθρώπου καταλέγων αὐτοῦ ἀσέβειαν,

Δευτ. 19,16 - Εάν δε κανείς ψευδομαρτυρήση εναντίον άλλου κατηγορών ψευδώς αυτόν δι' ασέβειαν προς τον Θεόν,

Δευτ. 19,17 - καὶ στήσονται οἱ δύο ἄνθρωποι, οἷς ἐστιν αὐτοῖς ἡ ἀντιλογία, ἔναντι Κυρίου καὶ ἔναντι τῶν ἱερέων καὶ ἔναντι τῶν κριτῶν, οἳ ἂν ὦσιν ἐν ταῖς ἡμέραις ἐκείναις,

Δευτ. 19,17 - οι δύο αυτοί άνθρωποι, μεταξύ των οποίων υπάρχει η αντιδικία, θα παρουσιασθούν ενώπιον του Κυρίου, δηλαδή ενώπιον των ιερέων και των εντεταλμένων δικαστών, οι οποίοι θα δικάζουν κατά τας ημέρας εκείνας.

Δευτ. 19,18 - καὶ ἐξετάσωσιν οἱ κριταὶ ἀκριβῶς, καὶ ἰδοὺ μάρτυς ἄδικος ἐμαρτύρησεν ἄδικα, ἀντέστη κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ,

Δευτ. 19,18 - Οι δικασταί θα εξετάσουν ακριβώς την υπόθεσιν και θα διαπιστώσουν ότι ο μάρτυς υπήρξεν άδικος και εψευδομαρτύρησε και κατεφέρθη κατά του αδελφού του.

Δευτ. 19,19 - καὶ ποιήσετε αὐτῷ ὃν τρόπον ἐπονηρεύσατο ποιῆσαι κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἐξαρεῖς τὸ πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Δευτ. 19,19 - Τοτε θα κάμετε εις αυτόν ο,τι κακόν ηθέλησε να κάμη εναντίον του αθώου αδελφού του, (θα του επιβάλλετε την ποινήν, με την οποίαν θα ετιμωρούσατε τον κατηγορηθέντα, εάν ήτο αληθής η κατηγορία). Ετσι δε και θα εκλείψη το κακόν της ψευδομαρτυρίας εκ μέσου των Ισραηλιτών.

Δευτ. 19,20 - καὶ οἱ ἐπίλοιποι ἀκούσαντες φοβηθήσονται καὶ οὐ προσθήσουσιν ἔτι ποιῆσαι κατὰ τὸ ῥῆμα τὸ πονηρὸν τοῦτο ἐν ὑμῖν.

Δευτ. 19,20 - Διότι οι άλλοι Ισραηλίται, όταν ακούσουν την τιμωρίαν, που επεβλήθη στον ψευδομάρτυρα, θα φοβηθούν και δεν θα τολμήσουν πλέον να κάμουν παρομοίαν πονηράν πράξιν μεταξύ σας.

Δευτ. 19,21 - οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ᾿ αὐτῷ· ψυχὴν ἀντὶ ψυχῆς, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ, ὀδόντα ἀντὶ ὀδόντος, χεῖρα ἀντὶ χειρός, πόδα ἀντὶ ποδός.

Δευτ. 19,21 - Το μάτι σου δεν θα λυπηθή τον ψευδομάρτυρα και γενικώτερον τον ένοχον. Θα τον τιμωρήσης κατά τον νόμον της ανταποδόσεως· ζωήν αντί ζωής, οφθαλμόν αντί οφθαλμού, οδόντα αντί οδόντος, χέρι αντί χεριού, πόδι αντί ποδιού.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 20

Δευτ. 20,1 - Ἐὰν δὲ ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου καὶ ἴδῃς ἵππον καὶ ἀναβάτην καὶ λαὸν πλείονά σου, οὐ φοβηθήσῃ ἀπ᾿ αὐτῶν, ὅτι Κύριος ὁ Θεός σου μετὰ σοῦ ὁ ἀναβιβάσας σε ἐκ γῆς Αἰγύπτου.

Δευτ. 20,1 - Εάν δε εξέλθης εις πόλεμον εναντίον των εχθρών σου και ίδης ιππικόν και ιππείς και στρατόν πολυαριθμότερον από σέ, μη φοβηθής από αυτούς, διότι Κυριος ο Θεός σου, ο οποίος σε έβγαλεν από την Αίγυπτον και σε έφερε μέχρις εδώ, θα είναι μαζή σου.

Δευτ. 20,2 - καὶ ἔσται ὅταν ἐγγίσῃς τῷ πολέμῳ, καὶ προσεγγίσας ὁ ἱερεὺς λαλήσει τῷ λαῷ καὶ ἐρεῖ πρὸς αὐτούς·

Δευτ. 20,2 - Οταν δε πλησιάζη η ώρα του πολέμου, ο αρχιερεύς θα έλθη, θα ομιλήση προς τον λαόν και θα είπη·

Δευτ. 20,3 - ἄκουε, Ἰσραήλ· ὑμεῖς πορεύεσθε σήμερον εἰς τὸν πόλεμον ἐπὶ τοὺς ἐχθροὺς ὑμῶν, μὴ ἐκλυέσθω ἡ καρδία ὑμῶν, μὴ φοβεῖσθε μηδὲ θραύεσθε μηδὲ ἐκκλίνετε ἀπὸ προσώπου αὐτῶν,

Δευτ. 20,3 - Ακούσατε Ισραηλίται· σεις εξέρχεσθε σήμερον εις πόλεμον εναντίον των εχθρών σας· μη λιποψυχήσετε, μη φοβηθήτε τους εχθρούς σας, μη πτοηθήτε, μη διασκορπισθήτε ενώπιον αυτών,

Δευτ. 20,4 - ὅτι Κύριος ὁ Θεὸς ὑμῶν ὁ προπορευόμενος μεθ᾿ ὑμῶν συνεκπολεμῆσαι ὑμῖν τοὺς ἐχθροὺς ὑμῶν, διασῶσαι ὑμᾶς.

Δευτ. 20,4 - διότι Κυριος ο Θεός σας, ο οποίος πορεύεται εμπρός από σας, θα πολεμήση μαζή σας εναντίον των εχθρών σας και θα σας διασώση.

Δευτ. 20,5 - καὶ λαλήσουσιν οἱ γραμματεῖς πρὸς τὸν λαὸν λέγοντες· τίς ὁ ἄνθρωπος ὁ οἰκοδομήσας οἰκίαν καινὴν καὶ οὐκ ἐνεκαίνισεν αὐτήν; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος ἐγκαινιεῖ αὐτήν.

Δευτ. 20,5 - Οι δε γραμματείς θα ομιλήσουν προς τον λαόν και θα είπουν· Ποιός από σας έκτισε οικίαν καινουργή και δεν την ενεκαινίασε; Ας επιστρέψη και ας υπάγη εις την οικίαν του, μήπως τυχόν και φονευθή κατά τον πόλεμον και άλλος άνθρωπος εγκαινιάση και χαρή την οικίαν του.

Δευτ. 20,6 - καὶ τίς ὁ ἄνθρωπος, ὅστις ἐφύτευσεν ἀμπελῶνα καὶ οὐκ εὐφράνθη ἐξ αὐτοῦ; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος εὐφρανθήσεται ἐξ αὐτοῦ.

Δευτ. 20,6 - Ποιός από σας εφύτευσεν αμπέλι και δεν έφαγε σταφύλια, ώστε να ευφρανθή από αυτό; Ας επιστρέψη και ας μεταβή εις την οικίαν του, μήπως τυχόν φονευθή κατά τον πόλεμον και άλλος άνθρωπος χαρή το αμπέλι του.

Δευτ. 20,7 - καὶ τίς ὁ ἄνθρωπος, ὅστις μεμνήστευται γυναῖκα καὶ οὐκ ἔλαβεν αὐτήν; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, μὴ ἀποθάνῃ ἐν τῷ πολέμῳ καὶ ἄνθρωπος ἕτερος λήψεται αὐτήν.

Δευτ. 20,7 - Ποιός από σας έχει μνηστευθήη αλλά δεν έλαβεν ακόμη ως σύζυγον την μνηστήν του; Ας επιστρέψη και ας μεταβή εις την οικίαν του, μήπως τυχόν φονευθή κατά τον πόλεμον και άλλος άνθρωπος λάβη αυτήν ως σύζυγον.

Δευτ. 20,8 - καὶ προσθήσουσιν οἱ γραμματεῖς λαλῆσαι πρὸς τὸν λαὸν καὶ ἐροῦσι· τίς ὁ ἄνθρωπος ὁ φοβούμενος καὶ δειλὸς τῇ καρδίᾳ; πορευέσθω καὶ ἀποστραφήτω εἰς τὴν οἰκίαν αὐτοῦ, ἵνα μὴ δειλιάνῃ τὴν καρδίαν τοῦ ἀδελφοῦ αὐτοῦ ὥσπερ ἡ αὐτοῦ.

Δευτ. 20,8 - Επί πλέον οι γραμματείς θα ομιλήσουν προς τον λαόν και θα ειπούν· Ποιός από σας είναι φοβιτσάρης, δειλός και λιπόψυχος; Ας επιστρέψη και ας μεταβή εις το σπίτι του, δια να μη μεταδώση πανικόν εις την καρδίαν του αδελφού του και κάμη και εκείνον δειλόν, όπως είναι αυτός.

Δευτ. 20,9 - καὶ ἔσται ὅταν παύσωνται οἱ γραμματεῖς λαλοῦντες πρὸς τὸν λαόν, καὶ καταστήσουσιν ἄρχοντας τῆς στρατιᾶς προηγουμένους τοῦ λαοῦ.

Δευτ. 20,9 - Οταν δε θα παύσουν οι γραμματείς τας ανακοινώσεις των αυτάς προς τον λαόν, θα διορίσουν αρχηγούς του στρατού, οι οποίοι θα διοικούν αυτόν κατά τον πόλεμον.

Δευτ. 20,10 - Ἐὰν δὲ προσέλθῃς πρὸς πόλιν ἐκπολεμῆσαι αὐτούς, καὶ ἐκκαλέσαι αὐτοὺς μετ᾿ εἰρήνης·

Δευτ. 20,10 - Εάν δε πλησιάσετε προς μίαν πόλιν δια να πολεμήσετε αυτήν και να καταλάβετε τους κατοίκους της, πρέπει προηγουμένως να καλέσετε αυτούς εις ειρήνην.

Δευτ. 20,11 - ἐὰν μὲν εἰρηνικὰ ἀποκριθῶσί σοι καὶ ἀνοίξωσί σοι, ἔσται πᾶς ὁ λαὸς οἱ εὑρεθέντες ἐν αὐτῇ ἔσονταί σοι φορολόγητοι καὶ ὑπήκοοί σου·

Δευτ. 20,11 - Εάν δε οι κάτοικοι ανταποκριθούν εις τας ειρηνικάς σας προτάσεις, ανοίξουν τας πύλας και παραδοθούν εις σας, θα είναι όλοι αυτοί που κατοικούν εις την πόλιν υπήκοοί σας και φόρου υποτελείς.

Δευτ. 20,12 - ἐὰν δὲ μὴ ὑπακούσωσί σοι καὶ ποιῶσι πρὸς σὲ πόλεμον, περικαθαριεῖς αὐτήν,

Δευτ. 20,12 - Εάν όμως δεν δεχθούν τας ειρηνικάς σας προτάσεις και θελήσουν να κάμουν πόλεμον εναντίον σας, θα πολιορκήσετε την πόλιν,

Δευτ. 20,13 - ἕως ἂν παραδῷ σοι αὐτὴν Κύριος ὁ Θεός σου εἰς τὰς χεῖράς σου, καὶ πατάξεις πᾶν ἀρσενικὸν αὐτῆς ἐν φόνῳ μαχαίρας,

Δευτ. 20,13 - μέχρις ότου Κυριος ο Θεός σας παραδώση αυτήν εις τα χέρια σας, οπότε σεις θα περάσετε εν στόματι μαχαίρας πάντα αρσενικόν της πόλεως.

Δευτ. 20,14 - πλὴν τῶν γυναικῶν καὶ τῆς ἀποσκευῆς καὶ πάντα τὰ κτήνη καὶ πάντα, ὅσα ἂν ὑπάρχῃ ἐν τῇ πόλει, καὶ πᾶσαν τὴν ἀπαρτίαν προνομεύσεις σεαυτῷ καὶ φαγῇ πᾶσαν τὴν προνομὴν τῶν ἐχθρῶν σου, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι.

Δευτ. 20,14 - Τας γυναίκας όμως και τα παιδιά και τα κτήνη και όλα όσα υπάρχουν εις την πόλιν και όλην την περιουσίαν αυτής θα την πάρετε δια τον εαυτόν σας ως λείαν πολέμου, θα φάγετε και θα απολαύσετε τα τρόφιμα και τα λάφυρα των εχθρών σας, τα οποία ο Κυριος σας δίδει.

Δευτ. 20,15 - οὕτω ποιήσεις πάσας τὰς πόλεις τὰς μακρὰν οὔσας σου σφόδρα, αἱ οὐχὶ ἐκ τῶν πόλεων τῶν ἐθνῶν τούτων, ὧν Κύριος ὁ Θεός σου δίδωσί σοι κληρονομεῖν τὴν γῆν αὐτῶν.

Δευτ. 20,15 - Ετσι θα πράξετε εναντίον όλων των πόλεων, αι οποίαι ευρίσκονται πολύ μακράν από σας και δεν είναι από τας πόλεις των εθνών, των οποίων την χώραν Κυριος ο Θεός σας έδωκεν εις σας ως κληρονομίαν.

Δευτ. 20,16 - ἰδοὺ δὲ ἀπὸ τῶν πόλεων τῶν ἐθνῶν τούτων, ὧν ὁ Κύριος ὁ Θεός σου δίδωσί σοι κληρονομεῖν τὴν γῆν αὐτῶν, οὐ ζωγρήσετε ἀπ᾿ αὐτῶν πᾶν ἐμπνέον,

Δευτ. 20,16 - Ιδού όμως πως θα συμπεριφερθήτε προς τας πόλεις των λαών τούτων, των οποίων τας χώρας έδωσε Κυριος ο Θεός σας εις σας ως κληρονομίαν· δεν θα αφήσετε εις την ζωήν και δεν θα συλλάβετε ζωντανόν ως αιχμάλωτον κανένα, που αναπνέει,

Δευτ. 20,17 - ἀλλ᾿ ἢ ἀναθέματι ἀναθεματιεῖτε αὐτούς, τὸν Χετταῖον καὶ Ἀμοῤῥαῖον καὶ Χαναναῖον καὶ Φερεζαῖον καὶ Εὐαῖον καὶ Ἰεβουσαῖον καὶ Γεργεσαῖον, ὃν τρόπον ἐνετείλατό σοι Κύριος ὁ Θεός σου,

Δευτ. 20,17 - αλλά θα αναθεματίσετε και θα φονεύσετε όλους αυτούς· Τους Χετταίους, τους Αμορραίους, τους Χαναναίους, τους Φερεζαίους, τους Ευαίους, τους Ιεβουσαίους και τους Γεργεσαίους, όπως σας έχει διατάξει Κυριος ο Θεός σας·

Δευτ. 20,18 - ἵνα μὴ διδάξωσι ποιεῖν ὑμᾶς πάντα τὰ βδελύγματα αὐτῶν, ὅσα ἐποίησαν τοῖς θεοῖς αὐτῶν, καὶ ἁμαρτήσεσθε ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν.

Δευτ. 20,18 - και τούτο, μήπως αυτοί μένοντες εν τη ζωή και επικοινωνούντες μαζή σας σας διδάξουν και σας παρασύρουν, να πράξετε όλα τα μισητά και αηδιαστικά ενώπιον του Θεού έργα των, τα οποία αυτοί τελούν εις λατρείαν των θεών των, και αμαρτήσετε έτσι ενώπιον Κυρίου του Θεού σας.

Δευτ. 20,19 - Ἐὰν δὲ περικαθήσῃς περὶ πόλιν μίαν ἡμέρας πλείους ἐκπολεμῆσαι αὐτὴν εἰς κατάληψιν αὐτῆς, οὐκ ἐξολοθρεύσεις τὰ δένδρα αὐτῆς ἐπιβαλεῖν ἐπ᾿ αὐτὰ σίδηρον, ἀλλ᾿ ἢ ἀπ᾿ αὐτοῦ φαγῇ, αὐτὸ δὲ οὐκ ἐκκόψεις. μὴ ἄνθρωπος τὸ ξύλον τὸ ἐν τῷ ἀγρῷ εἰσελθεῖν ἀπὸ προσώπου σου εἰς τὸν χάρακα;

Δευτ. 20,19 - Εάν δε πολιορκήσετε κάποιαν πόλιν επί πολύν χρόνον, πολεμούντες εναντίον αυτής δια να την καταλάβετε, δεν θα βάλετε τσεκούρι και δεν θα καταστρέψετε τα καρποφόρα δένδρα αυτής, αλλά μόνον θα φάγετε από τους καρπούς αυτών. Μηπως το δένδρον που υπάρχει στον αγρόν είναι άνθρωπος, ώστε να φύγη από εμπρός σου και να εισέλθη εις αμυντικόν χαράκωμα;

Δευτ. 20,20 - ἀλλὰ ξύλον, ὃ ἐπίστασαι ὅτι οὐ καρπόβρωτόν ἐστι, τοῦτο ὀλοθρεύσεις καὶ ἐκκόψεις καὶ οἰκοδομήσεις χαράκωσιν ἐπὶ τὴν πόλιν, ἥτις ποιεῖ πρὸς σὲ τὸν πόλεμον, ἕως ἂν παραδοθῇ.

Δευτ. 20,20 - Τα δένδρα όμως, τα οποία γνωρίζεις ότι δεν κάμνουν φαγωσίμους καρπούς, θα τα κόψης σύρριζα και με τα ξύλα των θα κατασκευάσης πολιορκητικάς μηχανάς και θα εγείρης χαράκωμα γύρω από την πόλιν, η οποία πόλεμεί εναντίον σας, μέχρις ότου παραδοθή.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 21

Δευτ. 21,1 - Ἐὰν δὲ εὑρεθῇ τραυματίας ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι κληρονομῆσαι, πεπτωκὼς ἐν τῷ πεδίῳ καὶ οὐκ οἴδασι τὸν πατάξαντα,

Δευτ. 21,1 - Εάν ευρεθή κάποιος νεκρός εξ αιτίας θανασίμου τραύματος και κείται στο υπαιθρον της χώρας, την οποίαν Κυριος ο Θεός σου σου έχει δώσει ως κληρονομίαν, και κανείς δεν γνωρίζη τον φονέα αυτού,

Δευτ. 21,2 - ἐξελεύσεται ἡ γερουσία σου καὶ οἱ κριταί σου καὶ ἐκμετρήσουσιν ἐπὶ τὰς πόλεις τὰς κύκλῳ τοῦ τραυματίου,

Δευτ. 21,2 - θα εξέλθουν από τας πλησίον πόλεις οι γεροντότεροι και οι κριταί του λαού και θα μετρήσουν την απόστασιν των γύρω πόλεων μέχρι του τόπου, όπου κείται ο φονευθείς.

Δευτ. 21,3 - καὶ ἔσται ἡ πόλις ἡ ἐγγίζουσα τῷ τραυματίᾳ καὶ λήψεται ἡ γερουσία τῆς πόλεως ἐκείνης δάμαλιν ἐκ βοῶν, ἥτις οὐκ εἴργασται, καὶ ἥτις οὐχ εἵλκυσε ζυγόν,

Δευτ. 21,3 - Οι γεροντότεροι της πόλεως εκείνης, η οποία ευρίσκεται πλησιέστερα προς τον φονευθέντα, θα λάβουν από τα βόδια δάμαλιν, η οποία δεν έχει χρησιμοποιηθή εις εργασίαν και δεν έχει σύρει ζυγόν.

Δευτ. 21,4 - καὶ καταβιβάσουσιν ἡ γερουσία τῆς πόλεως ἐκείνης δάμαλιν εἰς φάραγγα τραχεῖαν, ἥτις οὐκ εἴργασται οὐδὲ σπείρεται, καὶ νευροκοπήσουσι τὴν δάμαλιν ἐν τῇ φάραγγι.

Δευτ. 21,4 - Αυτοί οι γεροντότεροι της πόλεως θα κατεβάσουν την δάμαλιν εις ανώμαλον φάραγγα η οποία δεν έχει οργωθή ούτε σπαρή, και εις την φάραγγα αυτήν θα φονεύσουν την δάμαλιν κόπτοντες το νεύρον του τραχήλου της.

Δευτ. 21,5 - καὶ προσελεύσονται οἱ ἱερεῖς οἱ Λευῖται, ὅτι αὐτοὺς ἐπέλεξε Κύριος ὁ Θεὸς παρεστηκέναι αὐτῷ καὶ εὐλογεῖν ἐπὶ τῷ ὀνόματι αὐτοῦ, καὶ ἐπὶ τῷ στόματι αὐτῶν ἔσται πᾶσα ἀντιλογία καὶ πᾶσα ἁφή.

Δευτ. 21,5 - Θα προσέλθουν εκεί οι ιερείς, που ανήκουν εις την φυλήν Λευϊ, διότι αυτούς έχει εκλέξει Κυριος ο Θεός να είναι πλησίον του δια να τον υπηρετούν και να ευλογούν εξ ονόματός του τον λαόν και τους έδωσε το δικαίωμα να αποφαίνωνται επί πάσης αμφισβητήσεως και αδικίας,

Δευτ. 21,6 - καὶ πᾶσα ἡ γερουσία τῆς πόλεως ἐκείνης οἱ ἐγγίζοντες τῷ τραυματίᾳ νίψονται τὰς χεῖρας ἐπὶ τὴν κεφαλὴν τῆς δαμάλεως τῆς νενευροκοπημένης ἐν τῇ φάραγγι

Δευτ. 21,6 - και όλοι οι άνθρωποι της γερουσίας της πόλεως εκείνης, που ευρίσκεται πλησιέστερα προς τον φονευθέντα, θα νίψουν τα χέρια των επάνω εις την κεφαλήν της δαμάλεως, η οποία έχει νευροκοπηθή εις την φάραγγα,

Δευτ. 21,7 - καὶ ἀποκριθέντες ἐροῦσιν· αἱ χεῖρες ἡμῶν οὐκ ἐξέχεαν τὸ αἷμα τοῦτο, καὶ οἱ ὀφθαλμοὶ ἡμῶν οὐχ ἑωράκασιν·

Δευτ. 21,7 - και θα είπουν ενώπιον όλων· “τα χέρια μας δεν έχυσαν το αίμα τούτο και τα μάτια μας δεν είδαν εκείνον, που το έχυσε,

Δευτ. 21,8 - ἵλεως γενοῦ τῷ λαῷ σου Ἰσραήλ, οὓς ἐλυτρώσω, Κύριε, ἵνα μὴ γένηται αἷμα ἀναίτιον ἐν τῷ λαῷ σου Ἰσραήλ. καὶ ἐξιλασθήσεται αὐτοῖς τὸ αἷμα.

Δευτ. 21,8 - δείξε, Κυριε, την ευσπλαγχνίαν και το έλεός σου προς τον ισραηλιτικόν λαόν, τον οποίον συ ηλευθέρωσας από την Αίγυπτον, ώστε να μη καταλογισθή στον λαόν σου το αθώον αίμα”. Ετσι δε αυτοί θα εξιλεωθούν και δεν θα είναι ένοχοι δια το αθώον εκείνο αίμα.

Δευτ. 21,9 - σὺ δὲ ἐξαρεῖς τὸ αἷμα· τὸ ἀναίτιον ἐξ ὑμῶν αὐτῶν, ἐὰν ποιήσῃς τὸ καλὸν καὶ τὸ ἀρεστὸν ἔναντι Κυρίου τοῦ Θεοῦ σου.

Δευτ. 21,9 - Συ θα αποβάλης από τυν εαυτόν σου την ενοχήν δια το χυθέν αθώον αίμα, εάν πράττης το καλόν και αυάρεστον ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 21,10 - Ἐὰν δὲ ἐξελθὼν εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου καὶ παραδῷ σοι Κύριος ὁ Θεός σου εἰς τὰς χεῖράς σου καὶ προνομεύσῃς τὴν προνομὴν αὐτῶν

Δευτ. 21,10 - Εάν εξέλθης εις πόλεμον εναντίον των εχθρών σου και Κυριος ο Θεός σου παραδώση αυτούς εις τα χέρια σου, και κυριεύσης λάφυρα και αιχμαλώτους,

Δευτ. 21,11 - καὶ ἴδῃς ἐν τῇ προνομῇ γυναῖκα καλὴν τῷ εἴδει καὶ ἐνθυμηθῇς αὐτῆς καὶ λάβῃς αὐτήν σεαυτῷ γυναῖκα

Δευτ. 21,11 - ίδης δε μεταξύ των αιχμαλώτων γυναίκα ωραίαν εις την εμφάνισιν, και επιθυμήσης αυτήν δια να την λάβης ως γυναίκα σου.

Δευτ. 21,12 - καὶ εἰσάξῃς αὐτὴν ἔνδον εἰς τὴν οἰκίαν σου, καὶ ξυρήσεις τὴν κεφαλὴν αὐτῆς καὶ περιονυχιεῖς αὐτὴν

Δευτ. 21,12 - Θα την εισαγάγης εις την οικίαν σου, θα ξυρίσης την κεφαλήν της, θα κόψης τα νύχια της,

Δευτ. 21,13 - καὶ περιελεῖς τὰ ἱμάτια τῆς αἰχμαλωσίας ἀπ᾽ αὐτῆς καὶ καθιεῖται ἐν τῇ οἰκίᾳ σου καὶ κλαύσεται τὸν πατέρα καὶ τὴν μητέρα μηνὸς ἡμέρας, καὶ μετὰ ταῦτα εἰσελεύσῃ πρὸς αὐτὴν καὶ συνοικισθήσῃ αὐτῇ, καὶ ἔσται σου γυνή.

Δευτ. 21,13 - θα αφαιρέσης από αυτήν τα ενδύματα της αιχμαλωσίας της. Αυτή θα καθήση εις την οικίαν σου και θα κλαύση τον πατέρα και την μητέρα της επί ένα μήνα, κατόπιν δε συ θα έλθης εις συνάφειαν με αυτήν, θα συγκατοικής με αυτήν και θα είναι νόμιμος σύζυγός σου.

Δευτ. 21,14 - καὶ ἔσται ἐὰν μὴ θέλῃς αὐτήν, ἐξαποστελεῖς αὐτὴν ἐλευθέραν καὶ πράσει οὐ πραθήσεται ἀργυρίου· οὐκ ἀθετήσεις αὐτήν, διότι ἐταπείνωσας αὐτήν.

Δευτ. 21,14 - Εάν όμως κατόπιν δεν θέλης να κρατήσης αυτήν ως συζυγον, θα την αφήσης ελευθέραν· κατ' ουδένα δε λόγον θα πωληθή αυτή αντί χρημάτων. Δεν θα την αρνηθής, ώστε να την πωλήσης ως δούλην, διότι συ την είχες προηγουμένως ως σύζυγον και την διέφθειρες.

Δευτ. 21,15 - Ἐὰν δὲ γένωνται ἀνθρώπῳ δύο γυναῖκες, μία αὐτῶν ἠγαπημένη καὶ μία αὐτῶν μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη καὶ γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης,

Δευτ. 21,15 - Εάν ένας Ισραηλίτης λάβη δύο γυναίκας, την μίαν εκ των οποίων αγαπά την δε άλλην μισεί, γεννήσουν δε και αι δύο η αγαπωμένη και η μισουμένη, η δε μισουμένη γεννήση πρώτη υιόν πρωτότοκον, έπειτα δε από αυτήν γεννήση η αγαπωμένη,

Δευτ. 21,16 - καὶ ἔσται ᾗ ἂν ἡμέρᾳ κατακληρονομῇ τοῖς υἱοῖς αὐτοῦ τὰ ὑπάρχοντα αὐτοῦ, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον,

Δευτ. 21,16 - κατά την ημέραν κατά την οποίαν ο πατήρ ούτος θα διανείμη εις τα παιδιά του την περιουσίαν του, δεν θα δώση τα πρωτοτόκια στον πρωτότοκον της ηγαπημένης του, καταφρονών έτσι τον πρωτότοκον υιόν της μισουμένης,

Δευτ. 21,17 - ἀλλὰ τὸν πρωτότοκον υἱὸν τῆς μισουμένης ἐπιγνώσεται δοῦναι αὐτῷ διπλᾶ ἀπὸ πάντων, ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτοκεῖα.

Δευτ. 21,17 - αλλά ως πρωτότοκον υιόν του θα αναγνωρίση τον υιόν της μισουμένης και θα δώση διπλάσιον εις αυτόν μερίδιον από όλα τα υπάρχοντά του, διότι αυτός είναι η αρχή των τέκνων του και εις αυτόν ανήκουν τα δικαιώματα ως πρωτοτόκου.

Δευτ. 21,18 - Ἐὰν δέ τινι ᾖ υἱὸς ἀπειθὴς καὶ ἐρεθιστής, οὐχ ὑπακούων φωνὴν πατρὸς καὶ φωνὴν μητρός, καὶ παιδεύωσιν αὐτὸν καὶ μὴ εἰσακούῃ αὐτῶν,

Δευτ. 21,18 - Εάν ένας Ισραηλίτης έχη υιόν απειθή, φιλόνεικον και υβριστήν, ανυπάκουον εις τα λόγια του πατρός και της μητρός του και ο οποίος, παρά τας παιδαγωγικάς τιμωρίας εκ μέρους των γονέων του, δεν σέβεται και δεν υπακούει εις αυτούς,

Δευτ. 21,19 - καὶ συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἐξάξουσιν αὐτὸν ἐπὶ τὴν γερουσίαν τῆς πόλεως αὐτοῦ καὶ ἐπὶ τὴν πύλην τοῦ τόπου

Δευτ. 21,19 - θα τον πάρουν ο πατέρας και η μητέρα του και θα τον οδηγήσουν εις την γερουσίαν της πόλεως, η οποία ευρίσκεται εις την πύλην της πόλεως, τόπον του δικαστηρίου.

Δευτ. 21,20 - καὶ ἐροῦσι τοῖς ἀνδράσι τῆς πόλεως αὐτῶν· ὁ υἱὸς ἡμῶν οὗτος ἀπειθεῖ καὶ ἐρεθίζει, οὐχ ὑπακούει τῆς φωνῆς ἡμῶν, συμβολοκοπῶν οἰνοφλυγεῖ·

Δευτ. 21,20 - Εκεί οι γονείς θα είπουν στους πρεσβυτέρους και δικαστάς της πόλεώς των· Αυτός ο υιός μας είναι απειθής, φιλόνεικος και υβριστής, δεν υπακούει εις τα λόγια μας και μεθοκοπάει εις συμπόσια.

Δευτ. 21,21 - καὶ λιθοβολήσουσιν αὐτὸν οἱ ἄνδρες τῆς πόλεως αὐτοῦ ἐν λίθοις, καὶ ἀποθανεῖται· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν, καὶ οἱ ἐπίλοιποι ἀκούσαντες φοβηθήσονται.

Δευτ. 21,21 - Οι άνδρες της πόλεως θα καταδικάσουν τον απειθή υιόν να εκτελεσθή δια λιθοβολισμού. Κατ' αυτόν τον τρόπον θα βγάλετε τον απειθή υιόν από ανάμεσά σας, οι δε άλλοι υιοί, όταν ακούσουν, θα καταληφθούν από φόβον και θα προσέχουν την συμπεριφοράν των.

Δευτ. 21,22 - Ἐὰν δὲ γένηται ἔν τινι ἁμαρτία κρίμα θανάτου καὶ ἀποθάνῃ καὶ κρεμάσητε αὐτὸν ἐπὶ ξύλου,

Δευτ. 21,22 - Εάν κανείς διαπράξη βαρύ αμάρτημα συνεπαγόμενον την ποινήν του θανάτου και καταδικασθή εις θάνατον, και τον κρεμάσετε στο ξύλον,

Δευτ. 21,23 - οὐ κοιμηθήσεται τὸ σῶμα αὐτοῦ ἐπὶ τοῦ ξύλου, ἀλλὰ ταφῇ θάψετε αὐτὸ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι κεκατηραμένος ὑπὸ Θεοῦ πᾶς κρεμάμενος ἐπὶ ξύλου· καὶ οὐ μὴ μιανεῖτε τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ.

Δευτ. 21,23 - το πτώμα αυτού δεν θα παραμείνη έτη του ξύλου κατά το διάστημα της νυκτός, αλλά θα το θάψετε κατά την ιδίαν ημέραν της εκτελέσεώς του, διότι κάθε κρεμάμενος επί ξύλου είναι κατηραμένος από τον Θεόν. Ετσι δε δεν θα μολύνετε την χώραν, την οποίαν ο Κυριος σας έχει δώσει ως κληρονομίαν.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 22

Δευτ. 22,1 - Μὴ ἰδὼν τὸν μόσχον τοῦ ἀδελφοῦ σου ἢ τὸ πρόβατον αὐτοῦ πλανώμενα ἐν τῇ ὁδῷ ὑπερίδῃς αὐτά· ἀποστροφῇ ἀποστρέψεις αὐτὰ τῷ ἀδελφῷ σου, καὶ ἀποδώσεις αὐτῷ.

Δευτ. 22,1 - Μη αδιαφορήσης, όταν ίδης το μοσχάρι του αδελφού σου η το προβάτον αυτού να πλανώνται στον δρόμον. Θα ενδιαφερθής να επιστρέψης αυτά στον αδελφόν σου τον Ισραηλίτην και θα τα παραδώσης εις αυτόν.

Δευτ. 22,2 - ἐὰν δὲ μὴ ἐγγίζῃ ὁ ἀδελφός σου πρὸς σὲ μηδὲ ἐπίστῃ αὐτόν, συνάξεις αὐτὰ ἔνδον εἰς τὴν οἰκίαν σου, καὶ ἔσται μετά σοῦ, ἕως ἂν ζητήσῃ αὐτὰ ὁ ἀδελφός σου, καὶ ἀποδώσεις αὐτῷ.

Δευτ. 22,2 - Εάν όμως ο ομοεθνής αδελφός σου δεν μένη πλησίον σου και δεν τον γνωρίζης, θα φυλάξης αυτά τα πλανώμενα ζώα εντός του περιβόλου της οικίας σου και θα είναι μαζή σου, μέχρις ότου τα αναζητήση ο αδελφός σου ο Ισραηλίτης, στον οποίον και θα τα αποδώσης.

Δευτ. 22,3 - οὕτω ποιήσεις τὸν ὄνον αὐτοῦ καὶ οὕτω ποιήσεις τὸ ἱμάτιον αὐτοῦ καὶ οὕτω ποιήσεις κατὰ πᾶσαν ἀπώλειαν τοῦ ἀδελφοῦ σου, ὅσα ἐὰν ἀπολῆται παρ᾿ αὐτοῦ καὶ εὕρῃς· οὐ δυνήσῃ ὑπεριδεῖν.

Δευτ. 22,3 - Το ίδιο θα κάμης και δια τον όνον του αδελφού σου και δια το ένδυμά του και δια κάθε τι, το οποίον εκείνος έχασε και το οποίον ευρήκες συ. Δεν πρέπει να αδιαφορήσης δι' αυτά.

Δευτ. 22,4 - οὐκ ὄψῃ τὸν ὄνον τοῦ ἀδελφοῦ σου ἢ τὸν μόσχον αὐτοῦ πεπτωκότας ἐν τῇ ὁδῷ, μὴ ὑπερίδῃς αὐτούς· ἀνιστῶν ἀναστήσεις μετ᾿

αὐτοῦ.

Δευτ. 22,4 - Δεν θα αδιαφορήσης επίσης δια τον όνον του αδελφού σου η δια το μοσχάρι αυτού, όταν τα ίδης να έχουν πέσει στον δρόμον. Αλλά μαζή με τον αδελφόν σου θα βοηθήσης να τα σηκώσετε.

Δευτ. 22,5 - Οὐκ ἔσται σκεύη ἀνδρὸς ἐπὶ γυναικί, οὐδὲ μὴ ἐνδύσηται ἀνὴρ στολὴν γυναικείαν, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σού ἐστι πᾶς ποιῶν ταῦτα.

Δευτ. 22,5 - Δεν επιτρέπεται εις γυναίκα να φορή ανδρικά ενδύματα, ούτε στον άνδρα να φορή γυναικεία ενδύματα, διότι καθένας που κάμνει αυτά, είναι αποκρουστικός και αηδιαστικός ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 22,6 - Ἐὰν δὲ συναντήσῃς νοσσιᾷ ὀρνέων πρὸ προσώπου σου ἐν τῇ ὁδῷ ἢ ἐπὶ παντὶ δένδρῳ ἢ ἐπὶ τῆς γῆς, νεοσσοῖς ἢ ᾠοῖς, καὶ ἡ μήτηρ θάλπῃ ἐπὶ τῶν νεοσσῶν ἢ ἐπὶ τῶν ᾠῶν, οὐ λήψῃ τὴν μητέρα μετὰ τῶν τέκνων·

Δευτ. 22,6 - Εάν συναντήσης φωληά μικρών πουλιών στον δρόμον σου η επάνω εις δένδρον η κάτω εις την γην, μέσα εις την οποίαν υπάρχουν πουλάκια η αυγά και η μητέρα θερμαίνη τα πουλάκια η τα αυγά, δεν θα πάρης την μητέρα με τα παιδιά της.

Δευτ. 22,7 - ἀποστολῇ ἀποστελεῖς τὴν μητέρα, τὰ δὲ παιδία λήψῃ σεαυτῷ, ἵνα εὖ σοι γένηται καὶ πολυήμερος γένῃ.

Δευτ. 22,7 - Θα αφήσης ελευθέραν την μητέρα και θα πάρης δια τον εαυτόν σου μόνον τα πουλιά της και έτσι θα ζήσης ευτυχής και μακροχρόνιος εις την γην.

Δευτ. 22,8 - Ἐὰν δὲ οἰκοδομήσῃς οἰκίαν καινήν, καὶ ποιήσεις στεφάνην τῷ δώματί σου· καὶ οὐ ποιήσεις φόνον ἐν τῇ οἰκίᾳ σου, ἐὰν πέσῃ ὁ πεσὼν ἀπ᾿ αὐτοῦ.

Δευτ. 22,8 - Εάν κτίσης καινούργια οικία, πρέπει να κάμης στηθαίον γύρω από την ταράτσαν, μήπως τυχόν και πέση κανείς από την ταράτσαν και λάβη χώραν φόνος εις την οικίας σου (δια τον οποίον λόγω αμελείας συ θα είσαι υπεύθυνος).

Δευτ. 22,9 - Οὐ κατασπερεῖς τὸν ἀμπελῶνά σου διάφορον, ἵνα μὴ ἁγιασθῇ τὸ γένημα καὶ τὸ σπέρμα, ὃ ἐὰν σπείρῃς μετὰ τοῦ γενήματος τοῦ ἀμπελῶνός σου.

Δευτ. 22,9 - Δεν θα σπείρης στο αμπέλι σου άλλο είδος σποράς, διότι δεν θα είναι δυνατόν να προσφερθούν κατά την ιδίαν ημέραν προς αγιασμόν αι απαρχαί του αμπελώνος και της άλλης σποράς.

Δευτ. 22,10 - οὐκ ἀροτριάσεις ἐν μόσχῳ καὶ ὄνῳ ἐπὶ τὸ αὐτό.

Δευτ. 22,10 - Δεν πρέπει να οργώσης το χωράφι σου χρησιμοποιών στον ίδιον ζυγόν βόδι και όνον.

Δευτ. 22,11 - οὐκ ἐνδύσῃ κίβδηλον, ἔρια καὶ λίνον, ἐν τῷ αὐτῷ.

Δευτ. 22,11 - Δεν θα φορέσης ένδυμα κίβδηλον, το οποίον είναι υφασμένον με λινήν και μαλλίνην κλωστήν.

Δευτ. 22,12 - Στρεπτὰ ποιήσεις σεαυτῷ ἐπὶ τῶν τεσσάρων κρασπέδων τῶν περιβολαίων σου, ἃ ἐὰν περιβάλῃ ἐν αὐτοῖς.

Δευτ. 22,12 - Θα κατασκευάσης κρόσσια εις τα τέσσαρα κάτω άκρα του ιματίου σου, με το οποίον ενδύεσαι.

Δευτ. 22,13 - Ἐὰν δέ τις λάβῃ γυναῖκα καὶ συνοικήσῃ αὐτῇ καὶ μισήσῃ αὐτὴν

Δευτ. 22,13 - Εάν κανείς λάβη σύζυγον και συνοικήση με αυτήν, κατόπιν δε την αποστραφή και την μισήση,

Δευτ. 22,14 - καὶ ἐπιθῇ αὐτῇ προφασιστικοὺς λόγους καὶ κατενέγκῃ αὐτῆς ὄνομα πονηρὸν καὶ λέγῃ· τὴν γυναῖκα ταύτην εἴληφα καὶ προσελθὼν αὐτῇ οὐκ εὕρηκα αὐτῆς τὰ παρθένια,

Δευτ. 22,14 - και επιβαρύνη αυτήν με ψευδείς κατηγορίας και προσάψη εις αυτήν δυσφημισμένον και ανυπόληπτον όνομα και είπη· Ελαβαν την γυναίκα αυτήν ως σύζυγόν μου και ελθών εις επαφήν με αυτήν, δεν την ευρήκα παρθένον,

Δευτ. 22,15 - καὶ λαβὼν ὁ πατὴρ τῆς παιδὸς καὶ ἡ μήτηρ ἐξοίσουσι τὰ παρθένια τῆς παιδὸς πρὸς τὴν γερουσίαν ἐπὶ τὴν πύλην,

Δευτ. 22,15 - τότε ο πατήρ και η μήτηρ της γυναικός αυτής θα λάβουν τα δείγματα της παρθενικότητός της και θα τα φέρουν εις την γερουσίαν κοντά εις την πύλην της πόλεως.

Δευτ. 22,16 - καὶ ἐρεῖ ὁ πατὴρ τῆς παιδὸς τῇ γερουσίᾳ· τὴν θυγατέρα μου ταύτην δέδωκα τῷ ἀνθρώπῳ τούτῳ γυναῖκα, καὶ μισήσας αὐτὴν

Δευτ. 22,16 - Εκεί θα είπη ο πατήρ της γυναικός αυτής εις την γερουσίαν· έδωκα την κόρην μου αυτήν ως σύζυγον στον άνθρωπον αυτόν. Και αυτός, επειδή την εμίσησεν,

Δευτ. 22,17 - νῦν οὗτος ἐπιτίθησιν αὐτῇ προφασιστικοὺς λόγους λέγων· οὐχ εὕρηκα τῇ θυγατρί σου παρθένια, καὶ ταῦτα τὰ παρθένια τῆς θυγατρός μου· καὶ ἀναπτύξουσι τὸ ἱμάτιον ἐναντίον τῆς γερουσίας τῆς πόλεως.

Δευτ. 22,17 - επιρρίπτει εναντίον της ψευδείς κατηγορίας λέγων· δεν ευρήκα την κόρην σου παρθένον. Εκείνος θα είπη αυτά είναι τα σημάδια της παρθενίας της κόρης μου και οι γονείς θα ξεδιπλώσουν το ιμάτιον της θυγατρός των ενώπιον της γερουσίας της πόλεως.

Δευτ. 22,18 - καὶ λήψεται ἡ γερουσία τῆς πόλεως ἐκείνης τὸν ἄνθρωπον ἐκεῖνον καὶ παιδεύσουσιν αὐτὸν

Δευτ. 22,18 - Η γερουσία της πόλεως θα συλλάβη τον άνθρωπον εκείνον και θα τον τιμωρήση.

Δευτ. 22,19 - καὶ ζημιώσουσιν αὐτὸν ἑκατὸν σίκλους καὶ δώσουσι τῷ πατρὶ τῆς νεάνιδος, ὅτι ἐξήνεγκεν ὄνομα πονηρὸν ἐπὶ παρθένον

Ἰσραηλῖτιν· καὶ αὐτοῦ ἔσται γυνή, οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.

Δευτ. 22,19 - Θα καταδικάσουν αυτόν εις πρόστιμον εκατόν σίκλων (1120 - γραμμάρια) αργυρίου, το οποίον θα δώσουν στον πατέρα της νεάνιδος, διότι διέβαλε και εξηυτέλισε το όνομα αυτής της παρθένου Ισραηλίτιδος. Επί πλέον δε θα υποχρεωθή να κρατήση αυτήν ισοβίως ως σύζυγόν του, χωρίς να δυνηθή ποτέ να την διαζευχθή.

Δευτ. 22,20 - ἐὰν δὲ ἐπ᾿ ἀληθείας γένηται ὁ λόγος οὗτος καὶ μὴ εὑρεθῇ παρθένια τῇ νεάνιδι,

Δευτ. 22,20 - Εάν όμως η κατηγορία του συζύγου είναι αληθής και όντως δεν ευρεθή παρθένος η νεάνις,

Δευτ. 22,21 - καὶ ἐξάξουσι τὴν νεᾶνιν ἐπὶ τὰς θύρας τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς, καὶ λιθοβολήσουσιν αὐτὴν ἐν λίθοις, καὶ ἀποθανεῖται, ὅτι ἐποίησεν ἀφροσύνην ἐν υἱοῖς Ἰσραὴλ ἐκπορνεῦσαι τὸν οἶκον τοῦ πατρὸς αὐτῆς· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Δευτ. 22,21 - θα οδηγήσουν την γυναίκα αυτήν εις την θύραν της οικίας του πατρός της και θα την θανατώσουν δια λιθοβολισμού, διότι διέπραξεν αυτήν την αφροσύνην μεταξύ των Ισραηλιτών, και εξετράπη εις πορνείαν, όταν ευρίσκετο στον οίκον του πατρός της. Ετσι θα βγάλετε από ανάμεσά σας τον πονηρόν αυτόν άνθρωπον.

Δευτ. 22,22 - Ἐὰν δὲ εὑρεθῇ ἄνθρωπος κοιμώμενος μετὰ γυναικὸς συνῳκισμένης ἀνδρί, ἀποκτενεῖτε ἀμφοτέρους, τὸν ἄνδρα τὸν κοιμώμενον μετὰ τῆς γυναικὸς καὶ τὴν γυναῖκα· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ Ἰσραήλ.

Δευτ. 22,22 - Εάν ευρεθή ανήρ κοιμώμενος με γυναίκα υπανδρευμένην, θα φονεύσετε και τους δύο, τον άνδρα που εκοιμήθη με την γυναίκα και την γυναίκα. Ετσι θα βγάλετε από ανάμεσά σας τον πονηρόν άνθρωπον.

Δευτ. 22,23 - Ἐὰν δὲ γένηται παῖς παρθένος μεμνηστευμένη ἀνδρὶ καὶ εὑρὼν αὐτὴν ἄνθρωπος ἐν πόλει κοιμηθῇ μετ᾿ αὐτῆς,

Δευτ. 22,23 - Εάν κόρην παρθένον μνηστευμένην την συναντήση ένας ανήρ εντός της πόλεως και κοιμηθή μαζή της,

Δευτ. 22,24 - ἐξάξετε ἀμφοτέρους ἐπὶ τὴν πύλην τῆς πόλεως αὐτῶν καὶ λιθοβοληθήσονται ἐν λίθοις καὶ ἀποθανοῦνται· τὴν νεᾶνιν, ὅτι οὐκ ἐβόησεν ἐν τῇ πόλει, καὶ τὸν ἄνθρωπον, ὅτι ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Δευτ. 22,24 - θα οδηγήσετε και τους δύο εις την πύλην της πόλεως, όπου το δικαστήριον της γερουσίας, και θα καταδικάσετε αυτούς στον δια λιθοβολισμού θάνατον. Την μεν κόρην διότι, καίτοι ευρισκομένη εις την πόλιν, δεν εφώναξε, τον δε άνδρα διότι διέφθειρε την μνηστήν του πλησίον. Ετσι θα βγάλετε εκ μέσου του ισραηλιτικού λαού τον πονηρόν.

Δευτ. 22,25 - ἐὰν δὲ ἐν πεδίῳ εὕρῃ ἄνθρωπος τὴν παῖδα τὴν μεμνηστευμένην καὶ βιασάμενος κοιμηθῇ μετ᾿ αὐτῆς, ἀποκτενεῖτε τὸν κοιμώμεμον μετ᾿ αὐτῆς μόνον

Δευτ. 22,25 - Εάν ένας ανήρ συναντήση εις την ύπαιθρον κόρην μνηστευμένην και χρησιμοποιών βίαν κοιμηθή μαζή της, θα φονεύσετε μόνον τον άνδρα, που εκοιμήθη με αυτήν.

Δευτ. 22,26 - καὶ τῇ νεάνιδι οὐ ποιήσετε οὐδέν· οὐκ ἔστιν ἁμάρτημα θανάτου, ὅτι ὡς εἴ τις ἐπαναστῇ ἄνθρωπος ἐπὶ τὸν πλησίον καὶ φονεύσῃ αὐτοῦ ψυχήν, οὕτω τὸ πρᾶγμα τοῦτο,

Δευτ. 22,26 - Εις την κόρην δεν θα επιβάλετε καμμίαν τιμωρίαν. Δεν διέπραξεν αυτή αμάρτημα συνεπαγόμενον τον θάνατον· διότι το πάθημα της νεάνιδος είναι, ως εάν ένας ωπλισμένος άνθρωπος επιτεθή εναντίον αόπλου και τον φονεύση.

Δευτ. 22,27 - ὅτι ἐν τῷ ἀγρῷ εὗρεν αὐτήν, ἐβόησεν ἡ νεᾶνις ἡ μεμνηστευμένη, καὶ οὐκ ἦν ὁ βοηθήσων αὐτῇ.

Δευτ. 22,27 - Εις τον αγρόν ευρήκεν εκείνος την μνηστευμένην κόρην. Εφώναξεν εκείνη, αλλά δεν υπήρχε κανείς να σπεύση εις βοήθειάν της.

Δευτ. 22,28 - Ἐὰν δέ τις εὕρῃ τὴν παῖδα τὴν παρθένον, ἥτις οὐ μεμνήστευται, καὶ βιασάμενος κοιμηθῇ μετ᾿ αὐτῆς καὶ εὑρεθῇ,

Δευτ. 22,28 - Εάν ανήρ τις συναντήση κόρην παρθένον, η οποία δεν είναι μνηστεαμένη και βιάση αυτήν κοιμηθείς μαζή της, και ανακαλυφθή ο διαπράξας το αδίκημα αυτό,

Δευτ. 22,29 - δώσει ὁ ἄνθρωπος ὁ κοιμηθεὶς μετ᾿ αὐτῆς τῷ πατρὶ τῆς νεάνιδος πεντήκοντα δίδραχμα ἀργυρίου, καὶ αὐτοῦ ἔσται γυνή, ἀνθ᾿ ὧν ἐταπείνωσεν αὐτήν· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.

Δευτ. 22,29 - θα δώση ο άνθρωπος αυτός στον πατέρα της παρθένου κόρης πεντήκοντα δίδραχμα αργυρίου και θα λάβη αυτήν ως σύζυγόν του, διότι την διέφθειρε. Δεν θα δυνηθή δε αυτός ποτέ να την διαζευχθή.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 23

Δευτ. 23,1 - Οὐ λήψεται ἄνθρωπος τὴν γυναῖκα τοῦ πατρὸς αὐτοῦ καὶ οὐκ ἀποκαλύψει συγκάλυμμα τοῦ πατρὸς αὐτοῦ.

Δευτ. 23,1 - Δεν επιτρέπεται εις κανένα να λάβη ως σύζυγόν του την γυναίκα του πατρός του και να ανασύρη έτσι από αυτήν το κάλυμμα του πατρός του.

Δευτ. 23,2 - Οὐκ εἰσελεύσεται θλαδίας οὐδὲ ἀποκεκομμένος εἰς τὴν ἐκκλησίαν Κυρίου.

Δευτ. 23,2 - Δεν επιτρέπεται εις συγκεντρώσεις ενώπιον του Κυρίου να προσέρχεται άνθρωπος, του οποίου τα απόκρυφα μέλη είναι σπασμένα η κομμένα.

Δευτ. 23,3 - οὐκ εἰσελεύσεται ἐκ πόρνης εἰς ἐκκλησίαν Κυρίου.

Δευτ. 23,3 - Επίσης εις τας συναθροίσεις αυτάς δεν επιτρέπεται να προσέλθη νόθος, υιός πόρνης.

Δευτ. 23,4 - οὐκ εἰσελεύσεται Ἀμμανίτης καὶ Μωαβίτης εἰς ἐκκλησίαν Κυρίου· καὶ ἕως δεκάτης γενεᾶς οὐκ εἰσελεύσεται εἰς τὴν ἐκκλησίαν Κυρίου καὶ ἕως εἰς τὸν αἰῶνα,

Δευτ. 23,4 - Εις την ενώπιον του Κυρίου συνάθροισιν δεν επιτρέπεται να προσέλθη Αμμανίτης και Μωαβίτης και έως δεκάτης ακόμη γενεάς. Εις τον αιώνα τον άπαντα δεν θα εισέλθη κανείς από αυτούς εις συγκέντρωσιν Κυρίου.

Δευτ. 23,5 - παρὰ τὸ μὴ συναντῆσαι αὐτοὺς ὑμῖν μετὰ ἄρτων καὶ ὕδατος ἐν τῇ ὁδῷ, ἐκπορευομένων ὑμῶν ἐξ Αἰγύπτου, καὶ ὅτι ἐμισθώσαντο ἐπὶ σὲ τὸν Βαλαὰμ υἱὸν Βεὼρ ἐκ τῆς Μεσοποταμίας καταρᾶσθαί σε·

Δευτ. 23,5 - Και τούτο, διότι αυτοί δέν σας υπήντησαν με άρτους και ύδωρ στον δρόμον σας, όταν εφεύγατε από την Αίγυπτον, και διότι ακόμη επλήρωσαν τον Βαλαάμ, υιόν του Βεώρ από την Μεσοποταμίαν, δια να σας καταρασθή.

Δευτ. 23,6 - καὶ οὐκ ἠθέλησε Κύριος ὁ Θεός σου εἰσακοῦσαι τοῦ Βαλαάμ, καὶ μετέστρεψε Κύριος ὁ Θεός σου τὰς κατάρας εἰς εὐλογίαν, ὅτι ἠγάπησέ σε Κύριος ὁ Θεός σου.

Δευτ. 23,6 - Κυριος όμως ο Θεός σου δεν ηθέλησε να ακούση τον Βαλαάμ, αλλά μετέστρεψε τας κατάρας του Βαλαάμ εις ευλογίαν, διότι σε ηγάπησε Κυριος ο Θεός σου.

Δευτ. 23,7 - οὐ προσαγορεύσεις εἰρηνικὰ αὐτοῖς καὶ συμφέροντα αὐτοῖς πάσας τὰς ἡμέρας σου εἰς τὸν αἰῶνα.

Δευτ. 23,7 - Δεν θα έχης ειρηνικάς ομιλίας και σχέσεις με αυτούς· ούτε και θα επιδιώξης ποτέ στον αιώνα να εξυπηρετήσης τα συμφέροντά των.

Δευτ. 23,8 - οὐ βδελύξῃ Ἰδουμαῖον, ὅτι ἀδελφός σού ἐστιν· οὐ βδελύξῃ Αἰγύπτιον, ὅτι πάροικος ἐγένου ἐν τῇ γῇ αὐτοῦ·

Δευτ. 23,8 - Δεν θα μισήσης όμως τον Ιδουμαίον, διότι είναι αδελφός σου. Δεν θα μισήσης ακόμη ούτε τον Αιγύπτιον, διότι είχες φιλοξενηθή εις την χώραν του.

Δευτ. 23,9 - υἱοὶ ἐὰν γεννηθῶσιν αὐτοῖς, γενεᾷ τρίτῃ εἰσελεύσονται εἰς ἐκκλησίαν Κυρίου.

Δευτ. 23,9 - Οι απόγονοι, οι οποίοι ενδεχομένως θα γεννηθούν από αυτούς, γενεά τρίτη, θα έχουν το δικαίωμα να εισέλθουν εις τας συγκεντρώσεις σας ενώπιον του Κυρίου, στον ναόν.

Δευτ. 23,10 - Ἐὰν δὲ ἐξέλθῃς παρεμβαλεῖν ἐπὶ τοὺς ἐχθρούς σου, καὶ φυλάξῃ ἀπὸ παντὸς ῥήματος πονηροῦ.

Δευτ. 23,10 - Εάν πρόκειται να εξέλθης εις πόλεμον εναντίον των εχθρών σου, πρόσεξε να αποφύγης κάθε μολυσμόν, τον οποίον απαγορεύει ο Θεός.

Δευτ. 23,11 - ἐὰν ᾖ ἐν σοὶ ἄνθρωπος, ὃς οὐκ ἔσται καθαρὸς ἐκ ῥύσεως αὐτοῦ νυκτός, καὶ ἐξελεύσεται ἔξω τῆς παρεμβολῆς καὶ οὐκ εἰσελεύσεται εἰς τὴν παρεμβολήν·

Δευτ. 23,11 - Εάν δηλαδή υπάρξη μεταξύ του λαού άνθρωπος, ο οποίος εξ αιτίας νυκτερινής ρεύσεως δεν είναι καθαρός, θα εξέλθη από το στρατόπεδον και δεν θα επανέλθη εις αυτό.

Δευτ. 23,12 - καὶ ἔσται τὸ πρὸς ἑσπέραν λούσεται τὸ σῶμα αὐτοῦ ὕδατι καὶ δεδυκότος ἡλίου εἰσελεύσεται εἰς τὴν παρεμβολήν.

Δευτ. 23,12 - Οταν δε πλησιάζη η εσπέρα θα λούση το σώμα του με νερό και μετά την δύσιν του ηλίου θα εισέλθη στο στρατόπεδον.

Δευτ. 23,13 - καὶ τόπος ἔσται σοι ἔξω τῆς παρεμβολῆς, καὶ ἐξελεύσῃ ἐκεῖ ἔξω·

Δευτ. 23,13 - Εξω από το στρατόπεδον θα υπάρχη ωρισμένος τόπος δια τας ανάγκας σας και εκεί θα εξέρχεσθε.

Δευτ. 23,14 - καὶ πάσσαλος ἔσται σοι ἐπὶ τῆς ζώνης σου, καὶ ἔσται ὅταν διακαθιζάνῃς ἔξω, καὶ ὀρύξεις ἐν αὐτῷ καὶ ἐπαγαγὼν καλύψεις τὴν ἀσχημοσύνην σου ἐν αὐτῷ·

Δευτ. 23,14 - Θα έχεις εις την ζώνην σου ένα πάσσαλον, και όταν πρόκειται να καθήσης εκεί έξω προς σωματικήν σου ανάγκην, θα ανοίξης δια του πασσάλου λάκκον και στραφείς προς τα εκεί κατόπιν θα σκεπάσης την ακαθαρσίαν σου με χώματα χρησιμοποιών προς τούτο τον πάσσαλον.

Δευτ. 23,15 - ὅτι Κύριος ὁ Θεός σου ἐμπεριπατεῖ ἐν τῇ παρεμβολῇ σου ἐξελέσθαι σε καὶ παραδοῦναι τὸν ἐχθρόν σου πρὸ προσώπου σου, καὶ ἔσται ἡ παρεμβολή σου ἁγία, καὶ οὐκ ὀφθήσεται ἐν σοὶ ἀσχημοσύνη πράγματος καὶ ἀποστρέψει ἀπὸ σοῦ.

Δευτ. 23,15 - Τούτο δέ, διότι Κυριος ο Θεός σου ευρίσκεται και τρόπον τινά περιπατεί στο στρατόπεδόν σου, δια να σε απελευθερώση από τον εχθρόν σου και να παραδώση αυτόν εις την εξουσίαν σου. Το στρατόπεδον είναι άγιον και δεν πρέπει να εμφανίζεται εις αυτό κανένα άσχημον πράγμα και απομακρυνθή έτσι ο Θεός από σέ.

Δευτ. 23,16 - Οὐ παραδώσεις παῖδα τῷ κυρίῳ αὐτοῦ, ὃς προστέθειταί σοι παρὰ τοῦ κυρίου αὐτοῦ·

Δευτ. 23,16 - Δούλον, ο οποίος οικειοθελώς έφυγεν από τον τυραννικόν κύριόν του και ήλθε να μένη πλησίον σου, δεν πρέπει να τον παραδώσης στον κύριόν του.

Δευτ. 23,17 - μετὰ σοῦ κατοικήσει, ἐν ὑμῖν κατοικήσει οὗ ἂν ἀρέσῃ αὐτῷ, οὐ θλίψεις αὐτόν.

Δευτ. 23,17 - Θα κατοική μαζή σου, θα μένη εις την πόλιν σας, όπου αρέσει εις αυτόν. Δεν θα τον καταπιέσης.

Δευτ. 23,18 - Οὐκ ἔσται πόρνη ἀπὸ θυγατέρων Ἰσραήλ, καὶ οὐκ ἔσται πορνεύων ἀπὸ υἱῶν Ἰσραήλ· οὐκ ἔσται τελεσφόρος ἀπὸ θυγατέρων Ἰσραήλ, καὶ οὐκ ἔσται τελισκόμενος ἀπὸ υἱῶν Ἰσραήλ.

Δευτ. 23,18 - Δεν πρέπει να υπάρξη πόρνη μεταξύ των θυγατέρων του Ισραήλ, και δεν πρέπει να υπάρξη πόρνος μεταξύ των Ισραηλιτών. Δεν θα υπάρξη ιερόδουλος μεταξύ των θυγατέρων του ισραηλιτικού λαού και δεν πρέπει να υπάρξη προαγωγός εις πορνείαν μεταξύ των Ισραηλιτών.

Δευτ. 23,19 - οὐ προσοίσεις μίσθωμα πόρνης οὐδὲ ἄλλαγμα κυνὸς εἰς τὸν οἶκον Κυρίου τοῦ Θεοῦ σου πρὸς πᾶσαν εὐχήν, ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σού ἐστι καὶ ἀμφότερα.

Δευτ. 23,19 - Συ, η γυναίκα, δεν θα προσφέρης δώρον στον οίκον του Κυρίου την αμοιβήν σου ως πόρνης, ούτε συ ο οποίος είσαι ανήρ, χρήματα που έλαβες ως κίναιδος, δεν θα προσφέρετε αυτά στον οίκον του Θεού δι' οιονδήποτε τάξιμόν σας, διότι και αι δύο αυταί πρώξεις είναι μισηταί και αποκρουστικαί ενώπιον του Κυρίου.

Δευτ. 23,20 - Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου καὶ τόκον βρωμάτων καὶ τόκον παντὸς πράγματος, οὗ ἐὰν ἐκδανείσῃς.

Δευτ. 23,20 - Δεν θα δώσης στον αδελφόν σου τον Ισραηλίτην δάνειον χρημάτων με τόκον, ούτε θα ζητήσης τόκον δια τα τρόφιψια η δι' οιονδήποτε άλλο πράγμα, που εδάνεισες εις αυτόν.

Δευτ. 23,21 - τῷ ἀλλοτρίῳ ἐκτοκιεῖς, τῷ δὲ ἀδελφῷ σου οὐκ ἐκτοκιεῖς, ἵνα εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις σου ἐπὶ τῆς γῆς, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν.

Δευτ. 23,21 - Εις τον ξένον όμως, στον αλλοεθνή, θα δανείσης χρήματα επί τόκω όχι όμως στον αδελφόν σου, δια να σε ευλογήση ο Κυριος εις όλα τα έργα σου, εις την χώραν, προς την οποίαν εισέρχεσαι δια να την κληρονομήσης.

Δευτ. 23,22 - Ἐὰν δὲ εὔξῃ εὐχὴν Κυρίῳ τῷ Θεῷ σου, οὐ χρονιεῖς ἀποδοῦναι αὐτήν, ὅτι ἐκζητῶν ἐκζητήσει Κύριος ὁ Θεός σου παρὰ σοῦ, καὶ ἔσται ἐν σοὶ ἁμαρτία·

Δευτ. 23,22 - Εάν δε κάμης τάξιμον εις Κυριον τον Θεόν σου, δεν πρέπει να βραδύνης εις την εκπλήρωσίν του· διότι άλλως θα σου ζητήση ευθύνην Κυριος ο Θεός σου και θα είναι ενοχή παραβάσεως εις σέ.

Δευτ. 23,23 - ἐὰν δὲ μὴ θέλῃς εὔξασθαι, οὐκ ἔστιν ἐν σοὶ ἁμαρτία.

Δευτ. 23,23 - Εάν όμως δεν θέλης να κάμης τάξιμον, δεν έχεις καμμίαν ενοχήν.

Δευτ. 23,24 - τὰ ἐκπορευόμενα διὰ τῶν χειλέων σου φυλάξῃ καὶ ποιήσεις ὃν τρόπον ηὔξω Κυρίῳ τῷ Θεῷ σου δόμα, ὃ ἐλάλησας τῷ στόματί σου.

Δευτ. 23,24 - Ο,τι εξέρχεται από τα χείλη σου ως τάξιμον θα φροντίσης να το εκπληρώσης. Οπως έταξες έτσι και θα δώσης το δώρον εις Κυριον τον Θεόν σου, ο,τι υπεσχέθης με το στόμα σου.

Δευτ. 23,25 - Ἐὰν δὲ εἰσέλθῃς εἰς ἀμητὸν τοῦ πλησίον σου, καὶ συλλέξῃς ἐν ταῖς χερσί σου στάχυς καὶ δρέπανον οὐ μὴ ἐπιβάλῃς ἐπ᾿ ἀμητὸν τοῦ πλησίον σου.

Δευτ. 23,25 - Εάν συ ο πτωχός εισέλθης στον αγρόν του πλησίον σου κατά την ώραν του θερισμού, ημπορείς να μαζεύσης με τα χέρια σου στάχυα. Δρεπάνι όμως δεν θα βάλης στον θερισμόν του αγρού του πλησίον σου.

Δευτ. 23,26 - ἐὰν δὲ εἰσέλθῃς εἰς τὸν ἀμπελῶνα τοῦ πλησίον σου, φαγῇ σταφυλὴν ὅσον ψυχήν σου ἐμπλησθῆναι, εἰς δὲ ἄγγος οὐκ ἐμβαλεῖς.

Δευτ. 23,26 - Εάν δε εισέλθης στο αμπέλι του πλησίον σου, θα φάγης σταφύλια, έως ότου χορτάσης· δεν θα βάλης όμως εις δοχείον δια να πάρης μαζή σου.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 24

Δευτ. 24,1 - Ἐὰν δέ τις λάβῃ γυναῖκα καὶ συνοικήσῃ αὐτῇ, καὶ ἔσται ἐὰν μὴ εὕρῃ χάριν ἐναντίον αὐτοῦ, ὅτι εὗρεν ἐν αὐτῇ ἄσχημον πρᾶγμα, καὶ γράψει αὐτῇ βιβλίον ἀποστασίου καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς καὶ ἐξαποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ,

Δευτ. 24,1 - Εάν κανείς λάβη σύζυγον και συγκατοικήση με αυτήν, βραδύτερον δε δεν του αρέση διότι ευρήκεν εις αυτήν άσχημον πράγμα, (κάτι που του είναι αποκρουστικόν) δύναται να δώση εις αυτήν γραπτόν διαζύγιον και αφού της το εγχειρίση θα την διώξη από το σπίτι του.

Δευτ. 24,2 - καὶ ἀπελθοῦσα γένηται ἀνδρὶ ἑτέρῳ,

Δευτ. 24,2 - Εκείνῃ όταν φύγη από τον πρώτον σύζυγήν της, δύναται να υπανδρευθή άλλον.

Δευτ. 24,3 - καὶ μισήσῃ αὐτὴν ὁ ἀνὴρ ὁ ἔσχατος καὶ γράψει αὐτῇ βιβλίον ἀποστασίου καὶ δώσει εἰς τὰς χεῖρας αὐτῆς καὶ ἐξαποστελεῖ αὐτὴν ἐκ τῆς οἰκίας αὐτοῦ, ἢ ἀποθάνῃ ὁ ἀνὴρ ὁ ἔσχατος, ὃς ἔλαβεν αὐτὴν ἑαυτῷ γυναῖκα,

Δευτ. 24,3 - Εάν όμως και ο δεύτερος ανήρ την αποστραφή και γραψη δι' αυτήν διαζύγιον και το παραδώση εις τα χέρια της και την διώξη από την

οικίαν του, η εάν συμβή να αποθάνη ο δεύτερος αυτός ανήρ, που την είχε λάβει ως σύζυγόν του,

Δευτ. 24,4 - οὐ δυνήσεται ὁ ἀνὴρ ὁ πρότερος ὁ ἐξαποστείλας αὐτὴν ἐπαναστρέψας λαβεῖν αὐτὴν ἑαυτῷ γυναῖκα, μετὰ τὸ μιανθῆναι αὐτήν, ὅτι βδέλυγμά ἐστιν ἐναντίον Κυρίου τοῦ Θεοῦ σου· καὶ οὐ μιανεῖτε τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ.

Δευτ. 24,4 - ο πρώτος σύζυγός της, ο οποίος την είχεν αποπέμψει, δεν επιτρέπεται να επανέλθη και να την πάρη πάλιν ως σύζυγόν του, αφού αυτή ήλθεν εις συζυγικήν ένωσιν με άλλον, διότι τούτο είναι μισητόν ενώπιον Κυρίου του Θεού σου. Δεν πρέπει να μολύνετε την χώραν, την οποίαν ο Κυριος σας δίδει ως κληρονομίαν.

Δευτ. 24,5 - Ἐὰν δέ τις λάβῃ γυναῖκα προσφάτως, οὐκ ἐξελεύσεται εἰς πόλεμον, καὶ οὐκ ἐπιβληθήσεται αὐτῷ οὐδὲν πρᾶγμα· ἀθῷος ἔσται ἐν τῇ οἰκίᾳ αὐτοῦ ἐνιαυτὸν ἕνα, εὐφρανεῖ τὴν γυναῖκα αὐτοῦ, ἣν ἔλαβεν.

Δευτ. 24,5 - Αυτός που μόλις προ ολίγου καιρού έχει νυμφευθή, δεν θα λάβη μέρος εις πόλεμον και δεν θα επιβληθή εις αυτόν κανένα άλλο δημόσιον καθήκον. Θα είναι ελεύθερος και ανένοχος να μείνη εις την οικίαν του επί ένα έτος, δια να δώση χαράν εις την συζυγον, την οποίαν έλαβε.

Δευτ. 24,6 - Οὐκ ἐνεχυράσεις μύλον, οὐδὲ ἐπιμύλιον, ὅτι ψυχὴν οὗτος ἐνεχυράζει.

Δευτ. 24,6 - Δεν θα πάρης ως ενέχυρον, δια δάνειον που έδωσες, τον χειρόμυλον η την επάνω πέτρα του χειρομύλου, διότι έτσι είναι ως εάν λαμβάνης ενέχυρον αυτήν την ζωήν του πτωχού.

Δευτ. 24,7 - Ἐὰν δὲ ἁλῷ ἄνθρωπος κλέπτων ψυχὴν ἐκ τῶν ἀδελφῶν αὐτοῦ τῶν υἱῶν Ἰσραὴλ καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, ἀποθανεῖται ὁ κλέπτης ἐκεῖνος· καὶ ἐξαρεῖς τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν.

Δευτ. 24,7 - Εάν υπάρξη άνθρωπος Ισραηλίτης και αρπάξη δολίως η βιαίως τον αδελφόν του και αφού τον κατατυραννήση, τον πωλήση ως δούλον, αυτός ο κλέπτης πρέπει να τιμωρηθή δια θανάτου. Ετσι θα βγάλης τον πονηρόν ανάμεσα από τους Ισραηλίτας.

Δευτ. 24,8 - Πρόσεχε σαυτῷ ἐν τῇ ἁφῇ τῆς λέπρας· φυλάξῃ σφόδρα ποιεῖν κατὰ πάντα τὸν νόμον, ὃν ἂν ἀναγγείλωσιν ὑμῖν οἱ ἱερεῖς οἱ Λευῖται· ὃν τρόπον ἐνετειλάμην ὑμῖν, φυλάξασθε ποιεῖν.

Δευτ. 24,8 - Πρόσεχε κατά την εμφάνισιν της λέπρας. Φρόντισε επιμελώς να τηρήσης όλα όσα λέγει ο Νομος, τον οποίον οι ιερείς Λευΐται θα σας διδάξουν. Οπως σας διέταξα, έτσι και θα φροντίσετε να τον τηρήσετε.

Δευτ. 24,9 - μνήσθητι ὅσα ἐποίησε Κύριος ὁ Θεός σου τῇ Μαριὰμ ἐν τῇ ὁδῷ, ἐκπορευομένων ὑμῶν ἐξ Αἰγύπτου.

Δευτ. 24,9 - Ενθυμήσου την τιμωρίαν, την οποίαν επέβαλε Κυριος ο Θεός σου εις την Μαριάμ καθ' οδόν, όταν εβγαίνατε από την Αίγυπτον.

Δευτ. 24,10 - Ἐὰν ὀφείλημα ᾖ ἐν τῷ πλησίον σου, ὀφείλημα ὁτιοῦν, οὐκ εἰσελεύσῃ εἰς τὴν οἰκίαν αὐτοῦ ἐνεχυράσαι τὸ ἐνέχυρον αὐτοῦ·

Δευτ. 24,10 - Εάν ο πλησίον σου οφείλη κάτι εις σέ, οιονδήποτε και αν είναι αυτό το χρέος, δεν θα εισέλθης εις την οικίαν του, δια να λάβης ενέχυρον απέναντι του χρέους.

Δευτ. 24,11 - ἔξω στήσῃ, καὶ ὁ ἄνθρωπος οὗ τὸ δάνειόν σού ἐστιν ἐν αὐτῷ, ἐξοίσει σοι τὸ ἐνέχυρον ἔξω.

Δευτ. 24,11 - Θα σταθής έξω από την οικίαν, και ο άνθρωπος, που έλαβεν από σε το δάνειον, θα φέρη έξω και θα δώση εις σε το ενέχυρον.

Δευτ. 24,12 - ἐὰν δὲ ὁ ἄνθρωπος πένηται, οὐ κοιμηθήσῃ ἐν τῷ ἐνεχύρῳ αὐτοῦ·

Δευτ. 24,12 - Εάν δε ο άνθρωπος αυτός είναι πτωχός, δεν θα κοιμηθής με το ενέχυρόν του, το οποίον αυτός χρησιμοποιεί ως σκέπασμά του.

Δευτ. 24,13 - ἀποδόσει ἀποδώσεις τὸ ἐνέχυρον αὐτοῦ πρὸς δυσμὰς ἡλίου, καὶ κοιμηθήσεται ἐν τῷ ἱματίῳ αὐτοῦ καὶ εὐλογήσει σε, καὶ ἔσται σοι ἐλεημοσύνη ἐναντίον Κυρίου τοῦ Θεοῦ σου.

Δευτ. 24,13 - Θα αποδώσης εις αυτόν το ενέχυρόν του κατά την δύσιν του ηλίου, δια να σκεπασθή και κοιμηθή με το ιμάτιόν του, να σε ευλογήση και προσευχηθή δια σε και έτσι η ελεημοσύνη σου αυτή προς τον πτωχόν θα είναι προς τιμήν σου ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 24,14 - Οὐκ ἀπαδικήσεις μισθὸν πένητος καὶ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου ἢ ἐκ τῶν προσηλύτων τῶν ἐν ταῖς πόλεσί σου·

Δευτ. 24,14 - Δεν θα ελαττώσης ούτε θα κατακρατήσης το ημεραμίσθιον πτωχού και ενδεούς τόσον εκ των αδελφών σου των Ισραηλιτών, όσον και από τους ξένους που ευρίσκονται εις τας πόλεις σας.

Δευτ. 24,15 - αὐθημερὸν ἀποδώσεις τὸν μισθὸν αὐτοῦ, οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ᾿ αὐτῷ, ὅτι πένης ἐστὶ καὶ ἐν αὐτῷ ἔχει τὴν ἐλπίδα· καὶ καταβοήσεται κατὰ σοῦ πρὸς Κύριον, καὶ ἔσται ἐν σοὶ ἁμαρτία.

Δευτ. 24,15 - Θα πληρώσης αυτόν την ιδίαν ημέραν. Δεν θα δύση ο ήλιος, χωρίς αυτός να έχη λάβει το ημεραμίσθιόν του, διότι είναι πτωχός και εις αυτό στηρίζει την ελπίδα του. Εάν δεν τον πληρώσης εγκαίρως, θα φωνάξη κατά σου με αγανάκτησιν προς τον Κυριον και θα καταλογισθή εις σε αμαρτία.

Δευτ. 24,16 - Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ οἱ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων· ἕκαστος ἐν τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται.

Δευτ. 24,16 - Δεν θα τιμωρηθούν δια θανάτου πατέρες εξ αιτίας των τέκνων των, ούτε και τα παιδιά εξ αιτίας των πατέρων των. Ο καθένας θα τιμωρήται δια την ιδικήν του αμαρτίαν.

Δευτ. 24,17 - Οὐκ ἐκκλινεῖς κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας, οὐκ ἐνεχυράσεις ἱμάτιον χήρας·

Δευτ. 24,17 - Δεν θα διαστρέψης το δίκαιον του ξένου, του ορφανού και της χήρας. Δεν θα λάβης ως ενέχυρον το ιμάτιον της χήρας.

Δευτ. 24,18 - καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ καὶ ἐλυτρώσατό σε Κύριος ὁ Θεός σου ἐκεῖθεν· διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.

Δευτ. 24,18 - Να ενθυμήσαι δε ότι υπήρξες και συ δούλος εις την Αίγυπτον, ο δε Κυριος και Θεός σου σε απηλευθέρωσεν από εκεί. Δια τούτο εγώ σε διατάσσω να τηρής αυτάς τας εντολάς μου.

Δευτ. 24,19 - Ἐὰν δὲ ἀμήσῃς ἀμητὸν ἐν τῷ ἀγρῷ σου καὶ ἐπιλάθῃ δράγμα ἐν τῷ ἀγρῷ σου, οὐκ ἀναστραφήσῃ λαβεῖν αὐτό· τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται, ἵνα εὐλογήσῃ σε Κύριος ὁ Θεός σου ἐν πᾶσι τοῖς ἔργοις τῶν χειρῶν σου.

Δευτ. 24,19 - Εάν θερίσης τον αγρόν σου και λησμονήσης εκεί ένα δεμάτι, δεν θα επιστρέψης να το πάρης. Αυτό θα είναι δια τον ξένον, δια το ορφανόν και την χήραν, δια να σε ευλογήση Κυριος ο Θεός σου εις όλα τα έργα των χειρών σου.

Δευτ. 24,20 - ἐὰν δὲ ἐλαιολογῇς, οὐκ ἐπαναστρέψεις καλαμήσασθαι τὰ ὀπίσω σου· τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ, διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.

Δευτ. 24,20 - Εάν δε μαζεύης τις εληές σου, δεν θα επιστρέψης να μαζέψης και εκείνες που έμειναν πίσω. Αυτές θα είναι δια τον ξένον και το ορφανόν και την χήραν· να ενθυμηθής δε ότι και συ υπήρξες δούλος εις την χώραν της Αιγύπτου, δια τούτο και εγώ σε διατάσσω να πράττης αυτά.

Δευτ. 24,21 - ἐὰν δὲ τρυγήσῃς τὸν ἀμπελῶνά σου, οὐκ ἐπανατρυγήσεις αὐτὸν τὰ ὀπίσω σου· τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ ἔσται·

Δευτ. 24,21 - Εάν δε τρυγήσης το αμπέλι σου, δεν θα γυρίσης να το ξανατρυγήσης, δια να μαζεύσης όσα τυχόν απέμειναν· αυτά θα είναι δια τον ξένον, δια το ορφανόν και την χήραν.

Δευτ. 24,22 - καὶ μνησθήσῃ ὅτι οἰκέτης ἦσθα ἐν γῇ Αἰγύπτῳ, διὰ τοῦτο ἐγώ σοι ἐντέλλομαι ποιεῖν τὸ ῥῆμα τοῦτο.

Δευτ. 24,22 - Να ενθυμηθής ότι και συ ήσουνα δούλος εις την χώραν της Αιγύπτου, δια τούτο εγώ σου δίδω την εντολήν να πράττης έτσι.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 25

Δευτ. 25,1 - Ἐὰν δὲ γένηται ἀντιλογία ἀνὰ μέσον ἀνθρώπων καὶ προσέλθωσιν εἰς κρίσιν καὶ κρίνωσι καὶ δικαιώσωσι τὸ δίκαιον καὶ καταγνῶσι τοῦ ἀσεβοῦς,

Δευτ. 25,1 - Εάν δύο άνθρωποι έλθουν εις αντίθεσιν και φιλονεικίαν, θα παρουσιασθούν αυτοί στο δικαστήριον και θα κριθούν. Οι δικασταί θα αθωώσουν τον δίκαιον και θα καταδικάσουν τον ένοχον.

Δευτ. 25,2 - καὶ ἔσται ἐὰν ἄξιος ᾖ πληγῶν ὁ ἀσεβῶν, καθιεῖς αὐτὸν ἔναντι τῶν κριτῶν καὶ μαστιγώσουσιν αὐτὸν ἐναντίον αὐτῶν κατὰ τὴν ἀσέβειαν αὐτοῦ.

Δευτ. 25,2 - Εάν δε ο ένοχος καταδικασθή με την ποινήν του ραβδισμού, θα τον καθίσετε ενώπιον των δικαστών, και ενώπιον αυτών θα τον μαστιγώσουν αναλόγως της ενοχής του.

Δευτ. 25,3 - ἀριθμῷ τεσσαράκοντα μαστιγώσουσιν αὐτόν, οὐ προσθήσουσιν· ἐὰν δὲ προσθῇς μαστιγῶσαι ὑπὲρ ταύτας τὰς πληγὰς πλείους, ἀσχημονήσει ὁ ἀδελφός σου ἐναντίον σου.

Δευτ. 25,3 - Με τεσσαράκοντα ραβδισμούς θα τον μαστιγώσουν· δεν θα προσθέσουν κανένα επί πλέον. Εάν δε τυχόν και θελήσης να καταφέρης εναντίον αυτού ραβδισμούς περισσοτέρους, θα σκυθρωπάση και θα δυσφορήση ο αδελφός σου εναντίον σου.

Δευτ. 25,4 - Οὐ φιμώσεις βοῦν ἁλοῶντα.

Δευτ. 25,4 - Δεν πρέπει να βάλης φύμωτρον στο βόδι που αλωνίζει.

Δευτ. 25,5 - Ἐὰν δὲ κατοικῶσιν ἀδελφοὶ ἐπὶ τὸ αὐτὸ καὶ ἀποθάνῃ εἷς ἐξ αὐτῶν, σπέρμα δὲ μὴ ᾖ αὐτῷ, οὐκ ἔσται ἡ γυνὴ τοῦ τεθνηκότος ἔξω ἀνδρὶ μὴ ἐγγίζοντι· ὁ ἀδελφὸς τοῦ ἀνδρὸς αὐτῆς εἰσελεύσεται πρὸς αὐτὴν καὶ λήψεται αὐτὴν ἑαυτῷ γυναῖκα καὶ συνοικήσει αὐτῇ.

Δευτ. 25,5 - Εάν δύο αδελφοί κατοικούν μαζή και αποθάνη ο ένας από αυτούς, χωρίς να αφήση τέκνον, η χήρα του αποθανόντος δεν θα υπανδρευθή άνδρα έξω από την συγγένειαν του ανδρός της. Αλλά ο αδελφός του ανδρής της θα εισέλθη προς αυτήν, θα την λάβη συζυγον και θα συγκατοικήση μαζή της.

Δευτ. 25,6 - καὶ ἔσται τὸ παιδίον, ὃ ἐὰν τέκῃ, κατασταθήσεται ἐκ τοῦ ὀνόματος τοῦ τετελευτηκότος, καὶ οὐκ ἐξαλειφθήσεται τὸ ὄνομα αὐτοῦ ἐξ Ἰσραήλ.

Δευτ. 25,6 - Το δε πρώτο παιδί, το οποίον αυτή θα γεννήση, θα λάβη την θέσιν και το όνομα του αποθανόντος και έτσι δεν θα εξαλειφθή εκ μέσου των Ισραηλιτών το όνομα του αποθανόντος.

Δευτ. 25,7 - ἐὰν δὲ μὴ βούληται ὁ ἄνθρωπος λαβεῖν τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἀναβήσεται ἡ γυνὴ ἐπὶ τὴν πύλην ἐπὶ τὴν γερουσίαν καὶ ἐρεῖ· οὐ θέλει ὁ ἀδελφὸς τοῦ ἀνδρός μου ἀναστῆσαι τὸ ὄνομα τοῦ ἀδελφοῦ αὐτοῦ ἐν Ἰσραήλ, οὐκ ἠθέλησεν ὁ ἀδελφὸς τοῦ ἀνδρός μου.

Δευτ. 25,7 - Εάν όμως ο αδελφός δεν θέλη να λάβη σύζυγον την γυναίκα του αποθανόντος αδελφού του, τότε η χήρα θα μεταβη εις την πύλην της πόλεως, όπου η γερουσία δικάζει, και θα είπη· Ο αδελφός του ανδρός μου

δεν θέλει να αναστήση και να δώση συνέχειαν στο όνομα του αδελφού του μεταξύ των Ισραηλιτών· δεν θέλει ο αδελφός του ανδρός μου να με λάβη ως σύζυγον και να αποκτήσω τέκνον δια τον αποθανόντα.

Δευτ. 25,8 - καὶ καλέσουσιν αὐτὸν ἡ γερουσία τῆς πόλεως αὐτοῦ καὶ ἐροῦσιν αὐτῷ, καὶ στὰς εἴπῃ· οὐ βούλομαι λαβεῖν αὐτήν·

Δευτ. 25,8 - Οι αποτελούντες την γερουσίαν της πόλεως πρεσβύτεροι θα καλέσουν αυτόν και θα του ανακοινώσουν όσα η χήρα είπεν. Εάν εκείνος όρθιος ενώπιόν των είπη· Δεν θέλω να λάβω αυτήν σύζυγόν μου,

Δευτ. 25,9 - καὶ προσελθοῦσα ἡ γυνὴ τοῦ ἀδελφοῦ αὐτοῦ ἔναντι τῆς γερουσίας καὶ ὑπολύσει τὸ ὑπόδημα αὐτοῦ τὸ ἓν ἀπὸ τοῦ ποδὸς αὐτοῦ καὶ ἐμπτύσεται κατὰ πρόσωπον αὐτοῦ καὶ ἀποκριθεῖσα ἐρεῖ· οὕτω ποιήσουσι τῷ ἀνθρώπῳ, ὃς οὐκ οἰκοδομήσει τὸν οἶκον τοῦ ἀδελφοῦ αὐτοῦ ἐν Ἰσραήλ·

Δευτ. 25,9 - τότε η νύμφη του θα έλθη ενώπιον της γερουσίας, θα λύση το ένα υπόδημα από το πόδι του ανθρώπου αυτού, θα τον πτύση κατά πρόσωπον και θα διακηρύξη “έτσι θα κάμουν εις εκείνον τον άνθρωπον, ο οποίος δεν θέλει να δώση συνέχειαν εις την οικογένειαν του αδελφού του μεταξύ των Ισραηλιτών” !

Δευτ. 25,10 - καὶ κληθήσεται τὸ ὄνομα αὐτοῦ ἐν Ἰσραὴλ Οἶκος τοῦ ὑπολυθέντος τὸ ὑπόδημα.

Δευτ. 25,10 - Θα ονομασθή δε το όνομα του ανθρώπου αυτού μεταξύ των Ισραηλιτών “οίκος εκείνου που του αφηρέθη το ένα υπόδημα” (οίκος μονοσανδάλου).

Δευτ. 25,11 - Ἐὰν δὲ μάχωνται ἄνθρωποι ἐπὶ τὸ αὐτό, ἄνθρωπος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ προσέλθῃ ἡ γυνὴ ἑνὸς αὐτῶν ἐξελέσθαι τὸν ἄνδρα αὐτῆς ἐκ χειρὸς τοῦ τύπτοντος αὐτὸν καὶ ἐκτείνασα τὴν χεῖρα ἐπιλάβηται τῶν διδύμων αὐτοῦ,

Δευτ. 25,11 - Εάν συμπλακούν δύο άνθρωποι, Ισραηλίτης με Ισραηλίτην, και η σύζυγος του ενός δια να απαλλάξη τον σύζυγόν της από τα χέρια εκείνου που τον δέρει, πλησιάση και απλώση το χέρι της και συλλάβη τα απόκρυφα μέλη του δέροντος,

Δευτ. 25,12 - ἀποκόψεις τὴν χεῖρα αὐτῆς· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ᾿ αὐτῇ.

Δευτ. 25,12 - θα κόψετε το χέρι της γυναικός αυτής· δεν θα την λυπηθη το μάτι σας.

Δευτ. 25,13 - Οὐκ ἔσται ἐν τῷ μαρσίππῳ σου στάθμιον καὶ στάθμιον, μέγα ἢ μικρόν·

Δευτ. 25,13 - Δεν πρέπει να υπάρχουν στο σακκούλι σου δύο ζύγια, το ένα βαρύτερον από το κανονικόν και το άλλο ελαφρότερον.

Δευτ. 25,14 - οὐκ ἔσται ἐν τῇ οἰκίᾳ σου μέτρον καὶ μέτρον, μέγα ἢ μικρόν·

Δευτ. 25,14 - Δεν πρέπει να υπάρχουν στο σπίτι σου δύο μέτρα, το ένα μεγαλύτερον και το άλλο μικρότερον από το κανονικόν.

Δευτ. 25,15 - στάθμιον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, καὶ μέτρον ἀληθινὸν καὶ δίκαιον ἔσται σοι, ἵνα πολυήμερος γένῃ ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι ἐν κλήρῳ·

Δευτ. 25,15 - Ζυγια αληθινά και δίκαια θα υπάρχουν εις σέ, μέτρα αληθινά και δίκαια θα χρησιμοποιής, δια να ζήσης χρόνια πολλά εις την χώραν, την οποίαν Κυριος ο Θεός σου έδωκεν εις σε ως κληρονομίαν·

Δευτ. 25,16 - ὅτι βδέλυγμα Κυρίῳ τῷ Θεῷ σου πᾶς ποιῶν ταῦτα, πᾶς ποιῶν ἄδικον.

Δευτ. 25,16 - διότι είναι μισητός και αποκρουστικός εις Κυριον τον Θεόν σου εκείνος, που χρησιμοποιεί δόλια ζύγια και διαπράττει αδικίαν.

Δευτ. 25,17 - Μνήσθητι ὅσα ἐποίησέ σοι Ἀμαλὴκ ἐν τῇ ὁδῷ ἐκπορευομένου σου ἐκ γῆς Αἰγύπτου,

Δευτ. 25,17 - Ενθυμήσου όσα σου εκαμαν οι Αμαληκίται στον δρόμον σου, όταν έβγαινες από την Αίγυπτον,

Δευτ. 25,18 - πῶς ἀντέστη σοι ἐν τῇ ὁδῷ, καὶ ἔκοψέ σου τὴν οὐραγίαν, τοὺς κοπιῶντας ὀπίσω σου, σὺ δὲ ἐπείνας καὶ ἐκοπίας, καὶ οὐκ ἐφοβήθη τὸν Θεόν.

Δευτ. 25,18 - πως αντεστάθησαν καθ' οδόν εναντίον σου, πως εφόνευσαν τους βραδυπορούντας, αυτούς που ένεκα κοπώσεως έμειναν οπίσω σου, συ δε τότε επεινούσες και υπέφερες και εκείνοι δεν εφοβήθησαν τον Θεόν,

Δευτ. 25,19 - καὶ ἔσται ἡνίκα ἐὰν καταπαύσῃ σε Κύριος ὁ Θεός σου ἀπὸ πάντων τῶν ἐχθρῶν σου τῶν κύκλῳ σου ἐν τῇ γῇ, ᾗ Κύριος ὁ Θεός σου δίδωσί σοι κληρονομῆσαι, ἐξαλείψεις τὸ ὄνομα Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐρανὸν καὶ οὐ μὴ ἐπιλάθῃ.

Δευτ. 25,19 - Δια τούτο, όταν σε αναπαύση Κυριος ο Θεός σου εκ των κόπων σου και σε ασφαλίση από τους γύρω εχθρούς σου εις την χώραν την οποίαν ο Κυριος σου δίδει ως κληρονομίαν, τότε θα εξαλείψστο όνομα των Αμαληκιτών εις την υπό τον ουρανόν. Αυτό δεν πρέπει να το λησμονήσης.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 26

Δευτ. 26,1 - Καὶ ἔσται ἐὰν εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι κληρονομῆσαι, καὶ κατακληρονομήσῃς αὐτὴν καὶ κατοικήσῃς ἐπ᾿ αὐτῆς,

Δευτ. 26,1 - Οταν δε εισέλθης εις την γην, την οποίον Κυριος ο Θεός σου δίδει εις σε ως κληρονομίαν, και κατακτήσης αυτήν και εγκατασταθής εις

αυτήν,

Δευτ. 26,2 - καὶ λήψῃ ἀπὸ τῆς ἀπαρχῆς τῶν καρπῶν τῆς γῆς σου, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι, καὶ ἐμβαλεῖς εἰς κάρταλλον καὶ πορεύσῃ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος ὁ Θεός σου ἐπικληθῆναι τὸ ὄνομα αὐτοῦ ἐκεῖ,

Δευτ. 26,2 - θα λάβης ένα μέρος από τα πρωτογεννήματα των καρπών της χώρας, την οποίαν Κυριος ο Θεός σου έχει δώσει εις σέ, θα τα θέσης εις ένα κάνιστρον και θα μεταβής στον τόπον, τον οποίον Κυριος ο Θεός σου θα έχη εκλέξει, δια να ακούεται εκεί και δοξάζεται το όνομά του.

Δευτ. 26,3 - καὶ ἐλεύσῃ πρὸς τὸν ἱερέα, ὃς ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, καὶ ἐρεῖς πρὸς αὐτόν· ἀναγγέλλω σήμερον Κυρίῳ τῷ Θεῷ μου ὅτι εἰσελήλυθα εἰς τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ἡμῶν δοῦναι ἡμῖν.

Δευτ. 26,3 - Θα προσέλθης στον ιερέα, ο οποίος κατά τας ημέρας εκείνας θα υπηρετή εκεί, και θα του είπης· “διακηρύττω σήμερον και ομολογώ προς Κυριον τον Θεόν μου ότι έχω εισέλθει εις την χώραν, την οποίαν ο Κυριος ωρκίσθη στους προπάτοράς μας ότι θα δώση εις ημάς”.

Δευτ. 26,4 - καὶ λήψεται ὁ ἱερεὺς τὸν κάρταλλον ἐκ τῶν χειρῶν σου καὶ θήσει αὐτὸν ἀπέναντι τοῦ θυσιαστηρίου Κυρίου τοῦ Θεοῦ σου,

Δευτ. 26,4 - Ο ιερεύς θα πάρη από τα χέρια σου το κάνιστρον και θα το θέση απέναντι από το θυσιαστήριον του Θεού σου.

Δευτ. 26,5 - καὶ ἀποκριθεὶς ἐρεῖς ἔναντι Κυρίου τοῦ Θεοῦ σου· Συρίαν ἀπέβαλεν ὁ πατήρ μου καὶ κατέβη εἰς Αἴγυπτον καὶ παρῴκησεν ἐκεῖ ἐν ἀριθμῷ βραχεῖ καὶ ἐγένετο ἐκεῖ εἰς ἔθνος μέγα καὶ πλῆθος πολύ·

Δευτ. 26,5 - Επειτα συ θα διακηρύξης και θα ομολογήσης ενώπιον Κυρίου του Θεού σου ότι “ο προγονός μου, ο Ιακώβ, εγκατέλειψε την Συρίαν, κατέβη εις την Αίγυπτον, εγκατεστάθη εκεί ως ξένος μαζή με ολίγους ιδικούς του, και ανεδείχθη εκεί έθνος μέγα και πολυάριθμον.

Δευτ. 26,6 - καὶ ἐκάκωσαν ἡμᾶς οἱ Αἰγύπτιοι καὶ ἐταπείνωσαν ἡμᾶς καὶ ἐπέθηκαν ἡμῖν ἔργα σκληρά·

Δευτ. 26,6 - Οι Αιγύπτιοι όμως μας κατέθλιψαν και μας εξηυτέλισαν και μας υπεχρέωσαν να κάμνωμεν έργα βαρειά και επίπονα.

Δευτ. 26,7 - καὶ ἀνεβοήσαμεν πρὸς Κύριον τὸν Θεὸν ἡμῶν, καὶ εἰσήκουσε Κύριος τῆς φωνῆς ἡμῶν καὶ εἶδε τὴν ταπείνωσιν ἡμῶν καὶ τὸν μόχθον ἡμῶν καὶ τὸν θλιμμὸν ἡμῶν·

Δευτ. 26,7 - Εκράξαμεν τότε προς Κυριον τον Θεόν μας και ο Κυριος ήκουσε την ικεσίαν μας, είδε τον εξευτελισμόν μας, τον μόχθον μας και την θλίψιν μας,

Δευτ. 26,8 - καὶ ἐξήγαγεν ἡμᾶς Κύριος ἐξ Αἰγύπτου αὐτὸς ἐν ἰσχύϊ αὐτοῦ τῇ μεγάλῃ καὶ ἐν χειρὶ κραταιᾷ καὶ βραχίονι ὑψηλῷ καὶ ἐν ὁράμασι μεγάλοις καὶ ἐν σημείοις καὶ ἐν τέρασι

Δευτ. 26,9 - καὶ εἰσήγαγεν ἡμᾶς εἰς τὸν τόπον τοῦτον καί ἔδωκεν ἡμῖν τὴν γῆν ταύτην, γῆν ῥέουσαν γάλα καὶ μέλι·

Δευτ. 26,9 - αυτός, μας εισήγαγεν στον τόπον τούτον και μας έδωκε την χώραν αυτήν, η οποία ρέει γάλα και μέλι.

Δευτ. 26,10 - καὶ νῦν ἰδοὺ ἐνήνοχα τὴν ἀπαρχὴν τῶν γενημάτων τῆς γῆς, ἧς ἔδωκάς μοι, Κύριε, γῆν ῥέουσαν γάλα καὶ μέλι. καὶ ἀφήσεις αὐτὰ ἀπέναντι Κυρίου τοῦ Θεοῦ σου καὶ προσκυνήσεις ἔναντι Κυρίου τοῦ Θεοῦ σου·

Δευτ. 26,10 - Και τώρα, ιδού, έχω φέρει τα πρωτογεννήματα της χώρας, την οποίαν συ, Κυριε, μου έχεις δώσει και η οποία ρέει γάλα και μέλι". Θα αφήσης αυτά ενώπιον Κυρίου του Θεού σου, θα προσκυνήσης ενώπιον αυτού,

Δευτ. 26,11 - καὶ εὐφρανθήσῃ ἐν πᾶσι τοῖς ἀγαθοῖς, οἷς ἔδωκέ σοι Κύριος ὁ Θεός σου, καὶ ἡ οἰκία σου καὶ ὁ Λευίτης καὶ ὁ προσήλυτος ὁ ἐν σοί.

Δευτ. 26,11 - και έπειτα θα απολαύσης και θα χαρής όλα τα αγαθά, που σου έδωκε Κυριος ο Θεός σου, συ, η οικογένειά σου, ο Λευΐτης και ο ξένος που τυχόν θα ευρίσκεται κοντά σου.

Δευτ. 26,12 - Ἐὰν δὲ συντελέσῃς ἀποδεκατῶσαι πᾶν τὸ ἐπιδέκατον τῶν γενημάτων σου ἐν τῷ ἔτει τῷ τρίτῳ, τὸ δεύτερον ἐπιδέκατον δώσεις τῷ Λευίτῃ καὶ τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ, καὶ φάγονται ἐν ταῖς πόλεσί σου καὶ εὐφρανθήσονται.

Δευτ. 26,12 - Οταν δε κάθε τρίτον έτος τελειώσης την συγκέντρωσιν των δεκάτων, το δεύτερον τούτο είδος από τα δέκατά σου, θα τα δώσης στον Λευΐτην, στον ξένον και το ορφανόν και την χήραν και θα φάγουν αυτά εις τας πόλεις σου και θα ευφρανθούν.

Δευτ. 26,13 - καὶ ἐρεῖς ἔναντι Κυρίου τοῦ Θεοῦ σου· ἐξεκάθαρα τὰ ἅγια ἐκ τῆς οἰκίας μου καὶ ἔδωκα αὐτὰ τῷ Λευίτῃ καὶ τῷ προσηλύτῳ καὶ τῷ ὀρφανῷ καὶ τῇ χήρᾳ κατὰ πάσας τάς ἐντολάς, ἃς ἐνετείλω μοι, οὐ παρῆλθον τὴν ἐντολήν σου καὶ οὐκ ἐπελαθόμην·

Δευτ. 26,13 - Θα είπης τότε ενώπιον Κυρίου του Θεού σου· "έξεχώρισα και έβγαλα από το σπίτι μου τα προς αφιέρωσιν προορισμένα αυτά δέκατα και τα έδωσα στον Λευΐτην, στον ξένον, εις το ορφανόν και την χήραν, σύμφωνα με όλας τας εντολάς, τας οποίας συ μου έδωκες. Δεν παρέβην καμμίαν εντολήν σου και δεν ελησμόνησα καμμίαν.

Δευτ. 26,14 - καὶ οὐκ ἔφαγον ἐν ὀδύνῃ μου ἀπ᾿ αὐτῶν, οὐκ ἐκάρπωσα ἀπ᾿ αὐτῶν εἰς ἀκάθαρτον, οὐκ ἔδωκα ἀπ᾿ αὐτῶν τῷ τεθνηκότι· ὑπήκουσα τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἐποίησα καθὰ ἐνετείλω μοι.

Δευτ. 26,14 - Εις καιρόν πόνου και πένθους δεν έφαγα τίποτε από αυτά· δεν προσέφερα εις ακάθαρτον άνθρωπον· δεν έδωσα από αυτά στο σπίτι

πεθαμένου. Υπήκουσα εις την εντολήν σου, του Κυρίου και Θεού μας, και έπραξα, όπως με διέταξες.

Δευτ. 26,15 - κάτιδε ἐκ τοῦ οἴκου τοῦ ἁγίου σου ἐκ τοῦ οὐρανοῦ καὶ εὐλόγησον τὸν λαόν σου τὸν Ἰσραὴλ καὶ τὴν γῆν, ἣν ἔδωκας αὐτοῖς, καθὰ ὤμοσας τοῖς πατράσιν ἡμῶν δοῦναι ἡμῖν γῆν ῥέουσαν γάλα καὶ μέλι.

Δευτ. 26,15 - Και τώρα, Κυριε, επίβλεψε από τον άγιον οίκον σου, από τον ουράνιον θρόνον σου, και ευλόγησε τον ισραηλιτικόν λαόν και την γην, την οποίαν έδωκες εις αυτόν, όπως είχες ορκισθή στους προπάτοράς μας, ότι εις ημάς θα δώσης χώραν, την οποίαν θα ρέη γάλα και μέλι”.

Δευτ. 26,16 - Ἐν τῇ ἡμέρᾳ ταύτῃ Κύριος ὁ Θεός σου ἐνετείλατό σοι ποιῆσαι πάντα τὰ δικαιώματα καὶ τὰ κρίματα, καὶ φυλάξεσθε καὶ ποιήσετε αὐτὰ ἐξ ὅλης τῆς καρδίας ὑμῶν καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν.

Δευτ. 26,16 - Κατά την ημέραν αυτήν Κυριος ο Θεός σου σε διέταξε να τηρήσης όλους τους νόμους του και τα προστάγματά του· θα φυλάξετε αυτά και θα τα εφαρμόσετε με όλην σας την καρδιά και με όλην σας την ψυχήν.

Δευτ. 26,17 - τὸν Θεὸν εἵλου σήμερον εἶναί σου Θεὸν καὶ πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ φυλάσσεσθαι τὰ δικαιώματα καὶ τὰ κρίματα καὶ ὑπακούειν τῆς φωνῆς αὐτοῦ.

Δευτ. 26,17 - Τον αληθινόν Θεόν εξέλεξες σήμερον να είναι Θεός σου, να πορεύεσαι εις όλας τας οδούς των εντολών του, να φυλάσσης τον Νομον του και τα προστάγματά του και να υπακούης εις την φωνήν του.

Δευτ. 26,18 - καὶ Κύριος εἵλατό σε σήμερον γενέσθαι σε αὐτῷ λαὸν περιούσιον, καθάπερ εἶπέ σοι, φυλάττειν τὰς ἐντολὰς αὐτοῦ

Δευτ. 26,18 - Αλλά και ο Θεός εξέλεξε σε σήμερον να γίνης λαός εκλεκτός ιδικός του, όπως σου είχεν υποσχεθή, εάν φυλάττης τας εντολάς του,

Δευτ. 26,19 - καὶ εἶναί σε ὑπεράνω πάντων τῶν ἐθνῶν, ὡς ἐποίησέ σε ὀνομαστὸν καὶ καύχημα καὶ δοξαστόν, εἶναί σε λαὸν ἅγιον Κυρίῳ τῷ Θεῷ σου, καθὼς ἐλάλησε.

Δευτ. 26,19 - και να είσαι ανώτερος από όλα τα έθνη, όπως άλλωστε και σε έκαμεν ονομαστόν και καύχημα και δοξασμένον, δια να είσαι λαός αφιερωμένος εις Κυριον τον Θεόν σου, όπως σου έχει υποσχεθή.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 27

Δευτ. 27,1 - Καὶ προσέταξε Μωυσῆς καὶ ἡ γερουσία Ἰσραὴλ λέγων· φυλάσσεσθε πάσας τὰς ἐντολὰς ταύτας, ὅσας ἐγὼ ἐντέλλομαι ὑμῖν σήμερον.

Δευτ. 27,1 - Ο Μωϋσής επί παρουσία και της γερουσίας των Ισραηλιτών διέταξε τους Ισραηλίτας λέγων· “να φυλάσσετε όλας αυτάς τας εντολάς, τας οποίας εγώ σήμερον σας δίδω.

Δευτ. 27,2 - καὶ ἔσται ᾗ ἂν ἡμέρᾳ διαβῆτε τὸν Ἰορδάνην εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, καὶ στήσεις σεαυτῷ λίθους μεγάλους καὶ κονιάσεις αὐτοὺς κονίᾳ

Δευτ. 27,2 - Την ημέραν δέ, κατά την οποίαν θα διαβήτε τον Ιορδάνην, δια να εισέλθετε εις την γην που Κυριος ο Θεός σας δίδει εις σας, θα στήσετε λίθους μεγάλους, θα συνδέσετε και θα χρίσετε αυτούς με αμμοκονίαμα.

Δευτ. 27,3 - καὶ γράψεις ἐπὶ τῶν λίθων τούτων πάντας τοὺς λόγους τοῦ νόμου τούτου, ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην, ἡνίκα ἂν εἰσέλθητε εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς τῶν πατέρων σου δίδωσί σοι, γῆν ῥέουσαν γάλα καὶ μέλι, ὃν τρόπον εἶπε Κύριος ὁ Θεὸς τῶν πατέρων σού σοι·

Δευτ. 27,3 - Επάνω δε στο ασβεστοκονίαμα αυτών των λίθων θα γράψετε όλας τας εντολάς του νόμου τούτου, αμέσως μόλις διαβήτε τον Ιορδάνην και εισέλθετε εις την χώραν, την οποίαν Κυριος ο Θεός των πατέρων σας δίδει εις σας, χώραν ρέουσαν γάλα και μέλι, όπως Κυριος ο Θεός των πατέρων σας υπεσχέθη εις σας.

Δευτ. 27,4 - καὶ ἔσται ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην, στήσετε τοὺς λίθους τούτους, οὓς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐν ὄρει Γαιβὰλ καὶ κονιάσεις αὐτοὺς κονίᾳ.

Δευτ. 27,4 - Οταν λοιπόν διαβήτε τον Ιορδάνην θα κτίσετε εις στήλην τους λίθους αυτούς, όπως εγώ σήμερον σας διατάσσω, στο όρος Γαιβάλ και θα τους χρίσετε με ασβεστοκονίαμα.

Δευτ. 27,5 - καὶ οἰκοδομήσεις ἐκεῖ θυσιαστήριον Κυρίῳ τῷ Θεῷ σου, θυσιαστήριον ἐκ λίθων, οὐκ ἐπιβαλεῖς ἐπ᾿ αὐτὸ σίδηρον·

Δευτ. 27,5 - Εκεί θα οικοδομήσετε θυσιαστήριον προς τιμήν και λατρείαν Κυρίου του Θεού σου, θυσιαστήριον από λίθους, χωρίς να χρησιμοποιήσης δι' αυτό εργαλεία σιδηρά.

Δευτ. 27,6 - λίθους ὁλοκλήρους οἰκοδομήσεις θυσιαστήριον Κυρίῳ τῷ Θεῷ σου καὶ ἀνοίσεις ἐπ᾿ αὐτὸ ὁλοκαυτώματα Κυρίῳ τῷ Θεῷ σου

Δευτ. 27,6 - Με ακατεργάστους και απελεκήτους λίθους θα κτίσης το θυσιαστήριον τούτο προς τιμήν Κυρίου του Θεού και επάνω εις αυτό θα προσφέρης ως θυσίαν ολοκαυτώματα προς Κυριον τον Θεόν σου.

Δευτ. 27,7 - καὶ θύσεις ἐκεῖ θυσίαν σωτηρίου καὶ φαγῇ καὶ ἐμπλησθήσῃ και εὐφρανθήσῃ ἔναντι Κυρίου τοῦ Θεοῦ σου.

Δευτ. 27,7 - Εκεί θα προσφέρης επίσης ευχαριστήριον θυσίαν σωτηρίου, θα φάγης από τας θυσίας αυτάς, θα χορτάσης και θα ευφρανθής ενώπιον Κυρίου του Θεού σου.

Δευτ. 27,8 - καὶ γράψεις ἐπὶ τῶν λίθων πάντα τὸν νόμον τοῦτον σαφῶς σφόδρα.

Δευτ. 27,8 - Κατόπιν θα γράψετε επάνω στους λίθους αυτούς όλον τούτον τον Νομον καθαρά και ευανάγνωστα”.

Δευτ. 27,9 - Καὶ ἐλάλησε Μωυσῆς καὶ οἱ ἱερεῖς οἱ Λευῖται παντὶ Ἰσραὴλ λέγοντες· σιώπα καὶ ἄκουε, Ἰσραήλ· ἐν τῇ ἡμέρᾳ ταύτῃ γέγονας εἰς λαὸν Κυρίῳ τῷ Θεῷ σου·

Δευτ. 27,9 - Ο Μωϋσής και οι ιερείς από την φυλήν Λευϊ ωμίλησαν ενώπιον όλων των Ισραηλιτών και είπαν· "Ισραηλίται, σιωπάτε και ακούσατε ! Κατά την ημέραν αυτήν έχετε γίνει λαός Κυρίου του Θεού σας.

Δευτ. 27,10 - καὶ εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου καὶ ποιήσεις πάσας τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον.

Δευτ. 27,10 - Θα ακούσετε και θα υπακούσετε εις την φωνήν Κυρίου του Θεού σας και θα τηρήσετε όλας τας εντολάς αυτού και τα προστάγματά του, όσα εγώ σήμερον σας δίδω".

Δευτ. 27,11 - Καὶ ἐνετείλατο Μωυσῆς τῷ λαῷ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων·

Δευτ. 27,11 - Ο Μωϋσής διέταξε τον λαόν κατά την ημέραν εκείνην λέγων·

Δευτ. 27,12 - οὗτοι στήσονται εὐλογεῖν τὸν λαὸν ἐν ὄρει Γαριζὶν διαβάντες τὸν Ἰορδάνην· Συμεών, Λευί, Ἰούδας, Ἰσσάχαρ, Ἰωσὴφ καὶ Βενιαμίν.

Δευτ. 27,12 - "όταν θα διαβήτε τον Ιορδάνην θα σταθούν όρθιοι στο όρος Γαριζίν και θα ευλογούν τον λαόν αι φυλαί Συμεών, Λευϊ, Ιούδα. Ισσάχαρ, Ιωσήφ και Βενιαμίν.

Δευτ. 27,13 - καὶ οὗτοι στήσονται ἐπὶ τῆς κατάρας ἐν ὄρει Γαιβάλ· Ῥουβήν, Γὰδ καὶ Ἀσήρ, Ζαβουλών, Δὰν καὶ Νεφθαλί.

Δευτ. 27,13 - Αι δε φυλαί Ρουβήν, Γαδ, Ασήρ, Ζαβουλών, Δαν και Νεφθαλί θα σταθούν όρθιοι στο όρος Γαιβάλ, δια να απαγγείλουν κατάρας.

Δευτ. 27,14 - καὶ ἀποκριθέντες ἐροῦσιν οἱ Λευῖται παντὶ Ἰσραὴλ φωνῇ μεγάλῃ·

Δευτ. 27,14 - Οι δε Λευΐται θα λάβουν τον λόγον και με μεγάλην φωνήν θα διακηρύξουν εις όλους τους Ισραηλίτας·

Δευτ. 27,15 - Ἐπικατάρατος ἄνθρωπος, ὅστις ποιήσει γλυπτὸν καὶ χωνευτόν, βδέλυγμα Κυρίῳ, ἔργον χειρῶν τεχνιτῶν, καὶ θήσει αὐτὸ ἐν ἀποκρύφῳ· καὶ ἀποκριθεὶς πᾶς ὁ λαὸς ἐροῦσι· γένοιτο.

Δευτ. 27,15 - Επικατάρατος είναι ο άνθρωπος εκείνος ο οποίος θα κατασκευάση γλυπτόν ειδωλολατρικόν άγαλμα η χυτόν, διότι είναι μισητόν και αποκοουστικόν στον Κυριον το ειδωλολατρικόν τούτο έργον των τεχνιτών, το οποίον κατεσκευάσθη, δια να τοποθετηθή εις τόπον απόκρυφον προς λατρείαν. Απαντών δε όλος ο ισραηλιτικός λαός θα είπη· Γένοιτο !

Δευτ. 27,16 - ἐπικατάρατος ὁ ἀτιμάζων πατέρα αὐτοῦ ἢ μητέρα αὐτοῦ· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,16 - Επικατάρατος εκείνος, που δεν τιμά αλλά καταφρονεί τον πατέρα του η την μητέρα του. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,17 - ἐπικατάρατος ὁ μετατιθεὶς ὅρια τοῦ πλησίον· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,17 - Επικατάρατος εκείνος, που μετατοπίζει εις όφελός του τα σύνορα των αγρών του πλησίον. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,18 - ἐπικατάρατος ὁ πλανῶν τυφλὸν ἐν ὁδῷ· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,18 - Επικατάρατος εκείνος, που παραπλανά τυφλόν στον δρόμον του. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,19 - ἐπικατάρατος ὃς ἂν ἐκκλίνῃ κρίσιν προσηλύτου καὶ ὀρφανοῦ καὶ χήρας· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,19 - Επικατάρατος εκείνος, που διαστρέφει και παραβιάζει το δίκαιον του ξένου, του ορφανού και της χήρας. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,20 - ἐπικατάρατος ὁ κοιμώμενος μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ, ὅτι ἀπεκάλυψε συγκάλυμμα τοῦ πατρὸς αὐτοῦ· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,20 - Επικατάρατος εκείνος, που κοιμάται με την σύζυγον του πατρός του, την μητέρα του δηλαδή η την μητρυιάν του, διότι εξεσκέπασε το κλινοσκέπασμα του πατρός του. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,21 - ἐπικατάρατος ὁ κοιμώμενος μετὰ παντὸς κτήνους· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,21 - Επικατάρατος εκείνος, που κοιμάται με οιοδήποτε κτήνος. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,22 - ἐπικατάρατος ὁ κοιμώμενος μετὰ ἀδελφῆς ἐκ πατρὸς ἢ μητρὸς αὐτοῦ· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,22 - Επικατάρατος εκείνος που κοιμάται με την αδελφήν του πατρός του η με την αδελφήν της μητρός του. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,23 - ἐπικατάρατος ὁ κοιμώμενος μετὰ πενθερᾶς αὐτοῦ· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο. ἐπικατάρατος ὁ κοιμώμενος μετὰ τῆς ἀδελφῆς τῆς γυναικὸς αὐτοῦ· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,23 - Επικατάρατος εκείνος, που κοιμάται με την πενθεράν του. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο ! Επικατάρατος εκείνος, που κοιμάται με την αδελφήν της συζύγου του. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,24 - ἐπικατάρατος ὁ τύπτων τὸν πλησίον δόλῳ· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,24 - Επικατάρατος εκείνος, που κτυπά τον πλησίον του δολίως. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

Δευτ. 27,25 - ἐπικατάρατος ὃς ἂν λάβῃ δῶρα πατάξαι ψυχὴν αἵματος ἀθῴου· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,25 - Επικατάρατος εκείνος που θα πληρωθή, δια να φονεύση αθώον. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο!

Δευτ. 27,26 - ἐπικατάρατος πᾶς ἄνθρωπος ὃς οὐκ ἐμμενεῖ ἐν πᾶσι τοῖς λόγοις τοῦ νόμου τούτου ποιῆσαι αὐτούς· καὶ ἐροῦσι πᾶς ὁ λαός· γένοιτο.

Δευτ. 27,26 - Επικατάρατος κάθε άνθρωπος, που δεν μένει σταθερός εις όλας τας εντολάς του Νομου τούτου και δεν επιμένει να τηρή αυτάς. Και όλοι οι Ισραηλίται θα είπουν· Γένοιτο !

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 28

Δευτ. 28,1 - Καὶ ἔσται ὡς ἂν διαβῆτε τὸν Ἰορδάνην εἰς τὴν γῆν ἣν Κύριος ὁ Θεὸς ὑμῶν δίδωσιν ὑμῖν, ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς ταύτας, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, καὶ δώσει σε Κύριος ὁ Θεός σου ὑπεράνω πάντων τῶν ἐθνῶν τῆς γῆς,

Δευτ. 28,1 - Οταν θα διαβήτε τον Ιορδάνην και εισέλθετε εις την χώραν, την οποίαν ο Κυριος σας και ο Θεός σας δίδει, εάν με προσοχήν ακούσετε την φωνήν Κυρίου του Θεού σας, ώστε να τηρήτε και να εφαρμόζετε τας εντολάς αυτάς, τας οποίας εγώ σήμερον σας δίδω, Κυριος ο Θεός σας θα σας αναδείξη ανωτέρους από όλα τα έθνη της γης.

Δευτ. 28,2 - καὶ ἥξουσιν ἐπὶ σὲ πᾶσαι αἱ εὐλογίαι αὗται καὶ εὑρήσουσί σε, ἐὰν ἀκοῇ ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου.

Δευτ. 28,2 - Θα έλθουν εις σε όλαι αι ευλογίαι του Θεού και θα σε εύρουν, εάν με προσοχήν ακούσης την φωνήν Κυρίου του Θεού σου.

Δευτ. 28,3 - εὐλογημένος σὺ ἐν πόλει καὶ εὐλογημένος σὺ ἐν ἀγρῷ·

Δευτ. 28,3 - Θα είσαι ευλογημένος εις την πόλιν και ευλογημένος στον αγρόν.

Δευτ. 28,4 - εὐλογημένα τὰ ἔκγονα τῆς κοιλίας σου καὶ τὰ γενήματα τῆς γῆς σου καὶ τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου·

Δευτ. 28,4 - Ευλογημένα θα είναι τα παιδιά σου και τα προϊόντα των αγρών σου και αι αγέλαι των βοδιών σου και τα ποίμνια των προβάτων σου.

Δευτ. 28,5 - εὐλογημέναι αἱ ἀποθῆκαί σου καὶ τὰ ἐγκαταλείμματά σου·

Δευτ. 28,5 - Ευλογημέναι αι αποθήκαι σου και τα πλεονάσματά σου.

Δευτ. 28,6 - εὐλογημένος σὺ ἐν τῷ εἰσπορεύεσθαί σε, καὶ εὐλογημένος σὺ ἐν τῷ ἐκπορεύεσθαί σε.

Δευτ. 28,6 - Ευλογημένος θα είσαι, όταν εισέρχεσαι κάπου, και ευλογημένος όταν θα εξέρχεσαι.

Δευτ. 28,7 - παραδῷ Κύριος ὁ Θεός σου τοὺς ἐχθρούς σου τοὺς ἀνθεστηκότας σοι συντετριμμένους πρὸ προσώπου σου· ὁδῷ μιᾷ ἐξελεύσονται πρὸς σὲ καὶ ἐν ἑπτὰ ὁδοῖς φεύξονται ἀπὸ προσώπου σου.

Δευτ. 28,7 - Κυριος ο Θεός σου θα παραδώση εις τα χέρια σου συντετριμμένους τους εχθρούς, οι οποίοι ανθίστανται εναντίον σου. Θα πάθουν τόσην πανωλεθρίαν, ώστε, ενώ από ένα δρόμον συμπαγείς ήλθον εναντίον σου, από επτά δρόμους θα φύγουν πανικόβλητοι από εμπρός σου.

Δευτ. 28,8 - ἀποστείλαι Κύριος ἐπὶ σὲ τὴν εὐλογίαν ἐν τοῖς ταμιείοις σου καὶ ἐπὶ πάντα, οὗ ἂν ἐπιβάλῃς τὴν χεῖρά σου, ἐπὶ τῆς γῆς, ἧς Κύριος ὁ Θεός σου δίδωσί σοι.

Δευτ. 28,8 - Είθε ο Κυριος να αποστείλη πλουσίαν εις σε την ευλογίαν του, εις τας αποθήκας σου, εις όλα τα έργα που θα απλώσης το χέρι σου, εις την χώραν που σου δίδει ο Κυριος.

Δευτ. 28,9 - ἀναστήσαι σε Κύριος ἑαυτῷ λαὸν ἅγιον, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, ἐὰν ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου καὶ πορευθῇς ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ·

Δευτ. 28,9 - Είθε να σε αναδείξη και να σε αξιώση να γίνης δι' αυτόν λαός άγιος όπως ωρκίσθη στους προγόνους σου, εάν ακούσης την φωνήν Κυρίου του Θεού σου και πορευθής εις όλους τους δρόμους του θελήματός του.

Δευτ. 28,10 - καὶ ὄψονταί σε πάντα τὰ ἔθνη τῆς γῆς, ὅτι τὸ ὄνομα Κυρίου ἐπικέκληταί σοι, καὶ φοβηθήσονταί σε.

Δευτ. 28,10 - Θα σε ίδουν τότε όλοι οι λαοί της γης, θα σε θαυμάσουν, αλλά και θα σε φοβηθούν, διότι φέρεις ως προσωνυμίαν σου το όνομα του Θεού.

Δευτ. 28,11 - καὶ πληθυνεῖ σε Κύριος ὁ Θεός σου εἰς ἀγαθὰ ἐν τοῖς ἐκγόνοις τῆς κοιλίας σου, καὶ ἐπὶ τοῖς ἐκγόνοις τῶν κτηνῶν σου καὶ ἐπὶ τοῖς γενήμασι τῆς γῆς σου, ἐπὶ τῆς γῆς σου ἧς ὤμοσε Κύριος τοῖς πατράσι σου δοῦναί σοι.

Δευτ. 28,11 - Κυριος ο Θεός σου θα σου δώση πλούσια τα αγαθά του πληθύνων τα παιδιά σου, τα κτήνη σου, τα προϊόντα των αγρών σου εις την χώραν, την οποίαν ο Κυριος ωρκίσθη στους προπάτοράς σου ότι θα σου δώση.

Δευτ. 28,12 - ἀνοίξαι σοι Κύριος τὸν θησαυρὸν αὐτοῦ τὸν ἀγαθόν, τὸν οὐρανόν, δοῦναι τὸν ὑετόν τῇ γῇ σου ἐπὶ καιροῦ αὐτοῦ· εὐλογήσαι πάντα τὰ ἔργα τῶν χειρῶν σου, καὶ δανειεῖς ἔθνεσι πολλοῖς, σὺ δὲ οὐ δανειῇ, καὶ ἄρξεις σὺ ἐθνῶν πολλῶν, σοῦ δὲ οὐκ ἄρξουσι.

Δευτ. 28,12 - Είθε να ανοίξη δια σε ο Κυριος τον αγαθόν του θησαυρόν, τον ουρανόν δια να δίδη εις τα χωράφια σου βροχήν κατά τον κατάλληλον καιρόν. Είθε να ευλογήση όλα τα έργα των χειρών σου, ώστε να δανείζης εις πολλούς λαούς, συ όμως να μη ευρίσκεσαι εις την ανάγκην να δανείζεσαι· να

άρχης και να εξουσιάζης επάνω εις πολλά έθνη, κανένας όμως να μη εξουσιάζη εις σέ.

Δευτ. 28,13 - καταστήσαι σε Κύριος ὁ Θεός σου εἰς κεφαλὴν καὶ μὴ εἰς οὐράν, καὶ ἔσῃ τότε ἐπάνω καὶ οὐκ ἔσῃ ὑποκάτω, ἐὰν ἀκούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον φυλάσσειν καὶ ποιεῖν·

Δευτ. 28,13 - Είθε Κυριος ο Θεός σου να σε αναδείξη πρώτον και όχι τελευταίον, να είσαι επάνω από όλους και όχι υποκάτω. Και αυτά θα γίνουν, εάν ακούσης την φωνήν Κυρίου του Θεού σου, όσα εγώ σήμερον σε διατάσσω να φυλάττης και να εφαρμόζης.

Δευτ. 28,14 - οὐ παραβήσῃ ἀπὸ πασῶν τῶν ἐντολῶν, ὧν ἐγὼ ἐντέλλομαί σοι σήμερον, δεξιὰ οὐδὲ ἀριστερὰ πορεύεσθαι ὀπίσω θεῶν ἑτέρων λατρεύειν αὐτοῖς.

Δευτ. 28,14 - Καμμίαν εντολήν, από όσας εγώ σου δίδω σήμερον, δεν θα παραβής, ώστε να βαδίζης δεξιά η αριστερά, να πορεύεσαι οπίσω από άλλους θεούς και να λατρεύης αυτούς.

Δευτ. 28,15 - Καὶ ἔσται ἐὰν μὴ εἰσακούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, φυλάσσειν καὶ ποιεῖν πάσας τὰς ἐντολὰς αὐτοῦ, ὅσας ἐγὼ ἐντέλλομαί σοι σήμερον, καὶ ἐλεύσονται ἐπὶ σὲ πᾶσαι αἱ κατάραι αὗται καὶ καταλήψονταί σε.

Δευτ. 28,15 - Εάν δεν ακούσης και δεν υπακούσης εις την φωνήν Κυρίου του Θεού σου, ώστε να φυλάττης και να εφαρμόζης όλας τας εντολάς αυτού, τας οποίας εγώ σήμερον σου δίδω, θα έλθουν και θα ξεσπάσουν εναντίον σου όλαι αυταί αι κατάραι.

Δευτ. 28,16 - ἐπικατάρατος σὺ ἐν πόλει, καὶ ἐπικατάρατος σὺ ἐν ἀγρῷ·

Δευτ. 28,16 - Θα είσαι κατηραμένος εις την πόλιν και στον αγρόν.

Δευτ. 28,17 - ἐπικατάρατοι αἱ ἀποθῆκαί σου καὶ τὰ ἐγκαταλείμματά σου·

Δευτ. 28,17 - Κατηραμέναι θα είναι αι αποθήκαι σου και τα περισσεύματά σου.

Δευτ. 28,18 - ἐπικατάρατα τὰ ἔκγονα τῆς κοιλίας σου καὶ τὰ γενήματα τῆς γῆς σου, τὰ βουκόλια τῶν βοῶν σου καὶ τὰ ποίμνια τῶν προβάτων σου·

Δευτ. 28,18 - Κατηραμένα τα παιδιά σου και τα προϊόντα των αγρών σου, αι αγέλαι των βοδιών σου και τα ποίμνια των προβάτων σου.

Δευτ. 28,19 - ἐπικατάρατος σὺ ἐν τῷ εἰσπορεύεσθαί σε καὶ ἐπικατάρατος σὺ ἐν τῷ ἐκπορεύεσθαί σε.

Δευτ. 28,19 - Κατηραμένος θα είσαι συ, όταν εισέρχεσαι και όταν θα εξέρχεσαι από το σπίτι σου, από την πατρίδα σου, από παντού.

Δευτ. 28,20 - ἀποστείλαι Κύριος ἐπὶ σὲ τὴν ἔνδειαν καὶ τὴν ἐκλιμίαν καὶ τὴν ἀνάλωσιν ἐπὶ πάντα, οὗ ἐὰν ἐπιβάλῃς τὴν χεῖρά σου, ἕως ἂν

ἐξολοθρεύσῃ σε καὶ ἕως ἂν ἀπολέσῃ σε ἐν τάχει διὰ τὰ πονηρὰ ἐπιτηδεύματά σου, διότι ἐγκατέλιπές με.

Δευτ. 28,20 - Θα στείλη εναντίον σου ο Κυριος την φτώχειαν, την μεγάλην πείναν, την φθοράν εις όλα επί των οποίων θα βάλης το χέρι σου, μέχρις ότου σε εξολοθρεύση, μέχρις ότου σε καταστρέψη συντόμως δι' όλας τας πονηρίας σου, επειδή με εγκατέλιπες, θα είπη ο Θεός.

Δευτ. 28,21 - προσκολλήσαι Κύριος εἰς σὲ τὸν θάνατον, ἕως ἂν ἐξαναλώσῃ σε ἐπὶ τῆς γῆς, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν.

Δευτ. 28,21 - Ο Κυριος θα κολλήση επάνω σου αρρώστιες που φέρουν τον θάνατον, μέχρις ότου σε εξολοθρεύση μέσα εις την χώραν, προς την οποίαν πορεύεσαι τώρα να την κληρονομήσης.

Δευτ. 28,22 - πατάξαι σε Κύριος ἐν ἀπορίᾳ καὶ πυρετῷ καὶ ῥίγει καὶ ἐρεθισμῷ καὶ ἀνεμοφθορίᾳ καὶ τῇ ὤχρᾳ, καὶ καταδιώξονταί σε, ἕως ἂν ἀπολέσωσί σε.

Δευτ. 28,22 - Θα σε κτυπήση ο Κυριος με εξαντλητικήν αδυναμίαν, με πυρετόν και ρίγος και φαγούραν και ελονοσίαν και κιτρίνισμα. Ολαι αυταί αι ασθένειαι θα σε καταδιώξουν, μέχρις ότου σε εξολοθρεύσουν.

Δευτ. 28,23 - καὶ ἔσται σοι ὁ οὐρανὸς ὁ ὑπὲρ κεφαλῆς σου χαλκοῦς, καὶ ἡ γῆ ἡ ὑποκάτω σου σιδηρᾶ.

Δευτ. 28,23 - Ο ουρανός επάνω από το κεφάλι σου θα είναι κατάξηρος, όπως ο χαλκός, και η γη κάτω από τα πόδια σου ξηρά και στεγνή σαν σίδηρος.

Δευτ. 28,24 - δῴη Κύριος ὁ Θεός σου τὸν ὑετὸν τῆς γῆς σου κονιορτόν, καὶ χοῦς ἐκ τοῦ οὐρανοῦ καταβήσεται ἐπὶ σέ, ἕως ἂν ἐκτρίψῃ σε καὶ ἕως ἂν ἀπολέσῃ σε ἐν τάχει.

Δευτ. 28,24 - Κυριος ο Θεός σου θα δώση αντί της ευεργετικής βροχής κονιορτόν· χώμα από τον ουρανόν σαν βροχή θα πέση επάνω σου, μέχρις ότου σε ξεπαστρέψη και σε καταστρέψη.

Δευτ. 28,25 - δῴη σε Κύριος ἐπισκοπὴν ἐναντίον τῶν ἐχθρῶν σου· ἐν ὁδῷ μιᾷ ἐξελεύσῃ πρὸς αὐτούς, καὶ ἐν ἑπτὰ ὁδοῖς φεύξῃ ἀπὸ προσώπου αὐτῶν· καὶ ἔσῃ ἐν διασπορᾷ ἐν πάσαις βασιλείαις τῆς γῆς.

Δευτ. 28,25 - Ο Κυριος θα σε επισκεφθή με οργήν αποστέλλων προς τιμωρίαν σου τους εχθρούς σου. Θα νικηθής από αυτούς· και ενώ από ένα δρόμον συμπαγής και οργανωμένος θα επιτεθής εναντίον αυτών, από επτά δρόμους θα φύγης πανικόβλητος καταδιωκόμενος από αυτούς. Και διασπαρήτε ως σιχμάλωτοι εις όλας τας βοσιλείας του κόσμου.

Δευτ. 28,26 - καὶ ἔσονται οἱ νεκροὶ ὑμῶν κατάβρωμα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς, καὶ οὐκ ἔσται ὁ ἀποσοβῶν.

Δευτ. 28,26 - Οι νεκροί σου θα μένουν άταφοι, τροφή των πτηνών του ουρανού και των θηρίων της γης. Κανείς δεν θα ημπορέση να προλάβη και

να σταματήση την καταστροφήν σου.

Δευτ. 28,27 - πατάξαι σε Κύριος ἕλκει Αἰγυπτίῳ εἰς τὴν ἕδραν καὶ ψώρᾳ ἀγρίᾳ καὶ κνήφῃ, ὥστε μὴ δύνασθαί σε ἰαθῆναι.

Δευτ. 28,27 - Ο Κυριος θα σε κτυπήση με τας πληγάς της Αιγύπτου στο δέρμα σου, με αγρίαν ψώραν και με φαγούραν, ώστε να μη ημπορής να εύρης θεραπείαν.

Δευτ. 28,28 - πατάξαι σε Κύριος παραπληξίᾳ καὶ ἀορασίᾳ καὶ ἐκστάσει διανοίας,

Δευτ. 28,28 - Θα σε κτυπήση ο Κυριος με παράλυσιν, με τύφλωσιν και φρενοοβλάδειαν.

Δευτ. 28,29 - καὶ ἔσῃ ψηλαφῶν μεσημβρίας, ὡσεί τις ψηλαφήσαι τυφλὸς ἐν τῷ σκότει, καὶ οὐκ εὐοδώσει τὰς ὁδούς σου· καὶ ἔσῃ τότε ἀδικούμενος καὶ διαρπαζόμενος πάσας τὰς ἡμέρας, καὶ οὐκ ἔσται σοι ὁ βοηθῶν.

Δευτ. 28,29 - Εις το καταμεσήμερον θα ψηλαφής, δια να εύρης διάφορα αντικείμενα, όπως ψηλαφή ο τυφλός στο σκότος, και δεν θα κατευοδοθούν αι προσπάθειαί σου. Αλλοι θα σε αδικούν και θα αρπάζουν τα υπάρχοντά σου όλας τας ημέρας, και κανείς δεν θα υπάρχη να σε βοηθήση.

Δευτ. 28,30 - γυναῖκα λήψῃ, καὶ ἀνὴρ ἕτερος ἕξει αὐτήν· οἰκίαν οἰκοδομήσεις, καὶ οὐκ οἰκήσεις ἐν αὐτῇ· ἀμπελῶνα φυτεύσεις, καὶ οὐ μὴ τρυγήσῃς αὐτόν·

Δευτ. 28,30 - Συζυγον θα λάβης και άλλος άνδρας θα την έχη· οικίαν θα οικοδομήσης και δεν θα κατοικήσης εις αυτήν. Αμπέλι θα φυτεύσης και δεν θα το τρυγήσης.

Δευτ. 28,31 - ὁ μόσχος σου ἐσφαγμένος ἐναντίον σου, καὶ οὐ φάγῃ ἐξ αὐτοῦ· ὁ ὄνος σου ἡρπασμένος ἀπὸ σοῦ, καὶ οὐκ ἀποδοθήσεταί σοι· τὰ πρόβατά σου δεδομένα τοῖς ἐχθροῖς σου, καὶ οὐκ ἔσται σοι ὁ βοηθῶν·

Δευτ. 28,31 - Αλλος θα σφάξη εμπρός εις τα μάτια σου το μοσχάρι σου και συ δεν θα φάγης από αυτό. Τον όνον σου θα τον αρπάσουν από εμπρός σου και δεν θα σου τον αποδώσουν· τα πρόβατά σου θα δίδωνται στους εχθρούς σου και δεν θα υπάρξη κανείς να σε βοηθήση.

Δευτ. 28,32 - οἱ υἱοί σου καὶ αἱ θυγατέρες σου δεδομέναι ἔθνει ἑτέρῳ καὶ οἱ ὀφθαλμοί σου βλέψονται σφακελίζοντες εἰς αὐτά, οὐκ ἰσχύσει ἡ χείρ σου·

Δευτ. 28,32 - Οι υιοί σου και αι θυγατέρες σου θα παραδοθούν εις αλλοεθνείς και οι οφθαλμοί σου θα βλέπουν αυτούς απαγομένους μέχρις ότου ατονίσουν και καταληφθούν από σπασμούς. Το χέρι σου θα είναι ανίκανον να βοηθήση αυτούς.

Δευτ. 28,33 - τὰ ἐκφόρια τῆς γῆς σου καὶ πάντας τοὺς πόνους σου φάγεται ἔθνος, ὃ οὐκ ἐπίστασαι, καὶ ἔσῃ ἀδικούμενος καὶ τεθραυσμένος πάσας τὰς ἡμέρας·

Δευτ. 28,33 - Τα προϊόντα των αγρών σου και όλους τους κόπους σου θα τους φάγη λαός, τον οποίον δεν γνωρίζεις. Θα αδικήσαι και θα συντρίβεσαι όλας τας ημέρας της ζωής σου.

Δευτ. 28,34 - καὶ ἔσῃ παράπληκτος διὰ τὰ ὁράματα τῶν ὀφθαλμῶν σου, ἃ βλέψῃ.

Δευτ. 28,34 - Θα μένης άναυδος και έξαλλος εμπρός εις εκείνα, που θα βλέπουν οι οφθαλμοί σου.

Δευτ. 28,35 - πατάξαι σε Κύριος ἐν ἕλκει πονηρῷ ἐπὶ τὰ γόνατα καὶ ἐπὶ τὰς κνήμας, ὥστε μὴ δύνασθαι ἰαθῆναί σε ἀπὸ ἴχνους τῶν ποδῶν σου ἕως τῆς κορυφῆς σου.

Δευτ. 28,35 - Θα σε κτυπήση ο Κυριος με σκληράς πληγάς εις τα γόνατα, εις τας κνήμας, από το πέλμα των ποδιών σου έως στο κεφάλι σου, τόσον βαρειά, ώστε να μη ημπορής να θεραπευθής.

Δευτ. 28,36 - ἀπαγάγοι Κύριός σε καὶ τοὺς ἄρχοντάς σου, οὓς ἂν καταστήσῃς ἐπὶ σεαυτόν, ἐπ᾿ ἔθνος, ὃ οὐκ ἐπίστασαι σὺ καὶ οἱ πατέρες σου, καὶ λατρεύσεις ἐκεῖ θεοῖς ἑτέροις, ξύλοις καὶ λίθοις.

Δευτ. 28,36 - Θα απαγάγη ο Κυριος σε και τους άρχοντάς σου, τους οποίους θα έχης εκλέξει δια τον εαυτόν σου, εις άλλον λαόν τον οποίον ούτε συ ούτε οι πατέρες σου εγνωρίζατε. Και εκεί θα λατρεύσης άλλους θεούς, ξύλα και λιθάρια.

Δευτ. 28,37 - καὶ ἔσῃ ἐκεῖ ἐν αἰνίγματι καὶ παραβολῇ καὶ διηγήματι ἐν πᾶσι τοῖς ἔθνεσιν, εἰς οὓς ἂν ἀπαγάγῃ σε Κύριος ἐκεῖ.

Δευτ. 28,37 - Και θα είσαι ανεξήγητον αίνιγμα, παροιμία και μολόγημα μεταξύ όλων των εθνών, εις τα οποία θα σε απαγάγη ο Κυριος.

Δευτ. 28,38 - σπέρμα πολὺ ἐξοίσεις εἰς τὸ πεδίον καὶ ὀλίγα εἰσοίσεις, ὅτι κατέδεται αὐτὰ ἡ ἀκρίς.

Δευτ. 28,38 - Πολύν σπόρον θα ρίχνης στον αγρόν σου και ολίγα εισοδήματα θα παίρνης, διότι θα καταφάγη αυτά η ακρίδα.

Δευτ. 28,39 - ἀμπελῶνα φυτεύσεις καὶ κατεργᾷ, καὶ οἶνον οὐ πίεσαι, οὐδὲ εὐφρανθήσῃ ἐξ αὐτοῦ, ὅτι καταφάγεται αὐτὰ ὁ σκώληξ.

Δευτ. 28,39 - Θα φυτεύσης αμπέλι και θα το εργασθής, αλλά δεν θα πίης οίνον, δεν θα ευφρανθής από αυτό, διότι το σκουλήκι θα καταφάγη τα σταφύλια.

Δευτ. 28,40 - ἐλαῖαι ἔσονταί σοι ἐν πᾶσι τοῖς ὁρίοις σου, καὶ ἔλαιον οὐ χρίσῃ, ὅτι ἐκρυήσεται ἡ ἐλαία σου.

Δευτ. 28,40 - Ελιές θα υπάρχουν εις όλην την έκτασιν της χώρας σου, αλλά δεν θα έχης λάδι ούτε να αλειφθής, διότι θα πέση παράκαιρα ο καρπός των ελαιών σου.

Δευτ. 28,41 - υἱοὺς καὶ θυγατέρας γεννήσεις καὶ οὐκ ἔσονταί σοι, ἀπελεύσονται γὰρ ἐν αἰχμαλωσίᾳ.

Δευτ. 28,41 - Θα αποκτήσης υιούς και θυγατέρας, αλλά δεν θα τους έχης κοντά σου, διότι θα απαχθούν αιχμάλωτοι.

Δευτ. 28,42 - πάντα τὰ ξύλινά σου καὶ τὰ γενήματα τῆς γῆς σου ἐξαναλώσει ἡ ἐρισύβη.

Δευτ. 28,42 - Ολα τα δένδρα σου και τα γενήματα των αγρών σου θα τα καταστρέψη αρρώστια των φυτών, η σκωρίασις.

Δευτ. 28,43 - ὁ προσήλυτος, ὅς ἐστιν ἐν σοί, ἀναβήσεται ἐπὶ σὲ ἄνω ἄνω, σὺ δὲ καταβήσῃ κάτω κάτω·

Δευτ. 28,43 - Ο ξένος, που θα είναι κοντά σου, θα ευδοκιμήση και θα ανέλθη πολύ υψηλότερα από σε, συ δε θα πέσης πολύ χαμηλά.

Δευτ. 28,44 - οὗτος δανειεῖ σοι, σὺ δὲ τούτῳ οὐ δανειεῖς· οὗτος ἔσται κεφαλή, σὺ δὲ ἔσῃ οὐρά.

Δευτ. 28,44 - Εκείνος θα πλουτήση ώστε να σε δανείζη, ενώ συ δεν θα έχης την δυνατότητα να τον δανείζης. Εις τον τόπον σου εκείνος θα είναι κεφαλή και συ θα είσαι η ουρά.

Δευτ. 28,45 - καὶ ἐλεύσονται ἐπί σὲ πᾶσαι αἱ κατάραι αὗται καὶ καταδιώξονταί σε καὶ καταλήψονταί σε, ἕως ἂν ἐξολοθρεύσῃ σε καὶ ἓως ἂν ἀπολέσῃ σε, ὅτι οὐκ εἰσήκουσας τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, φυλάξαι τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα, ὅσα ἐνετείλατό σοι.

Δευτ. 28,45 - Θα επιπέσουν εναντίον σου όλαι αυταί αι κατάραι, θα σε καταδιώξουν και θα σε καταλάβουν, έως ότου σε εξολοθρεύσουν, έως ότου σε καταστρέψουν, διότι δεν υπήκουσες εις την φωνήν Κυρίου του Θεού σου να φυλάξης τας εντολάς του και τα προστάγματά του, όσα σε διέταξε.

Δευτ. 28,46 - καὶ ἔσται ἐν σοὶ σημεῖα καὶ τέρατα ἐν τῷ σπέρματί σου ἕως τοῦ αἰῶνος,

Δευτ. 28,46 - Αυταί δε αι τιμωρίαι θα είναι σημάδια και καταπληκτικά γεγονότα, όχι μόνον δια σέ, αλλά και δια τους απογόνους σου πάντοτε,

Δευτ. 28,47 - ἀνθ᾿ ὧν οὐκ ἐλάτρευσας Κυρίῳ τῷ Θεῷ σου ἐν εὐφροσύνῃ καὶ ἀγαθῇ διανοίᾳ διὰ τὸ πλῆθος πάντων.

Δευτ. 28,47 - ένεκα του γεγονότος ότι συ δεν ελάτρευσες Κυριον τον Θεόν σου με χαράν και με ευγνώμονα καρδίαν δι' όλα τα αναρίθμητα αγαθά που σου έδωκε.

Δευτ. 28,48 - καὶ λατρεύσεις τοῖς ἐχθροῖς σου, οὓς ἐξαποστελεῖ Κύριος ἐπὶ σέ, ἐν λιμῷ καὶ ἐν δίψει καὶ ἐν γυμνότητι καὶ ἐν ἐκλείψει πάντων· καὶ ἐπιθήσῃ κλοιὸν σιδηροῦν ἐπὶ τὸν τράχηλόν σου, ἕως ἂν ἐξολοθρεύσῃ σε.

Δευτ. 28,48 - Θα γίνης ευτελής δούλος στους εχθρούς σου, τους οποίους θα στείλη ο Κυριος εναντίον σου· θα πεινάς, θα διψάς, θα είσαι γυμνός, θα στερήσαι από όλα· ο δε εχθρός σου θα θέση γύρω από τον τράχηλόν σου σιδερένιον κρίκον, μέχρις ότου σε εξολοθρεύση.

Δευτ. 28,49 - ἐπάξει ἐπὶ σὲ Κύριος ἔθνος μακρόθεν ἀπ᾿ ἐσχάτου τῆς γῆς ὡσεί ὅρμημα ἀετοῦ, ἔθνος, ὃ οὐκ ἀκούσῃ τῆς φωνῆς αὐτοῦ,

Δευτ. 28,49 - Ο Κυριος θα οδηγήση εναντίον σου από μακράν, από τα άκρα της γης, έθνος ορμητικόν και ταχύ ωσάν τον αετόν, έθνος του οποίου δεν θα εννοής την γλώσσαν·

Δευτ. 28,50 - ἔθνος ἀναιδὲς προσώπῳ, ὅστις οὐ θαυμάσει πρόσωπον πρεσβύτου καὶ νέον οὐκ ἐλεήσει,

Δευτ. 28,50 - λαόν αναίσχυντον και αδιάντροπον, ο οποίος δεν θα σεβασθή τον γέροντα και δεν θα λυπηθή το παιδί.

Δευτ. 28,51 - καὶ κατέδεται τὰ ἔκγονα τῶν κτηνῶν σου καὶ τὰ γενήματα τῆς γῆς σου, ὥστε μὴ καταλιπεῖν σοι σῖτον, οἶνον, ἔλαιον, τὰ βουκόλια τῶν βοῶν σου, καὶ τὰ ποίμνια τῶν προβάτων σου, ἕως ἂν ἀπολέσῃ σε

Δευτ. 28,51 - Αυτός θα καταφάγη αυτά, που θα γεννούν τα ζώα σου, θα καταφάγη τα προϊόντα της γης σου, και δεν θα αφήση δια σε σιτάρι, οίνον, έλαιον, τα κοπάδια των βοών σου και τα ποίμνια των προβάτων σου, μέχρις ότου σε καταστρέψη,

Δευτ. 28,52 - καὶ ἐκτρίψῃ σε ἐν ταῖς πόλεσί σου, ἕως ἂν καθαιρεθῶσι τὰ τείχη τὰ ὑψηλὰ καὶ τὰ ὀχυρά, ἐφ᾿ οἷς σὺ πέποιθας ἐπ᾿ αὐτοῖς, ἐν πάσῃ τῇ γῇ σου, καὶ θλίψει σε ἐν ταῖς πόλεσί σου, αἷς ἔδωκέ σοι.

Δευτ. 28,52 - και σε εξοντώση από τας πόλεις σου, μέχρις ότου κρημνισθούν τα υψηλά και τα οχυρά τείχη, επί των οποίων συ είχες πεποίθησιν, εις όλην την έκτασιν της χώρας σου. Θα σε βασανίση και θα σε ταλαιπωρήση εις όλας τας πόλεις, τας οποίας σου έδωσεν ο Θεός.

Δευτ. 28,53 - καὶ φαγῇ τὰ ἔκγονα τῆς κοιλίας σου, κρέα υἱῶν σου καὶ θυγατέρων σου, ὅσα ἔδωκέ σοι Κύριος ὁ Θεός σου, ἐν τῇ στενοχωρίᾳ σου καὶ ἐν τῇ θλίψει σου, ᾗ θλίψει σε ὁ ἐχθρός σου.

Δευτ. 28,53 - Και συ, παραζαλισμένος από την συμφοράν και την πείναν, θα φάγης τον καρπόν των σπλάγχνων σου, τα κρέατα των παιδιών σου και των θυγατέρων σου, όσα σου έδωκεν ο Θεός, εξ αιτίας της απογνώσεως και της θλίψεως, εις την οποίαν σε κατήντησεν ο εχθρός σου.

Δευτ. 28,54 - ὁ ἁπαλὸς ὁ ἐν σοὶ καὶ ὁ τρυφερὸς σφόδρα βασκανεῖ τῷ ὀφθαλμῷ τὸν ἀδελφὸν καὶ τὴν γυναῖκα τὴν ἐν τῷ κόλπῳ αὐτοῦ καὶ τὰ καταλελειμμένα τέκνα, ἃ ἂν καταλειφθῇ αὐτῷ,

Δευτ. 28,54 - Ο πλέον λεπτεπίλεπτος μεταξύ σας και ο πλέον τρυφερός, θα φθονή τον αδελφόν του, την γυναίκα του, που αυτός θα την έχη εις την αγκάλην του, και όσα παιδιά του απέμειναν από την πείναν·

Δευτ. 28,55 - ὥστε δοῦναι ἑνὶ αὐτῶν ἀπὸ τῶν σαρκῶν τῶν τέκνων αὐτοῦ, ὧν ἂν κατέσθῃ, διὰ τὸ μὴ καταλειφθῆναι αὐτῷ οὐδὲν ἐν τῇ στενοχωρίᾳ σου καὶ ἐν τῇ θλίψει σου, ᾗ ἂν θλίψωσί σε οἱ ἐχθροί σου ἐν πάσαις ταῖς πόλεσί σου.

Δευτ. 28,55 - θα σκληρυνθή τόσον, ώστε να μη δώση εις κανένα εξ αυτών από τα κρέατα των τέκνων του, τα οποία αυτός θα τρώγη, διότι δεν θα του έχη απομείνει τίποτε άλλο προς χορτασμόν της πείνας του. Τοσον μεγάλη θα είναι η στενοχωρία σου και η θλίψις σου, με την οποίαν θα σε καταθλίβουν οι εχθροί σου εις όλας τας πόλεις σου.

Δευτ. 28,56 - καὶ ἡ ἁπαλὴ ἐν ὑμῖν καὶ ἡ τρυφερά, ἧς οὐχὶ πεῖραν ἔλαβεν ὁ ποὺς αὐτῆς βαίνειν ἐπὶ τῆς γῆς διὰ τὴν τρυφερότητα καὶ διὰ τὴν ἁπαλότητα, βασκανεῖ τῷ ὀφθαλμῷ αὐτῆς τὸν ἄνδρα αὐτῆς τὸν ἐν κόλπῳ αὐτῆς καὶ τὸν υἱὸν καὶ τὴν θυγατέρα αὐτῆς

Δευτ. 28,56 - Η καλομαθημένη μεταξύ σας και η τρυφερά γυνή, η οποία δια την μεγάλην της μαλθακότητα και τρυφερότητα δεν είχε πατήσει το πόδι της εις την γην, θα φθονή τον άνδρα της και το παιδί της και την θυγατέρα της,

Δευτ. 28,57 - καὶ τὸ χόριον αὐτῆς τὸ ἐξελθὸν διὰ τῶν μηρῶν αὐτῆς καὶ τὸ τέκνον, ὃ ἐὰν τέκῃ· καταφάγεται γὰρ αὐτὰ διά τὴν ἔνδειαν πάντων κρυφῇ ἐν τῇ στενοχωρίᾳ σου καὶ ἐν τῇ θλίψει σου, ᾗ θλίψει σε ὁ ἐχθρός σου ἐν ταῖς πόλεσί σου.

Δευτ. 28,57 - θα ίδη με ζηλότυπον βλέμμα τον υμένα που καλύπτει το έμβρυον, το οποίον εξήλθεν από τους μηρούς της, και το τέκνον το οποίον εγέννησε. Επάνω εις την αβάστακτον στενοχωρίαν και θλίψιν, με την οποίαν θα σε καταθλίψη ο εχθρός σου εις όλας τας πόλεις σου, η καλομαθημένη γυναίκα σου, παραζαλισμένη από την πολλήν πείναν, θα καταφάγη αυτά κρυφίως.

Δευτ. 28,58 - ἐὰν μὴ εἰσακούσῃς ποιεῖν πάντα τὰ ῥήματα τοῦ νόμου τούτου τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τούτῳ φοβεῖσθαι τὸ ὄνομα τὸ ἔντιμον τὸ θαυμαστὸν τοῦτο, Κύριον τὸν Θεόν σου,

Δευτ. 28,58 - Εάν δεν υπακούσης, ώστε να τηρήσης όλας τας εντολάς του Νομου τούτου, αυτάς που έχουν καταγραφή στο βιβλίον τούτο, και δεν ευλαβηθής το πανέντιμον και θαυμαστόν τούτο Ονομα, δηλαδή Κυριον τον Θεόν σου,

Δευτ. 28,59 - καὶ παραδοξάσει Κύριος τὰς πληγάς σου καὶ τὰς πληγὰς τοῦ σπέρματός σου, πληγὰς μεγάλας καὶ θαυμαστάς, καὶ νόσους πονηρὰς καὶ πιστὰς

Δευτ. 28,59 - τότε θα στείλη ο Κυριος αυτάς τας πληγάς εναντίον σου και εναντίον των απογόνων σου, πληγάς μεγάλας και τρομεράς, νόσους οδυνηράς και μακροχρονίους,

Δευτ. 28,60 - καὶ ἐπιστρέψει πᾶσαν τὴν ὀδύνην Αἰγύπτου τὴν πονηράν, ἣν διευλαβοῦ ἀπὸ προσώπου αὐτῶν, καὶ κολληθήσονται ἐν σοί.

Δευτ. 28,60 - και θα στρέψη εναντίον σου όλην την φρικτήν οδύνην της Αιγύπτου, την οποίαν και συ εφοβείσο και έτρεμες, όταν ευρίσκεσο εκεί· όλα αυτά θα πέσουν και θα κολλήσουν επάνω σου.

Δευτ. 28,61 - καὶ πᾶσαν μαλακίαν καὶ πᾶσαν πληγὴν τὴν μὴ γεγραμμένην καὶ πᾶσαν τὴν γεγραμμένην ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου ἐπάξει Κύριος ἐπὶ σέ, ἕως ἂν ἐξολοθρεύσῃ σε.

Δευτ. 28,61 - Και κάθε άλλην εσθένειαν και κάθε άλλην θλίψιν, η οποία αναφέρεται και δεν αναφέρεται στο βιβλίον τούτο του Νομου, θα εξαποστείλη επάνω σου ο Κυριος, έως ότου σε εξολοθρεύση.

Δευτ. 28,62 - καὶ καταλειφθήσεσθε ἐν ἀριθμῷ βραχεῖ, ἀνθ᾿ ὧν ὅτι ἦτε ὡσεὶ τὰ ἄστρα τοῦ οὐρανοῦ τῷ πλήθει, ὅτι οὐκ εἰσήκουσας τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου.

Δευτ. 28,62 - Και θα μείνετε ολίγοι κατά τον αριθμόν, ενώ προηγουμένως υπήρξατε πολυπληθείς ωσάν τα άστρα του ουρανού, διότι δεν υπηκούσατε εις την φωνήν Κυρίου του Θεού σας.

Δευτ. 28,63 - καὶ ἔσται ὃν τρόπον εὐφράνθη Κύριος ἐφ᾿ ὑμῖν εὖ ποιῆσαι ὑμᾶς καὶ πληθῦναι ὑμᾶς, οὕτως εὐφρανθήσεται Κύριος ἐφ᾿ ὑμῖν ἐξολοθρεῦσαι ὑμᾶς, καὶ ἐξαρθήσεσθε ἐν τάχει ἀπὸ τῆς γῆς, εἰς ἣν εἰσπορεύεσθε ἐκεῖ κληρονομῆσαι αὐτήν.

Δευτ. 28,63 - Και όπως προηγουμένως ο Κυριος ηυχαριστήθη δια σας και σας ηυλόγησε και σας επλήθυνε, έτσι τώρα θα ευχαριστηθή εις βάρος σας ο Κυριος με το να σας εξολοθρεύση. Θα εξολοθρευθήτε ταχύτατα από την χώραν, εις την οποίαν τώρα εισέρχεσθε να κληρονομήσετε.

Δευτ. 28,64 - καὶ διασπερεῖ σε Κύριος ὁ Θεός σου εἰς πάντα τὰ ἔθνη ἀπ᾿ ἄκρου τῆς γῆς ἕως ἄκρου τῆς γῆς, καὶ δουλεύσεις ἐκεῖ θεοῖς ἑτέροις, ξύλοις καὶ λίθοις, οὓς οὐκ ἠπίστω σὺ καὶ οἱ πατέρες σου.

Δευτ. 28,64 - Κυριος ο Θεός σας θα σας διασκορπίση εις όλα τα έθνη, από το ένα έως το άλλο άκρον της γης, και θα γίνετε εκεί δούλοι εις άλλους θεούς ψευδείς, εις ξυλίνους και λιθίνους, τους οποίους δεν εγνώριζες ούτε συ ούτε οι προπάτορές σου.

Δευτ. 28,65 - ἀλλὰ καὶ ἐν τοῖς ἔθνεσιν ἐκείνοις οὐκ ἀναπαύσει σε, οὐδ᾿ οὐ μὴ γένηται στάσις τῷ ἴχνει τοῦ ποδός σου, καὶ δώσει σοι Κύριος ἐκεῖ καρδίαν ἀθυμοῦσαν καὶ ἐκλείποντας ὀφθαλμοὺς καὶ τηκομένην ψυχήν.

Δευτ. 28,65 - Αλλά και μεταξύ των εθνών εκείνων δεν θα έχης ανάπαυσιν και ησυχίαν, ούτε και θα σταματήσουν κάπου τα πόδια σου εις μόνιμον κατοικίαν σου. Ο Κυριος θα δώση εις σε καρδίαν άθυμον και μελαγχολικήν, οφθαλμούς αλαμπείς και μισοσβημένους, ζωήν, η οποία θα λυώνη ημέραν με την ημέραν.

Δευτ. 28,66 - καὶ ἔσται ἡ ζωή σου κρεμαμένη ἀπέναντι τῶν ὀφθαλμῶν σου, καὶ φοβηθήσῃ ἡμέρας καὶ νυκτὸς καὶ οὐ πιστεύσεις τῇ ζωῇ σου·

Δευτ. 28,66 - Η ζωη σου θα είναι ενώπιόν σου αβεβαία και ασταθής. Θα φοβήσαι ημέραν και νύκτα και δεν θα έχης πεποίθησιν και ελπίδα ότι θα ζήσης.

Δευτ. 28,67 - τὸ πρωΐ ἐρεῖς· πῶς ἂν γένοιτο ἑσπέρα; καὶ τὸ ἑσπέρας ἐρεῖς· πῶς ἂν γένοιτο πρωΐ; ἀπὸ τοῦ φόβου τῆς καρδίας σου, ἃ φοβηθήσῃ, καὶ ἀπὸ τῶν ὁραμάτων τῶν ὀφθαλμῶν σου, ὧν ὄψῃ.

Δευτ. 28,67 - Το πρωϊ θα λέγης· Ποτε θα έλθη το βράδυ; Και το βράδυ θα λέγης· Ποτε θα ξημερώση; Και αυτά εξ αιτίας του φόβου, που θα πλημμυρίζη την καρδίαν σου, και των τραγικών γεγονότων που θα βλέπουν τα μάτια σου.

Δευτ. 28,68 - καὶ ἀποστρέψει σε Κύριος εἰς Αἴγυπτον ἐν πλοίοις καὶ ἐν τῇ ὁδῷ, ᾗ εἶπα· οὐ προσθήσῃ ἔτι ἰδεῖν αὐτήν· καὶ πραθήσεσθε ἐκεῖ τοῖς ἐχθροῖς ὑμῶν εἰς παῖδας καὶ παιδίσκας, καὶ οὐκ ἔσται ὁ κτώμενος.

Δευτ. 28,68 - Ο Κυριος θα σε ξαναφέρη οπίσω εις την Αίγυπτον αιχμάλωτον δια πλοίων, θα σε υποχρεώση να βαδίσης οδόν, δια την οποίαν σας είχα πει, ότι δεν θα την ίδης πλέον. Εκεί θα πωληθήτε εις όφελος των εχθρών σας ως δούλοι και ως δούλαι. Θα εκτίθεσθε προς πώλησιν και δεν θα υπάρχη αγοραστής" !

Δευτ. 28,69 - Οὗτοι οἱ λόγοι τῆς διαθήκης, οὓς ἐνετείλατο Κύριος Μωυσῇ στῆσαι τοῖς υἱοῖς Ἰσραὴλ ἐν γῇ Μωάβ, πλὴν τῆς διαθήκης, ἧς διέθετο αὐτοῖς ἐν Χωρήβ.

Δευτ. 28,69 - Αυτοί είναι οι λόγοι της διαθήκης, την οποίαν διέταξεν ο Κυριος τον Μωϋσήν να συνάψη με τους Ισραηλίτας εις την χώραν Μωάβ, πλην της διαθήκης την οποίαν ο Κυριος συνήψε με αυτούς στο όρος Χωρήβ.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 29

Δευτ. 29,1 - Καὶ ἐκάλεσε Μωυσῆς πάντας τοὺς υἱοὺς Ἰσραὴλ καὶ εἶπε πρὸς αὐτούς· ὑμεῖς ἑωράκατε πάντα, ὅσα ἐποίησε Κύριος ἐν γῇ Αἰγύπτῳ ἐνώπιον ὑμῶν Φαραὼ καὶ τοῖς θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ,

Δευτ. 29,1 - Ο Μωϋσής συνεκάλεσε όλους τους Ισραηλίτας και είπε προς αυτούς· "είδατε σεις όλα όσα έκαμεν ο Κυριος εις την Αίγυπτον εμπρός εις τα μάτια σας εναντίον του Φαραώ και των αυλικών του και όλης της χώρας του·

Δευτ. 29,2 - τοὺς πειρασμοὺς τοὺς μεγάλους, οὓς ἑωράκασιν οἱ ὀφθαλμοί σου, τὰ σημεῖα καὶ τὰ τέρατα τὰ μεγάλα ἐκεῖνα·

Δευτ. 29,2 - δηλαδή τας μεγάλας δοκιμασίας, που είδαν τα μάτια σας, τα καταπληκτικά σημεία και τα συγκλονιστικά εκείνα θαύματα.

Δευτ. 29,3 - καὶ οὐκ ἔδωκε Κύριος ὁ Θεὸς ὑμῖν καρδίαν εἰδέναι καὶ ὀφθαλμοὺς βλέπειν καὶ ὦτα ἀκούειν ἕως τῆς ἡμέρας ταύτης.

Δευτ. 29,3 - Δεν τα εκαταλαβάτε όμως καλά, διότι ο Κυριος, επειδή δεν ηθελήσατε, δέν σας έδωκε μέχρι της σημερινής ημέρας καρδίαν δια να γνωρίζετε, μάτια δια να βλέπετε, αυτιά δια να ακούετε.

Δευτ. 29,4 - καὶ ἤγαγεν ὑμᾶς τεσσαράκοντα ἔτη ἐν τῇ ἐρήμῳ· οὐκ ἐπαλαιώθη τὰ ἱμάτια ὑμῶν, καὶ τὰ ὑποδήματα ὑμῶν οὐ κατετρίβη ἀπὸ τῶν ποδῶν ὑμῶν·

Δευτ. 29,4 - Εν τούτοις σας καθωδήγησεν επί τεσσαράκοντα έτη εις την έρημον. Τα ενδύματά σας δεν επάλησαν και δεν εφθάρησαν, και τα υποδήματα σας δεν έλυωσαν κάτω από τα πόδια σας.

Δευτ. 29,5 - ἄρτον οὐκ ἐφάγετε, οἶνον καὶ σίκερα οὐκ ἐπίετε, ἵνα γνῶτε, ὅτι Κύριος ὁ Θεὸς ὑμῶν ἐγώ.

Δευτ. 29,5 - Συνηθισμένον άρτον δεν εφάγατε, οίνον και οινοπνευματώδη ποτά δεν επίετε, επίνετε όμως ύδωρ που ανέβλυζε δια θαύματος Θεού, δια να μάθετε, ότι εγώ είμαι Κυριος ο Θεός σας.

Δευτ. 29,6 - καὶ ἤλθετε ἕως τοῦ τόπου τούτου, καὶ ἐξῆλθε Σηὼν βασιλεὺς Ἐσεβὼν καὶ Ὢγ βασιλεὺς Βασὰν εἰς συνάντησιν ἡμῖν ἐν πολέμῳ, καὶ ἐπατάξαμεν αὐτοὺς

Δευτ. 29,6 - Και εφθάσατε έως αυτόν τον τόπον. Εξήλθον δε από την χώραν των, δια να σας πολεμήσουν Σηών ο βασιλεύς της πρωτευούσης Εσεβών και Ωγ ο βασιλεύς της Βασάν. Αλλ' ημείς τους κατενικήσαμεν,

Δευτ. 29,7 - καὶ ἐλάβομεν τὴν γῆν αὐτῶν, καὶ ἔδωκα αὐτὴν ἐν κλήρῳ τῷ Ῥουβὴν καὶ τῷ Γαδδὶ καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ.

Δευτ. 29,7 - και κατελάβαμεν την χώραν των, την οποίαν έδωκα ως κληρονομίαν εις την φυλήν Ρουβήν, εις την ψυλήν Γαδ και στο ήμισυ της φυλής του Μανασσή.

Δευτ. 29,8 - καὶ φυλάξεσθε ποιεῖν πάντας τοὺς λόγους τῆς διαθήκης ταύτης, ἵνα συνῆτε πάντα, ὅσα ποιήσετε.

Δευτ. 29,8 - Φροντίσατε να τηρήτε όλας τας εντολάς της διαθήκης αυτής, δια να κατανοήτε όλα και να επιτυγχάνετε εις όλα όσα θα κάνετε.

Δευτ. 29,9 - Ὑμεῖς ἑστήκατε πάντες σήμερον ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν, οἱ ἀρχίφυλοι ὑμῶν καὶ ἡ γερουσία ὑμῶν καὶ οἱ κριταὶ ὑμῶν, καὶ οἱ γραμματοεισαγωγεῖς ὑμῶν, πᾶς ἀνὴρ Ἰσραήλ,

Δευτ. 29,9 - Σεις όλοι σήμερον έχετε παρουσιασθή ενώπιον Κυρίου του Θεού σας, οι αρχηγοί των φυλών σας, οι γεροντότεροι από σας, οι δικασταί σας, οι αξιωματούχοι σας, όλοι οι Ισραηλίται,

Δευτ. 29,10 - αἱ γυναῖκες ὑμῶν καὶ τὰ ἔκγονα ὑμῶν καὶ ὁ προσήλυτος ὁ ἐν μέσῳ τῆς παρεμβολῆς ὑμῶν, ἀπὸ ξυλοκόπου ὑμῶν καὶ ἕως ὑδροφόρου ὑμῶν,

Δευτ. 29,10 - αι γυναίκες σας, τα παιδιά σας, οι ξένοι οι οποίοι ευρίσκονται στο στρατόπεδόν σας, όλοι μέχρι των ξυλοκόπων και των υδροφόρων,

Δευτ. 29,11 - παρελθεῖν ἐν τῇ διαθήκῃ Κυρίου τοῦ Θεοῦ ὑμῶν καὶ ἐν ταῖς ἀραῖς αὐτοῦ, ὅσα Κύριος ὁ Θεός σου διατίθεται πρὸς σὲ σήμερον,

Δευτ. 29,11 - έχετε παρουσιασθή, δια να περιληφθήτε εις την διαθήκην Κυρίου του Θεού σας και εις τας κατάρας αυτού εις περίπτωσιν, κατά την οποίαν θα παραβήτε όσα Κυριος ο Θεός σας διατάσσει προς σας σήμερον.

Δευτ. 29,12 - ἵνα στήσῃ σε αὐτῷ εἰς λαόν, καὶ αὐτὸς ἔσται σου Θεός, ὃν τρόπον εἶπέ σοι, καὶ ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ.

Δευτ. 29,12 - Εάν όμως φανήτε υπάκοοι και ευπειθείς προς αυτόν, θα σας αναδείξη λαόν του και αυτός θα είναι ο Θεός σας, όπως έχει υποσχεθή στους προπάτοράς σας, τον Αβραάμ, τον 'Ισαακ και τον Ιακώβ.

Δευτ. 29,13 - καὶ οὐχ ὑμῖν μόνοις ἐγὼ διατίθεμαι τὴν διαθήκην ταύτην καὶ τὴν ἀρὰν ταύτην,

Δευτ. 29,13 - Και δεν συνάπτω εγώ ο Μωϋσής με σας μόνον την διαθήκην αυτήν και εις περίπτωσιν παρανομιών σας την κατάραν αυτήν,

Δευτ. 29,14 - ἀλλὰ καὶ τοῖς ὧδε οὖσι μεθ᾿ ὑμῶν σήμερον ἐναντίον Κυρίου τοῦ Θεοῦ ὑμῶν καὶ τοῖς μὴ οὖσι μεθ᾿ ὑμῶν ὧδε σήμερον.

Δευτ. 29,14 - αλλά και με εκείνους που σήμερον είναι εδώ μαζή σας, καθώς και με εκείνους που δεν ευρίσκονται εις την συγκέντρωσιν αυτήν, δηλαδή με τους απογόνους σας, οι οποίοι δεν έχουν ακόμη γεννηθή. Αυτά δε ενώπιον Κυρίου του Θεού σας.

Δευτ. 29,15 - ὅτι ὑμεῖς οἴδατε πῶς κατῳκήσαμεν ἐν γῇ Αἰγύπτῳ, ὡς παρήλθομεν ἐν μέσῳ τῶν ἐθνῶν, οὓς παρήλθετε,

Δευτ. 29,15 - Διότι σεις γνωρίζετε καλά πως κατοικήσαμεν εις την Αίγυπτον και πως διήλθομεν δια μέσου των λαών από τας χώρας των οποίων επεράσατε.

Δευτ. 29,16 - καὶ ἴδετε τὰ βδελύγματα αὐτῶν καὶ τὰ εἴδωλα αὐτῶν, ξύλον καὶ λίθον, ἀργύριον καὶ χρυσίον, ἅ ἐστι παρ᾿ αὐτοῖς.

Δευτ. 29,16 - Είδατε τα μισητά και αηδή αυτών πράγματα, τα είδωλά των τα ξύλινα και τα λίθινα, τα αργυρά και χρυσά, που έχουν.

Δευτ. 29,17 - μή τίς ἐστιν ἐν ὑμῖν ἀνὴρ ἢ γυνὴ ἢ πατριὰ ἢ φυλή, τίνος ἡ διάνοια ἐξέκλινεν ἀπὸ Κυρίου τοῦ Θεοῦ ὑμῶν πορεύεσθαι λατρεύειν τοῖς θεοῖς τῶν ἐθνῶν ἐκείνων; μὴ τίς ἐστιν ἐν ὑμῖν ῥίζα ἄνω φύουσα ἐν χολῇ καὶ πικρίᾳ;

Δευτ. 29,17 - Μηπως, τυχόν, παρ' όλα αυτά υπάρχει μεταξύ σας άνδρας η γυναίκα, πατριά η φυλή των οποίων η καρδία έχει ξεμακρύνει και ξεκόψει από Κυριον τον Θεόν σας, ώστε να ακολουθή και να λατρεύη τους ειδωλικούς θεούς των εθνών εκείνων; Μηπως υπάρχει μεταξύ σας καμμιά δηλητηριασμένη ρίζα, από την οποίαν φυτρώνει χολή και πικρία;

Δευτ. 29,18 - καὶ ἔσται ἐὰν ἀκούσῃ τὰ ῥήματα τῆς ἀρᾶς ταύτης καὶ ἐπιφημίσηται ἐν τῇ καρδίᾳ αὐτοῦ λέγων· ὅσιά μοι γένοιτο, ὅτι ἐν τῇ

ἀποπλανήσει τῆς καρδίας μου πορεύσομαι, ἵνα μὴ συναπολέσῃ ὁ ἁμαρτωλὸς τὸν ἀναμάρτητον.

Δευτ. 29,18 - Ας έχετε πάντοτε υπ' όψιν σας ότι, εάν κανείς ακούση τας κατάρας αυτής της διαθήκης και αλαζονευθή λέγων καθ' εαυτόν "εγώ θα ζήσω σύμφωνα με τας αμαρτωλάς επιθυμίας της καρδίας μου και όλα θα μου πάνε καλά", θα επέμβη και θα τον τιμωρήση ο Θεός, δια να μη επιδράση ο αμαρτωλός αυτός επιβλαβώς επί τον δίκαιον και τον παρασύρη στον δρόμον της αμαρτίας.

Δευτ. 29,19 - οὐ μὴ θελήσει ὁ Θεὸς εὐϊλατεῦσαι αὐτῷ, ἀλλ᾿ ἢ τότε ἐκκαυθήσεται ὀργὴ Κυρίου καὶ ὁ ζῆλος αὐτοῦ ἐν τῷ ἀνθρώπῳ ἐκείνῳ, καὶ κολληθήσονται ἐν αὐτῷ πᾶσαι αἱ ἀραὶ τῆς διαθήκης ταύτης αἱ γεγραμμέναι ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, καὶ ἐξαλείψει Κύριος τὸ ὄνομα αὐτοῦ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν·

Δευτ. 29,19 - Δεν θα θελήση ο Θεός να ελεήση τον αλαζόνα αυτόν, αλλά θα ανάψη η οργή του Κυρίου και η ζηλοτυπία εναντίον του ανθρώπου εκείνου και θα πέσουν επάνω του όλαι αι κατάραι αυτής της διαθήκης, που είναι γραμμένοι στο βιβλίον του Νομου, και θα εξαλείψη Κυριος το όνομά του από την υπό τον ουρανόν.

Δευτ. 29,20 - καὶ διαστελεῖ αὐτὸν Κύριος εἰς κακὰ ἐκ πάντων υἱῶν Ἰσραὴλ κατὰ πάσας τὰς ἀρὰς τῆς διαθήκης τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου.

Δευτ. 29,20 - Θα αποχωρίση αυτόν ο Κυριος και θα τον αποκόψη από τους άλλους Ισραηλίτας, δια να τον παραδώση εις θλίψεις και συμφοράς, σύμφωνα με όλας τας κατάρας της διαθήκης, αι οποίαι είναι γραμμένοι στο βιβλίον του Νομου τούτου.

Δευτ. 29,21 - καὶ ἐροῦσιν ἡ γενεὰ ἡ ἑτέρα, οἱ υἱοὶ ὑμῶν, οἳ ἀναστήσονται μεθ᾿ ὑμᾶς, καὶ ὁ ἀλλότριος, ὃς ἂν ἔλθῃ ἐκ γῆς μακρόθεν, καὶ ὄψονται τὰς πληγὰς τῆς γῆς ἐκείνης καὶ τὰς νόσους αὐτῆς, ἃς ἀπέστειλε Κύριος ἐπ᾿ αὐτήν,

Δευτ. 29,21 - Η δε κατόπιν γενεά, οι απόγονοί σας, οι οποίοι θα έλθουν έπειτα από σας, και ο ξένος που θα έλθη από μακρυνήν χώραν, όταν ίδουν τας συμφοράς του έθνους σας και τας νόσους που έστειλεν εναντίον της χώρας σας ο Κυριος,

Δευτ. 29,22 - θεῖον καὶ ἅλα κατακεκαυμένον, πᾶσα ἡ γῆ αὐτῆς οὐ σπαρήσεται οὐδὲ ἀνατελεῖ, οὐδὲ μὴ ἀναβῇ ἐπ᾿ αὐτὴν πᾶν χλωρόν, ὥσπερ κατεστράφη Σόδομα και Γόμοῤῥα, Ἀδαμὰ καὶ Σεβωΐμ, ἃς κατέστρεψε Κύριος ἐν θυμῷ καὶ ὀργῇ,

Δευτ. 29,22 - το θειάφι και το αλάτι που θα καίωνται, όλην την χώραν η οποία θα σπείρεται και δεν θα καρποφορή και δεν θα υπάρχη εις αυτήν κανένα χλωρόν δένδρον, διότι θα έχη καταστραφή, όπως τα Σοδομα και

Γομορρα, η Αδαμά και η Σεβωΐμ, τας οποίας ο Κυριος επάνω εις την δικαίαν του αγανάκτησιν και οργήν κατέστρεψε,

Δευτ. 29,23 - καὶ ἐροῦσι πάντα τὰ ἔθνη· διατὶ ἐποίησε Κύριος οὕτω τῇ γῇ ταύτῃ; τίς ὁ θυμὸς τῆς ὀργῆς ὁ μέγας οὗτος;

Δευτ. 29,23 - όλοι αυτοί και όλα τα έθνη θα ερωτήσουν· Διατί εξαπέστειλεν ο Κυριος τας τρομεράς καταστροφάς εναντίον αυτής της χώρας; Εις τι οφείλεται η μεγάλη αυτού αγανάκτησις και οργή;

Δευτ. 29,24 - καὶ ἐροῦσιν· ὅτι κατέλιπον τὴν διαθήκην Κυρίου τοῦ Θεοῦ τῶν πατέρων αὐτῶν, ἃ διέθετο τοῖς πατράσιν αὐτῶν, ὅτε ἐξήγαγεν αὐτοὺς ἐκ γῆς Αἰγύπτου,

Δευτ. 29,24 - Και θα απαντήσουν· Αυτά έγιναν διότι οι Ισραηλίται κατεπάτησαν την διαθήκην Κυρίου του Θεού των πατέρων των, την οποίαν συνήψε με τους προπάτοράς των, όταν εβγαλε αυτούς ελευθέρους από την χώραν της Αιγύπτου·

Δευτ. 29,25 - καὶ πορευθέντες ἐλάτρευσαν θεοῖς ἑτέροις, οὓς οὐκ ᾐπίσταντο, οὐδὲ διένειμεν αὐτοῖς·

Δευτ. 29,25 - διότι ηκολούθησαν και ελάτρευσαν άλλους θεούς, τους οποίους δεν εγνώριζον προηγουμένως και τους οποίους ούτε είχε ποτέ επιτρέψει ο αληθινός Θεός.

Δευτ. 29,26 - καὶ ὠργίσθη θυμῷ Κύριος ἐπὶ τὴν γῆν ἐκείνην ἐπαγαγεῖν ἐπ᾿ αὐτὴν κατὰ πάσας τὰς κατάρας τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου,

Δευτ. 29,26 - Δια τούτο ωργίσθη ο Κυριος εναντίον της χώρας εκείνης και έστειλε κατ' αυτής όλας τας κατάρας, αι οποίαι είναι γραμμέναι στο βιβλίον τούτου του Νομου.

Δευτ. 29,27 - καὶ ἐξῇρεν αὐτοὺς Κύριος ἀπὸ τῆς γῆς αὐτῶν ἐν θυμῷ καὶ ὀργῇ καὶ παροξυσμῷ μεγάλῳ σφόδρα, καὶ ἐξέβαλεν αὐτοὺς εἰς γῆν ἑτέραν ὡσεὶ νῦν.

Δευτ. 29,27 - Τους εξερρίζωσεν ο Κυριος από την χώραν των με θυμόν και οργήν, με πολύ μεγάλον εξερεθισμόν, τους εξεδίωξεν εις άλλην χώραν όπου σήμερον υπάρχουν.

Δευτ. 29,28 - τὰ κρυπτὰ Κυρίῳ τῷ Θεῷ ἡμῶν, τὰ δὲ φανερὰ ἡμῖν καὶ τοῖς τέκνοις ἡμῶν εἰς τὸν αἰῶνα, ποιεῖν πάντα τὰ ῥήματα τοῦ νόμου τούτου.

Δευτ. 29,28 - Αι απόκρυφοι και βαθείαι βουλαί ανήκουν εις Κυριον τον Θεόν μας. Γνωσταί δε και φανεραί είναι εις ημάς και εις τα τέκνα μας δια μέσου των αιώνων όλαι αι εντολαί του θείου τούτου Νομου, τας οποίας πρέπει να τηρούμεν.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 30

Δευτ. 30,1 - Καὶ ἔσται ὡς ἂν ἔλθωσιν ἐπὶ σὲ πάντα τὰ ῥήματα ταῦτα, ἡ εὐλογία καὶ ἡ κατάρα, ἣν ἔδωκα πρὸ προσώπου σου, καὶ δέξῃ εἰς τὴν καρδίαν σου ἐν πᾶσι τοῖς ἔθνεσιν, οὗ ἐὰν διασκορπίσῃ σε Κύριος ἐκεῖ,

Δευτ. 30,1 - Οταν όλα αυτά τα λόγια του Θεού πραγματοποιηθούν εις σας, η ευλογία του Θεού και η κατάρα που εγώ παρουσίασα ενώπιόν σας, και αποδεχθήτε αυτά με όλην σας την καρδίαν εκεί εις τα έθνη, εις τα οποία θα σας έχη διασκορπίσει δια τας αμαρτίας σας ο Κυριος,

Δευτ. 30,2 - καὶ ἐπιστραφήσῃ ἐπὶ Κύριον τὸν Θεόν σου καὶ εἰσακούσῃ τῆς φωνῆς αὐτοῦ κατὰ πάντα, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἐξ ὅλης τῆς καρδίας σου, καὶ ἐξ ὅλης τῆς ψυχῆς σου,

Δευτ. 30,2 - και εν μετανοία επιστρέψετε προς Κυριον τον Θεόν σας, υπακούοντες με όλην σας την καρδίαν και με όλην σας την ψυχήν εις εκείνα, τα οποία εγώ σήμερον σας διατάσσω,

Δευτ. 30,3 - καὶ ἰάσεται Κύριος τὰς ἁμαρτίας σου καὶ ἐλεήσει σε καὶ πάλιν συνάξει σε ἐκ πάντων τῶν ἐθνῶν, εἰς οὓς διεσκόρπισέ σε Κύριος ἐκεῖ.

Δευτ. 30,3 - ο Κυριος θα συγχωρήση και θα θεραπεύση τας αμαρτίας σας, θα σας ελεήση και θα σας συγκεντρώση πάλιν εις την πατρίδα σας από όλα τα έθνη, ανάμεσα εις τα οποία σας είχε διασκορπίσει.

Δευτ. 30,4 - ἐὰν ᾖ ἡ διασπορά σου ἀπ᾽ ἄκρου τοῦ οὐρανοῦ ἕως ἄκρου τοῦ οὐρανοῦ, ἐκεῖθεν συνάξει σε Κύριος ὁ Θεός σου, καὶ ἐκεῖθεν λήψεταί σε Κύριος ὁ Θεός σου·

Δευτ. 30,4 - Και αν ακόμη έχετε διασκορπισθή από το ένα έως το άλλο άκρον του ουρανού, και από εκεί θα σας επαναφέρη Κυριος ο Θεός σας εις την πατρίδα σας και από εκεί θα σας παραλάβη.

Δευτ. 30,5 - καὶ εἰσάξει σε ὁ Θεός σου ἐκεῖθεν εἰς τὴν γῆν, ἣν ἐκληρονόμησαν οἱ πατέρες σου, καὶ κληρονομήσεις αὐτήν· καὶ εὖ σε ποιήσει καὶ πλεοναστόν σε ποιήσει ὑπὲρ τοὺς πατέρας σου.

Δευτ. 30,5 - Ο Θεός σας θα σας επαναφέρη και θα σας εισαγάγη από εκεί εις την χώραν, την οποίαν εκληρονόμησαν οι πρόγονοί σας, και την οποίαν θα κληρονομήσετε τώρα σεις. Θα σας ευλογήση ο Θεός και θα σας αναδείξη πολύ περισσοτέρους εις αριθμόν, παρ' όσον τους προπάτοράς σας.

Δευτ. 30,6 - καὶ περικαθαριεῖ Κύριος τὴν καρδίαν σου καὶ τὴν καρδίαν τοῦ σπέρματός σου, ἀγαπᾶν Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου, ἵνα ζῇς σύ.

Δευτ. 30,6 - Ο Κυριος θα καθαρίση και θα εξαγνίση την καρδίαν σας και την καρδίαν των απογόνων σας, δια να αγαπάτε Κυριον τον Θεόν σας με όλην σας την καρδίαν και με όλην σας την ψυχήν, και να σας δώσει έτσι ο Θεός μακρότητα βίου.

Δευτ. 30,7 - καὶ δώσει Κύριος ὁ Θεός σου τὰς ἀρὰς ταύτας ἐπὶ τοὺς ἐχθρούς σου καὶ ἐπὶ τοὺς μισοῦντάς σε, οἳ ἐδίωξάν σε.

Δευτ. 30,7 - Εάν σεις μετανοήσετε και συμμορφωθήτε προς το θείον θέλημα, τότε ο Κυριος θα εξαποστείλη αυτάς τας κατάρας εναντίον των εχθρών σας, εναντίον εκείνων που σας μισούν και σας έχουν καταδιώξει.

Δευτ. 30,8 - καὶ σὺ ἐπιστραφήσῃ καὶ εἰσακούσῃ τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου καὶ ποιήσεις τὰς ἐντολὰς αὐτοῦ, ὅσα ἐγὼ ἐντέλλομαί σοι σήμερον,

Δευτ. 30,8 - Σεις δε θα επιστρέψετε εν μετανοία προς το Κυριον, θα υπακούσετε εις την φωνήν Κυρίου του Θεού σας και θα τηρήσετε τα εντολάς του, αυτάς τας οποίας εγώ σήμερον σας δίδω,

Δευτ. 30,9 - καὶ πολυωρήσει σε Κύριος ὁ Θεός σου ἐν παντὶ ἔργῳ τῶν χειρῶν σου, ἐν τοῖς ἐκγόνοις τῆς κοιλίας σου καὶ ἐν τοῖς ἐκγόνοις τῶν κτηνῶν σου καὶ ἐν τοῖς γενήμασι τῆς γῆς σου· ὅτι ἐπιστρέψει Κύριος ὁ Θεός σου εὐφρανθῆναι ἐπὶ σοὶ εἰς ἀγαθά, καθότι εὐφράνθη ἐπὶ τοῖς πατράσι σου,

Δευτ. 30,9 - ο δε Κυριος θα ενδιαφερθή, θα φροντίση και θα ευλογήση σας εις όλα τα έργα των χειρών σας, εκ τα παιδιά σας, εις τα γεννήματα των ζώων σας και εις τα προϊόντα της χώρας σας. Διότι Κυριος ο Θεός σας θα επιστρέψη με ευλογίας προς σας και θα ευφρανθή με τα αγαθά που θα σας δώση, όπως ηυφράνθη με τα αγαθά που είχε δώσει στους προπάτοράς σας.

Δευτ. 30,10 - ἐὰν εἰσακούσῃς τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ σου, φυλάσσεσθαι τὰς ἐντολὰς αὐτοῦ καὶ τὰ δικαιώματα αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ τὰς γεγραμμένας ἐν τῷ βιβλίῳ τοῦ νόμου τούτου, ἐὰν ἐπιστραφῇς ἐπὶ Κύριον τὸν Θεόν σου ἐξ ὅλης τῆς καρδίας σου καὶ ἐξ ὅλης τῆς ψυχῆς σου.

Δευτ. 30,10 - Αυτά θα γίνουν, εάν υπακούσετε εις την φωνήν Κυρίου του Θεού σας και τηρήσετε τας εντολάς αυτού, τον νόμον του και τα προστάγματά του, που είναι γραμμένα στο βιβλίον του Νομου τούτου, εάν δηλαδή επιστρέψετε προς Κυριον τον Θεόν σας με όλην σας την καρδίαν και με όλην σας την ψυχήν.

Δευτ. 30,11 - Ὅτι ἡ ἐντολὴ αὕτη, ἣν ἐγὼ ἐντέλλομαί σοι σήμερον, οὐχ ὑπέρογκός ἐστιν οὐδὲ μακρὰν ἀπὸ σοῦ ἐστιν.

Δευτ. 30,11 - Αυτή δε η εντολή, την οποίαν εγώ σήμερον σας δίδω, δεν είναι βαρεία και υπερβολική, ούτε ευρίσκεται μακράν από σας.

Δευτ. 30,12 - οὐκ ἐν τῷ οὐρανῷ ἄνω ἐστὶ λέγων· τίς ἀναβήσεται ἡμῖν εἰς τὸν οὐρανὸν καὶ λήψεται ἡμῖν αὐτήν, καὶ ἀκούσαντες αὐτὴν ποιήσομεν;

Δευτ. 30,12 - Δεν είναι επάνω στον ουρανόν, ώστε να αναγκασθήτε να είπητε· Ποιός είναι δυνατόν να ανεβή στον ουρανόν, να πάρη την εντολήν αυτήν, να μας την ανακοινώση, και ημείς ακούσαντες να την εφαρμόσωμεν;

Δευτ. 30,13 - οὐδὲ πέραν τῆς θαλάσσης ἐστὶ λέγων· τίς διαπεράσει ἡμῖν εἰς τὸ πέραν τῆς θαλάσσης καὶ λήψεται ἡμῖν αὐτήν, καὶ ἀκουστὴν ἡμῖν ποιήσῃ αὐτήν, καὶ ποιήσομεν;

Δευτ. 30,13 - Ούτε ευρίσκεται πέραν από την θάλασσαν, ώστε να είπη κανείς· Ποιός θα διαπλεύση προς χάριν ημών στο άλλο άκρον της θαλάσσης, δια να πάρη προς χάριν μας την εντολήν, να μας την καταστήση γνωστήν, ώστε ημείς να την εφαρμόσωμεν;

Δευτ. 30,14 - ἐγγύς σού ἐστι τὸ ῥῆμα σφόδρα ἐν τῷ στόματί σου καὶ ἐν τῇ καρδίᾳ σου καὶ ἐν ταῖς χερσί σου ποιεῖν αὐτό.

Δευτ. 30,14 - Ο λόγος του Κυρίου είναι πολύ πλησίον σας, στο στόμα σας δια να τον ομολογήτε, εις την καρδίαν σας δια να τον πιστεύετε, εις τα χέρια σας δια να τον εφαρμόζετε.

Δευτ. 30,15 - Ἰδοὺ δέδωκα πρὸ προσώπου σου σήμερον τὴν ζωήν καὶ τὸν θάνατον, τὸ ἀγαθὸν καὶ τὸ κακόν.

Δευτ. 30,15 - Ιδού έχω θέσει ενώπιόν σας σήμερον την ζωήν και τον θάνατον, το αγαθόν και το κακόν.

Δευτ. 30,16 - ἐὰν εἰσακούσῃς τὰς ἐντολὰς Κυρίου τοῦ Θεοῦ σου, ἃς ἐγὼ ἐντέλλομαί σοι σήμερον, ἀγαπᾶν Κύριον τὸν Θεόν σου, πορεύεσθαι ἐν πάσαις ταῖς ὁδοῖς αὐτοῦ καὶ φυλάσσεσθαι τὰ δικαιώματα αὐτοῦ καὶ τὰς κρίσεις αὐτοῦ, καὶ ζήσεσθε, καὶ πολλοὶ ἔσεσθε, καὶ εὐλογήσει σε Κύριος ὁ Θεός σου ἐν πάσῃ τῇ γῇ, εἰς ἣν εἰσπορεύῃ ἐκεῖ κληρονομῆσαι αὐτήν.

Δευτ. 30,16 - Εάν υπακούσετε εις τας εντολάς Κυρίου του Θεού σας, τας οποίας εγώ σήμερον σας δίδω, να αγαπάτε δηλαδή Κυριον τον Θεόν σας, να πορεύεσθε εις όλας τας οδούς αυτού, να τηρήτε τους νόμους του και τας διατάξστου, τότε θα ζήσετε και θα γίνετε πολυάριθμοι θα σας ευλογήση Κυριος ο Θεός σας εις όλην την χώραν, εις την οποίαν εισέρχεσθε, δια να την καταλάβετε.

Δευτ. 30,17 - καὶ ἐὰν μεταστῇ ἡ καρδία σου καὶ μὴ εἰσακούσῃς καὶ πλανηθεὶς προσκυνήσῃς θεοῖς ἑτέροις καὶ λατρεύσῃς αὐτοῖς,

Δευτ. 30,17 - Εάν όμως αλλάξη η καρδία σας και δεν υπακούσετε τον Κυριον σας, πλανώμενοι δε προσκυνήσετε και λατρεύσετε θεούς άλλους,

Δευτ. 30,18 - ἀναγγέλλω σοι σήμερον ὅτι ἀπωλείᾳ ἀπολεῖσθε καὶ οὐ μὴ πολυήμεροι γένησθε ἐπὶ τῆς γῆς, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν.

Δευτ. 30,18 - αναγγέλλω σήμερον προς σας ότι ολακληρωτικώς θα καταστραφήτε και δεν θα ζήσετε επί πολύ εις την χώραν, προς την οποίαν διαβαίνοντες τον Ιορδάνην ποταμόν πηγαίνετε να την κληρονομήσετε.

Δευτ. 30,19 - διαμαρτύρομαι ὑμῖν σήμερον τόν τε οὐρανὸν καὶ τὴν γῆν, τὴν ζωὴν καὶ τὸν θάνατον δέδωκα πρὸ προσώπου ὑμῶν, τὴν εὐλογίαν καὶ τὴν κατάραν· ἔκλεξαι τὴν ζωὴν σύ, ἵνα ζήσῃς σὺ καὶ τὸ σπέρμα σου,

Δευτ. 30,19 - Επικαλούμαι σήμερον ενώπιόν σας μάρτυρας τον ουρανόν και την γην, ότι έχω θέσει εμπρός εις σας την ζωήν και τον θάνατον, την ευλογίαν και την κατάραν. Διαλέξετε λοιπόν την ζωήν, δια να ζήσετε ευτυχισμένοι, σεις και οι απόγονοί σας.

Δευτ. 30,20 - ἀγαπᾶν Κύριον τὸν Θεόν σου, εἰσακούειν τῆς φωνῆς αὐτοῦ καὶ ἔχεσθαι αὐτοῦ· ὅτι τοῦτο ἡ ζωή σου καὶ ἡ μακρότης τῶν ἡμερῶν σου, κατοικεῖν ἐπὶ τῆς γῆς, ἧς ὤμοσε Κύριος τοῖς πατράσι σου Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ δοῦναι αὐτοῖς.

Δευτ. 30,20 - Μα αγαπάτε Κυριον τον Θεόν σας, να υπακούετε εις την φωνήν του, να μένετε με σταθερότητα κοντά του. Διότι αυτό είναι η ζωη σας, η μακροβιότης σας, η παραμονή σας και η μόνιμος εγκατάστασίς σας εις την χώραν, την οποίαν ο Κυριος ωρκίσθη στους προπάτοράς σας, τον Αβραάμ, τον Ισαάκ και τον Ιακώβ, ότι θα δώση εις αυτούς.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 31

Δευτ. 31,1 - Καὶ συνετέλεσε Μωυσῆς λαλῶν πάντας τοὺς λόγους τούτους πρὸς πάντας υἱοὺς Ἰσραήλ,

Δευτ. 31,1 - Ο Μωϋσής ετελείωσε διδάσκων όλα αυτά τα λόγια του Θεού προς όλους τους Ισραηλίτας.

Δευτ. 31,2 - καὶ εἶπε πρὸς αὐτούς· ἑκατὸν καὶ εἴκοσιν ἐτῶν ἐγώ εἰμι σήμερον· οὐ δυνήσομαι ἔτι εἰσπορεύεσθαι καὶ ἐκπορεύεσθαι, Κύριος δὲ εἶπε πρός με· οὐ διαβήσῃ τὸν Ἰορδάνην τοῦτον.

Δευτ. 31,2 - Κατόπιν δε είπε προς αυτούς· “εγώ είμαι σήμερον εκατόν είκοσι έτων· δεν ημπορώ πλέον να πηγαινοέρχομαι. Εξ άλλου ο Κυριος μου είχε πει· Δεν θα διαβής συ αυτόν τον Ιορδάνην ποταμόν.

Δευτ. 31,3 - Κύριος ὁ Θεός σου ὁ προπορευόμενος πρὸ προσώπου σου, αὐτὸς ἐξολοθρεύσει τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου σου, καὶ κατακληρονομήσεις αὐτούς· καὶ Ἰησοῦς ὁ προπορευόμενος πρὸ προσώπου σου, καθὰ ἐλάλησε Κύριος.

Δευτ. 31,3 - Επαναλαμβάνω προς σας και πάλιν· Κυριος ο Θεός σας, ο οποίος προπορεύεται ενώπιόν σας, αυτός θα εξολοθρεύση από εμπρός σας αυτά τα έθνη, και σεις θα τα κληρονομήσετε. Ο δε Ιησούς του Ναυή θα είναι πλέον ο αρχηγός σας, όπως είπε προς εμέ ο Κυριος.

Δευτ. 31,4 - καὶ ποιήσει Κύριος ὁ Θεός σου αὐτοῖς καθὼς ἐποίησε Σηὼν καὶ Ὤγ, τοῖς δυσὶ βασιλεῦσι τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, καὶ τῇ γῇ αὐτῶν, καθότι ἐξωλόθρευσεν αὐτούς·

Δευτ. 31,4 - Εναντίον των λαών εκείνων, που κατέχουν την γην της Επαγγελίας, θα κάμη ο Κυριος ο,τι έκαμε στους δύο βασιλείς των Αμορραίων, τον Σηών και τον Ωγ, οι οποίοι ήσαν ανατολικώς του Ιορδάνου,

ο,τι έκαμε και εις την χώραν των, διότι, όπως γνωρίζετε, εξωλόθρευσεν αυτούς και τους λαούς των.

Δευτ. 31,5 - καὶ παρέδωκεν αὐτοὺς Κύριος ὑμῖν, καὶ ποιήσετε αὐτοῖς, καθότι ἐνετειλάμην ὑμῖν.

Δευτ. 31,5 - Ετσι έχει παραδώσει τους λαούς της Χαναάν εις τα χέρια σας ο Κυριος, και θα κάμετε εις αυτούς ο,τι εγώ σας διέταξα.

Δευτ. 31,6 - ἀνδρίζου καὶ ἴσχυε, μὴ φοβοῦ μηδὲ δειλιάσης μηδὲ πτοηθῇς ἀπὸ προσώπου αὐτῶν, ὅτι Κύριος ὁ Θεός σου ὁ προπορευόμενος μεθ᾿ ὑμῶν ἐν ὑμῖν, οὔτε μή σε ἀνῇ, οὔτε μή σε ἐγκαταλίπῃ.

Δευτ. 31,6 - Να είσθε λοιπόν ανδρείοι και θαρραλέοι· μη φοβηθήτε, μη δειλιάσετε, μη πτοηθήτε από αυτούς, διότι Κυριος ο Θεός σας, που είναι μαζή σας, προπορεύεται από σας και ούτε προς στιγμήν θα σας αφήση ούτε, πολύ περισσότερον, ολοτελώς θα σας εγκαταλείψη”.

Δευτ. 31,7 - καὶ ἐκάλεσε Μωυσῆς Ἰησοῦν καὶ εἶπεν αὐτῷ ἔναντι παντὸς Ἰσραήλ· ἀνδρίζου καὶ ἴσχυε, σὺ γὰρ εἰσελεύσῃ πρὸ προσώπου τοῦ λαοῦ τούτου εἰς τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς, καὶ σὺ κατακληρονομήσεις αὐτὴν αὐτοῖς·

Δευτ. 31,7 - Εκάλεσεν ο Μωϋσής τον Ιησούν και είπε προς αυτόν ενώπιον όλου του Ισραηλιτικού λαού· “έχε θάρρος, να είσαι γενναίος. Διότι συ, προπορευόμενος ως αρχηγός του λαού τούτου θα εισέλθης εις την χώραν, την οποίαν Κυριος ο Θεός ωρκίσθη στους προπάτοράς μας, ότι θα τους δώση. Συ θα κατακτήσης αυτήν και θα την διανείμης εις αυτούς.

Δευτ. 31,8 - καὶ Κύριος ὁ συμπορευόμενος μετὰ σοῦ οὐκ ἀνήσει σε, οὐδὲ μή σε ἐγκαταλίπῃ· μὴ φοβοῦ μηδὲ δειλία.

Δευτ. 31,8 - Ο δε Κυριος, ο οποίος πορεύεται μαζή σου, δεν θα σε αφήση ουδέ προς στιγμήν ούτε ποτέ θα σε εγκαταλείψη μόνον. Μη φοβήσαι λοιπόν και μη δειλιάζης”.

Δευτ. 31,9 - Καὶ ἔγραψε Μωυσῆς τὰ ῥήματα τοῦ νόμου τούτου εἰς βιβλίον καὶ ἔδωκε τοῖς ἱερεῦσι τοῖς υἱοῖς Λευὶ τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου, καὶ τοῖς πρεσβυτέροις τῶν υἱῶν Ἰσραήλ.

Δευτ. 31,9 - Ο Μωϋσής κατέγραψε τους λόγους του Νομου τούτου εις βιβλίον, το οποίον έδωκεν στους ιερείς της φυλής Λευϊ, τους μεταφέροντας την Κιβωτόν της Διαθήκης του Κυρίου και στους πρεσβυτέρους των Ισραηλιτών.

Δευτ. 31,10 - καὶ ἐνετείλατο Μωυσῆς αὐτοῖς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγων· μετὰ ἑπτὰ ἔτη ἐν καιρῷ ἐνιαυτοῦ ἀφέσεως ἐν ἑορτῇ σκηνοπηγίας,

Δευτ. 31,10 - Κατά δε την ημέραν εκείνην διέταξεν αυτούς ο Μωϋσής λέγων· “κάθε επτά έτη κατά το έτος της απελευθερώσεως των δούλων και της αφέσεως των χρεών, κατά την εορτήν της Σκηνοπηγίας,

Δευτ. 31,11 - ἐν τῷ συμπορεύεσθαι πάντα Ἰσραὴλ ὀφθῆναι ἐνώπιον Κυρίου τοῦ Θεοῦ ὑμῶν, ἐν τῷ τόπῳ ᾧ ἂν ἐκλέξηται Κύριος, ἀναγνώσεσθε τὸν νόμον τοῦτον ἐναντίον παντὸς Ἰσραὴλ εἰς τὰ ὦτα αὐτῶν·

Δευτ. 31,11 - όταν όλοι οι Ισραηλίται θα πηγαίνουν να εμφανισθούν ενώπιον Κυρίου του Θεού σας στον τόπον, τον οποίον θα εκλέξη ο Κυριος ως ναόν του, θα αναγνώσετε τον Νομον τούτον ενώπιον όλων των Ισραηλιτών, δια να τον ακούσουν όλοι.

Δευτ. 31,12 - ἐκκλησιάσας τὸν λαόν, τοὺς ἄνδρας καὶ τὰς γυναῖκας καὶ τὰ ἔκγονα καὶ τὸν προσήλυτον τὸν ἐν ταῖς πόλεσιν ὑμῶν, ἵνα ἀκούσωσι καὶ ἵνα μάθωσι φοβεῖσθαι Κύριον τὸν Θεὸν ὑμῶν, καὶ ἀκούσονται ποιεῖν πάντας τούς λόγους τοῦ νόμου τούτου·

Δευτ. 31,12 - Αφού συγκεντρώσετε τον λαόν, τους άνδρας, τας γυναίκας, τα παιδιά και τους ξένους που υπάρχουν εις τας πόλεις σας, θα αναγνώσετε τον νόμον, δια να τον ακούσουν όλοι και να μάθουν έτσι να ευλαβούνται και να φοβούνται Κυριον τον Θεόν σας και να τηρούν όλας τας εντολάς του νόμου τούτου.

Δευτ. 31,13 - καὶ οἱ υἱοὶ αὐτῶν, οἳ οὐκ οἴδασιν, ἀκούσονται καὶ μαθήσονται φοβεῖσθαι Κύριον τὸν Θεόν σου πάσας τὰς ἡμέρας, ὅσας αὐτοὶ ζῶσιν ἐπὶ τῆς γῆς, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν.

Δευτ. 31,13 - Και τα παιδιά των, τα οποία δεν γνωρίζουν τον νόμον, θα τον ακούσουν και θα μάθουν να φοβούνται Κυριον τον Θεόν σας όλας τας ημέρας, κατά τας οποίας θα ζουν εις την χώραν, προς την οποίαν σεις διαβαίνοντες τον Ιορδάνην πηγαίνετε, δια να την κληρονομήσετε”.

Δευτ. 31,14 - Καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἰδοὺ ἐγγίκασιν αἱ ἡμέραι τοῦ θανάτου σου· κάλεσον Ἰησοῦν καὶ στῆτε παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἐντελοῦμαι αὐτῷ. καὶ ἐπορεύθη Μωυσῆς καὶ Ἰησοῦς εἰς τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἔστησαν παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

Δευτ. 31,14 - Ο δε Κυριος είπε προς τον Μωϋσήν· “ιδού επλησίασαν αι ημέραι του θανάτου σου· κάλεσε τον Ιησούν του Ναυή, σταθήτε πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου και εγώ θα δώσω εις αυτόν εντολάς”. Ο Μωϋσής μαζή με τον Ιησούν του Ναυή επορεύθη εις την Σκηνήν του Μαρτυρίου και εστάθησαν πλησίον εις την θύραν της Σκηνής του Μαρτυρίου.

Δευτ. 31,15 - καὶ κατέβη Κύριος ἐν νεφέλῃ καὶ ἔστη παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ ἔστη ὁ στύλος τῆς νεφέλης παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου.

Δευτ. 31,15 - Κατέβη ο Κυριος μέσα εις την νεφέλην και εστάθη εις την θύραν της Σκηνής του Μαρτυρίου. Εκεί, παρά την θύραν της Σκηνής του Μαρτυρίου, εστάθη και ο στύλος της νεφέλης.

Δευτ. 31,16 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· ἰδοὺ σὺ κοιμᾷ μετὰ τῶν πατέρων σου, καὶ ἀναστὰς οὗτος ὁ λαὸς ἐκπορνεύσει ὀπίσω θεῶν ἀλλοτρίων τῆς γῆς, εἰς ἣν οὗτος εἰσπορεύεται, καὶ καταλείψουσί με καὶ διασκεδάσουσι τὴν διαθήκην μου, ἣν διεθέμην αὐτοῖς.

Δευτ. 31,16 - Είπεν ο Κυριος προς τον Μωϋσήν· “ιδού, έφθασεν ο καιρός κατά τον οποίον θα κοιμηθής συ μαζή με τους πατέρας σου. Αλλά ο λαός αυτός θα ξεσηκωθή και εγκαταλείπων εμέ τον αληθινόν Θεόν θα εκτραπή εις πορνείαν ακολουθών τους ξένους, τους φαύλους θεούς της χώρας, εις την οποίαν αυτός σήμερον εισέρχεται. Ετσι δε θα με εγκαταλείψουν και θα διαλύσουν την συμφωνίαν, την οποίαν είχα συνάψει με αυτούς.

Δευτ. 31,17 - καὶ ὀργισθήσομαι θυμῷ εἰς αὐτοὺς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ καταλείψω αὐτοὺς καὶ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν, καὶ ἔσται κατάβρωμα, καὶ εὑρήσουσιν αὐτὸν κακὰ πολλὰ καὶ θλίψεις, καὶ ἐρεῖ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· διότι οὐκ ἔστι Κύριος ὁ Θεός μου ἐν ἐμοί, εὕροσάν με τὰ κακὰ ταῦτα.

Δευτ. 31,17 - Τοτε δε θα οργισθώ οργήν μεγάλην εναντίον των κατά την ημέραν εκείνην, θα τους εγκαταλείψω, θα αποστρέψω από αυτούς το πρόσωπόν μου και αβοήθητοι πλέον αυτοί από εμέ, θα καταφαγωθούν και θα καταστραφούν από τους εχθρούς των. Θα τους εύρουν πολλά κακά και πολλαί θλίψεις, και τότε θα είπουν· Μας ευρήκαν αυταί αι συμφοραί, διότι δεν υπάρχει πλέον μαζή μας Κυριος ο Θεός μας.

Δευτ. 31,18 - ἐγὼ δὲ ἀποστροφῇ ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ᾽ αὐτῶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ διὰ πάσας τὰς κακίας, ἃς ἐποίησαν, ὅτι ἀπέστρεψαν ἐπὶ θεοὺς ἀλλοτρίους.

Δευτ. 31,18 - Εγώ δε θα αποστρέψω με αγανάκτησιν το πρόσωπόν μου από αυτούς κατά την ημέραν εκείνην δι' όλας τας παρανομίας, τας οποίας διέπραξαν με το να στραφούν και ακολουθήσουν ξένους θεούς.

Δευτ. 31,19 - καὶ νῦν γράψατε τὰ ῥήματα τῆς ᾠδῆς ταύτης καὶ διδάξατε αὐτὴν τοὺς υἱοὺς Ἰσραὴλ καὶ ἐμβαλεῖτε αὐτὴν εἰς τὸ στόμα αὐτῶν, ἵνα γένηταί μοι ἡ ᾠδὴ αὕτη κατὰ πρόσωπον μαρτυροῦσα ἐν υἱοῖς Ἰσραήλ.

Δευτ. 31,19 - Γράψατε, λοιπόν, τώρα τα λόγια της επομένης ωδής, διδάξατέ την στους Ισραηλίτας, θέσατέ την εις τα στόματά των, ώστε αυτή η ωδή να γίνη μία καταμαρτυρία εναντίον των Ισραηλιτών.

Δευτ. 31,20 - εἰσάξω γὰρ αὐτοὺς εἰς τὴν γῆν τὴν ἀγαθήν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν δοῦναι αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι, καὶ φάγονται καὶ ἐμπλησθέντες κορήσουσι· καί ἐπιστραφήσονται ἐπὶ θεοὺς ἀλλοτρίους καὶ λατρεύσουσιν αὐτοῖς καὶ παροξυνοῦσί με καὶ διασκεδάσουσι τὴν διαθήκην μου.

Δευτ. 31,20 - Διότι εγώ μεν θα εισαγάγω αυτούς εις την εύφορον και πλουσίαν γην, την οποίαν ωρκίσθην στους προπάτοράς των ότι θα τους

δώσω, την γην που ρέει γάλα και μέλι. Εκεί θα φάγουν και θα εμπλησθούν μέχρι κορεσμού. Επειτα όμως θα στραφούν και θα ακολουθήσουν ξένους θεούς και θα λατρεύσουν αυτούς και θα διαλύσουν την διαθήκην μου και θα γίνουν αιτία να εξοργισθώ εναντίον των.

Δευτ. 31,21 - καὶ ἀντικαταστήσεται ἡ ᾠδὴ αὕτη κατὰ πρόσωπον μαρτυροῦσα, οὐ γὰρ μὴ ἐπιλησθῇ ἀπὸ στόματος αὐτῶν καὶ ἀπὸ στόματος τοῦ σπέρματος αὐτῶν· ἐγὼ γὰρ οἶδα τὴν πονηρίαν αὐτῶν, ὅσα ποιοῦσιν ὧδε σήμερον πρὸ τοῦ εἰσαγαγεῖν με αὐτοὺς εἰς τὴν γῆν τὴν ἀγαθήν, ἣν ὤμοσα τοῖς πατράσιν αὐτῶν.

Δευτ. 31,21 - Τοτε δε θα ορθωθή εναντίον των αυτή η ωδή, καταμαρτυρούσα εις βάρος των· διότι δεν θα λησμονηθή αυτή και δεν θα παύση να απαγγέλλεται από το στόμα των και από το στόμα των απογόνων των. Θα γίνουν αυτά, διότι εγώ γνωρίζω πολύ καλά τας πονηρίας των, όσα διαπράττουν εδώ σήμερον πριν τους εισαγάγω εις την εύφορον και πλουσίαν γην, την οποίαν ωρκίσθηκα στους πατέρας των”.

Δευτ. 31,22 - καὶ ἔγραψε Μωυσῆς τὴν ᾠδὴν ταύτην ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ ἐδίδαξεν αὐτὴν τοὺς υἱοὺς Ἰσραήλ.

Δευτ. 31,22 - Ο Μωϋσής έγραψεν αυτήν την ωδήν κατά την ημέραν εκείνην και την εδίδαξεν στους Ισραηλίτας.

Δευτ. 31,23 - καὶ ἐνετείλατο Μωυσῆς Ἰησοῖ καὶ εἶπεν· ἀνδρίζου καὶ ἴσχυε, σὺ γὰρ εἰσάξεις τοὺς υἱοὺς Ἰσραὴλ εἰς τὴν γῆν, ἣν ὤμοσεν αὐτοῖς Κύριος, καὶ αὐτὸς ἔσται μετὰ σοῦ.

Δευτ. 31,23 - Εδωσε δε εντολήν στον Ιησούν του Ναυή και του είπε· “να είσαι ανδρείος, να είσαι γενναίος, διότι συ θα οδηγήσης τους Ισραηλίτας μέσα εις την γην, την οποίαν ωρκίσθη προς αυτούς ο Κυριος. Αυτός δε ο Κυριος θα είναι μαζή σου”.

Δευτ. 31,24 - Ἡνίκα δὲ συνετέλεσε Μωυσῆς γράφων πάντας τοὺς λόγους τοῦ νόμου τούτου εἰς βιβλίον ἕως εἰς τέλος,

Δευτ. 31,24 - Οτε ο Μωϋσής ετελείωσε γράφων όλους τους λόγους του νόμου τούτου εις βιβλίον μέχρι τέλους,

Δευτ. 31,25 - καὶ ἐνετείλατο τοῖς Λευίταις τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου λέγων·

Δευτ. 31,25 - διέταξέ τους Λευΐτας, τους μεταφέροντας την Κιβωτόν της Διαθήκης του Κυρίου λέγων·

Δευτ. 31,26 - λαβόντες τὸ βιβλίον τοῦ νόμου τούτου θήσετε αὐτὸ ἐκ πλαγίων τῆς κιβωτοῦ τῆς διαθήκης Κυρίου τοῦ Θεοῦ ὑμῶν, καὶ ἔσται ἐκεῖ ἐν σοὶ εἰς μαρτύριον.

Δευτ. 31,26 - “λάβετε το βιβλίον του Νομου τούτου και θέσατέ το παραπλεύρως της Κιβωτού της Διαθήκης Κυρίου του Θεού σας· εκεί θα είναι πάντοτε δια να μαρτυρή εις σας το θέλημα του Θεού. Θα είναι και μάρτυς κατηγορίας,

Δευτ. 31,27 - ὅτι ἐγὼ ἐπίσταμαι τὸν ἐρεθισμόν σου καὶ τὸν τράχηλόν σου τὸν σκληρόν· ἔτι γὰρ ἐμοῦ ζῶντος μεθ᾿ ὑμῶν σήμερον, παραπικραίνοντες ἦτε τὰ πρὸς τὸν Θεόν, πῶς οὐχὶ καὶ ἔσχατον τοῦ θανάτου μου;

Δευτ. 31,27 - διότι εγώ γνωρίζω ότι είσθε λαός ευερέθιστος και σκληροτράχηλος, αφού, ενώ εγώ ζω ακόμη μαζή σας μέχρι σήμερον, σεις επικραίνετε συνεχώς Κυριον τον Θεόν, πως και μετά τον θάνατόν μου δεν θα πράξετε τα ίδια;

Δευτ. 31,28 - ἐκκλησιάσατε πρός με τοὺς φυλάρχους ὑμῶν καὶ τοὺς πρεσβυτέρους ὑμῶν καὶ τοὺς κριτὰς ὑμῶν καὶ τοὺς γραμματοεισαγωγεῖς ὑμῶν, ἵνα λαλήσω εἰς τὰ ὦτα αὐτῶν πάντας τοὺς λόγους τούτους, καὶ διαμαρτύρωμαι αὐτοῖς τόν τε οὐρανὸν καὶ τὴν γῆν·

Δευτ. 31,28 - Συγκεντρώσατε ενώπιόν μου τους αρχηγούς των φυλών, τους πρεσβυτέρους σας, τους δικαστάς σας και τους γραμματείς σας, δια να ομιλήσω εις τα αυτιά των όλους αυτούς τους λόγους και να καλέσω τον ουρανόν και την γην μάρτυρας εναντίον των.

Δευτ. 31,29 - οἶδα γὰρ ὅτι ἔσχατον τῆς τελευτῆς μου ἀνομίᾳ ἀνομήσετε καὶ ἐκκλινεῖτε ἐκ τῆς ὁδοῦ, ἧς ἐνετειλάμην ὑμῖν, καὶ συναντήσεται ὑμῖν τὰ κακὰ ἔσχατον τῶν ἡμερῶν, ὅτι ποιήσετε τὰ πονηρὰ ἐναντίον Κυρίου παροργίσαι αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν ὑμῶν.

Δευτ. 31,29 - Γνωρίζω πολύ καλά ότι μετά τον θάνατόν μου θα παρανομήσετε, θα παρεκκλίνετε από τον δρόμον, τον οποίον εγώ σας έδωσα εντολήν να ακολουθήτε. Και το αποτέλεσμα θα είναι ότι θα σας εύρουν πολλαί συμφοραί έπειτα από ολίγον χρόνον, διότι θα διαπράξετε πονηρίας εναντίον του Κυρίου, ώστε να τον παροργίσετε με τα αμαρτωλά έργα των χειρών σας”.

Δευτ. 31,30 - καὶ ἐλάλησε Μωυσῆς εἰς τὰ ὦτα πάσης ἐκκλησίας τὰ ῥήματα τῆς ᾠδῆς ταύτης ἕως εἰς τέλος.

Δευτ. 31,30 - Μετά ταύτα ο Μωϋσής μίλησε εις τα αυτιά όλης της συγκεντρώσεως τα λόγια της επομένης ωδής μέχρι τέλους.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 32

Δευτ. 32,1 - Πρόσεχε οὐρανέ, καὶ λαλήσω, καὶ ἀκουέτω ἡ γῆ ῥήματα ἐκ στόματός μου.

Δευτ. 32,1 - Πρόσεχε ουρανέ, διότι θα ομιλήσω και ας ακούση η γη τα λόγια του στόματός μου.

Δευτ. 32,2 - προσδοκάσθω ὡς ὑετὸς τὸ ἀπόφθεγμά μου, καὶ καταβήτω ὡς δρόσος τὰ ῥήματά μου, ὡσεὶ ὄμβρος ἐπ᾿ ἄγνωστιν καὶ ὡσεὶ νιφετὸς

ἐπὶ χόρτον.

Δευτ. 32,2 - Οπως περιμένει η γη την βροχήν, έτσι και οι άνθρωποι ας περιμένουν τα βαθυστόχαστα αυτά λόγια μου. Ας κατεβούν εις την γην τα λόγια μου, όπως η δροσιά και η πλουσία βροχή εις την χλόην και όπως η χιών στο χάρτον.

Δευτ. 32,3 - ὅτι τὸ ὄνομα Κυρίου ἐκάλεσα· δότε μεγαλωσύνην τῷ Θεῷ ἡμῶν.

Δευτ. 32,3 - Διότι το όνομα του Κυρίου ανέφερα. Δοξάσατε και μεγαλύνατε τον Θεόν μας !

Δευτ. 32,4 - Θεός, ἀληθινὰ τὰ ἔργα αὐτοῦ, καὶ πᾶσαι αἱ ὁδοὶ αὐτοῦ κρίσεις· Θεὸς πιστός, καὶ οὐκ ἔστιν ἀδικία, δίκαιος καὶ ὅσιος Κύριος.

Δευτ. 32,4 - Αυτός είναι Θεός, του οποίου τα έργα είναι γνήσια και αληθινά και όλαι αι εντολαί του δίκαιαι. Είναι Θεός αξιόπιστος, δεν υπάρχει εις αυτόν τίποτε το άδικον. Ο Κυριος είναι δίκαιος και άγιος.

Δευτ. 32,5 - ἡμάρτοσαν οὐκ αὐτῷ τέκνα μωμητά, γενεὰ σκολιὰ καὶ διεστραμμένη.

Δευτ. 32,5 - Οι Ισραηλίται ημάρτησαν εναντίον του. Δια τούτο και δεν είναι ιδικά του παιδιά, είναι παιδιά γεμάτα πτώσεις και μομφάς, γενεά άδικος και διεστραμμένη.

Δευτ. 32,6 - ταῦτα Κυρίῳ ἀνταποδίδοτε; οὕτω λαὸς μωρὸς καὶ οὐχὶ σοφός; οὐκ αὐτὸς οὗτός σου πατὴρ ἐκτήσατό σε καὶ ἐποίησέ σε καὶ ἔπλασέ σε;

Δευτ. 32,6 - Αυτά λοιπόν ανταποδίδετε στον Κυριον; Τοσον πολύ μωρός λαός και ασύνετος είσθε; Ο Θεός αυτός δεν είναι ο πατήρ, ο οποίος σας έκαμε ιδικούς του υιούς, σας έδωσε ύπαρξιν και σας έπλασε;

Δευτ. 32,7 - μνήσθητε ἡμέρας αἰῶνος, σύνετε ἔτη γενεᾶς γενεῶν· ἐπερώτησον τὸν πατέρα σου, καὶ ἀναγγελεῖ σοι, τοὺς πρεσβυτέρους σου, καὶ ἐροῦσί σοι.

Δευτ. 32,7 - Ενθυμηθήτε τους περασμένους αιώνας, αναλογισθήτε τα έτη των περασμένων γενεών. Ρωτησε τον πατέρα σου και θα σου αναγγείλη ποίος είναι ο Θεός σου, ρώτησε τους γεροντοτέρους σου και αυτοί θα σου είπουν.

Δευτ. 32,8 - ὅτε διεμέριζεν ὁ Ὕψιστος ἔθνη, ὡς διέσπειρεν υἱοὺς Ἀδάμ, ἔστησεν ὅρια ἐθνῶν κατὰ ἀριθμὸν ἀγγέλων Θεοῦ,

Δευτ. 32,8 - Οτε ο Θεός διεμέριζε τα έθνη εις τα διάφορα μέρη της γης και ώριζε τας περιοχάς όπου θα μένουν, όταν διέσπειρε τους απογόνους του Αδάμ εις τα διάφορα σημεία της γης, καθώριζε και τα σύνορα των εθνών σύμφωνα με τον αριθμόν των αγγέλων, που θα ήσαν οι φύλακές των.

Δευτ. 32,9 - καὶ ἐγενήθη μερίς Κυρίου λαὸς αὐτοῦ Ἰακώβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.

Δευτ. 32,9 - Ο Ιακώβ όμως, οι Ισραηλίται που προήλθον από αυτόν, έγιναν το ιδιαίτερον μερίδιον του Κυρίου, λαός ως ιδιαιτέρα του κληρονομική μερίς.

Δευτ. 32,10 - αὐτάρκησεν αὐτὸν ἐν γῇ ἐρήμῳ, ἐν δίψει καύματος ἐν γῇ ἀνύδρῳ· ἐκύκλωσεν αὐτὸν καὶ ἐπαίδευσεν αὐτὸν καὶ διεφύλαξεν αὐτὸν ὡς κόρην ὀφθαλμοῦ,

Δευτ. 32,10 - Ο Θεός έκαμε τον λαόν αυτόν αυτάρκη εις περιοχήν έρημον και άγονον, και εν καιρώ δίψης και καύματος ηλίου εις την γην, εις τόπον ξηρόν και άνυδρον τους έδωσεν ύδωρ. Ωδήγησεν αυτούς κύκλω δια της ερήμου, τους επαιδαγώγησε με θλίψεις, τους διεφύλαξεν ωσάν κόρην οφθαλμού.

Δευτ. 32,11 - ὡς ἀετὸς σκεπάσαι νοσσιὰν αὐτοῦ καὶ ἐπὶ τοῖς νεοσσοῖς αὐτοῦ ἐπεπόθησε, διεὶς τὰς πτέρυγας αὐτοῦ ἐδέξατο αὐτοὺς καὶ ἀνέλαβεν αὐτοὺς ἐπὶ τῶ μεταφρένων αὐτοῦ.

Δευτ. 32,11 - Ο Θεός είναι σαν τον αετόν ο οποίος σκεπάζει και προστατεύει την φωλεάν του, αγαπά με πάθος τους νεοσσούς του και απλώσας τας πτέρυγάς του έλαβε και ετοποθέτησεν αυτούς επάνω εις την ράχιν του.

Δευτ. 32,12 - Κύριος μόνος ἦγεν αὐτοὺς καὶ οὐκ ἦν μετ᾽ αὐτῶν θεὸς ἀλλότριος.

Δευτ. 32,12 - Ο Κυριος, αυτός μόνος ωδηγούσε τους προπάτοράς μας και δεν υπήρχε ξένος Θεός μαζή με αυτούς.

Δευτ. 32,13 - ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, ἐψώμισεν αὐτοὺς γενήματα ἀγρῶν· ἐθήλασαν μέλι ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας,

Δευτ. 32,13 - Ανεβίβασεν αυτούς εις ισχυρά μέρη της γης, εις τα όρη της γης της Επαγγελίας, έδωκεν εις αυτούς άρτους τα γενήματα των αγρών. Εθήλασαν μέλι από βράχους και έλαιον από ελαιόδενδρα φυτευμένα εις πετρώδη βουνά.

Δευτ. 32,14 - βούτυρον βοῶν καὶ γάλα προβάτων μετὰ στέατος ἀρνῶν καὶ κριῶν, υἱῶν ταύρων καὶ τράγων, μετὰ στέατος νεφρῶν πυροῦ, καὶ αἷμα σταφυλῆς ἔπιον οἶνον.

Δευτ. 32,14 - Εφαγαν βούτυρον βοών, έπιαν γάλα προβάτων, εχόρτασαν με παχείς κριους και αμνούς, με μοσχάρια και τράγους· έφαγον μεστωμένον σίτον, όμοιον με λιπαρούς νεφρούς και σαν κατακόκκινον αίμα έπιαν κρασί από σταφύλια.

Δευτ. 32,15 - καὶ ἔφαγεν Ἰακὼβ καὶ ἐνεπλήσθη, καὶ ἀπελάκτισεν ὁ ἠγαπημένος, ἐλιπάνθη, ἐπαχύνθη, ἐπλατύνθη· καὶ ἐγκατέλιπε τὸν Θεὸν τὸν ποιήσαντα αὐτὸν καὶ ἀπέστη ἀπὸ Θεοῦ σωτῆρος αὐτοῦ.

Δευτ. 32,15 - Εφαγεν ο ισραηλιτικός λαός και εχόρτασε με το παραπάνω. Και όμως ο ηγαπημένος αυτός λαός εκλώτσησε τον Θεόν. Ελιπάνθη,

επαχύνθη, ηυξήθη εις λαόν πολύν και όμως εγκατέλιπε τον Θεόν τον δημιουργόν του και απεμακρύνθη από τον Θεόν τον σωτήρα του.

Δευτ. 32,16 - παρώξυνάν με ἐπ᾿ ἀλλοτρίοις, ἐν βδελύγμασιν αὐτῶν παρεπίκρανάν με·

Δευτ. 32,16 - Με παρώργισαν εναντίον των, διότι ελάτρευσαν ξένους θεούς, με κατεπίκραναν με τα αηδιαστικά είδωλα, που προσεκύνησαν.

Δευτ. 32,17 - ἔθυσαν δαιμονίοις καὶ οὐ Θεῷ, θεοῖς, οἷς οὐκ ᾔδεισαν· καινοὶ καὶ πρόσφατοι ἥκασιν, οὓς οὐκ ᾔδεισαν οἱ πατέρες αὐτῶν.

Δευτ. 32,17 - Προσέφεραν θυσίας εις τα δαιμόνια και όχι εις εμέ τον αληθινόν Θεόν, εις ειδωλολατρικούς θεούς, τους οποίους δεν εγνώριζον· ήσαν αυτοί θεοί καινούργιοι, που τώρα τελευταία έχουν έλθει, και τους οποίους δεν εγνώριζαν οι πρόγονοί των.

Δευτ. 32,18 - Θεὸν τὸν γεννήσαντά σε ἐγκατέλιπες καὶ ἐπελάθου Θεοῦ τοῦ τρέφοντός σε.

Δευτ. 32,18 - Αφήκες, ισραηλιτικέ λαέ, τον Θεόν που σε εγέννησε, και ελησμόνησες τον Θεόν που σε έθρεψε και σε τρέφει.

Δευτ. 32,19 - καὶ εἶδε Κύριος καὶ ἐζήλωσε καὶ παρωξύνθη δι᾿ ὀργὴν υἱῶν αὐτοῦ καὶ θυγατέρων

Δευτ. 32,19 - Και ο Θεός είδε την αγάπην και την λατρείαν σου προς τα είδωλα, εζηλοτύπησε και ωργίσθη με θυμόν μεγάλον εναντίον τέτοιων υιών και θυγατέρων,

Δευτ. 32,20 - καὶ εἶπεν· ἀποστρέψω τὸ πρόσωπόν μου ἀπ᾿ αὐτῶν καὶ δείξω τί ἔσται αὐτοῖς ἐπ᾿ ἐσχάτων ἡμερῶν· ὅτι γενεὰ ἐξεστραμμένη ἐστίν, υἱοί, οἷς οὐκ ἔστι πίστις ἐν αὐτοῖς.

Δευτ. 32,20 - και είπε· θα αποστρέψω το πρόσωπόν μου από αυτούς, θα φανερώσω εις αυτούς τι θα τους συμβή αργότερα εξ αιτίας της αποστασίας των, διότι είναι γενεά διεστραμμένη, υιοί από τους οποίους έχει λείψει η πίστις των προς εμέ.

Δευτ. 32,21 - αὐτοὶ παρεζήλωσάν με ἐπ᾿ οὐ Θεῷ, παρώξυνάν με ἐν τοῖς εἰδώλοις αὐτῶν· κἀγὼ παραζηλώσω αὐτοὺς ἐπ᾿ οὐκ ἔθνει, ἐπὶ ἔθνει ἀσυνέτῳ παροργιῶ αὐτούς.

Δευτ. 32,21 - Αυτοί έγιναν αιτία να ζηλοτυπήσω, διότι ελάτρευσαν ανύπαρκτον Θεόν, με εξηρέθισαν να οργισθώ, διότι ελάτρευσαν τα είδωλα. Θα τους κάμω και εγώ να ζηλοτυπήσουν παραδίδων αυτούς δούλους εις ειδωλολατρικά έθνη, θα τους κάμω να δυσφορήσουν και αγανακτήσουν, όταν τους παραδώσω εις βάρβαρον ειδωλολατρικόν έθνος.

Δευτ. 32,22 - ὅτι πῦρ ἐκκέκαυται ἐκ τοῦ θυμοῦ μου, καυθήσεται ἕως ᾅδου κάτω, καταφάγεται γῆν καὶ τὰ γενήματα αὐτῆς, φλέξει θεμέλια ὀρέων.

Δευτ. 32,22 - Διότι άναψε πλέον η φωτιά του θυμού μου· το πυρ της οργής μου θα φθάση κάτω έως στον άδην, θα καταφάγη την γην και τα προϊόντα της, θα καταφλέξη και θα ζώση με φλόγες τα θεμέλια των ορέων.

Δευτ. 32,23 - συνάξω εἰς αὐτοὺς κακὰ καὶ τὰ βέλη μου συντελέσω εἰς αὐτούς.

Δευτ. 32,23 - Πολυαρίθμους θα επισωρεύσω εναντίον των θλίψεις και συμφοράς· θα εξαντλήσω τα βέλη μου κτυπών αυτούς.

Δευτ. 32,24 - τηκόμενοι λιμῷ καὶ βρώσει ὀρνέων καὶ ὀπισθότονος ἀνίατος· ὀδόντας θηρίων ἐπαποστελῶ εἰς αὐτοὺς μετὰ θυμοῦ συρόντων ἐπὶ γῆν.

Δευτ. 32,24 - Θα λυώνουν από την πείναν, θα γίνουν τροφή εις τα όρνεα, θα συσπάται οδυνηρώς και αθεραπεύτως η ράχις των. Θηρία που θα τρίζουν τα δόντια των θα στείλω εναντίον των· δηλητηριώδη ερπετά εξερεθισμένα θα σύρωνται εις την γην των, δια να τους πλήξουν.

Δευτ. 32,25 - ἔξωθεν ἀτεκνώσει αὐτοὺς μάχαιρα καὶ ἐκ τῶν ταμιείων φόβος· νεανίσκος σὺν παρθένῳ, θηλάζων μετὰ καθεστηκότος πρεσβύτου.

Δευτ. 32,25 - Εξω από τας οικίας των η εχθρική μάχαιρα θα αφήση τους γονείς χωρίς τέκνα, μέσα εις τα σπίτια θα κυριαρχή ο φόβος. Τρομοκρατημένοι θα είναι ο νεανίσκος και η παρθένος, το βρέφος που θηλάζει και ο γέρων της προχωρημένης ηλικίας.

Δευτ. 32,26 - εἶπα· διασπερῶ αὐτούς, παύσω δὲ ἐξ ἀνθρώπων τὸ μνημόσυνον αὐτῶν,

Δευτ. 32,26 - Είχα πει και αποφασίσει να διασκορπίσω αυτούς ανάμεσα εις τα έθνη και να εξαλείψω την ανάμνησίν των μεταξύ των ανθρώπων.

Δευτ. 32,27 - εἰ μὴ δι᾿ ὀργὴν ἐχθρῶν, ἵνα μὴ μακροχρονίσωσιν, ἵνα μὴ συνεπιθῶνται οἱ ὑπεναντίοι, μὴ εἴπωσιν· ἡ χεὶρ ἡμῶν ἡ ὑψηλὴ καὶ οὐχὶ Κύριος ἐποίησε ταῦτα πάντα.

Δευτ. 32,27 - Και θα επραγματοποίουν αυτήν μου την απόφασιν, εάν δεν είχα οργισθή εναντίον των εχθρών των. Δεν θέλω να γίνουν οι εχθροί των μακροχρονιώτεροι και ισχυρότεροι από αυτούς, δια να μη καυχώνται και λέγουν· Η ιδική μας μεγάλη δύναμις επέφερε κατά των Ισραηλιτών αυτάς τας καταστροφάς και όχι ο Κυριος.

Δευτ. 32,28 - ὅτι ἔθνος ἀπολωλεκὸς βουλήν ἐστι, καὶ οὐκ ἔστιν ἐν αὐτοῖς ἐπιστήμη.

Δευτ. 32,28 - Ο ισραηλιτικός λαός έχει χάσει τα λογικά του, έχασε την ορθοφροσύνην του, δεν γνωρίζει τι πράττει.

Δευτ. 32,29 - οὐκ ἐφρόνησαν συνιέναι ταῦτα· καταδεξάσθωσαν εἰς τὸν ἐπιόντα χρόνον.

Δευτ. 32,29 - Δεν θέλησαν να συνετισθούν και να κατανοήσουν αυτά. Ας υποστούν λοιπόν κατά τον επακολουθούντα καιρόν τας συνεπείας της αφροσύνης και πονηρίας των.

Δευτ. 32,30 - πῶς διώξεται εἷς χιλίους καὶ δύο μετακινήσουσι μυριάδας, εἰ μὴ ὁ Θεὸς ἀπέδοτο αὐτοὺς καὶ Κύριος παρέδωκεν αὐτούς;

Δευτ. 32,30 - Είναι άφρονες, διότι δεν εννοούν, πως είναι δυνατόν ένας εχθρός να καταδιώξη χιλίους άνδρας του Ισραήλ, και δύο εχθροί να τρέψουν εις φυγήν δεκάδας χιλιάδων Ισραηλίτας, εάν δεν εγκατέλιπεν αυτούς ο Κυριος και δεν τους παρέδιδεν στους εχθρούς των;

Δευτ. 32,31 - ὅτι οὐκ εἰσὶν ὡς ὁ Θεὸς ἡμῶν οἱ θεοὶ αὐτῶν· οἱ δὲ ἐχθροὶ ἡμῶν ἀνόητοι.

Δευτ. 32,31 - Διάτι ο Θεός μας δεν είναι ανίσχυρος, σαν τους θεούς των ειδωλολατρών· οι εχθροί μας είναι ανόητοι και δεν ημπορούν να ίδουν και να εννοήσουν αυτά.

Δευτ. 32,32 - ἐκ γὰρ ἀμπέλου Σοδόμων ἡ ἄμπελος αὐτῶν, καὶ ἡ κληματὶς αὐτῶν ἐκ Γομόῤῥας· ἡ σταφυλὴ αὐτῶν σταφυλὴ χολῆς, βότρυς πικρίας αὐτοῖς·

Δευτ. 32,32 - Αμπελος ιδική μου ήτο ο ισραηλιτικός λαός· τώρα όμως είναι αμπέλι που προέρχεται από τα διεφθαρμένα Σοδομα, τα κλήματά των από την διεφθαρμένην Γομόρραν. Ο καρπός της αποστασίας των, τα σταφύλια της αμπέλου αυτής, είναι χολή και πικρία.

Δευτ. 32,33 - θυμὸς δρακόντων ὁ οἶνος αὐτῶν καὶ θυμὸς ἀσπίδων ἀνίατος.

Δευτ. 32,33 - Ο οίνος των τους μεθά και τους εξερεθίζει μέχρι του θυμού δρακόντων, τους επιφέρει αθεράπευτον θυμόν σαν της εξωργισμένης οχιάς.

Δευτ. 32,34 - οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ᾿ ἐμοὶ καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου;

Δευτ. 32,34 - Μηπως τάχα αι αποστασίαι αυταί και αι συνέπειαί των δεν έχουν συγκεντρωθή και καταγραφή εις βιβλίον που έχει σφραγισθή και αποτεθή στους θησαυρούς μου;

Δευτ. 32,35 - ἐν ἡμέρᾳ ἐκδικήσεως ἀνταποδώσω, ἐν καιρῷ, ὅταν σφαλῇ ὁ ποῦς αὐτῶν, ὅτι ἐγγὺς ἡμέρα ἀπωλείας αὐτοῖς, καὶ πάρεστιν ἕτοιμα ὑμῖν.

Δευτ. 32,35 - Αναμφιβόλως θα τιμωρήσω αυτούς εις ημέραν, που θα εκδηλωθή η οργή μου, όταν θα σκοντάψουν τα πόδια των. Πλησιάζει η ημέρα της καταστροφής των, όλα είναι έτοιμα δια την τιμωρίαν των.

Δευτ. 32,36 - ὅτι κρινεῖ Κύριος τὸν λαὸν αὐτοῦ καὶ ἐπὶ τοῖς δούλοις αὐτοῦ παρακληθήσεται· εἶδε γὰρ παραλελυμένους αὐτοὺς καὶ ἐκλελοιπότας ἐν ἐπαγωγῇ καὶ παρειμένους.

Δευτ. 32,36 - Ο δίκαιος Θεός θα κρίνη και θα τιμωρήση τον λαόν του και θα πάρη ικανοποίησιν εν τη δικαιοσύνη του από τους αποοτατήσαντας δούλους του· διότι θα τους ίδη παραλελυμένους λιπόψυχους και εξηντλημένους από την εξορίαν, εγκαταλελειμμένουν και απροστατεύτους.

Δευτ. 32,37 - καὶ εἶπε Κύριος· ποῦ εἰσιν οἱ θεοὶ αὐτῶν, ἐφ᾿ οἷς ἐπεποίθεισαν ἐπ᾿ αὐτοῖς;

Δευτ. 32,37 - Και ο Κυριος θα είπη τότε· που είναι οι θεοί των, στους οποίους είχον πεποίθησιν;

Δευτ. 32,38 - ὧν τὸ στέαρ τῶν θυσιῶν αὐτῶν ἠσθίετε καὶ ἐπίνετε τὸν οἶνον τῶν σπονδῶν αὐτῶν; ἀναστήτωσαν καὶ βοηθησάτωσαν ὑμῖν καὶ γενηθήτωσαν ὑμῖν σκεπασταί.

Δευτ. 32,38 - Που είναι οι θεοί, των οποίων το λίπος των θυσιών των ετρώγατε και τον οίνον των σπονδών των επίνατε; Ας σηκωθούν τώρα, ας σας βοηθήσουν, ας γίνουν προστάται σας !

Δευτ. 32,39 - ἴδετε ἴδετε ὅτι ἐγώ εἰμι, καὶ οὐκ ἔστι Θεὸς πλὴν ἐμοῦ· ἐγὼ ἀποκτενῶ καὶ ζῆν ποιήσω, πατάξω κἀγὼ ἰάσομαι, καὶ οὐκ ἔστιν ὃς ἐξελεῖται ἐκ τῶν χειρῶν μου.

Δευτ. 32,39 - Ιδέτε καλά, ιδέτε ότι εγώ είμαι ο αληθινός Θεός και δεν υπάρχει άλλος Θεός εκτός από εμέ. Εγώ θανατώνω και εγώ ζωοποιώ· εγώ θα πλήξω και εγώ θα θεραπεύσω. Δεν υπάρχει κανείς οποίος θα ημπορέση να βγάλη άνθρωπον από τα χέρια μου.

Δευτ. 32,40 - ὅτι ἀρῶ εἰς τὸν οὐρανὸν τὴν χεῖρά μου καὶ ὀμοῦμαι τῇ δεξιᾷ μου καὶ ἐρῶ· ζῶ ἐγὼ εἰς τὸν αἰῶνα,

Δευτ. 32,40 - Σηκώνω στον ουρανόν το χέρι μου, ορκίζομαι εις την υψωμένην παντοδύναμον δεξιάν μου και λέγω· Εγώ είμαι ο αιώνιος και αναλλοίωτος Θεός.

Δευτ. 32,41 - ὅτι παροξυνῶ ὡς ἀστραπὴν τὴν μάχαιράν μου, καὶ ἀνθέξεται κρίματος ἡ χείρ μου, καὶ ἀποδώσω δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσί με ἀνταποδώσω·

Δευτ. 32,41 - Ορκίζομαι ότι θα κάμω κοπτεράν την μάχαιράν μου ωσάν την αστραπήν, ότι το χέρι μου θα αποστείλη την δικαίαν τιμωρίαν κατά πάσης κακίας· θα τιμωρήσω τους εχθρούς και θα ανταποδώσω ο,τι πρέπει εις εκείνους, που με μισούν.

Δευτ. 32,42 - μεθύσω τὰ βέλη μου ἀφ᾿ αἵματος, καὶ ἡ μάχαιρά μου φάγεται κρέα, ἀφ᾿ αἵματος τραυματιῶν καὶ αἰχμαλωσίας, ἀπὸ κεφαλῆς ἀρχόντων ἐχθρῶν.

Δευτ. 32,42 - Τα βέλη μου θα μεθύσουν από το αίμα, που θα χυθή, η μάχαιρά μου θα φάγη κρέατα αμαρτωλών, θα ικανοποιηθή η δικαιοσύνη μου από το αίμα των φονευομένων και των αιχμαλώτων, από κεφάλια αρχόντων, που θα πέσουν.

Δευτ. 32,43 - εὐφράνθητε, οὐρανοί, ἅμα αὐτῷ, καὶ προσκυνησάτωσαν αὐτῷ πάντες ἄγγελοι Θεοῦ· εὐφράνθητε, ἔθνη μετὰ τοῦ λαοῦ αὐτοῦ, καὶ ἐνισχυσάτωσαν αὐτῷ πάντες υἱοὶ Θεοῦ· ὅτι τὸ αἷμα τῶν υἱῶν αὐτοῦ ἐκδικᾶται, καὶ ἐκδικήσει καὶ ἀνταποδώσει δίκην τοῖς ἐχθροῖς καὶ τοῖς μισοῦσιν ἀνταποδώσει, καὶ ἐκκαθαριεῖ Κύριος τὴν γῆν τοῦ λαοῦ αὐτοῦ.

Δευτ. 32,43 - Δια την απόδοσιν αυτήν της δικαιοσύνης ας χαρούν οι ουρανοί μαζή με τον Κυριον, ας προσκυνήσουν αυτόν όλοι οι άγγελοί του. Χαρήτε λαοί μαζή με τον λαόν του Θεού· ας ενισχύσουν τον λαόν του Θεού

όλοι όσοι είναι υιοί του Θεού, διότι ο Θευς εκδικείται το αίμα των υιών του. Θα αποδώση το δίκαιον, θα τιμωρήση τους εχθρούς του και στους μισούντας αυτόν θα ανταποδώση κατά τα έργα των και έτσι θα καθαρίση την χώραν του λαού του από τα κακά στοιχεία”.

Δευτ. 32,44 - Καὶ ἔγραψε Μωυσῆς τὴν ᾠδὴν ταύτην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἐδίδαξεν αὐτὴν τοὺς υἱοὺς Ἰσραήλ. καὶ εἰσῆλθε Μωυσῆς καὶ ἐλάλησε πάντας τοὺς λόγους τοῦ νόμου τούτου εἰς τὰ ὦτα τοῦ λαοῦ, αὐτὸς καὶ Ἰησοῦς ὁ τοῦ Ναυή.

Δευτ. 32,44 - Αυτήν την ωδήν την έγραψεν ο Μωϋσής κατά την ημέραν εκείνην και την εδίδαξεν στους Ισραηλίτας. Εισήλθε δε στον ισραηλιτικόν λαόν και είπε εις τα αυτιά του λαού, αυτός και ο Ιησούς του Ναυή, όλους τους λόγους του νόμου τούτου.

Δευτ. 32,45 - καὶ συνετέλεσε Μωυσῆς λαλῶν παντὶ Ἰσραήλ.

Δευτ. 32,45 - Ετελείωσεν έτσι ο Μωϋσής ομιλών προς τους Ισραηλίτας.

Δευτ. 32,46 - καὶ εἶπε πρὸς αὐτούς· προσέχετε τῇ καρδίᾳ ἐπὶ πάντας τοὺς λόγους τούτους, οὓς ἐγὼ διαμαρτύρομαι ὑμῖν σήμερον, ἃ ἐντελεῖσθε τοῖς υἱοῖς ὑμῶν φυλάσσειν καὶ ποιεῖν πάντας τοὺς λόγους τοῦ νόμου τούτου·

Δευτ. 32,46 - Ομως προσέθεσε προς αυτούς και τα εξής· “δώσατε προσοχήν από την καρδιά σας εις όλους τους λόγους αυτούς, τους οποίους εγώ σήμερον κατά τον πλέον επίσημον και έντονον τρόπο σας ανεκοίνωσα, ότι θα διατάξετε τα παιδιά σας να φυλάσσουν και να τηρούν όλους τους λόγους του Νομου τούτου.

Δευτ. 32,47 - ὅτι οὐχὶ λόγος κενὸς οὗτος ὑμῖν, ὅτι αὕτη ἡ ζωὴ ὑμῶν, καὶ ἕνεκεν τοῦ λόγου τούτου μακροημερεύσετε ἐπὶ τῆς γῆς, εἰς ἣν ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην ἐκεῖ κληρονομῆσαι αὐτήν.

Δευτ. 32,47 - Διότι δεν είναι λόγος αυτός κενός και μάταιος, αλλά αυτή αύτη η ζωη σας· διότι εφ' όσον θα εφαρμόσετε τον νόμον τούτον του Θεού, θα μακροημερεύσετε ασφαλείς και ευτυχείς εις την γην, δια την κληρονομίαν της οποίας τώρα διαβαίνετε τον Ιορδάνην.

Δευτ. 32,48 - Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἐν τῇ ἡμέρᾳ ταύτῃ λέγων·

Δευτ. 32,48 - Και ο Κυριος ωμίλησε προς τον Μωϋσήν κατά την ημέραν εκείνην λέγων·

Δευτ. 32,49 - ἀνάβηθι εἰς τὸ ὄρος τὸ Ἀβαρὶμ τοῦτο, ὄρος Ναβαῦ, ὅ ἐστιν ἐν γῇ Μωὰβ κατὰ πρόσωπον Ἱεριχώ, καὶ ἰδὲ τὴν γῆν Χαναάν, ἣν ἐγὼ δίδωμι τοῖς υἱοῖς Ἰσραήλ, εἰς κατάσχεσιν,

Δευτ. 32,49 - “ανέβα εις την οροσειράν αυτήν Αβαρίμ, στο όρος Ναβαύ, που υπάρχει εις την χώραν Μωάβ, απέναντι από την Ιεριχώ, και ιδέ την γην Χαναάν, την οποίαν εγώ δίδω στους Ισραηλίτας προς κατάκτησιν,

Δευτ. 32,50 - καὶ τελεύτα ἐν τῷ ὄρει, εἰς ὃ ἀναβαίνεις ἐκεῖ, καὶ προστέθητι πρὸς τὸν λαόν σου, ὃν τρόπον ἀπέθανεν Ἀαρὼν ὁ ἀδελφός σου ἐν ῍Ωρ τῷ ὄρει, καὶ προσετέθη πρὸς τὸν λαὸν αὐτοῦ,

Δευτ. 32,50 - και απόθανε εκεί επάνω στο όρος που θα ανεβής, και έτσι θα πρσατεθής στον λαόν σου, όπως και ο Ααρών ο αδελφός σου, ο οποίος απέθανεν στο όρος Ωρ, και προσετέθη στον λαόν του.

Δευτ. 32,51 - ὅτι ἠπειθήσατε τῷ ῥήματί μου ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἐπὶ τοῦ ὕδατος ἀντιλογίας Κάδης ἐν τῇ ἐρήμῳ Σίν, διότι οὐχ ἡγιάσατέ με ἐν τοῖς υἱοῖς Ἰσραήλ·

Δευτ. 32,51 - Αποθνήσκετε, συ και ο Ααρών, χωρίς να εισέλθετε εις την γην της Επαγγελίας, διότι παρηκούσατε την εντολήν μου ενώπιον των Ισραηλιτών εις την θέσιν “ύδωρ αναλογίας”, που ευρίσκεται εις Καδης μέσα εις την έρημον Σιν. Εδείξατε ανυπακοήν και δεν με εδοξάσατε ενώπιον των Ισραηλιτών.

Δευτ. 32,52 - ὅτι ἀπέναντι ὄψῃ τὴν γῆν καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ.

Δευτ. 32,52 - Ανέβα λοιπόν στο όρος, διότι από εκεί θα ίδης την γην της Επαγγελίας, εις την οποίαν όμως δεν θα εισέλθης”.

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 33

Δευτ. 33,1 - Καὶ αὕτη ἡ εὐλογία ἣν ηὐλόγησε Μωυσῆς ἄνθρωπος τοῦ Θεοῦ τοὺς υἱοὺς Ἰσραὴλ πρὸ τῆς τελευτῆς αὐτοῦ·

Δευτ. 33,1 - Αυτή δε είναι η ευλογία, με την οποίαν ο Μωϋσής, ο άνθρωπος του Θεού, ευλόγησε τους Ισραηλίτας προ της τελευτής του,

Δευτ. 33,2 - καὶ εἶπε· Κύριος ἐκ Σινὰ ἥκει καὶ ἐπέφανεν ἐκ Σηεὶρ ἡμῖν καὶ κατέσπευσεν ἐξ ὄρους Φαρὰν σὺν μυριάσι Κάδης, ἐκ δεξιῶν αὐτοῦ ἄγγελοι μετ᾽ αὐτοῦ.

Δευτ. 33,2 - και είπε· “ο Κυριος ήλθεν από το όρος Σινά, έλαμψεν η παρουσία του προς σας στο όρος Σηείρ, έφθασε ταχέως στο οροπέδιον Φαράν, εφάνηκε με τας μυριάδας των αγγέλων του ως συνοδούς του εις Καδης· μαζή του και εκ δεξιών του υπήρχον τα τάγματα των αγγέλων.

Δευτ. 33,3 - καὶ ἐφείσατο τοῦ λαοῦ αὐτοῦ, καὶ πάντες οἱ ἡγιασμένοι ὑπὸ τὰς χεῖράς σου· καὶ οὗτοι ὑπὸ σέ εἰσι, καὶ ἐδέξατο ἀπὸ τῶν λόγων αὐτοῦ

Δευτ. 33,3 - Ελυπήθη ο Κυριος τον λαόν του και τον έσωσε. Ολοι αυτοί οι Ισραηλίται, οι αφιερωμένοι εις σέ, ευρίσκονται υπό την προστασίαν σου· επήραν από το στόμα αυτού του Θεού

Δευτ. 33,4 - νόμον, ὃν ἐνετείλατο ἡμῖν Μωυσῆς, κληρονομίαν συναγωγαῖς Ἰακώβ.

Δευτ. 33,4 - νόμον, τον οποίον διέταξεν ο Μωϋσής εις ημάς ως πολύτιμον πνευματικήν κληρονομίαν δια τας φυλάς του Ιακώβ.

Δευτ. 33,5 - καὶ ἔσται ἐν τῷ ἠγαπημένῳ ἄρχων, συναχθέντων ἀρχόντων λαῶν ἅμα φυλαῖς Ἰσραήλ.

Δευτ. 33,5 - Αυτός ο Θεός θα είναι άρχων του ηγαπημένου του ισραηλιτικού λαού τώρα, αλλά και όταν αι φυλαί του Ισραήλ και οι άρχοντές των συναχθούν εις την γην της Επαγγελίας.

Δευτ. 33,6 - ζήτω Ῥουβὴν καὶ μὴ ἀποθανέτω καὶ ἔστω πολὺς ἐν ἀριθμῷ.

Δευτ. 33,6 - Ας ζη η φυλή του Ρουβήμ και ας μη αποθάνη και πολυάριθμοι ας είναι οι απόγονοί της.

Δευτ. 33,7 - καὶ αὕτη Ἰούδα. εἰσάκουσον, Κύριε, φωνῆς Ἰούδα, καὶ εἰς τὸν λαὸν αὐτοῦ εἰσέλθοισαν· αἱ χεῖρες αὐτοῦ διακρινοῦσιν αὐτῷ, καὶ βοηθὸς ἐκ τῶν ἐχθρῶν αὐτοῦ ἔσῃ.

Δευτ. 33,7 - Ιδού και η ευλογία του Ιούδα· Ακουσον, Κυριε, την δέησιν του Ιούδα. Ας ενταχθή και η φυλή αυτή στον λαόν του Θεού, τα χέρια των ανδρών αυτής θα διοικούν τον λαόν και συ ο Θεός θα είσαι βοηθός του λαού αυτού εναντίον των εχθρών του".

Δευτ. 33,8 - καὶ τῷ Λευὶ εἶπε· δότε Λευὶ δήλους αὐτοῦ καὶ ἀλήθειαν αὐτοῦ, τῷ ἀνδρὶ τῷ ὁσίῳ, ὃν ἐπείρασαν αὐτὸν ἐν πείρᾳ, ἐλοιδόρησαν αὐτὸν ἐπὶ ὕδατος ἀντιλογίας·

Δευτ. 33,8 - Δια δε την φυλήν του Λευϊ είπεν ο Μωϋσής· "δώσατε στον από την φυλήν του Λευϊ καταγόμενον όσιον άνδρα, στον Ααρών τον οποίον οι Ισραηλίται έθλιψαν στον τόπον του "Πειρασμού", τον ενέπαιξαν στο "Υδωρ της αντιλογίας", δώσατε ως αρχιερατικά διάσημά του την "Δηλωσιν" και την "Αλήθειαν".

Δευτ. 33,9 - ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί· οὐχ ἑώρακά σε, καὶ τοὺς ἀδελφοὺς αὐτοῦ οὐκ ἐπέγνω καὶ τοὺς υἱοὺς αὐτοῦ ἀπέγνω· ἐφύλαξε τὰ λόγιά σου καὶ τὴν διαθήκην σου διετήρησε.

Δευτ. 33,9 - Η φυλή του Λευϊ γεμάτη ιερόν ζήλον είπε κατά την κατασκευήν του χρυσού μόσχου, προς τους στενωτάτους συγγενείς, τα τέκνα προς τον πατέρα και την μητέρα· Δεν σε έχω ίδει άλλην φοράν· προς τους αδελφούς· Δεν σας αναγνωρίζω ως αδελφούς· και προς τους υιούς· σας απαρνούμαι. Η φυλή του Λευϊ με την σαμπεριφοράν της αυτήν εφύλαξε τα λόγια σου, ετήρησε την διαθήκην σου.

Δευτ. 33,10 - δηλώσουσι τὰ δικαιώματά σου τῷ Ἰακὼβ καὶ τὸν νόμον σου τῷ Ἰσραήλ· ἐπιθήσουσι θυμίαμα ἐν ὀργῇ σου διὰ παντὸς ἐπὶ τὸ θυσιαστήριόν σου.

Δευτ. 33,10 - Οι Λευΐται θα διδάξουν και θα κάμουν γνωστά στους Ισραηλίτας τας εντολάς και τους νόμους σου αυτοί θα θέτουν θυμίαμα πάντοτε στο θυσιαστήριόν σου, δια να σε εξευμενίζουν, όταν δικαίως οργίζεσαι κατά των Ισραηλιτών.

Δευτ. 33,11 - εὐλόγησον, Κύριε, τὴν ἰσχὺν αὐτοῦ καὶ τά ἔργα τῶν χειρῶν αὐτοῦ δέξαι· κάταξον ὀσφὺν ἐχθρῶν ἐπανεστηκότων αὐτῷ, καὶ οἱ μισοῦντες αὐτὸν μὴ ἀναστήτωσαν.

Δευτ. 33,11 - Ευλόγησε λοιπόν, Κυριε, και ενίσχυσε την δύναμιν της φυλής αυτής και πρόσδεξαι τας θυσίας των χειρών των. Συντριψε την σπονδυλικήν στήλην των εχθρών της, οι οποίοι ήθελον επαναστατήσει εναντίον αυτής. Οσοι δε μισούν αυτήν την φυλήν ας μη σηκωθούν ποτέ από το χώμα".

Δευτ. 33,12 - καὶ τῷ Βενιαμὶν εἶπεν· ἠγαπημένος ὑπὸ Κυρίου κατασκηνώσει πεποιθώς, καὶ ὁ Θεὸς σκιάζει ἐπ᾿ αὐτῷ πάσας τὰς ἡμέρας, καὶ ἀνὰ μέσον τῶν ὤμων αὐτοῦ κατέπαυσε.

Δευτ. 33,12 - Εις δε την φυλήν Βενιαμίν είπε· "αγαπημένη από τον Θεόν αυτή η φυλή θα κατοική με πίστιν και πεποίθησιν, ο δε Θεός θα σκεπάζη προστατευτικώς αυτήν όλας τας ημέρας και ασφαλή θα την φέρη στον ωμόν του και θα την αναπαύση".

Δευτ. 33,13 - καὶ τῷ Ἰωσὴφ εἶπεν· ἀπ᾿ εὐλογίας Κυρίου ἡ γῆ αὐτοῦ, ἀπὸ ὡρῶν οὐρανοῦ καὶ δρόσου καὶ ἀπὸ ἀβύσσων πηγῶν κάτωθεν

Δευτ. 33,13 - Εις δε την φυλήν του Ιωσήφ είπε· "ευλογημένη από τον Κυριον και πλουσία θα είναι η χώρα της φυλής αυτής· θα απολαμβάνη τας δωρεάς των εποχών του ουρανού, την ευεργετικήν δρόσον και τα πηγαία ύδατα, που θα αναβλύζουν από την γην.

Δευτ. 33,14 - καὶ καθ᾿ ὥραν γενημάτων ἡλίου τροπῶν καὶ ἀπὸ συνόδων μηνῶν,

Δευτ. 33,14 - Από τα προϊόντα εκάστης εποχής, η οποία θα κανονίζεται από τας θέσστου ηλίου και την διαδοχήν των μηνών,

Δευτ. 33,15 - ἀπὸ κορυφῆς ὀρέων ἀρχῆς καὶ ἀπὸ κορυφῆς βουνῶν ἀενάων

Δευτ. 33,15 - από τους καρπούς της κορυφής αιωνοβίων ορέων, από τους καρπούς αρχαιοτάτων λόφων·

Δευτ. 33,16 - καὶ καθ᾿ ὥραν γῆς πληρώσεως. καὶ τὰ δεκτὰ τῷ ὀφθέντι ἐν τῇ βάτῳ ἔλθοισαν ἐπὶ κεφαλὴν Ἰωσήφ, καὶ ἐπὶ κορυφῆς δοξασθεὶς ἐπ᾿ ἀδελφοῖς.

Δευτ. 33,16 - εις εκάστην εποχήν η χώρα της φυλής αυτής θα είναι γεμάτη από αγαθά. Και κάθε τι άλλο ευάρεστον στον Θεόν, ο οποίος είχε παρουσιασθή εις την βάτον, ας έλθη ως ευλογία εις την κεφαλήν του Ιωσήφ, εις την φυλήν εκείνου ο οποίος είχε δοξασθή μεταξύ των αδελφών του.

Δευτ. 33,17 - πρωτότοκος ταύρου τὸ κάλλος αὐτοῦ, κέρατα μονοκέρωτος τὰ κέρατα αὐτοῦ· ἐν αὐτοῖς ἔθνη κερατιεῖ ἅμα ἕως ἀπ᾿ ἄκρου γῆς. αὗται μυριάδες Ἐφραΐμ, καὶ αὗται χιλιάδες Μανασσῆ.

Δευτ. 33,17 - Θα είναι ρωμαλέα και ωραία ωσάν τον πρωτότοκον μόσχον ταύρου, η δύναμίς της, ωσάν την δύναμιν του μονοκέρωτος. Με την ισχύν της θα καταβάλη συγχρόνως λαούς μέχρι των άκρων της γης. Τέτοιοι θα είναι οι αναρίθμητοι απόγονοι της φυλής του Εφραίμ και τέτοιοι θα είναι αι χιλιάδες απόγονοι του Μανασσή, των δύο αυτών τέκνων του Ιωσήφ".

Δευτ. 33,18 - καὶ τῷ Ζαβουλὼν εἶπεν· εὐφράνθητι, Ζαβουλών, ἐν ἐξοδίᾳ σου καὶ Ἰσσάχαρ ἐν τοῖς σκηνώμασιν αὐτοῦ.

Δευτ. 33,18 - Δια δε την φυλήν του Ζαβουλών είπεν· "ας ευφρανθή ο Ζαβουλών με τα ταξίδια και τας συναλλαγάς του προς άλλους λαούς και ο Ισσάχαρ εις τας αγροτικάς του περιοχάς.

Δευτ. 33,19 - ἔθνη ἐξολοθρεύσουσι, καὶ ἐπικαλέσεσθε ἐκεῖ καὶ θύσετε ἐκεῖ θυσίαν δικαιοσύνης, ὅτι πλοῦτος θαλάσσης θηλάσει σε καὶ ἐμπόρια παράλιον κατοικούντων.

Δευτ. 33,19 - Πολλούς εχθρικούς λαούς θα καταστρέψουν αι δύο αυταί φυλαί. Εις τα μέρη εκείνα θα προσφέρετε θυσίαν δικαιοσύνης προς τον Θεόν και θα επικαλήσθε το όνομά του. Θα απολαύσετε τον πλούτον της θαλάσσης και το εμπόριον αυτών, που κατοικούν εις τας παραλίας".

Δευτ. 33,20 - καὶ τῷ Γὰδ εἶπεν· εὐλογημένος ἐμπλατύνων Γάδ· ὡς λέων ἐνεπαύσατο, συντρίψας βραχίονα καὶ ἄρχοντα.

Δευτ. 33,20 - Δια την φυλήν του Γαδ είπε· "δοξασμένος ας είναι ο Θεός, ο οποίος ευρύνει την περιοχήν της φυλής Γαδ. Η φυλή αυτή, αφού ως λέων συνέτριψεν εχθρικάς χείρας και άρχοντας λαών, ανεπαύθη.

Δευτ. 33,21 - καὶ εἶδεν ἀπαρχὴν αὐτοῦ, ὅτι ἐκεῖ ἐμερίσθη γῆ ἀρχόντων συνηγμένων ἅμα ἀρχηγοῖς λαῶν· δικαιοσύνην Κύριος ἐποίησε καὶ κρίσιν αὐτοῦ μετὰ Ἰσραήλ.

Δευτ. 33,21 - Είδε και επροτίμησε τας πρώτας ευφόρους κατακτήσεις των Ισραηλιτών ανατολικώς του Ιορδάνου, έλαβεν ως μερίδιόν της αυτήν την γην εις συγκέντρωσιν των αρχόντων του Ισραήλ, του Μωϋσέως και του Ιησού του Ναυή μαζή με τους αρχηγούς των φυλών. Ο Κυριος δικαίαν κρίσιν και απόφασιν έκαμε δια την φυλήν αυτήν, όπως και αυτή δικαίως και φιλαδέλφως έφερθη προς τας άλλας φυλάς".

Δευτ. 33,22 - καὶ τῷ Δὰν εἶπε· Δὰν σκύμνος λέοντος καὶ ἐκπηδήσεται ἐκ τοῦ Βασάν.

Δευτ. 33,22 - Δια την φυλήν Δαν είπε· "η φυλή Δαν είναι νεαρός λέων, ορμά από την χώραν Βασάν".

Δευτ. 33,23 - καὶ τῷ Νεφθαλὶ εἶπε· Νεφθαλὶ πλησμονὴ δεκτῶν καὶ ἐμπλησθήτω εὐλογίας παρὰ Κυρίου· θάλασσαν καὶ λίβα κληρονομήσει.

Δευτ. 33,23 - Δια την φυλήν του Νεφθαλι είπε· "Νεφθαλί, γεμάτη από θείας ευλογίας, ας χορτάση από τας δωρεάς του Κυρίου. Θα πάρη ως κληρονομίας της περιοχάς προς θάλασσαν και προς Νοτον".

Δευτ. 33,24 - καὶ τῷ Ἀσὴρ εἶπεν· εὐλογημένος ἀπὸ τέκνων Ἀσὴρ καὶ ἔσται δεκτὸς τοῖς ἀδελφοῖς αὐτοῦ. βάψει ἐν ἐλαίῳ τὸν πόδα αὐτοῦ·

Δευτ. 33,24 - Δια την φυλήν Ασήρ είπεν· “ευλογημένη η φυλή Ασήρ μεταξύ των άλλων φυλών. Θα είναι η ευνοουμένη και αγαπημένη μεταξύ των άλλων φυλών· η περιοχή της θα είναι πλουσία εις ελαιόδενδρα.

Δευτ. 33,25 - σίδηρος καὶ χαλκὸς τὸ ὑπόδημα αὐτοῦ ἔσται, ὡς αἱ ἡμέραι σου ἡ ἰσχύς σου.

Δευτ. 33,25 - Το υπόδημά της θα είναι από σίδηρον και χαλκόν· η δύναμίς της θα είναι καθ' όλην την διάρκειαν της ζωής της.

Δευτ. 33,26 - οὔκ ἐστιν ὥσπερ ὁ Θεὸς τοῦ ἠγαπημένου· ὁ ἐπιβαίνων ἐπὶ τὸν οὐρανὸν βοηθός σου καὶ ὁ μεγαλοπρεπὴς τοῦ στερεώματος.

Δευτ. 33,26 - Δεν υπάρχει άλλος Θεός, όπως ο Θεός του αγαπημένου ισραηλιτικού λαού. Ο Θεός, που επιβαίνει εις τα νέφη του ουρανού και είναι μεγαλοπρεπής στο στερέωμα της γης, θα έρχεται εις βοήθειάν σου.

Δευτ. 33,27 - καὶ σκεπάσει σε Θεοῦ ἀρχὴ καὶ ὑπὸ ἰσχὺ βραχιόνων ἀενάων καὶ ἐκβαλεῖ ἀπὸ προσώπου σου ἐχθρὸν λέγων· ἀπόλοιο.

Δευτ. 33,27 - Θα σε προστατεύση η εξουσία του Θεού, οι αιώνιοι ακατανίκητοι βραχίονές του. Αυτός θα εκδιώξη από εμπρός σου τους εχθρούς σου λέγων· “Κρημνισθήτε εις την καταιστροφήν !

Δευτ. 33,28 - καὶ κατασκηνώσει Ἰσραὴλ πεποιθὼς μόνος ἐπὶ γῆς Ἰακώβ, ἐπὶ σίτῳ καὶ οἴνῳ, καὶ ὁ οὐρανὸς αὐτῷ συννεφὴς δρόσῳ.

Δευτ. 33,28 - Θα κατοικήση ο Ισραηλιτικός λαός ασφαλής και σταθερός εις την γην του Ιακώβ, η οποία θα είναι πλουσία εις σίτον και οίνον, ο δε ουρανός της θα στέλλη από τα νέφη του την κατάλληλον βροχήν.

Δευτ. 33,29 - μακάριος σύ, Ἰσραήλ· τίς ὅμοιός σοι λαὸς σωζόμενος ὑπὸ Κυρίου; ὑπερασπιεῖ ὁ βοηθός σου, καὶ ἡ μάχαιρα καύχημά σου· καὶ ψεύσονταί σε οἱ ἐχθροί σου, καὶ σὺ ἐπὶ τὸν τράχηλον αὐτῶν ἐπιβήσῃ.

Δευτ. 33,29 - Μακάριος είσαι συ, λαέ του Ισραήλ. Ποιός άλλος λαός είναι όμοιος με σέ, ο οποίος ευρίσκεις και ασφαλίζεις την σωτηρίαν σου υπό του Κυρίου; Ο Θεός, ο βοηθός σου, θα σε υπερασπίζεται και τότε η μαχαιρά σου θα είναι καύχημα νίκης δια σέ. Οι εχθροί σου θα πλανηθούν και θα ομιλήσουν ψεέδη δια σέ, αλλά συ θα πατήσης επάνω στον τράχηλόν των” !

## ΔΕΥΤΕΡΟΝΟΜΙΟΝ 34

Δευτ. 34,1 - Καὶ ἀνέβη Μωυσῆς ἀπὸ Ἀραβὼθ Μωὰβ ἐπὶ τὸ ὄρος Ναβαῦ, ἐπὶ κορυφὴν Φασγά, ἥ ἐστιν ἐπὶ προσώπου Ἰεριχώ. καὶ ἔδειξεν αὐτῷ Κύριος πᾶσαν τὴν γῆν Γαλαὰδ ἕως Δὰν

Δευτ. 34,1 - Ανέβη ο Μωϋσής από την Αραβώθ της χώρας Μωάβ στο όρος Ναβαύ, εις την κορυφήν Φασγά, η οποία ευρίσκεται απέναντι από την

Ιεριχώ. Και από την κορυφήν εκείνην έδειξεν εις αυτόν ο Κυριος όλην την χώραν Γαλαάδ μέχρι της χώρας της φυλής Δαν·

Δευτ. 34,2 - καὶ πᾶσαν τὴν γῆν Νεφθαλὶ καὶ πᾶσαν τὴν γῆν Ἐφραΐμ καὶ Μανασσῆ καὶ πᾶσαν τὴν γῆν Ἰούδα ἕως τῆς θαλάσσης τῆς ἐσχάτης

Δευτ. 34,2 - όλην την χώραν του Εφραίμ και του Μανασσή και όλην την γην της φυλής Ιούδα μέχρι της Μεσογείου Θαλάσσης.

Δευτ. 34,3 - καὶ τὴν ἔρημον καὶ τὰ περίχωρα Ἱεριχώ, πόλιν φοινίκων ἕως Σηγώρ.

Δευτ. 34,3 - Εδειξεν επίσης εις αυτόν την έρημον και τα περίχωρα της Ιεριχούς, η οποία είναι πόλις των φοινίκων, μέχρι της πόλεως Σηγώρ.

Δευτ. 34,4 - καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· αὕτη ἡ γῆ, ἣν ὤμοσα τῷ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακὼβ λέγων· τῷ σπέρματι ὑμῶν δώσω αὐτήν· καὶ ἔδειξα τοῖς ὀφθαλμοῖς σου, καὶ ἐκεῖ οὐκ εἰσελεύσῃ.

Δευτ. 34,4 - Είπε δε ο Κυριος προς τον Μωϋσήν· “αυτή είναι η γη της Επαγγελίας, δια την οποίαν ωρκίσθην στον Αβραάμ και τον Ισαάκ και τον Ιακώβ λέγων· στους απογόνους σας θα δώσω αυτήν. Λοιπόν, αυτήν την χώραν έδειξα τώρα εις τα μάτια σου. Συ όμως εκεί δεν θα εισέλθης” !

Δευτ. 34,5 - καὶ ἐτελεύτησε Μωυσῆς ὁ οἰκέτης Κυρίου ἐν γῇ Μωὰβ διὰ ῥήματος Κυρίου.

Δευτ. 34,5 - Ο Μωϋσής, ο δούλος του Κυρίου, επέθανεν εις την χώραν Μωάβ, σύμφωνα με τον λόγον του Κυρίου.

Δευτ. 34,6 - καὶ ἔθαψαν αὐτὸν ἐν Γαῒ ἐγγὺς οἴκου Φογώρ· καὶ οὐκ εἶδεν οὐδεὶς τὴν ταφὴν αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης.

Δευτ. 34,6 - Εθαψαν αυτόν εις την Γαι, πλησίον του ναού του Φογώρ. Κανείς δεν είδε τον τάφον του μέχρις αυτής της ημέρας.

Δευτ. 34,7 - Μωυσῆς δὲ ἦν ἑκατὸν καὶ εἴκοσιν ἐτῶν ἐν τῷ τελευτᾶν αὐτόν· οὐκ ἠμαυρώθησαν οἱ ὀφθαλμοὶ αὐτοῦ, οὐδὲ ἐφθάρησαν τὰ χελώνια αὐτοῦ.

Δευτ. 34,7 - Ητο δε ο Μωϋσής όταν απέθανεν εκατόν είκοσιν ετών. Η όρασίς του δεν αδυνάτισε και αι φυσικαί του δυνάμεις δεν ωλιγόστευσαν.

Δευτ. 34,8 - καὶ ἔκλαυσαν οἱ υἱοὶ Ἰσραὴλ Μωυσῆν ἐν Ἀραβὼθ Μωὰβ ἐπὶ τοῦ Ἰορδάνου κατὰ Ἱεριχὼ τριάκοντα ἡμέρας· καὶ συνετελέσθησαν αἱ ἡμέραι πένθους κλαυθμοῦ Μωυσῆ.

Δευτ. 34,8 - Οι Ισραηλίται έκλαυσαν τον Μωϋσήν εις την Αραβώθ της Μωάβ πλησίον του Ιορδάνου, απέναντι από την Ιεριχώ, επί τριάκοντα ημέρας. Ετσι δε ετελείωσαν αι ημέραι του πένθους και του κλαυθμού δια τον Μωϋσήν.

Δευτ. 34,9 - καὶ Ἰησοῦς υἱὸς Ναυὴ ἐνεπλήσθη πνεύματος συνέσεως, ἐπέθηκε γὰρ Μωυσῆς τὰς χεῖρας αὐτοῦ ἐπ᾿ αὐτόν· καὶ εἰσήκουσαν αὐτοῦ οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐποίησαν καθότι ἐνετείλατο Κύριος τῷ Μωυσῇ.

Δευτ. 34,9 - Ο δε Ιησούς, ο υιός του Ναυή, εγέμισεν από πνεύμα σοφίας, διότι ο Μωϋσής είχε θέσει τας χείρας του επάνω εις αυτόν και του μετεβίβασε την εξουσίαν. Οι Ισραηλίται υπήκουσαν εις αυτόν και έκαμαν όπως είχε διατάξει ο Κυριος τον Μωϋσήν.

Δευτ. 34,10 - καὶ οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραὴλ ὡς Μωυσῆς, ὃν ἔγνω Κύριος αὐτὸν πρόσωπον κατὰ πρόσωπον,

Δευτ. 34,10 - Δεν ενεφανίσθη πλέον προφήτης όμοιος με τον Μωϋσήν, τον οποίον εγνώρισε και προς τον οποίον ωμίλησεν ο Κυριος πρόσωπον προς πρόσωπον,

Δευτ. 34,11 - ἐν πᾶσι τοῖς σημείοις καὶ τέρασιν, ὃν ἀπέστειλεν αὐτὸν Κύριος ποιῆσαι αὐτὰ ἐν γῇ Αἰγύπτῳ Φαραὼ καὶ τοῖς θεράπουσιν αὐτοῦ καὶ πάσῃ τῇ γῇ αὐτοῦ,

Δευτ. 34,11 - εις όλα τα σημεία και θαύματα, προς εκτέλεσιν των οποίων έστειλεν αυτόν ο Κυριος εις την Αίγυπτον ενώπιον του Φαραώ και των αρχόντων του και όλης της Αιγύπτου,

Δευτ. 34,12 - τὰ θαυμάσια τὰ μεγάλα καὶ τὴν χεῖρα τὴν κραταιάν, ἃ ἐποίησε Μωυσῆς ἔναντι παντὸς Ἰσραήλ.

Δευτ. 34,12 - τα αξιοθαύμαστα και τα μεγάλα έργα και την ακατανίκητον δύναμιν, τα οποία έκαμεν ο Μωϋσής ενώπιον των Ισραηλιτών.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ

ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 1

ΙτΝ. 1,1 - Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Μωυσῆ, εἶπε Κύριος τῷ Ἰησοῖ υἱῷ Ναυὴ τῷ ὑπουργῷ Μωυσῆ λέγων·
ΙτΝ. 1,1 - Οταν ο Μωϋσής ετελεύτησεν, είπεν ο Κυριος στον Ιησούν του Ναυη, τον βοηθόν του Μωϋσέως τα εξής·
ΙτΝ. 1,2 - Μωυσῆς ὁ θεράπων μου τετελεύτηκε· νῦν οὖν ἀναστὰς διάβηθι τὸν Ἰορδάνην, σὺ καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι αὐτοῖς.
ΙτΝ. 1,2 - "Ο Μωϋσής, ο δούλος μου, απέθανε. Τωρα, λοιπόν, σήκω να διαβής τον Ιορδάνην, συ και όλος ο ισραηλιτικός αυτός λαός, δια να εισέλθετε εις την χώραν, την οποίαν εγώ δίδω εις όλους σας.
ΙτΝ. 1,3 - πᾶς ὁ τόπος, ἐφ᾿ ὃν ἂν ἐπιβῆτε τῷ ἴχνει τῶν ποδῶν ὑμῶν, ὑμῖν δώσω αὐτόν, ὃν τρόπον εἴρηκα τῷ Μωυσῇ,
ΙτΝ. 1,3 - Θα δώσω εις σας όλην την περιοχήν, την οποίαν θα πατήσουν τα πόδια σας, όπως έχω υποσχεθή στον Μωϋσήν.
ΙτΝ. 1,4 - τὴν ἔρημον καὶ τὸν Ἀντιλίβανον ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου ποταμοῦ Εὐφράτου, καὶ ἕως τῆς θαλάσσης τῆς ἐσχάτης ἀφ᾿ ἡλίου δυσμῶν ἔσται τὰ ὅρια ὑμῶν.
ΙτΝ. 1,4 - Τα όρια της χώρας αυτής θα είναι προς νότον μεν η έρημος (Καδης), προς βορράν το όρος Αντιλίβανος, προς ανατολάς έως τον μεγάλον ποταμόν τον Ευφράτην, προς δε δυσμάς μέχρι της Μεσογείου Θαλάσσης.
ΙτΝ. 1,5 - οὐκ ἀντιστήσεται ἄνθρωπος κατενώπιον ὑμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου, καὶ ὥσπερ ἤμην μετὰ Μωυσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ καὶ οὐκ ἐγκαταλείψω σε, οὐδ᾿ ὑπερόψομαί σε.
ΙτΝ. 1,5 - Κανείς άνθρωπος δεν θα ημπορέση να αντισταθή ενώπιόν σας καθ' όλον το διάστημα της ζωής σου· και όπως ήμην πάντοτε κοντά στον Μωϋσήν, δύναμις και προστασία του, έτσι θα είμαι και μαζή μέ σέ. Δεν θα σε εγκαταλείψω και ούτε ποτέ θα σε παραβλέψω.
ΙτΝ. 1,6 - ἴσχυε καὶ ἀνδρίζου, σὺ γὰρ ἀποδιελεῖς τῷ λαῷ τούτῳ τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς.
ΙτΝ. 1,6 - Εχε θάρρος και ανδρείαν. Διότι συ θα κατακτήσης και θα διανείμης στον λαόν αυτόν την χώραν την οποίαν υπεσχέθην να δώσω στους προπάτοράς σας.
ΙτΝ. 1,7 - ἴσχυε οὖν καὶ ἀνδρίζου, φυλάσσεσθαι καὶ ποιεῖν καθότι ἐνετείλατό σοι Μωυσῆς ὁ παῖς μου, καὶ οὐκ ἐκκλινεῖς ἀπ᾿ αὐτῶν εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερά, ἵνα συνῇς ἐν πᾶσιν οἷς ἐὰν πράσσῃς.
ΙτΝ. 1,7 - Εχε λοιπόν θάρρος και ανδρείαν, και πρόσεχε να εφαρμόζης πιστώς, ο,τι έχει διατάξει ο δούλος μου Μωϋσής στον Νομον. Από τας

εντολάς του Νομου δεν θα παρεκκλίνης καθόλου, ούτε δεξιά ούτε αριστερά, δια να αποκτήσης έτσι σύνεσιν και να φέρης εις πέρας επιτυχώς όλα τα έργα σου.

ΙτΝ. 1,8 - καὶ οὐκ ἀποστήσεται ἡ βίβλος τοῦ νόμου τούτου ἐκ τοῦ στόματός σου, καὶ μελετήσεις ἐν αὐτῷ ἡμέρας καὶ νυκτός, ἵνα εἰδῇς ποιεῖν πάντα τὰ γεγραμμένα· τότε εὐοδωθήσῃ, καὶ εὐοδώσεις τὰς ὁδούς σου καὶ τότε συνήσεις.

ΙτΝ. 1,8 - Ποτέ δεν πρέπει να αφήσης από τα χέρια σου, από την καρδίαν και το στόμα σου το βιβλίον του Νομου τούτου. Θα το μελετάς ημέραν και νύκτα, δια να μάθης καλά και να εφαρμόζης πιστώς όλα, όσα είναι γραμμένα εις αυτό. Τοτε θα ευοδωθής και θα φέρης εις αίσιον πέρας τους σκοπούς σου και θα αναδειχθής συνετός δια τον εαυτόν σου και δια τον λαόν.

ΙτΝ. 1,9 - ἰδοὺ ἐντέταλμαί σοι· ἴσχυε καὶ ἀνδρίζου, μὴ δειλιάσῃς, μηδὲ φοβηθῇς, ὅτι μετὰ σοῦ Κύριος ὁ Θεός σου εἰς πάντα, οὗ ἐὰν πορεύῃ.

ΙτΝ. 1,9 - Ιδού σου έχω δώσει την εντολήν· λάβε δύναμιν και ανδρείαν, μη δειλιάσης ποτέ, μη φοβηθής κανένα, διότι εγώ, Κυριος ο Θεός σου, είμαι μαζή σου εις όλας τας ενεργείας σου και όπου θα πορευθής”.

ΙτΝ. 1,10 - Καὶ ἐνετείλατο Ἰησοῦς τοῖς γραμματεῦσι τοῦ λαοῦ λέγων·

ΙτΝ. 1,10 - Ο Ιησούς του Ναυή διέταξε τότε τους γραμματείς του Ισραηλιτικού λαού, λέγων·

ΙτΝ. 1,11 - εἰσέλθατε κατὰ μέσον τῆς παρεμβολῆς τοῦ λαοῦ καὶ ἐντείλασθε τῷ λαῷ λέγοντες· ἑτοιμάζεσθε ἐπισιτισμόν, ὅτι ἔτι τρεῖς ἡμέραι καὶ ὑμεῖς διαβαίνετε τὸν Ἰορδάνην τοῦτον εἰσελθόντες κατασχεῖν τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν δίδωσιν ὑμῖν.

ΙτΝ. 1,11 - “εισέλθετε ανά μέσον του στρατοπέδου και παραγγείλατε στον λαόν τα εξής· Ετοιμάσατε τροφάς, διότι έπειτα από τρεις ημέρας θα διαβήτε τούτον τον Ιορδάνην ποταμόν, δια να εισέλθετε και κατακτήσετε την χώραν, την οποίαν ο Κυριος ο Θεός των πατέρων σας δίδει εις σας”.

ΙτΝ. 1,12 - καὶ τῷ Ῥουβὴν καὶ τῷ Γὰδ καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ εἶπεν Ἰησοῦς·

ΙτΝ. 1,12 - Εις τας φυλάς του Ρουβήν και του Γαδ και στο ήμισυ της φυλής του Μανασσή ο Ιησούς του Ναυη, είπεν·

ΙτΝ. 1,13 - μνήσθητε τὸ ῥῆμα, ὃ ἐνετείλατο ὑμῖν Μωυσῆς ὁ παῖς Κυρίου λέγων· Κύριος ὁ Θεὸς ὑμῶν κατέπαυσεν ὑμᾶς καὶ ἔδωκεν ὑμῖν τὴν γῆν ταύτην.

ΙτΝ. 1,13 - “ενθυμηθήτε την εντολήν, την οποίαν ο Μωϋσής, ο δούλος του Κυρίου, σας έδωσε λέγων· Κυριος ο Θεός σας παρεχώρησεν εις σας αυτήν την ανατολικώς του Ιορδάνου χώραν και σας ανέπαυσεν από τας άλλας ταλαιπωρίας.

ΙτΝ. 1,14 - αἱ γυναῖκες ὑμῶν καὶ τὰ παιδία ὑμῶν καὶ τὰ κτήνη ὑμῶν κατοικείτωσαν ἐν τῇ γῇ, ᾗ ἔδωκεν ὑμῖν, ὑμεῖς δὲ διαβήσεσθε εὔζωνοι

πρότεροι τῶν ἀδελφῶν ὑμῶν, πᾶς ὁ ἰσχύων, καὶ συμμαχήσετε αὐτοῖς,

ΙτΝ. 1,14 - Αι γυναίκες σας και τα παιδιά σας και τα κτήνη σας, ας παραμείνουν εις την γην, που σας έδωκεν ο Κυριος. Σεις όμως οι άνδρες με ελαφρόν οπλισμόν θα διαβήτε τον Ιορδάνην ποταμόν, προηγούμενοι από τους άλλους αδελφούς σας. Ολοι οι δυνάμενοι από σας θα συμπολεμήσουν με τους αδελφούς σας εναντίον των κατοίκων της Χαναάν,

ΙτΝ. 1,15 - ἕως ἂν καταπαύσῃ Κύριος ὁ Θεὸς ἡμῶν τοὺς ἀδελφοὺς ὑμῶν, ὥσπερ καὶ ὑμᾶς, καὶ κληρονομήσωσι καὶ οὗτοι τὴν γῆν, ἣν Κύριος ὁ Θεὸς ἡμῶν δίδωσιν αὐτοῖς. καὶ ἀπελεύσεσθε ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ, ἣν ἔδωκεν ὑμῖν Μωυσῆς εἰς τὸ πέραν τοῦ Ἰορδάνου ἐπ᾿ ἀνατολῶν ἡλίου.

ΙτΝ. 1,15 - μέχρις ότου Κυριος ο Θεός μας εγκαταστήση τους αδελφούς σας, όπως και σας, και κατακτήσουν και αυτοί την χώραν, την οποίαν Κυριος ο Θεός μας δίδει εις αυτούς. Επειτα δε θα επιστρέψη ο καθένας σας εις την κληρονομίαν του, την οποίαν σας έδωκεν ο Μωϋσής, προς ανατολάς, εις την πέραν του Ιορδάνου χώραν".

ΙτΝ. 1,16 - καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπαν· πάντα ὅσα ἐὰν ἐντείλῃ ἡμῖν, ποιήσομεν καὶ εἰς πάντα τόπον, οὗ ἐὰν ἀποστείλῃς ἡμᾶς, πορευσόμεθα·

ΙτΝ. 1,16 - Εκείνοι απεκρίθησαν στον Ιησούν του Ναυή και είπαν· "όλα όσα θα μας διατάξης θα τα εκτελέσωμεν και εις κάθε τόπον, στον οποίον θα μας αποστείλης, θα μεταβώμεν.

ΙτΝ. 1,17 - κατὰ πάντα, ὅσα ἠκούσαμεν Μωυσῆ, ἀκουσόμεθά σου, πλὴν ἔστω Κύριος ὁ Θεὸς ἡμῶν μετὰ σοῦ, ὃν τρόπον ἦν μετὰ Μωυσῆ.

ΙτΝ. 1,17 - Οπως δε υπηκούσαμεν εις όλα, όσα μας διέταξεν ο Μωϋσής, θα υπακούσωμεν και εις σέ. Μονον ευχόμεθα να είναι μαζή σου Κυριος ο Θεός μας, όπως ήτο και μαζή με τον Μωϋσήν.

ΙτΝ. 1,18 - ὁ δὲ ἄνθρωπος, ὃς ἂν ἀπειθήσῃ σοι, καὶ ὅστις μὴ ἀκούσῃ τῶν ῥημάτων σου καθότι ἐὰν ἐντείλῃ αὐτῷ, ἀποθανέτω. ἀλλὰ ἴσχυε καὶ ἀνδρίζου.

ΙτΝ. 1,18 - Εκείνος δε ο Ισραηλίτης, ο οποίος θα δειχθή απειθής εις σε και δεν θα υπακούση εις κάθε τι, που συ θα τον διατάξης, ας τιμωρηθή δια θανάτου. Συ δε λάβε δύναμιν και θάρρος".

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 2

ΙτΝ. 2,1 - Καὶ ἀπέστειλεν Ἰησοῦς υἱὸς Ναυὴ ἐκ Σαττὶν δύο νεανίσκους κατασκοπεῦσαι λέγων· ἀνάβητε καὶ ἴδετε τὴν γῆν καὶ τὴν Ἱεριχώ. καὶ

πορευθέντες οἱ δύο νεανίσκοι εἰσήλθοσαν εἰς Ἱεριχὼ καὶ εἰσήλθοσαν εἰς οἰκίαν γυναικὸς πόρνης, ᾗ ὄνομα Ῥαάβ, καὶ κατέλυσαν ἐκεῖ.

ΙτΝ. 2,1 - Ο Ιησούς του Ναυή έστειλεν από την Σαττίν, δύο νεαρούς Ισραηλίτας να κατασκοπεύσουν την χώραν, και τους είπε· "πηγαίνετε και παρατηρήσατε με προσοχήν την χώραν και ιδιαιτέρως την Ιεριχώ". Οι δύο αυτοί νέοι μετέβησαν και εισήλθον εις την Ιεριχώ. Εισήλθον δε και έμειναν εις την οικίαν μιας γυναικός πόρνης, η οποία ωνομάζετο Ραάβ, και διενυκτέρευσαν εκεί.

ΙτΝ. 2,2 - καὶ ἀπηγγέλη τῷ βασιλεῖ Ἱεριχὼ λέγοντες· εἰσπεπόρευνται ὧδε ἄνδρες τῶν υἱῶν Ἰσραὴλ κατασκοπεῦσαι τὴν γῆν.

ΙτΝ. 2,2 - Μερικοί όμως κάτοικοι της Ιεριχούς προσήλθον στον βασιλέα της πόλεως και είπον· "έχουν εισχωρήσει εδώ άνδρες Ισραηλίται, δια να κατασκοπεύσουν την χώραν μας".

ΙτΝ. 2,3 - καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἱεριχὼ καὶ εἶπε πρὸς Ῥαὰβ λέγων· ἐξάγαγε τοὺς ἄνδρας τοὺς εἰσπεπορευμένους εἰς τὴν οἰκίαν σου τὴν νύκτα, κατασκοπεῦσαι γὰρ τὴν γῆν ἥκασι.

ΙτΝ. 2,3 - Ο δε βασιλεύς της Ιεριχούς έστειλεν ανθρώπους, δια να είπουν προς την Ραάβ· "βγάλε και παράδωσέ μας τους άνδρας, οι οποίοι εισήλθον εις την οικίαν σου κατά την νύκτα, διότι έχουν έλθει να κατασκοπεύσουν την χώραν μας".

ΙτΝ. 2,4 - καὶ λαβοῦσα ἡ γυνὴ τοὺς δύο ἄνδρας ἔκρυψεν αὐτοὺς καὶ εἶπεν αὐτοῖς λέγουσα· εἰσεληλύθασι πρός με οἱ ἄνδρες·

ΙτΝ. 2,4 - Η γυναίκα εκείνη επήρε τους δύο άνδρας, τους έκρυψεν ασφαλώς και κατόπιν είπεν στους απεσταλμένους του βασιλέως· "πράγμαι εισήλθον εις την οικίαν μου οι άνδρες αυτοί.

ΙτΝ. 2,5 - ὡς δὲ ἡ πύλη ἐκλείετο ἐν τῷ σκότει, καὶ οἱ ἄνδρες ἐξῆλθον, οὐκ ἐπίσταμαι ποῦ πεπόρευνται· καταδιώξατε ὀπίσω αὐτῶν, εἰ καταλήψεσθε αὐτούς.

ΙτΝ. 2,5 - Καθώς δε έπεφτε το σκοτάδι και επρόκειτο να κλεισθή η πύλη της πόλεως, οι άνδρες εκείνοι έφυγαν από την οικίαν μου και δεν γνωρίζω, που έχουν πορευθή. Καταδιώξατέ τους και πιθανόν να τους συλλάβετε".

ΙτΝ. 2,6 - αὕτη δὲ ἀνεβίβασεν αὐτοὺς ἐπὶ τὸ δῶμα καὶ ἔκρυψεν αὐτοὺς ἐν τῇ λινοκαλάμῃ τῇ ἐστοιβασμένῃ αὐτῇ ἐπὶ τοῦ δώματος.

ΙτΝ. 2,6 - Η Ραάβ είχεν αναβιβάσει τους κατασκόπους στο ηλιακωτό της οικίας της και είχε κρύψει αυτούς κάτω από την καλαμιά του λιναριού, οποία ήτο στοιβαγμένη στο ηλιακωτό

ΙτΝ. 2,7 - καὶ οἱ ἄνδρες κατεδίωξαν ὀπίσω αὐτῶν ὁδὸν τὴν ἐπὶ τοῦ Ἰορδάνου ἐπὶ τὰς διαβάσεις, καὶ ἡ πύλη ἐκλείσθη.

ΙτΝ. 2,7 - Οι απεσταλμένοι του βασιλέως έτρεξαν εις καταδίωξιν των κατασκόπων, επήραν τον δρόμον, που οδηγεί εις τας διαβάσστου ποταμού Ιορδάνου, και μετά την έξοδόν των εκλείσθη πάλιν η πύλη.

ΙτΝ. 2,8 - καὶ ἐγένετο ὡς ἐξήλθοσαν οἱ διώκοντες ὀπίσω αὐτῶν καὶ αὐτοὶ δὲ πρὶν ἢ κοιμηθῆναι αὐτούς, αὕτη δὲ ἀνέβη πρὸς αὐτοὺς ἐπὶ τὸ δῶμα

ΙτΝ. 2,8 - Οταν εκείνοι εξήλθον εις καταδίωξιν των δύο νέων και πριν ακόμη αυτοί κοιμηθούν στο ηλιακωτόν, όπου ευρίσκοντο, ανέβη προς αυτούς η Ραάβ,

ΙτΝ. 2,9 - καὶ εἶπε πρὸς αὐτούς· ἐπίσταμαι ὅτι ἔδωκεν ὑμῖν Κύριος τὴν γῆν, ἐπιπέπτωκε γὰρ ὁ φόβος ὑμῶν ἐφ᾿ ἡμᾶς·

ΙτΝ. 2,9 - και τους είπε· “γνωρίζω πλέον πολύ καλά ότι ο Κυριος έχει παραδώσει εις σας την χώραν αυτήν. Το συμπεραίνω εκ του γεγονότος ότι έχομεν φοβηθή και πανικοβληθή ημείς οι κάτοικοι της Ιεριχούς από σας.

ΙτΝ. 2,10 - ἀκηκόαμεν γὰρ ὅτι κατεξήρανε Κύριος ὁ Θεὸς τὴν ἐρυθρὰν θάλασσαν ἀπὸ προσώπου ὑμῶν, ὅτε ἐξεπορεύεσθε ἐκ γῆς Αἰγύπτου, καὶ ὅσα ἐποίησε τοῖς δυσὶ βασιλεῦσι τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, τῷ Σηὼν καὶ Ὤγ, οὓς ἐξωλοθρεύσατε αὐτούς.

ΙτΝ. 2,10 - Και τούτο, διότι επληροφορήθημεν, ότι ο Κυριος, όταν σεις εφεύγατε από την χώραν της Αιγύπτου, κατεξήρανε ενώπιόν σας την Ερυθράν Θαλασσαν. Επληροφορήθημεν ακόμη όλα όσα ο Θεός έκαμε στους δύο βασιλείς των Αμοιραίων, τους πέραν από τον Ιορδάνην, στον Σηών και τον Ωγ, τους οποίους σεις με την δύναμιν του Θεού εξωλοθρεύσατε.

ΙτΝ. 2,11 - καὶ ἀκούσαντες ἡμεῖς ἐξέστημεν τῇ καρδίᾳ ἡμῶν, καὶ οὐκ ἔστη ἔτι πνεῦμα ἐν οὐδενὶ ἡμῶν ἀπὸ προσώπου ὑμῶν, ὅτι Κύριος ὁ Θεὸς ὑμῶν Θεὸς ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω.

ΙτΝ. 2,11 - Οταν λοιπόν επληροφορήθημεν αυτά, κατεπλάγημεν, εχάσαμεν τα λογικά μας, δεν έμεινεν εις κανένα από ημάς πνοή και θάρρος να αντισταθώμεν προς σας, διότι επείσθημεν ότι Κυριος ο Θεός σας είναι ο μόνος αληθινός Θεός στον ουρανόν άνω και εις την γη κάτω.

ΙτΝ. 2,12 - καὶ νῦν ὀμόσατέ μοι Κύριον τὸν Θεόν, ὅτι ποιῶ ὑμῖν ἔλεος καὶ ποιήσατε καὶ ὑμεῖς ἔλεος ἐν τῷ οἴκῳ τοῦ πατρός μου

ΙτΝ. 2,12 - Και τώρα σας παρακαλώ, να μου ορκισθήτε στο όνομα Κυρίου του Θεού, ότι, όπως εγώ τώρα σας ελεώ, ετσι και σεις να ελεήσετε όλην την οικογένειαν του πατρός μου·

ΙτΝ. 2,13 - καὶ ζωγρήσατε τὸν οἶκον τοῦ πατρός μου, τὴν μητέρα μου καὶ τοὺς ἀδελφούς μου καὶ πάντα τὸν οἶκόν μου καὶ πάντα, ὅσα ἐστὶν αὐτοῖς, καὶ ἐξελεῖσθε τὴν ψυχήν μου ἐκ θανάτου.

ΙτΝ. 2,13 - να διαφυλάξετε εις την ζωήν τον πατρικόν μου οίκον, την μητέρα μου, τους αδελφούς μου, και όλην την οικογένειάν μου, όπως επίσης να μη θίξετε τα υπάρχοντά των. Μαζή δέ με αυτούς να διαφυλάξετε από τον θάνατον και την ιδικήν μου την ζωήν”.

ΙτΝ. 2,14 - καὶ εἶπαν αὐτῇ οἱ ἄνδρες· ἡ ψυχὴ ἡμῶν ἀνθ᾿ ὑμῶν εἰς θάνατον. καὶ αὐτὴ εἶπεν· ὡς ἂν παραδῷ Κύριος ὑμῖν τὴν πόλιν, ποιήσετε εἰς ἐμὲ ἔλεος καὶ ἀλήθειαν.

ΙτΝ. 2,14 - Απήντησαν δε εις αυτήν οι δυο κατάσκοποι· "θα προτιμήσωμεν εν ανάγκη να αποθάνωμεν ημείς προς χάριν σας, δια να σώσωμεν την ζωήν σας". Είπε δε η Ραάβ προς αυτούς· "όταν, λοιπόν, ο Κυριος παραδώση εις τα χέρια σας την πόλιν αυτήν, δείξατε προς εμέ έλεος και επικυρώσατε έτσι την αλήθειαν των λόγων σας".

ΙτΝ. 2,15 - καὶ κατεχάλασεν αὐτοὺς διὰ τῆς θυρίδος

ΙτΝ. 2,15 - Επειτα κατεβίβασεν αυτούς δια σχοινίου από κάποιο παράθυρον,

ΙτΝ. 2,16 - καὶ εἶπεν αὐτοῖς· εἰς τὴν ὀρεινὴν ἀπέλθετε, μὴ συναντήσωσιν ὑμῖν οἱ καταδιώκοντες, καὶ κρυβήσεσθε ἐκεῖ τρεῖς ἡμέρας, ἕως ἂν ἀποστρέψωσιν οἱ καταδιώκοντες ὀπίσω ὑμῶν, καὶ μετὰ ταῦτα ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν.

ΙτΝ. 2,16 - και είπεν ακόμη εις αυτούς· "πηγαίνετε εις την ορεινήν περιοχήν, δια να μη σας συναντήσουν αυτοί, που σας καταδιώκουν. Κρυφθήτε εκεί επί τρεις ημέρας, μέχρις ότου επιστρέψουν οι διώκται σας και κατόπιν πηγαίνετε στον δρόμον σας, πέραν από τον Ιορδάνην".

ΙτΝ. 2,17 - καὶ εἶπαν πρὸς αὐτὴν οἱ ἄνδρες· ἀθῷοί ἐσμεν τῷ ὅρκῳ σου τούτῳ·

ΙτΝ. 2,17 - Οι δύο άνδρες είπαν τότε προς αυτήν· "ημείς θα είμεθα απηλλαγμένοι από τον όρκον, που σου εδώσαμεν, εάν συ δεν συμμορφωθής προς αυτό που θα σου είπωμεν.

ΙτΝ. 2,18 - ἰδοὺ ἡμεῖς εἰσπορευόμεθα εἰς μέρος τῆς πόλεως, καὶ θήσεις τὸ σημεῖον, τὸ σπαρτίον τὸ κόκκινον τοῦτο ἐκδήσεις εἰς τὴν θυρίδα, δι᾿ ἧς κατεβίβασας ἡμᾶς δι᾿ αὐτῆς, τὸν δὲ πατέρα σου καὶ τὴν μητέρα σου καὶ τοὺς ἀδελφούς σου καὶ πάντα τὸν οἶκον τοῦ πατρός σου συνάξεις πρὸς σεαυτὴν εἰς τὴν οἰκίαν σου.

ΙτΝ. 2,18 - Οταν δηλαδή ημείς θα εισέλθωμεν ως κατακτηταί εις την πόλιν, θα βάλης συ το εξής σημάδι· θα δέσης το κόκκινο αυτό σχοινί στο παράθυρον, από το οποίον μας κατεβίβασες, τον δε πατέρα σου και την μητέρα σου και τους αδελφούς σου και όλην την οικογένειαν του πατρός σου θα συγκεντρώσης πλησίον σου μέσα εις την οικίαν αυτήν.

ΙτΝ. 2,19 - καὶ ἔσται πᾶς, ὃς ἂν ἐξέλθῃ τὴν θύραν τῆς οἰκίας σου ἔξω, ἔνοχος ἑαυτῷ ἔσται, ἡμεῖς δὲ ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ. καὶ ὅσοι ἐὰν γένωνται μετὰ σοῦ ἐν τῇ οἰκίᾳ σου, ἡμεῖς ἔνοχοι ἐσόμεθα.

ΙτΝ. 2,19 - Εάν δε κανείς θελήση να βγη από την θύραν της οικίας σοι έξω, αυτός θα φέρη την ευθύνην δι' ο,τι του συμβή· ημείς δε θα είμεθα αθώοι

από τον όρκον, που σου εδώσαμεν. Θα είμεθα μόνον υπεύθυνοι δι' όλους εκείνους, οι οποίοι θα παραμείνουν μαζή σου εντός της οικίας.

ΙτΝ. 2,20 - ἐὰν δέ τις ἡμᾶς ἀδικήσῃ ἢ καὶ ἀποκαλύψῃ τοὺς λόγους ἡμῶν τούτους, ἐσόμεθα ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ.

ΙτΝ. 2,20 - Σου λέγομεν δε και τούτο· εάν κανείς από σας μας βλάψη η τολμήση και φανερώση και προδώση τους λόγους μας αυτούς, ημείς θα είμεθα απηλλαγμένοι από τον όρκον τούτον, που σου εδώσαμεν”.

ΙτΝ. 2,21 - καὶ εἶπεν αὐτοῖς· κατὰ τὸ ῥῆμα ὑμῶν ἔστω· καὶ ἐξαπέστειλεν αὐτούς.

ΙτΝ. 2,21 - Η Ραάβ απήντησε προς αυτούς· “όπως είπατε, έτσι ας γίνη”. Επειτα δε τους αφήκε να φύγουν.

ΙτΝ. 2,22 - καὶ ἐπορεύθησαν καὶ ἤλθοσαν εἰς τὴν ὀρεινὴν καὶ κατέμειναν ἐκεῖ τρεῖς ἡμέρας· καὶ ἐξεζήτησαν οἱ καταδιώκοντες πάσας τὰς ὁδοὺς καὶ οὐχ εὕροσαν.

ΙτΝ. 2,22 - Εκείνοι εβάδισαν και έφθασαν εις την ορεινήν περιοχήν, όπου και έμειναν τρεις ημέρας. Οι διώκται των τους ανεζήτησαν εις όλας τας οδούς, αλλά δεν τους εύρον.

ΙτΝ. 2,23 - καὶ ὑπέστρεψαν οἱ δύο νεανίσκοι καὶ κατέβησαν ἐκ τοῦ ὄρους καὶ διέβησαν πρὸς Ἰησοῦν υἱὸν Ναυὴ καὶ διηγήσαντο αὐτῷ πάντα τὰ συμβεβηκότα αὐτοῖς.

ΙτΝ. 2,23 - Μετά τας τρεις αυτάς ημέρας οι δύο νεαροί κατάσκοποι κατέβησαν από το όρος, διέβησαν τον Ιορδάνην, ήλθον προς τον Ιησούν του Ναυή και διηγήθησαν εις αυτόν όλα, όσα τους συνέβησαν.

ΙτΝ. 2,24 - καὶ εἶπαν πρὸς Ἰησοῦν ὅτι παραδέδωκε Κύριος πᾶσαν τὴν γῆν ἐν χειρὶ ἡμῶν, καὶ κατέπτηχε πᾶς ὁ κατοικῶν τὴν γῆν ἐκείνην ἀφ᾿ ἡμῶν.

ΙτΝ. 2,24 - Είπαν δε ακόμη προς τον Ιησούν, ότι ο Κυριος έχει παραδώσει πλέον όλην την χώραν, διότι όλοι οι κάτοικοι αυτής έχουν καταπτοηθή εξ αιτίας μας.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 3

ΙτΝ. 3,1 - Καὶ ὤρθρισεν Ἰησοῦς τὸ πρωΐ, καὶ ἀπῆραν ἐκ Σαττὶν καὶ ἤλθοσαν ἕως τοῦ Ἰορδάνου καὶ κατέλυσαν ἐκεῖ πρὸ τοῦ διαβῆναι.

ΙτΝ. 3,1 - Ο Ιησούς του Ναυή εξύπνησε λίαν πρωί και ανεχώρησε μαζή με όλους τους Ισραηλίτας από την Σαττίν, ήλθον έως τον ποταμόν Ιορδάνην, όπου, πριν τον διαβούν, εστάθμευσαν.

ΙτΝ. 3,2 - καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας διῆλθον οἱ γραμματεῖς διὰ τῆς παρεμβολῆς

ΙτΝ. 3,2 - Μετά δε τρεις ημέρας διήρχοντο οι Γραμματείς δια μέσου όλου του στρατοπέδου·

ΙτΝ. 3,3 - καὶ ἐνετείλαντο τῷ λαῷ λέγοντες· ὅταν ἴδητε τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου τοῦ Θεοῦ ἡμῶν καὶ τοὺς ἱερεῖς ἡμῶν καὶ τοὺς Λευίτας αἴροντας αὐτήν, ἀπαρεῖτε ἀπὸ τὸν τόπον ὑμῶν καὶ πορεύσεσθε ὀπίσω αὐτῆς·

ΙτΝ. 3,3 - και έδιδαν στον λαόν την εντολήν· "όταν ίδητε την Κιβωτόν της Διαθήκης Κυρίου του Θεού ημών και τους ιερείς ημών και τους Λευΐτας να την σηκώνουν, δια να την μεταφέρουν, θα ξεκινήσετε από τον τόπον, που ευρίσκεσθε, και θα ακολουθήσετε οπίσω από αυτήν.

ΙτΝ. 3,4 - ἀλλὰ μακρὰν ἔστω ἀνὰ μέσον ὑμῶν καὶ ἐκείνης, ὅσον δισχιλίους πήχεις στήσεσθε· μὴ προσεγγίσητε αὐτῇ, ἵνα ἐπίστησθε τὴν ὁδόν, ἣν πορεύσεσθε αὐτήν· οὐ γὰρ πεπόρευσθε τὴν ὁδὸν ἀπ᾿ ἐχθὲς καὶ τρίτης ἡμέρας.

ΙτΝ. 3,4 - Προσέξατε όμως θα κρατήτε απόστασιν από αυτήν δύο χιλιάδες πήχεις (χίλια περίπου μέτρα). Μη την πλησιάσετε, αλλά θα την παρακολουθήτε από την απόστασιν αυτήν, δια να γνωρίσετε τον δρόμον, που πρέπει να ακολουθήσετε. Διότι αυτόν τον δρόμον ποτέ άλλοτε έως τώρα δεν τον έχετε βαδίσει".

ΙτΝ. 3,5 - καὶ εἶπεν Ἰησοῦς τῷ λαῷ· ἁγνίσασθε εἰς αὔριον, ὅτι αὔριον ποιήσει Κύριος ἐν ὑμῖν θαυμαστά.

ΙτΝ. 3,5 - Είπεν ο Ιησούς του Ναυή προς τον λαόν· "αγνισθήτε δια την αυριανήν ημέραν, διότι αύριον θα κάμη ο Κυριος ενώπιόν σας θαυμαστά έργα".

ΙτΝ. 3,6 - καὶ εἶπεν Ἰησοῦς τοῖς ἱερεῦσιν· ἄρατε τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου καὶ προπορεύεσθε τοῦ λαοῦ. καὶ ἦραν οἱ ἱερεῖς τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου καὶ ἐπορεύοντο ἔμπροσθεν τοῦ λαοῦ.

ΙτΝ. 3,6 - Εις δε τους ιερείς είπε· "πάρετε την Κιβωτόν της Διαθήκης του Κυρίου και βαδίσατε εμπρός από τον λαόν". Οι ιερείς έλαβαν την κιβωτόν της Διαθήκης του Κυρίου και επορεύοντο εμπρός από τον λαόν.

ΙτΝ. 3,7 - καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· ἐν τῇ ἡμέρᾳ ταύτῃ ἄρχομαι ὑψῶσαί σε κατενώπιον πάντων υἱῶν Ἰσραήλ, ἵνα γνῶσιν ὅτι καθότι ἤμην μετὰ Μωυσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ.

ΙτΝ. 3,7 - Είπε τότε ο Κυριος προς τον Ιησούν· "από την ημέραν αυτήν θα αρχίσω να σε εξυψώνω και να σε αναδεικνύω ενώπιον όλων των Ισραηλιτών, δια να μάθουν ότι, όπως ήμουν μαζή με τον Μωϋσήν, έτσι θα είμαι και μαζή μέ σέ.

ΙτΝ. 3,8 - καὶ νῦν ἔντειλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθήκης λέγων· ὡς ἂν εἰσέλθητε ἐπὶ μέρους τοῦ ὕδατος τοῦ Ἰορδάνου, καὶ ἐν τῷ Ἰορδάνῃ στήσεσθε.

ΙτΝ. 3,8 - Και τώρα δώσε εντολή στους ιερείς, που μεταφέρουν την Κιβωτόν της Διαθήκης, και είπε προς αυτούς· Οταν φθάσετε εκεί, όπου ρέουν τα ύδατα του Ιορδάνου, και μόλις πατήσετε μέρος τι των υδάτων, σταματήσατε”.

ΙτΝ. 3,9 - καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰσραήλ· προσαγάγετε ὧδε καὶ ἀκούσατε τὸ ῥῆμα Κυρίου τοῦ Θεοῦ ἡμῶν.

ΙτΝ. 3,9 - Ο Ιησούς του Ναυή είπεν προς τους Ισραηλίτας· “πλησιάσατε εδώ και ακούσατε με προσοχήν τον λόγον Κυρίου του Θεού μας, δια του οποίου προαναγγέλλω σημείον μέγα.

ΙτΝ. 3,10 - ἐν τούτῳ γνώσεσθε ὅτι Θεὸς ζῶν ἐν ὑμῖν καὶ ὀλοθρεύων ὀλοθρεύσει ἀπὸ προσώπου ἡμῶν τὸν Χαναναῖον καὶ τὸν Χετταῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν Ἀμοῤῥαῖον καὶ τὸν Γεργεσαῖον καὶ τὸν Ἰεβουσαῖον·

ΙτΝ. 3,10 - Δια του σημείου αυτού θα μάθετε και θα πεισθήτε ότι ο ζων Θεός υπάρχει μεταξύ μας· αυτός θα εξολόθρεύση εξ ολοκλήρου ενώπιόν σας τους Χαναναίους και τους Χετταίους και τους Φερεζαίους και τους Ευαίους και τους Αμορραίους και τους Γεργεσαίους και τους Ιεβουσαίους.

ΙτΝ. 3,11 - ἰδοὺ ἡ κιβωτὸς διαθήκης Κυρίου πάσης τῆς γῆς διαβαίνει τὸν Ἰορδάνην.

ΙτΝ. 3,11 - Ιδού· η Κιβωτός της Διαθήκης του Κυρίου και Θεού όλης της γης διαβαίνει τώρα τον Ιορδάνην.

ΙτΝ. 3,12 - προχειρίσασθε ὑμῖν δώδεκα ἄνδρας ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἕνα ἀφ᾽ ἑκάστης φυλῆς.

ΙτΝ. 3,12 - Εκλέξατε δώδεκα άνδρας από τους Ισραηλίτας, ένα από κάθε φυλήν.

ΙτΝ. 3,13 - καὶ ἔσται ὡς ἂν καταπαύσωσιν οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου πάσης τῆς γῆς ἐν τῷ ὕδατι τοῦ Ἰορδάνου, τὸ ὕδωρ τοῦ Ἰορδάνου ἐκλείψει, τὸ δὲ ὕδωρ τὸ καταβαῖνον στήσεται.

ΙτΝ. 3,13 - Αμέσως δε μόλις οι πόδες των ιερέων, οι οποίοι μεταφέρουν την Κιβωτόν της Διαθήκης του Θεού και Κυρίου πάσης της γης, πατήσουν το ύδωρ του Ιορδάνου, τότε το ύδωρ του Ιορδάνου, που ρέει προς τα κάτω, θα συνεχίση την ροήν του και θα φύγη εντελώς, το δε ύδωρ που έρχεται από βορράν θα σταθή”.

ΙτΝ. 3,14 - καὶ ἀπῇρεν ὁ λαὸς ἐκ τῶν σκηνωμάτων αὐτῶν διαβῆναι τὸν Ἰορδάνην, οἱ δὲ ἱερεῖς ᾖροσαν τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου πρότεροι τοῦ λαοῦ.

ΙτΝ. 3,14 - Ο λαός εβγήκε από τας σκηνάς του, δια να διαβή τον Ιορδάνην. Οι δε ιερείς, οι οποίοι μετέφεραν την Κιβωτόν της Διαθήκης του Κυρίου, επορεύοντο εμπρός από τον λαόν.

ΙτΝ. 3,15 - ὡς δὲ εἰσεπορεύοντο οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης ἐπὶ τὸν Ἰορδάνην καὶ οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου ἐβάφησαν εἰς μέρος τοῦ ὕδατος τοῦ Ἰορδάνου· ὁ δὲ Ἰορδάνης ἐπληροῦτο καθ᾿ ὅλην τὴν κρηπῖδα αὐτοῦ ὡσεὶ ἡμέραι θερισμοῦ πυρῶν·

ΙτΝ. 3,15 - Την στιγμήν δε κατά την οποίαν οι ιερείς, οι μεταφέροντες την Κιβωτόν της Διαθήκης, εισήλθον στον Ιορδάνην και οι πόδες αυτών των ιερέων εβράχησαν εις μικρόν τι μέρος του ύδατος του Ιορδάνου, ο δε Ιορδάνης είχε πλημμυρίσει τότε καθ' όλην την κοίτην αυτού, όπως συνήθως συμβαίνει κατά τας ημέρας του θερισμού των σιτηρών,

ΙτΝ. 3,16 - καὶ ἔστη τὰ ὕδατα τὰ καταβαίνοντα ἄνωθεν, ἔστη πῆγμα ἓν ἀφεστηκὸς μακρὰν σφόδρα σφοδρῶς ἕως μέρους Καριαθιαρίμ, τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν θάλασσαν Ἄραβα, θάλασσαν ἁλός, ἕως εἰς τὸ τέλος ἐξέλιπε· καὶ ὁ λαὸς εἱστήκει ἀπέναντι Ἱεριχώ.

ΙτΝ. 3,16 - εσταμάτησαν τα ύδατα, που κατέβαινον εκ των άνω, εσταμάτησαν σαν ένας εκτεταμένος πάγος εις μεγάλην, πολύ μεγάλην απόστασιν, μέχρι της πόλεως Καριαθιαρίμ, ενώ το άλλο, το κατερχόμενον ύδωρ, κατέβη εις την θάλασσαν του βαθυπέδου Αραβα, την Αλμυράν, την Νεκράν Θαλασσαν, μέχρις ότου εξέλιπε πλήρως. Ο δε λαός κατάπληκτος είχε σταματήσει όρθιος εις την όχθην απέναντι από την Ιεριχώ.

ΙτΝ. 3,17 - καὶ ἔστησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου ἐπὶ ξηρᾶς ἐν μέσῳ τοῦ Ἰορδάνου· καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ διέβαινον διὰ ξηρᾶς, ἕως συνετέλεσε πᾶς ὁ λαὸς διαβαίνων τὸν Ἰορδάνην.

ΙτΝ. 3,17 - Οι ιερείς, οι οποίοι μετέφεραν την Κιβωτόν της Διαθήκης του Κυρίου, επροχώρησαν και εστάθησαν στο μέσον της ξηράς κοίτης του Ιορδάνου. Ολοι δε οι Ισραηλίται διέβαινον ως δια ξηράς, μέχρις ότου ολόκληρος ο ισραηλιτικός λαός ετελείωσε διαβαίνων τον Ιορδάνην.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 4

ΙτΝ. 4,1 - Καὶ ἐπεὶ συνετέλεσε πᾶς ὁ λαὸς διαβαίνων τὸν Ἰορδάνην, καὶ εἶπε Κύριος τῷ Ἰησοῖ λέγων·

ΙτΝ. 4,1 - Οταν δε όλος ο Ισραηλιτικός λαός ετελείωσε την διάδασιν του Ιορδάνου, είπεν ο Κυριος στον Ιησούν·

ΙτΝ. 4,2 - παραλαβὼν ἄνδρας ἀπὸ τοῦ λαοῦ, ἕνα ἀφ᾿ ἑκάστης φυλῆς,

ΙτΝ. 4,2 - “πάρε δώδεκα άνδρας από τον λαόν, ένα από κάθε φυλήν·

ΙτΝ. 4,3 - σύνταξον αὐτοῖς λέγων· ἀνέλεσθε ἐκ μέσου Ἰορδάνου ἑτοίμους δώδεκα λίθους καὶ τούτους διακομίσαντες ἅμα ὑμῖν αὐτοῖς, θέτε αὐτοὺς ἐν τῇ στρατοπεδείᾳ ὑμῶν, οὗ ἐὰν παρεμβάλητε ἐκεῖ τὴν νύκτα.

ΙτΝ. 4,3 - διάταξέ τους και ειπέ· “Παρέτε εκ του μέσου της κοίτης του Ιορδάνου δώδεκα ομαλούς λίθους, μεταφέρατε αυτούς μαζή σας και θέσατέ τους στο στρατόπεδον, όπου κατά την νύκτα θα κατασκηνώσετε”.

ΙτΝ. 4,4 - καὶ ἀνακαλεσάμενος Ἰησοῦς δώδεκα ἄνδρας τῶν ἐνδόξων ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἕνα ἀφ᾿ ἑκάστης φυλῆς,

ΙτΝ. 4,4 - Ο Ιησούς του Ναυή εκάλεσε πλησίον του δώδεκα άνδρας από τους επισήμους μεταξύ του ισραηλιτικού λαού, ένα από κάθε φυλήν,

ΙτΝ. 4,5 - εἶπεν αὐτοῖς· προσαγάγετε ἔμπροσθέν μου πρὸ προσώπου Κυρίου εἰς μέσον τοῦ Ἰορδάνου, καὶ ἀνελόμενος ἐκεῖθεν ἕκαστος λίθον ἀράτω ἐπὶ τῶν ὤμων αὐτοῦ κατὰ τὸν ἀριθμὸν τῶν δώδεκα φυλῶν τοῦ Ἰσραήλ,

ΙτΝ. 4,5 - και τους είπε· “προχωρήσατε ενώπιόν μου, εμπρός από την Κιβωτόν του Κυρίου, εισέλθετε εις το μέσον της κοίτης του Ιορδάνου, και ο καθένας από σας ας πάρη στους ώμους του ένα λίθον, κατά τον αριθμόν των δώδεκα φυλών του Ισραήλ,

ΙτΝ. 4,6 - ἵνα ὑπάρχωσιν ὑμῖν οὗτοι εἰς σημεῖον κείμενον διαπαντός, ἵνα ὅταν ἐρωτᾷ σε ὁ υἱός σου αὔριον λέγων, τί εἰσιν οἱ λίθοι οὗτοι ἡμῖν;

ΙτΝ. 4,6 - δια να υπάρχουν αυτοί εις σας και να μένουν ως αιώνιον σημείον, ίνα, όταν στο μέλλον σε ερωτά ο υιός σου· Διατί και προς τι υπάρχουν αυτοί οι λίθοι εις ημάς;

ΙτΝ. 4,7 - καὶ σὺ δηλώσεις τῷ υἱῷ σου λέγων· ὅτι ἐξέλιπεν ὁ Ἰορδάνης ποταμὸς ἀπὸ προσώπου κιβωτοῦ διαθήκης Κυρίου πάσης τῆς γῆς, ὡς διέβαινεν αὐτόν· καὶ ἔσονται οἱ λίθοι οὗτοι ὑμῖν μνημόσυνον τοῖς υἱοῖς Ἰσραὴλ ἕως τοῦ αἰῶνος.

ΙτΝ. 4,7 - Συ θα απαντήσης στον υιόν σου λέγων· Οι λίθοι ούτοι μας υπενθυμίζουν ότι ο Ιορδάνης ποταμός εσταμάτησε την ροήν των υδάτων του ενώπιον της Κιβωτού της Διαθήκης του Κυρίου όλης της γης, καθώς αυτή διέβαινε τον ποταμόν. Οι λίθοι αυτοί θα είναι εις αιωνίαν ανάμνησιν δια σας τους Ισραηλίτας”.

ΙτΝ. 4,8 - καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσραήλ, καθότι ἐνετείλατο Κύριος τῷ Ἰησοῖ, καὶ ἀναλαβόντες δώδεκα λίθους ἐκ μέσου τοῦ Ἰορδάνου, καθάπερ συνέταξε Κύριος τῷ Ἰησοῖ ἐν τῇ συντελείᾳ τῆς διαβάσεως τῶν υἱῶν Ἰσραήλ, καὶ διεκόμισαν ἅμα ἑαυτοῖς εἰς τὴν παρεμβολὴν καὶ ἀπέθηκαν ἐκεῖ.

ΙτΝ. 4,8 - Οι Ισραηλίται έπραξαν, όπως ακριβώς διέταξεν ο Κυριος τον Ιησούν του Ναυη. Επήραν δώδεκα λίθους από το μέσον της κοίτης του Ιορδάνου, όπως είχε διατάξει ο Κυριος τον Ιησούν, όταν είχε τελειώσει η διάβασις των Ισραηλιτών, έφεραν μαζή των τους λίθους αυτούς εις το στρατόπεδον και εκεί τους απέθεσαν.

ΙτΝ. 4,9 - ἔστησε δὲ Ἰησοῦς καὶ ἄλλους δώδεκα λίθους ἐν αὐτῷ τῷ Ἰορδάνῃ ἐν τῷ γενομένῳ τόπῳ ὑπὸ τοὺς πόδας τῶν ἱερέων τῶν αἰρόντων

τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου, καί εἰσιν ἐκεῖ ἕως τῆς σήμερον ἡμέρας.

ΙτΝ. 4,9 - Ο Ιησούς του Ναυή έστησε και άλλους δώδεκα λίθους εντός του Ιορδάνου στον τόπον όπου είχον πατήσει οι πόδες των ιερέων των μεταφερόντων την Κιβωτόν της Διαθήκης του Κυρίου. Οι λίθοι δε αυτοί ευρίσκονται εκεί μέχρι της ημέρας που γράφονται αυτά.

ΙτΝ. 4,10 - εἱστήκεισαν δὲ οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης ἐν τῷ Ἰορδάνῃ, ἕως οὗ συνετέλεσεν Ἰησοῦς πάντα, ἃ ἐνετείλατο Κύριος ἀναγγεῖλαι τῷ λαῷ, καὶ ἔσπευσεν ὁ λαὸς καὶ διέβησαν.

ΙτΝ. 4,10 - Οι ιερείς, που μετέφεραν την Κιβωτόν της Διαθήκης, ήσαν όρθιοι μέσα εις την κοίτην του Ιορδάνου, έως ότου ο Ιησούς έφερεν εις πέρας όλα όσα είχε διατάξει ο Κυριος να αναγγείλη στον λαόν. Οι δε Ισραηλίται έσπευσαν και διέβησαν τον ποταμόν.

ΙτΝ. 4,11 - καὶ ἐγένετο ὡς συνετέλεσε πᾶς ὁ λαὸς διαβῆναι, καὶ διέβη ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου, καὶ οἱ λίθοι ἔμπροσθεν αὐτῶν.

ΙτΝ. 4,11 - Οταν όλος ο λαός ετελείωσε την διάβασιν, τότε και η Κιβωτός της Διαθήκης του Κυρίου διέβη τον ποταμόν. Εμπροσθεν δε από όλους εβάδιζαν οι άνδρες που εκρατούσαν στους ώμους των τους δώδεκα λίθους.

ΙτΝ. 4,12 - καὶ διέβησαν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ οἱ ἡμίσεις φυλῆς Μανασσῆ διεσκευασμένοι ἔμπροσθεν τῶν υἱῶν Ἰσραήλ, καθάπερ ἐνετείλατο αὐτοῖς Μωυσῆς.

ΙτΝ. 4,12 - Μαζή με τους άλλους Ισραηλίτας διέβησαν η φυλή του Ρουβήν, η φυλή του Γαδ και το ήμισυ από την φυλήν του Μανασσή εξωπλισμένοι, εμπρός στους Ισραηλίτας, όπως είχε διατάξει αυτούς ο Μωϋσής.

ΙτΝ. 4,13 - τετρακισμύριοι εὔζωνοι εἰς μάχην διέβησαν ἐναντίον Κυρίου εἰς πόλεμον πρὸς τὴν Ἱεριχὼ πόλιν.

ΙτΝ. 4,13 - Σαράντα χιλιάδες ήσαν οι ελαφρώς ωπλισμένοι των δυόμισυ αυτών φυλών, οι οποίοι διέβησαν τον Ιορδάνην ενώπιον του Κυρίου, δια να πολεμήσουν την πόλιν Ιεριχώ.

ΙτΝ. 4,14 - ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ηὔξησε Κύριος τὸν Ἰησοῦν ἐναντίον τοῦ παντὸς γένους Ἰσραήλ, καὶ ἐφοβοῦντο αὐτόν, ὥσπερ Μωυσῆν, ὅσον χρόνον ἔζη.

ΙτΝ. 4,14 - Κατά την ημέραν εκείνην ο Κυριος εμεγάλυνε και εξύψωσε τον Ιησούν του Ναυή ενώπιον όλου του ισραηλιτικού γένους. Εφοβούντο δε και εσέβοντο αυτόν οι Ισραηλίται, όπως εφοβούντο και τον Μωϋσήν, όσον χρόνον έζη.

ΙτΝ. 4,15 - Καὶ εἶπε Κύριος τῷ Ἰησοῖ λέγων·

ΙτΝ. 4,15 - Ο Κυριος είπεν στον Ιησούν·

ΙτΝ. 4,16 - ἔντειλαι τοῖς ἱερεῦσι τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθήκης τοῦ μαρτυρίου Κυρίου ἐκβῆναι ἐκ τοῦ Ἰορδάνου.

ΙτΝ. 4,16 - “δώσε εντολήν στους ιερείς, που μεταφέρουν την Κιβωτόν της Διαθήκης του Μαρτυρίου του Κυρίου να εξέλθουν τώρα από τον Ιορδάνην”.

ΙτΝ. 4,17 - καὶ ἐνετείλατο Ἰησοῦς τοῖς ἱερεῦσι λέγων· ἔκβητε ἐκ τοῦ Ἰορδάνου.

ΙτΝ. 4,17 - Ο Ιησούς έδωσεν στους ιερείς την εντολήν αυτήν και τους είπε· “Λβγήτε τώρα από τον Ιορδάνην”.

ΙτΝ. 4,18 - καὶ ἐγένετο ὡς ἐξέβησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου ἐκ τοῦ Ἰορδάνου καὶ ἔθηκαν τοὺς πόδας ἐπὶ τῆς γῆς, ὥρμησε τὸ ὕδωρ τοῦ Ἰορδάνου κατὰ χώραν καὶ ἐπορεύετο καθὰ χθὲς καὶ τρίτην ἡμέραν δι᾿ ὅλης τῆς κρηπῖδος.

ΙτΝ. 4,18 - Αμέσως δε συνέβη τούτο το παράδοξον· μόλις οι ιερείς, οι μεταφέροντες την Κιβωτόν της Διαθήκης του Κυρίου βγήκαν από την κοίτην του Ιορδάνου και επάτησαν εις την δυτικήν όχθην του, ώρμησε το ύδωρ του Ιορδάνου στον τόπον του και έρρεεν, όπως και προηγουμένως, μέσα εις ολο το ύψος και πλάτος της κοίτης.

ΙτΝ. 4,19 - καὶ ὁ λαὸς ἀνέβη ἐκ τοῦ Ἰορδάνου δεκάτῃ τοῦ μηνὸς τοῦ πρώτου· καὶ κατεστρατοπέδευσαν οἱ υἱοὶ Ἰσραὴλ ἐν Γαλγάλοις κατὰ μέρος τὸ πρὸς ἡλίου ἀνατολὰς ἀπὸ τῆς Ἱεριχώ.

ΙτΝ. 4,19 - Η ημέρα δέ, κατά την οποίαν ο λαός εβγήκεν από τον Ιορδάνην, ήτο η δεκάτη του πρώτου μηνός, του Νισάν. Οι Ισραηλίται εστρατοπέδευσαν εις τα Γαλγαλα, εις την περιοχήν την προς ανατολάς της Ιεριχούς.

ΙτΝ. 4,20 - καὶ τοὺς δώδεκα λίθους τούτους, οὓς ἔλαβεν ἐκ τοῦ Ἰορδάνου, ἔστησεν Ἰησοῦς ἐν Γαλγάλοις

ΙτΝ. 4,20 - Τους δε δώδεκα λίθους, τους οποίους επήραν από την κοίτην του Ιορδάνου, έστησεν ο Ιησούς εις Γαλγαλα,

ΙτΝ. 4,21 - λέγων· ὅταν ἐρωτῶσιν ὑμᾶς οἱ υἱοὶ ὑμῶν λέγοντες· τί εἰσιν οἱ λίθοι οὗτοι;

ΙτΝ. 4,21 - λέγων· “όταν σας ερωτούν τα παιδιά σας και σας λέγουν· τι είναι αυτοί οι λίθοι;

ΙτΝ. 4,22 - ἀναγγείλατε τοῖς υἱοῖς ὑμῶν, ὅτι ἐπὶ ξηρᾶς διέβη Ἰσραὴλ τὸν Ἰορδάνην τοῦτον,

ΙτΝ. 4,22 - Σεις θα αναγγείλετε εις τα παιδιά σας, ότι ωσάν από ξηράν επέρασαν οι Ισραηλίται τον Ιορδάνην τούτον ποταμόν,

ΙτΝ. 4,23 - ἀποξηράναντος Κυρίου τοῦ Θεοῦ ἡμῶν τὸ ὕδωρ τοῦ Ἰορδάνου ἐκ τῶν ἔμπροσθεν αὐτῶν, μέχρις οὗ διέβησαν· καθάπερ ἐποίησε Κύριος ὁ Θεὸς ἡμῶν τὴν ἐρυθρὰν θάλασσαν, ἣν ἀπεξήρανε Κύριος ὁ Θεὸς ἡμῶν ἔμπροσθεν ἡμῶν, ἕως παρήλθομεν,

ΙτΝ. 4,23 - διότι Κυριος ο Θεός ημών εξήρανεν ενώπιόν μας το ύδωρ του Ιορδάνου, μέχρις ότου διέβημεν αυτόν όλοι. Και εις την περίστασιν αυτήν

Κυριος ο Θεός μας έκαμεν ο,τι και εις την Ερυθράν Θαλασσαν, την οποίαν απεξήρανεν ενώπιόν μας, έως ότου την διέβημεν.

ΙτΝ. 4,24 - ὅπως γνῶσι πάντα τὰ ἔθνη τῆς γῆς, ὅτι ἡ δύναμις τοῦ Κυρίου ἰσχυρά ἐστι, καὶ ἵνα ὑμεῖς σέβησθε Κύριον τὸν Θεὸν ἡμῶν ἐν παντὶ χρόνῳ.

ΙτΝ. 4,24 - Και ταύτα, δια να μάθουν όλα τα έθνη της οικουμένης, ότι η δύναμις του Κυρίου είναι ισχυρά, να μάθετε δε και σεις να σέβεσθε πάντοτε Κυριον τον Θεόν μας".

ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 5

ΙτΝ. 5,1 - Καὶ ἐγένετο ὡς ἤκουσαν οἱ βασιλεῖς τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, καὶ οἱ βασιλεῖς τῆς Φοινίκης οἱ παρὰ τὴν θάλασσαν, ὅτι ἀπεξήρανε Κύριος ὁ Θεὸς τὸν Ἰορδάνην ποταμὸν ἐκ τῶν ἔμπροσθεν τῶν υἱῶν Ἰσραὴλ ἐν τῷ διαβαίνειν αὐτούς, καὶ ἐτάκησαν αὐτῶν αἱ διάνοιαι καὶ κατεπλάγησαν καὶ οὐκ ἦν ἐν αὐτοῖς φρόνησις οὐδεμία ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ.

ΙτΝ. 5,1 - Οι βασιλείς των Αμορραίων, οι οποίοι ήσαν δυτικώς από τον Ιορδάνην ποταμόν, και οι βασιλείς της Φοινίκης, οι οποίοι κατοικούσαν πλησίον της Μεσογείου Θαλάσσης, όταν επληροφορήθησαν ότι Κυριος ο Θεός απεξήρανε τον Ιορδάνην ποταμόν ενώπιον των Ισραηλιτών, καθ' ον χρόνον τον διέβαιναν, έμειναν κατάπληκτοι, έλυωσαν οι καρδιές των από τον φόβον, τα έχασαν και έπεσαν εις πλήρη αμηχανίαν απέναντι των Ισραηλιτών.

ΙτΝ. 5,2 - ὑπό δὲ τοῦτον τὸν καιρὸν εἶπε Κύριος τῷ Ἰησοῖ· ποίησον σεαυτῷ μαχαίρας πετρίνας ἐκ πέτρας ἀκροτόμου καὶ καθίσας περίτεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐκ δευτέρου.

ΙτΝ. 5,2 - Κατά τον καιρόν δε αυτόν των μεγάλων τούτων γεγονότων είπεν ο Κυριος στον Ιησούν· "κατασκεύασε πέτρινα μαχαίρια από λιθάρι αιχμηρό και κάθησε να κάμης περιτομήν στους Ισραηλίτας δια δεύτεραν φοράν".

ΙτΝ. 5,3 - καὶ ἐποίησεν Ἰησοῦς μαχαίρας πετρίνας ἀκροτόμους καὶ περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐπὶ τοῦ καλουμένου τόπου Βουνὸς τῶν ἀκροβυστιῶν.

ΙτΝ. 5,3 - Ο Ιησούς κατεσκεύασε λίθινα αιχμηρά μαχαίρια και με αυτά περιέταμε τους Ισραηλίτας, στοποθεσίαν, που εκλήθη "Βουνός Ακροβυστιών".

ΙτΝ. 5,4 - ὃν δὲ τρόπον περιεκάθαρεν Ἰησοῦς τοὺς υἱοὺς Ἰσραήλ, ὅσοι ποτὲ ἐγένοντο ἐν τῇ ὁδῷ καὶ ὅσοι ποτὲ ἀπερίτμητοι ἦσαν τῶν ἐξεληλυθότων ἐξ Αἰγύπτου, πάντας τούτους περιέτεμεν Ἰησοῦς·

ΙτΝ. 5,4 - Αυτός δε ήτο ο τρόπος, με τον οποίον ο Ιησούς εκαθάρισε δια της περιτομής τους υιούς Ισραήλ. Οσοι είχον γιεννηθή κατά την περιπλάνησιν των Ισραηλιτών εις την έρημον και όσοι άλλοι από τους εξελθόντας εκ της Αιγύπτου ήσαν απερίτμητοι, όλους αυτούς τους περιέταμεν ο Ιησούς του Ναυη.

ΙτΝ. 5,5 - τεσσαράκοντα γὰρ καὶ δύο ἔτη ἀνέστραπται Ἰσραὴλ ἐν τῇ ἐρήμῳ τῇ Μαβδαρίτιδι,

ΙτΝ. 5,5 - Διότι επί τεσσαράκοντα δύο έτη οι Ισραηλίται περιεπλανώντο εις την Μαβδαρίτιδα έρημον, όπου δεν είχαν περιτμηθή.

ΙτΝ. 5,6 - διὸ ἀπερίτμητοι ἦσαν οἱ πλεῖστοι αὐτῶν τῶν μαχίμων τῶν ἐξεληλυθότων ἐκ γῆς Αἰγύπτου οἱ ἀπειθήσαντες τῶν ἐντολῶν τοῦ Θεοῦ, οἷς καὶ διώρισε μὴ ἰδεῖν αὐτοὺς τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς πατράσιν αὐτῶν δοῦναι, γῆν ῥέουσαν γάλα καὶ μέλι.

ΙτΝ. 5,6 - Δια τον λόγον αυτόν ήσαν απερίτμητοι οι πλείστοι από τους μαχίμους άνδρας, εκτός εκείνων, οι οποίοι είχον απειθήσει εις τας εντολάς του Θεού και εναντίον των οποίων απεφάσισε και ώρισεν ο Θεός να μη ίδουν την γην της Επαγγελίας, την οποίαν είχεν ορκισθή ο Κυριος στους προπάτοράς των να δώση, την γην την ρέουσαν γάλα και μέλι.

ΙτΝ. 5,7 - ἀντὶ δὲ τούτων ἀντικατέστησε τοὺς υἱοὺς αὐτῶν, οὓς Ἰησοῦς περιέτεμε, διὰ τὸ αὐτοὺς γεγεννῆσθαι κατὰ τὴν ὁδὸν ἀπεριτμήτους.

ΙτΝ. 5,7 - Αντί δε τούτων, που ηπείθησαν, έφερεν ο Θεός τους υιούς των, τους οποίους ο Ιησούς του Ναυή περιέταμε, διότι ούτοι είχαν γεννηθή κατά την διάρκειαν της περιπλανήσεως εις την έρημον και είχαν μείνει απερίτμητοι.

ΙτΝ. 5,8 - περιτμηθέντες δὲ ἡσυχίαν εἶχον αὐτόθι καθήμενοι ἐν τῇ παρεμβολῇ, ἕως ὑγιάσθησαν.

ΙτΝ. 5,8 - Ούτοι δέ, μετά την περιτομήν των, εκάθησαν ήσυχοι στο στρατόπεδον, έως ότου εθεραπεύθη η πληγή και αποκατεστάθη η υγεία των.

ΙτΝ. 5,9 - καὶ εἶπε Κύριος τῷ Ἰησοῖ υἱῷ Ναυή· ἐν τῇ σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ᾿ ὑμῶν. καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου Γάλγαλα.

ΙτΝ. 5,9 - Είπεν ο Κυριος στον Ιησούν, τον υιόν του Ναυη· “κατά την σημερινήν ημέρα αφήρεσα από σας το όνειδος της Αιγύπτου”· δια τούτο και εκάλεσε το όνομα του τόπου εκείνου Γαλγαλα (=αφαιρεσις).

ΙτΝ. 5,10 - Καί ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἀφ᾿ ἑσπέρας ἐπὶ δυσμῶν Ἱεριχὼ ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν τῷ πεδίῳ

ΙτΝ. 5,10 - Οι Ισραηλίται εώρτασαν το Πασχα την δεκάτην τετάρτην ημέραν του μηνός Νισάν κατά την δύσιν του ηλίου εις την πεδιάδα της Ιεριχούς, την εκτεινομένην δυτικώς του Ιορδάνου.

ΙτΝ. 5,11 - καὶ ἐφάγοσαν ἀπὸ τοῦ σίτου τῆς γῆς ἄζυμα καὶ νέα.

ΙτΝ. 5,11 - Εφαγαν δε οι Ισραηλίται άζυμον άρτον, τον οποίον παρεσκεύασαν από τον νέον σίτον της χώρας εκείνης.

ΙτΝ. 5,12 - ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐξέλιπε τὸ μάννα μετὰ τὸ βεβρωκέναι αὐτοὺς ἐκ τοῦ σίτου τῆς γῆς, καὶ οὐκέτι ὑπῆρχε τοῖς υἱοῖς Ἰσραὴλ μάννα· ἐκαρπίσαντο δὲ τὴν χώραν τῶν Φοινίκων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ.

ΙτΝ. 5,12 - Και κατά την ημέραν αυτήν, όταν έφαγαν οι Ισραηλίται σιτάρι από την χώραν εκείνην, εξέλιπε το μάννα. Δεν υπήρχε πλέον το μάννα δια τους Ισραηλίτας. Εκαρπούντο αυτοί κατά το έτος εκείνο τα προϊόντα της χώρας των Φοινίκων, της περιοχής που ανήκεν εις την Ιεριχώ.

ΙτΝ. 5,13 - Καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχώ, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς εἶδεν ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτοῦ, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτοῦ. καὶ προσελθὼν Ἰησοῦς εἶπεν αὐτῷ· ἡμέτερος εἶ ἢ τῶν ὑπεναντίων;

ΙτΝ. 5,13 - Συνέβη δε τότε και τούτο· Οταν ο Ιησούς ήτο πλησίον της Ιεριχούς, εσήκωσε τα μάτια του και είδεν ένα άνδρα όρθιον ενώπιόν του, στο χέρι του οποίου υπήρχε γυμνή ρομφαία. Ο Ιησούς επλησίασεν αυτόν και του είπεν· “ιδικός μας είσαι συ η μήπως είσαι από τους εχθρούς;”

ΙτΝ. 5,14 - ὁ δὲ εἶπεν αὐτῷ· ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίου νυνὶ παραγέγονα. καὶ Ἰησοῦς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν καὶ εἶπεν αὐτῷ· δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ;

ΙτΝ. 5,14 - Εκείνος απήντησεν· “εγώ είμαι ο αρχιστράτηγος της δυνάμεως του Κυρίου· μόλις δε τώρα δα ήλθα εδώ”. Ο Ιησούς έπεσε πρηνής κάτω εις την γην και είπεν εις αυτόν· “Δεσπότα, τι διατάσσεις εμέ τον δούλον σου;”

ΙτΝ. 5,15 - καὶ λέγει ὁ ἀρχιστράτηγος Κυρίου πρὸς Ἰησοῦν· λῦσαι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου· ὁ γὰρ τόπος, ἐφ᾿ ᾧ νῦν ἕστηκας ἐπ᾿ αὐτοῦ, ἅγιός ἐστι.

ΙτΝ. 5,15 - Ο δε αρχιστράτηγος του Κυρίου απήντησε προς τον Ιησούν· “λύσε και αφαίρεσε το υπόδημα από τα πόδια σου, διότι ο τόπος, στον οποίον τώρα στέκεσαι, είναι άγιος”.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 6

ΙτΝ. 6,1 - Καὶ Ἱεριχὼ συγκεκλεισμένη καὶ ὠχυρωμένη, καὶ οὐδεὶς ἐξεπορεύετο ἐξ αὐτῆς οὐδὲ εἰσεπορεύετο.

ΙτΝ. 6,1 - Η Ιεριχώ ήτο οχυρωμένη και αι πύλαι αυτής κατάκλειστοι. Κανείς δεν εξήρχετο από αυτήν ούτε και εισήρχετο.

ΙτΝ. 6,2 - καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· ἰδοὺ ἐγὼ παραδίδωμι ὑποχείριόν σοι τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα αὐτῆς τὸν ἐν αὐτῇ, δυνατοὺς

ὄντας ἐν ἰσχύϊ·

ΙτΝ. 6,2 - Είπε δε ο Κυριος προς τον Ιησούν· “ιδού εγώ παραδίδω υπό την εξουσίαν σου την Ιεριχώ, τον εις αυτήν ευρισκόμενον βασιλέα της και όλους τους ισχυρούς της πόλεως.

ΙτΝ. 6,3 - σὺ δὲ περίστησον αὐτῇ τοὺς μαχίμους κύκλῳ,

ΙτΝ. 6,3 - Συ τοποθέτησε κύκλω από αυτήν τους πολεμιστάς.

ΙτΝ. 6,4 - καὶ ἔσται ὡς ἂν σαλπίσητε τῇ σάλπιγγι, ἀνακραγέτω πᾶς ὁ λαὸς ἅμα·

ΙτΝ. 6,4 - Οταν δε σαλπίσετε με τας ιεράς σάλπιγγας, ας κραυγάση όλος ο λαός συγχρόνως.

ΙτΝ. 6,5 - καὶ ἀνακραγόντων αὐτῶν πεσεῖται αὐτόματα τὰ τείχη τῆς πόλεως, καὶ εἰσελεύσεται πᾶς ὁ λαὸς ὁρμήσας ἕκαστος κατὰ πρόσωπον εἰς τὴν πόλιν.

ΙτΝ. 6,5 - Και καθ' ον χρόνον θα κραυγάσουν, θα πέσουν μόνα των τα τείχη της πόλεως και όλος ο λαός ορμητικώς θα εισέλθη εις την πόλιν, ο καθένας από το μέρος που ευρίσκεται απέναντί του”.

ΙτΝ. 6,6 - καὶ εἰσῆλθεν Ἰησοῦς ὁ τοῦ Ναυὴ πρὸς τοὺς ἱερεῖς

ΙτΝ. 6,6 - Μετέβη ο Ιησούς του Ναυή προς τους ιερείς

ΙτΝ. 6,7 - καὶ εἶπεν αὐτοῖς λέγων· παραγγείλατε τῷ λαῷ περιελθεῖν καὶ κυκλῶσαι τὴν πόλιν, καὶ οἱ μάχιμοι παραπορευέσθωσαν ἐνωπλισμένοι ἐναντίον Κυρίου·

ΙτΝ. 6,7 - και είπε προς αυτούς· “παραγγείλατε στον λαόν να περιέλθη και κυκλώση την πόλιν, οι δε μάχιμοι ας πορευθούν ωπλισμένοι εμπρός από την Κιβωτόν της Διαθήκης του Κυρίου.

ΙτΝ. 6,8 - καὶ ἑπτὰ ἱερεῖς ἔχοντες ἑπτὰ σάλπιγγας ἱερὰς παρελθέτωσαν ὡσαύτως ἐναντίον τοῦ Κυρίου καὶ σημαινέτωσαν εὐτόνως, καὶ ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου ἐπακολουθείτω·

ΙτΝ. 6,8 - Επτά ιερείς, κρατούντες τας επτά ιεράς σάλπιγγας, ας προπορευθούν επίσης ενώπιον της Κιβωτού του Κυρίου και ας σαλπίσουν με δύναμιν, η δε Κιβωτός της Διαθήκης του Κυρίου ας ακολουθή αυτούς.

ΙτΝ. 6,9 - οἱ δὲ μάχιμοι παραπορευέσθωσαν ἔμπροσθεν καὶ οἱ ἱερεῖς οἱ οὐραγοῦντες ὀπίσω τῆς κιβωτοῦ τῆς διαθήκης Κυρίου πορευόμενοι σαλπίζοντες.

ΙτΝ. 6,9 - Οι μάχιμοι άνδρες θα προπορεύωνται από την Κιβωτόν, οι δε ιερείς, οι οποίοι θα ακολουθούν όπισθεν από την Κιβωτόν της Διαθήκης του Κυρίου, προχωρούντες θα σαλπίζουν”.

ΙτΝ. 6,10 - τῷ δὲ λαῷ ἐνετείλατο Ἰησοῦς λέγων· μὴ βοᾶτε, μηδὲ ἀκουσάτω μηδεὶς τὴν φωνὴν ὑμῶν, ἕως ἂν ἡμέραν διαγγείλῃ αὐτὸς ἀναβοῆσαι, καὶ τότε ἀναβοήσετε.

ΙτΝ. 6,10 - Εις δε τον λαόν ο Ιησούς του Ναυή παρήγγειλε, λέγων· “μη κραυγάσετε· ούτε την φωνήν της ομιλίας σας να ακούση κανείς μέχρι της ημέρας, κατά την οποίαν εγώ ο ίδιος θα παραγγείλω εις σας να φωνάξετε· τότε θα φωνάξετε”.

ΙτΝ. 6,11 - καὶ περιελθοῦσα ἡ κιβωτὸς τῆς διαθήκης τοῦ Θεοῦ εὐθέως ἀπῆλθεν εἰς τὴν παρεμβολὴν καὶ ἐκοιμήθη ἐκεῖ.

ΙτΝ. 6,11 - Η Κιβωτός της Διαθήκης αφού με την συνοδείαν της περιήλθε τα τείχη της πόλεως, μετεφέρθη αμέσως στο στρατόπεδον και παρέμεινεν εκεί κατά την νύκτα.

ΙτΝ. 6,12 - καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ ἀνέστη Ἰησοῦς τὸ πρωΐ, καὶ ᾖραν οἱ ἱερεῖς τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου,

ΙτΝ. 6,12 - Ο Ιησούς κατά την δευτέραν ημέραν ηγέρθη πρωϊ. Οι ιερείς επήραν την Κιβωτόν της Διαθήκης του Κυρίου.

ΙτΝ. 6,13 - καὶ οἱ ἑπτὰ ἱερεῖς οἱ φέροντες τὰς σάλπιγγας τὰς ἑπτὰ προεπορεύοντο ἐναντίον Κυρίου, καὶ μετὰ ταῦτα εἰσεπορεύοντο οἱ μάχιμοι καὶ ὁ λοιπὸς ὄχλος ὄπισθεν τῆς κιβωτοῦ τῆς διαθήκης Κυρίου· καὶ οἱ ἱερεῖς ἐσάλπισαν ταῖς σάλπιγξι, καὶ ὁ λοιπὸς ὄχλος ἅπας περιεκύκλωσε τὴν πόλιν ἑξάκις ἐγγύθεν

ΙτΝ. 6,13 - Οι δε άλλοι επτά ιερείς, οι οποίοι είχον τας επτά σάλπιγγας, επροπορεύοντο από την Κιβωτόν της Διαθήκης. Κατόπιν ηκολούθουν οι μάχιμοι όπισθεν από την Κιβωτόν της Διαθήκης του Κυρίου και όλος ο άλλος λαός. Οι ιερείς εσάλπισαν με τας ιεράς σάλπιγγας και όλος ο άλλος λαός περιήλθεν εκ του πλησίον την πόλιν εξ φοράς,

ΙτΝ. 6,14 - καὶ ἀπῆλθε πάλιν εἰς τὴν παρεμβολήν. οὕτως ἐποίει ἐπὶ ἓξ ἡμέρας.

ΙτΝ. 6,14 - και επέστρεψαν πάλιν στο στρατόπεδον. Ετσι έκαμαν επί εξ ημέρας.

ΙτΝ. 6,15 - καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ ἀνέστησαν ὄρθρου καὶ περιήλθοσαν τὴν πόλιν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἑπτάκις·

ΙτΝ. 6,15 - Κατά δε την εβδόμην ημέραν ηγέρθησαν πολύ πρωί και περιήλθαν την πόλιν επτά φοράς κατά την ημέραν εκείνην.

ΙτΝ. 6,16 - καὶ ἐγένετο τῇ περιόδῳ τῇ ἑβδόμῃ ἐσάλπισαν οἱ ἱερεῖς, καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰσραήλ· κεκράξατε, παρέδωκε γὰρ Κύριος ὑμῖν τὴν πόλιν.

ΙτΝ. 6,16 - Κατά τον έβδομον γύρον οι ιερείς εσάλπισαν, ο δε Ιησούς του Ναυή είπεν στους Ισραηλίτας· “κραυγάσατε, διότι ο Κυριος παρέδωκεν εις σας την πόλιν.

ΙτΝ. 6,17 - καὶ ἔσται ἡ πόλις ἀνάθεμα, αὐτὴ καὶ πάντα, ὅσα ἐστὶν ἐν αὐτῇ, Κυρίῳ Σαβαώθ· πλὴν Ῥαὰβ τὴν πόρνην περιποιήσασθε, αὐτὴν καὶ πάντα ὅσα ἐστὶν ἐν τῷ οἴκῳ αὐτῆς.

ΙτΝ. 6,17 - Αυτή η πόλις και όλα όσα υπάρχουν εις αυτήν θα είναι αφιέρωμα πρυς τον Κυριον Σαβαώθ, πλην της Ραάβ της πόρνης. Αυτήν και όσους άλλους εύρετε εις την οικίαν της, θα ασφαλίσετε και θα περιποιηθήτε.

ΙτΝ. 6,18 - ἀλλὰ ὑμεῖς φυλάξεσθε σφόδρα ἀπὸ τοῦ ἀναθέματος, μήποτε ἐνθυμηθέντες ὑμεῖς αὐτοὶ λάβητε ἀπὸ τοῦ ἀναθέματος καὶ ποιήσητε τὴν παρεμβολὴν τῶν υἱῶν Ἰσραὴλ ἀνάθεμα καὶ ἐκτρίψητε ἡμᾶς·

ΙτΝ. 6,18 - Σεις όμως προσέξατε πολύ και φυλαχθήτε από το ανάθεμα της πόλεως αυτής, μήπως τυχόν επιθυμήσετε και λάβετε κάτι από όσα θα είναι αφιερωμένα εις τυν Κυριον· και κάμετε ανάθεμα το στρατόπεδον των Ισραηλιτών και γίνετε αιτία να καταστραφώμεν.

ΙτΝ. 6,19 - καὶ πᾶν ἀργύριον ἢ χρυσίον ἢ χαλκὸς ἢ σίδηρος ἅγιον ἔσται τῷ Κυρίῳ, εἰς θησαυρὸν Κυρίου εἰσενεχθήσεται.

ΙτΝ. 6,19 - Δηλαδή όλος ο άργυρος και ο χρυσός και ο χαλκός και ο σίδηρος της πόλεως θα αφιερωθούν στον Κυριον· θα ενταχθούν στον θησαυρόν του Κυρίου".

ΙτΝ. 6,20 - καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν οἱ ἱερεῖς· ὡς δὲ ἤκουσεν ὁ λαὸς τῶν σαλπίγγων, ἠλάλαξε πᾶς ὁ λαὸς ἅμα ἀλαλαγμῷ μεγάλῳ καὶ ἰσχυρῷ καὶ ἔπεσεν ἅπαν τὸ τεῖχος κύκλῳ, καὶ ἀνέβη πᾶς ὁ λαὸς εἰς τὴν πόλιν.

ΙτΝ. 6,20 - Οι ιερείς εσάλπισαν με τας ιεράς σάλπιγγας. Μολις δε ο λαός ήκουσε τον ήχον των σαλπίγγων όλος μαζή εκραύγασε με αλαλαγμόν μεγάλον και ισχυρόν, και τότε όλα τα τείχη κύκλω από την Ιεριχώ έπεσαν, και όλος ο Ισραηλιτικός λαός εισήλθεν ορμητικώς εις την πόλιν.

ΙτΝ. 6,21 - καὶ ἀνεθεμάτισεν αὐτὴν Ἰησοῦς καὶ ὅσα ἦν ἐν τῇ πόλει ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικός, ἀπὸ νεανίσκου καὶ ἕως πρεσβύτου καὶ ἕως μόσχου καὶ ὑποζυγίου, ἐν στόματι ῥομφαίας.

ΙτΝ. 6,21 - Ο Ιησούς του Ναυή ανεθεμάτισε την πόλιν και παρέδωσεν εις στόμα μαχαίρας όλα όσα εζούσαν εις αυτήν, από ανδρός έως γυναικός, από μικρού έως μεγάλου και από μόσχου έως όνου.

ΙτΝ. 6,22 - καὶ τοῖς δυσὶ νεανίσκοις τοῖς κατασκοπεύσασιν εἶπεν Ἰησοῦς· εἰσέλθατε εἰς τὴν οἰκίαν τῆς γυναικὸς καὶ ἐξαγάγετε αὐτὴν ἐκεῖθεν καὶ ὅσα ἐστὶν αὐτῇ.

ΙτΝ. 6,22 - Είπε δε στους δύο νεαρούς κατασκόπους· "πηγαίνετε εις την οικίαν της Ραάβ και βγάλετε αυτήν από εκεί και όλους όσοι ευρίσκονται μαζή της".

ΙτΝ. 6,23 - καὶ εἰσῆλθον οἱ δύο νεανίσκοι οἱ κατασκοπεύσαντες τὴν πόλιν εἰς τὴν οἰκίαν τῆς γυναικὸς καὶ ἐξηγάγοσαν Ῥαὰβ τὴν πόρνην καὶ τὸν πατέρα αὐτῆς καὶ τὴν μητέρα αὐτῆς καὶ τοὺς ἀδελφοὺς αὐτῆς καὶ τὴν συγγένειαν αὐτῆς καὶ πάντα, ὅσα ἦν αὐτῇ, καὶ κατέστησαν αὐτὴν ἔξω τῆς παρεμβολῆς Ἰσραήλ.

ΙτΝ. 6,23 - Οι δύο νεαροί, οι οποίοι είχον κατασκοπεύσει προηγουμένως την πόλιν, εισήλθον εις την οικίαν Ραάβ της πόρνης, έβγαλαν αυτήν και τον πατέρα της και την μητέρα της και τους αδελφούς της, τους συγγενείς της και όσα πράγματα υπήρχον εκεί, και εγκατέστησαν αυτήν και τους ιδικούς της έξω από το στρατόπεδον των Ισραηλιτών.

ΙτΝ. 6,24 - καὶ ἡ πόλις ἐνεπρήσθη ἐν πυρισμῷ σὺν πᾶσι τοῖς ἐν αὐτῇ, πλὴν ἀργυρίου καὶ χρυσίου καὶ χαλκοῦ καὶ σιδήρου ἔδωκαν εἰς θησαυρὸν Κυρίου εἰσενεχθῆναι.

ΙτΝ. 6,24 - Η δε πόλις επυρπολήθη μαζή με όλα όσα υπήρχον εντός αυτής, πλην του αργύρου, του χρυσού, του χαλκού και του σιδήρου, τα οποία οι Ισραηλίται παρέδωσαν, δια να κατατεθούν ως θησαυρός του Κυρίου.

ΙτΝ. 6,25 - καὶ Ῥαὰβ τὴν πόρνην καὶ πάντα τὸν οἶκον αὐτῆς τὸν πατρικὸν ἐζώγρησεν Ἰησοῦς, καὶ κατῴκησεν ἐν τῷ Ἰσραὴλ ἕως τῆς σήμερον ἡμέρας, διότι ἔκρυψε τοὺς κατασκοπεύσαντας, οὓς ἀπέστειλεν Ἰησοῦς κατασκοπεῦσαι τὴν Ἱεριχώ.

ΙτΝ. 6,25 - Την Ραάβ όμως την πόρνην και όλην την πατρικήν της οικογένειαν διετήρησεν εν ζωή ο Ιησούς του Ναυή και εγκατέστησεν αυτούς μεταξύ του ισραηλιτικού λαού μέχρι της ημέρας που γράφονται αυτά. Και τούτο, διότι αυτή έκρυψε και έσωσε τους κατασκόπους, τους οποίους είχεν αποστείλει ο Ιησούς του Ναυη, δια να κατασκοπεύσουν την πόλιν.

ΙτΝ. 6,26 - καὶ ὥρκισεν Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐναντίον Κυρίου λέγων· ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς οἰκοδομήσει τὴν πόλιν ἐκείνην· ἐν τῷ πρωτοτόκῳ αὐτοῦ θεμελιώσει αὐτὴν καὶ ἐν τῷ ἐλαχίστῳ αὐτοῦ ἐπιστήσει τὰς πύλας αὐτῆς. καὶ οὕτως ἐποίησεν Ὀζᾶν ὁ ἐκ Βαιθὴλ ἐν τῷ Ἀβιρὼν τῷ πρωτοτόκῳ ἐθεμελίωσεν αὐτὴν καὶ ἐν τῷ ἐλαχίστῳ διασωθέντι ἐπέστησε τὰς πύλας αὐτῆς.

ΙτΝ. 6,26 - Ορκον δε αναθέματος έκαμεν ο Ιησούς του Ναυή κατά την ημέραν εκείνην ενώπιον του Κυρίου και είπε· “Κατηραμένος θα είναι ο άνθρωπος εκείνος, ο οποίος θα ανοικοδομήση και θα οχυρώση την πόλιν αυτήν. Αν τολμήση να κάμη κάτι τέτοιο, νεκρόν θα θέση ως θεμέλιον της πόλεως τον πρωτότοκον υιόν του και με το νεκρόν σώμα του μικροτέρου υιού του θα στήση τας πύλας αυτής”. Αυτό έκαμε αλλά και αυτό έπαθε ο Οζάς, ο εκ της Βαιθήλ. Αυτός δια του Αβιρών, του πρωτοτόκου υιού του, εθεμελίωσε την πόλιν και με το μικρό του παιδί που του είχε απομείνει έστησε τας πύλας αυτής.

ΙτΝ. 6,27 - καὶ ἦν Κύριος μετὰ Ἰησοῦ, καὶ ἦν τὸ ὄνομα αὐτοῦ κατὰ πᾶσαν τὴν γῆν.

ΙτΝ. 6,27 - Ο δε Κυριος ήτο μετά του Ιησού, του οποίου το όνομα έγινε και έμεινε γνωστόν και θαυμαστόν εις όλην την χώραν.

ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 7

ΙτΝ. 7,1 - Καὶ ἐπλημμέλησαν οἱ υἱοὶ Ἰσραὴλ πλημμέλειαν μεγάλην καὶ ἐνοσφίσαντο ἀπὸ τοῦ ἀναθέματος· καὶ ἔλαβεν Ἄχαρ υἱὸς Χαρμὶ υἱοῦ Ζαμβρὶ υἱοῦ Ζαρὰ ἐκ τῆς φυλῆς Ἰούδα ἀπὸ τοῦ ἀναθέματος· καὶ ἐθυμώθη Κύριος ὀργῇ τοῖς υἱοῖς Ἰσραήλ.

ΙτΝ. 7,1 - Οι Ισραηλίται όμως περιέπεσαν εις μεγάλο παράπτωμα, διότι κάποιος από αυτούς επήρε και εκράτησε δια τον εαυτόν του από τα αφιερωμένα στον Κυριον λάφυρα της Ιεριχούς. Ο Αχαρ δηλαδή, υιός του Χαρμί, ο οποίος το υιός του Ζαμβρί, υιού του Ζαρά, από την φυλήν του Ιούδα, εκράτησεν από τα αφιερωθέντα στον Κυριον. Και ωργίσθη ο Κυριος οργήν μεγάλην εναντίον όλων των Ισραηλιτών και η οργή του εξεδηλώθη κατά τον ακόλουθον τρόπον.

ΙτΝ. 7,2 - καὶ ἀπέστειλεν Ἰησοῦς ἄνδρας εἰς Γαί, ἥ ἐστι κατὰ Βαιθήλ, λέγων· κατασκέψασθε τὴν Γαί·

ΙτΝ. 7,2 - Ο Ιησούς έστειλεν άνδρας εις την Γαι, η οποία ευρίσκεται απέναντι από την Βαιθήλ, λέγων· “κατασκοπεύσατε την πόλιν Γαι”.

ΙτΝ. 7,3 - καὶ ἀνέβησαν οἱ ἄνδρες καὶ κατεσκέψαντο τὴν Γαί. καὶ ἀνέστρεψαν πρὸς Ἰησοῦν καὶ εἶπαν πρὸς αὐτόν· μὴ ἀναβήτω πᾶς ὁ λαός, ἀλλ᾿ ὡσεὶ δισχίλιοι ἢ τρισχίλιοι ἄνδρες ἀναβήτωσαν καὶ ἐκπολιορκησάτωσαν τὴν πόλιν· μὴ ἀναγάγῃς ἐκεῖ τὸν λαὸν ἅπαντα, ὀλίγοι γάρ εἰσι.

ΙτΝ. 7,3 - Οι άνδρες αυτοί ανήλθον εις την περιοχήν της Γαι, παρετήρησαν την πόλιν, και επέστρεψαν και είπον στον Ιησούν· “Ας μη αναβή όλος ο στρατός, αλλά μόνον δύο έως τρεις χιλιάδες και ας πολιορκήσουν την πόλιν. Μη οδηγήσης εκεί όλον τον στρατόν, διότι οι κάτοικοι της πόλεως είναι ολίγοι”.

ΙτΝ. 7,4 - καὶ ἀνέβησαν ὡσεὶ τρισχίλιοι ἄνδρες καὶ ἔφυγον ἀπὸ προσώπου ἀνδρῶν Γαί.

ΙτΝ. 7,4 - Ανέβησαν πράγματι τρεις περίπου χιλιάδες άνδρες, οι οποίοι όμως καθώς αντίκρυσαν τους άνδρας της Γαι, ετράπησαν εις φυγήν.

ΙτΝ. 7,5 - καὶ ἀπέκτειναν ἀπ᾿ αὐτῶν ἄνδρες Γαὶ εἰς τριακονταὲξ ἄνδρας καὶ κατεδίωξαν αὐτοὺς ἀπὸ τῆς πύλης καὶ συνέτριψαν αὐτοὺς ἀπὸ τοῦ καταφεροῦς· καὶ ἐπτοήθη ἡ καρδία τοῦ λαοῦ καὶ ἐγένετο ὥσπερ ὕδωρ.

ΙτΝ. 7,5 - Οι δε άνδρες της Γαι εφόνευσαν τριανταέξ από τους Ισραηλίτας, τους δε άλλους τους κατεδίωξαν από την πύλην της πόλεως μέχρι κάποιας κατωφρερείας, όπου και τους συνέτριψαν. Ο λαός κατελήφθη από πανικόν και η καρδία του έγινεν, ωσάν το νερό.

ΙτΝ. 7,6 - καὶ διέῤῥηξεν Ἰησοῦς τὰ ἱμάτια αὐτοῦ, καὶ ἔπεσεν Ἰησοῦς ἐπὶ τὴν γῆν ἐπὶ πρόσωπον ἐναντίον Κυρίου ἕως ἑσπέρας, αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραήλ, καὶ ἐπεβάλοντο χοῦν ἐπὶ τὰς κεφαλὰς αὐτῶν.

ΙτΝ. 7,6 - Εσχισε τα ιμάτιά του από την λύπην του ο Ιησούς του Ναυη, έπεσε πρηνής κάτω εις την γην ενώπιον της Σκηνής του Μαρτυρίου μέχρις εσπέρας και μαζή με αυτόν οι πρεσβύτεροι του λαού. Ερριψαν χώμα εις τα κεφάλια των, δια να εκφράσουν την φοβεράν λύπην, που τους κατέλαβεν.

ΙτΝ. 7,7 - καὶ εἶπεν Ἰησοῦς· δέομαι Κύριε· ἱνατί διεβίβασεν ὁ παῖς σου τὸν λαὸν τοῦτον τὸν Ἰορδάνην παραδοῦναι αὐτὸν τῷ Ἀμοῤῥαίῳ ἀπολέσαι ἡμᾶς; καὶ εἰ κατεμείναμεν καὶ κατῳκίσθημεν παρὰ τὸν Ἰορδάνην.

ΙτΝ. 7,7 - Ο Ιησούς του Ναυή προσηυχήθη και είπε· “σε ικετεύω, Κυριε, φανέρωσέ μου, διατί διεπεραίωσα εγώ ο δούλός σου τον λαόν τούτον από τον Ιορδάνην ποταμόν; Μηπως δια να παραδώσης αυτόν στους Αμορραίους και εκείνοι να μας καταστρέψουν; Είθε να εμέναμεν μονίμως και να κατοικούσαμεν εις τας πέραν του Ιορδάνου περιοχάς.

ΙτΝ. 7,8 - καὶ τί ἐρῶ, ἐπεὶ μετέβαλεν Ἰσραὴλ αὐχένα ἀπέναντι τοῦ ἐχθροῦ αὐτοῦ;

ΙτΝ. 7,8 - Τι θα σκεφθώ και τι θα είπω εγώ τώρα, που βλέπω ότι οι Ισραηλίται έστρεψαν τα νώτα στους εχθρούς των; Τρομεροί κίνδυνοι μας απειλούν.

ΙτΝ. 7,9 - καὶ ἀκούσας ὁ Χαναναῖος καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν περικυκλώσουσιν ἡμᾶς καὶ ἐκτρίψουσιν ἡμᾶς ἀπὸ τῆς γῆς· καὶ τί ποιήσεις τὸ ὄνομά σου τὸ μέγα;

ΙτΝ. 7,9 - Διότι όταν πληροφορηθούν το γεγονός οι Χαναναίοι και όλοι οι άλλοι κάτοικοι της χώρας, θα μας περικυκλώσουν και θα μας εξολοθρεύσουν. Και τι θα πράξης τότε δια το μέγα και Ενδοξον Ονομά Σου;”

ΙτΝ. 7,10 - καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· ἀνάστηθι, ἱνατί τοῦτο σὺ πέπτωκας ἐπὶ πρόσωπόν σου;

ΙτΝ. 7,10 - Είπε δε ο Κυριος προς τον Ιησούν· “σήκω· διατί συ έπεσες πρηνής και καταπτοημένος κάτω εις την γην;

ΙτΝ. 7,11 - ἡμάρτηκεν ὁ λαὸς καὶ παρέβη τὴν διαθήκην, ἣν διεθέμην πρὸς αὐτούς, καὶ κλέψαντες ἀπὸ τοῦ ἀναθέματος ἐνέβαλον εἰς τὰ σκεύη αὐτῶν.

ΙτΝ. 7,11 - Ο λαός ημάρτησε και παρέβη την εντολήν, την οποίαν έδωκα προς αυτούς. Εκλεψαν από τα αφιερωμένα εις εμέ και τα έκρυψαν εις τας αποσκευάς των.

ΙτΝ. 7,12 - καὶ οὐ μὴ δύνωνται οἱ υἱοὶ Ἰσραὴλ ὑποστῆναι κατὰ πρόσωπον τῶν ἐχθρῶν αὐτῶν· αὐχένα ἐπιστρέψουσιν ἔναντι τῶν ἐχθρῶν αὐτῶν, ὅτι ἐγενήθησαν ἀνάθεμα· οὐ προσθήσω ἔτι εἶναι μεθ᾽ ὑμῶν, ἐὰν μὴ ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν.

ΙτΝ. 7,12 - Δια τούτο οι Ισραηλίται δεν ημπορούν να αντικρούσουν και αντισταθούν ενώπιον των εχθρών των. Θα στρέφουν τα νώτα και θα τρέπωνται εις φυγήν ενώπιον των εχθρών των, διότι έγιναν οι ίδιοι αναθεματισμένοι. Δεν θα μείνω πλέον μαζή σας, εάν δεν βγάλετε από ανάμεσά σας εκείνον, που διέπραξε το ανάθεμα.

ΙτΝ. 7,13 - ἀναστὰς ἁγίασον τὸν λαὸν καὶ εἰπὸν ἁγιασθῆναι εἰς αὔριον· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· τὸ ἀνάθεμά ἐστιν ἐν ὑμῖν, οὐ δυνήσεσθε ἀντιστῆναι ἀπέναντι τῶν ἐχθρῶν ὑμῶν, ἕως ἂν ἐξάρητε τὸ ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν.

ΙτΝ. 7,13 - Σηκω λοιπόν να αγιάσης τον λαόν· διάταξε αυτούς να αγιασθούν και απαλλαγούν από τον ένοχον εντός της αύριον. Αυτά λέγει Κυριος ο Θεός του Ισραήλ· Εκείνος που διέπραξε το ανάθεμα ευρίσκεται μεταξύ σας και δια τούτο δεν είναι δυνατόν να αντισταθήτε κατά των εχθρών σας, έως ότου βγάλετε τον αναθεματισμένον από ανάμεσά σας.

ΙτΝ. 7,14 - καὶ συναχθήσεσθε πάντες τὸ πρωΐ κατὰ φυλάς, καὶ ἔσται ἡ φυλή, ἣν ἂν δείξῃ Κύριος, προσάξετε κατὰ δήμους· καὶ τὸν δῆμον, ὃν ἐὰν δείξῃ Κύριος, προσάξετε κατ᾿ οἶκον· καὶ τὸν οἶκον, ὃν ἐὰν δείξῃ Κύριος, προσάξετε κατ᾿ ἄνδρα·

ΙτΝ. 7,14 - Αύριον το πρωϊ θα συναχθήτε όλοι κατά φυλάς. Του ενόχου δε την φυλήν, την οποίαν θα αποκαλύψη ο Κυριος, θα την οδηγήσετε κατά τους δήμους αυτής. Τον δήμον στον οποίον θα ανήκη ο ένοχος, θα τον παρουσιάσετε κατά οικογενείας· και την οικογένειαν, που θα φανερώση ο Κυριος, θα την οδηγήσετε κατ' άνδρα.

ΙτΝ. 7,15 - καὶ ὃς ἂν ἐνδειχθῇ, κατακαυθήσεται ἐν πυρὶ καὶ πάντα, ὅσα ἐστὶν αὐτῷ, ὅτι παρέβη τὴν διαθήκην Κυρίου καὶ ἐποίησεν ἀνόμημα ἐν Ἰσραήλ.

ΙτΝ. 7,15 - Εκείνον, ο οποίος θα καταδειχθή από τον Κυριον ως ένοχος, θα τον παραδώσετε στο πυρ αυτόν και όλα τα υπάρχοντά του, διότι παρέβη την εντολήν του Κυρίου και διέπραξε παρανομίαν μεταξύ του ισραηλιτικού λαού”.

ΙτΝ. 7,16 - καὶ ὤρθρισεν Ἰησοῦς καὶ προσήγαγε τὸν λαὸν κατὰ φυλάς, καὶ ἐνεδείχθη ἡ φυλὴ Ἰούδα·

ΙτΝ. 7,16 - Ο Ιησούς ηγέρθη πρωί και διέταξεν τον λαόν να παρουσιασθή κατά φυλάς. Ως ένοχος εδείχθη από τον Κυριον η φυλή του Ιούδα.

ΙτΝ. 7,17 - καὶ προσήχθη κατὰ δήμους, καὶ ἐνεδείχθη δῆμος Ζαραΐ·

ΙτΝ. 7,17 - Η φυλή αυτή παρουσιάσθη κατά δήμους και υπεδείχθη ένοχος ο δήμος Ζαραΐ.

ΙτΝ. 7,18 - καὶ προσήχθη κατ᾿ ἄνδρα, καὶ ἐνεδείχθη Ἄχαρ υἱὸς Ζαμβρὶ υἱοῦ Ζαρά.

ΙτΝ. 7,18 - Παρουσιάσθη ο δήμος αυτός κατ' άνδρα και υπεδείχθη ένοχος ο Αχαρ, υιός του Ζαμβρί, υιού του Ζαρά.

ΙτΝ. 7,19 - καὶ εἶπεν Ἰησοῦς τῷ Ἄχαρ· δὸς δόξαν σήμερον τῷ Κυρίῳ Θεῷ Ἰσραὴλ καὶ δὸς τὴν ἐξομολόγησιν καὶ ἀνάγγειλόν μοι τί ἐποίησας καὶ μὴ κρύψῃς ἀπ᾿ ἐμοῦ.

ΙτΝ. 7,19 - Είπε δε ο Ιησούς στον Αχαρ· “δόξασε σήμερον τον Θεόν, ομολόγησε και ανάγγειλον τι έπραξες και μη μου κρύψης τίποτε”.

ΙτΝ. 7,20 - καὶ ἀπεκρίθη Ἄχαρ τῷ Ἰησοῖ καὶ εἶπεν· ἀληθῶς ἥμαρτον ἐναντίον Κυρίου τοῦ Θεοῦ Ἰσραήλ· οὕτως καὶ οὕτως ἐποίησα·

ΙτΝ. 7,20 - Απεκρίθη ο Αχαρ στον Ιησούν και είπεν· “αληθώς ημάρτησα ενώπιον Κυρίου του Θεού Ισραήλ. Ετσι και έτσι έκαμα.

ΙτΝ. 7,21 - εἶδον ἐν τῇ προνομῇ ψιλὴν ποικίλην καλὴν καὶ διακόσια δίδραχμα ἀργυρίου καὶ γλῶσσαν μίαν χρυσῆν πεντήκοντα διδράχμων καὶ ἐνθυμηθεὶς αὐτῶν ἔλαβον, καὶ ἰδοὺ αὐτὰ ἐγκέκρυπται ἐν τῇ σκηνῇ μου καὶ τὸ ἀργύριον κέκρυπται ὑποκάτω αὐτῶν.

ΙτΝ. 7,21 - Είδα μεταξύ των λαφύρων ωραίαν πολύχρωμον στολήν, διακόσια δίδραχμα αργυρίου και μίαν ράβδον χρυσήν ομοίαν προς γλώσσαν αξίας πεντήκοντα διδράχμων, επεθύμησα αυτά και τα επήρα. Ιδού όλα αυτά είναι κρυμμένα εις την σκηνήν μου και κάτω από αυτά τα αργυρά δίδραχμα”.

ΙτΝ. 7,22 - καὶ ἀπέστειλεν Ἰησοῦς ἀγγέλους, καὶ ἔδραμον εἰς τὴν σκηνὴν εἰς τὴν παρεμβολήν· καὶ ταῦτα ἦν κεκρυμμένα εἰς τὴν σκηνὴν αὐτοῦ, καὶ τὸ ἀργύριον ὑποκάτω αὐτῶν.

ΙτΝ. 7,22 - Εστειλεν ο Ιησούς απεσταλμένους, οι οποίοι έσπευσαν εις την σκηνήν, που ευρίσκετο στο στρατόπεδον. Και είδον ότι πράγματι τα αντικείμενα αυτά ήσαν κρυμμένα εις την σκηνήν του Αχαρ και τα αργυρά δίδραχμα κάτω από αυτά.

ΙτΝ. 7,23 - καὶ ἐξήνεγκαν αὐτὰ ἐκ τῆς σκηνῆς καὶ ἤνεγκαν πρὸς Ἰησοῦν καὶ τοὺς πρεσβυτέρους Ἰσραήλ, καὶ ἔθηκαν αὐτὰ ἔναντι Κυρίου.

ΙτΝ. 7,23 - Τα έβγαλαν από την σκηνήν, τα έφεραν στον Ιησούν και τους πρεσβυτέρους του Ισραήλ και τα απέθεσαν ενώπιον της Σκηνής του Μαρτυρίου.

ΙτΝ. 7,24 - καὶ ἔλαβεν Ἰησοῦς τὸν Ἄχαρ υἱὸν Ζαρὰ καὶ ἀνήγαγεν αὐτὸν εἰς φάραγγα Ἀχὼρ καὶ τοὺς υἱοὺς αὐτοῦ καὶ τὰς θυγατέρας αὐτοῦ καὶ τοὺς μόσχους αὐτοῦ καὶ τὰ ὑποζύγια αὐτοῦ καὶ πάντα τὰ πρόβατα αὐτοῦ καὶ τὴν σκηνὴν αὐτοῦ καὶ πάντα τὰ ὑπάρχοντα αὐτοῦ, καὶ πᾶς ὁ λαὸς μετ᾿ αὐτοῦ· καὶ ἀνήγαγεν αὐτοὺς εἰς Ἐμεκαχώρ.

ΙτΝ. 7,24 - Επήρε τότε ο Ιησούς τον Αχαρ, τον υιόν του Ζαρά, και τον ωδήγησεν εις την φάραγγα Αχώρ, αυτόν και τα παιδιά του και τας θυγατέρας του και τα μοσχάρια του, τα υποζύγιά του και όλα τα πρόβατά του, την σκηνήν και όλα τα υπάρχοντά του. Μαζή δέ με αυτόν επορεύθη και όλος ο λαός. Ωδήγησε δε αυτούς ο Ιησούς του Ναυή εις την κοιλάδα του Αχώρ.

ΙτΝ. 7,25 - καὶ εἶπεν Ἰησοῦς τῷ Ἄχαρ· τί ὠλόθρευσας ἡμᾶς; ἐξολοθρεύσαι σε Κύριος καθὰ καὶ σήμερον. καὶ ἐλιθοβόλησαν αὐτὸν λίθοις πᾶς Ἰσραήλ.

ΙτΝ. 7,25 - Εκεί δε είπεν ο Ιησούς του Ναυή στον Αχαρ· "διατί μας κατέστρεψες; Ετσι και σε σήμερον θα καταστρέψη ο Θεός". Και όλοι οι Ισραηλίται ελιθοβόλησαν αυτόν και τον εφόνευσαν με τους λίθους.

ΙτΝ. 7,26 - καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων μέγαν. καὶ ἐπαύσατο Κύριος τοῦ θυμοῦ τῆς ὀργῆς· διὰ τοῦτο ἐπωνόμασεν αὐτὸ Ἐμεκαχὼρ ἕως τῆς ἡμέρας ταύτης.

ΙτΝ. 7,26 - Εμάζεψαν δε και έστησαν μεγάλον σωρόν λίθων επάνω στο πτώμα του. Ετσι δε κατέπαυσεν η οργή του Κυρίου εναντίον του λαού. Δια τούτο ο τόπος εκείνος ωνομάσθη μέχρι της σήμερον Εμέκ Αχώρ, δηλαδή κοιλάς του Αχώρ.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 8

ΙτΝ. 8,1 - Καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· μὴ φοβηθῇς μηδὲ δειλιάσῃς, λάβε μετὰ σοῦ πάντας τοὺς ἄνδρας τοὺς πολεμιστὰς καὶ ἀναστὰς ἀνάβηθι εἰς Γαί· ἰδοὺ δέδωκα εἰς τὰς χεῖράς σου τὸν βασιλέα Γαὶ καὶ τὴν γῆν αὐτοῦ.

ΙτΝ. 8,1 - Είπεν ο Κυριος προς τον Ιησούν· "μη φοβηθής, ούτε και να δειλιάσης. Παρε μαζή σου όλους τους πολεμιστάς άνδρας και ξεκίνα, δια να αναβής εις την Γαι. Ιδού έχω παραδώσει εις τα χέρια σου τον βασιλέα της Γαι και την χώραν του.

ΙτΝ. 8,2 - καὶ ποιήσεις τὴν Γαὶ ὃν τρόπον ἐποίησας τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα αὐτῆς, καὶ τὴν προνομὴν τῶν κτηνῶν προνομεύσεις σεαυτῷ. κατάστησον δὲ σεαυτῷ ἔνεδρα τῇ πόλει εἰς τὰ ὀπίσω.

ΙτΝ. 8,2 - Θα κάμης εναντίον της Γαι, ο,τι εναντίον της Ιεριχούς και του βασιλέως αυτής. Από τα λάφυρα μόνον τα ζώα θα πάρης δια τον εαυτόν σου. Πισω από την πόλιν να στήσης ενέδραν".

ΙτΝ. 8,3 - καὶ ἀνέστη Ἰησοῦς καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς ὥστε ἀναβῆναι εἰς Γαί. ἐπέλεξε δὲ Ἰησοῦς τριάκοντα χιλιάδας ἀνδρῶν δυνατοὺς ἐν ἰσχύϊ καὶ ἀπέστειλεν αὐτοὺς νυκτός.

ΙτΝ. 8,3 - Εσηκώθη και ητοιμάσθη ο Ιησούς και όλοι οι μάχιμοι άνδρες με αυτόν, δια να αναβούν εις την Γαι. Εξέλεξε δε ο Ιησούς τριάκοντα χιλιάδας γενναίους άνδρας, τους έστειλε κατά την νύκτα,

ΙτΝ. 8,4 - καὶ ἐνετείλατο αὐτοῖς λέγων· ὑμεῖς ἐνεδρεύσατε ὀπίσω τῆς πόλεως· μὴ μακρὰν γίνεσθε ἀπὸ τῆς πόλεως καὶ ἔσεσθε πάντες ἕτοιμοι.

ΙτΝ. 8,4 - και διέταξεν αυτούς λέγων· "σεις θα στήσετε ενέδραν πίσω από την πόλιν, οχι όμως μακράν από αυτήν, και να είσθε όλοι έτοιμοι.

ΙτΝ. 8,5 - καὶ ἐγὼ καὶ πάντες οἱ μετ᾿ ἐμοῦ προσάξομεν πρὸς τὴν πόλιν, καὶ ἔσται ὡς ἂν ἐξέλθωσιν οἱ κατοικοῦντες Γαὶ εἰς συνάντησιν ἡμῖν, καθάπερ καὶ πρῴην, καὶ φευξόμεθα ἀπὸ προσώπου αὐτῶν.

ΙτΝ. 8,5 - Εγώ δε και όλοι οι άνδρες, που θα είναι μαζή μου, θα πλησιάσωμεν εις την πόλιν. Οταν δε οι κάτοικοι της Γαι εξέλθουν εναντίον μας, όπως έκαμαν και προηγουμένως, ημείς θα προσποιηθώμεν ότι τρεπόμεθα εις φυγήν από εμπρός των.

ΙτΝ. 8,6 - καὶ ὡς ἂν ἐξέλθωσιν ὀπίσω ἡμῶν, ἀποσπάσομεν αὐτοὺς ἀπὸ τῆς πόλεως, καὶ ἐροῦσι· φεύγουσιν οὗτοι ἀπὸ προσώπου ἡμῶν, ὃν τρόπον καὶ ἔμπροσθεν.

ΙτΝ. 8,6 - Οταν δε εκείνοι εξέλθουν από την πόλιν, δια να μας καταδιώξουν, ημείς θα τους παρασύρωμεν φεύγοντες μακράν από την πόλιν και εκείνοι θα λέγουν· φεύγουν αυτοί από εμπρός μας, όπως και την προηγουμένην φοράν. Ας τους καταδιώξωμεν.

ΙτΝ. 8,7 - ὑμεῖς δὲ ἐξαναστήσεσθε ἐκ τῆς ἐνέδρας καὶ πορεύσεσθε εἰς τὴν πόλιν.

ΙτΝ. 8,7 - Σεις τότε θα σηκωθήτε από την ενέδραν σας και θα εισέλθετε εις την πόλιν.

ΙτΝ. 8,8 - κατὰ τὸ ῥῆμα τοῦτο ποιήσετε· ἰδοὺ ἐντέταλμαι ὑμῖν.

ΙτΝ. 8,8 - Οπως σας είπα, έτσι θα κάμετε. Ιδού τι σας διατάσσω”.

ΙτΝ. 8,9 - καὶ ἀπέστειλεν αὐτοὺς Ἰησοῦς, καὶ ἐπορεύθησαν εἰς τὴν ἐνέδραν καὶ ἐνεκάθισαν ἀνὰ μέσον Βαιθὴλ καὶ ἀνὰ μέσον Γαί, ἀπὸ θαλάσσης τῆς Γαί.

ΙτΝ. 8,9 - Ο Ιησούς απέστειλεν αυτούς και εκείνοι επορεύθησαν να στήσουν την ενέδραν. Εκρύβησαν μεταξύ των πόλεων Βαιθήλ και Γαι, προς δυσμάς της Γαι.

ΙτΝ. 8,10 - καὶ ὀρθρίσας Ἰησοῦς τὸ πρωΐ ἐπεσκέψατο τὸν λαόν· καὶ ἀνέβησαν αὐτὸς καὶ οἱ πρεσβύτεροι κατὰ πρόσωπον τοῦ λαοῦ ἐπὶ Γαί.

ΙτΝ. 8,10 - Ο Ιησούς ηγέρθη λίαν πρωί και επεθεώρησε τον λαόν. Επειτα δε αυτός και οι πρεσβύτεροι προπορευόμενοι του στρατού εβάδισαν κατά της πόλεως Γαι.

ΙτΝ. 8,11 - καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς μετ᾿ αὐτοῦ ἀνέβησαν καὶ πορευόμενοι ἦλθον ἐξεναντίας τῆς πόλεως ἀπὸ ἀνατολῶν,

ΙτΝ. 8,11 - Ολος δε ο μάχιμος ισραηλιτικός λαός ανέβαινε μαζή του. Πορευόμενοι δε ήλθον απέναντι της πόλεως Γαι από το ανατολικόν μέρος.

ΙτΝ. 8,12 - καὶ τὰ ἔνεδρα τῆς πόλεως ἀπὸ θαλάσσης.

ΙτΝ. 8,12 - Η ενέδρα ευρίσκετο δυτικώς της πόλεως.

ΙτΝ. 8,14 - καὶ ἐγένετο ὡς εἶδε βασιλεὺς Γαί, ἔσπευσε καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτοῖς ἐπ᾿ εὐθείας εἰς τὸν πόλεμον, αὐτὸς καὶ πᾶς ὁ λαὸς ὁ μετ᾿ αὐτοῦ. καὶ αὐτὸς οὐκ ᾔδει ὅτι ἔνεδρα αὐτῷ ἐστιν ὀπίσω τῆς πόλεως.

ΙτΝ. 8,14 - Οταν ο βασιλεύς της Γαι είδε τον στρατόν του Ισραήλ έσπευσε και εξήλθεν από την πόλιν, δια να επιτεθή εναντίον των κατ' ευθείαν, χωρίς να ασφαλίση τα νώτα του, αυτός και όλος ο λαός που ευρίσκετο μαζή του. Δεν εγνώριζε δε ότι πίσω από την πόλιν είχε στηθή ενέδρα εναντίον του.

ΙτΝ. 8,15 - καὶ εἶδε καὶ ἀνεχώρησεν Ἰησοῦς καὶ Ἰσραὴλ ἀπὸ προσώπου αὐτῶν.

ΙτΝ. 8,15 - Ο Ιησούς και οι Ισραηλίται πολεμισταί, όταν είδαν εξερχομένους αυτούς, έφυγαν απ' αυτούς, τραπέντες τάχα εις φυγήν.

ΙτΝ. 8,16 - καὶ κατεδίωξαν ὀπίσω τῶν υἱῶν Ἰσραὴλ καὶ αὐτοὶ ἀπέστησαν ἀπὸ τῆς πόλεως·

ΙτΝ. 8,16 - Εκείνοι κατεδίωξαν τους Ισραηλίτας και έτσι απεμακρύνθησαν από την πόλιν.

ΙτΝ. 8,17 - οὐ κατελείφθη οὐδεὶς ἐν τῇ Γαί, ὃς οὐ κατεδίωξεν ὀπίσω Ἰσραήλ· καὶ κατέλιπον τὴν πόλιν ἠνεῳγμένην καὶ κατεδίωξαν ὀπίσω Ἰσραήλ.

ΙτΝ. 8,17 - Κανείς δεν έμεινεν εις την Γαι, ο οποίος να μη εξήλθεν εις καταδίωξιν των Ισραηλιτών. Εγκατέλειψαν την πόλιν ανοικτήν και αφρούρητον και κατεδίωξαν τους Ισραηλίτας.

ΙτΝ. 8,18 - καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· ἔκτεινον τὴν χεῖρά σου ἐν τῷ γαισῷ τῷ ἐν τῇ χειρί σου ἐπὶ τὴν πόλιν, εἰς γὰρ τὰς χεῖράς σου παραδέδωκα αὐτήν, καὶ τὰ ἔνεδρα ἐξαναστήσονται ἐν τάχει ἐκ τοῦ τόπου αὐτῶν. καὶ ἐξέτεινεν Ἰησοῦς τὴν χεῖρα αὐτοῦ, τὸν γαισόν, ἐπὶ τὴν πόλιν,

ΙτΝ. 8,18 - Είπε τότε ο Κυριος προς τον Ιησούν· "ύψωσε το χέρι σου και τον κοντόν που κρατάς προς το μέρος της πόλεως, διότι παρέδωκα αυτήν εις τα χέρια σου, και οι ενεδρεύοντες στρατιώται θα εγερθούν αμέσως από τον τόπον των και θα ορμήσουν". Υψωσεν ο Ιησούς το χέρι του και τον κοντόν προς την κατεύθυνσιν της πόλεως.

ΙτΝ. 8,19 - καὶ τὰ ἔνεδρα ἐξανέστησαν ἐν τάχει ἐκ τοῦ τόπου αὐτῶν καὶ ἐξήλθοσαν, ὅτε ἐξέτεινε τὴν χεῖρα, καὶ εἰσήλθοσαν ἐπὶ τὴν πόλιν καὶ κατελάβοντο αὐτὴν καὶ σπεύσαντες ἐνέπρησαν τὴν πόλιν ἐν πυρί.

ΙτΝ. 8,19 - Οι ενεδρεύοντες τότε Ισραηλίται εσηκώθησαν από τον τόπον της ενέδρας των αμέσως μόλις ύψωσε το χέρι του ο Ιησούς, εισήλθον εις την πόλιν, την κατέλαβον και την παρέδωσαν αμέσως στο πυρ.

ΙτΝ. 8,20 - καὶ περιβλέψαντες οἱ κάτοικοι Γαὶ εἰς τὰ ὀπίσω αὐτῶν καὶ ἐθεώρουν καπνὸν ἀναβαίνοντα ἐκ τῆς πόλεως εἰς τὸν οὐρανόν· καὶ οὐκ ἔτι εἶχον ποῦ φύγωσιν ὧδε ἢ ὧδε.

ΙτΝ. 8,20 - Οι κάτοικοι της Γαι όταν έστρεψαν τα βλέματά των προς τα οπίσω, είδον έντρομοι καπνόν να ανεβαίνη από την πόλιν των στον ουρανόν. Και δεν είχον πλέον που να φύγουν από έδω η από εκεί.

ΙτΝ. 8,21 - καὶ Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ εἶδον ὅτι ἔλαβον τὰ ἔνεδρα τὴν πόλιν καὶ ὅτι ἀνέβη ὁ καπνὸς τῆς πόλεως εἰς τὸν οὐρανόν, καὶ μεταβαλόμενοι ἐπάταξαν τοὺς ἄνδρας τῆς Γαί.

ΙτΝ. 8,21 - Ο Ιησούς και όλος ο στρατός του Ισραήλ είδον ότι κατέλαβον την πόλιν οι ενεδρεύοντες και ότι ο καπνός από την καιομένην πόλιν ανέβαινεν στον ουρανόν. Εκαμαν μεταβολήν και επετέθησαν εναντίον των ανδρών της Γαι.

ΙτΝ. 8,22 - καὶ οὗτοι ἐξήλθοσαν ἐκ τῆς πόλεως εἰς συνάντησιν καὶ ἐγενήθησαν ἀνὰ μέσον τῆς παρεμβολῆς, οὗτοι ἐντεῦθεν καὶ οὗτοι ἐντεῦθεν· καὶ ἐπάταξαν αὐτοὺς ἕως τοῦ μὴ καταλειφθῆναι αὐτῶν σεσωσμένον καὶ διαπεφευγότα.

ΙτΝ. 8,22 - Οι ενεδρεύοντες δέ, που κατέλαβον την πόλιν, εξήλθαν από αυτήν εις συνάντησιν των εχθρών και έτσι οι κάτοικοι της Γαι ευρέθησαν ανάμεσα στους δύο στρατούς του Ισραήλ, διότι ούτοι μεν από τους Ισραηλίτας ευρίσκοντο από έδω και οι άλλοι από εκεί. Οι Ισραηλίται εκτύπησαν και εφόνευσαν όλους, μέχρις ότου κανείς δεν εσώθη και κανείς δεν κατώρθωσε να διαφύγη.

ΙτΝ. 8,23 - καὶ τὸν βασιλέα τῆς Γαὶ συνέλαβον ζῶντα καὶ προσήγαγον αὐτὸν πρὸς Ἰησοῦν.

ΙτΝ. 8,23 - Συνέλαβον δε ζώντα και τον βασιλέα της Γαι και τον οδήγησαν ενώπιον του Ιησού.

ΙτΝ. 8,24 - καὶ ὡς ἐπαύσαντο οἱ υἱοὶ Ἰσραὴλ ἀποκτείνοντες πάντας τοὺς ἐν τῇ Γαί, τοὺς ἐν τοῖς πεδίοις καὶ ἐν τῷ ὄρει ἐπὶ τῆς καταβάσεως, οὗ κατεδίωξαν αὐτοὺς ἀπ᾿ αὐτῆς εἰς τέλος, καὶ ἐπέστρεψεν Ἰησοῦς εἰς Γαὶ καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι ῥομφαίας.

ΙτΝ. 8,24 - Οταν οι Ισραηλίται ετελείωσαν να φονεύουν όλους τους κατοίκους της Γαι, οι οποίοι ήσαν εις τας πεδιάδας και στο όρος και εις την κατωφέρειαν, όπου και κατεδίωξαν αυτούς εκεί μέχρι τέλους, επέστρεψεν ο Ιησούς εις την Γαι και επέρασεν εν στόματι μαχαίρας όσους είχαν απομείνει εκεί.

ΙτΝ. 8,25 - καὶ ἐγενήθησαν οἱ πεσόντες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ ἀνδρὸς καὶ ἕως γυναικὸς δώδεκα χιλιάδες, πάντας τοὺς κατοικοῦντας Γαί,

ΙτΝ. 8,25 - Κατά την ημέραν εκείνην όλοι οι φονευθέντες από ανδρός έως γυναικός, όλοι οι κάτοικοι της Γαι, έφθασαν τας δώδεκα χιλιάδας.

ΙτΝ. 8,27 - πλὴν τῶν κτηνῶν καὶ τῶν σκύλων τῶν ἐν τῇ πόλει, πάντα ἃ ἐπρονόμευσαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραὴλ κατὰ πρόσταγμα Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Ἰησοῖ.

ΙτΝ. 8,27 - Από όσα υπήρχον εις την πόλιν μόνον τα ζώα και τα λάφυρα επήραν οι Ισραηλίται, τα οποία επήραν ως λείαν πολέμου, σύμφωνα με την εντολήν του Κυρίου, όπως διέταξεν ο Κυριος.

ΙτΝ. 8,28 - καὶ ἐνεπύρισεν Ἰησοῦς τὴν πόλιν ἐν πυρί· χῶμα ἀοίκητον εἰς τὸν αἰῶνα ἔθηκεν αὐτὴν ἕως τῆς ἡμέρας ταύτης.

ΙτΝ. 8,28 - Ο Ιησούς κατέκαυσεν εξ ολοκλήρου την πόλιν. Εις ερείπια και εις χώμα ακατοίκητον μετέβαλεν αυτήν έως σήμερα.

ΙτΝ. 8,29 - καὶ τὸν βασιλέα τῆς Γαὶ ἐκρέμασεν ἐπὶ ξύλου διδύμου, καὶ ἦν ἐπὶ τοῦ ξύλου ἕως ἑσπέρας· καὶ ἐπιδύνοντος τοῦ ἡλίου συνέταξεν Ἰησοῦς καὶ καθείλοσαν τὸ σῶμα αὐτοῦ ἀπὸ τοῦ ξύλου καὶ ἔῤῥιψαν αὐτὸ εἰς τὸν βόθρον καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων, ἕως τῆς ἡμέρας ταύτης.

ΙτΝ. 8,29 - Τον δε βασιλέα της Γαι εκρέμασεν εις διχαλωτόν ξύλον και τον αφήκεν εκεί έως την εσπέραν. Κατά την δύσιν του ηλίου διέταξεν ο Ιησούς και κατεβίβασαν το πτώμα του από το ξύλον, το έρριψαν στον λάκκον και εσώριασαν επάνω εις αυτό λίθους, οι οποίοι και υπάρχουν εκεί μέχρι σήμερα.

ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 9

ΙτΝ. 9,1 - Ὡς δὲ ἤκουσαν οἱ βασιλεῖς τῶν Ἀμοῤῥαίων οἱ ἐν τῷ πέραν τοῦ Ἰορδάνου, οἱ ἐν τῇ ὀρεινῇ καὶ οἱ ἐν τῇ πεδινῇ καὶ οἱ ἐν πάσῃ τῇ παραλίᾳ τῆς θαλάσσης τῆς μεγάλης καὶ οἱ πρὸς τῷ Ἀντιλιβάνῳ καὶ οἱ Χετταῖοι καὶ οἱ Χαναναῖοι καὶ οἱ Φερεζαῖοι καὶ οἱ Εὐαῖοι καὶ οἱ Ἀμοῤῥαῖοι καὶ οἱ Γεργεσαῖοι καὶ οἱ Ἰεβουσαῖοι,

ΙτΝ. 9,1 - Οταν δε επληροφορήθησαν τα γεγονότα αυτά οι βασιλείς των Αμορραίων που ευρίσκοντο εις την ορεινήν και πεδινήν περιοχήν δυτικύς του Ιορδάνου, και όσοι κατοικούσαν εις όλην την παραλίαν της μεγάλης θαλάσσης, της Μεσογείου, και οι προς τα μέρη του Αντιλιβάνου, όπως επίσης οι Χετταίοι και οι Χαναναίοι και οι Φερεζαίοι, οι Ευαίοι, οι Αμορραίοι, οι Γεργεσαίοι και οι Ιεβουσαίοι,

ΙτΝ. 9,2 - συνήλθοσαν ἐπὶ τὸ αὐτὸ ἐκπολεμῆσαι Ἰησοῦν καὶ Ἰσραὴλ ἅμα πάντες.

ΙτΝ. 9,2 - συνεκεντρώθησαν όλοι συγχρόνως επί το αυτό, δια να πολεμήσουν μαζή τον Ιησούν και τον ίσραηλιτικόν λαόν.

ΙτΝ. 9,2α - Τότε ᾠκοδόμησεν Ἰησοῦς θυσιαστήριον Κυρίῳ τῷ Θεῷ Ἰσραὴλ ἐν ὄρει Γαιβάλ,

ΙτΝ. 9,2[α] - Τοτε ο Ιησούς έκτισε θυσιαστήριον στο όρος Γαιβάλ, προς τιμήν και λατρείαν Κυρίου του Θεού του Ισραήλ,

ΙτΝ. 9,2β - καθότι ἐνετείλατο Μωυσῆς ὁ θεράπων Κυρίου τοῖς υἱοῖς Ἰσραήλ, καθὰ γέγραπται ἐν τῷ νόμῳ Μωυσῆ, θυσιαστήριον λίθων ὁλοκλήρων, ἐφ᾿ οὓς οὐκ ἐπεβλήθη σίδηρος, καὶ ἀνεβίβασεν ἐκεῖ ὁλοκαυτώματα Κυρίῳ καὶ θυσίαν σωτηρίου.

ΙτΝ. 9,2β - όπως ο Μωϋσής, ο δούλος του Κυρίου, είχε δώσει εντολήν στους Ισραηλίτας, σύμφωνα με όσα έχουν γραφή στον Νομον του Μωϋσή, να κτισθή δηλαδή θυσιαστήριον από ακατεργάστους λίθους,επί των οποίων δεν εκτύπησε και δεν ειργάσθη σιδηρούν εργαλείον. Ο Ιησούς εθυσίασεν εκεί ολοκαυτώματα εις τιμήν του Κυρίου και ευχαριστήριον θυσίαν δια την σωτηρίαν των.

ΙτΝ. 9,2γ - καὶ ἔγραψεν Ἰησοῦς ἐπὶ τῶν λίθων τὸ δευτερονόμιον, νόμον Μωυσῆ, ὃν ἔγραψεν ἐνώπιον τῶν υἱῶν Ἰσραὴλ

ΙτΝ. 9,2γ - Εχάραξε δε επάνω στους λίθους το Δευτερονόμιον, τον νόμον του Μωϋσή, τον οποίον αυτός είχε γράψει εμπρός στους Ισραηλίτας.

ΙτΝ. 9,2δ - καὶ πᾶς Ἰσραὴλ καὶ οἱ πρεσβύτεροι αὐτῶν καὶ οἱ δικασταὶ καὶ οἱ γραμματεῖς αὐτῶν παρεπορεύοντο ἔνθεν καὶ ἔνθεν τῆς κιβωτοῦ ἀπέναντι, καὶ οἱ ἱερεῖς καὶ οἱ Λευῖται ᾖραν τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου, καὶ ὁ προσήλυτος καὶ ὁ αὐτόχθων, οἳ ἦσαν ἥμισυ πλησίον ὄρους Γαριζίν, καὶ οἳ ἦσαν ἥμισυ πλησίον ὄρους Γαιβάλ, καθότι ἐνετείλατο Μωυσῆς ὁ θεράπων Κυρίου εὐλογῆσαι τὸν λαὸν ἐν πρώτοις.

ΙτΝ. 9,2δ - Ολος ο ισραηλιτικός λαός, οι πρεσβύτεροι, οι δικασταί και οι γραμματείς αυτών επορεύοντο από το ένα και από το άλλο μέρος της Κιβωτού και απέναντι. Οι δε ιερείς και οι Λευίται μετέφεραν την Κιβωτόν της Διαθήκης του Κυρίου. Οι ξένοι και οι Ισραηλίται, ήσαν οι μισοί από αυτούς πλησίον του όρους Γαριζίν και οι άλλοι μισοί πλησίον του όρους Γαιβάλ, όπως είχε διατάξει προηγουμένως ο Μωϋσής ο υπηρέτης του Θεού, δια να ευλογηθή ο λαός κατά πρώτον.

ΙτΝ. 9,2ε - καὶ μετὰ ταῦτα οὕτως ἀνέγνω Ἰησοῦς πάντα τὰ ῥήματα τοῦ νόμου τούτου, τὰς εὐλογίας καὶ τὰς κατάρας, κατὰ πάντα τὰ γεγραμμένα ἐν τῷ νόμῳ Μωυσῆ·

ΙτΝ. 9,2ε - Μετά ταύτα ανέγνωσε μεγαλοφώνως ο Ιησούς όλους τους λόγους του Νομου τούτου, τας ευλογίας δηλαδή και τας κατάρας, όπως ακριβώς ήσαν γραμμένα στον Νομον του Μωϋσή.

ΙτΝ. 9,2ζ - οὐκ ἦν ῥῆμα ἀπὸ πάντων ὧν ἐνετείλατο Μωυσῆς τῷ Ἰησοῖ, ὃ οὐκ ἀνέγνω Ἰησοῦς εἰς τὰ ὦτα πάσης ἐκκλησίας υἱῶν Ἰσραήλ, τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ καὶ τοῖς παιδίοις καὶ τοῖς προσηλύτοις τοῖς προσπορευομένοις τῷ Ἰσραήλ.

ΙτΝ. 9,2ζ - Δεν υπήρξε κανένας λόγος, από όσους διέταξεν ο Μωϋσής στον Ιησούν, τον οποίον να μη ανέγνωσεν ο Ιησούς εις επήκοον όλης της συγκεντρώσεως των Ισραηλιτών, στους άνδρας και τας γυναίκας και τα παιδία και τους ξένους, οι οποίοι συνεβάδιζαν με τους Ισραηλίτας.

ΙτΝ. 9,3 - Καὶ οἱ κατοικοῦντες Γαβαὼν ἤκουσαν πάντα, ὅσα ἐποίησε Κύριος τῇ Ἱεριχὼ καὶ τῇ Γαί.

ΙτΝ. 9,3 - Οι κάτοικοι της Γαβαών επληροφορήθησαν όλα, όσα έκαμεν ο Κυριος εις την Ιεριχώ και την Γαι.

ΙτΝ. 9,4 - καὶ ἐποίησαν καί γε αὐτοὶ μετὰ πανουργίας καὶ ἐλθόντες ἐπεσιτίσαντο καὶ ἡτοιμάσαντο καὶ λαβόντες σάκκους παλαιοὺς ἐπὶ τῶν ὄνων αὐτῶν καὶ ἀσκοὺς οἴνου παλαιοὺς καὶ κατεῤῥωγότας ἀποδεδεμένους,

ΙτΝ. 9,4 - Αυτοί όμως επενόησαν ένα πανούργον τρόπον διαφυγής των. Εξεκίνησαν εις συνάντησιν των Ισραηλιτών, αφού έλαβον προμηθείας δια την πορείαν των. Ελαβον δηλαδή και εφόρτωσαν στους όνους των παλαιούς σάκκους και ασκούς με κρασί παλαιούς, σκισμένους και δεμένους.

ΙτΝ. 9,5 - καὶ τὰ κοῖλα τῶν ὑποδημάτων αὐτῶν, καὶ τὰ σανδάλια αὐτῶν παλαιὰ καὶ καταπεπελματωμένα ἐν τοῖς ποσὶν αὐτῶν. καὶ τὰ ἱμάτια αὐτῶν πεπαλαιωμένα ἐπάνω αὐτῶν, καὶ ὁ ἄρτος αὐτῶν τοῦ ἐπισιτισμοῦ ξηρὸς καὶ εὐρωτιῶν καὶ βεβρωμένος.

ΙτΝ. 9,5 - Τα πέλματα των υποδημάτων των και τα υποδήματά των ήσαν παλαιά και μπαλωμένα. Επίσης δε και τα ενδύματα που έφεραν επάνω τους ήσαν παλαιά. Ολο το ψωμί το οποίον έφεραν μαζή των προς διατροφήν των, ήτο ξηρόν, μουχλιασμένον και αποσυντεθειμένον.

ΙτΝ. 9,6 - καὶ ἤλθοσαν πρὸς Ἰησοῦν εἰς τὴν παρεμβολὴν Ἰσραὴλ εἰς Γάλγαλα καὶ εἶπαν πρὸς Ἰησοῦν καὶ Ἰσραήλ· ἐκ γῆς μακρόθεν ἥκαμεν, καὶ νῦν διάθεσθε ἡμῖν διαθήκην.

ΙτΝ. 9,6 - Αυτοί ήλθαν προς τον Ιησούν στο ισραηλιτικόν στρατόπεδον, που ευρίσκετο εις τα Γαλγαλα, και είπον προς αυτόν και τους Ισραηλίτας· "έχομεν έλθει από μακρυνήν χώραν· και τώρα σας παρακαλούμεν συνάψατε συμφωνίαν με ημάς".

ΙτΝ. 9,7 - καὶ εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς τὸν Χοῤῥαῖον· ὅρα μὴ ἐν ἐμοὶ κατοικεῖς, καὶ πῶς σοι διαθῶμαι διαθήκην;

ΙτΝ. 9,7 - Οι Ισραηλίται απήντησαν προς αυτούς, τους Χορραίους· "προσέξατε μήπως μένετε πολύ πλησίον μας. Διότι έτσι πως είναι δυνατόν να συνάψωμεν με σας συμφωνίαν φιλίας;"

ΙτΝ. 9,8 - καὶ εἶπαν πρὸς Ἰησοῦν· οἰκέται σού ἐσμεν. καὶ εἶπε πρὸς αὐτοὺς Ἰησοῦς· πόθεν ἐστὲ καὶ πόθεν παραγεγόνατε;

ΙτΝ. 9,8 - Εκείνοι απήντησαν προς τον Ιησούν· "είμεθα δούλοι σου". Είπε δε προς αυτούς ο Ιησούς· "από που κατάγεσθε και από που ήλθατε;"

ΙτΝ. 9,9 - καὶ εἶπαν· ἐκ γῆς μακρόθεν σφόδρα ἥκασιν οἱ παῖδές σου ἐν ὀνόματι Κυρίου τοῦ Θεοῦ σου· ἀκηκόαμεν γὰρ τὸ ὄνομα αὐτοῦ καὶ ὅσα ἐποίησεν ἐν Αἰγύπτῳ

ΙτΝ. 9,9 - Εκείνοι απήντησαν· "ημείς οι δούλοι σου, έχομεν έλθει από χώραν πολύ μακρυνήν εν ονόματι Κυρίου του Θεού σας. Διότι ηκούσαμεν το όνομά του και όσα θαύματα έκαμεν εις την Αίγυπτον.

ΙτΝ. 9,10 - καὶ ὅσα ἐποίησε τοῖς βασιλεῦσι τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου, τῷ Σηὼν βασιλεῖ τῶν Ἀμοῤῥαίων καὶ τῷ Ὢγ βασιλεῖ τῆς Βασάν, ὃς κατῴκει ἐν Ἀσταρὼθ καὶ ἐν Ἐδραΐν.

ΙτΝ. 9,10 - Και όσα έκαμεν εναντίον των βασιλέων των Αμορραίων, οι οποίοι ήσαν ανατολικώς πέραν του Ιορδάνου, στον Σηών, τον βασιλέα των Αμορραίων και στον Ωγ, βασιλέα της χώρας Βασάν, ο οποίος κατοικούσε εις τας πόλεις Ασταρώθ και Εδραΐν.

ΙτΝ. 9,11 - καὶ ἀκούσαντες εἶπαν πρὸς ἡμᾶς οἱ πρεσβύτεροι ἡμῶν καὶ πάντες οἱ κατοικοῦντες τὴν γῆν ἡμῶν λέγοντες· λάβετε ἑαυτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδὸν καὶ πορεύθητε εἰς συνάντησιν αὐτῶν καὶ ἐρεῖτε πρὸς αὐτούς· οἰκέται σού ἐσμεν, καὶ νῦν διάθεσθε ἡμῖν τὴν διαθήκην.

ΙτΝ. 9,11 - Πληροφορηθέντες τα γεγονότα αυτά οι πρεσβύτεροι αρχηγοί μας και όλοι οι κάτοικοι της χώρας μας είπαν· Παρέτε μαζή σας τροφοδοσίαν δια τον δρόμον, πηγαίνετε να συναντήσετε τους Ισραηλίτας και θα είπετε προς αυτούς· είμεθα δούλοι σας, κλείσατε μαζή μας συμφωνίαν φιλίας.

ΙτΝ. 9,12 - οὗτοι οἱ ἄρτοι, θερμοὺς ἐφωδιάσθημεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ, ᾗ ἐξήλθομεν παραγενέσθαι πρὸς ὑμᾶς. νῦν δὲ ἐξηράνθησαν καὶ γεγόνασι βεβρωμένοι.

ΙτΝ. 9,12 - Αυτοί οι άρτοι, με τους οποίους εφωδιάσθημεν, ήσαν ζεστοί την ημέραν που εξήλθομεν προς συνάντησίν σας. Τωρα έγιναν ξηροί και μουχλιασμένοι.

ΙτΝ. 9,13 - καὶ οὗτοι οἱ ἀσκοὶ τοῦ οἴνου, οὓς ἐπλήσαμεν καινούς, καὶ οὗτοι ἐῤῥώγασι· καὶ τὰ ἱμάτια ἡμῶν καὶ τὰ ὑποδήματα ἡμῶν πεπαλαίωται ἀπὸ τῆς πολλῆς ὁδοῦ σφόδρα.

ΙτΝ. 9,13 - Οι ασκοί αυτοί του οίνου ήσαν καινούργιοι, όταν τους εγεμίσαμεν, και τώρα έχουν σχισθή. Τα ενδύματά μας και τα υποδήματά μας επάληωσαν και εφθάρησαν από την πολύ μακρυνήν πορείαν, που εκάμαμε έως εδώ”.

ΙτΝ. 9,20 - καὶ ἔλαβον οἱ ἄρχοντες τοῦ ἐπισιτισμοῦ αὐτῶν καὶ Κύριον οὐκ ἐπηρώτησαν.

ΙτΝ. 9,20 - Οι άρχοντες του ισραηλιτικού λαού επήραν από τους άρτους εκείνων (τους είδαν μουχλιασμένους και παρεδέχθησαν ως αληθινήν την ιστορίαν των Γαβαωνιτών) και επροχώρησαν εις σύναψιν συνθήκης, χωρίς να ερωτήσουν τον Κυριον.

ΙτΝ. 9,21 - καὶ ἐποίησεν Ἰησοῦς πρὸς αὐτοὺς εἰρήνην καὶ διέθεντο πρὸς αὐτοὺς διαθήκην τοῦ διασῶσαι αὐτούς, καὶ ὤμοσαν αὐτοῖς οἱ ἄρχοντες τῆς συναγωγῆς.

ΙτΝ. 9,21 - Ο Ιησούς έκλεισε με αυτούς ειρήνην και συνήψε μαζή των συνθήκην να σεβασθή την ζωήν των. Οι άρχοντες του λαού ωρκίσθησαν εις αυτούς δια την συμφωνίαν.

ΙτΝ. 9,22 - καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας μετὰ τὸ διαθέσθαι πρὸς αὐτοὺς διαθήκην, ἤκουσαν ὅτι ἐγγύθεν αὐτῶν εἰσι, καὶ ὅτι ἐν αὐτοῖς κατοικοῦσι.

ΙτΝ. 9,22 - Μετά τρεις ημέρας αφού συνήφθη η συνθήκη με τους Γαβαωνίτας, επληροφορήθησαν ότι αυτοί ευρίσκοντο πλησίον των, ότι κατοικούν εκεί κοντά των.

ΙτΝ. 9,23 - καὶ ἀπῆραν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἦλθον εἰς τὰς πόλεις αὐτῶν· αἱ δὲ πόλεις αὐτῶν Γαβαὼν καὶ Κεφιρὰ καὶ Βηρὼθ καὶ πόλεις Ἰαρίν.

ΙτΝ. 9,23 - Οι Ισραηλίται ανεχώρησαν και ήλθαν εις τας πόλεις των Γαβαωνιτών. Αι πόλεις των ήσαν· Η Γαβαών, η Κεφιρά, η Βηρώθ και αι πόλεις Ιαρίν.

ΙτΝ. 9,24 - καὶ οὐκ ἐμαχέσαντο αὐτοῖς οἱ υἱοὶ Ἰσραήλ, ὅτι ὤμοσαν αὐτοῖς πάντες οἱ ἄρχοντες Κύριον τὸν Θεὸν Ἰσραήλ· καὶ διεγόγγυσαν πᾶσα ἡ συναγωγὴ ἐπὶ τοῖς ἄρχουσι.

ΙτΝ. 9,24 - Οι Ισραηλίται δεν επολέμησαν εναντίον των και δεν τους εφόνευσαν, διότι όλοι οι άρχοντες είχαν δώσει δι' αυτό όρκον εις Κυριον τον Θεόν του Ισραήλ. Δια τούτο όλον το πλήθος του ισραηλιτικού λαού εγόγγυζαν εναντίον των αρχόντων.

ΙτΝ. 9,25 - καὶ εἶπαν οἱ ἄρχοντες πάσῃ τῇ συναγωγῇ· ἡμεῖς ὠμόσαμεν αὐτοῖς Κύριον τὸν Θεὸν Ἰσραὴλ καὶ νῦν οὐ δυνησόμεθα ἅψασθαι αὐτῶν·

ΙτΝ. 9,25 - Είπαν τότε οι άρχοντες εις όλην την συγκέντρωσιν του λαού· “ημείς εδώσαμεν δι' αυτούς όρκον ενώπιον Κυρίου του Θεού των Ισραηλιτών. Εχομεν δεσμευθή και δεν ημπορούμεν να τους εγγίσωμεν.

ΙτΝ. 9,26 - τοῦτο ποιήσομεν, ζωγρῆσαι αὐτούς, καὶ περιποιησόμεθα αὐτούς, καὶ οὐκ ἔσται καθ᾿ ἡμῶν ὀργὴ διὰ τὸν ὅρκον, ὃν ὠμόσαμεν αὐτοῖς·

ΙτΝ. 9,26 - Τούτο μόνον θα κάμωμεν. Θα τους αφήσωμεν ζωντανούς, θα σεβασθώμεν την ζωήν των και έτσι δεν θα οργισθή ο Κυριος εναντίον μας, διότι ετηρήσαμεν τον όρκον που εδώσαμεν εις αυτούς.

ΙτΝ. 9,27 - ζήσονται καὶ ἔσονται ξυλοκόποι καὶ ὑδροφόροι πάσῃ τῇ συναγωγῇ, καθάπερ εἶπαν αὐτοῖς οἱ ἄρχοντες.

ΙτΝ. 9,27 - Θα ζήσουν λοιπόν αυτοί, θα είναι όμώς ξυλοκόποι και νεροφόροι όλου του Εβραϊκού λαού, όπως είπαν προς αυτούς οι άρχοντες”.

ΙτΝ. 9,28 - καὶ συνεκάλεσεν αὐτοὺς Ἰησοῦς καὶ εἶπεν αὐτοῖς· διατί παρελογίσασθέ με λέγοντες, μακρὰν ἀπὸ σοῦ ἐσμεν σφόδρα, ὑμεῖς δὲ ἐγχώριοί ἐστε τῶν κατοικούντων ἐν ἡμῖν;

ΙτΝ. 9,28 - Προσεκάλεσε κατόπιν ο Ιησούς τους Γαβαωνίτας και τους είπε· “διατί με εξηπατήσατε και μου είπατε ότι ανήκετε εις χώραν πολύ μακρυνήν, ενώ σεις είσθε εις την πραγματικότητα εντόπιοι και κατοικείτε εις την περιοχήν μας;

ΙτΝ. 9,29 - καὶ νῦν ἐπικατάρατοί ἐστε· οὐ μὴ ἐκλίπῃ ἐξ ὑμῶν δοῦλος οὐδὲ ξυλοκόπος οὐδὲ ὑδροφόρος ἐμοὶ καὶ τῷ Θεῷ μου.

ΙτΝ. 9,29 - Επικατάρατοι να είσθε τώρα. Ποτέ δεν θα λείψουν από σας δούλοι, ξυλοκόποι και υδροφόροι δι' εμέ και τον Θεόν".

ΙτΝ. 9,30 - καὶ ἀπεκρίθησαν τῷ Ἰησοῖ λέγοντες· ἀνηγγέλη ἡμῖν ὅσα συνέταξε Κύριος ὁ Θεός σου Μωυσῇ τῷ παιδὶ αὐτοῦ, δοῦναι ὑμῖν τὴν γῆν ταύτην καὶ ἐξολοθρεῦσαι ἡμᾶς καὶ πάντας τοὺς κατοικοῦντας ἐπ᾽ αὐτῆς πρὸ προσώπου ὑμῶν, καὶ ἐφοβήθημεν σφόδρα περὶ τῶν ψυχῶν ἡμῶν ἀπὸ προσώπου ὑμῶν καὶ ἐποιήσαμεν τὸ πρᾶγμα τοῦτο.

ΙτΝ. 9,30 - Οι Γαβαωνίται απεκρίθησαν στον Ιησούν και είπαν· "ανηγγέλθησαν εις ημάς όλα εκείνα, που διέταξε Κυριος ο Θεός σου στον Μωϋσήν τον δούλον του, ότι δηλαδή θα δώση εις σας την χώραν αυτήν και θα εξολοθρεύση από εμπρός σας όλους ημάς που κατοικούμεν εις αυτήν, και εφοβήθημεν πάρα πολύ από σας δια την ζωήν μας, δια τούτο δε και κατεφύγαμεν εις την πράξιν αυτήν.

ΙτΝ. 9,31 - καὶ νῦν ἰδοὺ ἡμεῖς ὑποχείριοι ὑμῖν· ὡς ἀρέσκει ὑμῖν καὶ ὡς δοκεῖ ὑμῖν, ποιήσατε ἡμῖν.

ΙτΝ. 9,31 - Και τώρα ιδού, ημείς είμεθα δούλοι σας. Οπως θέλετε και όπως νομίζετε, κάμετε εις ημάς".

ΙτΝ. 9,32 - καὶ ἐποίησαν αὐτοῖς οὕτως· καὶ ἐξείλατο αὐτοὺς Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ χειρῶν υἱῶν Ἰσραήλ, καὶ οὐκ ἀνεῖλον αὐτούς.

ΙτΝ. 9,32 - Οι Ισραηλίται έκαμαν εις αυτούς, όπως είχαν είπει. Ο Ιησούς του Ναυή τους εγλύτωσεν από τα χέρια των Ισραηλιτών και δεν τους εφόνευσαν.

ΙτΝ. 9,33 - καὶ κατέστησεν αὐτοὺς Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυλοκόπους καὶ ὑδροφόρους πάσῃ τῇ συναγωγῇ καὶ τῷ θυσιαστηρίῳ τοῦ Θεοῦ· διὰ τοῦτο ἐγένοντο οἱ κατοικοῦντες Γαβαὼν ξυλοκόποι καὶ ὑδροφόροι τοῦ θυσιαστηρίου τοῦ Θεοῦ ἕως τῆς σήμερον ἡμέρας, καὶ εἰς τὸν τόπον, ὃν ἂν ἐκλέξηται Κύριος.

ΙτΝ. 9,33 - Αλλά από την ημέραν εκείνην υπεχρέωσεν αυτούς να είναι ξυλοκόποι και νεροφόροι εις όλον τον εβραϊκόν λαόν και στο θυσιαστήριον του Θεού. Δια τούτο έγιναν οι κάτοικοι της Γαβαών ξυλοκόποι και νεροφόροι στο θυσιαστήριον του Θεού, δηλαδή την Σκηνήν του Μαρτυρίου, μέχρι σήμερον, θα είναι δε και βραδύτερον εις ιερόν τόπον, τον οποίον θα εκλέξη ο Κυριος, ως ναόν του.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 10

ΙηΝ. 10,1 - Ὡς δὲ ἤκουσεν Ἀδωνιβεζὲκ βασιλεὺς Ἱερουσαλὴμ ὅτι ἔλαβεν Ἰησοῦς τὴν Γαὶ καὶ ἐξωλόθρευσεν αὐτήν, ὃν τρόπον ἐποίησαν τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα αὐτῆς, οὕτως ἐποίησαν καὶ τὴν Γαὶ καὶ τὸν βασιλέα αὐτῆς, καὶ ὅτι ηὐτομόλησαν οἱ κατοικοῦντες Γαβαὼν πρὸς Ἰησοῦν καὶ πρὸς Ἰσραήλ,

ΙηΝ. 10,1 - Ο Αδωνιβεζέκ, βασιλεύς της Ιερουσαλήμ, όταν επληροφορήθη, ότι ο Ιησούς του Ναυή κατέλαβε την Γαι και εξωλόθρευσεν αυτήν, όταν μάλιστα ειδικώτερον έμαθεν όσα οι Ισραηλίται έκαναν εις την Γαι και τον βασιλέα της, ο,τι είχαν κάμει εις την Ιεριχώ και τον βασιλέα αυτής, όταν ακόμη έμαθεν ότι οι κάτοικοι της Γαβαών παρεδόθησαν στον Ιησούν και τους Ισραηλίτας,

ΙηΝ. 10,2 - καὶ ἐφοβήθησαν ἀπ᾽ αὐτῶν σφόδρα· ᾔδει γὰρ ὅτι πόλις μεγάλη Γαβαών, ὡσεὶ μία τῶν μητροπόλεων, καὶ πάντες οἱ ἄνδρες αὐτῆς ἰσχυροί·

ΙηΝ. 10,2 - αυτός και ο λαός του εφοβήθησαν πάρα πολύ. Εφοβήθησαν, διότι εγνώριζαν ότι η Γαβαών είναι πόλις μεγάλη, όπως είναι αι μητροπόλεις, και ότι όλοι οι άνδρες της είναι δυνατοί και ανδρείοι.

ΙηΝ. 10,3 - καὶ ἀπέστειλεν Ἀδωνιβεζὲκ βασιλεὺς Ἱερουσαλὴμ πρὸς Ἐλὰμ βασιλέα Χεβρὼν καὶ πρὸς Φιδὼν βασιλέα Ἱεριμοὺθ καὶ πρὸς Ἰεφθὰ βασιλέα Λαχὶς καὶ πρὸς Δαβὶν βασιλέα Ὀδολλὰμ λέγων·

ΙηΝ. 10,3 - Ο Αδωνιδεζέκ λοιπόν, ο βασιλεύς της Ιερουσαλήμ, έστειλεν αγγελιαφόρους προς τον Ελάμ, βασιλέα της Χεβρών, προς τον Φιδών, βασιλέα Ιεριμούθ, προς τον Ιεφθά, βασιλέα Λαχίς και προς τον Δαδίν, βασιλέα της Οδολλάμ και είπεν·

ΙηΝ. 10,4 - δεῦτε, ἀνάβητε πρός με καὶ βοηθήσατέ μοι, καὶ ἐκπολεμήσωμεν Γαβαών· ηὐτομόλησαν γὰρ πρὸς Ἰησοῦν καὶ πρὸς τοὺς υἱοὺς Ἰσραήλ.

ΙηΝ. 10,4 - “ελάτε, αναβήτε προς εμέ και βοηθήσατέ με να πολεμήσωμεν μαζή εναντίον των Γαβαωνιτών, διότι αυτοί ηυτομόλησαν προς τον Ιησούν και τους Ισραηλίτας”.

ΙηΝ. 10,5 - καὶ ἀνέβησαν οἱ πέντε βασιλεῖς τῶν Ἰεβουσαίων, βασιλεὺς Ἱερουσαλὴμ καὶ βασιλεὺς Χεβρὼν καὶ βασιλεὺς Ἱεριμοὺθ καὶ βασιλεὺς Λαχὶς καὶ βασιλεὺς Ὀδολλάμ, αὐτοὶ καὶ πᾶς ὁ λαὸς αὐτῶν καὶ περιεκάθισαν τὴν Γαβαὼν καὶ ἐξεπολιόρκουν αὐτήν.

ΙηΝ. 10,5 - Συνεννοήθησαν μεταξύ των, συνεφώνησαν οι πέντε βασιλείς των Ιεβουσαίων, ο βασιλεύς της Ιερουσαλήμ, ο βασιλεύς της Χεβρών, ο βασιλεύς της Ιεριμούθ, ο βασιλεύς της Λαχίς και ο βασιλεύς της Οδολλάμ και ανέβησαν αυτοί και όλος ο στρατός των, εστρατοπέδευσαν γύρω από την Γαβαών και ήρχισαν να την πολιορκούν στενά.

ΙtΝ. 10,6 - καὶ ἀπέστειλαν οἱ κατοικοῦντες Γαβαὼν πρὸς Ἰησοῦν εἰς τὴν παρεμβολὴν Ἰσραὴλ εἰς Γάλγαλα λέγοντες· μὴ ἐκλύσῃς τὰς χεῖράς σου ἀπὸ τῶν παίδων σου· ἀνάβηθι πρὸς ἡμᾶς τὸ τάχος καὶ βοήθησον ἡμῖν καὶ ἐξελοῦ ἡμᾶς· ὅτι συνηγμένοι εἰσὶν ἐφ᾿ ἡμᾶς πάντες οἱ βασιλεῖς τῶν Ἀμοῤῥαίων, οἱ κατοικοῦντες τὴν ὀρεινήν.

ΙtΝ. 10,6 - Οι κάτοικοι της Γαβαών έστειλαν τότε αγελλιαφόρους προς τον Ιησούν στο Ισραηλιτικόν στρατόπεδον, που ευρίσκετο εις Γαλγαλα και είπαν· “μη αποσύρης τα προστατευτικά σου χέρια από τους δούλους σου. Ελα όσον το δυνατόν συντομώτερον, βοήθησέ μας και γλύτωσέ μας, διότι συνησπίσθησαν εναντίον μας και συνεκεντρώθησαν γύρω από την πόλιν όλοι οι βασιλείς των Αμορραίων, οι οποίοι κατοικούν την ορεινήν περιοχήν”.

ΙtΝ. 10,7 - καὶ ἀνέβη Ἰησοῦς ἐκ Γαλγάλων, αὐτὸς καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς μετ᾿ αὐτοῦ, πᾶς δυνατὸς ἐν ἰσχύϊ.

ΙtΝ. 10,7 - Ο Ιησούς και όλος ο μάχιμος λαός, όλοι οι πολεμισταί, κάθε ενας που ήτο ισχυρός να κρατή όπλα ανέβησαν από τα Γαλγαλα, δια να βοηθήσουν τους Γαβαωνίτας.

ΙtΝ. 10,8 - καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· μὴ φοβηθῇς αὐτούς, εἰς γὰρ τὰς χεῖράς σου παραδέδωκα αὐτούς, οὐχ ὑπολειφθήσεται ἐξ αὐτῶν οὐδεὶς ἐνώπιον ὑμῶν.

ΙtΝ. 10,8 - Ο δε Κυριος είπε προς τον Ιησούν. “Μη φοβηθής αυτούς τους βασιλείς και τους στρατούς των. Τους έχω ήδη παραδώσει εις τα χέρια σας. Κανείς δεν θα υπολειφθή ενώπιόν σας”.

ΙtΝ. 10,9 - καὶ ἐπεὶ παρεγένετο Ἰησοῦς ἐπ᾿ αὐτοὺς ἄφνω, ὅλην τὴν νύκτα εἰσεπορεύθη ἐκ Γαλγάλων.

ΙtΝ. 10,9 - Και ο λόγος του Κυρίου επραγματοιήθη· διότι ο Ιησούς του Ναυή κατέφθασεν αιφνιδίως εναντίον των όλην την νύκτα επορεύθη με τον στρατόν του από τα Γαλγαλα εις Γαβαών.

ΙtΝ. 10,10 - καὶ ἐξέστησεν αὐτοὺς Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ, καὶ συνέτριψεν αὐτοὺς Κύριος συντρίψει μεγάλῃ ἐν Γαβαών, καὶ κατεδίωξαν αὐτοὺς ὁδὸν ἀναβάσεως Ὡρωνὶν καὶ κατέκοπτον αὐτοὺς ἕως Ἀζηκὰ καὶ ἕως Μακηδά.

ΙtΝ. 10,10 - Ο δε Κυριος ενέβαλε τρόμον και πανικόν εις αυτούς, καθώς αντίκρυσαν τους Ισραηλίτας, και τους συνέτριψεν ο Κυριος δια μεγάλης καταστροφής εις την περιοχήλ Γαβαών. Οι δε Ισραηλίται κατεδίωκαν και εφόνευαν αυτούς στον δρόμον, που ανέβαινεν εις Ωρωνίν μέχρι της Αζηκά και Μακηδά.

ΙtΝ. 10,11 - ἐν δὲ τῷ φεύγειν αὐτοὺς ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραὴλ ἐπὶ τῆς καταβάσεως Ὡρωνὶν καὶ Κύριος ἐπέῤῥιψεν αὐτοῖς λίθους χαλάζης ἐκ τοῦ οὐρανοῦ ἕως Ἀζηκά, καὶ ἐγένοντο πλείους οἱ ἀποθανόντες διὰ τοὺς

λίθους τῆς χαλάζης ἢ οὓς ἀπέκτειναν οἱ υἱοὶ Ἰσραὴλ μαχαίρᾳ ἐν τῷ πολέμῳ.

ΙτΝ. 10,11 - Καθώς δε εκείνοι πανικόβλητοι έφευγαν ενώπιον των Ισραηλιτών εις την κατάβασιν Ωρωνίν, έρριψεν ο Κυριος εναντίον των χαλάζι ωσάν πέτρες από τον ουρανόν μέχρι της Αζηκά. Περισσότεροι δε ήσαν εκείνοι που εφονεύθησαν από τα λιθάρια της χαλάζης, παρά εκείνοι που εσφάγησαν από τους Ισραηλίτας κατά την μάχην.

ΙτΝ. 10,12 - Τότε ἐλάλησεν Ἰησοῦς πρὸς Κύριον, ᾗ ἡμέρᾳ παρέδωκεν ὁ Θεὸς τὸν Ἀμοῤῥαῖον ὑποχείριον Ἰσραήλ, ἡνίκα συνέτριψεν αὐτοὺς ἐν Γαβαὼν καὶ συνετρίβησαν ἀπὸ προσώπου υἱῶν Ἰσραήλ, καὶ εἶπεν Ἰησοῦς· στήτω ὁ ἥλιος κατὰ Γαβαὼν καὶ ἡ σελήνη κατὰ φάραγγα Αἰλών.

ΙτΝ. 10,12 - Κατά την ημέραν εκείνην, κατά την οποίαν είχεν ήδη αποφασίσει και παραδώσει ο Κυριος υποχειρίους τους Αμορραίους στους Ισραηλίτας, όταν δηλαδή συνέτριψεν αυτούς ο Ιησούς εις την Γαβαών και συνετρίβησαν πράγματι ενώπιον των Ισραηλιτών, είπε τότε ο Ιησούς προς τον Κυριον· “ας σταθή ο ήλιος επάνω από την Γαβαών και η σελήνη επάνω από την κοιλάδα Αιλών”.

ΙτΝ. 10,13 - καὶ ἔστη ὁ ἥλιος καὶ ἡ σελήνη ἐν στάσει, ἕως ἠμύνατο ὁ Θεὸς τοὺς ἐχθροὺς αὐτῶν. καὶ ἔστη ὁ ἥλιος κατὰ μέσον τοῦ οὐρανοῦ, οὐ προεπορεύετο εἰς δυσμὰς εἰς τέλος ἡμέρας μιᾶς.

ΙτΝ. 10,13 - Και πράγματι εστάθη ο ήλιος και έμεινεν εις την θέσιν της η σελήνη, μέχρις ότου ο Θεός απέκρουσε τελείως τους εχθρούς των Ισραηλιτών. Ο ήλιος εσταμάτησεν ακίνητος στο μέσον του ουρανού. Δεν επροχώρει προς δυσμάς επί μίαν ολόκληρον ημέραν.

ΙτΝ. 10,14 - καὶ οὐκ ἐγένετο ἡμέρα τοιαύτη οὐδὲ τὸ πρότερον οὐδὲ τὸ ἔσχατον, ὥστε ἐπακοῦσαι Θεὸν ἀνθρώπου, ὅτι Κύριος συνεξεπολέμησε τῷ Ἰσραήλ.

ΙτΝ. 10,14 - Τοσον μεγάλη και επιφανής ημέρα δεν έγινεν ποτέ προηγουμένως, ούτε στο απώτατον, ούτε στο εγγύς παρελθόν, να ακούση δηλαδή ο Θεός τοιαύτην αίτησιν από άνθρωπον. Εγινε δε αυτό το πρωτοφανές και μοναδικόν θαύμα, διότι ο Κυριος επολέμησε μαζή με τους Ισραηλίτας.

ΙτΝ. 10,16 - Καὶ ἔφυγον οἱ πέντε βασιλεῖς οὗτοι καὶ κατεκρύβησαν εἰς τὸ σπήλαιον τὸ ἐν Μακηδά.

ΙτΝ. 10,16 - Οι πέντε βασιλείς πανικόβλητοι ετράπησαν εις φυγήν και εκρύφθησαν επιμελώς στο σπήλαιον, που ευρίσκετο εις Μακηδά.

ΙτΝ. 10,17 - καὶ ἀπηγγέλη τῷ Ἰησοῦ λέγοντες· εὕρηνται οἱ πέντε βασιλεῖς κεκρυμμένοι ἐν τῷ σπηλαίῳ τῷ ἐν Μακηδά.

ΙτΝ. 10,17 - Μερικοί όμως που τους είδαν, ανήγγειλαν στον Ιησούν, ότι οι πέντε βασιλείς ευρίσκονται κρυμμένοι στο σπήλαιον της Μακηδά.

ΙτΝ. 10,18 - καὶ εἶπεν Ἰησοῦς· κυλίσατε λίθους ἐπὶ τὸ στόμα τοῦ σπηλαίου καὶ καταστήσατε ἄνδρας φυλάσσειν ἐπ᾿ αὐτούς,

ΙτΝ. 10,18 - Ο Ιησούς είπεν στους στρατιώτας του· “κυλίσατε λίθους μεγάλους εις την είσοδον του σπηλαίου και εγκαταστήσατε άνδρας να τους φυλάσσουν·

ΙτΝ. 10,19 - ὑμεῖς δὲ μὴ ἑστήκατε καταδιώκοντες ὀπίσω τῶν ἐχθρῶν ὑμῶν καὶ καταλάβετε τὴν οὐραγίαν αὐτῶν καὶ μὴ ἀφῆτε εἰσελθεῖν εἰς τὰς πόλεις αὐτῶν· παρέδωκε γὰρ αὐτοὺς Κύριος ὁ Θεὸς ἡμῶν εἰς τὰς χεῖρας ἡμῶν.

ΙτΝ. 10,19 - σεις δε μη σταματήσετε την καταδίωξιν των εχθρών σας. Κτυπήσατε τα μετόπισθεν αυτών τμήματα και μη τους αφήσετε να εισέλθουν εις τας πόλεις των· διότι Κυριος ο Θεός τους παρέδωκεν εις τα χέρια σας”.

ΙτΝ. 10,20 - καὶ ἐγένετο ὡς κατέπαυσεν Ἰησοῦς καὶ πᾶς υἱὸς Ἰσραὴλ κόπτοντες αὐτοὺς κοπὴν μεγάλην σφόδρα ἕως εἰς τέλος, καὶ οἱ διασῳζόμενοι διεσώθησαν εἰς τὰς πόλεις τὰς ὀχυράς,

ΙτΝ. 10,20 - Οταν τέλος ο Ιησούς και όλος ο Ισραηλιτικός λαός έπαυσαν την εξοντωτικήν καταστροφήν των Αμορραίων, εκείνοι που κατώρθωσαν να διασωθούν, κατέφυγαν δι' ασφάλειάν των εις τας οχυράς πόλεις των.

ΙτΝ. 10,21 - καὶ ἀπεστράφη πᾶς ὁ λαὸς πρὸς Ἰησοῦν εἰς Μακηδὰ ὑγιεῖς, καὶ οὐκ ἔγρυξεν οὐδεὶς τῶν υἱῶν Ἰσραὴλ τῇ γλώσσῃ αὐτοῦ.

ΙτΝ. 10,21 - Τοτε όλος ο ισραηλιτικός λαός σώος και ακέραιος επέστρεψε προς τον Ιησούν εις Μακηδά, κανείς δεν εγκρίνιαξε και δεν εμουρμούρισέ με την γλώσσαν του, μολονότι επίπονος και θυελλώδης υπήρξεν ο πόλεμος.

ΙτΝ. 10,22 - καὶ εἶπεν Ἰησοῦς· ἀνοίξατε τὸ σπήλαιον καὶ ἐξαγάγετε τοὺς πέντε βασιλεῖς τούτους ἐκ τοῦ σπηλαίου.

ΙτΝ. 10,22 - Είπεν ο Ιησούς· “ανοίξατε το σπήλαιον και βγάλτε από αυτό τους πέντε βασιλείς”.

ΙτΝ. 10,23 - καὶ ἐξηγάγοσαν τοὺς πέντε βασιλεῖς ἐκ τοῦ σπηλαίου, τὸν βασιλέα Ἱερουσαλὴμ καὶ τὸν βασιλέα Χεβρὼν καὶ τὸν βασιλέα Ἱεριμοὺθ καὶ τὸν βασιλέα Λαχὶς καὶ τὸν βασιλέα Ὀδολλάμ.

ΙτΝ. 10,23 - Εβγαλαν τους πέντε βασιλείς από το σπήλαιον, τον βασιλέα της Ιερουσαλήμ, τον βασιλέα της Χεβρών, τον βασιλέα της Ιεριμούθ, τον βασιλέα της Λαχίς και τον βασιλέα της Οδολλάμ.

ΙτΝ. 10,24 - καὶ ἐπεὶ ἐξήγαγον αὐτοὺς πρὸς Ἰησοῦν, καὶ συνεκάλεσεν Ἰησοῦς πάντα Ἰσραήλ, καὶ τοὺς ἐναρχομένους τοῦ πολέμου τοὺς συμπορευομένους αὐτῷ, λέγων αὐτοῖς· προπορεύεσθε καὶ ἐπίθετε τοὺς πόδας ὑμῶν ἐπὶ τοὺς τραχήλους αὐτῶν. καὶ προσελθόντες ἐπέθηκαν τοὺς πόδας αὐτῶν ἐπὶ τοὺς τραχήλους αὐτῶν.

ΙτΝ. 10,24 - Ο Ιησούς, όταν έφεραν αυτούς ενώπιόν του, συνεκάλεσεν όλους τους Ισραηλίτας, και τους αρχηγούς του πολέμου που είχαν

συνεκστρατεύσει με αυτό και τους είπε· “πλησιάσατε προς τους βασιλείς και θέσατε τα ποδια σας στους τραχήλους των”. Προσήλθαν οι αρχηγοί και έθεσαν τα πόδια των στους τραχήλους των πέντε βασιλέων.

ΙτΝ. 10,25 - καὶ εἶπεν Ἰησοῦς πρὸς αὐτούς· μὴ φοβηθῆτε αὐτοὺς μηδὲ δειλιάσητε· ἀνδρίζεσθε καὶ ἰσχύετε, ὅτι οὕτω ποιήσει Κύριος πᾶσι τοῖς ἐχθροῖς ὑμῶν, οὓς ὑμεῖς καταπολεμεῖτε αὐτούς.

ΙτΝ. 10,25 - Είπεν ο Ιησούς προς τους αρχηγούς του στρατού· “μη φοβηθήτε από αυτούς και μη δειλιάσετε ενώπιον των οιωνδήποτε εχθρών σας. Φανήτε ανδρείοι και γενναίοι, διότι ο Κυριος έτσι θα κάμη εναντίον όλων των εχθρών σας, τους οποίους σεις θα καταπολεμήσετε.

ΙτΝ. 10,26 - καὶ ἀπέκτεινεν αὐτοὺς Ἰησοῦς καὶ ἐκρέμασεν αὐτοὺς ἐπὶ πέντε ξύλων, καὶ ἦσαν κρεμάμενοι ἐπὶ τῶν ξύλων ἕως ἑσπέρας.

ΙτΝ. 10,26 - Κατόπιν διέταξεν ο Ιησούς και εφόνευσαν αυτούς και τους εκρέμασαν εις πέντε ξύλα. Εμειναν δε κρεμασμένοι επί των ξύλων μέχρι της εσπέρας.

ΙτΝ. 10,27 - καὶ ἐγενήθη πρὸς ἡλίου δυσμὰς ἐνετείλατο Ἰησοῦς καὶ καθεῖλον αὐτοὺς ἀπὸ τῶν ξύλων καὶ ἔῤῥιψαν αὐτοὺς εἰς τὸ σπήλαιον, εἰς ὃ κατεφύγοσαν ἐκεῖ, καὶ ἐπεκύλισαν λίθους ἐπὶ τὸ σπήλαιον ἕως τῆς σήμερον ἡμέρας.

ΙτΝ. 10,27 - Κατά την δύσιν του ηλίου διέταξεν ο Ιησούς και τους εξεκρέμασαν από τα ξύλα, τους έρριψαν στο σπήλαιον στο οποίον είχον καταφύγει και εκύλισαν λίθους μεγάλους εις την είσοδον του σπηλαίου, οι οποίοι και υπάρχουν μέχρι σήμερον.

ΙτΝ. 10,28 - Καὶ τὴν Μακηδὰ ἐλάβοσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι ξίφους καὶ ἐξωλόθρευσαν πᾶν ἐμπνέον, ὃ ἦν ἐν αὐτῇ, καὶ οὐ κατελείφθη οὐδεὶς ἐν αὐτῇ διασεσωσμένος καὶ διαπεφευγώς· καὶ ἐποίησαν τῷ βασιλεῖ Μακηδὰ ὃν τρόπον ἐποίησαν τῷ βασιλεῖ Ἱεριχώ.

ΙτΝ. 10,28 - Κατά την ιδίαν ημέραν κατέλαβον οι Ισραηλίται την πόλιν Μακηδά, επέρασαν εν στόματι μαχαίρας κάθε άνθρωπον και εξωλόθρευσαν κάθε τι που ανέπνεε και εζούσε εις την πόλιν αυτήν, ώστε δεν απέμεινε κανείς εις αυτήν, δεν διεσώθη και δεν διέφυγε τον θάνατον κανείς. Εφέρθησαν προς τον βασιλέα της Μακηδά, όπως εφέρθησαν προς τον βασιλέα της Ιεριχούς.

ΙτΝ. 10,29 - καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ᾽ αὐτοῦ ἐκ Μακηδὰ εἰς Λεβνὰ καὶ ἐπολιόρκει Λεβνά.

ΙτΝ. 10,29 - Επειτα ο Ιησούς με όλον τον ισραηλιτικόν λαόν μαζή του μετέβη από την Μακηδά εις την πόλιν Λεβνά και την επολιόρκει.

ΙτΝ. 10,30 - καὶ παρέδωκεν αὐτὴν Κύριος εἰς χεῖρας Ἰσραήλ, καὶ ἔλαβον αὐτὴν καὶ τὸν βασιλέα αὐτῆς καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι ξίφους καὶ

πᾶν ἐμπνέον ἐν αὐτῇ, καὶ οὐ κατελείφθη ἐν αὐτῇ διασεσωσμένος καὶ διαπεφευγώς· καὶ ἐποίησαν τῷ βασιλεῖ αὐτῆς ὃν τρόπον ἐποίησαν τῷ βασιλεῖ Ἱεριχώ.

ΙτΝ. 10,30 - Ο δε Κυριος παρέδωκε και αυτήν την πόλιν εις τα χέρια των Ισραηλιτών, οι οποίοι και την κατέλαβον. Επέρασαν εν στόματι μαχαίρας τον βασιλέα της, τον λαόν της και κάθε τι που ανέπνεε και εζούσε εις αυτήν. Δεν διεσώθη και δεν διέφυγε κανείς. Εκαμαν στον βασιλέα αυτής, ο,τι είχαν κάμει στον βασιλέα της Ιεριχούς.

ΙτΝ. 10,31 - καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ᾿ αὐτοῦ ἐκ Λεβνὰ εἰς Λαχὶς καὶ περιεκάθισεν αὐτὴν καὶ ἐπολιόρκει αὐτήν.

ΙτΝ. 10,31 - Επειτα ο Ιησούς μαζή με όλον τον ισραηλιτικόν λαόν ανεχώρησεν από την Λεβνά εις την Λαχίς, περιεκύκλωσεν αυτήν και την επολιόρκησεν.

ΙτΝ. 10,32 - καὶ παρέδωκε Κύριος τὴν Λαχὶς εἰς τὰς χεῖρας Ἰσραήλ, καὶ ἔλαβεν αὐτὴν ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι ξίφους καὶ ἐξωλόθρευσαν αὐτήν, ὃν τρόπον ἐποίησαν τὴν Λεβνά.

ΙτΝ. 10,32 - Ο Κυριος παρέδωκε την Λαχίς εις τας χείρας των Ισραηλιτών. Ο Ιησούς κατέλαβεν αυτήν την επομένην ημέραν της πολιορκίας της. Οι Ισραηλίται επέρασαν εν στόματι μαχαίρας τους κατοίκους της και εξωλόθρευσαν αυτήν όπως είχον εξολοθρεύσει την Λεβνά.

ΙτΝ. 10,33 - τότε ἀνέβη Ἐλὰμ βασιλεὺς Γαζὲρ βοηθήσων τῇ Λαχίς, καὶ ἐπάταξεν αὐτὸν Ἰησοῦς ἐν στόματι ξίφους καὶ τὸν λαὸν αὐτοῦ ἕως τοῦ μὴ καταλειφθῆναι αὐτῶν σεσωσμένον καὶ διαπεφευγότα.

ΙτΝ. 10,33 - Τοτε ο βασιλεύς της πόλεως Γαζέρ μετέβη να βοηθήση την Λαχίς. Ο Ιησούς όμως εκτύπησεν αυτόν, τον ενίκησε και επέρασεν εν στόματι μαχαίρας αυτόν και τον λαόν του, ώστε κανείς δεν εσώθη από τον θάνατον. Κανείς δεν εγλύτωσε δια φυγής.

ΙτΝ. 10,34 - καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ᾿ αὐτοῦ ἐκ Λαχὶς εἰς Ὀδολλὰμ καὶ περιεκάθισεν αὐτὴν καὶ ἐξεπολιόρκησεν αὐτήν.

ΙτΝ. 10,34 - Επειτα ο Ιησούς και όλος ο ισραηλιτικός λαός μαζή του επροχώρησαν από την Λαχίς εις την πόλιν Οδολλάμ, την περιεκύκλωσε και την επολιόρκησεν.

ΙτΝ. 10,35 - καὶ παρέδωκεν αὐτὴν Κύριος ἐν χειρὶ Ἰσραήλ, καὶ ἔλαβεν αὐτὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἐφόνευσεν αὐτὴν ἐν στόματι ξίφους, καὶ πᾶν ἐμπνέον ἐν αὐτῇ ἐφόνευσαν, ὃν τρόπον ἐποίησαν τῇ Λαχίς.

ΙτΝ. 10,35 - Ο Κυριος παρέδωκεν και αυτήν εις τα χέρια των Ισραηλιτών. Ο Ιησούς την κατέλαβε κατά την ιδίαν εκείνην ημέραν, επέρασεν εν στόματι μαχαίρας κάθε άνθρωπον, εξωλόθρευσε κάθε τι που είχε ζωήν και αναπνοήν, όπως είχαν κάμει και εις την Λαχίς.

ΙτΝ. 10,36 - καὶ ἀπῆλθεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ μετ᾿ αὐτοῦ εἰς Χεβρὼν καὶ περιεκάθισεν αὐτήν.

ΙτΝ. 10,36 - Από εκεί μετέβη ο Ιησούς και όλος ο ισραηλιτικός λαός μαζή με αυτόν εις την Χεβρών και την περιεκύκλωσαν.

ΙτΝ. 10,37 - καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι ξίφους καὶ πᾶν τὸ ἐμπνέον, ὅσα ἦν ἐν αὐτῇ, οὐκ ἦν διασεσωσμένος· ὃν τρόπον ἐποίησαν τὴν Ὀδολλάμ, ἐξωλόθρευσαν αὐτὴν καὶ ὅσα ἦν ἐν αὐτῇ.

ΙτΝ. 10,37 - Την εκτύπησαν, την κατέλαβον και επέρασαν εν στόματι μαχαίρας τους κατοίκους της και κάθε τι που εζούσε και ανέπνεεν εις αυτήν. Τιποτε δεν διέφυγε τον όλεθρον. Οπως έκαμαν εις την Οδολλάμ, έτσι εξωλόθρευσαν και την Χεβρών και όλα όσα εζούσαν εις αυτήν.

ΙτΝ. 10,38 - καὶ ἀπέστρεψεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ εἰς Δαβὶρ καὶ περικαθίσαντες αὐτὴν

ΙτΝ. 10,38 - Ο Ιησούς και όλος ο Ισραηλιτικός λαός εστράφησαν εναντίον της πόλεως Δαβίρ και την περιεκύκλωσαν.

ΙτΝ. 10,39 - ἔλαβον αὐτὴν καὶ τὸν βασιλέα αὐτῆς καὶ τὰς κώμας αὐτῆς καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι ξίφους καὶ ἐξωλόθρευσαν αὐτὴν καὶ πᾶν ἐμπνέον ἐν αὐτῇ καὶ οὐ κατέλιπον αὐτῇ οὐδένα διασεσωσμένον· ὃν τρόπον ἐποίησαν τῇ Χεβρὼν καὶ τῷ βασιλεῖ αὐτῆς, οὕτως ἐποίησαν τῇ Δαβὶρ καὶ τῷ βασιλεῖ αὐτῆς.

ΙτΝ. 10,39 - Κατέλαβαν αυτήν και τον βασιλέα της και τας κωμοπόλεις αυτής. Επέρασαν εν στόματι μαχαίρας τους κατοίκους της και κάθε τι που ανέπνεεν εντός αυτής, και δεν αφήκαν τίποτε να διαφύγη τον όλεθρον. Οπως έκαμαν εις την Χεβρών και τον βασιλέα της έτσι έκαμαν εις την Δαβίρ και τον βασιλέα της.

ΙτΝ. 10,40 - καὶ ἐπάταξεν Ἰησοῦς πᾶσαν τὴν γῆν τῆς ὀρεινῆς καὶ τὴν Ναγὲβ καὶ τὴν πεδινὴν καὶ τὴν Ἀσηδὼθ καὶ τοὺς βασιλεῖς αὐτῆς, οὐ κατέλιπον αὐτῶν σεσωσμένον· καὶ πᾶν ἐμπνέον ζωῆς ἐξωλόθρευσεν, ὃν τρόπον ἐνετείλατο Κύριος ὁ Θεὸς Ἰσραήλ,

ΙτΝ. 10,40 - Ο Ιησούς εκτύπησε και κατενίκησεν όλην την ορεινήν περιοχήν της νοτίου Παλαιστίνης, την Ναγέβ της νοτίου Παλαιστίνης, την πεδινήν περιοχήν και την Ασιδώθ και τους βασιλείς αυτής. Δεν αφήκαν κανένα εν ζωή. Εξωλόθρευσαν κάθε ζώσαν ύπαρξιν, όπως τους είχε διατάξει Κυριος ο Θεός του Ισραήλ.

ΙτΝ. 10,41 - ἀπὸ Κάδης Βαρνῆ ἕως Γάζης, πᾶσαν τὴν Γοσὸμ ἕως τῆς Γαβαών,

ΙτΝ. 10,41 - Από την Καδης Βαρνή έως την Γαζαν, όλην την χώραν Γοσόμ μέχρι της Γαβαών,

ΙτΝ. 10,42 - καὶ πάντας τοὺς βασιλεῖς αὐτῶν καὶ τὴν γῆν αὐτῶν ἐπάταξεν Ἰησοῦς εἰσάπαξ, ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ συνεπολέμει τῷ

Ἰσραήλ.

ΙτΝ. 10,42 - όλους τους βασιλείς και τους κατοίκους των χωρών αυτών ενίκησε και συνέτριψεν ο Ιησούς κατά μίαν και μόνην εκστρατείαν, διότι Κυριος ο Θεός του Ισραηλιτικού λαού επολεμούσε μαζή με τον λαόν εναντίον των εχθρών.

ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 11

ΙτΝ. 11,1 - Ὡς δὲ ἤκουσεν Ἰαβὶν βασιλεὺς Ἀσώρ, ἀπέστειλε πρὸς Ἰαβὰβ βασιλέα Μαρὼν καὶ πρὸς βασιλέα Συμοὼν καὶ πρὸς βασιλέα Ἀζίφ

ΙτΝ. 11,1 - Ο Ιαβίν, ο βασιλεύς της Ασώρ, όταν επληροφορήθη αυτά τα γεγονότα, έστειλεν αγγελιαφόρους προς τον Ιωβάβ, βασιλέα της Μαρών, προς τον βασιλέα της Συμοών, προς τον βασιλέα της Αζίφ

ΙτΝ. 11,2 - καὶ πρὸς βασιλεῖς τοὺς κατὰ Σιδῶνα τὴν μεγάλην, εἰς τὴν ὀρεινὴν καὶ εἰς Ἄραβα ἀπέναντι Κενερὼθ καὶ εἰς τὸ πεδίον καὶ εἰς Φεναεδδὼρ

ΙτΝ. 11,2 - και προς τους βασιλείς, οι οποίοι ήσαν εις την Σιδώνα την μεγάλην πόλιν, εις την ορεινήν χώραν, εις την Αραβα απέναντι της Γεννησαρέτ, εις την πεδιάδα και εις την Φεναεδδώρ.

ΙτΝ. 11,3 - καὶ εἰς τοὺς παραλίους Χαναναίους ἀπὸ ἀνατολῶν καὶ εἰς τοὺς παραλίους Ἀμοῤῥαίους καὶ τοὺς Χετταίους καὶ Φερεζαίους καὶ Ἰεβουσαίους τοὺς ἐν τῷ ὄρει καὶ τοὺς Εὐαίους καὶ τοὺς ὑπὸ τὴν Ἀερμὼν εἰς γῆν Μασσηφά.

ΙτΝ. 11,3 - Εστειλεν στους προς δυσμάς και τους προς ανατολάς Χαναναίους, στους Αμορραίους που κατοικούσαν τα παράλια της Μεσογείου και στους Χετταίους, στους Φερεζαίους και τους Ιεβουσαίους που κατοικούσαν την ορεινήν περιοχήν, στους Ευαίους και τους κατοικούντας εις τας υπωρείας του Αερμών εις την χώραν Μασσηφά.

ΙτΝ. 11,4 - καὶ ἐξῆλθον αὐτοὶ καὶ οἱ βασιλεῖς αὐτῶν μετ᾽ αὐτῶν, ὥσπερ ἡ ἄμμος τῆς θαλάσσης τῷ πλήθει, καὶ ἵπποι καὶ ἅρματα πολλὰ σφόδρα.

ΙτΝ. 11,4 - Εκάλεσεν όλους αυτούς εις πόλεμον κατά των Ισραηλιτών. Εξήλθαν οι λαοί αυτοί μαζή με τους βασιλείς των, αναρίθμητοι όπως η άμμος της θαλάσσης, με ίππους και άρματα πάρα πολλά.

ΙτΝ. 11,5 - καὶ συνῆλθον πάντες οἱ βασιλεῖς αὐτοὶ καὶ παρεγένοντο ἐπὶ τὸ αὐτὸ καὶ παρενέβαλον ἐπὶ τοῦ ὕδατος Μαρὼν πολεμῆσαι τὸν Ἰσραήλ.

ΙτΝ. 11,5 - Συνεκεντρώθησαν όλοι αυτοί οι βασιλείς, επροχώρησαν μαζή και εστρατοπέδευσαν πλησίον των υδάτων της λίμνης Μαρών, δια να πολεμήσουν εναντίον των Ισραηλιτών.

ΙτΝ. 11,6 - καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, ὅτι αὔριον ταύτην τὴν ὥραν ἐγὼ παραδίδωμι τετροπωμένους

αὐτοὺς ἐναντίον τοῦ Ἰσραήλ· τοὺς ἵππους αὐτῶν νευροκοπήσεις καὶ τὰ ἅρματα αὐτῶν κατακαύσεις ἐν πυρί.

ΙτΝ. 11,6 - Ο Κυριος είπε τότε προς τον Ιησούν· “μη φοβηθής από αυτούς, διότι αύριον, αυτήν την ώραν θα παραδώσω αυτούς πανικοβλήτους εις φυγήν ενώπιον των Ισροηλιτών. Θα κόψης τα νεύρα των ίππων δια να τους αχρηστεύσης, τα δε άρματά των θα τα παραδώσης στο πυρ.

ΙτΝ. 11,7 - καὶ ἦλθεν Ἰησοῦς καὶ πᾶς ὁ λαὸς ὁ πολεμιστὴς ἐπ᾿ αὐτοὺς ἐπὶ τὸ ὕδωρ Μαρὼν ἐξάπινα καὶ ἐπέπεσαν ἐπ᾿ αὐτοὺς ἐν τῇ ὀρεινῇ.

ΙτΝ. 11,7 - Ο Ιησούς και όλος ο μάχιμος λαός ήλθεν αιφνιδίως εναντίον αυτών εις την λίμνην Μαρών και επέπεσε κατ' αυτών εις την ορεινήν περιοχήν.

ΙτΝ. 11,8 - καὶ παρέδωκεν αὐτοὺς Κύριος ὑποχειρίους Ἰσραήλ, καὶ κόπτοντες αὐτοὺς κατεδίωκον ἕως Σιδῶνος τῆς μεγάλης καὶ ἕως Μασερὼν καὶ ἕως τῶν πεδίων Μασσὼχ κατ᾿ ἀνατολὰς καὶ κατέκοψαν αὐτοὺς ἕως τοῦ μὴ καταλειφθῆναι αὐτῶν διασεσωσμένον.

ΙτΝ. 11,8 - Ο Κυριος παρέδωκεν αυτούς εις τα χέρια των Ισραηλιτών. Οι δε Ισραηλίται εκτυπούσαν και κατεδίωκον αυτούς έως την Σιδώνα την πόλιν την μεγάλην, έως την λίμνην Μασερών και έως εις τας πεδιάδας Μασσώχ προς ανατολάς. Κατετρόπωσαν και εφόνευσαν αυτούς μέχρις ότου κανείς δεν διεσώθη.

ΙτΝ. 11,9 - καὶ ἐποίησεν αὐτοῖς Ἰησοῦς ὃν τρόπον ἐνετείλατο αὐτῷ Κύριος· τοὺς ἵππους αὐτῶν ἐνευροκόπησε καὶ τὰ ἅρματα αὐτῶν ἐνέπρησε πυρί.

ΙτΝ. 11,9 - Εκαμεν ο Ιησούς εις αυτούς, όπως τον είχε διατάξει ο Κυριος· έκοψε τα νεύρα των ίππων και παρέδωσεν εις την φωτιάν τα άρματά των.

ΙτΝ. 11,10 - Καὶ ἀπεστράφη Ἰησοῦς ἐν τῷ καιρῷ ἐκείνῳ καὶ κατελάβετο Ἀσὼρ καὶ τὸν βασιλέα αὐτῆς· ἦν δὲ Ἀσὼρ τὸ πρότερον ἄρχουσα πασῶν τῶν βασιλειῶν τούτων.

ΙτΝ. 11,10 - Χωρίς δε να σταματήση εστράφη και κατέλαβε την Ασώρ και τον βασιλέα της. Η Ασώρ ήτο προηγουμένως πρωτεύουσα εις όλας αυτάς τας βασιλείας.

ΙτΝ. 11,11 - καὶ ἀπέκτειναν πᾶν ἐμπνέον ἐν αὐτῇ ἐν ξίφει καὶ ἐξωλόθρευσαν πάντας, καὶ οὐ κατελείφθη ἐν αὐτῇ ἐμπνέον· καὶ τὴν Ἀσὼρ ἐνέπρησαν ἐν πυρί.

ΙτΝ. 11,11 - Οι Ισραηλίται επέρασαν εν στόματι μαχαίρας κάθε τι που ανέπνεε και εζούσε, εξωλόθρευσαν όλους και δεν αφήκαν τίποτε το ζωντανόν. Την δε Ασώρ παρέδωσαν στο πυρ.

ΙτΝ. 11,12 - καὶ πάσας τὰς πόλεις τῶν βασιλειῶν καὶ τοὺς βασιλεῖς αὐτῶν ἔλαβεν Ἰησοῦς καὶ ἀνεῖλεν αὐτοὺς ἐν στόματι ξίφους, καὶ ἐξωλόθρευσαν αὐτούς, ὃν τρόπον συνέταξε Μωυσῆς ὁ παῖς Κυρίου.

ΙτΝ. 11,12 - Ο Ιησούς κατέλαβεν όλας τας πόλεις των βασιλείων αυτών, συνέλαβε τους βασιλείς των και επέρασεν όλους αυτούς εν στόματι μαχαίρας, τους εξωλόθρευσεν, όπως είχε διατάξει ο Μωϋσής ο δούλος του Κυρίου.

ΙτΝ. 11,13 - ἀλλὰ πάσας τὰς πόλεις τὰς κεχωματισμένας οὐκ ἐνέπρησεν Ἰσραήλ, πλὴν Ἀσὼρ μόνην ἐνέπρησεν Ἰσραὴλ

ΙτΝ. 11,13 - Αλλά οι Ισραηλίται δεν έκαυσαν τας πόλεις που ήσαν κτισμένες επάνω εις υψώματα, πλην της Ασώρ, την οποίαν και μόνην επυρπόλησαν.

ΙτΝ. 11,14 - καὶ πάντα τὰ σκῦλα αὐτῆς ἐπρονόμευσαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραήλ, αὐτοὺς δὲ πάντας ἐξωλόθρευσαν ἐν στόματι ξίφους, ἕως ἀπώλεσεν αὐτούς, οὐ κατέλιπον ἐξ αὐτῶν οὐδὲν ἐμπνέον.

ΙτΝ. 11,14 - Επίσης δεν έκαυσαν τα λάφυρα των εχθρών, άλλα τα επήραν δια τον εαυτόν των. Ολους όμως τους άλλους τους εξωλόθρευσαν εν στόματι μαχαίρας μέχρις ότου τους κατέστρεψαν τελείως και δεν αφήκαν καμμίαν ζωντανήν ύπαρξιν.

ΙτΝ. 11,15 - ὃν τρόπον συνέταξε Κύριος τῷ Μωυσῇ τῷ παιδὶ αὐτοῦ, καὶ Μωυσῆς ὡσαύτως ἐνετείλατο τῷ Ἰησοῖ, καὶ οὕτως ἐποίησεν Ἰησοῦς· οὐ παρέβη οὐδὲν ἀπὸ πάντων, ὧν συνέταξεν αὐτῷ Μωυσῆς.

ΙτΝ. 11,15 - Οπως διέταξεν ο Κυριος τον δούλον του Μωϋσήν και όπως επίσης διέταξεν ο Μωϋσής τον Ιησούν, έτσι έκαμεν ο Ιησούς. Δεν παρέβη τίποτε από όλα όσα τον διέταξεν ο Μωϋσής.

ΙτΝ. 11,16 - Καὶ ἔλαβεν Ἰησοῦς πᾶσαν τὴν γῆν τὴν ὀρεινὴν καὶ πᾶσαν τὴν γῆν Ναγὲβ καὶ πᾶσαν τὴν γῆν Γοσὸμ καὶ τὴν πεδινὴν καὶ τὴν πρὸς δυσμαῖς καὶ τὸ ὄρος Ἰσραὴλ καὶ τὰ ταπεινὰ τὰ πρὸς τῷ ὄρει

ΙτΝ. 11,16 - Ο Ιησούς κατέλαβεν όλην την ορεινήν χώραν, όλην την χώραν Ναγέβ, όλην την χώραν Γοσόμ και την πεδινήν πεοιοχήν, την προς δυσμάς, το όρος του Ισραήλ και τα χαμηλώματα τα πλησίον του όρους τούτου.

ΙτΝ. 11,17 - ἀπὸ ὄρους Χελχὰ καὶ ὃ προσαναβαίνει εἰς Σηεὶρ καὶ ἕως Βααλγὰδ καὶ τὰ πεδία τοῦ Λιβάνου ὑπὸ τὸ ὄρος τὸ Ἀερμὼν καὶ πάντας τοὺς βασιλεῖς αὐτῶν ἔλαβε καὶ ἀνεῖλε καὶ ἀπέκτεινε.

ΙτΝ. 11,17 - Κατέλαβεν επίσης από το όρος Χελχά, το οποίον υψώνεται εις την περιοχήν Σηείρ έως Βααλγάδ και τας πεδιάδας του Λιβάνου έως πρόποδας του Αερμών. Συνέλαβε δε και όλους τους βασιλείς αυτών των χωρών τους οποίους και εφόνευσεν.

ΙτΝ. 11,18 - καὶ ἡμέρας πλείους ἐποίησεν Ἰησοῦς πρὸς τοὺς βασιλεῖς τούτους τὸν πόλεμον,

ΙτΝ. 11,18 - Επί αρκετόν χρόνον επολέμησεν ο Ιησούς κατά των βασιλέων τούτων.

ΙтΝ. 11,19 - καὶ οὐκ ἦν πόλις, ἣν οὐκ ἔλαβεν Ἰσραήλ, πάντα ἐλάβοσαν ἐν πολέμῳ.

ΙтΝ. 11,19 - Αλλά και δεν υπήρξε πόλις, την οποίαν δεν κατέλαβον οι Ισραηλίται. Τα πάντα κατέλαβον δια του νικηφόρου πολέμου των.

ΙтΝ. 11,20 - ὅτι διὰ Κυρίου ἐγένετο κατισχῦσαι αὐτῶν τὴν καρδίαν συναντᾶν εἰς πόλεμον πρὸς Ἰσραήλ, ἵνα ἐξολοθρευθῶσιν, ὅπως μὴ δοθῇ αὐτοῖς ἔλεος, ἀλλ᾽ ἵνα ἐξολοθρευθῶσιν, ὃν τρόπον εἶπε Κύριος πρὸς Μωυσῆν.

ΙтΝ. 11,20 - Τούτο δε έγινε με την δύναμιν του Κυρίου, ο οποίος έκαμε τας καρδίας των λαών αυτών να σκληρυνθούν, να επιχειρήσουν πόλεμον εναντίον των Ισραηλιτών δια να εξολοθρευθούν και να μη εύρουν έλεος· να εξολοθρευθούν όπως είχεν είπει ο Κυριος προς τον Μωϋσήν.

ΙтΝ. 11,21 - Καὶ ἦλθεν Ἰησοῦς ἐν τῷ καιρῷ ἐκείνῳ καὶ ἐξωλόθρευσε τοὺς Ἐνακὶμ ἐκ τῆς ὀρεινῆς, ἐκ Χεβρὼν καὶ ἐκ Δαβὶρ καὶ ἐξ Ἀναβὼθ καὶ ἐκ παντὸς γένους Ἰσραὴλ καὶ ἐκ παντὸς ὄρους Ἰούδα σὺν ταῖς πόλεσιν αὐτῶν, καὶ ἐξωλόθρευσεν αὐτοὺς Ἰησοῦς.

ΙтΝ. 11,21 - Ο Ιησούς κατά τον καιρόν εκείνον επροχώρησε και εξωλόθρευσε τους Ενακίμ (τους γίγαντας) από τας ορεινάς περιοχάς, από την Χεβρών, από την Δαβίρ, από την Αναβώθ και από παντού όπου είχεν απλωθή ο ισραηλιτικός λαός, από τα όρη της φυλής Ιούδα μαζή με τας πόλεις των· εξωλόθρευσεν όλους αυτούς.

ΙтΝ. 11,22 - οὐ κατελείφθη τῶν Ἐνακὶμ ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἀλλὰ πλὴν ἐν Γάζῃ καὶ ἐν Γὲθ καὶ ἐν Ἀσεδὼθ κατελείφθη.

ΙтΝ. 11,22 - Δεν απέμεινε κανείς από τους Ενακίμ μεταξύ των Ισραηλιτών. Μονον υπελείφθησαν μερικοί εις την Γαζαν, εις την Γεθ και εις την Ασεδώθ.

ΙтΝ. 11,23 - καὶ ἔλαβεν Ἰησοῦς πᾶσαν τὴν γῆν, καθότι ἐνετείλατο Κύριος τῷ Μωυσῇ καὶ ἔδωκεν αὐτοὺς Ἰησοῦς ἐν κληρονομίᾳ Ἰσραὴλ ἐν μερισμῷ κατὰ φυλὰς αὐτῶν. καὶ ἡ γῆ κατέπαυσε πολεμουμένη.

ΙтΝ. 11,23 - Ο Ιησούς κατέλαβεν όλην την χώραν, όπως ο Κυριος είχε διατάξει στον Μωϋσήν, και έδωκεν αυτήν ο Ιησούς ως κληρονομίαν στους Ισραηλίτας, δια διανομής αυτής κατά τμήματα εις τας φυλάς των Ισραηλιτών. Ετσι δε ησύχασε και ανεπαύθη η χώρα από τον πόλεμον.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 12

ΙтΝ. 12,1 - Καὶ οὗτοι οἱ βασιλεῖς τῆς γῆς, οὓς ἀνεῖλον οἱ υἱοὶ Ἰσραὴλ καὶ κατεκληρονόμησαν τὴν γῆν αὐτῶν πέραν τοῦ Ἰορδάνου ἀφ᾽ ἡλίου

ἀνατολῶν ἀπὸ φάραγγος Ἀρνῶν ἕως τοῦ ὄρους Ἀερμὼν καὶ πᾶσαν τὴν γῆν Ἄραβα ἀπ᾿ ἀνατολῶν·

ΙτΝ. 12,1 - Οι βασιλείς των χωρών τους οποίους εφόνευσαν οι Ισροηλίται και εκληρονόμησαν τας χώρας των πέραν του Ιορδάνου προς ανατολάς, από την κοιλάδα Αρνών έως το όρος Αερμών και το βαθύπεδον Αραβα το ανατολικώς του Ιορδάνου είναι οι εξής·

ΙτΝ. 12,2 - Σηὼν τὸν βασιλέα τῶν Ἀμοῤῥαίων, ὃς κατῴκει ἐν Ἐσεβὼν κυριεύων ἀπὸ Ἀροήρ, ἣ ἐστιν ἐν τῇ φάραγγι, κατὰ μέρος τῆς φάραγγος, καὶ τὸ ἥμισυ τῆς Γαλαὰδ ἕως Ἰαβόκ, ὅρια υἱῶν Ἀμμών,

ΙτΝ. 12,2 - Ο Σηών, ο βασιλεύς των Αμορραίων, ο οποίος κατοικούσεν εις την πόλιν Εσεβών. Αυτός εκυριαρχούσε από την Αροήρ, η οποία ευρίσκετο εις την κοιλάδα, παραπλεύρως της κοιλάδος μέχρι και του ημίσεος Γαλαάδ έως στον χείμαρρον Ιαβόκ και τα σύνορα των Αμμωνιτών·

ΙτΝ. 12,3 - καὶ Ἄραβα ἕως τῆς θαλάσσης Χενερὲθ κατ᾿ ἀνατολὰς καὶ ἕως τῆς θαλάσσης Ἄραβα, θάλασσαν τῶν ἁλῶν ἀπὸ ἀνατολῶν, ὁδὸν τὴν κατὰ Ἀσειμώθ, ἀπὸ Θαιμὰν τὴν ὑπὸ Ἀσηδὼθ Φασγά·

ΙτΝ. 12,3 - από Αραβα το βαθύπεδον του Ιορδάνου, προς βορράν μέχρι της λίμνης Γεννησαρέτ και προς ανατολάς μέχρι της λίμνης που κείται στο βαθύπεδον αυτό, μέχρι δηλαδή της Νεκράς Θαλάσσης που περνά ο δρόμος προς την Ασειμώθ, δηλαδή από Θαιμάν προς την Ασηδώθ, η οποία ευρίσκετο στο όρος Φασγά.

ΙτΝ. 12,4 - καὶ Ὢγ βασιλεὺς Βασὰν ὑπελείφθη ἐκ τῶν γιγάντων ὁ κατοικῶν ἐν Ἀσταρὼθ καὶ ἐν Ἐδραΐν,

ΙτΝ. 12,4 - Ο Ωγ, ο βασιλεύς της Βασάν, ο μόνος από την γενεάν των γιγάντων, ο οποίος κατοικούσε εις τας πόλεις Ασταρώθ και Εδραΐν.

ΙτΝ. 12,5 - ἄρχων ἀπὸ ὄρους Ἀερμὼν καὶ ἀπὸ Σελχοὶ καὶ πᾶσαν τὴν γῆν Βασὰν ἕως ὁρίων Γεσουρὶ καὶ τὴν Μαχὶ καὶ τὸ ἥμισυ Γαλαὰδ ὁρίων Σηὼν βασιλέως Ἐσεβών.

ΙτΝ. 12,5 - Η κυριαρχία αυτού εξετείνετο από το όρος Αερμών από Σελχούς εις όλην την χώραν Βασάν μέχρι των συνόρων Γεσουρί και Μαχί, και στο ήμισυ της χώρας Γαλαάδ, η οποία ευρίσκετο εις τα σύνορα του Σηών, του βασιλέως της Εσεβών.

ΙτΝ. 12,6 - Μωυσῆς ὁ παῖς Κυρίου καὶ υἱοὶ Ἰσραὴλ ἐπάταξαν αὐτούς, καὶ ἔδωκεν αὐτὴν Μωυσῆς ἐν κληρονομίᾳ Ῥουβὴν καὶ Γὰδ καὶ τῷ ἡμίσει φυλῆς Μανασσῇ.

ΙτΝ. 12,6 - Ο Μωϋσής ο δούλος του Κυρίου εκτύπησε και κατενίκησεν αυτούς, κατέλαβε την χώραν των, την οποίαν ο Μωϋσής έδωκεν ως κληρονομίαν εις τας δύο φυλάς Ρουβήν και Γαδ και στο το ήμισυ της φυλής Μανασσή.

ΙτΝ. 12,7 - Καὶ οὗτοι οἱ βασιλεῖς τῶν Ἀμοῤῥαίων, οὓς ἀνεῖλεν Ἰησοῦς καὶ υἱοὶ Ἰσραὴλ ἐν τῷ πέραν τοῦ Ἰορδάνου παρὰ θάλασσαν Βααλγὰδ ἐν τῷ πεδίῳ τοῦ Λιβάνου καὶ ἕως ὄρους τοῦ Χελχὰ ἀναβαινόντων εἰς Σηείρ, καὶ ἔδωκεν αὐτὴν Ἰησοῦς ταῖς φυλαῖς Ἰσραὴλ κληρονομεῖν κατὰ κλῆρον αὐτῶν,

ΙτΝ. 12,7 - Αυτοί δε ήσαν οι βασιλείς των Αμορραίων, που τους εφόνευσαν οι Ισραηλίται εις την δυτικώς του Ιορδάνου περιοχήν, από της Βααλγάδ εις την πεδιάδα του Λιβάνου, έως το όρος Χελχά, το οποίον ανυψώνεται εις Σηείρ και τας οποίας περιοχάς εμοίρασε δια κλήρου ο 'Ιησους του Ναυή εις τας φυλάς του Ισραήλ.

ΙτΝ. 12,8 - ἐν τῷ ὄρει καὶ ἐν τῷ πεδίῳ καὶ ἐν Ἄραβα καὶ ἐν Ἀσηδὼθ καὶ ἐν τῇ ἐρήμῳ καὶ Ναγέβ, τὸν Χετταῖον καὶ τὸν Ἀμοῤῥαῖον καὶ τὸν Χαναναῖον καὶ τὸν Φερεζαῖον καὶ τὸν Εὐαῖον καὶ τὸν Ἰεβουσαῖον·

ΙτΝ. 12,8 - Εκυρίευσεν επίσης ο Ιησούς του Ναυή την ορεινήν περιοχήν, όπως και την πεδινήν έως στο βαθύπεδον του Ιορδάνου και εις την Ασηδώθ, έως εις την έρημον και την Ναγέβ. Κατέλαβον δε τους Χετταίους, τους Αμορραίους, τους Χαναναίους, τους Φερεζαίους, τους Ευαίους και τους Ιεβουσαίους. Αυτοί δε είναι οι νικηθέντες και συλληφθέντες βασιλείς·

ΙτΝ. 12,9 - τὸν βασιλέα Ἱεριχὼ καὶ τὸν βασιλέα τῆς Γαί, ἥ ἐστι πλησίον Βαιθήλ,

ΙτΝ. 12,9 - Ο βασιλεύς της Ιεριχούς και ο βασιλεύς της Γαι, η οποία ευρίσκεται πλησίον της Βαιθήλ,

ΙτΝ. 12,10 - βασιλέα Ἱερουσαλήμ, βασιλέα Χεβρών,

ΙτΝ. 12,10 - ο βασιλεύς της Ιερουσαλήμ και ο βασιλεύς της Χεβρών,

ΙτΝ. 12,11 - βασιλέα Ἱεριμούθ, βασιλέα Λαχίς,

ΙτΝ. 12,11 - ο βασιλεύς της Ιεριμούθ και ο βασιλεύς της Λαχίς,

ΙτΝ. 12,12 - βασιλέα Αἰλάμ, βασιλέα Γαζέρ,

ΙτΝ. 12,12 - ο βασιλεύς του Αιλάμ και ο βασιλεύς της Γαζέρ,

ΙτΝ. 12,13 - βασιλέα Δαβίρ, βασιλέα Γαδέρ,

ΙτΝ. 12,13 - ο βασιλεύς της Δαβίρ και ο βασιλεύς της Γαδέρ,

ΙτΝ. 12,14 - βασιλέα Ἑρμάθ, βασιλέα Ἀράθ,

ΙτΝ. 12,14 - ο βασιλεύς Ερμάθ και ο βασιλεύς Αράθ,

ΙτΝ. 12,15 - βασιλέα Λεβνά, βασιλέα Ὀδολλάμ,

ΙτΝ. 12,15 - ο βασιλεύς της Λεβνά και ο βασιλεύς της Οδολλάμ,

ΙτΝ. 12,16 - βασιλέα Ἠλάθ,

ΙτΝ. 12,16 - ο βασιλεύς Ηλάθ,

ΙτΝ. 12,17 - βασιλέα Ταφούγ, βασιλέα Ὀφέρ,

ΙτΝ. 12,17 - ο βασιλεύς Ταφούγ και ο βασιλεύς Οφέρ,

ΙτΝ. 12,18-22 - βασιλέα Ἀφὲκ τῆς Σαρών, βασιλέα Ἀσώρ, βασιλέα Συμοών, βασιλέα Μαρών, βασιλέα Ἀζίφ, βασιλέα Κάδης, βασιλέα Τανάχ, βασιλέα Μαγεδών, βασιλέα Ἰεκονὰμ τοῦ Χερμέλ,

ΙτΝ. 12,18-22 - ο βασιλεύς της Αφέκ, της πεδιάδος Σαρών, ο βασιλεύς Ασώρ, ο βασιλεύς Συμοών, ο βασιλεύς Μαρών, ο βασιλεύς Αζίφ, ο βασιλεύς Καδης, ο βασιλεύς Τανάχ, ο βασιλεύς Μαγεδών, ο βασιλεύς Ιεκονάμ του όρους Καρμηλος

ΙτΝ. 12,23 - βασιλέα Δὼρ τοῦ Ναφεδδώρ, βασιλέα Γωΐμ τῆς Γαλιλαίας,

ΙτΝ. 12,23 - ο βασιλεύς Δωρ του Ναφεδδώρ, ο βασιλεύς Γωΐμ της Γαλιλαίας

ΙτΝ. 12,24 - βασιλέα Θαρσά· πάντες οὗτοι βασιλεῖς εἴκοσιν ἐννέα.

ΙτΝ. 12,24 - και ο βασιλεύς Θαρσά. Είκοσι εννέα ήσαν εν συνόλω αυτοί οι βασιλείς.

ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 13

ΙτΝ. 13,1 - Καὶ Ἰησοῦς πρεσβύτερος προβεβηκὼς τῶν ἡμερῶν. καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν· σὺ προβέβηκας τῶν ἡμερῶν, καὶ ἡ γῆ ὑπολέλειπται πολλὴ εἰς κληρονομίαν.

ΙτΝ. 13,1 - Ο Ιησούς του Ναυή ήτο γέρων πλέον προχωρημένος εις την ηλικίαν. Είπε δε τότε ο Κυριος προς τον Ιησούν· “συ έχεις πλέον προχωρήσει πολύ εις την ηλικίαν, η δε χώρα που υπολείπεται εις κατάκτησιν είναι μεγάλη.

ΙτΝ. 13,2 - καὶ αὕτη ἡ γῆ καταλελειμμένη· ὅρια Φυλιστιείμ, ὁ Γεσιρὶ καὶ ὁ Χαναναῖος·

ΙτΝ. 13,2 - Η χώρα που περικλείεται εις τα όρια των Φιλισταίων, χώρα των Γεσιρί και των Χαναναίων.

ΙτΝ. 13,3 - ἀπὸ τῆς ἀοικήτου τῆς κατὰ πρόσωπον Αἰγύπτου ἕως τῶν ὁρίων Ἀκκαρὼν ἐξ εὐωνύμων τῶν Χαναναίων προσλογίζεται ταῖς πέντε σατραπείαις τῶν Φυλιστιείμ, τῷ Γαζαίῳ καὶ τῷ Ἀζωτίῳ καὶ τῷ Ἀσκαλωνίτῃ καὶ τῷ Γετθαίῳ καὶ τῷ Ἀκκαρωνίτῃ· καὶ τῷ Εὐαίῳ

ΙτΝ. 13,3 - Επίσης η χώρα η οποία αρχίζει νοτίως από την έρημον ανατολικώς της Αιγύπτου και προς βορράν φθάνει μέχρι της Ακκαρών, αριστερά της χώρας των Χαναναίων. Η χώρα αυτή περιλαμβάνει τας πέντε σατραπείας των Φιλισταίων, δηλαδή των Γαζαίων, των Αζωτίων, των Ασκαλωνιτών, των Γετθαίων, των Ακκαρωνιτών και των Ευαίων.

ΙτΝ. 13,4 - ἐκ Θαιμὰν καὶ πάσῃ γῇ Χαναὰν ἐναντίον Γάζης, καὶ οἱ Σιδώνιοι ἕως Ἀφέκ, ἕως τῶν ὁρίων τῶν Ἀμοῤῥαίων,

ΙτΝ. 13,4 - Επίσης η χώρα από Θαιμάν, η οποία περιλαμβάνει όλην την χώραν των Χαναναίων που είναι απέναντι της Γαζης, και την χώραν των Σιδωνίων έως την Αφέκ και έως τα σύνορα των Αμορραίων.

ΙτΝ. 13,5 - καὶ πᾶσαν τὴν γῆν Γαβλὶ Φυλιστιείμ· καὶ πάντα τὸν Λίβανον ἀπὸ ἀνατολῶν ἡλίου, ἀπὸ Γαλγὰλ ὑπὸ τὸ ὄρος τὸ Ἀερμὼν ἕως τῆς εἰσόδου Ἐμάθ·

ΙτΝ. 13,5 - Επίσης όλη η χώρα των Γαβλιτών Φιλισταίων, όλον το όρος Λιβανον προς ανατολάς από το Γαλγάλ, το κείμενον εις τας υπωρείας του όρους Αερμών μέχρι και της εισόδου της χώρας Εμάθ.

ΙτΝ. 13,6 - πᾶς ὁ κατοικῶν τὴν ὀρεινὴν ἀπὸ τοῦ Λιβάνου ἕως τῆς Μασερεφωθαίμ, πάντας τοὺς Σιδωνίους, ἐγὼ αὐτοὺς ἐξολοθρεύσω ἀπὸ προσώπου Ἰσραήλ· ἀλλὰ διάδος αὐτὴν ἐν κλήρῳ τῷ Ἰσραήλ, ὃν τρόπον σοι ἐνετειλάμην.

ΙτΝ. 13,6 - Ολους αυτούς που κατοικούν εις την ορεινήν περιοχήν του Λιβάνου μέχρι της Μασερεφωθαίμ και όλους τους Σιδωνίους, εγώ θα τους εξολοθρεύσω από το πρόσωπον των Ισραηλιτών. Συ όμως διαμοίρασε από τώρα με κλήρον στους Ισραηλίτας τας χώρας όπως εγώ σε διέταξα.

ΙτΝ. 13,7 - καὶ νῦν μέρισον τὴν γῆν ταύτην ἐν κληρονομίᾳ ταῖς ἐννέα φυλαῖς καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ· ἀπὸ τοῦ Ἰορδάνου ἕως τῆς θαλάσσης τῆς μεγάλης κατὰ δυσμὰς ἡλίου δώσεις αὐτήν, ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ.

ΙτΝ. 13,7 - Τωρα δηλαδή μοίρασε την χώραν αυτήν εις κληρονομίαν των εννέα φυλών και του ημίσεος της φυλής Μανασσή, από την ανατολικώς του Ιορδάνου περιοχήν και μέχρι της Μεσογείου Θαλάσσης προς δυσμάς. Η Μεσόγειος θα αποτελή τα όρια της χώρας την οποίαν δια κλήρου θα δώσης στους Ισραηλίτας”.

ΙτΝ. 13,8 - ταῖς δυσὶ φυλαῖς καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ, τῷ Ῥουβὴν καὶ τῷ Γάδ, ἔδωκε Μωυσῆς ἐν τῷ πέραν τοῦ Ἰορδάνου· κατ᾿ ἀνατολὰς ἡλίου δέδωκεν αὐτὴν Μωυσῆς ὁ παῖς Κυρίου,

ΙτΝ. 13,8 - Εις τας δύο φυλάς Ρουβήν και Γαδ και στο ήμισυ της φυλής Μανασσή, ο Μωϋσής έδωκε προς κληρονομίαν την πέραν του Ιορδάνου χώραν· την ανατολικώς του Ιορδάνου την έδωσεν εις αυτούς ο Μωϋσής ο δούλος Κυρίου.

ΙτΝ. 13,9 - ἀπὸ Ἀροήρ, ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάῤῥου Ἀρνῶν, καὶ τὴν πόλιν τὴν ἐν μέσῳ τῆς φάραγγος καὶ πᾶσαν τὴν Μισὼρ ἀπὸ Μαιδαβὰ ἕως Δαιβάν,

ΙτΝ. 13,9 - Η χώρα αυτή αρχίζει από την Αροήρ, η οποία ευρίσκεται επί της όχθης του Χειμάρρου Αρνών, από την πόλιν, η οποία ευρίσκεται, στο μέσον της κοιλάδος, όλην την περιοχήν Μισώρ από Μαιδαβά έως Δαιβάν.

ΙτΝ. 13,10 - πάσας τὰς πόλεις Σηὼν βασιλέως Ἀμοῤῥαίων, ὃς ἐβασίλευσεν ἐν Ἐσεβών, ἕως τῶν ὁρίων υἱῶν Ἀμμῶν,

ΙτΝ. 13,10 - "Ολας τας πόλστου Σηών, βασιλέως των Αμορραίων, ο οποίος εβασίλευσεν εις την πόλιν Εσεβών, μέχρι των συνόρων των Αμμωνιτών.

ΙτΝ. 13,11 - καὶ τὴν Γαλααδίτιδα καὶ τὰ ὅρια Γεσιρὶ καὶ τοῦ Μαχατί, πᾶν ὅρος Ἀερμὼν καὶ πᾶσαν τὴν Βασανίτιν ἕως Σελλά,

ΙτΝ. 13,11 - Ολην την χώραν Γαλαάδ, την περιοχήν Γεσιρί και Μαχατί, όλον το όρος Αερμών και όλην την Βασανίτιδα χώραν έως την Σελλά.

ΙτΝ. 13,12 - πᾶσαν τὴν βασιλείαν Ὢγ ἐν τῇ Βασανίτιδι, ὃς ἐβασίλευσεν ἐν Ἀσταρὼθ καὶ ἐν Ἐδραΐν· οὗτος κατελείφθη ἀπὸ τῶν γιγάντων, καὶ ἐπάταξεν αὐτὸν Μωυσῆς καὶ ἐξωλόθρευσε.

ΙτΝ. 13,12 - Ολην την χώραν Βασάν, βασιλείαν του Ωγ, ο οποίος είχεν ως πρωτεύουσαν την Ασταρώθ και την Εδραΐν. Ο Ωγ είναι ο μόνος που απέμεινε από την φυλήν των γιγάντων. Αυτόν εκτύπησεν ο Μωϋσής και τον εξωλόθρευσεν.

ΙτΝ. 13,13 - καὶ οὐκ ἐξωλόθρευσαν οἱ υἱοὶ Ἰσραὴλ τὸν Γεσιρὶ καὶ τὸν Μαχατὶ καὶ τὸν Χαναναῖον, καὶ κατῴκει βασιλεὺς Γεσιρὶ καὶ ὁ Μαχατὶ ἐν τοῖς υἱοῖς Ἰσραὴλ ἕως τῆς σήμερον ἡμέρας.

ΙτΝ. 13,13 - Οι Ισραηλίται δεν εδωλόθρευσαν όμως τους Γεσιρί, τους Μαχατί και τους Χαναναίους. Ο δε βασιλεύς των Γεσιρί και των Μαχατί ευρίσκεται μέχρι της ημέρας αυτής μεταξύ των Ισραηλιτών.

ΙτΝ. 13,14 - πλὴν τῆς φυλῆς Λευὶ οὐκ ἐδόθη κληρονομία· Κύριος ὁ Θεὸς Ἰσραήλ, οὗτος κληρονομία αὐτῶν, καθὰ εἶπεν αὐτοῖς Κύριος. καὶ οὗτος ὁ καταμερισμός, ὃν κατεμέρισε Μωυσῆς τοῖς υἱοῖς Ἰσραὴλ ἐν Ἀραβὼθ Μωὰβ ἐν τῷ πέραν τοῦ Ἰορδάνου κατὰ Ἱεριχώ.

ΙτΝ. 13,14 - Εις την φυλήν όμώς του Λευϊ δεν εδόθη καμμία κληρονομία. Κληρονομία αυτών είναι Κυριος ο Θεός του Ισραήλ, όπως έχει ορίσει ο ίδιος ο Θεός. Αυτή είναι η διανομή την οποίαν έκαμεν ο Μωϋσής μεταξύ των Ισραηλιτών, των δυόμισυ δηλαδή φυλών, όταν ήτο εις την Αραβώθ Μωάβ, ανατολικώς του Ιορδάνου, απέναντι από την Ιεριχώ.

ΙτΝ. 13,15 - Καὶ ἔδωκε Μωυσῆς τῇ φυλῇ Ῥουβὴν κατὰ δήμους αὐτῶν.

ΙτΝ. 13,15 - Ο Μωϋσής διένειμεν εις την φυλήν του Ρουβήν την κληρονομίαν κατά τους δήμους αυτής.

ΙτΝ. 13,16 - καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ Ἀροήρ, ἥ ἐστι κατὰ πρόσωπον φάραγγος Ἀρνῶν, καὶ ἡ πόλις ἡ ἐν τῇ φάραγγι Ἀρνῶν. καὶ πᾶσαν τὴν Μισὼρ ἕως Ἐσεβὼν

ΙτΝ. 13,16 - Τα όρια της φυλής αυτής ήρχιζαν από την Αροήρ, η οποία ευρίσκεται επί της όχθης ανατολικώς του χειμάρρου Αρνών. Εις την περιοχήν του Ρουβήν, ήσαν· Η πόλις που ευρίσκεται εις την κοιλάδα Αρνών, όλη η περιοχή Μισώρ έως την Εσεβών·

ΙτΝ. 13,17 - καὶ πάσας τὰς πόλεις τὰς οὔσας ἐν τῇ Μισὼρ καὶ Δαιβὼν καὶ Βαμωθβάαλ καὶ οἴκου Βεελμὼν

ΙτΝ. 13,17 - Ολαι αι πόλεις αι οποίαι ευρίσκονται εις την περιοχήν Μισώρ, η Δαιβών, η Βαμωθβάαλ, ο οίκος Βεελμών,

ΙτΝ. 13,18 - καὶ Ἰασσὰ καὶ Κεδημὼθ καὶ Μεφαὰθ

ΙτΝ. 13,18 - η Ιασσά, η Κεδημώθ, η Μεφαάθ,

ΙτΝ. 13,19 - καὶ Καριαθαὶμ καὶ Σεβαμὰ καὶ Σεραδὰ καὶ Σιὼρ ἐν τῷ ὄρει Ἐμὰκ

ΙτΝ. 13,19 - η Καριαθαίμ, η Σεβαμά, η Σεραδά, η Σιώρ στο όρος Εμάκ·

ΙτΝ. 13,20 - καὶ Βαιθφογὸρ καὶ Ἀσηδὼθ Φασγὰ καὶ Βαιθασειμὼθ

ΙτΝ. 13,20 - η Βαιθφογόρ, η Ασηδώθ Φασγά και η Βαιθασειμώθ·

ΙτΝ. 13,21 - καὶ πάσας τὰς πόλεις τοῦ Μισὼρ καὶ πᾶσαν τὴν βασιλείαν τοῦ Σηὼν βασιλέως τῶν Ἀμοῤῥαίων, ὃν ἐπάταξε Μωυσῆς αὐτὸν καὶ τοὺς ἡγουμένους Μαδιὰμ καὶ τὸν Εὐὶ καὶ τὸν Ῥοκὸμ καὶ τὸν Σοὺρ καὶ τὸν Οὒρ καὶ τὸν Ῥοβὲ ἄρχοντας παρὰ Σηὼν καὶ τοὺς κατοικοῦντας τὴν γῆν.

ΙτΝ. 13,21 - όλαι αι πόλεις της περιοχής Μισώρ, εν συνόλω η βασιλεία του Σηών του βασιλέως των Αμορραίων. Αυτόν εφόνευσεν ο Μωϋσής, όπως επίσης τους αρχηγούς της Μαδιάμ, τον Ευϊ, τον Ροκόμ, τον Σούρ, τον Ουρ και τον Ροβέ, αξιωματούχους πλησίον του βασιλέως Σηών και όσους κατοικούσαν εις την γην αυτήν·

ΙτΝ. 13,22 - καὶ τὸν Βαλαὰμ τὸν τοῦ Βεώρ, τὸν μάντιν, ἀπέκτειναν ἐν τῇ ῥοπῇ.

ΙτΝ. 13,22 - Και ο μάγος Βαλαάμ, ο υιός του Βεώρ ήτο εξ εκείνων που, μεταξύ των άλλων, εφόνευσαν εις την επίθεσιν.

ΙτΝ. 13,23 - ἐγένετο δὲ τὰ ὅρια Ῥουβήν· Ἰορδάνης ὅριον, αὕτη ἡ κληρονομία υἱῶν Ῥουβὴν κατὰ δήμους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν.

ΙτΝ. 13,23 - Τα δυτικά όρια της φυλής Ρουβήν ήτο ο Ιορδάνης ποταμός. Αυτή είναι η κληρονομία, αι πόλεις και αι αγροικίαι της φυλής Ρουβήν κατά δήμους.

ΙτΝ. 13,24 - ἔδωκε δὲ Μωυσῆς τοῖς υἱοῖς Γὰδ κατὰ δήμους αὐτῶν.

ΙτΝ. 13,24 - Ο Μωϋσής έδωκεν στους υιούς Γαδ κατά δήμους άλλας χώρας.

ΙτΝ. 13,25 - καὶ ἐγένετο τὰ ὅρια αὐτῶν Ἰαζήρ, πᾶσαι πόλεις Γαλαὰδ καὶ τὸ ἥμισυ γῆς υἱῶν Ἀμμῶν ἕως Ἀροήρ, ἥ ἐστι κατὰ πρόσωπον Ῥαββά,

ΙτΝ. 13,25 - Τα σύνορα αυτών ήρχιζαν από την Ιαζήρ. Περιελαμβάνοντο εις αυτά αι πόλεις Γαλαάδ, το ήμισυ της χώρας των Αμμωνιτών μέχρι της Αροήρ, η οποία ευρίσκεται απέναντι της Ραββά,

ΙτΝ. 13,26 - καὶ ἀπὸ Ἐσεβὼν ἕως Ῥαμὼθ κατὰ τὴν Μασσηφὰ καὶ Βοτανὶμ καὶ Μααναΐν ἕως τῶν ὁρίων Δαβίρ,

ΙτΝ. 13,26 - από την Εσεβών έως την Ραμώθ πλησίον της Μασσηφά, την Βοτανίμ και Μααναΐν έως τα όρια της Δαβίρ·

ΙτΝ. 13,27 - καὶ Ἐμὲκ Βαιθαρὰμ Βανθαναβρὰ καὶ Σοκχωθὰ καὶ Σαφὰν καὶ τὴν λοιπὴν βασιλείαν Σηὼν βασιλέως Ἐσεβών, καὶ ὁ Ἰορδάνης ὁριεῖ ἕως μέρους τῆς θαλάσσης Χενερὲθ πέραν τοῦ Ἰορδάνου ἀπ᾿ ἀνατολῶν.

ΙτΝ. 13,27 - την Εμέκ, την Βαιθαράμ, την Βανθαναβρά, την Σοκχωθά και την Σαφάν και το υπόλοιπον της βασιλείας του Σιών, βασιλέως της Εσεβών. Οριον προς δυσμάς ήτο ο Ιορδάνης ποταμός μέχρι της λίμνης Γεννησαρέτ όλη η προς ανατολάς αυτού περιοχή.

ΙτΝ. 13,28 - αὕτη ἡ κληρονομία υἱῶν Γὰδ κατὰ δήμους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν.

ΙτΝ. 13,28 - Αυτή ήτο η κληρονομία εις πόλεις και αγροικίας της φυλής Γαδ, η διανεμηθείσα κατά τους δήμους αυτής.

ΙτΝ. 13,29 - καὶ ἔδωκε Μωυσῆς τῷ ἡμίσει φυλῆς Μανασσῆ κατὰ δήμους αὐτῶν.

ΙτΝ. 13,29 - Εδωκεν ο Μωυσής στο ήμισυ της φυλής Μανασσή, κατά τους δήμους αυτής την εξής χώραν·

ΙτΝ. 13,30 - καὶ ἐγένετο τὰ ὅρια αὐτῶν ἀπὸ Μααναΐμ καὶ πᾶσα βασιλεία Βασανὶ καὶ πᾶσα βασιλεία Ὢγ βασιλέως τῆς Βασὰν καὶ πάσας τὰς κώμας Ἰαΐρ, αἵ εἰσιν ἐν τῇ Βασανίτιδι, ἑξήκοντα πόλεις,

ΙτΝ. 13,30 - Τα όρια της χώρας αυτής ήρχιζαν από την Μααναΐμ και περιελάμβαναν όλην την βασιλείαν Βασάν, όλην την χώραν του βασιλέως της Βασάν Ωγ, όλας τας κώμας της περιοχής Ιαΐρ, εξήκοντα εν όλω πόλεις αι οποίαι ευρίσκοντο εις την χώραν Βασάν·

ΙτΝ. 13,31 - καὶ τὸ ἥμισυ τῆς Γαλαὰδ καὶ ἐν Ἀσταρὼθ καὶ ἐν Ἐδραΐν, πόλεις βασιλείας Ὢγ ἐν τῇ Βασανίτιδι καὶ ἐδόθησαν τοῖς υἱοῖς Μαχὶρ υἱοῦ Μανασσῆ, κατὰ δήμους αὐτῶν.

ΙτΝ. 13,31 - το ήμισυ της χώρας Γαλαάδ, τας πόλεις Ασταρώθ και Εδραΐν της βασιλείας του Ωγ εις την χώραν Βασάν, αι οποίαι εδόθησαν εις τας οικογενείας Μαχίρ, υιού του Μανασσή κατά τους δήμους αυτών.

ΙτΝ. 13,32 - οὗτοι οὓς κατεκληρονόμησε Μωυσῆς πέραν τοῦ Ἰορδάνου ἐν Ἀραβὼθ Μωὰβ ἐν τῷ πέραν τοῦ Ἰορδάνου τοῦ κατὰ Ἱεριχὼ ἀπ᾿ ἀνατολῶν.

ΙτΝ. 13,32 - Αυταί είναι αι χώραι, αι πέραν του Ιορδάνου, τας οποίας ο Μωϋσής έδωκεν εις εκείνους κληρονομίαν, όταν ευρίσκετο εις Αραβώθ της Μωάβ, ανατολικώς του Ιορδάνου απέναντι της Ιεριχούς.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 14

ΙτΝ. 14,1 - Καὶ οὗτοι οἱ κατακληρονομήσαντες υἱῶν Ἰσραὴλ ἐν τῇ γῇ Χαναάν, οἷς κατεκληρονόμησαν αὐτοῖς Ἐλεάζαρ ὁ ἱερεὺς καὶ Ἰησοῦς ὁ τοῦ Ναυὴ καὶ οἱ ἄρχοντες πατριῶν φυλῶν τῶν υἱῶν Ἰσραήλ.

ΙτΝ. 14,1 - Αυτοί είναι οι Ισραηλίται που επήραν κληρονομίαν εις την χώραν Χαναάν Εις αυτούς δια κλήρου εμοίρασαν την χώραν Ελεάζαρ ο

αρχιερεύς, Ιησούς του Ναυή και οι αρχηγοί των φυλών και των πατριών των Ισραηλιτών.

ΙτΝ. 14,2 - κατὰ κλήρους ἐκληρονόμησαν, ὃν τρόπον ἐνετείλατο Κύριος ἐν χειρὶ Ἰησοῦ ταῖς ἐννέα φυλαῖς καὶ τῷ ἡμίσει φυλῆς ἀπὸ τοῦ πέραν τοῦ Ἰορδάνου,

ΙτΝ. 14,2 - Δια κλήρου έλαβον αυτοί την κληρονομίαν των όπως είχε διατάξει ο Κυριος. Δια της χειρός του Ιησού του Ναυή έγινεν η διανομή αυτή εις τας δυτικώς του Ιορδάνου εννέα φυλάς και στο ήμισυ της μιας φυλής

ΙτΝ. 14,3 - καὶ τοῖς Λευίταις οὐκ ἔδωκε κλῆρον ἐν αὐτοῖς,

ΙτΝ. 14,3 - Εις τους Λευΐτας δεν έδωκε κληρονομίαν μεταξύ αυτών.

ΙτΝ. 14,4 - ὅτι ἦσαν οἱ υἱοὶ Ἰωσὴφ δύο φυλαὶ Μανασσῆ καὶ Ἐφραίμ, καὶ οὐκ ἐδόθη μερὶς ἐν τῇ γῇ τοῖς Λευίταις, ἀλλ᾽ ἢ πόλεις κατοικεῖν καὶ τὰ ἀφωρισμένα αὐτῶν τοῖς κτήνεσι καὶ τὰ κτήνη αὐτῶν.

ΙτΝ. 14,4 - Οι δε υιοί του Ιωσήφ απετέλουν δύο φυλάς την φυλήν Μανασσή και την φυλήν Εφραίμ. Εις του Λευΐτας δεν εδόθη μερίδιον γης παρά μόνον πόλεις να κατοικούν αυτοί και αι γύρω βοσκήσιμοι περιοχαί δια τα κτήνη των

ΙτΝ. 14,5 - ὃν τρόπον ἐνετείλατο Κύριος τῷ Μωυσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐμέρισαν τὴν γῆν.

ΙτΝ. 14,5 - Οπως διέταξεν ο Κυριος τον Μωϋσήν έτσι εκαμαν οι Ισραηλίται και διεμοίρασαν την χώραν.

ΙτΝ. 14,6 - Καὶ προσήλθοσαν οἱ υἱοὶ Ἰούδα πρὸς Ἰησοῦν ἐν Γαλγάλ, καὶ εἶπε πρὸς αὐτὸν Χάλεβ ὁ τοῦ Ἰεφονὴ ὁ Κενεζαῖος· σὺ ἐπίστῃ τὸ ῥῆμα, ὃ ἐλάλησε Κύριος πρὸς Μωυσῆν ἄνθρωπον τοῦ Θεοῦ περὶ ἐμοῦ καὶ σοῦ ἐν Κάδης Βαρνή·

ΙτΝ. 14,6 - Οι της φυλής του Ιούδα προσήλθον εις τα Γαλγαλα προς τον Ιησούν, και είπε προς αυτόν ο Χαλεβ ο υιός του Ιεφονή ο Κενεζαίος· “συ γνωρίζστον λόγον τον οποίον είπεν ο Κυριος προς το Μωϋσήν, τον άνθρωπον του Θεού, περί εμού και σου εις Καδης Βαρνή.

ΙτΝ. 14,7 - τεσσαράκοντα γὰρ ἐτῶν ἤμην ὅτε ἀπέστειλέ με Μωυσῆς ὁ παῖς τοῦ Θεοῦ ἐκ Κάδης Βαρνὴ κατασκοπεῦσαι τὴν γῆν, καὶ ἀπεκρίθην αὐτῷ λόγον κατὰ τὸν νοῦν αὐτοῦ,

ΙτΝ. 14,7 - Τεσσαράκοντα ετών ήμην, όταν ο Μωϋσής ο δούλος του Θεού με έστειλεν από την Καδης Βαρνή να κατασκοπεύσω την γην. Και όταν επέστρεψα έδωσα απάντησιν εις αυτόν σύμφωνα με την αγαθήν του διάθεσιν.

ΙτΝ. 14,8 - οἱ ἀδελφοί μου οἱ ἀναβάντες μετ᾽ ἐμοῦ μετέστησαν τὴν καρδίαν τοῦ λαοῦ, ἐγὼ δὲ προσετέθην ἐπακολουθῆσαι Κυρίῳ τῷ Θεῷ μου,

ΙτΝ. 14,8 - Οι άλλοι όμως αδελφοί μου, ο οποίοι ανέβησαν μαζή με εμέ να κατασκοπεύσουν την χώραν, μετέστρεψαν και κατεπτόησαν την καρδίαν του

λαού, εν εγώ ηκολούθησα Κυριον τον Θεόν μου και είπα την αλήθειαν.

ΙτΝ. 14,9 - καὶ ὤμοσε Μωυσῆς ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λέγων· ἡ γῆ, ἐφ᾿ ἣν ἐπέβης, σοὶ ἔσται ἐν κλήρῳ καὶ τοῖς τέκνοις σου εἰς τὸν αἰῶνα, ὅτι προσετέθης ἐπακολουθῆσαι ὀπίσω Κυρίου τοῦ Θεοῦ ἡμῶν.

ΙτΝ. 14,9 - Κατά την ημέραν εκείνην ο Μωϋσής υπεσχέθη με όρκον και είπεν· η χώρα εις την οποία εισήλθες θα είναι δική σου κληρονομία και των παιδιών σου δια παντός, διότι συ ηκολούθησες πιστώς Κυριον τον Θεο μας.

ΙτΝ. 14,10 - καὶ νῦν διέθρεψέ με Κύριος, ὃν τρόπον εἶπε, τοῦτο τεσσαρακοστὸν καὶ πέμπτον ἔτος, ἀφ᾿ οὗ ἐλάλησε Κύριος τὸ ῥῆμα τοῦτο πρὸς Μωυσῆν καὶ ἐπορεύθη Ἰσραὴλ ἐν τῇ ἐρήμῳ. καὶ νῦν ἰδοὺ ἐγὼ σήμερον ὀγδοήκοντα καὶ πέντε ἐτῶν·

ΙτΝ. 14,10 - Ιδού λοιπόν τώρα, ότι ο Κυριος με διετήρησεν εις την ζωήν όπως μου υπεσχέθη. Αυτό δε είναι το τεσσαροκοστόν πέμπτον έτος, από τότε που είπεν ο Κυριος προς τον Μωϋσήν τον λόγο αυτόν, όταν οι Ισραηλίται εβάδιζαν ακόμη εις την έρημον. Και να ότι τώρα είμαι εγώ ογδόηκοντα πέντε ετών.

ΙτΝ. 14,11 - ἔτι εἰμὶ σήμερον ἰσχύων, ὡσεὶ ὅτε ἀπέστειλέ με Μωυσῆς, ὡσαύτως ἰσχύω νῦν ἐξελθεῖν καὶ εἰσελθεῖν εἰς τὸν πόλεμον.

ΙτΝ. 14,11 - Είμαι ακόμη σήμερον ισχυρός και ακμαίος όπως τότε που με έστειλεν ο Μωϋσής. Εχω και τώρα επίσης την ιδίαν δύναμιν να εξέρχωμαι από τας πόλεις και να λαμβάνω μέρος εις τας μάχας.

ΙτΝ. 14,12 - καὶ νῦν αἰτοῦμαί σε τὸ ὄρος τοῦτο, καθὰ εἶπε Κύριος τῇ ἡμέρᾳ ἐκείνῃ· ὅτι σὺ ἀκήκοας τὸ ῥῆμα τοῦτο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. νῦν δὲ οἱ Ἐνακὶμ ἐκεῖ εἰσι, πόλεις ὀχυραὶ καὶ μεγάλαι· ἐὰν οὖν Κύριος μετ᾿ ἐμοῦ ᾖ, ἐξολοθρεύσω αὐτούς, ὃν τρόπον εἰπέ μοι Κύριος.

ΙτΝ. 14,12 - Και τώρα σε παρακαλώ δος μου το όρος τούτο, όπως υπεσχέθη ο Κυριος κατά την ημέραν εκείνην· διότι και συ ήκουσες τον λόγον αυτόν κατά την ημέραν εκείνην. Τωρα υπάρχουν ακόμη εκεί οι Ενακίμ, οι γίγαντες, υπάρχουν πόλεις μεγάλαι και ωχυρωμέναι. Αλλά, εφόσον ο Κυριος είναι μαζή μου, θα εξολοθρεύσω αυτούς, όπως μου το είπεν ο Κυριος”.

ΙτΝ. 14,13 - καὶ εὐλόγησεν αὐτὸν Ἰησοῦς καὶ ἔδωκε Χεβρὼν τῷ Χάλεβ υἱῷ Ἰεφονὴ υἱῷ Κενὲζ ἐν κλήρῳ.

ΙτΝ. 14,13 - Ο Ιησούς ευλόγησεν αυτόν και έδωκεν στον Χαλεβ, τον υιόν του Ιεφονή, υιόν του Κενέζ, την Χεβρών ως κληρονομίαν.

ΙτΝ. 14,14 - διὰ τοῦτο ἐγενήθη ἡ Χεβρὼν τῷ Χάλεβ τῷ τοῦ Ἰεφονὴ τοῦ Κενεζαίου ἐν κλήρῳ ἕως τῆς ἡμέρας ταύτης, διὰ τὸ αὐτὸν ἐπακολουθῆσαι τῷ προστάγματι Κυρίου Θεοῦ Ἰσραήλ.

ΙτΝ. 14,14 - Διο τούτο η πόλις Χεβρών Εγινε πλέον κληρονομία και ιδιοκτησία στον Χαλεβ, τον υιόν του Ιεφονή του Κενεζαίου, μέχρι της ημέρας

αυτής, διότι αυτός ηκολούθησε πιστώς την εντολήν Κυρίου του Θεού των Ισραηλιτών.

ΙτΝ. 14,15 - τὸ δὲ ὄνομα τῆς Χεβρὼν ἦν τὸ πρότερον πόλις Ἀρβόκ· μητρόπολις τῶν Ἐνακὶμ αὕτη. καὶ ἡ γῆ ἐκόπασε τοῦ πολέμου.

ΙτΝ. 14,15 - Το δε όνομα της Χεβρών ήτο προηγουμένως Αρβόκ, πρωτεύουσα των Ενακίμ. Η χώρα πλέον ησύχασεν από τον πόλεμον και ανεπαύθη.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 15

ΙτΝ. 15,1 - Καὶ ἐγένετο τὰ ὅρια φυλῆς Ἰούδα κατὰ δήμους αὐτῶν ἀπὸ τῶν ὁρίων τῆς Ἰδουμαίας ἀπὸ τῆς ἐρήμου Σὶν ἕως Κάδης πρὸς λίβα.

ΙτΝ. 15,1 - Τα όρια της χώρας η οποία εδόθη εις την φυλήν του Ιούδα και διενεμήθη κατά τους δήμους αυτής είναι προς τα νοτιοδυτικά από τα σύνορα της Ιδουμαίας και της ερήμου Σιν μέχρι Καδης.

ΙτΝ. 15,2 - καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ λιβὸς ἕως μέρους θαλάσσης τῆς ἁλυκῆς, ἀπὸ τῆς λοφιᾶς τῆς φερούσης ἐπὶ λίβα

ΙτΝ. 15,2 - Δηλαδή τα όρια της περιοχής αυτής εκτείνονται νοτιοδυτικώς μέχρι της Νεκράς Θαλάσσης και από την λωρίδα της θαλάσσης κατευθύνονται προς νότον,

ΙτΝ. 15,3 - καὶ διαπορεύεται ἀπέναντι τῆς προσαναβάσεως Ἀκραβὶν καὶ ἐκπεριπορεύεται Σενὰ καὶ ἀναβαίνει ἀπὸ λιβὸς ἐπὶ Κάδης Βαρνὴ καὶ ἐκπορεύεται Ἀσωρὼν καὶ προσαναβαίνει εἰς Σάραδα καὶ ἐκπορεύεται τὴν κατὰ δυσμὰς Κάδης

ΙτΝ. 15,3 - διέρχονται απέναντι της ανωφερείας Ακραβίν, παρακάμπτουν την Σενά, ανέρχονται από τα νοτιοδυτικά προς Καδης Βαρνή, προχωρούν εις Ασωρών, ανέρχονται εις Σαραδα, και εξέρχονται προς δυσμάς της Καδης.

ΙτΝ. 15,4 - καὶ ἐκπορεύεται ἐπὶ Σελμωνὰν καὶ διεκβάλλει ἕως φάραγγος Αἰγύπτου, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος τῶν ὁρίων ἐπὶ τὴν θάλασσαν· τοῦτό ἐστιν αὐτῶν ὅρια ἀπὸ λιβός.

ΙτΝ. 15,4 - Διέρχονται κατόπιν εις την Σελμωνάν, εξέρχονται έως την κοιλάδα προς το μέρος της Αιγύπτου και έτσι τα μεσημβρινά όρια της φυλής Ιούδα καταλήγουν εις την Μεσόγειον Θαλασσαν. Αυτά είναι τα όρια από τα νοτιοδυτικά.

ΙτΝ. 15,5 - καὶ τὰ ὅρια ἀπὸ ἀνατολῶν· πᾶσα ἡ θάλασσα ἡ ἁλυκὴ ἕως τοῦ Ἰορδάνου. καὶ τὰ ὅρια αὐτῶν ἀπὸ βορῤῥᾶ καὶ ἀπὸ τῆς λοφιᾶς τῆς θαλάσσης καὶ ἀπὸ τοῦ μέρους τοῦ Ἰορδάνου·

ΙτΝ. 15,5 - Τα δε νοτιοανατολικά είναι· Ολη η Νεκρά Θαλασσα μέχρι τις εκβολής του Ιορδάνου. Τα βόρεια σύνορα αρχίζουν από την προς βορράν

λωρίδα της Νεκράς Θαλάσσης από το μέρος όπου εκβάλλει εις αυτήν ο Ιορδάνης.

ΙτΝ. 15,6 - ἐπιβαίνει τὰ ὅρια ἐπὶ Βαιθαγλὰ καὶ παραπορεύεται ἀπὸ Βοῤῥᾶ ἐπὶ Βαιθάραβα, καὶ προσαναβαίνει τὰ ὅρια ἐπὶ λίθον Βαιὼν υἱοῦ Ῥουβήν,

ΙτΝ. 15,6 - Ανέρχονται προς Βαιθαγλά, παρακάμπτουν από βορρά την Βαιθάραβα και ανέρχονται τα όρια αυτά μέχρι της τοποθεσίας «Λιθος Βαιών» της φυλής Ρουβήν.

ΙτΝ. 15,7 - καὶ προσαναβαίνει τὰ ὅρια ἐπὶ τὸ τέταρτον τῆς φάραγγος Ἀχὼρ καὶ καταβαίνει ἐπὶ Γαλγάλ, ἥ ἐστιν ἀπέναντι τῆς προσβάσεως Ἀδδαμίν, ἥ ἐστι κατὰ λίβα τῇ φάραγγι, καὶ διεκβάλλει ἐπὶ τὸ ὕδωρ πηγῆς τοῦ ἡλίου, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος πηγὴ Ῥωγήλ,

ΙτΝ. 15,7 - Ανέρχονται έπειτα στο τέταρτον τμήμα της κοιλάδος Αχώρ, καταβαίνουν προς τα Γαλγαλα, τα οποία είναι απέναντι της ανωφερείας Αδδαμίν, η οποία ευρίσκεται νοτίως της κοιλάδος. Τα όρια εν συνεχεία διέρχονται προ της πηγής “του Ηλίου” και καταλήγουν εις την πηγήν “Ρωγήλ”.

ΙτΝ. 15,8 - καὶ ἀναβαίνει τὰ ὅρια εἰς φάραγγα Ὀνὸμ ἐπὶ νώτου Ἰεβοῦς ἀπὸ λιβὸς (αὕτη ἐστὶν Ἱερουσαλὴμ) καὶ διεκβάλλει τὰ ὅρια ἐπὶ κορυφὴν ὄρους, ἥ ἐστι κατὰ πρόσωπον φάραγγος Ὀνὸμ πρὸς θαλάσσης, ἥ ἐστιν ἐκ μέρους γῆς Ῥαφαΐν ἐπὶ βοῤῥᾶ,

ΙτΝ. 15,8 - Επειτα ανέρχονται δια της κοιλάδος Ονόμ επί της μεσημβρινής πλευράς της Ιεβούς (αυτή είναι η Ιερουσαλήμ) φθάνουν εις την κορυφήν του όρους, η οποία κορυφή είναι απέναντι της κοιλάδος Ονόμ προς δυσμάς και εις την ακραίαν περιοχήν της χώρας των Ραφαΐν προς βορράν.

ΙτΝ. 15,9 - καὶ διεκβάλλει τὸ ὅριον ἀπὸ κορυφῆς τοῦ ὄρους ἐπὶ πηγὴν ὕδατος Ναφθὼ καὶ διεκβάλλει εἰς τὸ ὄρος Ἐφρών, καὶ ἄξει τὸ ὅριον εἰς Βαὰλ (αὕτη ἐστὶ πόλις Ἰαρίμ),

ΙτΝ. 15,9 - Από την κορυφήν του όρους εξέρχονται τα όρια μέχρι των υδάτων της πηγής Ναφθώ, φθάνουν στο όρος Εφρών και προχωρούν μέχρι της πόλεως Βαάλ (αυτή είναι η πόλις Ιαρίμ).

ΙτΝ. 15,10 - καὶ περιελεύσεται ὅριον ἀπὸ Βαὰλ ἐπὶ θάλασσαν καὶ παρελεύσεται εἰς ὄρος Ἀσσὰρ ἐπὶ νώτου, Πόλιν Ἰαρὶν ἀπὸ βοῤῥᾶ (αὕτη ἐστὶ Χασλὼν) καὶ καταβήσεται ἐπὶ Πόλιν ἡλίου καὶ παρελεύσεται ἐπὶ λίβα,

ΙτΝ. 15,10 - Από την Βαάλ περιελίσσονται προς την Μεσόγειον Θαλασσαν, παρέρχονται προς νότον την πλευράν του όρους Ασσάρ, προς βορράν την πόλιν Ιαρίν (αυτή είναι η Χασλών), κατόπιν κατέρχονται εις την “Ηλίου Πολιν” και προχωρούν προς νότον.

ΙτΝ. 15,11 - καὶ διεκβάλλει τὸ ὅριον κατὰ νώτου Ἀκκαρὼν ἐπὶ βοῤῥᾶν, καὶ διεκβαλεῖ τὰ ὅρια εἰς Σοκχὼθ καὶ παρελεύσεται ὅρια ἐπὶ λίβα καὶ

διεκβαλεῖ ἐπὶ Λεβνά, καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ θάλασσαν. καὶ τὰ ὅρια αὐτῶν ἀπὸ θαλάσσης· ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ.

ΙτΝ. 15,11 - Από εκεί τα όρια κατευθύνονται επί της βορείας πλευράς του όρους Ακκαρών, διέρχονται εις την Σοκχώθ, προχωρούν προς νότον και καταλήγουν εις Λεβνά. Ετσι δε τα βόρεια αυτά σύνορα φθάνουν μέχρι της Μεσογείου Θαλάσσης. Τα δε δυτικά ορίζονται από την μεγάλην θάλασσαν, δηλαδή την Μεσόγειον.

ΙτΝ. 15,12 - ταῦτα τὰ ὅρια υἱῶν Ἰούδα κύκλῳ κατὰ δήμους αὐτῶν.

ΙτΝ. 15,12 - Αυτά είναι τα όρια που περικλείουν την χώραν της φυλής Ιούδα την διανεμηθείσαν κατά τους δήμους αυτής.

ΙτΝ. 15,13 - καὶ τῷ Χάλεβ υἱῷ Ἰεφονὴ ἔδωκε μερίδα ἐν μέσῳ υἱῶν Ἰούδα διὰ προστάγματος τοῦ Θεοῦ, καὶ ἔδωκεν αὐτῷ Ἰησοῦς τὴν πόλιν Ἀρβὸκ μητρόπολιν Ἐνὰκ (αὕτη ἐστὶ Χεβρών).

ΙτΝ. 15,13 - Εις τον Χαλεβ, τον υιόν του Ιεφονή, έδωκεν ο Ιησούς του Ναυη, σύμφωνα προς την εντολήν του Θεού, την πόλιν Αρβόκ (δηλαδή την Χεβρών), η οποία ήτο πρωτεύουσα των Ενακίμ (γιγάντων).

ΙτΝ. 15,14 - καὶ ἐξωλόθρευσεν ἐκεῖθεν Χάλεβ υἱὸς Ἰεφονὴ τοὺς τρεῖς υἱοὺς Ἐνάκ, τὸν Σουσὶ καὶ Θολαμὶ καὶ τὸν Ἀχιμᾶ.

ΙτΝ. 15,14 - Ο Χαλεβ, ο υιός του Ιεφονή, εξωλόθρευσε τους τρεις υιούς του Ενάκ, τον Σουσί, τον Θολαμί και τον Αχιμά.

ΙτΝ. 15,15 - καὶ ἀνέβη ἐκεῖθεν Χάλεβ ἐπὶ τοὺς κατοικοῦντας Δαβίρ· τὸ δὲ ὄνομα Δαβὶρ ἦν τὸ πρότερον Πόλις γραμμάτων.

ΙτΝ. 15,15 - Από εκεί ο Χαλεβ ανέβη εναντίον των κατοίκων της Δαβίρ. Προηγουμένως το όνομα της Δαβίρ ήτο “Πολις Γραμμάτων”.

ΙτΝ. 15,16 - καὶ εἶπε Χάλεβ· ὃς ἐὰν λάβῃ καὶ ἐκκόψῃ τὴν Πόλιν τῶν γραμμάτων καὶ κυριεύσῃ αὐτῆς, δώσω αὐτῷ τὴν Ἀσχὰν θυγατέρα μου εἰς γυναῖκα·

ΙτΝ. 15,16 - Είπε δε ο Χαλεβ στους περί αυτόν άνδρας· “Θα δώσω την θυγατέρα μου Ασχάν ως σύζυγον εις εκείνον, ο οποίος θα κυριεύση και θα καταστρέψη την Πολιν των Γραμμάτων”.

ΙτΝ. 15,17 - καὶ ἔλαβεν αὐτὴν Γοθονιὴλ υἱὸς Κενὲζ ἀδελφὸς Χάλεβ ὁ νεώτερος καὶ ἔδωκεν αὐτῷ τὴν Ἀσχὰν θυγατέρα αὐτοῦ γυναῖκα.

ΙτΝ. 15,17 - Ο Γοθονιήλ, ο υιός του Κενέζ, νεώτερος ανεψιός του Χαλεβ, αυτός κατέλαβε την πόλιν. Ο δε Χαλεβ έδωκε εις αυτόν την θυγατέρα του Ασχάν, ως σύζυγον.

ΙτΝ. 15,18 - καὶ ἐγένετο ἐν τῷ ἐκπορεύεσθαι αὐτὴν καὶ συνεβουλεύσατο αὐτῷ λέγουσα· αἰτήσομαι τὸν πατέρα μου ἀγρόν· καὶ ἐβόησεν ἐκ τοῦ ὄνου. καὶ εἶπεν αὐτῇ Χάλεβ· τί ἐστί σοι;

ΙτΝ. 15,18 - Οταν δε αυτή, συνοδευομένη από τους συγγενείς αυτής και του συζύγου της, επορεύετο προς τον οίκον του Γοθονιήλ, συνεβουλεύθη

τυν σύζυγόν της λέγουσα· “θα ζητήσω από τον πατέρα μου ένα αγρόν”. Καθώς δε εκάθητο επί του όνου, εβόησεν. Ο δε Χαλεβ είπε προς αυτήν “τι σου συμβαίνει;”

ΙτΝ. 15,19 - καὶ εἶπεν αὐτῷ· δός μοι εὐλογίαν, ὅτι εἰς γῆν Ναγὲβ δέδωκάς με· δός μοι τὴν Γολαθμαίν. καὶ ἔδωκεν αὐτῇ Χάλεβ τὴν Γολαθμαὶν τὴν ἄνω καὶ τὴν Γολαθμαὶν τὴν κάτω.

ΙτΝ. 15,19 - Εκείνη του απήντησε· “δος μου ένα δώρον ως ευλογίαν, διότι με υπάνδρευσες και με στέλνεις τώρα εις την χώραν Ναγέβ. Δος μου την Γολαθμαίν”. Ο Χαλεβ έδωσε προς αυτήν την άνω και την κάτω Γολαθμαίν.

ΙτΝ. 15,20 - αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἰούδα.

ΙτΝ. 15,20 - Αυτή είναι η περιοχή από την γην της Επαγγελίας, την οποίαν εκληρονόμησεν η φυλή του Ιούδα.

ΙτΝ. 15,21 - Ἐγενήθησαν δὲ πόλεις αὐτῶν· πόλις πρώτη φυλῆς υἱῶν Ἰούδα ἐφ᾿ ὁρίων Ἐδὼμ ἐπὶ τῆς ἐρήμου,

ΙτΝ. 15,21 - Αι εξής δε πόλεις περιείχοντο εις την φυλήν του Ιούδα· Η πρώτη πόλις της φυλής Ιούδα ευρίσκετο εις τα σύνορα της Ιδουμαίας εις την έρημον. Προς δε νότον ήσαν αι κάτωθι πόλεις·

ΙτΝ. 15,22 - καὶ Βαισελεὴλ καὶ Ἀρὰ καὶ Ἀσὼρ καὶ Ἰκὰμ καὶ Ῥεγμὰ καὶ Ἀρουὴλ

ΙτΝ. 15,22 - Η Βαισελεήλ, η Αρά, η Ασώρ, η Ικάμ, η Ρεγμά, η Αρουήλ,

ΙτΝ. 15,23 - καὶ Κάδης καὶ Ἀσοριωναὶν καὶ Μαινὰμ

ΙτΝ. 15,23 - η Καδης, η Ασοριωναίν, η Μαινάμ,

ΙτΝ. 15,24 - καὶ Βαλμαινὰν καὶ αἱ κῶμαι αὐτῶν

ΙτΝ. 15,24 - η Βαλμαινάν και αι κωμοπόλεις αυτών,

ΙτΝ. 15,25 - καὶ αἱ πόλεις Ἀσερὼν (αὕτη Ἀσὼρ)

ΙτΝ. 15,25 - αι πόλεις Ασερών (αυτή είναι η Ασώρ),

ΙτΝ. 15,26 - καὶ Σὴν καὶ Σαλμαὰ καὶ Μωλαδᾶ

ΙτΝ. 15,26 - η Σην, η Σαλμαά, η Μαλαδά,

ΙτΝ. 15,27 - καὶ Σερὶ καὶ Βαιφαλὰδ

ΙτΝ. 15,27 - η Σερί, η Βαιφαλάδ,

ΙτΝ. 15,28 - καὶ Χολασεωλὰ καὶ Βηρσαβεὲ καὶ αἱ κῶμαι αὐτῶν καὶ αἱ ἐπαύλεις αὐτῶν,

ΙτΝ. 15,28 - η Χολασεωλά, η Βηρσαβεέ, αι κωμοπόλεις και αι αγροκατοικίαι αυτών,

ΙτΝ. 15,29 - Βαλὰ καὶ Βακὼκ καὶ Ἀσὸμ

ΙτΝ. 15,29 - η Βαλάα, η Βακώκ, η Ασόμ,

ΙτΝ. 15,30 - καὶ Ἐλβωϋδὰδ καὶ Βαιθὴλ καὶ Ἑρμᾶ

ΙτΝ. 15,30 - η Ελβωϋδάδ, η Βαιθήλ, η Ερμά,

ΙτΝ. 15,31 - καὶ Σεκελὰκ καὶ Μαχαρὶμ καὶ Σεθεννὰκ

ΙτΝ. 15,31 - η Σεκελάκ, η Μαχαρίμ, η Σεθεννάκ,

ΙτΝ. 15,32 - καὶ Λαβὼς καὶ Σαλὴ καὶ Ἐρωμώθ, πόλεις εἰκοσιεννέα, καὶ αἱ κῶμαι αὐτῶν.
ΙτΝ. 15,32 - η Λαβώς, η Σαλή, η Ερωμώθ, εικοσιεννέα εν συνόλω πόλεις και αι κωμοπόλεις αυτών.
ΙτΝ. 15,33 - ἐν τῇ πεδινῇ· Ἀσταὼλ καὶ Ῥάα καὶ Ἄσσα
ΙτΝ. 15,33 - Εις την πεδιάδα ήσαν αι κάτωθι πόλεις· Η Ασταώλ, η Ραα, η Ασσα,
ΙτΝ. 15,34 - καὶ Ῥάμεν καὶ Τανὼ καὶ Ἰλουθὼθ καὶ Μαιανὶ
ΙτΝ. 15,34 - η Ραμεν, η Τανώ, η Ιλουθώθ, η Μαιανί,
ΙτΝ. 15,35 - καὶ Ἱερμοὺθ καὶ Ὀδολλὰμ καὶ Μεμβρὰ καὶ Σαωχὼ καὶ Ἀζηκὰ
ΙτΝ. 15,35 - η Ιερμούθ, η Οδολλάμ, η Μεμβρά, η Σαωχώ, η Αζηκά,
ΙτΝ. 15,36 - καὶ Σακαρὶμ καὶ Γάδηρα καὶ αἱ ἐπαύλεις αὐτῆς, πόλεις δεκατέσσαρες καὶ αἱ κῶμαι αὐτῶν·
ΙτΝ. 15,36 - η Σακαρίμ, η Γαδηρα και αι αγροκατοικίαι αυτών, δεκατέσσαρες εν συνόλω πόλεις και αι κωμοπόλεις αυτών.
ΙτΝ. 15,37 - Σεννὰ καὶ Ἀδασὰν καὶ Μαγαδαλγὰδ
ΙτΝ. 15,37 - Η Σεννά, η Αδασάν, η Μαγαδολγάδ,
ΙτΝ. 15,38 - καὶ Δαλὰλ καὶ Μασφὰ καὶ Ἰαχαρεὴλ καὶ Λαχὶς
ΙτΝ. 15,38 - η Δαλάλ, η Μασφά, η Ιαχαρεήλ, η Λαχίς,
ΙτΝ. 15,39 - καὶ Βασηδὼθ καὶ Ἰδεαδαλέα
ΙτΝ. 15,39 - η Βασηδώθ, η Ιδεαδαλέα,
ΙτΝ. 15,40 - καὶ Χαβρὰ καὶ Μαχὲς καὶ Μααχὼς
ΙτΝ. 15,40 - η Χαβρά, η Μαχές, η Μααχώς,
ΙτΝ. 15,41 - καὶ Γεδδὼρ καὶ Βαγαδιὴλ καὶ Νωμὰν καὶ Μαχηδάν, πόλεις ἑκκαίδεκα καὶ αἱ κῶμαι αὐτῶν·
ΙτΝ. 15,41 - η Γεδδώρ, η Βαγαδιήλ, η Νωμάν, η Μαχηδάν, δέκα εξ εν συνόλω πόλεις και αι κωμοπόλεις αυτών.
ΙτΝ. 15,42 - Λεβνὰ καὶ Ἰθὰκ καὶ Ἀνὼχ
ΙτΝ. 15,42 - Η Λεβνά, η Ιθάκ, η Ανώχ,
ΙτΝ. 15,43 - καὶ Ἰανὰ καὶ Νασὶβ
ΙτΝ. 15,43 - η Ιανά, η Νασίβ,
ΙτΝ. 15,44 - καὶ Κεϊλὰμ καὶ Ἀκιεζὶ καὶ Κεζὶβ καὶ Βαθησὰρ καὶ Αἰλώμ, πόλεις δέκα καὶ αἱ κῶμαι αὐτῶν·
ΙτΝ. 15,44 - η Κεϊλάμ, η Ακιεζί, η Κεζίβ, η Βαθησάρ, η Αιλώμ, δέκα εν συνόλω πόλεις και αι κωμοπόλεις αυτών.
ΙτΝ. 15,45 - Ἀκκαρὼν καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῶν·
ΙτΝ. 15,45 - Η Ακκαρών μετά των κωμοπόλεών της και αι αγροκατοικίαι αυτών.
ΙτΝ. 15,46 - ἀπὸ Ἀκκαρὼν Γεμνὰ καὶ πᾶσαι, ὅσαι εἰσὶ πλησίον Ἀσηδώθ, καὶ αἱ κῶμαι αὐτῶν·

ΙτΝ. 15,46 - Από της Ακκαρών Γεμνά μέχρις όλων εκείνων των πόλεων που ήσαν πλησίον της Ασηδώθ μετά των κωμοπόλεων αυτών, ήσαν αι κάτωθι πόλεις·

ΙτΝ. 15,47 - Ἀσιεδὼθ καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῆς· Γάζα καὶ αἱ κῶμαι αὐτῆς καὶ αἱ ἐπαύλεις αὐτῆς ἕως τοῦ χειμάῤῥου Αἰγύπτου· καὶ ἡ θάλασσα ἡ μεγάλη διορίζει.

ΙτΝ. 15,47 - Η Ασιεδώθ, αι κωμοπόλεις και αι αγροκατοικίαι αυτής· η Γαζα, αι κωμοπόλεις και αι αγροκατοικίαι αυτής μέχρι της κοιλάδας της Αιγύπτου. Το τελευταίον προς δυσμάς όριον είναι η μεγάλη θάλασσα, η Μεσόγειος.

ΙτΝ. 15,48 - καὶ ἐν τῇ ὀρεινῇ· Σαμὶρ καὶ Ἰεθὲρ καὶ Σωχὰ

ΙτΝ. 15,48 - Εις την ορεινήν περιοχήν ήσαν αι κάτωθι πόλεις· Η Σαμίρ, η Ιεθέρ, η Σωχά,

ΙτΝ. 15,49 - καὶ Ῥεννὰ καὶ Πόλις γραμμάτων (αὕτη Δαβὶρ)

ΙτΝ. 15,49 - η Ρεννά, η “Πολις των Γραμμάτων (αυτή είναι η Δαβίρ),

ΙτΝ. 15,50 - καὶ Ἀνὼν καὶ Ἐσκαιμὰν καὶ Αἰσὰμ

ΙτΝ. 15,50 - η Ανών, η Εσκαιμάν, η Αισάμ,

ΙτΝ. 15,51 - καὶ Γοσὸμ καὶ Χαλοὺ καὶ Χαννά, πόλεις ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν·

ΙτΝ. 15,51 - η Γοσόμ, η Χαλού και η Χαννά, ένδεκα εν συνόλω πόλεις μετά των κωμοπόλεων αυτών.

ΙτΝ. 15,52 - Αἰρὲμ καὶ Ῥεμνὰ καὶ Σομὰ

ΙτΝ. 15,52 - Η Αιρέμ, η Ρεμνά, η Σομά,

ΙτΝ. 15,53 - καὶ Ἰεμαΐν καὶ Βαιθαχοὺ καὶ Φακουὰ

ΙτΝ. 15,53 - η Ιεμαΐν, η Βαιθαχού, η Φακουά,

ΙτΝ. 15,54 - καὶ Εὐμὰ καὶ πόλις Ἀρβὸκ (αὕτη ἐστὶ Χεβρὼν) καὶ Σωραίθ, πόλεις ἐννέα καὶ αἱ ἐπαύλεις αὐτῶν·

ΙτΝ. 15,54 - η Ευμά, η πόλις 'Αρβοκ (αυτή είναι η Χεβρών) και η Σωραίθ, εννέα εν συνόλω πόλεις και αι αγροκατοικίαι αυτών.

ΙτΝ. 15,55 - Μαὼρ καὶ Χερμὲλ καὶ Ὀζὶβ καὶ Ἰτὰν

ΙτΝ. 15,55 - Η Μαώρ, η Χερμέλ, η Οζίβ, η Ιτάν,

ΙτΝ. 15,56 - καὶ Ἰαριὴλ καὶ Ἀρικὰμ καὶ Ζακαναΐμ

ΙτΝ. 15,56 - η Ιαριήλ, η Αρικάμ, η Ζακαναΐμ,

ΙτΝ. 15,57 - καὶ Γαβαὰ καὶ Θαμναθά, πόλεις ἐννέα καὶ αἱ κῶμαι αὐτῶν·

ΙτΝ. 15,57 - η Γαβαά και η Θαμναθά, εννέα εν συνόλω πόλεις και αι κωμοπόλεις αυτών.

ΙτΝ. 15,58 - Ἀλουὰ καὶ Βαιθσοὺρ καὶ Γεδδὼν

ΙτΝ. 15,58 - Η Αλουά, η Βαιθσούρ, η Γεδδών,

ΙτΝ. 15,59 - καὶ Μαγαρὼθ καὶ Βαιθανὰμ καὶ Θεκούμ, πόλεις ἓξ καὶ αἱ κῶμαι αὐτῶν· Θεκὼ καὶ Ἐφραθὰ (αὕτη ἐστὶ Βηθλεὲμ) καὶ Φαγὼρ καὶ Αἰτὰν

καὶ Κουλὸν καὶ Τατὰμ καὶ Θωβὴς καὶ Καρὲμ καὶ Γαλὲμ καὶ Θεθὴρ καὶ Μανοχώ, πόλεις ἕνδεκα καὶ αἱ κῶμαι αὐτῶν·

ΙηΝ. 15,59 - η Μαγαρώθ, η Βαιθανάμ και η Θεκούμ, εξ εν συνόλω πόλεις και αι κωμοπόλεις αυτών. Η Θεκώ, η Εφραθά (αυτή είναι η Βηθλεέμ), η Φαγώρ, η Αιτάν, η Κουλόν, η Τατάμ, η Θωβής, η Καρέμ, η Γαλέμ, η Θεθήρ και η Μανοχώ, ένδεκα εν συνόλω πόλεις και αι κωμοπόλεις αυτών.

ΙηΝ. 15,60 - Καριαθβαὰλ (αὕτη ἡ πόλις Ἰαρὶμ) καὶ Σωθηβᾶ, πόλεις δύο καὶ αἱ ἐπαύλεις αὐτῶν

ΙηΝ. 15,60 - Η Καριαθβαάλ (αυτή είναι η πόλις Ιαρίμ) και η Σωθηβά, δύο πόλεις και αι αγροκατοικίαι αυτών.

ΙηΝ. 15,61 - καὶ Βαδδαργεὶς καὶ Θαραβαὰμ καὶ Αἰνὼν

ΙηΝ. 15,61 - Η Βαδδαργείς, η Θαραδαάμ, η Αινών,

ΙηΝ. 15,62 - καὶ Αἰχιοζὰ καὶ Ναφλαζὼν καὶ αἱ πόλεις Σαδὼν καὶ Ἀγκάδης, πόλεις ἑπτὰ καὶ αἱ κῶμαι αὐτῶν.

ΙηΝ. 15,62 - η Αιχιοζά, η Ναφλαζών και αι πόλεις Σαδών και Αγκάδης, επτά εν συνόλω πόλεις και αι κωμοπόλεις αυτών.

ΙηΝ. 15,63 - καὶ ὁ Ἰεβουσαῖος κατῴκει ἐν Ἱερουσαλήμ, καὶ οὐκ ἠδυνάσθησαν οἱ υἱοὶ Ἰούδα ἀπολέσαι αὐτούς· καὶ κατῴκησαν οἱ Ἰεβουσαῖοι ἐν Ἱερουσαλὴμ ἕως τῆς ἡμέρας ταύτης.

ΙηΝ. 15,63 - Οι Ιεβουσαίοι κατοικούσαν εις την Ιερουσαλήμ. Οι της φυλής του Ιούδα δεν ηδυνήθησαν να εξολοθρεύσουν αυτούς. Ετσι οι Ιεβουσαίοι κατοικούσαν εις την Ιερουσαλήμ, έως αυτής της ημέρας.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 16

ΙηΝ. 16,1 - Καὶ ἐγένετο τὰ ὅρια υἱῶν Ἰωσὴφ ἀπὸ τοῦ Ἰορδάνου τοῦ κατὰ Ἱεριχὼ ἀπὸ ἀνατολῶν καὶ ἀναβήσεται ἀπὸ Ἱεριχὼ εἰς τὴν ὀρεινήν, τὴν ἔρημον, εἰς Βαιθὴλ Λουζά,

ΙηΝ. 16,1 - Τα όρια της περιοχής της φυλής Ιωσήφ ήρχιζον από ανατολάς από το μέρος εκείνο του Ιορδάνου που είναι πλησίον της Ιεριχούς. Από εκεί ανέβαιναν δια της Ιεριχούς εις την ορεινήν περιοχήν, εις την έρημον και εις Βαιθήλ Λουζά.

ΙηΝ. 16,2 - καὶ ἐξελεύσεται εἰς Βαιθὴλ καὶ παρελεύσεται ἐπὶ τὰ ὅρια τοῦ Ἀχαταρωθὶ

ΙηΝ. 16,2 - Από την Βαιθήλ εξεκινούσαν, διήρχοντο τα σύνορα του Αχαταρωθί,

ΙηΝ. 16,3 - καὶ διελεύσεται ἐπὶ τὴν θάλασσαν ἐπὶ τὰ ὅρια Ἀπταλὶμ ἕως τῶν ὁρίων Βαιθωρὼν τὴν κάτω, καὶ ἔσται ἡ διέξοδος αὐτῶν ἐπὶ τὴν θάλασσαν.

ΙτΝ. 16,3 - κατήρχοντο προς δυσμάς προς την Μεσόγειον Θαλασσαν εις τα σύνορα Απταλίμ έως εις τα σύνορα της κάτω Βαιθωρών και κατέληγον εις την Μεσόγειον Θαλασσαν.

ΙτΝ. 16,4 - καὶ ἐκληρονόμησαν οἱ υἱοὶ Ἰωσὴφ Ἐφραὶμ καὶ Μανασσῆ·

ΙτΝ. 16,4 - Αι δύο φυλαί Εφραίμ και Μανασσή, των υιών του Ιωσήφ εκληρονόμησαν ως εξής·

ΙτΝ. 16,5 - καὶ ἐγενήθη ὅρια υἱῶν Ἐφραὶμ κατὰ δήμους αὐτῶν· καὶ ἐγενήθη τὰ ὅρια τῆς κληρονομίας αὐτῶν ἀπ᾽ ἀνατολῶν Ἀταρὼθ καὶ Ἐρὼκ ἕως Βαιθωρὼν τὴν ἄνω καὶ Γαζαρά,

ΙτΝ. 16,5 - τα όρια της φυλής Εφραίμ κατά τους δήμους αυτής, τα όρια δηλαδή της κληρονομηθείσης περιοχής ήσαν από ανατολών η Αταρώθ και η Ερώκ έως την άνω Βαιθωρών και Γαζαρά·

ΙτΝ. 16,6 - καὶ διελεύσεται τὰ ὅρια ἐπὶ τὴν θάλασσαν εἰς Ἰκασμὼν ἀπὸ βοῤῥᾶ Θερμά, περιελεύσεται ἐπ᾽ ἀνατολὰς εἰς Θηνασὰ καὶ Σελλησὰ καὶ παρελεύσεται ἀπ᾽ ἀνατολῶν εἰς Ἰανωκὰ

ΙτΝ. 16,6 - διήρχοντο προς δυσμάς προς την Μεσόγειον Θαλασσαν, προς Ικασμών βορείως της Θερμά. Επειτα εστρέφοντο εις τα ανατολικά προς Θηνασά και Σελλησά και κατόπιν διηυθύνοντο πάλιν προς ανατολάς εις Ιανωκά,

ΙτΝ. 16,7 - καὶ εἰς Μαχώ, καὶ Ἀταρὼθ καὶ αἱ κῶμαι αὐτῶν καὶ ἐλεύσεται ἐπὶ Ἱεριχὼ καὶ διεκβαλεῖ ἐπὶ τὸν Ἰορδάνην.

ΙτΝ. 16,7 - εις Μαχώ και Αταρώθ εις τας κώμας των οποίων τα όρια συναντούν την Ιεριχώ και καταλήγουν στον Ιορδάνην ποταμόν.

ΙτΝ. 16,8 - καὶ ἀπὸ Τάφου πορεύσεται τὰ ὅρια ἐπὶ θάλασσαν ἐπὶ Χελκανά, καὶ ἔσται ἡ διέξοδος αὐτῶν ἐπὶ θάλασσαν· αὕτη ἡ κληρονομία φυλῆς Ἐφραὶμ κατὰ δήμους αὐτῶν.

ΙτΝ. 16,8 - Εκ της Ταφου έπειτα προχωρούν εις δυσμάς εις Χελκανά και καταλήγουν εις την Μεσόγειον Θαλασσαν. Αυτά είναι τα όρια της κληρονομηθείσης περιοχής από την φυλήν Εφραίμ κατά τους δήμους αυτής.

ΙτΝ. 16,9 - καὶ αἱ πόλεις αἱ ἀφορισθεῖσαι τοῖς υἱοῖς Ἐφραὶμ ἀνὰ μέσον τῆς κληρονομίας υἱῶν Μανασσῆ, πᾶσαι αἱ πόλεις καὶ αἱ κῶμαι αὐτῶν.

ΙτΝ. 16,9 - Η φυλή του Εφραίμ είχε κληρονομήσει και ιδιαιτέρας πόλεις από τας πόλεις της κληρονομίας της φυλής Μανασσή. Είχε πόλεις και τας κώμας αι οποίαι ήσαν προσηρτημέναι εις αυτάς.

ΙτΝ. 16,10 - καὶ οὐκ ἀπώλεσεν Ἐφραὶμ τὸν Χαναναῖον τὸν κατοικοῦντα ἐν Γαζέρ, καὶ κατῴκει ὁ Χαναναῖος ἐν τῷ Ἐφραὶμ ἕως τῆς ἡμέρας ταύτης, ἕως ἀνέβη Φαραὼ βασιλεὺς Αἰγύπτου καὶ ἔλαβεν αὐτὴν καὶ ἐνέπρησεν αὐτὴν ἐν πυρί, καὶ τοὺς Χαναναίους καὶ τοὺς Φερεζαίους καὶ τοὺς κατοικοῦντας ἐν Γαζὲρ ἐξεκέντησαν, καὶ ἔδωκεν αὐτὴν Φαραὼ ἐν φερνῇ τῇ θυγατρὶ αὐτοῦ.

ΙτΝ. 16,10 - Η φυλή του Εφραίμ δεν εξωλόθρευσε τους Χαναναίους οι οποίοι κατοικούσαν εις Γαζέρ και έτσι οι Χαναναίοι κατοικούσαν μέσα εις την περιοχήν της φυλής Εφραίμ μέχρι της ημέρας εκείνης, κατά την οποίαν ο Φαραώ, ο βασιλεύς της Αιγύπτου, επήλθεν εναντίον της φυλής Εφραίμ, κατέλαβεν και κατέκαυσεν αυτήν, τους δε Χαναναίους και τους Φερεζαίους που κατοικούσαν εις την Γαζέρ εφόνευσε. Την πόλιν Γαζέρ έδωκεν ο Φαραώ εις την θυγατέρα του ως προίκα.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 17

ΙτΝ. 17,1 - Καὶ ἐγένετο τὰ ὅρια φυλῆς υἱῶν Μανασσῆ, ὅτι οὗτος πρωτότοκος τῷ Ἰωσήφ· τῷ Μαχὶρ πρωτοτόκῳ Μανασσῆ πατρὶ Γαλαάδ (ἀνὴρ γὰρ πολεμιστὴς ἦν) ἐν τῇ Γαλααδίτιδι καὶ ἐν τῇ Βασανίτιδι.
ΙτΝ. 17,1 - Τα όρια της φυλής του Μανασσή, ο οποίος ήτο πρωτότοκος του Ιωσήφ, ετακτοποιήθησαν ως εξής· Ο Μαχίρ ο πρωτότοκος του Μανασσή και πατήρ της Γαλαάδ, επειδή ήτο πολεμικός ανήρ έλαβε την Γαλαάδ και την Βασανίτιδα.
ΙτΝ. 17,2 - καὶ ἐγενήθη τοῖς υἱοῖς Μανασσῆ τοῖς λοιποῖς κατὰ δήμους αὐτῶν, τοῖς υἱοῖς Ἰεζὲρ καὶ τοῖς υἱοῖς Κελὲζ καὶ τοῖς υἱοῖς Ἱεζιὴλ καὶ τοῖς υἱοῖς Συχὲμ καὶ τοῖς υἱοῖς Συμαρὶμ καὶ τοῖς υἱοῖς Ὀφέρ· οὗτοι ἄρσενες κατὰ δήμους αὐτῶν.
ΙτΝ. 17,2 - Εις τους άλλους υιούς του Μανασσή, κατά τους δήμους αυτών, στους υιούς δηλαδή του Ιεζέρ, τους υιούς Κελέζ, τους υιούς του Ιεζιήλ, στους υιούς του Συχέμ, στους υιούς Συμαρίμ και στους υιούς Οφέρ, εις τα άρρενα αυτά τέκνα του Μανασσή έγινε, κατά τους δήμους αυτών, δια κλήρου κατανομή της γης.
ΙτΝ. 17,3 - καὶ τῷ Σαλπαὰδ υἱῷ Ὀφὲρ οὐκ ἦσαν αὐτῷ υἱοί, ἀλλ᾿ ἢ θυγατέρες. καὶ ταῦτα τὰ ὀνόματα τῶν θυγατέρων Σαλπαάδ· Μααλὰ καὶ Νουὰ καὶ Ἐγλὰ καὶ Μελχὰ καὶ Θερσά.
ΙτΝ. 17,3 - Ο Σαλπαάδ όμως, ο υιός του Οφέρ, δεν είχεν υιούς αλλά μόνον θυγατέρας. Τα ονόματα των θυγατέρων του Σαλπαάδ ήσαν· Μααλά, Νουα, Εγλά, Μελχά και Θερσά.
ΙτΝ. 17,4 - καὶ ἔστησαν ἐναντίον Ἐλεάζαρ τοῦ ἱερέως, καὶ ἐναντίον Ἰησοῦ, καὶ ἐναντίον τῶν ἀρχόντων λέγουσαι· ὁ Θεὸς ἐνετείλατο διά χειρὸς Μωυσῆ δοῦναι ἡμῖν κληρονομίαν ἐν μέσῳ τῶν ἀδελφῶν ἡμῶν. καὶ ἐδόθη αὐταῖς διὰ προστάγματος Κυρίου κλῆρος ἐν τοῖς ἀδελφοῖς τοῦ πατρὸς αὐτῶν.
ΙτΝ. 17,4 - Αυταί παρουσιάσθησαν ενώπιον του αρχιερέως Ελεάζαρ, ενώπιον του Ιησού και των αρχηγών των φύλων και είπον· “ο Θεός δια μέσου του Μωϋσή διέταξε να δοθή εις ημάς η κληρονομία μεταξύ των άλλων

Ισραηλιτών". Και πράγματι, συμφώνως προς την διαταγήν του Κυρίου εδόθη εις αυτάς μερίδιον μεταξύ των αδελφών του πατρός των.

ΙτΝ. 17,5 - καὶ ἔπεσεν ὁ σχοινισμὸς αὐτῶν ἀπὸ Ἀνάσσα καὶ πεδίον Λαβὲκ ἐκ τῆς γῆς Γαλαάδ, ἥ ἐστι πέραν τοῦ Ἰορδάνου·

ΙτΝ. 17,5 - Η δια κλήρου δοθείσα εις αυτάς περιοχή έπεσεν από της Ανάσσα και της πεδιάδος Λαβέκ εις την χώραν Γαλαάδ, η οποία ευρίσκεται ανατολικώς του Ιορδάνου.

ΙτΝ. 17,6 - ὅτι θυγατέρες υἱῶν Μανασσῆ ἐκληρονόμησαν κλῆρον ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν· ἡ δὲ γῆ Γαλαὰδ ἐγενήθη τοῖς υἱοῖς Μανασσῆ τοῖς καταλελειμμένοις.

ΙτΝ. 17,6 - Ετσι δε αι θυγατέρες των υιών Μανασσή εκληρονόμησαν περιοχήν μεταξύ των αδελφών των. Η δε χώρα Γαλαάδ εδόθη ως κληρονομία επίσης και εις υπολειφθέντας υιούς του Μανασσή.

ΙτΝ. 17,7 - καὶ ἐγενήθη ὅρια υἱῶν Μανασσῆ Δηλανάθ, ἥ ἐστι κατὰ πρόσωπον υἱῶν Ἀνάθ, καὶ πορεύεται ἐπὶ τὰ ὅρια ἐπὶ Ἰαμὶν καὶ Ἰασσὶβ ἐπὶ πηγὴν Θαφθώθ·

ΙτΝ. 17,7 - Τα όρια της φυλής Μανασσή ήρχιζον από την Δηλανάθ, η οποία είναι εμπρός εις την χώραν της φυλής Ανάθ, εκτείνεται εις τα όρια Ιαμίν και Ιασσίβ, εις την πηγήν Θαφθώθ.

ΙτΝ. 17,8 - τῷ Μανασσῇ ἔσται, καὶ Θαφὲθ ἐπὶ τῶν ὁρίων Μανασσῆ, τοῖς υἱοῖς Ἐφραίμ.

ΙτΝ. 17,8 - Η χώρα Θαφέθ ανήκει εις την φυλήν Μανασσή. Η εις τα σύνορα Μανασσή Θαφέθ ανήκεν εις την φυλήν Εφραίμ.

ΙτΝ. 17,9 - καὶ καταβήσεται τὰ ὅρια ἐπὶ φάραγγα Καρανὰ ἐπὶ λίβα κατὰ φάραγγα Ἰαριήλ, τερέβινθος τῷ Ἐφραὶμ ἀνὰ μέσον πόλεως Μανασσῆ· καὶ ὅρια Μανασσῆ ἐπὶ τὸν βοῤῥᾶν εἰς τὸν χειμάῤῥουν, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος θάλασσα.

ΙτΝ. 17,9 - Τα όρια κατεβαίνουν κατόπιν εις την κοιλάδα Καρανά προς νότον, προχωρούν εις την άλλην κοιλάδα Ιαριήλ, όπου δένδρον τι τερέβινθος καίτοι υπήρχεν εις τα όρια της φυλής Μανασσή ανήκεν εις την φυλήν Εφραίμ. Το όρια της φυλής Μανασσή ευρίσκοντο προς βορράν του χειμάρρου και έφθανεν έως την Μεσόγειον Θαλασσαν.

ΙτΝ. 17,10 - ἀπὸ λιβὸς τῷ Ἐφραίμ, καὶ ἐπὶ βοῤῥᾶν Μανασσῆ, καὶ ἔσται ἡ θάλασσα ὅρια αὐτοῖς· καὶ ἐπὶ Ἀσὴβ συνάψουσιν ἐπὶ βοῤῥᾶν καὶ τῷ Ἰσσάχαρ ἀπὸ ἀνατολῶν.

ΙτΝ. 17,10 - Κατ' αυτόν τον τρόπον το νότιον μέρος της χώρας ανήκεν εις την φυλήν Εφραίμ, το δε βόρειον εις την φυλήν Μανασσή. Και των δύο φυλών τα όρια έφθαναν εις την Μεσόγειον Θαλασσαν. Προς βορράν δε συνορεύουν με την φυλήν Ασήβ και προς ανατολάς με την φυλήν Ισσάχαρ.

ΙτΝ. 17,11 - καὶ ἔσται Μανασσῆ ἐν Ἰσσάχαρ καὶ ἐν Ἀσὴρ Βαιθσὰν καὶ αἱ κῶμαι αὐτῶν καὶ τοὺς κατοικοῦντας Δὼρ καὶ τὰς κώμας αὐτῆς, καὶ τοὺς κατοικοῦντας Μαγεδδώ, καὶ τὰς κώμας αὐτῆς, καὶ τὸ τρίτον τῆς Ναφετὰ καὶ τὰς κώμας αὐτῆς.

ΙτΝ. 17,11 - Η φυλή του Μανασσή είχεν εις την περιοχήν των φυλών Ισσάχαρ και Ασήρ, ιδικήν της την Βαιθσάν και τας κώμας που εξηρτώντο από αυτήν, τους κατοικούντας εις την Δωρ και τας κώμας που εξηρτώντο από αυτήν, τους κατοικούντας εις Μαγεδδώ και τας κώμας που εξηρτώντο από αυτήν, είχεν επίσης υπό την κυριότητά της το εν τρίτον της Ναφετά και τας κώμας που εξηρτώντο από αυτήν.

ΙτΝ. 17,12 - καὶ οὐκ ἠδυνάσθησαν οἱ υἱοὶ Μανασσῆ ἐξολοθρεῦσαι τὰς πόλεις ταύτας, καὶ ἤρχετο ὁ Χαναναῖος κατοικεῖν ἐν τῇ γῇ ταύτῃ·

ΙτΝ. 17,12 - Η φυλή του Μανασσή δεν κατώρθωσε να καταλάβη αυτάς τας πόλεις και εξολοθρεύση τους κατοίκους της. Οι Χαναναίοι εξακολουθούσαν να κατοικούν εις την περιοχήν αυτήν.

ΙτΝ. 17,13 - καὶ ἐγενήθη καὶ ἐπεὶ κατίσχυσαν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐποίησαν τοὺς Χαναναίους ὑπηκόους, ἐξολοθρεῦσαι δὲ αὐτοὺς οὐκ ἐξωλόθρευσαν.

ΙτΝ. 17,13 - Αλλά και όταν έγιναν ισχυροί οι Ισραηλίται και έκαναν υποτελείς τους Χαναναίους, δεν ηθέλησαν να τους εξολοθρεύσουν.

ΙτΝ. 17,14 - ἀντεῖπαν δὲ οἱ υἱοὶ Ἰωσὴφ τῷ Ἰησοῖ λέγοντες· διατί ἐκληρονόμησας ἡμᾶς κλῆρον ἕνα καὶ σχοίνισμα ἕν; ἐγὼ δὲ λαὸς πολύς εἰμι, καὶ ὁ Θεὸς εὐλόγησέ με.

ΙτΝ. 17,14 - Η φυλή όμως του Ιωσήφ δυσφορούσα είπεν στον Ιησούν· “διατί ηθέλησες ώστε ένα μερίδιον κληρονομικώς να πάρωμεν και ημείς αφού ο Θεός μας ηυλόγησε και είμεθα πολύς λαός;”

ΙτΝ. 17,15 - καὶ εἶπεν αὐτοῖς Ἰησοῦς· εἰ λαὸς πολὺς εἶ, ἀνάβηθι εἰς τὸν δρυμὸν καὶ ἐκκάθαρον σεαυτῷ, εἰ στενοχωρεῖ σε τὸ ὄρος τὸ Ἐφραίμ.

ΙτΝ. 17,15 - Ο δε Ιησούς τους απήντησε· εάν είσθε πολύς λαός και στενόχωρα ζήτε στο όρος Εφραίμ, αναβήτε και ξεχερσώσατε ένα μέρος από το δάσος”.

ΙτΝ. 17,16 - καὶ εἶπαν· οὐκ ἀρέσκει ἡμῖν τὸ ὄρος τὸ Ἐφραίμ, καὶ ἵππος ἐπίλεκτος καὶ σίδηρος τῷ Χαναναίῳ τῷ κατοικοῦντι ἐν αὐτῷ ἐν Βαιθσὰν καὶ ἐν ταῖς κώμαις αὐτῆς, ἐν τῇ κοιλάδι Ἰεσραέλ.

ΙτΝ. 17,16 - Η φυλή του Ιωσήφ αντείπον· “δεν μας αρέσει το όρος Εφραίμ. Πλην όμως υπάρχει εκλεκτόν ιππικόν και ο σίδηρος πολύς στους Χαναναίους, οι οποίοι κατοικούν στο όρος αυτό, εις την Βαιθσάν και τας κωμοπόλεις της και εις την κοιλάδα Ιεσραέλ”.

ΙτΝ. 17,17 - καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰωσήφ· εἰ λαὸς πολὺς εἶ, καὶ ἰσχὺν μεγάλην ἔχεις, οὐκ ἔσται σοι κλῆρος εἷς·

ΙτΝ. 17,17 - Είπεν ο Ιησούς εις την φυλήν του Ιωσήφ· “επειδή είσαι πράγματι πολύς λαός και έχεις μεγάλην δύναμιν δεν θα μείνης με ένα μόνον κλήρον·

ΙτΝ. 17,18 - ὁ γὰρ δρυμὸς ἔσται σοι, ὅτι δρυμός ἐστι καὶ ἐκκαθαριεῖς αὐτόν, καὶ ἔσται σοι· καὶ ὅταν ἐξολοθρεύσῃς τὸν Χαναναῖον, ὅτι ἵππος ἐπίλεκτος αὐτῷ ἐστι, σὺ γὰρ ὑπερισχύεις αὐτοῦ.

ΙτΝ. 17,18 - διότι το δάσος θα είναι ιδικόν σου. Θα ξεχερσώσης αυτό και θα ανήκη εις σέ. Επί πλέον θα καταλάβης και θα εξολοθρεύσης τους Χαναναίους, έστω και αν αυτοί έχουν εκλεκτόν ιππικόν, διότι συ θα δειχθής ισχυρότερος από εκείνους”.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 18

ΙτΝ. 18,1 - Καὶ ἐξεκκλησιάσθη πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς Σηλὼ καὶ ἔπηξαν ἐκεῖ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἡ γῆ ἐκρατήθη ὑπ᾿ αὐτῶν.

ΙτΝ. 18,1 - Συνεκεντρώθη όλον το πλήθος των Ισραηλιτών εις Σηλώ και έστησαν εκεί την Σκηνήν του Μαρτυρίου. Η χώρα είχε κατά το πλείστον κατακτηθή από αυτούς.

ΙτΝ. 18,2 - καὶ κατελείφθησαν οἱ υἱοὶ Ἰσραήλ, οἳ οὐκ ἐκληρονόμησαν, ἑπτὰ φυλαί.

ΙτΝ. 18,2 - Μεταξύ όμως των Ισραηλιτών είχον υπολειφθή επτά φυλαί, αι οποίαι δεν έλαβον μερίδιον κατά την διανομήν της κατακτηθείσης χώρας.

ΙτΝ. 18,3 - καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰσραήλ· ἕως τίνος ἐκλυθήσεσθε κληρονομῆσαι τὴν γῆν, ἣν ἔδωκε Κύριος ὁ Θεὸς ἡμῶν;

ΙτΝ. 18,3 - Ο δε Ιησούς του Ναυή είπε προς τους Ισραηλίτας· “έως πότε σαν παραλελυμένοι θα αμελήτε να κατακτήσετε την γην, την οποίαν Κυριος ο Θεός μας έχει δώσει προς σας;

ΙτΝ. 18,4 - δότε ἐξ ὑμῶν ἄνδρας τρεῖς ἐκ φυλῆς, καὶ ἀναστάντες διελθέτωσαν τὴν γῆν καὶ διαγραψάτωσαν αὐτὴν ἐναντίον μου, καθὰ δεήσει διελεῖν αὐτήν (καὶ διήλθοσαν πρὸς αὐτόν,

ΙτΝ. 18,4 - Εκλέξατε τρεις άνδρας από κάθε φυλήν και αυτοί ας σηκωθούν και ας διέλθουν την χώραν της Χαναάν. Κατόπιν ας περιγράψουν αυτήν ενώπιόν μου όπως την είδαν και ας μας είπουν πως πρέπει να διαιρεθή αυτή. Οι άνδρες εξεπλήρωσαν την αποστολήν των και επανήλθον προς τον Ιησούν, τον οποίον και ενημέρωσαν σχετικώς.

ΙτΝ. 18,5 - καὶ διεῖλεν αὐτοῖς ἑπτὰ μερίδας). Ἰούδας στήσεται αὐτοῖς ὅριον ἀπὸ λιβός, καὶ οἱ υἱοὶ Ἰωσὴφ στήσονται αὐτοῖς ἀπὸ βοῤῥᾶ.

ΙτΝ. 18,5 - Ο Ιησούς διεμοίρασεν εις τας επτά φυλάς την χώραν. Η φυλή του Ιούδα θα παραμείνη εντός των ορίων της προς νότον. Η φυλή του Ιωσήφ

θα εγκατασταθή και θα παραμείνη εντός των ορίων της που θα είναι προς βορράν.

ΙτΝ. 18,6 - ὑμεῖς δὲ μερίσατε τὴν γῆν ἑπτὰ μερίδας καὶ ἐνέγκατε ὧδε πρός με, καὶ ἐξοίσω ὑμῖν κλῆρον ἔναντι Κυρίου τοῦ Θεοῦ ἡμῶν.

ΙτΝ. 18,6 - Σεις δε διαιρέσατε την χώραν εις επτά μερίδια και παρουσιάσατέ μου εδώ εν σχεδίω την κατανομήν. Κατόπιν εγώ θα βγάλω κλήρον δια σας ενώπιον Κυρίου του Θεού μας.

ΙτΝ. 18,7 - οὐ γάρ ἐστι μερὶς τοῖς υἱοῖς Λευὶ ἐν ὑμῖν, ἱερατεία γὰρ Κυρίου μερὶς αὐτοῦ· καὶ Γὰδ καὶ Ῥουβὴν καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἐλάβοσαν τὴν κληρονομίαν αὐτῶν πέραν τοῦ Ἰορδάνου ἐπ᾿ ἀνατολάς, ἣν ἔδωκεν αὐτοῖς Μωυσῆς ὁ παῖς Κυρίου.

ΙτΝ. 18,7 - Εις την φυλήν του Λευϊ δεν θα εξαχθή μερίδιον· μερίδιόν της είναι η ιερατεία. Αι δε φυλαί Γαδ και Ρουβήν και το ήμισυ της φυλής Μανασσή έλαβον την κληρονομίαν των πέραν ανατολικώς του Ιορδάνου, την οποίαν κληρονομίαν έδωκεν εις αυτάς ο Μωϋσής, ο δούλος του Κυρίου”.

ΙτΝ. 18,8 - καὶ ἀναστάντες οἱ ἄνδρες ἐπορεύθησαν, καὶ ἐνετείλατο Ἰησοῦς τοῖς ἀνδράσι τοῖς πορευομένοις χωροβατῆσαι τὴν γῆν λέγων· πορεύεσθε καὶ χωροβατήσατε τὴν γῆν καὶ παραγενήθητε πρός με, καὶ ὧδε ἐξοίσω ὑμῖν κλῆρον ἔναντι Κυρίου ἐν Σηλώ.

ΙτΝ. 18,8 - Οταν δε ητοιμάσθησαν οι άνδρες αυτοί δια να αναχωρήσουν, ο Ιησούς τους διέταξε, καθώς ήσαν έτοιμοι να αναχωρήσουν, να μετρήσουν την χώραν και τους είπε· “πηγαίνετε μετρήσατε καλά την χώραν, έπειτα δε επανέλθετε και κατατοπίσατέ με. Εγώ δε εδώ εις Σηλώ θα βγάλω δια σας κλήρον ενώπιον του Κυρίου δια την διανομήν της χώρας”.

ΙτΝ. 18,9 - καὶ ἐπορεύθησαν καὶ ἐχωροβάτησαν τὴν γῆν καὶ εἴδοσαν αὐτὴν καὶ ἔγραψαν αὐτὴν κατὰ πόλεις, ἑπτὰ μερίδας εἰς βιβλίον, καὶ ἤνεγκαν πρὸς Ἰησοῦν.

ΙτΝ. 18,9 - Οι άνδρες ανεχώρησαν, περιήλθον και εμέτρησαν την χώραν, είδον και περιέγραψαν αυτήν κατά πόλεις, την διήρεσαν εις σχεδιάγραμμα βιβλίου εις επτά μερίδια και παρουσίασαν το βιβλίον αυτό στον Ιησούν.

ΙτΝ. 18,10 - καὶ ἐνέβαλεν αὐτοῖς Ἰησοῦς κλῆρον ἐν Σηλὼ ἔναντι Κυρίου.

ΙτΝ. 18,10 - Ο Ιησούς έβαλε δι' αυτούς κλήρον εις Σηλώ ενώπιον Κυρίου.

ΙτΝ. 18,11 - Καὶ ἐξῆλθεν ὁ κλῆρος φυλῆς Βενιαμὶν πρῶτος κατὰ δήμους αὐτῶν, καὶ ἐξῆλθεν ὅρια τοῦ κλήρου αὐτῶν ἀνὰ μέσον υἱῶν Ἰούδα καὶ ἀνὰ μέσον τῶν υἱῶν Ἰωσήφ.

ΙτΝ. 18,11 - Ο πρώτος κλήρος που εβγήκεν ήτο της φυλής Βενιαμίν κατά δήμους. Τα όρια δε του κληροδοτηθέντος εις αυτήν μεριδίου ήσαν μεταξύ των φυλών Ιούδα και Ιωσήφ.

ΙτΝ. 18,12 - καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια ἀπὸ βοῤῥᾶ, ἀπὸ τοῦ Ἰορδάνου προσαναβήσεται τὰ ὅρια κατὰ νώτου Ἱεριχὼ ἀπὸ βοῤῥᾶ καὶ ἀναβήσεται

ἐπὶ τὸ ὄρος ἐπὶ τὴν θάλασσαν, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος ἡ Μαβδαρῖτις Βαιθών,

ΙηΝ. 18,12 - Δηλαδή τα βορεινά όρια της φυλής αυτής ήρχιζαν από τον Ιορδάνην, ανέβαιναν εις τα πρανή του υψώματος της Ιεριχούς, ηκολούθουν προς δυσμάς και κατέληγον εις την Μαβδαρίτιδα Βαιθών.

ΙηΝ. 18,13 - καὶ διελεύσεται ἐκεῖθεν τὰ ὅρια Λουζὰ ἐπὶ νώτου Λουζὰ ἀπὸ λιβὸς (αὕτη ἐστὶ Βαιθήλ), καὶ καταβήσεται τὰ ὅρια Μααταρωθορὲχ ἐπὶ τὴν ὀρεινήν, ἥ ἐστι πρὸς λίβα Βαιθωρὼν ἡ κάτω,

ΙηΝ. 18,13 - Από εκεί τα όρια διέρχονται την Λουζά και εις τα πρανή του υψώματος της πόλεως αυτής προς νότον (Λουζά δε είναι η Βαιθήλ). Εν συνεχεία κατέρχονται τα όρια προς Μααταρωθορέχ εις την ορεινήν περιοχήν που ευρίσκεται νοτίως της κάτω Βαιθωρών.

ΙηΝ. 18,14 - καὶ διελεύσεται τὰ ὅρια καὶ περιελεύσεται ἐπὶ τὸ μέρος τὸ βλέπον παρὰ θάλασσαν ἀπὸ λιβὸς ἀπὸ τοῦ ὄρους ἐπὶ πρόσωπον Βαιθωρὼν λίβα, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος εἰς Καριαθβάαλ (αὕτη ἐστὶ Καριαθιαρίν, πόλις υἱῶν Ἰούδα)· τοῦτό ἐστι τὸ μέρος τὸ πρὸς θάλασσαν.

ΙηΝ. 18,14 - Επειτα προχωρούν και στρέφονται από το μέρος που βλέπει προς την θάλασσαν προς νότον του όρους το οποίον ευρίσκεται απέναντι της Βαιθωρών. Τέλος τα όρια καταλήγουν εις την πόλιν Καριαθβάαλ (αυτή είναι η Καριαθιαρίν πόλις της φυλής Ιούδα). Αυτά είναι τα προς δυσμάς όρια της φυλής αυτής.

ΙηΝ. 18,15 - καὶ μέρος τὸ πρὸς λίβα ἀπό μέρους Καριαθβάαλ, καὶ διελεύσεται ὅρια εἰς Γασὶν ἐπὶ πηγὴν ὕδατος Ναφθώ,

ΙηΝ. 18,15 - Εις την νοτίαν πλευράν τα όρια ήρχιζαν από το άκρον της Καριαθβάαλ διέρχονται εις Γασίν πλησίον της πηγής των υδάτων Ναφθώ,

ΙηΝ. 18,16 - καὶ καταβήσεται τὰ ὅρια ἐπὶ μέρους τοῦ ὄρους, ὅ ἐστι κατὰ πρόσωπον νάπης Ὀννάμ, ὅ ἐστιν ἐκ μέρους Ἐμεκραφαΐν ἀπὸ βοῤῥᾶ, καὶ καταβήσεται Γαίεννα ἐπὶ νῶτον Ἰεβουσαὶ ἀπὸ λιβὸς καὶ καταβήσεται ἐπὶ πηγὴν Ῥωγὴλ

ΙηΝ. 18,16 - καταβαίνουν από το άκρον του όρους, το οποίον ευρίσκεται απέναντι από την δασώδη περιοχήν Οννάμ, στο άκρον της Εμεκραφαΐν από βορρά. Από εκεί τα όρια κατέρχονται εις Γαίεννα εις τα πλευρά της Ιεβουσαί από νότον. Καταλήγουν δε εις την πηγήν Ρωγήλ.

ΙηΝ. 18,17 - καὶ διελεύσεται ἐπὶ πηγὴν Βαιθσαμὺς καὶ παρελεύσεται ἐπὶ Γαλιλώθ, ἥ ἐστιν ἀπέναντι πρὸς ἀνάβασαιν Αἰθαμίν, καὶ καταβήσεται ἐπὶ λίθον Βαιὼν υἱῶν Ῥουβὴν

ΙηΝ. 18,17 - Από εκεί διέρχονται εις την πηγήν Βαιθσαμύς και στρέφουν προς Γαλιλώθ, η οποία ευρίσκεται απέναντι από τα υψώματα Αιθαμίν, κατέρχονται εις περιοχήν ονομαζομένην “Λιθον Βαιών”, η οποία ανήκει εις την φυλήν Ρουβήν.

ΙτΝ. 18,18 - καὶ διελεύσεται κατὰ νώτου Βαιθάραβα ἀπὸ βοῤῥᾶ, καὶ καταβήσεται ἐπὶ τὰ ὅρια ἐπὶ νῶτον θάλασσαν ἀπὸ βοῤῥᾶ,

ΙτΝ. 18,18 - Εν συνεχεία διέρχονται επί της βορείας πλευράς του όρους Βαιθάραβα και κατεβαίνουν εις την βορείαν πελυράν της Νεκράς Θαλάσσης.

ΙτΝ. 18,19 - καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ λοφιὰν τῆς θαλάσσης τῶν ἁλῶν ἐπὶ βοῤῥᾶν εἰς μέρος τοῦ Ἰορδάνου ἀπὸ λιβός· ταῦτα τὰ ὅριά ἐστιν ἀπὸ λιβός.

ΙτΝ. 18,19 - Καταλήγουν στο βόρειον άκρον της Νεκράς Θαλάσσης, το οποίον είναι και το νοτιώτερον μέρος του Ιορδάνου. Αυτά είναι τα όρια προς νότον.

ΙτΝ. 18,20 - καὶ ὁ Ἰορδάνης ὁριεῖ ἀπὸ μέρους ἀνατολῶν. αὕτη ἡ κληρονομία υἱῶν Βενιαμίν, τὰ ὅρια αὐτῆς κύκλῳ κατὰ δήμους.

ΙτΝ. 18,20 - Ανατολικά δε όρια της φυλής αυτής είναι ο Ιορδάνης. Αυτή είναι η υπό της φυλής Βενιαμίν κληρονομηθείσα περιοχή, τα γύρω όρια αυτής κατά δήμους.

ΙτΝ. 18,21 - καὶ ἐγενήθησαν αἱ πόλεις τῶν υἱῶν Βενιαμὶν κατὰ δήμους αὐτῶν Ἱεριχὼ καὶ Βεθεγαιὼ καὶ Ἀμεκασίς,

ΙτΝ. 18,21 - Αι δε πόλεις αι οποίαι ανήκουν εις την φυλήν Βενιαμίν κατά δήμους είναι αι εξής· Ιεριχώ, Βεθεγαιώ, Αμεκασίς,

ΙτΝ. 18,22 - καὶ Βαιθαβαρὰ καὶ Σαρὰ καὶ Βησανὰ

ΙτΝ. 18,22 - Βαιθαβαρά, Σαρά, Βησανά,

ΙτΝ. 18,23 - καὶ Αἰεὶν καὶ Φαρὰ καὶ Ἐφραθὰ

ΙτΝ. 18,23 - Αιείν, Φαρά, Εφραθά,

ΙτΝ. 18,24 - καὶ Καραφὰ καὶ Κεφιρὰ καὶ Μονὶ καὶ Γαβαά, πόλεις δώδεκα καὶ αἱ κῶμαι αὐτῶν·

ΙτΝ. 18,24 - Καραφά, Κεφιρά, Μονί, Γαβαά. Δωδεκα πόλεις και αι κωμοπόλεις αυτών·

ΙτΝ. 18,25 - Γαβαὼν καὶ Ῥαμὰ καὶ Βεηρωθὰ

ΙτΝ. 18,25 - αι Γαβαών, Ραμά, Βεηρωθά,

ΙτΝ. 18,26 - καὶ Μασσημὰ καὶ Μιρὼν καὶ Ἀμωκὴ

ΙτΝ. 18,26 - Μασσημά, Μιρών, Αμωκή,

ΙτΝ. 18,27 - καὶ Φιρὰ καὶ Καφὰν καὶ Νακὰν καὶ Σεληκὰν καὶ Θαρεηλὰ

ΙτΝ. 18,27 - Φιρά, Καφάν, Νακάν, Σεληκάν, Θαρεηλά,

ΙτΝ. 18,28 - καὶ Ἰεβοῦς (αὕτη ἐστὶν Ἱερουσαλὴμ) καὶ Γαβαωθιαρίμ, πόλεις δεκατρεῖς καὶ αἱ κῶμαι αὐτῶν. αὕτη ἡ κληρονομία υἱῶν Βενιαμὶν κατὰ δήμους αὐτῶν.

ΙτΝ. 18,28 - Ιεβούς (η πόλις αυτή είναι η Ιερουσαλήμ) και η Γαβαωθιαρίμ· πόλεις δεκατρείς και αι κωμοπόλεις που εξηρτώντο από αυτάς. Αυτή ήτο η κληρονομία της φυλής του Βενιαμίν κατά τους δήμους αυτής.

ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 19

ΙτΝ. 19,1 - Καὶ ἐξῆλθεν ὁ δεύτερος κλῆρος τῶν υἱῶν Συμεών, καὶ ἐγενήθη ἡ κληρονομία αὐτῶν ἀναμέσον κλήρων υἱῶν Ἰούδα.
ΙτΝ. 19,1 - Ο δεύτερος κλήρος που εβγήκε ήτο δια την φυλήν του Συμεών. Η κληρονομία αυτής της φυλής έπεσεν στο μέσον της κληρονομίας της φυλής Ιούδα.
ΙτΝ. 19,2 - καὶ ἐγενήθη ὁ κλῆρος αὐτῶν Βηρσαβεὲ καὶ Σαμαὰ καὶ Κωλαδὰμ
ΙτΝ. 19,2 - Περιελαμβάνοντο δε εις αυτήν αι εξής πόλεις· Η Βηρσαβεέ, Σαμαά, η Κωλαδάμ,
ΙτΝ. 19,3 - καὶ Ἀρσωλὰ καὶ Βωλὰ καὶ Ἀσὸμ
ΙτΝ. 19,3 - η Αρσωλά, η Βωλά, η Ασόμ,
ΙτΝ. 19,4 - καὶ Ἐλθουλὰ καὶ Βουλὰ καὶ Ἑρμᾶ
ΙτΝ. 19,4 - η Ελθουλά, η Βουλά, η Ερμά,
ΙτΝ. 19,5 - καὶ Σικελὰκ καὶ Βαιθμαχερὲβ καὶ Σαρσουσὶν
ΙτΝ. 19,5 - η Σικελάκ, η Βαιθμαχερέβ, η Σαρσουσίν,
ΙτΝ. 19,6 - καὶ Βαθαρὼθ καὶ οἱ ἀγροὶ αὐτῶν, πόλεις δεκατρεῖς καὶ αἱ κῶμαι αὐτῶν·
ΙτΝ. 19,6 - η Βαθαρώθ και οι αγροί των. Δέκα τρεις πόλεις εν συνόλω και αι κώμαι αυτών.
ΙτΝ. 19,7 - Ἐρεμμὼν καὶ Θαλχὰ καὶ Ἐθὲρ καὶ Ἀσάν, πόλεις τέσσαρες καὶ αἱ κῶμαι αὐτῶν
ΙτΝ. 19,7 - Η Ερεμμών, η Θαλχά, η Εθέρ και η Ασάν· πόλεις τέσσαρες και αι κώμαι αυτών,
ΙτΝ. 19,8 - κύκλῳ τῶν πόλεων αὐτῶν ἕως Βαρὲκ πορευομένων Βαμὲθ κατὰ λίβα. αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Συμεὼν κατὰ δήμους αὐτῶν.
ΙτΝ. 19,8 - κύκλω των πόλεων αυτών μέχρι της Βαρέκ η οποία ευρίσκεται προς νότον του πορευομένου προς την Βαμέθ. Αυτή ήτο η κληρονομηθείσα περιοχή εις την φυλήν Συμεών κατά τους δήμους αυτής.
ΙτΝ. 19,9 - ἀπὸ τοῦ κλήρου τοῦ Ἰούδα ἡ κληρονομία φυλῆς υἱῶν Συμεών, ὅτι ἐγενήθη ἡ μερὶς υἱῶν Ἰούδα μείζων τῆς αὐτῶν καὶ ἐκληρονόμησαν οἱ υἱοὶ Συμεὼν ἐν μέσῳ τοῦ κλήρου αὐτῶν.
ΙτΝ. 19,9 - Αυτή δε η κληρονομηθείσα περιοχή της φυλής του Συμεών ήτο από την κληρονομίαν της φυλής Ιούδα, διότι το μερίδιον της φυλής Ιούδα ήτο μεγαλύτερον απ' ο,τι εχρειάζετο και έπρεπεν εις αυτούς. Δια τούτο η φυλή του Συμεών εκληρονόμησε περιοχήν εν μέσω της φυλής του Ιούδα.
ΙτΝ. 19,10 - Καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ τρίτος τῷ Ζαβουλὼν κατὰ δήμους αὐτῶν. ἔσται τὰ ὅρια τῆς κληρονομίας αὐτῶν Ἐσεδεκγωλά· ὅρια αὐτῶν

ΙτΝ. 19,10 - Εβγήκεν ο τρίτος κλήρος ο οποίος έπεσεν εις την φυλήν Ζαβουλών κατά τους δήμους αυτής. Τα όρια της κληρονομηθείσης εις αυτήν περιοχής είναι η Εσεδεκγωλά. Από εκεί τα όρια

ΙτΝ. 19,11 - ἡ θάλασσα καὶ Μαραγγιλὰ καὶ συνάψει ἐπὶ Βαιθάραβα εἰς τὴν φάραγγα, ἥ ἐστι κατὰ πρόσωπον Ἰεκμάν,

ΙτΝ. 19,11 - προχωρούν προς δυσμάς εις Μαραγγιλά, η οποία συνορεύει με την Βαιθάραβα εις την κοιλάδα του Ιορδάνου, απέναντι από την Ιεκμάν.

ΙτΝ. 19,12 - καὶ ἀνέστρεψεν ἀπὸ Σεδδοὺκ ἐξ ἐναντίας ἀπὸ ἀνατολῶν Βαιθσαμὺς ἐπὶ τὰ ὅρια Χασελωθαὶθ καὶ διελεύσεται ἐπὶ Δαβιρὼθ καὶ προσαναβήσεται ἐπὶ Φαγγαὶ

ΙτΝ. 19,12 - Από εκεί τα όρια γυρίζουν δια της Σεδδούκ απέναντι ανατολικώς από την Βαιθσαμύς εις τα όρια Χασελωθαίθ. Διέρχονται προς Δαβιρώθ και αναβαίνουν εις Φαγγαί.

ΙτΝ. 19,13 - καὶ ἐκεῖθεν περιελεύσεται ἐξ ἐναντίας ἐπ᾿ ἀνατολὰς ἐπὶ Γεβερέ, ἐπὶ πόλιν Κατασέμ, καὶ διελεύσεται ἐπὶ Ῥεμμωνὰ Ἀμαθὰρ Ἀοζὰ

ΙτΝ. 19,13 - Από εκεί στρέφονται κατ' ευθείαν ανατολικώς εις Γεβερέ, εις πόλιν Κατασέμ. Εκτείνονται εις Ρεμμωνά, Αμαθάρ, Αοζά,

ΙτΝ. 19,14 - καὶ περιελεύσεται ὅρια ἐπὶ βοῤῥᾶν ἐπὶ Ἀμώθ, καὶ ἔσται ἡ διέξοδος αὐτῶν ἐπὶ Γαιφαὴλ

ΙτΝ. 19,14 - και στρέφονται προς βορράν εις την Αμώθ, δια να καταλήξουν εις την Γαιφαήλ

ΙτΝ. 19,15 - καὶ Κατανὰθ καὶ Ναβαὰλ καὶ Συμοὼν καὶ Ἱεριχὼ καὶ Βαιθμάν.

ΙτΝ. 19,15 - εις την Κατανάθ, την Ναβαάλ, την Συμοών, την Ιεριχώ και την Βαιθμάν.

ΙτΝ. 19,16 - αὕτη ἡ κληρονομία τῆς φυλῆς υἱῶν Ζαβουλὼν κατὰ δήμους αὐτῶν, πόλεις καὶ αἱ κῶμαι αὐτῶν.

ΙτΝ. 19,16 - Αυτή ήτο η κληρονομία της φυλής Ζαβουλών κατά τους δήμους αυτής με τας πόλεις και τας κώμας που εξηρτώντο από αυτάς.

ΙτΝ. 19,17 - Καὶ τῷ Ἰσσάχαρ ἐξῆλθεν ὁ κλῆρος ὁ τέταρτος.

ΙτΝ. 19,17 - Ο τέταρτος κλήρος εβγήκε δια την φυλήν Ισσάχαρ.

ΙτΝ. 19,18 - καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Ἰαζὴλ καὶ Χασαλὼθ καὶ Σουνὰμ

ΙτΝ. 19,18 - Εις τα όρια αυτής περιελαμβάνοντα αι πόλεις Ιαζήλ, Χασαλώθ, Σουνάμ,

ΙτΝ. 19,19 - καὶ Ἀγὶν καὶ Σιωνὰ καὶ Ῥεηρὼθ

ΙτΝ. 19,19 - Αγίν, Σιωνά, Ρεηρώθ,

ΙτΝ. 19,20 - καὶ Ἀναχερὲθ καὶ Δαβιρὼν καὶ Κισὼν καὶ Ῥεβὲς

ΙτΝ. 19,20 - Αναχερέθ, Δαβιρών, Κισών, Ρεβές,

ΙτΝ. 19,21 - καὶ Ῥεμμὰς καὶ Ἰεὼν καὶ Τομμὰν καὶ Αἱμαρὲκ καὶ Βηρσαφής,

ΙηΝ. 19,21 - Ρεμμάς, Ιεών, Τομμάν, Αιμαρέκ και Βηρσαφής.
ΙηΝ. 19,22 - καὶ συνάψει τὰ ὅρια ἐπὶ Γαιθβὼρ καὶ ἐπὶ Σαλὶμ κατὰ θάλασσαν καὶ Βαιθσαμύς, καὶ ἔσται αὐτοῦ ἡ διέξοδος τῶν ὁρίων ὁ Ἰορδάνης.
ΙηΝ. 19,22 - Τα όρια αυτά ευρίσκονται εις επαφήν με το Γαιθβώρ και προς δυσμάς με την Σαλίμ και Βαιθσαμύς· καταλήγουν δε στον Ιορδάνην ποταμόν.
ΙηΝ. 19,23 - αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἰσσάχαρ κατὰ δήμους αὐτῶν, αἱ πόλεις καὶ αἱ κῶμαι αὐτῶν.
ΙηΝ. 19,23 - Αυτή είναι η κληρονομηθείσα περιοχή της φυλής Ισσάχαρ κατά τους δήμους αυτής, αι πόλεις και αι κώμαι αυτών.
ΙηΝ. 19,24 - Καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ πέμπτος Ἀσὴρ κατὰ δήμους αὐτῶν.
ΙηΝ. 19,24 - Ο πέμπτος κλήρος εβγήκε δια την φυλήν Ασήρ και τους δήμους αυτής.
ΙηΝ. 19,25 - καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Ἐξελεκὲθ καὶ Ἀλὲφ καὶ Βαιθὸκ καὶ Κεὰφ
ΙηΝ. 19,25 - Τα όρια της κληρονομηθείσης περιοχής απετέλουν αι πόλεις Εξελεκέθ, Αλέφ, Βαιθόκ, Κεάφ,
ΙηΝ. 19,26 - καὶ Ἐλιμελὲχ καὶ Ἀμιὴλ καὶ Μαασὰ καὶ συνάψει τῷ Καρμήλῳ κατὰ θάλασσαν καὶ τῷ Σιὼν καὶ Λαβανὰθ
ΙηΝ. 19,26 - Ελιμελέχ, Αμιήλ και Μαασά. Τα όρια αυτά προς δυσμάς συνορεύουν με το όρος Καρμηλον, το Σιών και το Λαβανάθ.
ΙηΝ. 19,27 - καὶ ἐπιστρέψει ἀπὸ ἀνατολῶν ἡλίου καὶ Βαιθεγενὲθ καὶ συνάψει τῷ Ζαβουλὼν καὶ Ἐκγαῖ καὶ Φθαιὴλ κατὰ βοῤῥᾶν, καὶ εἰσελεύσεται ὅρια Σαφθαιβαιθμὲ καὶ Ἰναὴλ καὶ διελεύσεται εἰς Χωβαμασομὲλ
ΙηΝ. 19,27 - Επειτα στρέφουν προς ανατολάς μέχρι της Βαιθεγενέθ, εφάπτονται με την φυλήν Ζαβουλών, την Εκγαί,και την Φθαιήλ προς βορράν. Εισέρχονται εις την Σαφθαιβαιθμέ και την Ιναήλ και από εκεί κατευθύνονται εις Χωβαμασομέλ,
ΙηΝ. 19,28 - καὶ Ἐλβὼν καὶ Ῥαὰβ καὶ Ἐμεμαὼν καὶ Κανθὰν ἕως Σιδῶνος τῆς μεγάλης,
ΙηΝ. 19,28 - εις Ελβών, Ραάβ, Εμεμαών, και Κανθάν μέχρι της μεγάλης πόλεως της Σιδώνος.
ΙηΝ. 19,29 - καὶ ἀναστρέψει τὰ ὅρια εἰς Ῥαμὰ καὶ ἕως πηγῆς Μασφασσὰτ καὶ τῶν Τυρίων, καὶ ἀναστρέψει τὰ ὅρια ἐπὶ Ἰασίφ, καὶ ἔσται ἡ διέξοδος αὐτοῦ ἡ θάλασσα καὶ Ἀπολὲβ καὶ Ἐχοζὸβ
ΙηΝ. 19,29 - Γυρίζουν έπειτα τα όρια εις Ραμά μέχρι της πηγής Μασφασσάτ και της πόλεως των Τυρίων. Στρέφονται έπειτα προς Ιασίφ και καταλήγουν εις την Μεσόγειον Θαλασσαν εις τας πόλεις Απολέβ, Εχοζόβ,
ΙηΝ. 19,30 - καὶ Ἀρχὸβ καὶ Ἀφὲκ καὶ Ῥααῦ.

ΙτΝ. 19,30 - Αρχόβ, Αφέκ, και Ρααύ.

ΙτΝ. 19,31 - αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἀσὴρ κατὰ δήμους αὐτῶν, πόλεις καὶ αἱ κῶμαι αὐτῶν.

ΙτΝ. 19,31 - Αυτή είναι η κληρονομηθείσα περιοχή εις την φυλήν Ασήρ και τους δήμους αυτής, αι πόλεις και αι κώμαι των πόλεων.

ΙτΝ. 19,32 - Καὶ τῷ Νεφθαλὶ ἐξῆλθεν ὁ κλῆρος ὁ ἕκτος.

ΙτΝ. 19,32 - Ο έκτος κλήρος έπεσεν εις την φυλήν του Νεφθαλί.

ΙτΝ. 19,33 - καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Μοολὰμ καὶ Μωλὰ καὶ Βεσεμιΐν καὶ Ἀρμὲ καὶ Ναβὸκ καὶ Ἰεφθαμαὶ ἕως Δωδάμ, καὶ ἐγενήθησαν αἱ διέξοδοι αὐτοῦ Ἰορδάνης·

ΙτΝ. 19,33 - Ει τα όρια αυτής ήσαν αι πόλεις Μοολάμ, Μωλά, Βεσεμιΐν, Αρμέ, Ναβόκ και Ιεφθαμαί μέχρι της Δωδάμ. Κατέληγον δε στον Ιορδάνην ποταμόν.

ΙτΝ. 19,34 - καὶ ἐπιστρέψει τὰ ὅρια ἐπὶ θάλασσαν Ἐνὰθ Θαβὼρ καὶ διελεύσεται ἐκεῖθεν Ἰακανὰ καὶ συνάψει τῷ Ζαβουλὼν ἀπὸ νώτου καὶ Ἀσὴρ συνάψει κατὰ θάλασσαν, καὶ ὁ Ἰορδάνης ἀπὸ ἀνατολῶν ἡλίου.

ΙτΝ. 19,34 - Επειτα εστρέφοντο προς δυσμάς εις Ενάθ και Θαβώρ. Από εκεί διήρχοντο εις Ιακανά, συνώρευαν προς νότον με την φυλήν Ζαβουλών και προς δυσμάς με την φυλήν Ασήρ· προς ανατολάς ήτο ο Ιορδάνης ποταμός.

ΙτΝ. 19,35 - καὶ αἱ πόλεις τειχήρεις τῶν Τυρίων, Τύρος καὶ Ὠμαθά, Δακὲθ καὶ Κενερὲθ

ΙτΝ. 19,35 - Αι οχυραί πόλεις των κατοίκων της Τυρου ήσαν η Τυρος, η Ωμαθά, η Δακέθ, η Κενερέθ,

ΙτΝ. 19,36 - καὶ Ἀρμαΐθ καὶ Ἀραὴλ καὶ Ἀσὼρ

ΙτΝ. 19,36 - η Αρμαΐθ, η Αραήλ, η Ασώρ,

ΙτΝ. 19,37 - καὶ Κάδες καὶ Ἀσσαρὶ καὶ πηγὴ Ἀσὸρ

ΙτΝ. 19,37 - η Καδες, η Ασσαρί, η πηγή Ασόρ,

ΙτΝ. 19,38 - καὶ Κερωὲ καὶ Μεγαλὰ Ἀρὶμ καὶ Βαιθθαμὲ καὶ Θεσσαμύς.

ΙτΝ. 19,38 - η Κερωέ, η Μεγαλά Αρίμ, η Βαιθθαμέ και η Θεσσαμύς.

ΙτΝ. 19,39 - αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Νεφθαλί.

ΙτΝ. 19,39 - Αυτή είναι η δια κλήρου δοθείσα περιοχή εις την φυλήν Νεφθαλί.

ΙτΝ. 19,40 - Καὶ τῷ Δὰν ἐξῆλθεν ὁ κλῆρος ὁ ἕβδομος.

ΙτΝ. 19,40 - Ο έβδομος κλήρος εβγήκε δια την φυλήν Δαν.

ΙτΝ. 19,41 - καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν Σαρὰθ καὶ Ἀσὰ καὶ πόλεις Σαμμάυς

ΙτΝ. 19,41 - Εις τα όρια της κληρονομηθείσης περιοχής ήσαν η Σαράθ, η Ασά και αι πόλεις·

ΙτΝ. 19,42 - καὶ Σαλαμὶν καὶ Ἀμμὼν καὶ Σιλαθὰ

ΙτΝ. 19,42 - η Σαμάϋς, η Σαλαμίν, η Αμμών, η Εφαθά,
ΙτΝ. 19,43 - καὶ Ἐλὼν καὶ Θαμναθὰ καὶ Ἀκκαρὼν
ΙτΝ. 19,43 - η Ελών, η Θαμναθά, η Ακκαρών,
ΙτΝ. 19,44 - καὶ Ἀλκαθὰ καὶ Βεγεθὼν καὶ Γεβεελὰν
ΙτΝ. 19,44 - η Αλκαθά, η Βεγεθών, η Γεβεελάν,
ΙτΝ. 19,45 - καὶ Ἀζὼρ καὶ Βαναιβακὰτ καὶ Γεθρεμών,
ΙτΝ. 19,45 - η Αζώρ, η Βαναιβακάτ και η Γεθρεμμών.
ΙτΝ. 19,46 - καὶ ἀπὸ θαλάσσης Ἱεράκων ὅριον πληρίον Ἰόππης.
ΙτΝ. 19,46 - Από δυσμάς δε τα όρια έφθαναν εις Ιεράκων, πλησίον της Ιόππης.
ΙτΝ. 19,47 - αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Δὰν κατὰ δήμους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ κῶμαι αὐτῶν. καὶ οὐκ ἐξέθλιψαν οἱ υἱοὶ Δὰν τὸν Ἀμοῤῥαῖον τὸν θλίβοντα αὐτοὺς ἐν τῷ ὅρει· καὶ οὐκ εἴων αὐτοὺς οἱ Ἀμοῤῥαῖοι καταβῆναι εἰς τὴν κοιλάδα καὶ ἔθλιψαν ἀπ᾿ αὐτῶν τὸ ὅριον τῆς μερίδος αὐτῶν.
ΙτΝ. 19,47 - Αυτή ήτο η κληρονομηθείσα περιοχή εις την φυλήν Δαν και τους δήμους αυτής, αι πόλεις και αι κώμαι των. Οι της φυλής Δαν δεν κατεδίωξαν τους Αμορραίους, οι οποίοι εν τούτοις επιεζαν την φυλήν Δαν εις την ορεινήν περιοχήν. Οι Αμορραίοι δεν άφηναν τους ανθρώπους της φυλής Δαν να καταβαίνουν εις την πεδιάδα και γενικώς εστενοχωρούσαν οι Αμορραίοι καθ' όλην την έκτασιν την περιοχήν της φυλής Δαν.
ΙτΝ. 19,48 - καὶ ἐπορεύθησαν οἱ υἱοὶ Δὰν καὶ ἐπολέμησαν τὴν Λαχὶς καὶ κατελάβοντο αὐτὴν καὶ ἐπάταξαν αὐτὴν ἐν στόματι μαχαίρας καὶ κατῴκησαν αὐτὴν καὶ ἐκάλεσαν τὸ ὄνομα αὐτῆς Λασενδὰκ καὶ ὁ Ἀμοῤῥαῖος ὑπέμεινε τοῦ κατοικεῖν ἐν Ἐλὼμ καὶ ἐν Σαλαμίν· καὶ ἐβαρύνθη ἡ χεὶρ τοῦ Ἐφραὶμ ἐπ᾿ αὐτούς, καὶ ἐγένοντο αὐτοῖς εἰς φόρον.
ΙτΝ. 19,48 - Οι άνδρες τότε της φυλής Δαν επορεύθησαν και επολέμησαν την Λαχίς, την οποίαν κατέλαβαν και επέρασαν εν στόματι μαχαίρας τους κατοίκους αυτής. Εγκατεστάθησαν εις αυτήν και την μετωνόμασαν Λασενδάκ. Οι Αμορραίοι εν τούτοις εξακολουθούσαν να κατοικούν εις Ελώμ και εις Σαλαμίν. Η φυλή όμως του Εφραίμ τους εξηνάγκασεν εις υποταγήν και τους έκαμε φόρου υποτελείς.
ΙτΝ. 19,49 - Καὶ ἐπορεύθησαν ἐμβατεῦσαι τὴν γῆν κατὰ τὸ ὅριον αὐτῶν. καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ κλῆρον τῷ Ἰησοῖ τῷ υἱῷ Ναυὴ ἐν αὐτοῖς
ΙτΝ. 19,49 - Αφού έληξεν η διανομή επορεύθησαν αι φυλαί των Ισραηλιτών δια να εισέλθουν εις την κληρωθείσαν δι' εκάστην από αυτάς περιοχήν. Οι Ισραηλίται έδωσαν κληρονομίαν μεταξύ των στον Ιησούν τον υιόν του Ναυη,
ΙτΝ. 19,50 - διὰ προστάγματος τοῦ Θεοῦ· καὶ ἔδωκαν αὐτῷ τὴν πόλιν, ἣν ᾐτήσατο, Θαμνασαράχ, ἥ ἐστιν ἐν τῷ ὅρει Ἐφραίμ· καὶ ᾠκοδόμησε τὴν

πόλιν καὶ κατῴκει ἐν αὐτῇ.

ΙτΝ. 19,50 - σύμφωνα με την εντολήν του Θεού· έδωκαν εις αυτόν ως μερίδιον την πόλιν, την οποίαν εζήτησε, την Θαμνασαράχ, η οποία ευρίσκετο στο όρος Εφραίμ. Ανοικοδόμησε και ωχύρωσεν ο Ιησούς του Ναυή την πόλιν αυτήν και εγκατεστάθη εις αυτήν.

ΙτΝ. 19,51 - αὗται αἱ διαιρέσεις ἃς κατεκληρονόμησεν Ἐλεάζαρ ὁ ἱερεὺς καὶ Ἰησοῦς ὁ τοῦ Ναυὴ καὶ οἱ ἄρχοντες τῶν πατριῶν ἐν ταῖς φυλαῖς Ἰσραὴλ κατὰ κλήρους ἐν Σηλώ, ἔναντι Κυρίου, παρὰ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου· καὶ ἐπορεύθησαν ἐμβατεῦσαι τὴν γῆν.

ΙτΝ. 19,51 - Αυταί είναι αι κληροδοτηθείσαι περιοχαί, τας οποίας ο Αρχιερεύς Ελεάζαρ, ο Ιησούς του Ναυή και οι άρχοντες των φυλών του Ισραήλ έδωσαν δια κλήρου εις τας φυλάς εν Σηλώ, ενώπιον του Κυρίου πλησίον δηλαδή εις τας θύρας της Σκηνής του Μαρτυρίου. Επειτα από την διανομήν μετέβησαν αι φυλαι δια να εγκατασταθούν εις την κληρονομηθείσαν γην.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 20

ΙτΝ. 20,1 - Καὶ ἐλάλησε Κύριος τῷ Ἰησοῖ λέγων·

ΙτΝ. 20,1 - Επειτα από αυτά ωμίλησεν ο Κυριος προς τον Ιησούν λέγων·

ΙτΝ. 20,2 - λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων· δότε τὰς πόλεις τῶν φυγαδευτηρίων, ἃς εἶπα πρὸς ὑμᾶς διὰ Μωυσῆ.

ΙτΝ. 20,2 - “ειπέ προς τους Ισρσηλίτας τα εξής· Δωσατε τώρα τας πόλεις που θα χρησιμεύσουν ως άσυλα, όπως σας διέταξα άλλοτε δια του Μωϋσή.

ΙτΝ. 20,3 - φυγαδευτήριον τῷ φονευτῇ τῷ πατάξαντι ψυχὴν ἀκουσίως, καὶ ἔσονται ὑμῖν αἱ πόλεις φυγαδευτήριον, καὶ οὐκ ἀποθανεῖται ὁ φονευτὴς ὑπό τοῦ ἀγχιστεύοντος τὸ αἷμα, ἕως ἂν καταστῇ ἐναντίον τῆς συναγωγῆς εἰς κρίσιν [( Ἐκ τοῦ κώδ. Α)

ΙτΝ. 20,3 - Καθε μία από τας πόλεις άσυλα θα είναι καταφύγιον δια τον φονέα ο οποίος ακουσίως εφόνευσεν άνθρωπον. Αι πόλεις αυταί θα είναι απαραβίαστα καταφύγια όπου δεν έχει το δικαίωμα ο συγγενής του φονευθέντος να εκτελέση τον φονευτήν, μέχρις ότου αυτός προσαχθή ενώπιον του λαού και εισαχθή εις δίκην.

ΙτΝ. 20,4 - Καὶ φεύξεται εἰς μίαν τῶν πόλεων τούτων καὶ στήσεται ἐπὶ τὴν θύραν τῆς πόλεως καὶ λαλήσει ἐν τοῖς ὠσὶ τῶν πρεσβυτέρων τῆς πόλεως ἐκείνης τοὺς λόγους τούτους καὶ ἐπιστρέψουσιν αὐτὸν ἡ συναγωγὴ πρὸς αὐτοὺς καὶ δώσουσιν αὐτῷ τόπον καὶ κατοικήσει μετ᾽ αὐτῶν

ΙτΝ. 20,4 - Ο φονεύς θα τρέξη εις μίαν από τας πόλεις αυτάς, θα σταθή εις την θύραν της πόλεως και θα αναφέρη στους πρεσβυτέρους της πόλεως εκείνης τους λόγους που τον ηνάγκασαν να καταφύγη εις αυτήν. Οι δε

πρεσβύτεροι θα δεχθούν πλησίον των τον ακούσιον φονέα και θα παραχωρήσουν εις αυτόν τόπον, δια να κατοικήση μαζή των,

ΙτΝ. 20,5 - καὶ ὅτι διώξεται ὁ ἀγχιστεύων τὸ αἷμα ὀπίσω αὐτοῦ καὶ οὐ συγκλείσουσι τὸν φονεύσαντα ἐν τῇ χειρὶ αὐτοῦ, ὅτι οὐκ εἰδὼς ἐπάταξε τὸν πλησίον αὐτοῦ καὶ οὐ μισῶν αὐτὸς αὐτὸν ἀπ᾽ ἐχθὲς καὶ τῆς τρίτης

ΙτΝ. 20,5 - διότι ο συγγενής του φονευθέντος θα καταδιώξη τον φονέα. Δεν θα παραδώσουν οι πρεσβύτεροι τον φονέα εις τα χέρια του συγγενούς του φονευθέντος, διότι εκείνος εφόνευσε χωρίς να το θέλη τον πλησίον του, χωρίς να έχη κανένα μίσος και καμμίαν αφορμήν μαζή του κατά τας προηγουμένας ημέρας.

ΙτΝ. 20,6 - καὶ κατοικήσει ἐν τῇ πόλει ἐκείνῃ ἕως στῇ κατὰ πρόσωπον τῆς συναγωγῆς εἰς κρίσιν ἕως ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας, ὃς ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις· τότε ἐπιστρέψει ὁ φονεύσας καὶ ἐλεύσεται εἰς τὴν πόλιν αὐτοῦ καὶ πρὸς τὸν οἶκον αὐτοῦ καὶ πρὸς πόλιν ὅθεν ἔφυγεν ἐκεῖθεν.].

ΙτΝ. 20,6 - Ο φονεύς θα παραμείνη εις την πόλιν εκείνην, μέχρις ότου εμφανισθή ενώπιον του λαού, δια να δικασθή νομίμως η μέχρις ότου αποθάνή ο αρχιερεύς, ο οποίος ήτο κατά την περίοδον εκείνην. Τοτε θα επιστρέψη ο ακούσιος φονεύς και θα έλθη εις την πόλιν αυτού, στον οίκον του, εις την πόλιν από όπου έφυγε”.

ΙτΝ. 20,7 - καὶ διέστειλε τὴν Κάδης ἐν τῇ Γαλιλαίᾳ ἐν τῷ ὄρει τῷ Νεφθαλὶ καὶ Συχὲμ ἐν τῷ ὄρει τῷ Ἐφραὶμ καὶ τὴν πόλιν Ἀρβὸκ (αὕτη ἐστὶ Χεβρών) ἐν τῷ ὄρει τῷ Ἰούδα.

ΙτΝ. 20,7 - Ο Ιησούς εξεχώρισεν ως άσυλον πόλιν την Καδης εις την Γαλιλαίαν, εις την ορεινήν περιοχήν της φυλής Νεφθαλί· την Συχέμ, εις την ορεινήν περιοχήν της φυλής Εφραίμ, και την πόλιν Αρβόκ (αυτή είναι η Χεβρών) εις την ορεινήν περιοχήν της φυλής του Ιούδα.

ΙτΝ. 20,8 - καὶ ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἔδωκε Βοσὸρ ἐν τῇ ἐρήμῳ ἐν τῷ πεδίῳ ἀπὸ τῆς φυλῆς Ῥουβὴν καὶ Ἀρημὼθ ἐν τῇ Γαλαὰδ ἐκ τῆς φυλῆς Γάδ, καὶ τὴν Γαυλὼν ἐν τῇ Βασανίτιδι ἐκ τῆς φυλῆς Μανασσῆ.

ΙτΝ. 20,8 - Ανατολικώς δε του Ιορδάνου ώρισε την Βοσόρ, η οποία ευρίσκεται εις την έρημον περιοχήν της πεδιάδος επί της φυλής Ρουβήν, την Αρημώθ εις την περιοχήν Γαλαάδ της φυλής του Γαδ και την Γαυλών εις την περιοχήν Βασάν της φυλής Μανασσή.

ΙτΝ. 20,9 - αὗται αἱ πόλεις αἱ ἐπίκλητοι τοῖς υἱοῖς Ἰσραὴλ καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ ἐν αὐτοῖς καταφυγεῖν ἐκεῖ παντὶ παίοντι ψυχὴν ἀκουσίως, ἵνα μὴ ἀποθάνῃ ἐν χειρὶ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, ἕως ἂν καταστῇ ἔναντι τῆς συναγωγῆς εἰς κρίσιν.

ΙτΝ. 20,9 - Αυταί είναι αι καθρρισθείσαι ως ασυλα-πόλεις δια τους Ισραηλίτας, όπως και δια κάθε ξένον που θα έμενε πλησίον των, δια να κοααφεύγη εκεί κάθε ακούσιος φονεύς και να μη φονευθή από το χέρι

συγγενούς του φονευθέντος μέχρις ότου εμφανισθή ενώπιον του λαού και δικασθή νομίμως.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 21

ΙτΝ. 21,1 - Καὶ προσήλθοσαν οἱ ἀρχιπατριῶται τῶν υἱῶν Λευὶ πρὸς Ἐλεάζαρ τὸν ἱερέα καὶ Ἰησοῦν τὸν τοῦ Ναυὴ καὶ πρὸς τοὺς ἀρχιφύλους πατριῶν ἐκ τῶν φυλῶν Ἰσραὴλ

ΙτΝ. 21,1 - Προσήλθον οι αρχηγοί των οικογενειών της φυλής Λευί προς τον Ελεάζαρ, προς τον Ιησούν υιόν του Ναυή και προς τους άρχοντας των οικογενειών το Ισραήλ,

ΙτΝ. 21,2 - καὶ εἶπον πρὸς αὐτοὺς ἐν Σηλὼ ἐν γῇ Χαναὰν λέγοντες· ἐνετείλατο Κύριος ἐν χειρὶ Μωυσῆ δοῦναι ἡμῖν πόλεις κατοικεῖν καὶ τὰ περισπόρια τοῖς κτήνεσιν ἡμῶν.

ΙτΝ. 21,2 - εις Σηλώ της γης Χαναάν και είπαν προς αυτούς· “ο Κυριος έδωκεν εντολήν δια του Μωϋσέως να δώσετε και εις ημάς πόλεις δια να κατοικούμε και βοσκησίμους περιοχάς δια τα κτήνη μας”.

ΙτΝ. 21,3 - καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς λευίταις ἐν τῷ κατακληρονομεῖν διὰ προστάγματος Κυρίου τὰς πόλεις καὶ τὰ περισπόρια αὐτῶν.

ΙτΝ. 21,3 - Οι αρχηγοί του Ισραήλ παρεχώρησαν πράγματι στους Λευίτας απ την ιδικήν των κληρονομίαν, όπως είχε διατάξει ο Κυριος, πόλεις και βοσκησίμους περιοχάς.

ΙτΝ. 21,4 - καὶ ἐξῆλθεν ὁ κλῆρος τῷ δήμῳ Καάθ, καὶ ἐγένετο τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἱερεῦσι τοῖς Λευίταις ἀπὸ φυλῆς Ἰούδα καὶ ἀπὸ φυλῆς Συμεὼν καὶ ἀπὸ φυλῆς Βενιαμὶν κληρωτὶ πόλεις δεκατρεῖς·

ΙτΝ. 21,4 - Ο πρώτος κλήρος που εβγήκε ήτο δια τον δήμον Καάθ. Οι υιοί του αρχιερέως Ααρών, οι ιερείς μεταξύ των Λευιτών, επήραν από την φυλήν Ιούδα, από την φυλήν Συμεών και από την φυλήν Βενιαμίν δια κλήρου δέκα τρεις πόλεις.

ΙτΝ. 21,5 - καὶ τοῖς υἱοῖς Καὰθ καταλελειμμένοις ἐκ τῆς φυλῆς Ἐφραὶμ καὶ ἐκ τῆς φυλῆς Δὰν καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ κληρωτὶ πόλεις δέκα·

ΙτΝ. 21,5 - Οι άλλοι, οι υπόλοιποι απόγονοι του Καάθ έλαβον από την φυλήν Εφραίμ, από την φυλήν Δαν και από το ήμισυ της φυλής Μανασσή, δια κλήρου, δέκα πόλεις.

ΙτΝ. 21,6 - καὶ τοῖς υἱοῖς Γεδσὼν ἀπὸ τῆς φυλῆς Ἰσσάχαρ καὶ ἀπὸ τῆς φυλῆς Ἀσὴρ καὶ ἀπὸ τῆς φυλῆς Νεφθαλὶ καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ ἐν τῇ Βασὰν πόλεις δεκατρεῖς·

ΙτΝ. 21,6 - Οι απόγονοι του Γεδσών επήραν δια κλήρου από την φυλήν Ισσάχαρ, από την φυλήν Ασήρ, από την φυλήν Νεφθαλί και από το ήμισυ της φυλής Μανασσή εις την Βασάν δέκα τρεις πόλεις.

ΙτΝ. 21,7 - καὶ τοῖς υἱοῖς Μεραρὶ κατὰ δήμους αὐτῶν ἀπὸ φυλῆς Ῥουβὴν καὶ ἀπὸ φυλῆς Γὰδ καὶ ἀπὸ φυλῆς Ζαβουλὼν κληρωτὶ πόλεις δώδεκα.

ΙτΝ. 21,7 - Οι απόγονοι του Μεραρί έλαβον κατά τους δήμους αυτών από την φυλήν Ρουβήν, από την φυλήν Γαδ και από την φυλήν Ζαβουλών δια κλήρου δώδεκα πόλεις.

ΙτΝ. 21,8 - καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευίταις τὰς πόλεις καὶ τὰ περισπόρια αὐτῶν, ὃν τρόπον ἐνετείλατο Κύριος τῷ Μωυσῇ, κληρωτί.

ΙτΝ. 21,8 - Ετσι οι Ισραηλίται έδωκαν δια κλήρου στους Λευίτας τας πόλεις αυτάς και τας βοσκήσιμους περιοχάς των, όπως είχε διατάξει ο Θεός τον Μωϋσήν.

ΙτΝ. 21,9 - καὶ ἔδωκεν ἡ φυλὴ υἱῶν Ἰούδα καὶ ἡ φυλὴ υἱῶν Συμεὼν καὶ ἀπὸ τῆς φυλῆς υἱῶν Βενιαμὶν τὰς πόλεις ταύτας, καὶ ἐπεκλήθησαν

ΙτΝ. 21,9 - Η φυλή Ιούδα, η φυλή του Συμεών και η φυλή του Βενιαμίν έδωσαν τας πόλεις αυτάς αι οποίαι και παρεχωρήθησαν

ΙτΝ. 21,10 - τοῖς υἱοῖς Ἀαρὼν ἀπὸ τοῦ δήμου τοῦ Καὰθ τῶν υἱῶν Λευί, ὅτι τούτοις ἐγενήθη ὁ κλῆρος.

ΙτΝ. 21,10 - στους υιούς του Ααρών, στον δήμον του Καάθ της φυλής Λευι, διότι εις αυτούς έπεσεν ο κλήρος.

ΙτΝ. 21,11 - καὶ ἔδωκεν αὐτοῖς τὴν Καριαθαρβὸκ μητρόπολιν τῶν Ἐνὰκ (αὕτη ἐστὶ Χεβρὼν) ἐν τῷ ὄρει Ἰούδα· τὰ δὲ περισπόρια κύκλῳ αὐτῆς

ΙτΝ. 21,11 - Εδωκεν εις αυτούς την Καριαθαρβόκ, μητρόπολιν τα Ενάκ (αυτή είναι η Χεβρών) στο όρος του Ιούδα και τας βοσκησίμους περιοχάς γύρω από αυτήν,

ΙτΝ. 21,12 - καὶ τοὺς ἀγροὺς τῆς πόλεως καὶ τὰς κώμας αὐτῆς ἔδωκεν Ἰησοῦς τοῖς υἱοῖς Χάλεβ υἱοῦ Ἰεφοννὴ ἐν κατασχέσει·

ΙτΝ. 21,12 - τους δε αγρούς της πόλεως και τας κώμας αυτής, ο Ιησούς του Ναυή έδωκεν εις κατοχήν στους υιούς του Χαλεβ, υιού του Ιεφοννή.

ΙτΝ. 21,13 - καὶ τοῖς υἱοῖς Ἀαρὼν ἔδωκε τὴν πόλιν φυγαδευτήριον τῷ φονεύσαντι, τὴν Χεβρὼν καὶ τὰ ἀφωρισμένα τὰ σὺν αὐτῇ καὶ τὴν Λεμνὰ καὶ τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ.

ΙτΝ. 21,13 - Εις τους απογόνους του Ααρών έδωκε πόλιν- άσυλον δια τον φονέα, την Χεβρών και τα γύρω αυτής μέρη, την Λεμνά και την περί αυτήν καθωρισμένην περιοχήν,

ΙτΝ. 21,14 - καὶ τὴν Αἰλὼμ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Τεμὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ

ΙτΝ. 21,14 - Την Αιλώμ με την περιοχήν της, την Τεμά έτήν περιοχήν της,

ΙτΝ. 21,15 - καὶ τὴν Γελλὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Δαβὶρ καὶ τὰ ἀφωρισμένα αὐτῇ

ΙτΝ. 21,15 - την Γελλά με την περιοχήν της, την Δαβίρ με την περιοχήν της,

ΙτΝ. 21,16 - καὶ Ἀσὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Τανὺ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Βαιθσαμὺς καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις ἐννέα παρὰ τῶν δύο φυλῶν τούτων.

ΙτΝ. 21,16 - την Ασά με την βοσκήσιμον περιοχήν της, την Τανύ με την γύρω περιοχήν της, και την Βαιθσαμύς με την γύρω περιοχήν της, εννέα πόλεις από τας δύο αυτάς φυλάς.

ΙτΝ. 21,17 - καὶ παρὰ τῆς φυλῆς Βενιαμὶν τὴν Γαβαὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Γαθὲθ καὶ τὰ ἀφωρισμένα αὐτῇ

ΙτΝ. 21,17 - Από την φυλήν Βενιαμίν έδωσε την Γαβαών με την γύρω περιοχήν της, την Γαθέθ με την περιοχήν της,

ΙτΝ. 21,18 - καὶ Ἀναθὼθ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Γάμαλα καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις τέσσαρες.

ΙτΝ. 21,18 - την Αναθώθ με την γύρω περιοχήν της και την Γαμαλα με την περιοχήν της, εν όλω τέσσαρας πόλεις.

ΙτΝ. 21,19 - πᾶσαι αἱ πόλεις υἱῶν Ἀαρὼν τῶν ἱερέων δεκατρεῖς.

ΙτΝ. 21,19 - Ολαι αι πόλεις των απογόνων του Ααρών, των ιερέων, ήσαν δέκα τρεις.

ΙτΝ. 21,20 - καὶ τοῖς δήμοις υἱοῖς Καὰθ τοῖς Λευίταις τοῖς καταλελειμμένοις ἀπὸ τῶν υἱῶν Καὰθ καὶ ἐγενήθη ἡ πόλις τῶν ἱερέων αὐτῶν ἀπὸ φυλῆς Ἐφραίμ,

ΙτΝ. 21,20 - Εις δε τας οικογενείας των υιών Καάθ, των Λευιτών που ήσαν οι υπόλοιποι απόγονοι του Καάθ εδόθησαν δι' αυτούς τους ιερείς πόλεις από την φυλήν Εφραίμ.

ΙτΝ. 21,21 - καὶ ἔδωκαν αὐτοῖς τὴν πόλιν τοῦ φυγαδευτηρίου τὴν τοῦ φονεύσαντος, τὴν Συχὲμ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Γάζαρα καὶ τὰ πρὸς αὐτὴν καὶ τὰ ἀφωρισμένα αὐτῇ

ΙτΝ. 21,21 - Ετσι οι Ισραηλίται έδωκαν εις αυτούς ως πόλιν- άσυλον δια τον ακούσιον φονέα την Συχέμ με την περιοχήν της, την Γαζαρα με την γύρω περιοχήν της,

ΙτΝ. 21,22 - καὶ Βαιθωρὼν καὶ τὰ ἀφωρισμένα τὰ αὐτῇ, πόλεις τέσσαρες.

ΙτΝ. 21,22 - την Βαιθωρών με την γύρω περιοχήν της, πόλεις τέσσαρας εν συνόλω.

ΙτΝ. 21,23 - καὶ ἐκ τῆς φυλῆς Δὰν τὴν Ἐλκωθαὶμ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Γεθεδὰν καὶ τὰ ἀφωρισμένα αὐτῇ

ΙτΝ. 21,23 - Από την φυλήν Δαν έδωκαν την Ελκωθαίμ και την γύρω περιοχήν της, την Γεθεδάν και την γύρω περιοχήν της,

ΙτΝ. 21,24 - καὶ Αἰλὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Γεθερεμμὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις τέσσαρες.

ΙτΝ. 21,24 - την Αιλών και την γύρω περιοχήν της και την Γεθερεμμών με την γύρω περιοχήν της, πόλεις εν συνόλω τέσσαρας.

ΙτΝ. 21,25 - καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ τὴν Τανὰχ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Ἰεβαθὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις δύο.

ΙτΝ. 21,25 - Από το ήμισυ της φυλής του Μανασσή έδωκαν οι Ισραηλίται την Τανάχ με την γύρω περιοχήν της και την Ιεβαθά με την γύρω περιοχήν της, πόλεις δύο.

ΙτΝ. 21,26 - πᾶσαι πόλεις δέκα καὶ τὰ ἀφωρισμένα αὐτῇ τὰ πρὸς αὐταῖς τοῖς δήμοις υἱῶν Καὰθ τοῖς ὑπολελειμμένοις.

ΙτΝ. 21,26 - Ολαι δηλαδή αι πόλεις με τας περιοχάς των που εδόθησαν εις τας υπολοίπους οικογενείας του Καάθ ήσαν δέκα.

ΙτΝ. 21,27 - καὶ τοῖς υἱοῖς Γεδσὼν τοῖς Λευίταις ἐκ τοῦ ἡμίσους φυλῆς Μανασσῆ τὰς πόλεις τὰς ἀφωρισμένας τοῖς φονεύσασι, τὴν Γαυλὼν ἐν τῇ Βασανίτιδι καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Βοσορὰν καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις δύο.

ΙτΝ. 21,27 - Εις τους απογόνους του Γεδσών, τους Λευίτας, παρεχώρησαν οι Ισραηλίται από την κληρονομίαν του ημίσεος της φυλής Μανασσή ως πόλεις- άσυλα με τας περιοχάς των δια τους ακουσίως φονείς, την Γαυλών εις την Βασανίτιδα χώραν με την περιοχήν της και την Βοσοράν με την περιοχήν της, πόλεις εν όλω δύο.

ΙτΝ. 21,28 - καὶ ἐκ τῆς φυλῆς Ἰσσάχαρ τὴν Κισὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Δεββὰ καὶ τὰ ἀφωρισμένα αὐτῇ

ΙτΝ. 21,28 - Από την φυλήν Ισσάχαρ έδωκαν την Κισών με τους βοσκότοπους της, την Δεββά με τους βοσκότοπους της,

ΙτΝ. 21,29 - καὶ τὴν Ῥεμμὰθ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Πηγὴν γραμμάτων καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις τέσσαρες.

ΙτΝ. 21,29 - την Ρεμμάθ με τους βοσκοτόπους της και την Πηγήν Γραμμάτων με τους βοσκοτόπους της, πόλεις εν συνόλω τέσσαρας.

ΙτΝ. 21,30 - καὶ ἐκ τῆς φυλῆς Ἀσὴρ τὴν Βασελλὰν καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Δαββὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ

ΙτΝ. 21,30 - Από την φυλήν Ασήρ την Βασελλάν με την βοσκήσιμον περιοχήν της, την Δαββών με την βοσκήσιμον περιοχήν της,

ΙτΝ. 21,31 - καὶ Χελκὰτ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Ῥαὰβ καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις τέσσαρες.

ΙτΝ. 21,31 - την Χελκάτ με την βοσκήσιμον περιοχήν της και την Ραάβ με την βοσκήσιμον περιοχήν της, πόλεις εν όλω τέσσαρας.

ΙηΝ. 21,32 - καὶ ἐκ τῆς φυλῆς Νεφθαλὶ τὴν πόλιν τὴν ἀφωρισμένην τῷ φονεύσαντι, τὴν Κάδης ἐν τῇ Γαλιλαίᾳ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ τὴν Ἐμμὰθ καὶ τὰ ἀφωρισμένα αὐτῇ καὶ Θεμμὼν καὶ τὰ ἀφωρισμένα αὐτῇ, πόλεις τρεῖς.

ΙηΝ. 21,32 - Από δε την φυλήν Νεφθαλί έδωκαν ως πόλιν- άσυλον δια τον ακουσίως φονεύσαντα, την Καδης εις την Γαλιλαίαν και την βοσκήσιμον περιοχήν της, την Εμμάθ με την βοσκήσιμον περιοχήν της και την Θεμμών με την βοσκήσιμον περιοχήν της, πόλεις εν όλω τρεις.

ΙηΝ. 21,33 - πᾶσαι αἱ πόλεις τοῦ Γεδσὼν κατὰ δήμους αὐτῶν πόλεις δεκατρεῖς.

ΙηΝ. 21,33 - Ολαι αι πόλεις των απογόνων του Γεδσών κατά τους δήμους αυτών ήσαν εν συνόλω δέκα τρεις.

ΙηΝ. 21,34 - καὶ τῷ δήμῳ υἱῶν Μεραρὶ τοῖς Λευίταις τοῖς λοιποῖς ἐκ τῆς φυλῆς Ζαβουλὼν τὴν Μαὰν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Κάδης καὶ τὰ περισπόρια αὐτῆς

ΙηΝ. 21,34 - Εις τον δήμον των απογόνων του Μεραρί, στους άλλους αυτούς Λευίτας, έδωσαν οι Ισραηλίται από την φυλήν Ζαβουλών την Μαάν και την βοσκήσιμον περιοχήν της, την Καδης και την βοσκήσιμον περιοχήν της

ΙηΝ. 21,35 - καὶ Σελλὰ καὶ τὰ περισπόρια αὐτῆς, πόλεις τρεῖς.

ΙηΝ. 21,35 - και την Σελλά με την βοσκήσιμον περιοχήν της, πόλεις εν συνόλω τρεις.

ΙηΝ. 21,36 - καὶ πέραν τοῦ Ἰορδάνου τοῦ κατὰ Ἱεριχὼ ἐκ τῆς φυλῆς Ῥουβήν, τὴν πόλιν τὸ φυγαδευτήριον τοῦ φονεύσαντος, τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ τῇ Μισὼρ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐτῆς

ΙηΝ. 21,36 - Εδωκαν επίσης ως πόλιν- καταφύγιον δια τον ακουσίως φονεύσαντα, από την περιοχήν της φυλής Ρουβήν, ανατολικώς του Ιορδάνου και απέναντι από την Ιεριχώ, την Βοσόρ εις την έρημον Μισώρ με την βοσκήσιμον περιοχήν της, την Ιαζήρ και την βοσκήσιμον περιοχήν της,

ΙηΝ. 21,37 - καὶ τὴν Δεκμὼν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Μαφὰ καὶ τὰ περισπόρια αὐτῆς, πόλεις τέσσαρες.

ΙηΝ. 21,37 - την Δεκμών με την βοσκήσιμον περιοχήν της και την Μαφά με την βοσκήσιμον περιοχήν της, πόλεις εν όλω τέσσαρας.

ΙηΝ. 21,38 - καὶ ἀπὸ φυλῆς Γὰδ τὴν πόλιν τὸ φυγαδευτήριον τοῦ φονεύσαντος, τὴν Ῥαμὼθ ἐν τῇ Γαλαὰδ καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Καμὶν καὶ τὰ περισπόρια αὐτῆς

ΙηΝ. 21,38 - Από δε την φυλήν Γαδ παρεχώρησαν ως πόλιν- καταφύγιον δια τον ακουσίως φονεύσαντα, την Ραμώθ εις την Γαλαάδ με την βοσκήσιμον περιοχήν της, την Καμίν με την βοσκήσιμον περιοχήν της,

ΙτΝ. 21,39 - καὶ τὴν Ἐσεβὼν καὶ τὰ περισπόρια αὐτῆς καὶ τὴν Ἰαζὴρ καὶ τὰ περισπόρια αὐτῆς, πᾶσαι αἱ πόλεις τέσσαρες.

ΙτΝ. 21,39 - την Εσεβών με την βοσκήσιμον περιοχήν της και την Ιαζήρ με την βοσκήσιμον περιοχήν της, πόλεις εν συνόλω τέσσαρας.

ΙτΝ. 21,40 - πᾶσαι αἱ πόλεις τοῖς υἱοῖς Μεραρὶ κατὰ δήμους αὐτῶν τῶν καταλελειμμένων ἀπὸ τῆς φυλῆς τῆς Λευί· καὶ ἐγενήθη τὰ ὅρια πόλεις δεκαδύο.

ΙτΝ. 21,40 - Ολαι δε αι πόλεις, αι οποίαι παρεχωρήθησαν στους απογόνους του Μεραρί, κατά τας υπολοίπους οικογενείας αυτών από την φυλήν Λευι, ήσαν δώδεκα με τας περιοχάς των.

ΙτΝ. 21,41 - πᾶσαι αἱ πόλεις τῶν Λευιτῶν ἐν μέσῳ κατασχέσεως υἱῶν Ἰσραὴλ τεσσαράκοντα ὀκτὼ πόλεις καὶ τὰ περισπόρια αὐτῶν κύκλῳ τῶν πόλεων τούτων,

ΙτΝ. 21,41 - Εν συνόλω δε αι πόλεις των Λευιτών εν μέσω των κληρονομηθεισών εις τας φυλάς του Ισραήλ περιοχών ήσαν τεσσαράκοντα οκτώ πόλεις με την βοσκήσιμον περιοχήν της εκάστη.

ΙτΝ. 21,42 - πόλις καὶ τὰ περισπόρια κύκλῳ τῆς πόλεως πάσαις ταῖς πόλεσι ταύταις.

ΙτΝ. 21,42 - Καθε πόλις από αυτάς είχε γύρω από αυτήν βοσκήσιμον περιοχήν.

ΙτΝ. 21,42α - Καὶ συνετέλεσεν Ἰησοῦς διαμερίσας τὴν γῆν ἐν τοῖς ὁρίοις αὐτῶν.

ΙτΝ. 21,42[α] - Ετσι δε ετελείωσεν ο Ιησούς του Ναυή τον καθορισμόν των ορίων δι' εκάστην φυλήν εις την γην Χαναάν.

ΙτΝ. 21,42β - καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ μερίδα τῷ Ἰησοῖ κατὰ πρόσταγμα Κυρίου· ἔδωκαν αὐτῷ τὴν πόλιν, ἣν ᾐτήσατο· τὴν Θαμνασαρὰχ ἔδωκαν αὐτῷ ἐν τῷ ὄρει Ἐφραίμ.

ΙτΝ. 21,42β - Οι δε Ισραηλίται έδωσαν στον Ιησούν το μερίδιόν του σύμφωνα με την εντολήν του Κυρίου. Εδωκαν δηλαδή εις αυτόν την πόλιν την οποίαν εζήτησε· του έδωκαν την Θαμνασαράχ στο όρος Εφραίμ.

ΙτΝ. 21,42γ - καὶ ᾠκοδόμησεν Ἰησοῦς τὴν πόλιν καὶ ᾤκησεν ἐν αὐτῇ.

ΙτΝ. 21,42γ - Ο δε Ιησούς ανοικοδόμησε και ωχύρωσε την πόλιν και εγκατεστάθη εις αυτήν.

ΙτΝ. 21,42δ - καὶ ἔλαβεν Ἰησοῦς τὰς μαχαίρας τὰς πετρίνας, ἐν αἷς περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ τοὺς γενομένους ἐν τῇ ὁδῷ ἐν τῇ ἐρήμῳ, καὶ ἔθηκεν αὐτὰς ἐν Θαμνασαράχ.

ΙτΝ. 21,42δ - Ελαβε δε ο Ιησούς τας πετρίνας μαχαίρας με τας οποίας είχε περιτάμει τους Ισραηλίτας, αυτούς που εγεννήθησαν καθ' οδόν μετά την διάβασιν της Ερυθράς Θαλάσσης, και τας έθεσεν εις την πόλιν Θαμνασαράχ.

ΙτΝ. 21,43 - Καὶ ἔδωκε Κύριος τῷ Ἰσραὴλ πᾶσαν τὴν γῆν, ἣν ὤμοσε δοῦναι τοῖς πατράσιν αὐτῶν, καὶ κατεκληρονόμησαν αὐτὴν καὶ κατῴκησαν ἐν αὐτῇ.

ΙτΝ. 21,43 - Ετσι ο Κυριος έδωκεν στον ισραηλιτικόν λαόν όλην την χώραν, την οποίαν είχεν υποσχεθή με όρκον στους πατριάρχας των ότι θα δώση. Οι Ισραηλίται έλαβον την κληρονομίαν αυτήν και εγκατεστάθη κάθε φυλή εις την περιοχήν της.

ΙτΝ. 21,44 - καὶ κατέπαυσεν αὐτοὺς Κύριος κυκλόθεν, καθὰ ὤμοσε τοῖς πατράσιν αὐτῶν· οὐκ ἀντέστη οὐθεὶς κατενώπιον αὐτῶν ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτῶν· πάντας τοὺς ἐχθροὺς αὐτῶν παρέδωκε Κύριος εἰς τὰς χεῖρας αὐτῶν.

ΙτΝ. 21,44 - Ο Κυριος εγκατέστησε και ησφάλισεν αυτούς από τους γύρω λαούς, όπως είχεν υποσχεθή στους πατριάρχας των. Κανείς από τους γύρω των εχθρούς δεν αντεστάθη εις αυτούς. Ο Κυριος παρέδωκεν εις τα χέρια αυτών όλους τους εχθρούς των.

ΙτΝ. 21,45 - οὐ διέπεσεν ἀπὸ πάντων τῶν ῥημάτων τῶν καλῶν, ὧν ἐλάλησε Κύριος τοῖς υἱοῖς Ἰσραήλ· πάντα παρεγένετο.

ΙτΝ. 21,45 - Από όλας τας ωραίας υποσχέσεις, που είχε δώσει ο Κυριος στους Ισραηλίτας, καμμία δεν έμεινεν ανεκπλήρωτος. Ολαι εξεπληρώθησαν.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 22

ΙτΝ. 22,1 - Τότε συνεκάλεσεν Ἰησοῦς τοὺς υἱοὺς Ῥουβὴν καὶ τοὺς υἱοὺς Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ

ΙτΝ. 22,1 - Τοτε ο Ιησούς προσεκάλεσε την φυλήν Ρουβήν, την φυλήν Γαδ και την ημίσειαν από την φυλήν Μανασσή,

ΙτΝ. 22,2 - καὶ εἶπεν αὐτοῖς· ὑμεῖς ἀκηκόατε πάντα, ὅσα ἐνετείλατο ὑμῖν Μωυσῆς ὁ παῖς Κυρίου, καὶ ὑπηκούσατε τῆς φωνῆς μου κατὰ πάντα ὅσα ἐνετειλάμην ὑμῖν.

ΙτΝ. 22,2 - και είπε προς αυτούς· “σεις έχετε πράγματι υπακούσει εις όλα όσα ο Μωϋσής, ο δούλος του Κυρίου, σας διέταξε. Υπηκούσατε επίσης και εις την ιδικήν μου φωνήν, εις όλα όσα εγώ σας διέταξα.

ΙτΝ. 22,3 - οὐκ ἐγκαταλελοίπατε τοὺς ἀδελφοὺς ὑμῶν ταύτας τὰς ἡμέρας καὶ πλείους ἕως τῆς σήμερον ἡμέρας· ἐφυλάξασθε τὴν ἐντολὴν Κυρίου τοῦ Θεοῦ ὑμῶν.

ΙτΝ. 22,3 - Δεν εγκατελείψατε τους αδελφούς σας Ισραηλίτας καθ' όλον το μακρόν διάστημα δια την κατάκτησιν της Χαναάν μέχρι την σημερινήν ημέραν. Ετηρήσατε την εντολήν Κυρίου του Θεού σας.

ΙτΝ. 22,4 - νῦν δὲ κατέπαυσε Κύριος ὁ Θεὸς ἡμῶν τοὺς ἀδελφοὺς ἡμῶν, ὃν τρόπον εἶπεν αὐτοῖς· νῦν οὖν ἀποστραφέντες ἀπέλθατε εἰς τοὺς οἴκους ὑμῶν καὶ εἰς τὴν γῆν τῆς κατασχέσεως ὑμῶν, ἣν ἔδωκεν ὑμῖν Μωυσῆς ἐν τῷ πέραν τοῦ Ἰορδάνου.

ΙτΝ. 22,4 - Τωρα Κυριος ο Θεός μας εγκατέστησε τους αδελφούς μας, όπως είχεν υποσχεθή εις αυτούς. Και λοιπόν τώρα επιστρέψατε και σεις και πηγαίνετε στους οίκους σας, εις την χώραν της ιδιοκτησίας σας, την οποίαν σας έδωοεν ο Μωϋσής ανατολικώς από τον Ιορδάνην.

ΙτΝ. 22,5 - ἀλλὰ φυλάξασθε σφόδρα ποιεῖν τὰς ἐντολὰς καὶ τὸν νόμον, ὃν ἐνετείλατο ἡμῖν ποιεῖν Μωυσῆς ὁ παῖς Κυρίου, ἀγαπᾶν Κύριον τὸν Θεὸν ἡμῶν, πορεύεσθαι πάσαις ταῖς ὁδοῖς αὐτοῦ, φυλάξασθαι τὰς ἐντολὰς αὐτοῦ καὶ προσκεῖσθαι αὐτῷ καὶ λατρεύειν αὐτῷ ἐξ ὅλης τῆς διανοίας ὑμῶν καὶ ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν.

ΙτΝ. 22,5 - Προσέξατε όμως πάρα πολύ ώστε να τηρήτε τας εντολάς του Θεού και όλον γενικώς τον νόμον του, τον οποίον ο Μωϋσής ο δούλος του Θεού, διέταξεν ημάς να τηρούμεν και να εφαρμόζωμεν· δηλαδή να αγαπώμεν Κυριον τον Θεόν μας, να πορευώμεθα στους δρόμους των εντολών του, να φυλάττωμεν τας εντολάς του, να είμεθα προσκεκολλημένοι εις αυτόν. Αυτόν μόνον να λατρεύετε με όλην σας την καρδίαν και με όλην σας την ψυχήν".

ΙτΝ. 22,6 - καὶ εὐλόγησεν αὐτοὺς Ἰησοῦς καὶ ἐξαπέστειλεν αὐτούς, καὶ ἐπορεύθησαν εἰς τοὺς οἴκους αὐτῶν.

ΙτΝ. 22,6 - Ευλόγησε τότε αυτούς ο Ιησούς και τους κατευώδωσεν. Αυτοί δε επορεύθησαν στους οίκους των.

ΙτΝ. 22,7 - καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ ἔδωκε Μωυσῆς ἐν τῇ Βασανίτιδι, καὶ τῷ ἡμίσει ἔδωκεν Ἰησοῦς μετὰ τῶν ἀδελφῶν αὐτοῦ ἐν τῷ πέραν τοῦ Ἰορδάνου παρὰ τὴν θάλασσαν. καὶ ἡνίκα ἐξαπέστειλεν αὐτοὺς Ἰησοῦς εἰς τοὺς οἴκους αὐτῶν καὶ εὐλόγησεν αὐτούς,

ΙτΝ. 22,7 - Ο Μωϋσής είχε δώσει στο ήμισυ της φυλής Μανασσή ένα τμήμα από την χώραν Βασάν, ο δε Ιησούς του Ναυή έδωκεν επίσης μερίδιον στο άλλο ήμισυ της φυλής Μανασσή εις την εντεύθεν του Ιορδάνου προς δυσμάς περιοχήν, όπως έδωσε και εις τας άλλας φυλάς του Ισραήλ. Οταν δε ο Ιησούς απέστειλεν αυτούς στους οίκους των τους ηυλόγησεν.

ΙτΝ. 22,8 - καὶ ἐν χρήμασι πολλοῖς ἀπήλθοσαν εἰς τοὺς οἴκους αὐτῶν, καὶ κτήνη πολλὰ σφόδρα καὶ ἀργύριον καὶ χρυσίον καὶ σίδηρον καὶ ἱματισμὸν πολὺν διείλαντο τὴν προνομὴν τῶν ἐχθρῶν μετὰ τῶν ἀδελφῶν αὐτῶν.

ΙτΝ. 22,8 - Εκείνοι δε με εφόδια πολλά απήλθον εις τας οικογενείας των πέραν του Ιορδάνου με κτήνη πάρα πολλά, με πολύ χρυσίον και αργύριον

και σίδηρον και πολύν ιματισμόν, διότι ούτοι διεμοιράσθησαν μαζή με τους άλλους αδελφούς των Ισραηλίτας τα λάφυρα των εχθρών των.

ΙτΝ. 22,9 - Καὶ ἐπορεύθησαν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἀπὸ τῶν υἱῶν Ἰσραὴλ ἐκ Σηλὼ ἐν γῇ Χαναὰν ἀπελθεῖν εἰς τὴν Γαλαὰδ εἰς γῆν κατασχέσεως αὐτῶν, ἣν ἐκληρονόμησαν αὐτὴν διὰ προστάγματος Κυρίου ἐν χειρὶ Μωυσῆ.

ΙτΝ. 22,9 - Η φυλή του Ρουβήν, η φυλή του Γαδ και το ήμισυ της φυλής του Μανασσή ανεχώρησαν από την Σηλώ που ευρίσκεται εις την γην Χαναάν, δια να πορευθούν εις την χώραν, την οποίαν θα είχον πλέον υπό την κατοχήν των, και την οποίαν έλαβον ως κληρονομίαν από τον Μωϋσήν κατόπιν εντολής του Κυρίου.

ΙτΝ. 22,10 - καὶ ἦλθον εἰς Γάλγαλα τοῦ Ἰορδάνου, ἥ ἐστιν ἐν γῇ Χαναάν, καὶ ᾠκοδόμησαν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἐκεῖ βωμὸν ἐπὶ τοῦ Ἰορδάνου, βωμὸν μέγαν τοῦ ἰδεῖν.

ΙτΝ. 22,10 - Ηλθον εις Γαλγαλα, πλησίον του Ιορδάνου η πόλις αυτή ευρίσκεται εις την γην Χαναάν και ανοικοδόμησαν αι φυλαί αυταί, Ρουβήν, Γαδ και το ήμισυ της φυλής Μανασσή, βωμόν εκεί μεγάλον και περίβλεπτον.

ΙτΝ. 22,11 - καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ λεγόντων· ἰδοὺ ᾠκοδομήκασιν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ βωμὸν ἐφ᾿ ὁρίων γῆς Χαναὰν ἐπὶ τοῦ Γαλαὰδ τοῦ Ἰορδάνου ἐν τῷ πέραν υἱῶν Ἰσραήλ.

ΙτΝ. 22,11 - Οι άλλοι Ισραηλίται ήκουσαν να λέγεται· “ιδού ! Η φυλή Ρουβήν, η φυλή Γαδ και το ήμισυ της φυλής Μανασσή ανοικοδόμησιν βωμόν εντός των ορίων της Χαναάν, εις την χώραν Γαλαάδ του Ιορδάνου ανατολικώς από τους άλλους Ισραηλίτας”.

ΙτΝ. 22,12 - καὶ συνηθροίσθησαν πάντες οἱ υἱοὶ Ἰσραὴλ εἰς Σηλώ, ὥστε ἀναβάντες ἐκπολεμῆσαι αὐτούς.

ΙτΝ. 22,12 - Ολοι οι άλλοι Ισραηλίται συνεκεντρώθησαν εις Σηλώ δια να πολεμήσουν αυτούς εκεί.

ΙτΝ. 22,13 - καὶ ἀπέστειλαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς τοὺς υἱοὺς Ῥουβὴν καὶ πρὸς τοὺς υἱοὺς Γὰδ καὶ πρὸς τοὺς υἱοὺς ἥμισυ φυλῆς Μανασσῆ εἰς γῆν Γαλαὰδ τόν τε Φινεὲς υἱὸν Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἀρχιερέως

ΙτΝ. 22,13 - Προηγουμένως όμως απέστειλαν οι Ισραηλίται προς την φυλήν Ρουβήν, την φυλήν Γαδ και το ήμισυ της φυλής Μανασσή εις την χώραν Γαλαάδ τον Φινεές υιόν του Ελεάζαρ υιού του αρχιερέως Ααρών,

ΙτΝ. 22,14 - καὶ δέκα τῶν ἀρχόντων μετ᾿ αὐτοῦ, ἄρχων εἷς ἀπὸ οἴκου πατριᾶς ἀπὸ πασῶν φυλῶν Ἰσραήλ· ἄρχοντες οἴκων πατριῶν εἰσι, χιλίαρχοι Ἰσραήλ.

ΙτΝ. 22,14 - και μαζή με αυτόν δέκα άρχοντας, ένα από κάθε πατριαρχικήν οικονένειαν από όλας τας φυλάς του Ισραήλ. Αυτοί ήσαν

άρχοντες των πατριαρχικών οικογενειών χιλίαρχοι μεταξύ των Ισραηλιτών.

ΙτΝ. 22,15 - καὶ παρεγένοντο πρὸς τοὺς υἱοὺς Ῥουβὴν καὶ πρὸς τοὺς υἱοὺς Γὰδ καὶ πρὸς τοὺς ἡμίσεις φυλῆς Μανασσῆ εἰς γῆν Γαλαὰδ καὶ ἐλάλησαν πρὸς αὐτοὺς λέγοντες·

ΙτΝ. 22,15 - Αυτοί ήλθαν εκεί όπου ήσαν αι φυλαί Ρουβήν, Γαδ και το ήμισυ της φυλής Μανασσή, εις την χώραν Γαλαάδ και είπαν προς αυτούς.

ΙτΝ. 22,16 - τάδε λέγει πᾶσα ἡ συναγωγὴ Κυρίου· τίς ἡ πλημμέλεια αὕτη, ἣν ἐπλημμελήσατε ἐναντίον τοῦ Θεοῦ Ἰσραήλ, ἀποστραφῆναι σήμερον ἀπὸ Κυρίου οἰκοδομήσαντες ὑμῖν ἑαυτοῖς βωμόν, ἀποστάτας ὑμᾶς γενέσθαι ἀπὸ τοῦ Κυρίου;

ΙτΝ. 22,16 - “Αυτά λέγει προς σας όλος ο λαός του Κυρίου. Εσκεφθήκατε πόσον μεγάλη είναι η αμαρτία αυτή, την οποίαν διεπράξατε ενώπιον του Θεού του Ισραήλ, ώστε να αποστατήσετε σήμερον από τον Κυριον οικοδομούντες σεις δια τον εαυτόν σας βωμόν και να γίνετε έτσι αποστάται από τον Κυριον;

ΙτΝ. 22,17 - μὴ μικρὸν ὑμῖν τὸ ἁμάρτημα Φογώρ; ὅτι οὐκ ἐκαθαρίσθημεν ἀπ᾿ αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης καὶ ἐγενήθη πληγὴ ἐν τῇ συναγωγῇ Κυρίου.

ΙτΝ. 22,17 - Μηπως είναι μικρόν και ασήμαντον το αμάρτημα, το οποίον διεπράξατε εις Φογώρ; Είναι βαρύ και μέγα. Και απόδειξις ότι μέχρι της ημέρας αυτής δεν έχομεν εξαγνισθή ακόμη καίτοι σκληρώς ετιμωρήθη ο λαός του Κυρίου.

ΙτΝ. 22,18 - καὶ ὑμεῖς ἀπεστράφητε σήμερον ἀπὸ Κυρίου; καὶ ἔσται ἐὰν ἀποστῆτε σήμερον ἀπὸ Κυρίου, καὶ αὔριον ἐπὶ πάντα Ἰσραὴλ ἔσται ἡ ὀργή.

ΙτΝ. 22,18 - Και παρ' όλα αυτά σεις σήμερον απεστατήσατε από τον Κυριον; Εάν πράγματι σήμερον εγινατε αποστάται από τον Κυριον, αύριον θα εκσπάση η οργή του Κυρίου εναντίον όλου του ισραηλιτικού λαού.

ΙτΝ. 22,19 - καὶ νῦν εἰ μικρὰ ἡ γῆ ὑμῶν τῆς κατασχέσεως ὑμῶν, διάβητε εἰς τὴν γῆν τῆς Κυρίου κατασχέσεως, οὗ κατασκηνοῖ ἐκεῖ ἡ σκηνὴ Κυρίου, καὶ κατακληρονομήσατε ἐν ἡμῖν· καὶ μὴ ἀπὸ Θεοῦ ἀποστάται γενήθητε καὶ ὑμεῖς μηδ᾿ ἀπόστητε ἀπὸ Κυρίου διὰ τὸ οἰκοδομῆσαι ὑμᾶς βωμὸν ἔξω τοῦ θυσιαστηρίου Κυρίου τοῦ Θεοῦ ἡμῶν.

ΙτΝ. 22,19 - Και τώρα, εάν έχετε την γνώμην ότι η χώρα της κληρονομίας σας είναι μικρά, διαβήτε τον Ιορδάνην, επιστρέψατε εις την περιοχήν που ανήκει στον Κυριον εκεί όπου ευρίσκεται η Σκηνή του Μαρτυρίου και εγκατασταθήτε μεταξύ μας. Αλλά μη αποστατήτε από τον Θεόν. Μη αποστατήτε από τον Κυριον και μη οικοδομήτε βωμόν έξω από το θυσιαστήριον Κυρίου του Θεού μας.

ΙτΝ. 22,20 - οὐκ ἰδοὺ Ἄχαρ ὁ τοῦ Ζαρᾶ πλημμελείᾳ ἐπλημμέλησεν ἀπὸ τοῦ ἀναθέματος καὶ ἐπὶ πᾶσαν συναγωγὴν Ἰσραὴλ ἐγενήθη ὀργή; καὶ οὗτος εἷς αὐτὸς ἀπέθανε τῇ ἑαυτοῦ ἁμαρτίᾳ.

ΙτΝ. 22,20 - Δεν ενθυμείσθε, ότι, όταν ο Αχαρ ο υιός του Ζαρά διέπραξεν αμάρτημα κρατήσας από τα αφιερώματα του Θεού, η θεία οργή εξέσπασεν εναντίον όλου του Ισραηλιτικού λαού; Και αυτός ο αμαρτήσας ήτο ένας, ο οποίος άλλωστε και ετιμωρήθη δια την αμαρτίαν του”.

ΙτΝ. 22,21 - Καὶ ἀπεκρίθησαν οἱ υἱοὶ Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ καὶ ἐλάλησαν τοῖς χιλιάρχοις Ἰσραὴλ λέγοντες·

ΙτΝ. 22,21 - Η φυλή του Ρουβήν, η φυλή του Γαδ και το ήμισυ της φυλής Μανασσή απεκρίθησαν και είπαν στους χιλιάρχους του ισραηλιτικού λαού·

ΙτΝ. 22,22 - ὁ Θεὸς Θεὸς Κύριός ἐστι, καὶ ὁ Θεὸς Θεὸς αὐτὸς οἶδε, καὶ Ἰσραὴλ αὐτὸς γνώσεται· εἰ ἐν ἀποστασίᾳ ἐπλημμελήσαμεν ἔναντι τοῦ Κυρίου, μὴ ῥύσαιτο ἡμᾶς ἐν τῇ ἡμέρᾳ ταύτῃ·

ΙτΝ. 22,22 - “ο Θεός ημών είναι ο μόνος αληθινός Θεός και Κυριος. Αυτός ο Θεός και Κυριος γνωρίζει την σκέψιν και την πράξιν μας, θα μάθη δε και ο ισραηλιτικός λαός. Εάν εις ένδειξιν αποστασίας διεπράξαμεν τούτο απέναντι του Κυρίου, ας μας τιμωρήση κατ' αυτήν ταύτην την ημέραν !

ΙτΝ. 22,23 - καὶ εἰ ᾠκοδομήσαμεν ἑαυτοῖς βωμὸν ὥστε ἀποστῆναι ἀπὸ Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὥστε ἀναβιβάσαι ἐπ᾿ αὐτὸν θυσίαν ὁλοκαυτωμάτων ἢ ὥστε ποιῆσαι ἐπ᾿ αὐτοῦ θυσίαν σωτηρίου, Κύριος ἐκζητήσει.

ΙτΝ. 22,23 - Εάν εκτίσαμεν τον βωμόν αυτόν δια τους εαυτούς μας, ώστε να αποστατήσωμεν από Κυριον τον Θεόν μας και να αναβιβάσωμεν στον βωμόν θυσίαν ολοκαυτώματος η να προσφέρωμεν θυσίαν σωτηρίας, ο Κυριος ας μας ζητήση ευθύνας και ας μας τιμωρήση.

ΙτΝ. 22,24 - ἀλλ᾿ ἕνεκεν εὐλαβείας ῥήματος ἐποιήσαμεν τοῦτο λέγοντες· ἵνα μὴ εἴπωσιν αὔριον τὰ τέκνα ὑμῶν τοῖς τέκνοις ἡμῶν, τί ὑμῖν καὶ Κυρίῳ τῷ Θεῷ Ἰσραήλ;

ΙτΝ. 22,24 - Αλλά μάθετε ότι αυτό που εκάμαμεν το εκάμαμεν από ευλαβή ελατήρια σκεφθέντες ότι ήτο ενδεχόμενον αύριον τα τέκνα σας να είπουν εις τα ιδικά μας τέκνα· Τι το κοινόν υπάρχει εις σας και εις Κυριον τον Θεόν του ισραηλιτικού λαού;

ΙτΝ. 22,25 - καὶ ὅρια ἔθηκε Κύριος ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν τὸν Ἰορδάνην, καὶ οὐκ ἔστιν ὑμῖν μερὶς Κυρίου. καὶ ἀπαλλοτριώσουσιν οἱ υἱοὶ ὑμῶν τοὺς υἱοὺς ἡμῶν, ἵνα μὴ σέβωνται Κύριον.

ΙτΝ. 22,25 - Ο Κυριος έθεσεν όρια μεταξύ μας και μεταξύ σας τον Ιορδάνην ποταμόν. Καμμίαν λοιπόν μερίδα κληρονομίας δεν έχετε σεις εις την γην της επαγγελίας του Κυρίου. Ετσι δε τα παιδιά σας θα αποξενώσουν τα παιδιά μας, ώστε να μη σέβωνται πλέον τον Κυριον.

ΙτΝ. 22,26 - καὶ εἴπαμεν ποιῆσαι οὕτω, τοῦ οἰκοδομῆσαι τὸν βωμὸν τοῦτον οὐχ ἕνεκεν καρπωμάτων οὐδὲ ἕνεκεν θυσιῶν,

ΙτΝ. 22,26 - Λια τούτο ημείς είπομεν και απεφασίσαμεν να ενεργήσωμεν τοιουτοτρόπως, να κτίσωμεν δηλαδή τον βωμόν αυτόν, όχι δια να προσφέρωμεν θυσίας αιματηράς και αναιμάκτους,

ΙτΝ. 22,27 - ἀλλ᾽ ἵνα ᾖ τοῦτο μαρτύριον ἀνὰ μέσον ἡμῶν καὶ ὑμῶν καὶ ἀνὰ μέσον τῶν γενεῶν ἡμῶν μεθ᾽ ἡμᾶς, τοῦ λατρεύειν λατρείαν Κυρίου ἐναντίον αὐτοῦ, ἐν τοῖς καρπώμασιν ἡμῶν καὶ ἐν ταῖς θυσίαις ἡμῶν καὶ ἐν ταῖς θυσίαις τῶν σωτηρίων ἡμῶν· καὶ οὐκ ἐροῦσι τὰ τέκνα ὑμῶν τοῖς τέκνοις ἡμῶν αὔριον· οὐκ ἔστιν ὑμῖν μερὶς Κυρίου.

ΙτΝ. 23,27 - αλλά δια να γίνη μία μαρτυρία ο βωμός αυτός μεταξύ σας και μεταξύ μας και στους απογόνους μας ύστερα από ημάς, δια να προσφέρωμεν όλοι λατρείαν ενώπιον του αυτού Κυρίου με αιματηράς και αναιμάκτους θυσίας και με τας θυσίας μας του σωτηρίου· και έτσι δεν θα είπουν αύριον τα τέκνα σας εις τα τέκνα μας, ότι δεν έχετε μέρος ενώπιον του Κυρίου.

ΙτΝ. 22,28 - καὶ εἴπομεν· ἐὰν γένηταί ποτε καὶ λαλήσωσι πρὸς ἡμᾶς καὶ ταῖς γενεαῖς ἡμῶν αὔριον, καὶ ἐροῦσιν· ἴδετε ὁμοίωμα τοῦ θυσιαστηρίου Κυρίου, ὃ ἐποίησαν οἱ πατέρες ἡμῶν οὐχ ἕνεκεν καρπωμάτων οὐδὲ ἕνεκεν θυσιῶν, ἀλλὰ μαρτύριόν ἐστιν ἀνὰ μέσον ὑμῶν καὶ ἀνὰ μέσον ἡμῶν καὶ ἀνὰ μέσον τῶν υἱῶν ἡμῶν.

ΙτΝ. 22,28 - Εσκέφθημεν και είπομεν, εάν συμβή και ομιλήσουν ποτέ έτσι οι απόγονοί σας εις ημάς και τους απογόνους μας, οι απόγονοί μας θα είπουν· Ιδέτε, ομοίωμα του θυσιαστηρίου του Κυρίου είναι ο βωμός, τον οποίον έκτισαν οι πατέρες μας όχι δια να προσφέρουν θυσίας αιματηράς και αναιμάκτους, αλλά δια να είναι τρανή μαρτυρία μεταξύ σας και μεταξύ μας και μεταξύ των απογόνων μας.

ΙτΝ. 22,29 - μὴ γένοιτο οὖν ἡμᾶς ἀποστραφῆναι ἀπὸ Κυρίου ἐν τῇ σήμερον ἡμέρᾳ ἀποστῆναι ἀπὸ Κυρίου, ὥστε οἰκοδομῆσαι ἡμᾶς θυσιαστήριον τοῖς καρπώμασι καὶ ταῖς θυσίαις Σαλαμὶν καὶ τῇ θυσίᾳ τοῦ σωτηρίου, πλὴν τοῦ θυσιαστηρίου Κυρίου, ὅ ἐστιν ἐναντίον τῆς σκηνῆς αὐτοῦ.

ΙτΝ. 22,29 - Μη γένοιτο λοιπόν ποτέ να απομακρυνθώμεν ημείς και να αποστατήσωμεν από τον Κυριον κατά την ημέραν αυτήν, ώστε να ανοικοδομήσωμεν ημείς άλλο θυσιαστήριον δια τας αιματηράς και αναιμάκτους θυσίας, δια τας θυσίας σωτηρίου, εκτός από το ένα και μόνον θυσιαστήριον του Κυρίου, το οποίον υπάρχει ενώπιον της Σκηνής του Μαρτυρίου”.

ΙτΝ. 22,30 - Καὶ ἀκούσας Φινεὲς ὁ ἱερεὺς καὶ πάντες οἱ ἄρχοντες τῆς συναγωγῆς Ἰσραήλ, οἳ ἦσαν μετ᾽ αὐτοῦ, τοὺς λόγους, οὓς ἐλάλησαν οἱ υἱοὶ

Ῥουβὴν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ, καὶ ἤρεσεν αὐτοῖς.

ΙτΝ. 22,30 - Ο ιερεύς Φινεές και όλοι οι άρχοντες του ισραηλιτικού λαού, που ήσαν μαζή του, όταν ήκουσαν τας εξηγήσεις, τας οποίας είπαν η φυλή Ρουβήν, η φυλή Γαδ και το ήμισυ της φυλής Μανασσή ηυχαριστήθησαν.

ΙτΝ. 22,31 - καὶ εἶπε Φινεὲς ὁ ἱερεὺς τοῖς υἱοῖς Ῥουβὴν καὶ τοῖς υἱοῖς Γὰδ καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ· σήμερον ἐγνώκαμεν ὅτι μεθ᾿ ἡμῶν Κύριος, διότι οὐκ ἐπλημμελήσατε ἐναντίον Κυρίου πλημμέλειαν καὶ ὅτι ἐῤῥύσασθε τοὺς υἱοὺς Ἰσραὴλ ἐκ χειρὸς Κυρίου.

ΙτΝ. 22,31 - Είπε δε ο ιερεύς Φινεές εις την φυλήν Ρουβήν, εις την φυλήν Γαδ και στο ήμισυ της φυλής Μανασσή· “σήμερον εγνωρίσαμεν καλά και επείσθημεν ότι ο Κυριος είναι μαζή μας, διότι δεν διεπράξατε αμαρτίαν ενώπιον του Κυρίου και ότι εγλυτώσατε τους Ισραηλίτας από την τιμωρόν χείρα του Κυρίου”.

ΙτΝ. 22,32 - καὶ ἀπέστρεψε Φινεὲς ὁ ἱερεὺς καὶ οἱ ἄρχοντες ἀπὸ τῶν υἱῶν Ῥουβὴν καὶ ἀπὸ τῶν υἱῶν Γὰδ καὶ ἀπὸ τοῦ ἡμίσους φυλῆς Μανασσῆ ἐκ τῆς Γαλαὰδ εἰς γῆν Χαναὰν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ καὶ ἀπεκρίθησαν αὐτοῖς τοὺς λόγους,

ΙτΝ. 22,32 - Ο Φινεές ο ιερεύς μαζή δέ με αυτόν οι άρχοντες της φυλής Ρουβήν, της φυλής Γαδ και του ημίσεος της φυλής Μανασσή επέστρεψαν από την περιοχήν Γαλαάδ εις την Χαναάν προς τους Ισραηλίτας και ανεκοίνωσαν εις αυτούς τους ανωτέρω λόγους.

ΙτΝ. 22,33 - καὶ ἤρεσε τοῖς υἱοῖς Ἰσραήλ. καὶ ἐλάλησαν πρὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ εὐλόγησαν τὸν Θεὸν υἱῶν Ἰσραὴλ καὶ εἶπαν μηκέτι ἀναβῆναι πρὸς αὐτοὺς εἰς πόλεμον ἐξολοθρεῦσαι τὴν γῆν τῶν υἱῶν Ῥουβὴν καὶ τῶν υἱῶν Γὰδ καὶ τοῦ ἡμίσους φυλῆς Μανασσῆ. καὶ κατῴκησαν ἐπ᾿ αὐτῆς.

ΙτΝ. 22,33 - Ηυχαριστήθησαν δε οι Ισραηλίται από αυτά. Οι δε κήρυκες τα διελάλησαν στον λαόν. Και οι Ισραηλίται εδοξολόγησαν τον Θεόν των, έλαβον και είπον την απόφασίν των να μη ξεκινήσουν προς πόλεμον εναντίον αυτών, δια να εξολοθρεύσουν την χώραν της φυλής Ρουβήν, της φυλής Γαδ και του ημίσεος της φυλής Μανασσή. Και κατώκησαν όλοι εις την ορισθείσαν δι' αυτούς περιοχήν.

ΙτΝ. 22,34 - καὶ ἐπωνόμασεν Ἰησοῦς τὸν βωμὸν τῶν Ῥουβὴν καὶ τῶν Γὰδ καὶ τοῦ ἡμίσους φυλῆς Μανασσῆ καὶ εἶπεν ὅτι μαρτύριόν ἐστιν ἀνὰ μέσον αὐτῶν, ὅτι Κύριος ὁ Θεὸς αὐτῶν ἐστι.

ΙτΝ. 22,34 - Ο δε Ιησούς επωνόμασε τον βωμόν, τον οποίον είχαν ανοικοδομήσει η φυλή Ρουβήν, η φυλή Γαδ και το ήμισυ της φυλής Μανασσή και είπεν· “ο βωμός αυτός είναι μαρτυρία μεταξύ των ότι Κυριος ο Θεός είναι αληθώς ο Θεός των”.

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 23

ΙτΝ. 23,1 - Καὶ ἐγένετο μεθ᾿ ἡμέρας πλείους μετὰ τὸ καταπαῦσαι Κύριον τὸν Ἰσραὴλ ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κυκλόθεν, καὶ Ἰησοῦς πρεσβύτερος προβεβηκὼς ταῖς ἡμέραις,

ΙτΝ. 23,1 - Επειτα από πολύν καιρόν, αφού κατέπαυσαν οι πόλεμοι από όλους τους κύκλω εχθρούς και εγκατέστησεν ο Κυριος τους Ισραηλίτας, ο Ιησούς εγήρασε πλέον και είχε προχωρήσει πολύ εις την ηλικίαν.

ΙτΝ. 23,2 - καὶ συνεκάλεσεν Ἰησοῦς πάντας τοὺς υἱοὺς Ἰσραὴλ καὶ τὴν γερουσίαν αὐτῶν καὶ τοὺς ἄρχοντας αὐτῶν καὶ τοὺς δικαστὰς αὐτῶν καὶ τοὺς γραμματεῖς αὐτῶν καὶ εἶπε πρὸς αὐτούς· ἐγὼ γεγήρακα καὶ προβέβηκα ταῖς ἡμέραις.

ΙτΝ. 23,2 - Προσεκάλεσε τότε όλους τους Ισραηλίτας, την γερουσίαν αυτών, τους αρχηγούς των, τους δικαστάς των και τους γραμματείς αυτών και τους είπεν· “εγώ εγήρασα πλέον, έχω προχωρήσει εις τα χρόνια της ζωής μου.

ΙτΝ. 23,3 - ὑμεῖς δὲ ἑωράκατε ὅσα ἐποίησε Κύριος ὁ Θεὸς ἡμῶν πᾶσι τοῖς ἔθνεσι τούτοις ἀπὸ προσώπου ἡμῶν, ὅτι Κύριος ὁ Θεὸς ὑμῶν ὁ ἐκπολεμήσας ὑμῖν.

ΙτΝ. 23,3 - Σεις είδατε όλα όσα έκαμε Κυριος ο Θεός μας εις όλα τα έθνη αυτά ενώπιον των οφθαλμών σας· ότι δηλαδή Κυριος ο Θεός σας ήτο εκείνος, ο οποίος επολέμησε δια σας.

ΙτΝ. 23,4 - ἴδετε ὅτι ἐπέῤῥιφα ὑμῖν τὰ ἔθνη τὰ καταλελειμμένα ὑμῖν ταῦτα ἐν τοῖς κλήροις εἰς τὰς φυλὰς ὑμῶν· ἀπὸ τοῦ Ἰορδάνου πάντα τά ἔθνη, ἃ ἐξωλόθρευσα, καὶ ἀπὸ τῆς θαλάσσης τῆς μεγάλης ὁριεῖ ἐπὶ δυσμὰς ἡλίου.

ΙτΝ. 23,4 - Είδατε ότι τας χώρας των λαών, οι οποίοι απέμειναν εις την περιοχήν Χαναάν, εμοίρασα εις τας φυλάς σας δια κλήρων, όπως ακριβώς έκαμα και δια τας χώρας των λαών τους οποίους εξωλοθρεύσαμεν ανατολικώς από του Ιορδάνου ποταμού και δυτικώς μέχρι των ορίων της Μεσογείου Θαλάσσης.

ΙτΝ. 23,5 - Κύριος δὲ ὁ Θεὸς ἡμῶν οὗτος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προσώπου ἡμῶν, ἕως ἂν ἀπόλωνται, καὶ ἀποστελεῖ αὐτοῖς τὰ θηρία τὰ ἄγρια, ἕως ἂν ἐξολοθρεύσῃ αὐτοὺς καὶ τοὺς βασιλεῖς αὐτῶν ἀπὸ προσώπου ὑμῶν, καὶ κατακληρονομήσετε τὴν γῆν αὐτῶν, καθὰ ἐλάλησε Κύριος ὁ Θεὸς ἡμῶν ὑμῖν.

ΙτΝ. 23,5 - Κυριος ο Θεός μας αυτός και θα εξολοθρεύση από εμπρός σας τους απομείναντας εχθρούς σας μέχρις ότου καταστραφούν εξ ολοκλήρου· τα θηρία τα άγρια θα εξαπολύση εναντίον των δια να εξολοθρεύση από εμπρός σας αυτούς και τους βασιλείς των και έτσι να

γίνετε σεις κύριοι και κληρονόμοι της χώρας των, όπως έχει υποσχεθή εις σας Κυριος ο Θεός μας.

ΙτΝ. 23,6 - κατισχύσατε οὖν σφόδρα φυλάσσειν καὶ ποιεῖν πάντα τὰ γεγραμμένα ἐν τῷ βιβλίῳ τοῦ νόμου Μωυσῆ, ἵνα μὴ ἐκκλίνητε εἰς δεξιὰ ἢ εὐώνυμα,

ΙτΝ. 23,6 - Λοιπόν ενισχυθήτε και πάρετε σταθεράν την απόφασιν να φυλάσσετε και να εφαρμόζετε όλα όσα είναι γραμμένα στο βιβλίον του νόμου του Μωϋσή δια να μη παρεκκλίνετε δεξιά η αριστερά.

ΙτΝ. 23,7 - ὅπως μὴ εἰσέλθητε εἰς τὰ ἔθνη τὰ καταλελειμμένα ταῦτα, καὶ τὰ ὀνόματα τῶν θεῶν αὐτῶν οὐκ ὀνομασθήσεται ἐν ὑμῖν, οὐδὲ μὴ λατρεύσητε οὐδὲ μὴ προσκυνήσητε αὐτοῖς,

ΙτΝ. 23,7 - Προσέξατε επίσης να μη έλθετε εις επικρινωνίαν και φιλίαν με τα απομείναντα εις την γην Χαναάν ειδωλολατρικά έθνη· ούτε καν και τα ονόματα των θεών των δεν θα αναφέρωνται μεταξύ σας· πολύ δε περισσότερον δεν θα λατρεύσετε ούτε και θα προσκυνήσετε αυτούς.

ΙτΝ. 23,8 - ἀλλὰ Κυρίῳ τῷ Θεῷ ὑμῶν προσκολληθήσεσθε, καθάπερ ἐποιήσατε ἕως τῆς ἡμέρας ταύτης.

ΙτΝ. 23,8 - Αλλά θα προσκολληθήτε με πίστιν και υπακοήν και λατρείαν εις Κυριον τον Θεόν σας, όπως εκάματε μέχρις αυτής της ημέρας.

ΙτΝ. 23,9 - καὶ ἐξολοθρεύσει αὐτοὺς Κύριος ἀπὸ προσώπου ὑμῶν ἔθνη μεγάλα καὶ ἰσχυρά, καὶ οὐδεὶς ἀντέστη κατενώπιον ἡμῶν ἕως τῆς ἡμέρας ταύτης.

ΙτΝ. 23,9 - Ο δε Κυριος θα εξολοθρεύση από εμπρός σας τους υπολειφθέντας μεγάλους και ισχυρούς εχθρούς, διότι άλλωστε κανείς έχει σήμερον δεν ημπόρεσε να αντισταθή, ενώπιόν σας.

ΙτΝ. 23,10 - εἷς ὑμῶν ἐδίωξε χιλίους, ὅτι Κύριος ὁ Θεὸς ἡμῶν οὗτος ἐξεπολέμει ὑμῖν, καθάπερ εἶπεν ἡμῖν.

ΙτΝ. 23,10 - Εις το παρελθόν ένας από σας κατεδίωξε χιλίους, διότι αυτός ούτος ο Κυριος και Θεός σας επολεμούσε δια σας, όπως σας είχεν υποσχεθή.

ΙτΝ. 23,11 - καὶ φυλάξασθε σφόδρα τοῦ ἀγαπᾶν Κύριον τὸν Θεὸν ἡμῶν.

ΙτΝ. 23,11 - Προσέξατε λοιπόν πάρα πολύ να αγαπάτε πάντοτε Κυριον τον Θεόν μας.

ΙτΝ. 23,12 - ἐὰν γὰρ ἀποστραφῆτε καὶ προσθῆσθε τοῖς ὑπολειφθεῖσιν ἔθνεσι τούτοις τοῖς μεθ᾿ ὑμῶν καὶ ἐπιγαμίας ποιήσητε πρὸς αὐτοὺς καὶ συγκαταμιγῆτε αὐτοῖς καὶ αὐτοὶ ὑμῖν,

ΙτΝ. 23,12 - Εάν όμως και εγκαταλείψετε τον Θεόν προσκολληθήτε δε και έλθετε εις επικοινωνίαν με τα απομείναντα εν μέσω υμών ειδωλολατρικά έθνη και συνάψετε γάμους με αυτά και ανακατευθήτε (και συμφυρθήτε) με αυτούς και εκείνοι με σας,

ΙτΝ. 23,13 - γινώσκετε ὅτι οὐ μὴ προσθῇ Κύριος τοῦ ἐξολοθρεῦσαι τὰ ἔθνη ταῦτα ἀπὸ προσώπου ὑμῶν, καὶ ἔσονται ὑμῖν εἰς παγίδας καὶ εἰς σκάνδαλα καὶ εἰς ἥλους ἐν ταῖς πτέρναις ὑμῶν καὶ εἰς βολίδας ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν, ἕως ἂν ἀπόλησθε ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς ταύτης, ἣν ἔδωκεν ὑμῖν Κύριος ὁ Θεὸς ὑμῶν.

ΙτΝ. 23,13 - μάθετε ότι ο Κυριος δεν θα συνεχίση να εξολοθρεύση από εμπρός σας τα έθνη αυτά. Θα τα αφήση να υπάρχουν και θα γίνουν δια σας παγίδες και σκάνδαλα, καρφιά εις τας πτέρνας σας και αγκάθια εις τα μάτια σας, έως ότου καταστραφήτε σεις από την γην αυτήν την εύφορον και πλουσίαν, την οποίαν Κυριος ο Θεός σας έχει δώσει προς σας.

ΙτΝ. 23,14 - ἐγὼ δὲ ἀποτρέχω τὴν ὁδόν, καθὰ καὶ πάντες οἱ ἐπὶ τῆς γῆς, καὶ γνώσεσθε τῇ καρδίᾳ ὑμῶν καὶ τῇ ψυχῇ ὑμῶν, διότι οὐκ ἔπεσεν εἷς λόγος ἀπὸ πάντων τῶν λόγων, ὧν εἶπε Κύριος ὁ Θεὸς ἡμῶν πρὸς πάντα τὰ ἀνήκοντα ἡμῖν, οὐ διεφώνησεν ἐξ αὐτῶν.

ΙτΝ. 23,14 - Εγώ δε βαδίζω και τελειώνω την οδόν της επιγείου μου ζωής, την οποίαν εβάδισαν όλοι οι άνθρωποι επί της γης. Σεις δε θα αναγνωρίσετε και θα ομολογήσετε με όλην την ψυχήν και την καρδίαν σας την αλήθειαν των λόγων του Κυρίου, διότι κανείς μέχρι σήμερα από όλους τους λόγους τους οποίους είπεν ο Κυριος και απέβλεπαν εις ημάς δεν παρέπεσε και δεν επραγματοποιήθη.

ΙτΝ. 23,15 - καὶ ἔσται ὃν τρόπον ἥκει πρὸς ἡμᾶς πάντα τὰ ῥήματα τὰ καλά, ἃ ἐλάλησε Κύριος ἐφ᾿ ὑμᾶς, οὕτως ἐπάξει Κύριος ὁ Θεὸς ἐφ᾿ ὑμᾶς πάντα τὰ ῥήματα τὰ πονηρὰ ἕως ἂν ἐξολοθρεύσῃ ὑμᾶς ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς ταύτης, ἧς ἔδωκε Κύριος ὑμῖν,

ΙτΝ. 23,15 - Και στο μέλλον θα γίνη όπως και στο παρελθόν. Οπως δηλαδή επραγματοποιήθησαν όλαι αι καλαί υποσχέσεις, τας οποίας έδωσε προς σας ο Κυριος, έτσι αυτός ούτος ο Κυριος και Θεός θα επιφέρη εναντίον σας τιμωρίας δι' όλα τα πονηρά έργα σας, έως ότου σας εξολοθρεύση από την εύφορον και πλουσίαν αυτήν γην την οποίαν σας έχει δώσει·

ΙτΝ. 23,16 - ἐν τῷ παραβῆναι ὑμᾶς τὴν διαθήκην Κυρίου τοῦ Θεοῦ ἡμῶν, ἣν ἐνετείλατο ἡμῖν, καὶ πορευθέντες λατρεύσητε θεοῖς ἑτέροις καὶ προσκυνήσητε αὐτοῖς.

ΙτΝ. 23,16 - τούτο δε εάν παραβήτε την συμφωνίαν σας με Κυριον τον Θεόν μας, την συμφωνίαν την οποίαν και ως εντολήν σας έδωκε, και πρρευθήτε να λατρεύσετε και να προσκυνήσετε θεούς άλλους και όχι αυτόν".

## ΙΗΣΟΥΣ ΤΟΥ ΝΑΥΗ 24

ΙτΝ. 24,1 - Καὶ συνήγαγεν Ἰησοῦς πάσας φυλὰς Ἰσραὴλ εἰς Σηλὼ καὶ συνεκάλεσε τοὺς πρεσβυτέρους αὐτῶν καὶ τοὺς γραμματεῖς αὐτῶν καὶ τοὺς δικαστὰς αὐτῶν καὶ ἔστησεν αὐτοὺς ἀπέναντι τοῦ Θεοῦ.

ΙτΝ. 24,1 - Συνεκέντρωσε πάλιν ο Ιησούς όλας τας φυλάς του Ισραήλ εις Σηλώ. Προσεκάλεσεν ιδιαιτέρως τους πρσεβυτέρους αυτών, τους γραμματείς και τους δικαστάς των και παρήγγειλε να σταθούν όρθιοι ενώπιον της Σκηνής του Μαρτυρίου.

ΙτΝ. 24,2 - καὶ εἶπεν Ἰησοῦς πρὸς πάντα τὸν λαόν· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· πέραν τοῦ ποταμοῦ παρῴκησαν οἱ πατέρες ὑμῶν τὸ ἀπ᾿ ἀρχῆς, Θάρα ὁ πατὴρ Ἀβραὰμ καὶ ὁ πατὴρ Ναχώρ, καὶ ἐλάτρευσαν θεοῖς ἑτέροις.

ΙτΝ. 24,2 - Και είπεν ο Ιησούς προς όλον τον λαόν· “αυτά λέγει Κυριος ο Θεός του Ισραηλιτικού λαού· οι πρόγονοί σας κατώκησαν κατ' αρχάς πέραν και ανατολικώς από τον Ευφράτην ποταμόν, ο Θαρα ο πατήρ του Αβραάμ και πατήρ του Ναχώρ και ελάτρευσαν άλλους θεούς.

ΙτΝ. 24,3 - καὶ ἔλαβον τὸν πατέρα ὑμῶν τὸν Ἀβραὰμ ἐκ τοῦ πέραν τοῦ ποταμοῦ καὶ ὡδήγησα αὐτὸν ἐν πάσῃ τῇ γῇ καὶ ἐπλήθυνα αὐτοῦ σπέρμα

ΙτΝ. 24,3 - Επήρα δε τον πατριάρχην σας Αβραάμ από την πέραν του Ευφράτου ποταμού περιοχήν και ωδήγησα αυτόν εις όλην την χώραν Χαναάν και έκαμα πλήθος πολύ τους απογόνους του.

ΙτΝ. 24,4 - καὶ ἔδωκα αὐτῷ τὸν Ἰσαάκ, καὶ τῷ Ἰσαὰκ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ· καὶ ἔδωκα τῷ Ἡσαῦ τὸ ὄρος τὸ Σηεὶρ κληρονομῆσαι αὐτῷ, καὶ Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ κατέβησαν εἰς Αἴγυπτον καὶ ἐγένοντο ἐκεῖ εἰς ἔθνος μέγα καὶ πολὺ καὶ κραταιόν. καὶ ἐκάκωσαν αὐτοὺς οἱ Αἰγύπτιοι,

ΙτΝ. 24,4 - Εδωκα υιόν αυτού τον Ισαάκ εις δε τον Ισαάκ έδωκα υιούς τον Ιακώβ και τον Ησαύ. Εις τον Ησαύ έδωσα ως κληρονομίαν του και ιδιοκτησίαν του το όρος Σηείρ, ο δε Ιακώβ και οι υιοί του κατέβησαν εις την Αίγυπτον και εκεί έγιναν έθνος μέγα, πολυάριθμον και ισχυρόν. Οι Αιγύπτιοι όμως τους εταλαιπώρησαν και τους εβασάνισαν.

ΙτΝ. 24,5 - καὶ ἐπάταξε Κύριος τὴν Αἴγυπτον ἐν σημείοις, οἷς ἐποίησεν ἐν αὐτοῖς.

ΙτΝ. 24,5 - Αλλ' ο Κυριος εκτύπησε την Αίγυπτον θαυματουργικώς με σκληράς τιμωρίας, τας οποίας απέστειλεν εναντίον των.

ΙτΝ. 24,6 - καὶ μετὰ ταῦτα ἐξήγαγε τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου, καὶ εἰσήλθατε εἰς τὴν θάλασσαν τὴν ἐρυθράν. καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι ὀπίσω τῶν πατέρων ἡμῶν ἐν ἅρμασι καὶ ἐν ἵπποις εἰς τὴν θάλασσαν τὴν ἐρυθράν,

ΙτΝ. 24,6 - Κατόπιν δε έβγαλεν ελευθέρους τους προγόνους μας από την Αίγυπτον και θαυματουργικώς εισήλθον και διήλθον την Ερυθράν

Θαλασσαν. Οι Αιγυπτιοι κατεδίωξαν κατά πόδας τους προγόνους μας με άρματα και με ιππικόν μέσα εις την Ερυθράν Θαλασσαν.

ΙτΝ. 24,7 - καὶ ἀνεβοήσαμεν πρὸς Κύριον, καὶ ἔδωκε νεφέλην καὶ γνόφον ἀναμέσον ἡμῶν καὶ ἀναμέσον τῶν Αἰγυπτίων καὶ ἐπήγαγεν ἐπ᾽ αὐτοὺς τὴν θάλασσαν, καὶ ἐκάλυψεν αὐτούς, καὶ εἴδοσαν οἱ ὀφθαλμοὶ ὑμῶν ὅσα ἐποίησε Κύριος ἐν γῇ Αἰγύπτῳ, καὶ ἦτε ἐν τῇ ἐρήμῳ ἡμέρας πλείους.

ΙτΝ. 24,7 - Τοτε ανεβοήσαμεν όλοι προς τον Κυριον και εκείνος έστειλε νεφέλην και πυκνήν ομίχλην μεταξύ ημών και των Αιγυπτίων, επέφερεν εναντίον των την θάλασσαν, η οποία και τους εσκέπασε. Με τα ίδια σας τα μάτια είδατε όλα όσα έκαμεν ο Κυριος εις την Αίγυπτον. Κατόπιν δε εμείνατε εις την έρημον επί πολύν χρόνον.

ΙτΝ. 24,8 - καὶ ἤγαγεν ἡμᾶς εἰς γῆν Ἀμοῤῥαίων τῶν κατοικούντων πέραν τοῦ Ἰορδάνου, καὶ παρετάξαντο ὑμῖν καὶ παρέδωκεν αὐτοὺς Κύριος εἰς τὰς χεῖρας ὑμῶν, καὶ κατεκληρονομήσατε τὴν γῆν αὐτῶν καὶ ἐξωλοθρεύσατε αὐτοὺς ἀπὸ προσώπου ὑμῶν.

ΙτΝ. 24,8 - Και δια μέσου της ερήμου μας ωδήγησεν ο Κυριος εις την χώραν των Αμορραίων, αυτών οι οποίοι κατοικούν ανατολικώς από τον Ιορδάνην. Αυτοί παρετάχθησαν εις πόλεμον εναντίον σας, αλλά ο Κυριος τους παρέδωσε νικημένους εις τα χέρια σας και έτσι σεις εγίνατε κύριοι και κληρονόμοι της χώρας των και εξολοθρεύσατε αυτούς από τα μάτια σας.

ΙτΝ. 24,9 - καὶ ἀνέστη Βαλὰκ ὁ τοῦ Σεπφὼρ βασιλεὺς Μωὰβ καὶ παρετάξατο τῷ Ἰσραὴλ καὶ ἀποστείλας ἐκάλεσε τὸν Βαλαὰμ ἀράσασθαι ἡμῖν·

ΙτΝ. 24,9 - Εσηκώθη τότε εχθρικώς εναντίον σας ο Βαλάκ υιός του Σεπφώρ, βασιλεύς της Μωάβ και αντιπαρετάχθη κατά του Ισραηλιτικού λαού. Αυτός δε έστειλε και εκάλεσε τον Βαλαάμ, δια να σας καταρασθή.

ΙτΝ. 24,10 - καὶ οὐκ ἠθέλησε Κύριος ὁ Θεός σου ἀπολέσαι σε, καὶ εὐλογίαις εὐλόγησεν ὑμᾶς, καὶ ἐξείλατο ὑμᾶς ἐκ χειρῶν αὐτῶν, καὶ παρέδωκεν αὐτούς.

ΙτΝ. 24,10 - Κυριος όμως ο Θεός σας δεν ηθέλησε να σας καταστρέψη με κατάρας αλλά τουναντίον με ευλογίας πολλάς σας ηυλόγησε, και όχι μόνον σας εγλύτωσε από τα χέρια των εχθρών σας άλλα και παρέδωκεν αυτούς εις τας χείρας σας.

ΙτΝ. 24,11 - καὶ διέβητε τὸν Ἰορδάνην καὶ παρεγενήθητε εἰς Ἱεριχώ· καὶ ἐπολέμησαν πρὸς ἡμᾶς οἱ κατοικοῦντες Ἱεριχώ, ὁ Ἀμοῤῥαῖος καὶ ὁ Χαναναῖος καὶ ὁ Φερεζαῖος καὶ ὁ Εὐαῖος καὶ ὁ Ἰεβουσαῖος καὶ ὁ Χετταῖος καὶ ὁ Γεργεσαῖος, καὶ παρέδωκεν αὐτοὺς Κύριος εἰς τὰς χεῖρας ὑμῶν.

ΙτΝ. 24,11 - Επεράσατε τον Ιορδάνην και εφθάσατε εις την Ιεριχώ. Οι κάτοικοί της επολέμησαν εναντίον σας· επολέμησαν επίσης εναντίον σας οι

Αμορραίοι, οι Χαναναίοι, οι Φερεζαίοι, οι Ευαίοι, οι Ιεβουσσαίοι, οι Χετταίοι και οι Γεργεσαίοι. Ο Κυριος όμως παρέδωκεν όλους αυτούς εις τα χέρια σας.

ΙτΝ. 24,12 - καὶ ἐξαπέστειλε προτέραν ὑμῶν τὴν σφηκιάν, καὶ ἐξαπέστειλεν αὐτοὺς ἀπὸ προσώπου ὑμῶν, δώδεκα βασιλεῖς τῶν Ἀμοῤῥαίων, οὐκ ἐν τῇ ῥομφαίᾳ σου οὐδὲ ἐν τῷ τόξῳ σου.

ΙτΝ. 24,12 - Εξαπέλυσεν εμπρός από σας σμήνη από σφήκας και εξεδίωξεν αυτούς από τα μάτια σας και τους δώδεκα βασιλείς των Αμορραίων. Με την δύναμιν του Κυρίου κατετροπώθησαν αυτοί και όχι με το ιδικόν σου σπαθί και το τόξον σου.

ΙτΝ. 24,13 - καὶ ἔδωκεν ὑμῖν γῆν, ἐφ᾽ ἣν οὐκ ἐκοπιάσατε ἐπ᾽ αὐτῆς, καὶ πόλεις, ἃς οὐκ ᾠκοδομήκατε, καὶ κατῳκίσθητε ἐν αὐταῖς· καὶ ἀμπελῶνας καὶ ἐλαιῶνας, οὓς οὐκ ἐφυτεύσατε ὑμεῖς, ἔδεσθε.

ΙτΝ. 24,13 - Και έδωκεν ο Κυριος εις σας την χώραν, δια την οποίαν δεν εκοπιάσατε, και πόλεις τας οποίας δεν εκτίσατε σεις και εγκατεστάθητε εις αυτάς. Σας έδωσεν αμπελώνας και ελαιώνας τους οποίους δεν εφυτεύσατε σεις, αλλά των οποίων απολαμβάνετε τους καρπούς.

ΙτΝ. 24,14 - καὶ νῦν φοβήθητε Κύριον, καὶ λατρεύσατε αὐτῷ ἐν εὐθύτητι καὶ ἐν δικαιοσύνῃ καὶ περιέλεσθε τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἷς ἐλάτρευσαν οἱ πατέρες ἡμῶν ἐν τῷ πέραν τοῦ ποταμοῦ καὶ ἐν Αἰγύπτῳ, καὶ λατρεύσατε Κυρίῳ.

ΙτΝ. 24,14 - Και τώρα να φοβηθήτε τον Κυριον και να λατρεύσετε αυτόν με ειλικρίνειαν και με αρετήν. Αφαιρέσατε και πετάξατε από την χώραν σας τους ξένους θεούς, τους οποίους κάποτε είχαν λατρεύσει οι προπάτορές σας όταν ευρίσκοντο πέραν από τον ποταμόν τον Ευφράτην και εις την Αίγυπτον και λατρεύσατε τον Κυριον.

ΙτΝ. 24,15 - εἰ δὲ μὴ ἀρέσκει ὑμῖν λατρεύειν Κυρίῳ, ἐκλέξασθε ὑμῖν αὐτοῖς σήμερον, τίνι λατρεύσητε, εἴτε τοῖς θεοῖς τῶν πατέρων ὑμῶν, τοῖς ἐν τῷ πέραν τοῦ ποταμοῦ, εἴτε τοῖς θεοῖς τῶν Ἀμοῤῥαίων, ἐν οἷς ὑμεῖς κατοικεῖτε ἐπὶ τῆς γῆς αὐτῶν· ἐγὼ δὲ καὶ ἡ οἰκία μου λατρεύσομεν Κυρίῳ, ὅτι ἅγιός ἐστι.

ΙτΝ. 24,15 - Εάν όμως δεν σας αρέση να λατρεύετε τον Κυριον, εκλέξατε σεις δια τον εαυτόν σας σήμερον, ποίον θεόν θέλετε να λατρεύσετε, είτε τους θεούς των προγόνων σας που ήσαν πέραν από τον Ευφράτην, είτε τους θεούς των Αμορραίων μεταξύ των οποίων και εις την γην των οποίων κατοικείτε. Σεις κάμετε ο,τι σας αρέσει. Εγώ όμως και η οικογένειά μου θα λατρεύσωμεν τον Κυριον διότι αυτός είναι ο Αγιος".

ΙτΝ. 24,16 - Καὶ ἀποκριθεὶς ὁ λαὸς εἶπε· μὴ γένοιτο ἡμῖν καταλιπεῖν Κύριον, ὥστε λατρεύειν θεοῖς ἑτέροις.

ΙτΝ. 24,16 - Ολος τότε ο λαός απεκρίθη και είπε· "μη γένοιτο να εγκαταλείψωμεν τον Κυριον και να λατρεύσωμεν άλλους θεούς.

ΙτΝ. 24,17 - Κύριος ὁ Θεός ἡμῶν, αὐτὸς Θεός ἐστιν· αὐτὸς ἀνήγαγεν ἡμᾶς καὶ τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου καὶ διεφύλαξεν ἡμᾶς ἐν πάσῃ τῇ ὁδῷ, ᾗ ἐπορεύθημεν ἐν αὐτῇ, καί ἐν πᾶσι τοῖς ἔθνεσιν, οὓς παρήλθομεν δι᾿ αὐτῶν.

ΙτΝ. 24,17 - Κυριος ο Θεός μας αυτός είναι ο αληθινός Θεός. Αυτός ανεβίβασεν ελευθέρους ημάς και τους πατέρας μας από την Αίγυπτον και μας έφερεν έως έδω. Αυτός μας διεφύλαξεν εις όλον τον δρόμον τον οποίον εβαδίσαμεν εις την έρημον και δια μέσου όλων των εθνών, από τα οποία επεράσαμεν.

ΙτΝ. 24,18 - καὶ ἐξέβαλε Κύριος τὸν Ἀμορῤῥαῖον καὶ πάντα τὰ ἔθνη τὰ κατοικοῦντα τὴν γῆν ἀπὸ προσώπου ἡμῶν. ἀλλὰ καὶ ἡμεῖς λατρεύσομεν Κυρίῳ· οὗτος γὰρ Θεὸς ἡμῶν ἐστι.

ΙτΝ. 24,18 - Ο Κυριος εξεδίωξεν από εμπρός μας τους Αμορραίους και όλα τα ειδωλολατρικά έθνη τα οποία κατοικούσαν την χώραν αυτήν. Δι' αυτό, όχι μόνον συ, αλλά και ημείς θα λατρεύσωμεν τον Κυριον διότι αυτός είναι ο Θεός μας”.

ΙτΝ. 24,19 - καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαόν· οὐ μὴ δύνησθε λατρεύειν Κυρίῳ, ὅτι ὁ Θεὸς ἅγιός ἐστι, καὶ ζηλώσας οὗτος οὐκ ἀνήσει τὰ ἁμαρτήματα ὑμῶν καὶ τὰ ἀνομήματα ὑμῶν·

ΙτΝ. 24,19 - Είπεν ο Ιησούς προς τον ισραηλιτικόν λαόν· “σκεφθήτε όμως τούτο· ότι δεν θα ημπορήτε να λατρεύετε τον αληθινόν Θέον, συγχρόνως δε να λατρεύετε και άλλους θεούς, διότι ο Κυριος είναι ο Θεός ο Αγιος· ζηλοτυπεί εάν λατρεύσετε άλλους θεούς και δεν θα ανεχθή τας αμαρτίας σας και τας παρανομίας σας.

ΙτΝ. 24,20 - ἡνίκα ἂν ἐγκαταλίπητε Κύριον καὶ λατρεύσητε θεοῖς ἑτέροις, καὶ ἐπελθὼν κακώσει ὑμᾶς καὶ ἐξαναλώσει ὑμᾶς ἀνθ᾿ ὧν εὖ ἐποίησεν ὑμᾶς.

ΙτΝ. 24,20 - Οταν δηλαδή εγκαταλείψετε τον Κυριον και λατρεύσετε άλλους θεούς θα επέλθη με οργήν εναντίον σας, θα σας τιμωρήση με αυστηρότητα και εάν επιμένετε εις την ειδωλολατρείαν σας θα σας καταστρέψη δια την αχαριστίαν που θα δείξετε εις αυτόν απέναντι των ευεργεσιών που σας έχει κάμει”.

ΙτΝ. 24,21 - καὶ εἶπεν ὁ λαὸς πρὸς Ἰησοῦν· οὐχί, ἀλλὰ Κυρίῳ λατρεύσομεν.

ΙτΝ. 24,21 - Είπε δε ο λαός στον Ιησούν· “οχι, αυτό δεν θα γίνη ποτέ. Δεν θα λατρεύσωμεν άλλους θεούς αλλά τον Κυριον θα λατρεύσωμεν”.

ΙτΝ. 24,22 - καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαόν· μάρτυρες ὑμεῖς καθ᾿ ὑμῶν, ὅτι ὑμεῖς ἐξελέξασθε Κυρίῳ λατρεύειν αὐτῷ.

ΙτΝ. 24,22 - Είπε τότε προς τον λαόν ο Ιησούς· “σεις εις περίπτωσιν αλλαξοπιστίας σας είσθε μάρτυρες εναντίον του εαυτού σας, διότι σεις

εξελέξατε τον Κυριον ως Θεόν σας και ωμολογήσατε ότι αυτόν μόνον θα λατρεύετε.

ΙτΝ. 24,23 - καὶ νῦν περιέλεσθε τοὺς θεοὺς τοὺς ἀλλοτρίους τοὺς ἐν ὑμῖν καὶ εὐθύνατε τὴν καρδίαν ὑμῶν πρὸς Κύριον Θεὸν Ἰσραήλ.

ΙτΝ. 24,23 - Και τώρα αφαιρέσατε από ανάμεσά σας και πετάξατε τους ξένους θεούς, κατευθύνατε και δώσατε την καρδίαν σας προς τον Κυριον και Θεόν του Ισραήλ”.

ΙτΝ. 24,24 - καὶ εἶπεν ὁ λαὸς πρὸς Ἰησοῦν· Κυρίῳ λατρεύσομεν καὶ τῆς φωνῆς αὐτοῦ ἀκουσόμεθα.

ΙτΝ. 24,24 - Είπε πάλιν ο λαός προς τον Ιησούν· “τον Κυριον θα λατρεύσωμεν και εις τας εντολάς αυτού θα υπακούωμεν”.

ΙτΝ. 24,25 - καὶ διέθετο Ἰησοῦς διαθήκην πρὸς τὸν λαὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ ἔδωκεν αὐτῷ νόμον καὶ κρίσιν ἐν Σηλὼ ἐνώπιον τῆς σκηνῆς τοῦ Θεοῦ Ἰσραήλ.

ΙτΝ. 24,25 - Ετσι δε συνήψε και έκλεισε συμφωνίαν κατά την ημέραν εκείνην ο Ιησούς με τον λαόν και έδωκε προς αυτόν τον νόμον και τας διατάξεις εις Σηλώ ενώπιον της Σκηνής του Μαρτυρίου του Θεού του Ισραήλ.

ΙτΝ. 24,26 - καὶ ἔγραψε τὰ ῥήματα ταῦτα εἰς βιβλίον νόμων τοῦ Θεοῦ· καὶ ἔλαβε λίθον μέγαν καὶ ἔστησεν αὐτὸν Ἰησοῦς ὑπὸ τὴν τερέμινθον ἀπέναντι Κυρίου.

ΙτΝ. 24,26 - Εγραψε δε τα λόγια αυτά στο βιβλίον των Νομων του Θεού. Επειτα επήρεν ένα μεγάλον λίθον και έστησεν αυτόν όρθιον κάτω από ένα δένδρον τερέβινθον που ευρίσκετο απέναντι της Σκηνής του Μαρτυρίου.

ΙτΝ. 24,27 - καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαόν· ἰδοὺ ὁ λίθος οὗτος ἔσται ἐν ὑμῖν εἰς μαρτύριον, ὅτι αὐτὸς ἀκήκοε πάντα τὰ λεχθέντα αὐτῷ ὑπὸ Κυρίου, ὅ,τι ἐλάλησε πρὸς ὑμᾶς σήμερον· καὶ οὗτος ἔσται ἐν ὑμῖν εἰς μαρτύριον ἐπ᾿ ἐσχάτων τῶν ἡμερῶν, ἡνίκα ἂν ψεύσησθε Κυρίῳ τῷ Θεῷ μου.

ΙτΝ. 24,27 - Και είπεν ο Ιησούς προς τον ισραηλιτικόν λαόν· “ιδού, αυτός ο λίθος θα είναι μεταξύ σας μάρτυς, διότι και αυτός ήκουσε όλους τους λόγους τους οποίους είπεν ο Κυριος ενώπιόν του όλα όσα είπε προς σας σήμερον. Αυτός ο λίθος θα είναι μεταξύ σας μάρτυς μέχρι τας τελευταίας εκείνας ημέρας, κατά τας οποίας θα είχατε τυχόν ψευσθή ενώπιον του Θεού και θα είχατε στραφή προς ειδωλολατρικούς θεούς”.

ΙτΝ. 24,28 - καὶ ἀπέστειλεν Ἰησοῦς τὸν λαόν, καὶ ἐπορεύθησαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ.

ΙτΝ. 24,28 - Απέλυσε τότε ο Ιησούς τον λαόν. Εκείνοι δε επορεύθησαν ο καθένας στον τόπον του.

ΙτΝ. 24,29 - καὶ ἐλάτρευσεν Ἰσραὴλ τῷ Κυρίῳ πάσας τὰς ἡμέρας Ἰησοῦ καὶ πάσας τὰς ἡμέρας τῶν πρεσβυτέρων, ὅσοι ἐφείλκυσαν τὸν χρόνον μετὰ

Ἰησοῦ καὶ ὅσοι εἴδοσαν πάντα τὰ ἔργα Κυρίου, ὅσα ἐποίησε τῷ Ἰσραήλ.

ΙτΝ. 24,29 - Οι Ισραηλίται ελάτρευσαν πράγματι τον Κυριον καθ' όλον τον χρόνον που εζούσεν ο Ιησούς του Ναυη, όλον τον χρόνον που εζούσαν ακόμη οι πρεσβύτεροι εκείνοι όσοι συνέζησαν με τον Ιησούν και είχον ίδει όλα τα θαυμαστά έργα, τα οποία ο Κυριος είχε κάμει δια τον ισραηλιτικόν λαόν.

ΙτΝ. 24,30 - Καὶ ἐγένετο μετ᾿ ἐκεῖνα καὶ ἀπέθανεν Ἰησοῦς υἱὸς Ναυὴ δοῦλος Κυρίου ἑκατὸν δέκα ἐτῶν.

ΙτΝ. 24,30 - Επειτα δε από τα γεγονότα αυτά απέθανεν ο δούλος του Κυρίου ο Ιησούς, υιός του Ναυη, εις ηλικίαν εκατόν δέκα ετών.

ΙτΝ. 24,31 - καὶ ἔθαψαν αὐτὸν πρὸς τοῖς ὁρίοις τοῦ κλήρου αὐτοῦ ἐν Θαμνασασὰχ ἐν τῷ ὄρει τῷ Ἐφραὶμ ἀπὸ βοῤῥᾶ τοῦ ὄρους Γαάς· ἐκεῖ ἔθηκαν μετ᾿ αὐτοῦ εἰς τό μνῆμα, εἰς ὃ ἔθαψαν αὐτὸν ἐκεῖ, τὰς μαχαίρας τὰς πετρίνας, ἐν αἷς περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐν Γαλγάλοις, ὅτε ἐξήγαγεν αὐτοὺς ἐξ Αἰγύπτου, καθὰ συνέταξεν αὐτοῖς Κύριος, καὶ ἐκεῖ εἰσιν ἕως τῆς σήμερον ἡμέρας.

ΙτΝ. 24,31 - Εθαψαν αυτόν εις την περιοχήν, την οποίαν είχε λάβει ως μερίδιόν του, εις Θαανασασάχ στο όρος Εφραίμ, βορείως από το όρος Γαάς. Εκεί οι Ισραηλίται, στο μνήμα στο οποίον τον έθαψαν, έθεσαν μαζή του και τας πετρίνας μαχαίρας, με τας οποίας είχε περιτάμει τους Ισραηλίτας εις Γαλγαλα, όπως διέταξεν ο Θεός, όταν έβγαλεν αυτούς ελευθέρους από την Αίγυπτον. Εκεί δε είναι αι πέτριναι αυταί μάχαιραι μέχρι της σημερινής ημέρας.

ΙτΝ. 24,32 - καὶ τὰ ὀστᾶ Ἰωσὴφ ἀνήγαγον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου καὶ κατώρυξαν ἐν Σικίμοις, ἐν τῇ μερίδι τοῦ ἀγροῦ, οὗ ἐκτήσατο Ἰακὼβ παρὰ τῶν Ἀμοῤῥαίων τῶν κατοικούντων ἐν Σικίμοις ἀμνάδων ἑκατὸν καὶ ἔδωκεν αὐτὴν Ἰωσὴφ ἐν μερίδι.

ΙτΝ. 24,32 - Τα δε οστά του Ιωσήφ τα οποία οι Ισραηλίται είχον μεταφέρει από την Αίγυπτον, τα έθαψαν εις την Συχέμ εις ένα σημείον του αγρού, τον οποίον είχεν αγοράσει ο Ιακώβ αντί εκατόν αμνάδων από τους Αμορραίους που κατοικούσαν εις Συχέμ, και τον οποίον έδωκεν στους απογόνους του Ιωσήφ ως κληρονομίαν και ιδιοκτησίαν των.

ΙτΝ. 24,33 - καὶ ἐγένετο μετὰ ταῦτα καὶ Ἐλεάζαρ υἱὸς Ἀαρὼν ὁ ἀρχιερεὺς ἐτελεύτησε καὶ ἐτάφη ἐν Γαβαὰρ Φινεὲς τοῦ υἱοῦ αὐτοῦ, ἣν ἔδωκεν αὐτῷ ἐν τῷ ὄρει Ἐφραίμ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λαβόντες οἱ υἱοὶ Ἰσραὴλ τὴν κιβωτὸν τοῦ Θεοῦ περιεφέροσαν ἐν ἑαυτοῖς, καὶ Φινεὲς ἱεράτευσεν ἀντὶ Ἐλεάζαρ τοῦ πατρὸς αὐτοῦ, ἕως ἀπέθανε καὶ κατωρύγη ἐν Γαβαὰρ τῇ ἑαυτοῦ. οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀπήλθοσαν ἕκαστος εἰς τὸν τόπον αὐτῶν καὶ εἰς τὴν ἑαυτῶν πόλιν. καὶ ἐσέβοντο οἱ υἱοὶ Ἰσραὴλ τὴν Ἀστάρτην καὶ Ἀσταρὼθ καὶ τοὺς θεοὺς τῶν ἐθνῶν τῶν κύκλῳ αὐτῶν· καὶ παρέδωκεν

αὐτοὺς Κύριος εἰς χεῖρας Ἐγλὼμ τῷ βασιλεῖ Μωάβ, καὶ ἐκυρίευσεν αὐτῶν ἔτη δεκαοκτώ.

ΙτΝ. 24,33 - Μετά ταύτα και ο Ελεάζαρ ο αρχιερεύς, ο υιός του Ααρών, απέθανε και ετάφη εις Γαβαάρ, πόλιν του υιού του Φινεές, την οποίαν είχε δώσει προς αυτόν στο όρος Εφραίμ. Κατά την ημέραν εκείνην της τελευτής του αρχιερέως έλαβον οι Ισραηλίται και περιέφερον ανά μέσον αυτών μετά κατανύξεως την Κιβωτόν της Διαθήκης. Ο Φινεές αρχιεράτευσεν αντί του πατρός του Ελεάζαρ, μέχρις ότου απέθανε και ετάφη εις την πόλιν του Γαβαάρ. Οι δε Ισραηλίται απήλθον έκαστος εις τας περιοχάς των και τας πόλεις των. Αλλά μετ' ολίγον οι Ισραηλίται ήρχισαν να λατρεύουν την Αστάρτην και Ασταρώθ και τους θεούς των κύκλω ειδωλολατρικών εθνών. Δι' αυτό δε ο Κυριος παρέδωκεν αυτούς εις τα χέρια Εγλώμ βασιλέως της Μωάβ, ο οποίος και κατεδούλωσεν αυτούς επί δέκα οκτώ έτη.

**ΚΡΙΤΑΙ**

ΚΡΙΤΑΙ 1

Κρ. 1,1 - Καὶ ἐγένετο μετὰ τὴν τελευτὴν Ἰησοῦ καὶ ἐπηρώτων οἱ υἱοὶ Ἰσραὴλ διὰ τοῦ Κυρίου λέγοντες· τίς ἀναβήσεται ἡμῖν πρὸς τοὺς Χαναναίους ἀφηγούμενος τοῦ πολεμῆσαι πρὸς αὐτούς;

Κρ. 1,1 - Μετά τον θάνατον του Ιησού του Ναυή ηρώτησαν οι Ισραηλίται τον Κυριον λέγοντες· "ποία από τας φυλάς μας θα αναλάβη να επιτεθή κατά των Χαναναίων ως αρχηγός του πολέμου εναντίον αυτών".

Κρ. 1,2 - καὶ εἶπε Κύριος· Ἰούδας ἀναβήσεται. ἰδοὺ δέδωκα τὴν γῆν ἐν χειρὶ αὐτοῦ.

Κρ. 1,2 - Ο Κυριος απήντησε· "η φυλή του Ιούδα θα αναλάβη ως αρχηγός τον πόλεμον αυτόν. Ιδού, έχω παραδώσει εις τα χέρια αυτής την χώραν των Χαναναίων".

Κρ. 1,3 - καὶ εἶπεν Ἰούδας τῷ Συμεὼν ἀδελφῷ αὐτοῦ· ἀνάβηθι μετ᾿ ἐμοῦ ἐν τῷ κλήρῳ μου, καὶ παραταξώμεθα πρὸς τοὺς Χαναναίους, καὶ πορεύσομαι κἀγὼ μετὰ σοῦ ἐν τῷ κλήρῳ σου. καὶ ἐπορεύθη μετ᾿ αὐτοῦ Συμεών.

Κρ. 1,3 - Η δε φυλή του Ιούδα είπε τότε εις την γειτονικήν της φυλήν του Συμεών· "έλα και συ μαζή μου εις την κληρονομίαν μου, δια να αντιπαραταχθώμεν μαζή εναντίον των Χαναναίων. Επειτα δε και εγώ θα έλθω μαζή σου δια να εκκαθαρίσωμεν την ιδικήν σου κληρονομίαν". Πράγματι η φυλή του Συμεών επορεύθη μαζή με την φυλήν Ιούδα στον πόλεμον.

Κρ. 1,4 - καὶ ἀνέβη Ἰούδας, καὶ παρέδωκε Κύριος τὸν Χαναναῖον καὶ τὸν Φερεζαῖον εἰς τὰς χεῖρας αὐτῶν. καὶ ἔκοψαν αὐτοὺς ἐν Βεζὰκ εἰς δέκα χιλιάδας ἀνδρῶν.

Κρ. 1,4 - Η φυλή του Ιούδα εβάδισε κατά των Χαναναίων, ο δε Κυριος παρέδωκε τους Χαναναίους και τους Φερεζαίους εις τας χείρας αυτών. Εφόνευσαν δε από αυτούς εις την πόλιν Βεζέκ δέκα χιλιάδας άνδρας.

Κρ. 1,5 - καὶ κατέλαβον τὸν Ἀδωνιβεζὲκ ἐν τῇ Βεζὲκ καὶ παρετάξαντο πρὸς αὐτὸν καὶ ἔκοψαν τὸν Χαναναῖον καὶ Φερεζαῖον.

Κρ. 1,5 - Κατέλαβαν δε τον Αδωνιβεζέκ δηλαδή τον βασιλέα της Βεζέκ εντός της πόλεως, επετέθησαν εναντίον αυτού και εφόνευσαν τους Χαναναίους και Φερεζαίους.

Κρ. 1,6 - καὶ ἔφυγεν Ἀδωνιβεζέκ, καὶ κατέδραμον ὀπίσω αὐτοῦ καὶ ἐλάβοσαν αὐτὸν καὶ ἀπέκοψαν τὰ ἄκρα τῶν χειρῶν αὐτοῦ καὶ τὰ ἄκρα τῶν ποδῶν αὐτοῦ.

Κρ. 1,6 - Ο βασιλεύς της Βεζέκ ετράπη εις φυγήν. Αλλά τον κατεδίωξαν οι Ισραηλίται, τον συνέλαβαν και του έκοψαν τα μεγάλα δάκτυλα από τας

χείρας και τους πόδας του.

Κρ. 1,7 - καὶ εἶπεν Ἀδωνιβεζέκ· ἑβδομήκοντα βασιλεῖς τὰ ἄκρα τῶν χειρῶν αὐτῶν καὶ τὰ ἄκρα τῶν ποδῶν αὐτῶν ἀποκεκομμένοι ἦσαν συλλέγοντες τὰ ὑποκάτω τῆς τραπέζης μου· καθὼς οὖν ἐποίησα, οὕτως ἀνταπέδωκέ μοι ὁ Θεός. καὶ ἄγουσιν αὐτὸν εἰς Ἱερουσαλήμ, καὶ ἀπέθανεν ἐκεῖ.

Κρ. 1,7 - Είπε δε ο Αδωνιβεζέκ· "εγώ έκοψα τα δάκτυλα των χειρών και των ποδών εβδόμηκοντά βασιλέων, οι οποίοι και συνέλεγαν κάτω από την τράπεζάν μου τα μικρά κομματάκια ψωμιού και τροφών που έπιπτον. Οπως λοιπόν εγώ έκαμα εναντίον εκείνων, έτσι και με ετιμώρησε τώρα ο Θεός". Οι Ισραηλίται ωδήγησαν αυτόν εις την Ιερουσαλήμ, όπου και απέθανεν.

Κρ. 1,8 - Καὶ ἐπολέμουν υἱοὶ Ἰούδα τὴν Ἱερουσαλὴμ καὶ κατελάβοντο αὐτὴν καὶ ἐπάταξαν αὐτὴν ἐν στόματι ῥομφαίας καὶ τὴν πόλιν ἐνέπρησαν ἐν πυρί.

Κρ. 1,8 - Οι άνδρες της φυλής του Ιούδα ανέλαβον πόλεμον εναντίον της Ιερουσαλήμ, κατέλαβον αυτήν και επέρασαν εν στόματι μαχαίρας τους κατοίκους της, την δε πόλιν παρέδωσαν στο πυρ.

Κρ. 1,9 - καὶ μετὰ ταῦτα κατέβησαν οἱ υἱοὶ Ἰούδα πολεμῆσαι πρὸς τὸν Χαναναῖον τὸν κατοικοῦντα τὴν ὀρεινὴν καὶ τὸ νότιον καὶ τὴν πεδινήν.

Κρ. 1,9 - Μετά ταύτα οι άνδρες της φυλής Ιούδα κατέβησαν προς νότον, δια να πολεμήσουν τους Χαναναίους, οι οποίοι κατοικούσαν την ορεινήν και την νότιον πεδινήν περιοχήν.

Κρ. 1,10 - καὶ ἐπορεύθη Ἰούδας πρὸς τὸν Χαναναῖον τὸν κατοικοῦντα ἐν Χεβρών, καὶ ἐξῆλθε Χεβρὼν ἐξ ἐναντίας· καὶ τὸ ὄνομα ἦν Χεβρὼν τὸ πρότερον Καριαθαρβοκσεφέρ. καὶ ἐπάταξαν τὸν Σεσσὶ καὶ Ἀχιναὰν καὶ Θολμί, γεννήματα τοῦ Ἐνάκ.

Κρ. 1,10 - Εδάδισαν εναντίον των Χαναναίων οι οποίοι κατοικούσαν εις Χεβρών. Οι πολεμισταί της Χεβρών εξήλθον να αντιπαραταχθούν εναντίον εκείνων το όνομα της Χεβρών ήτο προηγουμένως Καριαθαρβοκσεφέρ. Εκεί εκτύπησαν οι Ιουδαίοι και κατέλαβον τας φυλάς Σεσσί, Αχιναάν και Θολμί, απογόνους των Ενακίμ, της φυλής των γιγάντων.

Κρ. 1,11 - καὶ ἀνέβησαν ἐκεῖθεν πρὸς τοὺς κατοικοῦντας Δαβίρ· τὸ δὲ ὄνομα τῆς Δαβὶρ ἦν ἔμπροσθεν Καριαθσεφάρ, Πόλις γραμμάτων.

Κρ. 1,11 - Από εκεί εβάδισαν προς τους κατοίκους της Δαβίρ. Το όνομα της Δαβίρ ήτο προηγουμένως Καριαθσεφάρ, Πολις Γραμμάτων.

Κρ. 1,12 - καὶ εἶπε Χάλεβ· ὃς ἂν πατάξῃ τὴν Πόλιν τῶν γραμμάτων καὶ προκαταλάβηται αὐτήν, δώσω αὐτῷ τὴν Ἀσχὰ θυγατέρα μου εἰς γυναῖκα.

Κρ. 1,12 - Ο Χαλεβ είπεν· "εις εκείνον, ο οποίος θα κτυπήση και θα κυριεύση την Πολιν των Γραμμάτων, θα δώσω εγώ ως σύζυγόν του την θυγατέρα μου Ασχά".

Κρ. 1,13 - καὶ προκατελάβετο αὐτὴν Γοθονιὴλ υἱὸς Κενὲζ ἀδελφοῦ Χάλεβ ὁ νεώτερος, καὶ ἔδωκεν αὐτῷ Χάλεβ τὴν Ἀσχὰ θυγατέρα αὐτοῦ εἰς γυναῖκα.

Κρ. 1,13 - Εκυρίευσε την πόλιν ο Γοθονιήλ, υιός του Κενέζ ο οποίος ήτο αδελφός νεώτερος του Χαλεβ. Ο δε Χαλεδ έδωκε σύμφωνα με την υπόσχεσίν του, εις αυτόν ως σύζυγον την θυγατέρα του.

Κρ. 1,14 - καὶ ἐγένετο ἐν τῇ εἰσόδῳ αὐτῆς καὶ ἐπέσεισεν αὐτὴν Γοθονιὴλ τοῦ αἰτῆσαι παρὰ τοῦ πατρὸς αὐτῆς ἀγρόν, καὶ ἐγόγγυζε καὶ ἔκραξεν ἀπὸ τοῦ ὑποζυγίου· εἰς γῆν νότου ἐκδέδοσαί με. καὶ εἶπεν αὐτῇ Χάλεβ· τί ἐστί σοι;

Κρ. 1,14 - Οταν δε αυτή εβάδιζε να εισέλθη στον οίκον του Γοθονιήλ εκείνος την επίεσε να ζητήση από τον πατέρα της ένα αγρόν. Αυτή δε από τον όνον, επί του οποίου εκάθητο, εγόγγυσε και έκραξε δήθεν παραπονουμένη· “με έδωκες ως σύζυγον εις χώραν μακρυνήν προς νότον”. Ο δε Χαλεβ την ηρώτησε· “τι σου συμβαίνει;”

Κρ. 1,15 - καὶ εἶπεν αὐτῷ Ἀσχά· δὸς δή μοι εὐλογίαν, ὅτι εἰς γῆν νότου ἐκδέδοσαί με, καὶ δώσεις μοι λύτρωσιν ὕδατος. καὶ ἔδωκεν αὐτῇ Χάλεβ κατὰ τὴν καρδίαν αὐτῆς λύτρωσιν μετεώρων καὶ λύτρωσιν ταπεινῶν.

Κρ. 1,15 - Η Ασχά του απήντησε· “δος μου μίαν ευλογημένην περιοχήν γης διότι με στέλνεις εις την κατάξηρον γην του νότου· θέλω να μου δώσης μέρος να ποτίζεται από ύδατα”. Ο Χαλεβ έδωκεν εις αυτήν, σύμφωνα με την επιθυμίαν της καρδίας της, περιοχήν εις υψηλά και χαμηλά μέρη διαρρεόμενα από ύδατα.

Κρ. 1,16 - Καὶ οἱ υἱοὶ Ἰοθὸρ τοῦ Κιναίου τοῦ γαμβροῦ Μωυσῆ ἀνέβησαν ἐκ πόλεως τῶν φοινίκων μετὰ τῶν υἱῶν Ἰούδα εἰς τὴν ἔρημον τὴν οὖσαν ἐν τῷ νότῳ Ἰούδα, ἥ ἐστιν ἐπὶ καταβάσεως Ἀράδ, καὶ κατῴκησαν μετὰ τοῦ λαοῦ.

Κρ. 1,16 - Οι απόγονοι του Ιοθόρ, του Κιναίου, πενθερού του Μωϋσέως ανέβησαν από την πόλιν των Φοινίκων, δηλαδή την Ιεριχώ, μαζή με την φυλήν Ιούδα εις την έρημον νοτίως εις την περιοχήν της φυλής Ιούδα, η οποία ευρίσκεται εις την κατωφέρειαν της Αράδ, και εγκατεστάθησαν εκεί μαζή με τον λαόν.

Κρ. 1,17 - καὶ ἐπορεύθη Ἰούδας μετὰ Συμεὼν τοῦ ἀδελφοῦ αὐτοῦ καὶ ἔκοψε τὸν Χαναναῖον τὸν κατοικοῦντα Σεφέκ· καὶ ἐξωλόθρευσεν αὐτούς, καὶ ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως Ἀνάθεμα.

Κρ. 1,17 - Η φυλή του Ιούδα μαζή με την γειτονικήν της φυλήν του Συμεών εβάδισε και κατέκοψε τους Χαναναίους, οι οποίοι, κατοικούσαν την Σεφέκ· εξωλόθρευσεν αυτούς και ωνόμασαν την πόλιν εκείνην “Ανάθεμα”.

Κρ. 1,18 - καὶ οὐκ ἐκληρονόμησεν Ἰούδας τὴν Γάζαν οὐδὲ τὰ ὅρια αὐτῆς, οὐδὲ τὴν Ἀσκάλωνα οὐδὲ τὰ ὅρια αὐτῆς, οὐδὲ τὴν Ἀκκαρὼν οὐδὲ

τὰ ὅρια αὐτῆς, τὴν Ἄζωτον οὐδὲ τὰ περισπόρια αὐτῆς.

Κρ. 1,18 - Αλλά η φυλή του Ιούδα δεν κατέκτησε την Γαζαν ούτε την γύρω αυτής περιοχήν, ούτε την Ασκάλωνα με την περιοχήν της, ούτε την Ακκαρών με την περιοχήν της, ούτε την Αζωτον με την γύρω αυτής καλλιεργήσιμον περιοχήν.

Κρ. 1,19 - καὶ ἦν Κύριος μετὰ Ἰούδα καὶ ἐκληρονόμησε τὸ ὄρος, ὅτι οὐκ ἠδυνάσθησαν ἐξολοθρεῦσαι τοὺς κατοικοῦντας τὴν κοιλάδα, ὅτι Ῥηχὰβ διεστείλατο αὐτοῖς.

Κρ. 1,19 - Ο Κυριος ήτό με την φυλήν Ιούδα, η οποία κατέλαβε και εκληρονόμησε την ορεινήν περιοχήν· εγκατεστάθη δε εκεί διότι δεν ημπόρεσαν να εξολοθρεύσουν τους κατοικούντας εις τα πεδινά μέρη, ο δε Ρηχάβ συνέστησεν εις αυτούς να μη καταλάβουν την πεδινήν περιοχήν.

Κρ. 1,20 - καὶ ἔδωκαν τῷ Χάλεβ τὴν Χεβρών, καθὼς ἐλάλησε Μωυσῆς, καὶ ἐκληρονόμησεν ἐκεῖθεν τὰς τρεῖς πόλεις τῶν υἱῶν Ἐνάκ.

Κρ. 1,20 - Οι Ισραηλίται έδωκαν στον Χαλεβ την Χεβρών όπως είχε παραγγείλει ο Μωϋσής, ο δε Χαλεβ εξώρμησεν από εκεί και κατέλαβε τας τρεις πόλεις των απογόνων του Ενάκ.

Κρ. 1,21 - καὶ τὸν Ἰεβουσαῖον τὸν κατοικοῦντα ἐν Ἱερουσαλὴμ οὐκ ἐκληρονόμησαν οἱ υἱοὶ Βενιαμίν, καὶ κατῴκησεν ὁ Ἰεβουσαῖος μετὰ τῶν υἱῶν Βενιαμὶν ἐν Ἱερουσαλὴμ ἕως τῆς ἡμέρας ταύτης.

Κρ. 1,21 - Η φυλή Βενιαμίν δεν εξεδίωξαν τους Ιεβουσαίους οι οποίοι κατοικούσαν εις την Ιερουσαλήμ και δεν κατέλαβαν την περιοχήν των· έτσι δε οι Ιεβουσαίοι κατοικούσαν μαζή με την φυλήν Βενιαμίν εις την Ιερουσαλήμ και την περιοχήν μέχρι της ημέρας αυτής.

Κρ. 1,22 - καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰωσὴφ καί γε αὐτοὶ εἰς Βαιθήλ, καὶ Κύριος ἦν μετ᾽ αὐτῶν.

Κρ. 1,22 - Η φυλή των υιών του Ιωσήφ εβάδισε και αυτή εναντίον της Βαιθήλ ο δε Κυριος ήτο μαζή των.

Κρ. 1,23 - καὶ παρενέβαλον καὶ κατεσκέψαντο Βαιθήλ· τὸ δὲ ὄνομα τῆς πόλεως ἦν ἔμπροσθεν Λουζά.

Κρ. 1,23 - Επολιόρκησαν και κατεσκόπευσαν την Βαιθήλ, της οποίας το όνομα προηγουμένως ήτο Λουζά.

Κρ. 1,24 - καὶ εἶδον οἱ φυλάσσοντες, καὶ ἰδοὺ ἀνὴρ ἐξεπορεύετο ἐκ τῆς πόλεως· καὶ ἔλαβον αὐτὸν καὶ εἶπον αὐτῷ· δεῖξον ἡμῖν τῆς πόλεως τὴν εἴσοδον, καὶ ποιήσομεν μετὰ σοῦ ἔλεος.

Κρ. 1,24 - Οι Ισραηλίται κατάσκοποι επρόσεξαν και είδον και ιδού ένας άνδρας εξήρχετο από την πόλιν. Τον συνέλαβαν και του είπον “δείξε μας την είσοδον της πόλεως και ημείς θα δείξωμεν προς σε έλεος και δεν θα σε φονεύσωμεν”.

Κρ. 1,25 - καὶ ἔδειξεν αὐτοῖς τὴν εἴσοδον τῆς πόλεως, καὶ ἐπάταξαν τὴν πόλιν ἐν στόματι ῥομφαίας, τὸν δὲ ἄνδρα καὶ τὴν συγγένειαν αὐτοῦ ἐξαπέστειλαν.

Κρ. 1,25 - Εκείνος τους έδειξε την είσοδον της πόλεως, από την οποίαν οι Ισραηλίται εισήλθον και κατέλαβον την πόλιν και επέρασαν εν στόματι μαχαίρας όλους τους κατοίκους της. Αφήκαν όμως ελευθέρους τον άνδρα εκείνον που τους έδειξε την είσοδον και τους συγγενείς του.

Κρ. 1,26 - καὶ ἐπορεύθη ὁ ἀνὴρ εἰς γῆν Χεττὶν καὶ ᾠκοδόμησεν ἐκεῖ πόλιν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Λουζά· τοῦτο ὄνομα αὐτῆς ἕως τῆς ἡμέρας ταύτης.

Κρ. 1,26 - Ο άνθρωπος δε εκείνος μετέβη εις την χώραν των Χετταίων, έκτισεν εκεί πόλιν και της έδωσε το όνομα Λουζά. Αυτό δε και είναι το όνομα της πόλεως μέχρις αυτής της ημέρας.

Κρ. 1,27 - καὶ οὐκ ἐξῆρε Μανασσῆ τὴν Βαιθσάν, ἥ ἐστι Σκυθῶν πόλις, οὐδὲ τὰς θυγατέρας αὐτῆς οὐδὲ τὰ περίοικα αὐτῆς οὐδὲ τὴν Θανὰκ οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ τοὺς κατοικοῦντας Δὼρ οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ τὸν κατοικοῦντα Βαλὰκ οὐδὲ τὰ περίοικα αὐτῆς οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ τοὺς κατοικοῦντας Μαγεδὼ οὐδὲ τὰ περίοικα αὐτῆς καὶ τὰς θυγατέρας αὐτῆς, οὐδὲ τοὺς κατοικοῦντας Ἰεβλαὰμ οὐδὲ τὰ περίοικα αὐτῆς οὐδὲ τὰς θυγατέρας αὐτῆς· καὶ ἤρξατο ὁ Χαναναῖος κατοικεῖν ἐν τῇ γῇ ταύτῃ.

Κρ. 1,27 - Η ημίσεια φυλή του Μανασσή δεν εξεδίωξε τους κατοίκους της πόλεως Βαιθσάν αυτή είναι η Σκυθόπολις ούτε τους κατοίκους των χωρίων της και της γύρω περιοχής. Δεν εξεδίωξεν επίσης τους κατοίκους της Θανάκ ούτε τους κατοίκους των χωρίων της και της γύρω περιοχής· δεν εξεδίωξε τους κατοίκους της Δωρ ούτε τους κατοίκους των γύρω χωρίων της, ούτε και τους κατοικούντας εις την Βαλάκ, εις την γύρω περιοχήν και τα χωρία της, ούτε τους κατοικούντας εις Μαγεδώ εις την γύρω περιοχήν και τα χωρία της, ούτε τους κατοικούντας εις την Ιεβλαάμ εις την γύρω περιοχήν και τα χωρία της. Δια τούτο οι Χαναναίοι ανεθάρρησαν, κατοικούσαν και ήρχισαν να επεκτείνωνται εις την περιοχήν αυτήν.

Κρ. 1,28 - καὶ ἐγένετο ὅτε ἐνίσχυσεν Ἰσραήλ, καὶ ἐποίησε τὸν Χαναναῖον εἰς φόρον καὶ ἐξαίρων οὐκ ἐξῆρεν αὐτόν.

Κρ. 1,28 - Οι Ισραηλίται έγιναν βεβαίως ισχυροί αλλά δεν εξώντωσαν τους Χαναναίους τελείως. Ηρκέσθησαν να τους κάμουν φόρου υποτελείς.

Κρ. 1,29 - καὶ Ἐφραὶμ οὐκ ἐξῆρε τὸν Χαναναῖον τὸν κατοικοῦντα ἐν Γαζέρ· καὶ κατῴκησεν ὁ Χαναναῖος ἐν μέσῳ αὐτοῦ ἐν Γαζὲρ καὶ ἐγένετο εἰς φόρον.

Κρ. 1,29 - Και οι της φυλής Εφραίμ δεν εξεδίωξαν τους Χαναναίους τους κατοικούντας εις Γαζέρ. Ετσι δε οι Χαναναίοι εγκατεστάθησαν εν μέσω των

Ισραηλιτών και εις την Γαζέρ γενόμενοι μόνον φόρου υποτελείς εις αυτούς.

Κρ. 1,30 - καὶ Ζαβουλὼν οὐκ ἐξῇρε τοὺς κατοικοῦντας Κέδρων, οὐδὲ τοὺς κατοικοῦντας Δωμανά· καὶ κατῴκησεν ὁ Χαναναῖος ἐν μέσῳ αὐτῶν καὶ ἐγένετο αὐτῷ εἰς φόρον.

Κρ. 1,30 - Και η φυλή Ζαβουλών δεν εξεδίωξε τους κατοίκους της πόλεως Κέδρων ούτε τους κατοίκους Δωμανά. Δια τούτο οι Χαναναίοι κατοικούσαν εν μέσω των Ισραηλιτών, πληρώνοντες μόνον εις αυτούς φόρον υποτελείας.

Κρ. 1,31 - καὶ Ἀσὴρ οὐκ ἐξῇρε τοὺς κατοικοῦντας Ἀκχώ, καὶ ἐγένετο αὐτῷ εἰς φόρον, καὶ τοὺς κατοικοῦντας Δὼρ καὶ τοὺς κατοικοῦντας Σιδῶνα καὶ τοὺς κατοικοῦντας Ἀαλάφ, τὸν Ἀσχαζὶ καὶ τὸν Χελβὰ καὶ τὸν Ναΐ καὶ τὸν Ἐρεώ.

Κρ. 1,31 - Και η φυλή του Ασήρ δεν εξεδίωξε τους κατοίκους της Ακχώ οι οποίοι έγιναν μόνον φόρου υποτελείς εις αυτήν. Δεν εξεδίωξαν επίσης τους κατοίκους της Δωρ, τους κατοίκους της Σιδώνος, τους κατοίκους της Αλάφ, τας φυλάς Ασχαζί, Χελβά, Ναϊ και Ερεώ.

Κρ. 1,32 - καὶ κατῴκησεν ὁ Ἀσὴρ ἐν μέσῳ τοῦ Χαναναίου τοῦ κατοικοῦντος τὴν γῆν, ὅτι οὐκ ἠδυνήθη ἐξᾶραι αὐτόν.

Κρ. 1,32 - Ετσι δε η φυλή του Ασήρ συγκατώκησε μαζή με τους Χαναναίους, τους κατοίκους της περιοχής, διότι δεν έδειξε διάθεσιν να εκδιώξη αυτούς.

Κρ. 1,33 - καὶ Νεφθαλὶ οὐκ ἐξῇρε τοὺς κατοικοῦντας Βαιθσαμὺς καὶ τοὺς κατοικοῦντας Βαιθανάθ, καὶ κατῴκησε Νεφθαλὶ ἐν μέσῳ τοῦ Χαναναίου τοῦ κατοικοῦντος τὴν γῆν· οἱ δὲ κατοικοῦντες Βαιθσαμὺς καὶ τὴν Βαιθενὲθ ἐγένοντο αὐτοῖς εἰς φόρον.

Κρ. 1,33 - Ομοίως και η φυλή του Νεφθαλί δεν εξεδίωξε τους κατοίκους της Βαιθσαμύς και τους κατοίκους της Βαιθανάθ. Ετσι δε η φυλή αυτή κατώκησεν εν μέσω των Χαναναίων, οι οποίοι ήσαν εγκατεστημένοι εις την χώραν των. Μονον ότι οι κάτοικοι της Βαιθσαμύς και της Βαιθανάθ έγιναν φόρου υποτελείς εις την φυλήν Νεφθαλί.

Κρ. 1,34 - καὶ ἐξέθλιψεν ὁ Ἀμοῤῥαῖος τοὺς υἱοὺς Δὰν εἰς τὸ ὄρος, ὅτι οὐκ ἀφῆκαν αὐτὸν καταβῆναι εἰς τὴν κοιλάδα.

Κρ. 1,34 - Οι Αμορραίοι μάλιστα ανεθάρρησαν και εστενοχώρησαν πολύ τους υιούς της φυλής Δαν που κατοικούσαν στο όρος και δεν τους επέτρεπαν να κατέρχωνται εις την πεδιάδα.

Κρ. 1,35 - καὶ ἤρξατο ὁ Ἀμοῤῥαῖος κατοικεῖν ἐν τῷ ὄρει τῷ ὀστρακώδει, ἐν ᾧ αἱ ἄρκοι καὶ ἐν ᾧ αἱ ἀλώπεκες, ἐν τῷ Μυρσινῶνι καὶ ἐν Θαλαβίν· καὶ ἐβαρύνθη ἡ χεὶρ οἴκου Ἰωσὴφ ἐπὶ τὸν Ἀμοῤῥαῖον, καὶ ἐγενήθη αὐτοῖς εἰς φόρον.

Κρ. 1,35 - Ηρχισαν δε οι Αμορραίοι να ανέρχωνται και να κατοικούν στο όρος το οστρακώδες στο οποίον υπήρχον άρκτοι και αλώπεκες, στον

Μυρσινώνα και Θαλαβίν. Οι απόγονοι όμως της φυλής του Ιωσήφ επεβλήθησαν με την ισχύν των στους Αμορραίους και τους ηνάγκασαν να γίνουν φόρου υποτελείς εις αυτούς.

Κρ. 1,36 - καὶ τὸ ὅριον τοῦ Ἀμοῤῥαίου ἀπὸ τῆς ἀναβάσεως Ἀκραβὶν ἀπὸ τῆς Πέτρας καὶ ἐπάνω.

Κρ. 1,36 - Η δε περιοχή την οποίαν κατείχον οι Αμορραίοι εξετείνετο από την ανωφέρειαν Ακραβίν, από την πόλιν Πέτρα και επάνω.

## ΚΡΙΤΑΙ 2

Κρ. 2,1 - Καὶ ἀνέβη ἄγγελος Κυρίου ἀπὸ Γαλγὰλ ἐπὶ τὸν Κλαυθμῶνα καὶ ἐπὶ Βαιθὴλ καί ἐπὶ τὸν οἶκον Ἰσραὴλ καὶ εἶπε πρὸς αὐτούς· τάδε λέγει Κύριος· ἀνεβίβασα ὑμᾶς ἐξ Αἰγύπτου καὶ εἰσήγαγον ὑμᾶς εἰς τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν, καὶ εἶπα· οὐ διασκεδάσω τὴν διαθήκην μου τὴν μεθ᾿ ὑμῶν εἰς τὸν αἰῶνα·

Κρ. 2,1 - Αγγελος Κυρίου ανέβη από τα Γαλγαλα στοποθεσίαν την οποίαν ωνόμαζον “Κλαυθμώνα” και εις την Βαιθήλ, όπού κατοικούσαν οι Ισραηλίται, και είπεν εις αυτούς· “αυτά λέγει ο Κυριος· σας έβγαλα ελευθέρους από την Αίγυπτον και σας ωδήγησα εις την χώραν αυτήν, δια την οποίαν ωρκίσθηκα στους προπάτορας σας και είπα· Ουδέποτε θα αθετήσω την συμφωνίαν μου με σας.

Κρ. 2,2 - καὶ ὑμεῖς οὐ διαθήσεσθε διαθήκην τοῖς ἐγκαθημένοις εἰς τὴν γῆν ταύτην, οὐδὲ τοῖς θεοῖς αὐτῶν προσκυνήσετε, ἀλλὰ τὰ γλυπτὰ αὐτῶν συντρίψετε, τὰ θυσιαστήρια αὐτῶν καθελεῖτε. καὶ οὐκ εἰσηκούσατε τῆς φωνῆς μου, ὅτι ταῦτα ἐποιήσατε.

Κρ. 2,2 - Ούτε όμως και σεις θα έλθετε εις συμφωνίαν με τους κατοίκους της χώρας αυτής, ούτε και τους θεούς των ποτέ θα προσκυνήσετε αλλά τα είδωλά των θα συντρίψετε και τα θυσιαστήριά των θα καταστρέψετε. Σεις όμως δεν υπηκούσατε εις την εντολήν μου και εκάματε αυτά που σας είχα απαγορεύσει.

Κρ. 2,3 - κἀγὼ εἶπον· οὐ μὴ ἐξάρω αὐτοὺς ἐκ προσώπου ὑμῶν, καὶ ἔσονται ὑμῖν εἰς συνοχάς, καὶ οἱ θεοὶ αὐτῶν ἔσονται ὑμῖν εἰς σκάνδαλον.

Κρ. 2,3 - Και εγώ είπα και απεφάσισα· Δεν θα εκδιώξω και δεν θα εξαφανίσω από εμπρός σας τους Χαναναίους, και έτσι αυτοί παραμένοντες μεταξύ σας θα είναι δια σας διαρκής στενοχωρία, οι δε θεοί των θα είναι δια σας συνεχές σκάνδαλον προς το πονηρόν”.

Κρ. 2,4 - καὶ ἐγένετο ὡς ἐλάλησεν ὁ ἄγγελος Κυρίου τοὺς λόγους τούτους πρὸς πάντας υἱοὺς Ἰσραήλ, καὶ ἐπῇραν ὁ λαὸς τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν.

Κρ. 2,4 - Οταν ο άγγελος διελάλησε τα λόγια αυτά προς όλους τους Ισραηλίτας, όλος ο λαός έβγαλε κραυγήν και έκλαυσε.

Κρ. 2,5 - καὶ ἐπωνόμασαν τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Κλαυθμῶνες· καὶ ἐθυσίασαν ἐκεῖ τῷ Κυρίῳ.

Κρ. 2,5 - Δια τούτο δε και ωνόμασαν τον τόπον εκείνον “Κλαυθμώνες”. Εκεί προσέφεραν θυσίας προς τον Κυριον.

Κρ. 2,6 - Καὶ ἐξαπέστειλεν Ἰησοῦς τὸν λαόν, καὶ ἦλθεν ἀνὴρ είς τὴν κληρονομίαν αὐτοῦ κατακληρονομῆσαι τὴν γῆν.

Κρ. 2,6 - Ο Ιησούς του Ναυή απέλυσε τον λαόν και κάθε Ισραηλίτης μετέβη εις την κληρονομίαν του, δια να γίνη κύριος της χώρας.

Κρ. 2,7 - καὶ ἐδούλευσεν ὁ λαὸς τῷ Κυρίῳ πάσας τὰς ἡμέρας Ἰησοῦ καὶ πάσας τὰς ἡμέρας τῶν πρεσβυτέρων, ὅσοι ἐμακροημέρευσαν μετὰ Ἰησοῦ, ὅσοι ἔγνωσαν πᾶν τὸ ἔργον Κυρίου τὸ μέγα, ὃ ἐποίησεν ἐν τῷ Ἰσραήλ.

Κρ. 2,7 - Ο ισραηλιτικός λαός υπήκουε και ελάτρευε τον Κυριον όλον το διάστημα κατά το οποίον εζούσεν ο Ιησούς του Ναυη, και όλον το διάστημα κατά το οποίον εζούσαν οι γεροντότεροι, οι σύγχρονοι του Ιησού του Ναυη, οι οποίοι είχον ίδει και γνωρίσει όλα τα μεγάλα και θαυμαστά έργα, τα οποία εκαμεν ο Κυριος προς χάριν του Ισραηλιτικού λαού.

Κρ. 2,8 - καὶ ἐτελεύτησεν Ἰησοῦς υἱὸς Ναυὴ δοῦλος Κυρίου, υἱὸς ἑκατὸν δέκα ἐτῶν.

Κρ. 2,8 - Ο Ιησούς του Ναυη, ο πιστός αυτός δούλος του Κυρίου, απέθανε εις ηλικίαν εκατόν δέκα ετών.

Κρ. 2,9 - καὶ ἔθαψαν αὐτὸν ἐν ὁρίῳ τῆς κληρονομίας αὐτοῦ ἐν Θαμναθαρές, ἐν ὄρει Ἐφραὶμ ἀπὸ βορρᾶ τοῦ ὄρους Γαάς.

Κρ. 2,9 - Εθαψαν δε αυτόν οι Ισραηλίται εις την περιοχήν της κληρονομίας του, την πόλιν Θαμναθαρές, στο όρος Εφραίμ βορείως του όρους Γαάς.

Κρ. 2,10 - καί γε πᾶσα ἡ γενεὰ ἐκείνη προσετέθησαν πρὸς τοὺς πατέρας αὐτῶν, καὶ ἀνέστη γενεὰ ἑτέρα μετ᾽ αὐτούς, οἳ οὐκ ἔγνωσαν τὸν Κύριον καί γε τὸ ἔργον, ὃ ἐποίησεν ἐν τῷ Ἰσραήλ.

Κρ. 2,10 - Αλλά και όλη εκείνη η γενεά η σύγχρονος του Ιησού του Ναυή προσετέθη με την σειράν της στους προγόνους της, και υστερα από αυτούς ανεφάνη άλλη γενεά, της οποίας οι άνθρωποι δεν εγνώριζαν τον Κυριον ούτε και τα μεγάλα έργα, τα οποία είχε κάμει προς χάριν των Ισραηλιτών. Επαυσαν να τον λατρεύουν.

Κρ. 2,11 - Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐλάτρευσαν τοῖς Βααλίμ.

Κρ. 2,11 - Ετσι δε οι Ισραηλίται εξέκλιναν και έπραξαν έργα πονηρά, μισητά ενώπιον του Κυρίου, και ελάτρευσαν τον ειδωλολατρικόν θεόν Βααλ.

Κρ. 2,12 - καὶ ἐγκατέλιπον τὸν Κύριον τὸν Θεὸν τῶν πατέρων αὐτῶν τὸν ἐξαγαγόντα αὐτοὺς ἐκ γῆς Αἰγύπτου καὶ ἐπορεύθησαν ὀπίσω θεῶν ἑτέρων ἀπὸ τῶν θεῶν τῶν ἐθνῶν τῶν περικύκλῳ αὐτῶν καί προσεκύνησαν αὐτοῖς καὶ παρώργισαν τὸν Κύριον

Κρ. 2,12 - Εγκατέλιπον Κυριον τον Θεόν των προγόνων των, ο οποίος τους είχε βγάλει ελευθέρους από την χώραν της Αιγύπτου και ηκολούθησαν άλλους θεούς από τους ειδωλολατρικούς θεούς των γύρω εθνών και προσεκύνησαν αυτούς. Ετσι όμως εξώργισαν τον Κυριον,

Κρ. 2,13 - καὶ ἐγκατέλιπον αὐτὸν καὶ ἐλάτρευσαν τῷ Βάαλ καὶ ταῖς Ἀστάρταις.

Κρ. 2,13 - διότι εγκατέλιπον αυτόν και ελάτρευσαν ως θεούς τον Βααλ και την Αστάρτην.

Κρ. 2,14 - καὶ ὠργίσθη θυμῷ Κύριος ἐν τῷ Ἰσραὴλ καὶ παρέδωκεν αὐτοὺς εἰς χεῖρας προνομευόντων, καὶ κατεπρονόμευσαν αὐτούς· καὶ ἀπέδοτο αὐτοὺς ἐν χερσὶ τῶν ἐχθρῶν αὐτῶν κυκλόθεν, καὶ οὐκ ἠδυνήθησαν ἔτι ἀντιστῆναι κατὰ πρόσωπον τῶν ἐχθρῶν αὐτῶν.

Κρ. 2,14 - Δια την ασέβειαν και αχαριστίαν των αυτήν ωργίσθη οργήν μεγάλην εναντίον των ο Θεός και τους παρέδωκεν εις χείρας επιδρομέων οι οποίοι ελεηλατούσαν την χώραν των, και τους κατελήστευσαν. Τους παρέδωσεν εξ ολοκλήρου εις τα χέρια των γύρω εχθρών των και δεν ημπόρεσαν πλέον να αντισταθούν ενώπιον αυτών.

Κρ. 2,15 - ἐν πᾶσιν, οἷς ἐπορεύοντο, καὶ χεὶρ Κυρίου ἦν ἐπ᾿ αὐτοὺς εἰς κακά, καθὼς ἐλάλησε Κύριος καὶ καθὼς ὤμοσε Κύριος αὐτοῖς, καὶ ἐξέθλιψεν αὐτοὺς σφόδρα.

Κρ. 2,15 - Οπου και αν επήγαιναν, η παντοδύναμος και τιμωρός χειρ του Κυρίου ήτο εναντίον των και τους παρέδιδεν εις θλίψεις, όπως άλλωστε είχε με όρκον προαναγγείλει εις αυτούς ο Κυριος. Δι' αυτό και τους κατέθλιψε πολύ.

Κρ. 2,16 - καὶ ἤγειρε Κύριος κριτάς, καὶ ἔσωσεν αὐτοὺς Κύριος ἐκ χειρὸς τῶν προνομευόντων αὐτούς. καί γε τῶν κριτῶν οὐχ ὑπήκουσαν,

Κρ. 2,16 - Ο Κυριος όμως, δια το πολύ του έλεος, ανέδειξεν ευσεβείς ηγέτας, τους Κριτάς, και δι' αυτών τους έσωσεν από τα χέρια των εχθρών οι οποίοι τους ελεηλατούσαν. Δυστυχώς όμως οι Ισραηλίται και εις αυτούς ακόμη τους Κριτάς δεν υπήκουσαν πάντοτε.

Κρ. 2,17 - ὅτι ἐξεπόρνευσαν ὀπίσω θεῶν ἑτέρων καὶ προσεκύνησαν αὐτοῖς· καὶ ἐξέκλιναν ταχὺ ἐκ τῆς ὁδοῦ, ἧς ἐπορεύθησαν οἱ πατέρες αὐτῶν τοῦ εἰσακούειν τῶν λόγων Κυρίου, οὐκ ἐποίησαν οὕτως.

Κρ. 2,17 - Διότι εξετράπησαν και ελάτρευσαν άλλους θεούς και προσεκύνησαν αυτούς. Πολύ σύντομα παρεξέκλιναν από τον δρόμον, που

είχαν ακολουθήσει οι πατέρες των οι οποίοι υπήκουαν εις τας εντολάς του Κυρίου. Αυτοί όμως δεν έπραξαν σύμφωνα με το καλόν παράδειγμα εκείνων.

Κρ. 2,18 - καὶ ὅτι ἤγειρε Κύριος αὐτοῖς κριτάς, καὶ ἦν Κύριος μετὰ τοῦ κριτοῦ καὶ ἔσωσεν αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν αὐτῶν πάσας τὰς ἡμέρας τοῦ κριτοῦ, ὅτι παρεκλήθη Κύριος ἀπὸ τοῦ στεναγμοῦ αὐτῶν ἀπὸ προσώπου τῶν πολιορκούντων αὐτοὺς καί ἐκθλιβόντων αὐτούς.

Κρ. 2,18 - Καθε φοράν που ο Κυριος ανεδείκνυε Κριτάς, ήτο μαζή με τον εκάστοτε Κριτήν και έτσι έσωζε και ηλευθέρωνεν αυτούς από τα χέρια των εχθρών των, όσον χρόνον εζούσεν ο Κριτής. Τούτο δε διότι ο Κυριος τους ελυπείτο βλέπων αυτούς να θλίβωνται και να στενάζουν εξ αιτίας των εχθρών των, οι οποίοι τους κατέθλιβον και τους εβασάνιζον.

Κρ. 2,19 - καὶ ἐγένετο ὡς ἀπέθνησκεν ὁ κριτής, καὶ ἀπέστρεψαν καὶ πάλιν διέφθειραν ὑπὲρ τοὺς πατέρας αὐτῶν πορεύεσθαι ὀπίσω θεῶν ἑτέρων, λατρεύειν αὐτοῖς καὶ προσκυνεῖν αὐτοῖς· οὐκ ἀπέῤῥιψαν τὰ ἐπιτηδεύματα αὐτῶν, καὶ τὰς ὁδοὺς αὐτῶν τὰς σκληράς.

Κρ. 2,19 - Οταν όμως ο Κριτής απέθνησκεν, οι Ισραηλίται απεμακρύνοντο από τον Θεόν, εξέκλιναν προς το κακόν, διεφβείροντο περισσότερον από τους πατέρας των, ώστε να πορεύωνται οπίσω άλλων θεών, να λατρεύουν αυτούς και να προσκυνούν αυτούς. Δεν ήθελαν να απαρνηθούν τας πονηράς συνηθείας των, τους σκληρούς και διεστραμμένους τρόπους της ζωής των.

Κρ. 2,20 - καὶ ὠργίσθη θυμῷ Κύριος ἐν τῷ Ἰσραὴλ καὶ εἶπεν· ἀνθ᾿ ὧν ὅσα ἐγκατέλιπον τὸ ἔθνος τοῦτο τὴν διαθήκην μου, ἣν ἐνετειλάμην τοῖς πατράσιν αὐτῶν, καὶ οὐκ εἰσήκουσαν τῆς φωνῆς μου,

Κρ. 2,20 - Δι' αυτό και ωργίσθη οργήν μεγάλην ο Κυριος εναντίον των Ισραηλιτών και είπεν· “επειδή ο λαός αυτός εγκατέλειψε και κατεπάτησε την διαθήκην μου, την οποίαν εγώ είχα διατάξει προς τους προγόνους των, και δεν υπήκουσαν εις την εντολήν μου,

Κρ. 2,21 - καὶ ἐγὼ οὐ προσθήσω τοῦ ἐξᾶραι ἄνδρα ἐκ προσώπου αὐτῶν ἀπὸ τῶν ἐθνῶν, ὧν κατέλιπεν Ἰησοῦς υἱὸς Ναυὴ ἐν τῇ γῇ

Κρ. 2,21 - εγώ δεν θα ενδιαφερθώ πλέον δια να εκδιώξω από εμπρός των ούτε ένα άνδρα από τα ειδωλολατρικά έθνη, τα οποία αφήκεν εις την χώραν των ο Ιησούς του Ναυη”.

Κρ. 2,22 - καὶ ἀφῆκε, τοῦ πειράσαι ἐν αὐτοῖς τὸν Ἰσραήλ, εἰ φυλάσσονται τὴν ὁδὸν Κυρίου πορεύεσθαι ἐν αὐτῇ, ὃν τρόπον ἐφύλαξαν οἱ πατέρες αὐτῶν, ἢ οὔ.

Κρ. 2,22 - Ο Θεός επέτρεψε να μείνουν οι λαοί αυτοί δια να δοκιμάση δι' αυτών τους 'Ισραηλιτας, εάν θα ενδιαφερθούν και θα φροντίσουν να βαδίζουν την οδόν του Κυρίου και να τηρούν τας εντολάς του, όπως τας είχαν τηρήσει οι πατέρες των η οχι.

Κρ. 2,23 - καὶ ἀφῆκε Κύριος τὰ ἔθνη ταῦτα τοῦ μὴ ἐξᾶραι αὐτὰ τὸ τάχος καὶ οὐ παρέδωκεν αὐτὰ ἐν χειρὶ Ἰησοῦ.

Κρ. 2,23 - Δι' αυτό και αφήκεν ο Κυριος τα έθνη αυτά και δεν τα εξεδίωξεν αμέσως και δεν τα παρέδωκεν εις τα χέρια Ιησού του Νσυη.

## ΚΡΙΤΑΙ 3

Κρ. 3,1 - Καὶ ταῦτα τὰ ἔθνη, ἃ ἀφῆκε Κύριος αὐτὰ ὥστε πειράσαι ἐν αὐτοῖς τὸν Ἰσραήλ, πάντας τοὺς μή ἐγνωκότας τοὺς πολέμους Χαναάν.

Κρ. 3,1 - Αυτά δε είναι τα έθνη, τα οποία αφήκεν ανυπότακτα ο Κυριος μεταξύ των Ισραηλιτών, ώστε να δοκιμάζη την πίστιν και την υπακοήν όλων αυτών, οι οποίοι δεν εγνώρισαν και δεν έλαβον μέρος στους κατά των Χαναναίων πολέμους.

Κρ. 3,2 - πλὴν διὰ τὰς γενεὰς υἱῶν Ἰσραὴλ τοῦ διδάξαι αὐτοὺς πόλεμον, πλὴν οἱ ἔμπροσθεν αὐτῶν οὐκ ἔγνωσαν αὐτά·

Κρ. 3,2 - Ακόμη δε και δια να διδάξη τας κατόπιν γενεάς των Ισραηλιτών προς πόλεμον, διότι αι μεταγενέστεροι αύται γενεαί δεν έλαβον μέρος και δεν εγνώρισαν τας πολεμικάς επιχειρήσεις των προγόνων των.

Κρ. 3,3 - τὰς πέντε σατραπείας τῶν ἀλλοφύλων καὶ πάντα τὸν Χαναναῖον καὶ τὸν Σιδώνιον καὶ τὸν Εὐαῖον τὸν κατοικοῦντα τὸν Λίβανον ἀπὸ τοῦ ὄρους τοῦ Ἀερμὼν ἕως Λαβωεμάθ.

Κρ. 3,3 - Τα ειδωλολατρικά δε αυτά έθνη είναι τα εξής· Αι πέντε σατραπείαι των αλλοφύλων (Φιλισταίων), όλοι οι Χαναναίοι, οι Σιδώνιοι και οι Ευαίοι οι οποίοι κατοικούσαν το όρος Λιβανον, από το όρος Αερμών μέχρι της Λαβωεμάθ.

Κρ. 3,4 - καὶ ἐγένετο ὥστε πειράσαι ἐν αὐτοῖς τὸν Ἰσραήλ, γνῶναι εἰ ἀκούσονται τὰς ἐντολὰς Κυρίου, ἃς ἐνετείλατο τοῖς πατράσιν αὐτῶν ἐν χειρὶ Μωυσῆ.

Κρ. 3,4 - Αφήκε δηλαδή ο Κυριος αυτά τα έθνη δια να δοκιμάση δι' αυτών τους Ισραηλιίας και να μάθη εάν αυτοί υπακούουν και τηρούν τας εντολάς τας οποίας δια μέσου του Μωϋσέως είχε δώσει ο Κυριος στους προγόνους των.

Κρ. 3,5 - καὶ οἱ υἱοὶ Ἰσραὴλ κατῴκησαν ἐν μέσῳ τοῦ Χαναναίου καὶ τοῦ Χετταίου καὶ τοῦ Ἀμοῤῥαίου καὶ τοῦ Φερεζαίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου

Κρ. 3,5 - Οι Ισραηλίται κατώκησαν και ανεμίχθησαν μαζή με τους Χαναναίους, τους Χετταίους, τους Αμορραίους, τους Φερεζαίους, τους Ευαίους και τους Ιεβουσαίους.

Κρ. 3,6 - καὶ ἔλαβον τὰς θυγατέρας αὐτῶν ἑαυτοῖς εἰς γυναῖκας καὶ τὰς θυγατέρας αὐτῶν ἔδωκαν τοῖς υἱοῖς αὐτῶν καὶ ἐλάτρευσαν τοῖς θεοῖς αὐτῶν.

Κρ. 3,6 - Οι Ισραηλίται έλαβον ως συζύγους των τας θυγατέρας εκείνων και έδωκαν εις εκείνους ως συζύγους τας θυγατέρας των, και ελάτρευσαν τους ειδωλολατρικούς θεούς εκείνων.

Κρ. 3,7 - Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν ἐναντίον Κυρίου καὶ ἐπελάθοντο Κυρίου τοῦ Θεοῦ αὐτῶν καὶ ἐλάτρευσαν τοῖς Βααλὶμ καὶ τοῖς ἄλσεσι.

Κρ. 3,7 - Διέπραξαν έτσι οι Ισραηλίται φαύλα και παράνομα ενώπιον του Κυρίου, ελησμόνησαν Κυριον τον Θεόν των και ελάτρευσαν τα είδωλα του Βααλ και τα ιερά άλση όπου υπήρχον και οι βωμοί των ειδώλων.

Κρ. 3,8 - καὶ ὠργίσθη θυμῷ Κύριος ἐν τῷ Ἰσραὴλ καὶ ἀπέδοτο αὐτοὺς ἐν χειρὶ Χουσαρσαθαὶμ βασιλέως Συρίας ποταμῶν. καὶ ἐδούλευσαν οἱ υἱοὶ Ἰσραὴλ τῷ Χουσαρσαθαὶμ ἔτη ὀκτώ.

Κρ. 3,8 - Δι' αυτό και ήναψεν η οργή του Κυρίου εναντίον των Ισραηλιτών και παρέδωσεν αυτούς δούλους εις τα χέρια του Χουσαρσαθαίμ, βασιλέως της Μεσοποταμίας. Και έγιναν οι Ισραηλίται δούλοι και φόρου υποτελείς επί οκτώ έτη στον Χουσαρσαθαίμ.

Κρ. 3,9 - καὶ ἐκέκραξαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον· καί ἤγειρε Κύριος σωτῆρα τῷ Ἰσραήλ, καὶ ἔσωσεν αὐτούς, τὸν Γοθονιὴλ υἱὸν Κενέζ ἀδελφοῦ Χάλεβ τὸν νεώτερον ὑπὲρ αὐτόν,

Κρ. 3,9 - Οι Ισραηλίται μέσα από την κάμινον της θλίψεώς των έκραξαν προς τον Κυριον ζητούντες την λύτρωσιν. Ο δε Κυριος ανέδειξε τότε σωτήρα του ισραηλιτικού λαού τον Γοθονιήλ, υιόν του Κενέζ, νεωτέρου αδελφού του Χαλεβ.

Κρ. 3,10 - καὶ ἐγένετο ἐπ᾽ αὐτὸν πνεῦμα Κυρίου, καὶ ἔκρινε τὸν Ἰσραήλ. καὶ ἐξῆλθεν εἰς πόλεμον πρὸς Χουσαρσαθαίμ· καὶ παρέδωκε Κύριος ἐν χειρὶ αὐτοῦ τὸν Χουσαρσαθαὶμ βασιλέα Συρίας ποταμῶν, καὶ ἐκραταιώθη χεὶρ αὐτοῦ ἐπὶ τὸν Χουσαρσαθαίμ.

Κρ. 3,10 - Πνεύμα Κυρίου ήλθεν εις αυτόν και τον ανέδειξε Κριτήν του ισραηλιτικού λαού. Τοτε αυτός εξήλθεν μαζή με Ισραηλίτας πολεμιστάς εις πόλεμον εναντίον του Χουσαρσαθαίμ. Ο δε Κυριος παρέδωκεν εις τα χέρια αυτού νικημένον τον Χουσαοσαθαίμ, βασιλέα της Μεσοποταμίας, και ανεδείχθη έτσι η εξουσία και η δύναμις του Γοθονιήλ ισχυρά και μεγάλη επί του Χουσαρσαθαίμ.

Κρ. 3,11 - καὶ ἡσύχασεν ἡ γῆ ἔτη τεσσαράκοντα· καὶ ἀπέθανε Γοθονιὴλ υἱὸς Κενέζ.

Κρ. 3,11 - Ησύχασε δε τότε η χώρα από τας επιδρομάς επί τεσσαράκοντα έτη· και απέθανεν ο Γοθονιήλ ο υιός του Κενέζ.

Κρ. 3,12 - Καὶ προσέθεντο οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου. καὶ ἐνίσχυσε Κύριος τὸν Ἐγλὼμ βασιλέα Μωὰβ ἐπὶ τὸν Ἰσραὴλ διὰ τὸ πεποιηκέναι αὐτούς τὸ πονηρὸν ἔναντι Κυρίου.

Κρ. 3,12 - Και πάλιν όμως οι Ισραηλίται διέπραξαν φαύλα και αμαρτωλά ενώπιον του Κυρίου. Ο δε Κυριος ενεδυνάμωσε τον Εγλώμ, τον βασιλέα των Μωαβιτών να επέλθη εναντίον των Ισραηλιτών, διότι αυτοί είχαν διαπράξει το πονηρόν ενώπιον του Κυρίου.

Κρ. 3,13 - καὶ συνήγαγε πρὸς ἑαυτὸν πάντας τοὺς υἱοὺς Ἀμμὼν καὶ Ἀμαλὴκ καὶ ἐπορεύθη καὶ ἐπάταξε τὸν Ἰσραὴλ καὶ ἐκληρονόμησε τὴν πόλιν τῶν φοινίκων.

Κρ. 3,13 - Ο Εγλώμ συνεκέντρωσε γύρω του τους Αμμωνίτας και Αμαληκίτας, εβάδισεν εναντίον των Ισραηλιτών, τους ενίκησε και κατέλαβε την Ιεριχώ.

Κρ. 3,14 - καὶ ἐδούλευσαν οἱ υἱοὶ Ἰσραὴλ τῷ Ἐγλὼμ βασιλεῖ Μωὰβ ἔτη δεκαοκτώ.

Κρ. 3,14 - Οι Ισραηλίται έγιναν δούλοι, φόρου υποτελείς στον Εγλώμ, βασιλέα των Μωαβιτών, επί δέκα οκτώ έτη.

Κρ. 3,15 - καὶ ἐκέκραξαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον· καὶ ἤγειρεν αὐτοῖς σωτῆρα τὸν Ἀὼδ υἱὸν Γηρὰ υἱὸν τοῦ Ἰεμενί, ἄνδρα ἀμφοτεροδέξιον. καὶ ἐξαπέστειλαν οἱ υἱοὶ Ἰσραὴλ δῶρα ἐν χειρὶ αὐτοῦ τῷ Ἐγλὼμ βασιλεῖ Μωάβ.

Κρ. 3,15 - Εκραξαν οι Ισραηλίται προς τον Κυριον ζητούντες την επέμβασίν του, ο δε Κυριος ανέδειξε τότε δι' αυτούς σωτήρα τον Αώδ, υιόν Γηρά, υιόν του Ιεμενί, άνδρα που εχρησιμοποίει και την αριστεράν χείρα του ως δεξιάν. Οι Ισραηλίται έστειλαν δώρα προς τον Εγλώμ βασιλέα των Μωαβιτών, δι' επιτροπής της οποίας αρχηγός ήτο ο Αώδ.

Κρ. 3,16 - καὶ ἐποίησεν ἑαυτῷ Ἀὼδ μάχαιραν δίστομον, σπιθαμῆς τὸ μῆκος αὐτῆς, καὶ περιεζώσατο αὐτὴν ὑπὸ τὸν μανδύαν ἐπὶ τὸν μηρὸν αὐτοῦ τὸν δεξιόν.

Κρ. 3,16 - Ο Αώδ κατεσκεύασε μίαν δίκοπον μάχαιραν μήκους μιας σπιθαμής, και πριν αναχωρήση δια τον Εγλώμ εκρέμασεν αυτήν κάτω από τον μανδύαν στον δεξιόν μηρόν του.

Κρ. 3,17 - καὶ ἐπορεύθη καὶ προσήνεγκε τὰ δῶρα τῷ Ἐγλὼμ βασιλεῖ Μωάβ· καὶ Ἐγλὼμ ἀνὴρ ἀστεῖος σφόδρα.

Κρ. 3,17 - Μετέβη μαζή με τους άλλους άνδρας της αποστολής και παρέδωσε τα δώρα, τον φόρον δηλαδή υποτελείας, στον Εγλώμ τον βασιλέα των Μωαβιτών. Ο δε Εγλώμ ήτο πολύ ωραίος και εύσωμος ανήρ.

Κρ. 3,18 - καὶ ἐγένετο ἡνίκα συνετέλεσεν Ἀὼδ προσφέρων τὰ δῶρα, καὶ ἐξαπέστειλε τοὺς φέροντας τὰ δῶρα·

Κρ. 3,18 - Οταν ετελείωσεν ο Αώδ προσφέρων τα δώρα, διέταξε τους άνδρας που τα έφεραν να απέλθουν. Μαζή δε με αυτούς ανεχώρησε και ο

ίδιος μέχρι πλησίον εις την τοποθεσίαν Γαλγάλ.

Κρ. 3,19 - καὶ αὐτὸς ὑπέστρεψεν ἀπὸ τῶν γλυπτῶν τῶν μετὰ τῆς Γαλγάλ. καὶ εἶπεν Ἀώδ· λόγος μοι κρύφιος πρός σε, βασιλεῦ. καὶ εἶπεν Ἐγλὼμ πρὸς αὐτόν· σιώπα· καὶ ἐξαπέστειλεν ἀφ᾿ ἑαυτοῦ πάντας τοὺς ἐφεστῶτας ἐπ᾿ αὐτόν.

Κρ. 3,19 - Ο Αώδ όμως επέστρεψε μόνος του από την περιοχήν των ειδωλολατρικών αγαλμάτων, που ήσαν πλησίον της Γαλγάλ προς τον βασιλέα Εγλώμ. Είπε δε προς αυτόν· “βασιλεύ, έχω κάποιο μυστικόν να ανακοινώσω προς σέ”. Ο Εγλώμ του είπε· “σιώπα, μη ομιλής”. Αμέσως δε διέταξε και έφυγαν από κοντά του όλοι όσοι υπήρχον γύρω του.

Κρ. 3,20 - καὶ Ἀὼδ εἰσῆλθε πρὸς αὐτόν, καὶ αὐτὸς ἐκάθητο ἐν τῷ ὑπερῴῳ τῷ θερινῷ τῷ ἑαυτοῦ μονώτατος. καὶ εἶπεν Ἀώδ· λόγος Θεοῦ μοι πρός σε, βασιλεῦ· καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου Ἐγλὼμ ἐγγὺς αὐτοῦ.

Κρ. 3,20 - Ο Αώδ κατά διαταγήν του Εγλώμ ανήλθεν στο υπερώον προς τον Εγλώμ, ο οποίος εκάθητο στο θερινόν υπερώον του εντελώς μόνος. Ο Αώδ τότε του είπε· “βασιλεύ, ο Θεός μου με έστειλε να σου φανερώσω θείαν αποκάλυψιν”. Ο Εγλώμ ηγέρθη με ορμήν από τον θρόνον του και επλησίασε με ενδιαφέρον τον Αώδ.

Κρ. 3,21 - καὶ ἐγένετο ἅμα τῷ ἀναστῆναι αὐτὸν καὶ ἐξέτεινεν Ἀὼδ τὴν χεῖρα τὴν ἀριστερὰν αὐτοῦ καὶ ἔλαβε τὴν μάχαιραν ἐπάνωθεν τοῦ μηροῦ αὐτοῦ τοῦ δεξιοῦ καὶ ἐνέπηξεν αὐτὴν ἐν τῇ κοιλίᾳ αὐτοῦ

Κρ. 3,21 - Οταν ο Εγλώμ ηγέρθη, ήπλωσε την αριστεράν του χείρα ο Αώδ ετράβηξε την μάχαιραν, η οποία εκρέματο επάνω στον δεξιόν μηρόν του και την εβύθισεν εις την κοιλίαν του Εγλώμ.

Κρ. 3,22 - καὶ ἐπεισήνεγκε καί γε τὴν λαβὴν ὀπίσω τῆς φλογός, καὶ ἐπέκλεισε τὸ στέαρ κατὰ τῆς φλογός, ὅτι οὐκ ἐξέσπασε τὴν μάχαιραν ἐκ τῆς κοιλίας αὐτοῦ.

Κρ. 3,22 - Ωθησε δε και την λαβήν της μαχαίρας και την εισήγαγεν εις την κοιλίαν μαζή με την λεπίδα. Το δε λίπος της κοιλίας του Εγλώμ εσκέπασε όλην την μάχαιραν, διότι ο Αώδ δεν την ανέσπασε από την κοιλίαν εκείνου.

Κρ. 3,23 - καὶ ἐξῆλθεν Ἀὼδ τὴν προστάδα καὶ ἐξῆλθε τοὺς διατεταγμένους καὶ ἀπέκλεισε τὰς θύρας τοῦ ὑπερῴου κατ᾿ αὐτοῦ καὶ ἐσφήνωσε·

Κρ. 3,23 - Κατόπιν ο Αώδ εβγήκεν στον προθάλαμον, επέρασεν εμπρός από τους φρουρούς, αφού προηγουμένως έκλεισε την θύραν του υπερώου και έσυρε το σχοινί, ώστε να σφηνώση εκ των έσω η θύρα.

Κρ. 3,24 - καὶ αὐτὸς ἐξῆλθε. καὶ οἱ παῖδες αὐτοῦ εἰσῆλθον καὶ εἶδον καὶ ἰδοὺ αἱ θύραι τοῦ ὑπερῴου ἐσφηνωμέναι, καὶ εἶπαν· μή ποτε ἀποκενοῖ τοὺς πόδας αὐτοῦ ἐν τῷ ταμείῳ τῷ θερινῷ;

Κρ. 3,24 - Οταν ο Αώδ εξήλθεν, οι σωματοφύλακες του βασιλέως εισήλθον στον προθάλαμον και είδον ότι αι θύραι του υπερώου, όπου έμενεν ο βασιλεύς, ήσαν κλεισταί εσωτερικώς. Είπαν δε μεταξύ των· "αι θύραι είναι κλεισμέναι· μήπως ο βασιλεύς βγάζη τα πόδια του από τα υποδήματα προς ανάπαυσιν στο ιδιαίτερον μέρος του θερινού δωματίου του;"

Κρ. 3,25 - καὶ ὑπέμειναν ἕως ᾐσχύνοντο, καὶ ἰδοὺ οὐκ ἔστιν ὁ ἀνοίγων τὰς θύρας τοῦ ὑπερῴου· καὶ ἔλαβον τὴν κλεῖδα καὶ ἤνοιξαν, καὶ ἰδοὺ ὁ κύριος αὐτῶν πεπτωκὼς ἐπὶ τὴν γῆν τεθνηκώς.

Κρ. 3,25 - 'Επεριμεναν στον προθάλαμον, μέχρις ότου ανησύχησαν και εντράπησαν να περιμένουν περισσότερον. Εκτύπησαν, και ιδού κανείς δεν ανοίγει από μέσα τας θύρας του υπερώου. Επήραν το κλειδί, ήνοιξαν και είδον αίφνης τον βασιλέα των νεκρόν πεσμένον κατά γης.

Κρ. 3,26 - καὶ Ἀὼδ διεσώθη ἕως ἐθορυβοῦντο, καὶ οὐκ ἦν ὁ προσνοῶν αὐτῷ· καὶ αὐτὸς παρῆλθε τὰ γλυπτὰ καὶ διεσώθη εἰς Σετειρωθά.

Κρ. 3,26 - Ο Αώδ, μέχρις ότου εκείνοι συνέλθουν από την ταραχήν των, εσώθη δια της φυγής και κανείς δεν έστρεψε προς αυτόν τον νουν και την προσοχήν του. Διήλθεν από την τοποθεσίαν των ειδωλολατρικών αγαλμάτων και έφθασε σώος και ανενόχλητος εις Σετειρωθά.

Κρ. 3,27 - καὶ ἐγένετο ἡνίκα ἦλθεν Ἀὼδ εἰς γῆν Ἰσραήλ, καὶ ἐσάλπισεν ἐν κερατίνῃ ἐν τῷ ὄρει Ἐφραίμ· καὶ κατέβησαν σὺν αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τοῦ ὄρους, καὶ αὐτὸς ἔμπροσθεν αὐτῶν.

Κρ. 3,27 - Οταν δε ο Αώδ έφθασεν στο ισραηλιτικόν έδαφος, εσάλπισα με κερατίνην σάλπιγγα πολεμικόν σάλπισμα στο όρος Εφραίμ. Οι Ισραηλίται ήκουσαν και υπήκουσαν στο πολεμικόν εγερτήριον, συνεκεντρώθησαν γύρω του, κατέβησαν μαζή του από το όρος και αυτός προηγείτο ως αρχηγός και οδηγός των εμπρός από αυτούς.

Κρ. 3,28 - καὶ εἶπε πρὸς αὐτούς· κατάβητε ὀπίσω μου, ὅτι παρέδωκε Κύριος ὁ Θεὸς τοὺς ἐχθροὺς ἡμῶν τὴν Μωὰβ ἐν χειρὶ ἡμῶν. καὶ κατέβησαν ὀπίσω αὐτοῦ καὶ προκατελάβοντο τὰς διαβάσεις τοῦ Ἰορδάνου τῆς Μωάβ, καὶ οὐκ ἀφῆκεν ἄνδρα διαβῆναι.

Κρ. 3,28 - Είπε δε προς αυτούς· "καταβήτε από το όρος και ελάτε μαζή μου, διότι Κυριος ο Θεός παρέδωσεν εις τα χέρια μας τους εχθρούς μας Μωαβίτας". Οι Ισραηλίται πολεμικώς συντεταγμένοι τον ηκολούθησαν, κατέλαβον τας προς την Μωάβ διαβάσστου Ιορδάνου και απέκλεισαν την δίοδον εις όλους τους εχθρούς των.

Κρ. 3,29 - καὶ ἐπάταξαν τὴν Μωὰβ τῇ ἡμέρᾳ ἐκείνῃ ὡσεὶ δέκα χιλιάδας ἀνδρῶν, πᾶν λιπαρὸν καὶ πάντα ἄνδρα δυνάμεως, καὶ οὐ διεσώθη ὁ ἀνήρ.

Κρ. 3,29 - Εκτύπησαν δε τους Μωαβίτας τους εντεύθεν του Ιορδάνου κατά την ημέραν εκείνην και εφόνευσαν δέκα περίπου χιλιάδας άνδρας. Εφόνευσαν κάθε εύρωστον και ισχυρόν άνδρα και δεν διέφυγε κανείς από τους Μωαβίτας τον θάνατον.

Κρ. 3,30 - καὶ ἐνετράπη Μωὰβ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπὸ χεῖρα Ἰσραήλ, καὶ ἡσύχασεν ἡ γῆ ὀγδοήκοντα ἔτη, καὶ ἔκρινεν αὐτοὺς Ἀὼδ ἕως οὗ ἀπέθανε.

Κρ. 3,30 - Ετσι δε εταπεινώθη και εφοβήθη η χώρα των Μωαβιτών κατά την ημέραν εκείνην κάτω από τα χέρια των Ισραηλιτών. Ησύχασε δε η χώρα των Ισραηλιτών επί ογδοήκοντα έτη. Ο Αώδ έμεινε Κριτής εις αυτούς, μέχρις ότου απέθανε.

Κρ. 3,31 - Καὶ μετ᾿ αὐτὸν ἀνέστη Σαμεγὰρ υἱὸς Δινὰχ καὶ ἐπάταξε τοὺς ἀλλοφύλους εἰς ἑξακοσίους ἄνδρας ἐν τῷ ἀροτρόποδι τῶν βοῶν· καὶ ἔσωσε καί γε αὐτὸς τὸν Ἰσραήλ.

Κρ. 3,31 - Επειτα από αυτόν ενεφανίσθη ως Κριτής των Ισραηλιτών ο Σαμεγάρ, υιός του Δινάχ, ο οποίος εφόνευσε με ένα αλετροπόδι εξακοσίους αλλοφύλους Φιλισταίους, και έσωσε και αυτός τους Ισραηλίτας από τους εχθρούς των.

## ΚΡΙΤΑΙ 4

Κρ. 4,1 - Καὶ προσέθεντο οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου· καὶ Ἀὼδ ἀπέθανε.

Κρ. 4,1 - Και πάλιν όμως οι Ισραηλίται διέπραξαν το κακόν της ειδωλολατρείας και της αμαρτίας ενώπιον του Κυρίου, αφού ήδη είχεν αποθάνει ο Αώδ.

Κρ. 4,2 - καὶ ἀπέδοτο τοὺς υἱοὺς Ἰσραὴλ Κύριος ἐν χειρὶ Ἰαβὶν βασιλέως Χαναάν, ὃς ἐβασίλευσεν ἐν Ἀσώρ· καὶ ὁ ἄρχων τῆς δυνάμεως αὐτοῦ Σισάρα, καὶ αὐτὸς κατῴκει ἐν Ἀρισὼθ τῶν ἐθνῶν.

Κρ. 4,2 - Ο Κυριος παρέδωκεν αυτούς εις τα χέρια του Ιαβίν, βασιλέως της Χαναάν, ο οποίος είχεν ως πρωτεύουσαν του βασιλείου του την Ασώρ. Αρχιστράτηγος των πολεμικών του δυνάμεων το ο Σισάρα, ο οποίος κατοικούσεν εις την πάλιν Αρισώθ, εις περιοχήν ονομαζομένην “Χωρα Εθνών”.

Κρ. 4,3 - καὶ ἐκέκραξαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον, ὅτι ἐννακόσια ἅρματα σιδηρᾶ ἦν αὐτῷ, καὶ αὐτὸς ἔθλιψε τὸν Ἰσραὴλ κατὰ κράτος εἴκοσιν ἔτη.

Κρ. 4,3 - Οι Ισραηλίται με κραυγήν μεγάλην παρεκάλεσαν τον Κυριον διότι ο εχθρός, πολύ δυνατός με τα εννεακόσια σιδηρά άρματά που είχε, κατέθλιβε τους Ισραηλίτας πάρα πολύ επί είκοσιν έτη.

Κρ. 4,4 - καὶ Δεββώρα γυνὴ προφῆτις γυνὴ Λαφιδώθ, αὕτη ἔκρινε τὸν Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ.

Κρ. 4,4 - Τοτε έζη μία γυνή Δεββώρα ονόματι προφήτις σύζυγος του Λαφιδώθ, η οποία ήτο Κριτής του ισραηλιτικού λαού κατά τον καιρόν εκείνον.

Κρ. 4,5 - καὶ αὐτὴ ἐκάθητο ὑπὸ φοίνικα Δεββώρα ἀνὰ μέσον τῆς Ῥαμὰ καὶ ἀνὰ μέσον τῆς Βαιθὴλ ἐν τῷ ὄρει Ἐφραίμ, καὶ ἀνέβαινον πρὸς αὐτὴν οἱ υἱοὶ Ἰσραὴλ εἰς κρίσιν.

Κρ. 4,5 - Η γυνή αυτή, η Δεββώρα, είχε την κατοικίαν της κάτω από ένα φοίνικα, μεταξύ των πόλεων Ραμά και Βαιθήλ στο όρος Εφραίμ και ανέβαιναν προς αυτήν οι Ισραηλίται, δια να κρίνη και δικάση τας μεταξύ των διαφοράς.

Κρ. 4,6 - καὶ ἀπέστειλε Δεββώρα καὶ ἐκάλεσε τὸν Βαρὰκ υἱὸν Ἀβινεὲμ ἐκ Κάδης Νεφθαλὶ καὶ εἶπε πρὸς αὐτόν· οὐχὶ ἐνετείλατο Κύριος ὁ Θεὸς Ἰσραήλ σοι καὶ ἀπελεύσῃ εἰς ὄρος Θαβὼρ καὶ λήψῃ μετὰ σεαυτοῦ δέκα χιλιάδας ἀνδρῶν ἐκ τῶν υἱῶν Νεφθαλὶ καὶ ἐκ τῶν υἱῶν Ζαβουλών;

Κρ. 4,6 - Η Δεββώρα έστειλε και εκάλεσεν από την πόλιν Καδης της φυλής Νεφθαλί, τον Βαράκ, υιόν του Αβινεέμ, και είπε προς αυτόν· "εσένα δεν σε διέταξε Κυριος ο Θεός να μεταβής στο όρος Θαβώρ, αφού πρώτον συγκαλέσης και καταρτίσης στρατόν εκ δέκα χιλιάδων ανδρών από τας φυλάς Νεφθαλί και Ζαβουλών;

Κρ. 4,7 - καὶ ἐπάξω πρὸς σὲ εἰς τὸν χειμάῤῥουν Κισῶν τὸν Σισάρα ἄρχοντα τῆς δυνάμεως Ἰαβὶν καὶ τὰ ἅρματα αὐτοῦ καὶ τὸ πλῆθος αὐτοῦ καὶ παραδώσω αὐτόν εἰς χεῖράς σου.

Κρ. 4,7 - Εγώ θα οδηγήσω προς σέ, στον χείμαρρον Κισών, τον Σισάρα, αρχιστράτηγον του στρατού του βασιλέως Ιαβίν, τα άρματά του και το πλήθος των στρατιωτών του, και θα παραδώσω αυτόν εις τα χέρια σου".

Κρ. 4,8 - καὶ εἶπε πρὸς αὐτὴν Βαράκ· ἐὰν πορευθῇς μετ᾿ ἐμοῦ, πορεύσομαι, καὶ ἐὰν μὴ πορευθῇς, οὐ πορεύσομαι· ὅτι οὐκ οἶδα τὴν ἡμέραν, ἐν ᾗ εὐοδοῖ Κύριος τὸν ἄγγελον μετ᾿ ἐμοῦ.

Κρ. 4,8 - Απήντησε δε προς αυτήν ο Βαράκ· "εάν πορευθής και συ μαζή μου, θα πορευθώ και εγώ. Εάν όμως δεν έλθης μαζή μου, ούτε εγώ θα προχωρήσω· διότι δεν γνωρίζω την ημέραν, κατά την οποίαν με τον άγγελόν του ο Θεός θα κατευοδώση εις επιτυχίαν τας προσπάθειάς μου".

Κρ. 4,9 - καὶ εἶπε· πορευομένη πορεύσομαι μετὰ σοῦ· πλὴν γίνωσκε ὅτι οὐκ ἔσται τὸ προτέρημά σου ἐπὶ τὴν ὁδόν, ἣν σὺ πορεύῃ, ὅτι ἐν χειρὶ γυναικὸς ἀποδώσεται Κύριος τὸν Σισάρα. καὶ ἀνέστη Δεββώρα καὶ ἐπορεύθη μετὰ τοῦ Βαρὰκ ἐκ Κάδης.

Κρ. 4,9 - Η Δεββώρα του είπε· "μάλιστα, θα πορευθώ οπωσδήποτε μαζή σου. Πλην όμως γνώριζε τούτο, ότι η δόξα δια το κατόρθωμά σου στον δρόμον, τον οποίον συ τώρα βαδίζεις δεν θα είναι ιδική σου, διότι εις τα χέρια γυναικός θα παραδώση ο Κυριος τον Σισάρα". Ηγέρθη η Δεββώρα ητοιμάσθη και εβάδισε μαζή με τον Βαράκ εκ Καδης.

Κρ. 4,10 - καὶ ἐβόησε Βαρὰκ τὸν Ζαβουλὼν καὶ τὸν Νεφθαλὶ ἐκ Κάδης, καὶ ἀνέβησαν κατὰ πόδας αὐτοῦ δέκα χιλιάδες ἀνδρῶν· καί ἀνέβη Δεββώρα

μετ᾿ αὐτοῦ.

Κρ. 4,10 - Μεγαλοφώνως δε ο Βαράκ προσεκάλεσε τας φυλάς Ζαβουλών και Νεφθαλί εις Καδης και εστρατολόγησεν άνδρας, οι οποίοι τον ηκολούθησαν δέκα χιλιάδας. Μαζή του επορεύθη και η Δεββώρα.

Κρ. 4,11 - καὶ Χαβὲρ ὁ Κιναῖος ἐχωρίσθη ἀπὸ Καινᾶ ἀπὸ τῶν υἱῶν Ἰωβὰβ γαμβροῦ Μωυσῆ καὶ ἔπηξε τὴν σκηνὴν αὐτοῦ ἕως δρυὸς πλεονεκτούντων, ἥ ἐστιν ἐχόμενα Κεδές.

Κρ. 4,11 - Ο Χαβέρ ο Κιναίος εχωρίσθη από τους άλλους Κιναίους, απογόνους του Ιωβάβ, του πενθερού του Μωϋσέως και εγκατεστάθη μέχρι της τοποθεσίας, που λέγεται “Δρυς των πλεονεκτούντων” η οποία τοποθεσία είναι πλησίον της πόλεως Κεδές.

Κρ. 4,12 - καὶ ἀνηγγέλη Σισάρᾳ, ὅτι ἀνέβη Βαρὰκ υἱὸς Ἀβινεὲμ εἰς ὄρος Θαβώρ.

Κρ. 4,12 - Ανηγγέλθη δε στον αρχιστράτηγον Σισάρα, ότι ο Βαράκ, ο υιός του Αβινεέμ, ανέβη στο όρος Θαβώρ με στρατόν.

Κρ. 4,13 - καὶ ἐκάλεσε Σισάρα πάντα τὰ ἅρματα αὐτοῦ ἐννακόσια ἅρματα σιδηρᾶ, καὶ πάντα τὸν λαὸν τὸν μετ᾿ αὐτοῦ ἀπὸ Ἀρισὼθ τῶν ἐθνῶν εἰς τὸν χειμάῤῥουν Κισῶν.

Κρ. 4,13 - Εκάλεσε τότε ο Σισάρα και επήρε μαζή του όλα τα εννεακόσια σιδηρά άρματα και όλον τον στρατόν του από την Αρισώθ της περιοχής των εθνών, και ήλθεν στον χείμαρρον Κισών.

Κρ. 4,14 - καὶ εἶπε Δεββώρα πρὸς Βαράκ· ἀνάστηθι, ὅτι αὕτη ἡ ἡμέρα, ἐν ᾗ παρέδωκε Κύριος τὸν Σισάρα ἐν τῇ χειρί σου, ὅτι Κύριος ἐξελεύσεται ἔμπροσθέν σου. καὶ κατέβη Βαρὰκ κατὰ τὸ ὄρος Θαβὼρ καὶ δέκα χιλιάδες ἀνδρῶν ὀπίσω αὐτοῦ.

Κρ. 4,14 - Είπε δε η Δεδδώρα προς τον Βαράκ· “σήκω και ετοιμάσου, διότι αυτή η ημέρα είναι εκείνη, κατά την οποίαν ο Κυριος παρέδωσε τον Σισάρα εις τα χέρια σου· διότι ο Κυριος σαν παντοδύναμος αρχιστράτηγος, θα προηγήται από σε και τον στρατόν σου”. Ο Βαράκ κατέβη από το όρος το Θαβώρ και μαζή του ακολουθούσαν αι δέκα χιλιάδες των στρατιωτών του.

Κρ. 4,15 - καὶ ἐξέστησε Κύριος τὸν Σισάρα καὶ πάντα τὰ ἅρματα αὐτοῦ καὶ πᾶσαν τὴν παρεμβολὴν αὐτοῦ ἐν στόματι ῥομφαίας ἐνώπιον Βαράκ· καὶ κατέβη Σισάρα ἐπάνωθεν τοῦ ἅρματος αὐτοῦ καὶ ἔφυγε τοῖς ποσὶν αὐτοῦ.

Κρ. 4,15 - Ενέβαλε δε ο Κυριος φόβον και τρόμον στον Σισάρα, εις όλα τα άρματά του και εις όλον τον στρατόν του, όταν αντίκρυσαν τας ρομφαίας του στρατού του Βαράκ. Ο Σισάρα τόσον ετρόμαξε και εταράχθη, ώστε κατέβη από το άρμα του και ετράπη πεζός εις φυγήν.

Κρ. 4,16 - καὶ Βαρὰκ διώκων ὀπίσω τῶν ἁρμάτων καὶ ὀπίσω τῆς παρεμβολῆς ἕως Ἀρισὼθ τῶν ἐθνῶν· καὶ ἔπεσε πᾶσα παρεμβολὴ Σισάρα

ἐν στόματι ῥομφαίας, οὐ κατελείφθη ἕως ἑνός.

Κρ. 4,16 - Ο Βαράκ ήρχισεν αμέσως να καταδιώκη πίσω από τα άρματα και πίσω από τον εχθρικόν στρατόν μέχρι εις την Αρισώθ, της περιοχής των εθνών. Ολος ο στρατός του Σισάρα έπεσεν εν στόματι μαχαίρας από τον στρατόν του Βαράκ, και δεν διεσώθη ούτε ενας.

Κρ. 4,17 - καὶ Σισάρα ἔφυγε τοῖς ποσὶν αὐτοῦ εἰς σκηνὴν Ἰαὴλ γυναικὸς Χαβὲρ ἑταίρου τοῦ Κιναίου, ὅτι εἰρήνη ἦν ἀναμέσον Ἰαβὶν βασιλέως Ἀσὼρ καὶ ἀναμέσον τοῦ οἴκου Χαβὲρ τοῦ Κιναίου.

Κρ. 4,17 - Ο δε Σισάρα έφυγε πεζός και έφθασεν εις την σκηνήν της Ιαήλ συζύγου του Χαβέρ του Κιναίου, διότι υπήρχεν ειρήνη μεταξύ Ιαβίν του βασιλέως Ασώρ και του οίκου του Χαβέρ του Κιναίου.

Κρ. 4,18 - καὶ ἐξῆλθεν Ἰαὴλ εἰς συνάντησιν Σισάρα καὶ εἶπεν αὐτῷ· ἔκκλινον, κύριέ μου, ἔκλινον πρός με, μὴ φοβοῦ· καὶ ἐξέκλινε πρὸς αὐτὴν εἰς τὴν σκηνήν. καὶ περιέβαλεν αὐτὸν ἐπιβολαίῳ.

Κρ. 4,18 - Η Ιαήλ εβγήκεν από την σκηνήν της εις συνάντησιν του Σισάρα και είπε προς αυτόν· “κύριέ μου, έλα προς το μέρος μου, έλα εις την σκηνήν μου να αναπαυθής και μη φοβησαι”. Ο Σισάρα εισήλθε πράγματι εις την σκηνήν αυτής δια να αναπαυθή και εκείνη τον εσκέπασε με ένα σκέπασμα.

Κρ. 4,19 - καὶ εἶπε Σισάρα πρὸς αὐτήν· πότισόν με δὴ μικρὸν ὕδωρ, ὅτι ἐδίψησα· καὶ ἤνοιξε τὸν ἀσκὸν τοῦ γάλακτος, καὶ ἐπότισεν αὐτὸν καὶ περιέβαλεν αὐτόν.

Κρ. 4,19 - Είπε δε ο Σισάρα προς αυτήν· “δος μου λίγο νερό να πίω, διότι εδίψησα”. Εκείνη ήνοιξε τον ασκόν που περιείχε γάλα, έδωσεν εις αυτόν να πίη και εσκέπασεν αυτόν.

Κρ. 4,20 - καὶ εἶπε πρὸς αὐτὴν Σισάρα· στῆθι δὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ ἔσται ἐὰν ἀνὴρ ἔλθῃ πρός σε καὶ ἐρωτήσῃ σε καὶ εἴπῃ· εἰ ἔστιν ὧδε ἀνήρ; καὶ ἐρεῖς· οὐκ ἔστι.

Κρ. 4,20 - Ο δε Σισάρα είπε προς αυτήν· “στάσου τώρα εις την θύραν της σκηνής· και εάν τυχόν παρουσιασθή κανένας άνθρωπος και σε ερωτήση. Μηπως είναι κανένας άνδρας εντός της σκηνής; Εσύ θα απαντήσης, δεν είναι”.

Κρ. 4,21 - καὶ ἔλαβεν Ἰαὴλ γυνὴ Χαβὲρ τὸν πάσσαλον τῆς σκηνῆς καὶ ἔθηκε τὴν σφῦραν ἐν τῇ χειρὶ αὐτῆς καὶ εἰσῆλθε πρὸς αὐτὸν ἐν κρυφῇ καὶ ἔπηξε τὸν πάσσαλον ἐν τῷ κροτάφῳ αὐτοῦ, καὶ διεξῆλθεν ἐν τῇ γῇ· καὶ αὐτὸς ἐξεστὼς ἐσκοτώθη καὶ ἀπέθανε.

Κρ. 4,21 - Η Ιαήλ, η σύζυγος του Χαβέρ, εβγήκεν από την σκηνήν επήρε στο ένα χέρι της πάσσαλον της σκηνής και στο άλλο χέρι της το σφυρί και, ενώ ο Σισάρα εκοιμάτο, εισήλθεν ήσυχα εις την σκηνήν επλησίασε τον Σισάρα και εκάρφωσε τον πάσσαλον δια της σφύρας στον κρόταφον αυτού, εξήλθεν ο πάσσαλος από το άλλο μέρος και εσφηνώθη εις την γην. Ο δε

Σισάρα, κοιμισμένος καθώς ήτο, περιήλθεν αμέσως στο επιθανάτιον σκότος και απέθανε.

Κρ. 4,22 - καὶ ἰδοὺ Βαρὰκ διώκων τὸν Σισάρα, καὶ ἐξῆλθεν Ἰαὴλ εἰς συνάντησιν αὐτῷ καὶ εἶπεν αὐτῷ· δεῦρο καὶ δείξω σοι τὸν ἄνδρα, ὃν σὺ ζητεῖς. καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἰδοὺ Σισάρα ἐῤῥιμμένος νεκρὸς καὶ ὁ πάσσαλος ἐν τῷ κροτάφῳ αὐτοῦ.

Κρ. 4,22 - Και ιδού ο Βαράκ, καταδιώκων τον Σισάρα παρουσιάσθη εκεί, η δε Ιαήλ εξήλθεν εις συνάντησίν του και του ειπε· “έλα να σου δείξω τον άνδρα τον οποίον καταδιώκεις”. Ο Βαράκ εισήλθεν εις την σκηνήν και ιδού ότι ο Σισάρα ήτο ξαπλωμένος κάτω νεκρός, ο δε πάσσαλος έμενε σφηνωμένος στον κρόταφόν του.

Κρ. 4,23 - καὶ ἐτρόπωσεν ὁ Θεὸς τὸν Ἰαβὶν βασιλέα Χαναὰν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔμπροσθεν τῶν υἱῶν Ἰσραήλ.

Κρ. 4,23 - Ετσι ο Θεός κατετρόπωσε κατά την ημέραν εκείνην ενώπιον των Ισραηλιτών τον Ιαβίν τον βασιλέα της Χαναάν.

Κρ. 4,24 - καὶ ἐπορεύετο χεὶρ τῶν υἱῶν Ἰσραὴλ πορευομένη καὶ σκληρυνομένη ἐπὶ Ἰαβὶν βασιλέα Χαναάν, ἕως οὗ ἐξωλόθρευσαν τὸν Ἰαβὶν βασιλέα Χαναάν.

Κρ. 4,24 - Από την ημέραν δε εκείνην εγίνοντο ολονέν και ισχυρότεροι οι Ισραηλίται εναντίον του Ιαβίν βασιλέως της Χαναάν, μέχρις ότου αυτοί εξωλόθρευσαν τον Ιαβίν βασιλέα της Χαναάν.

## ΚΡΙΤΑΙ 5

Κρ. 5,1 - Καὶ ᾖσαν Δεββώρα καὶ Βαρὰκ υἱὸς Ἀβινεὲμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ λέγοντες·

Κρ. 5,1 - Η Δεββώρα και ο Βαράκ υιός του Αβινεέμ έψαλαν επινίκιον ύμνον κατά την ημέραν εκείνην λέγοντες·

Κρ. 5,2 - Ἀπεκαλύφθη ἀποκάλυμμα ἐν Ἰσραήλ· ἐν τῷ ἑκουσιασθῆναι λαόν, εὐλογεῖτε Κύριον.

Κρ. 5,2 - “ελευθέρα και χαρούμενη απεκαλύφθη η κεφαλή του ισραηλιτικού λαού ύστερα από τον ολοπρόθυμον και νικηφόρον πόλεμον που έκαμαν. Ευλογείτε τον Κυριον·

Κρ. 5,3 - ἀκούσατε, βασιλεῖς, καὶ ἐνωτίσασθε, σατράπαι· ἐγώ εἰμι τῷ Κυρίῳ, ἐγώ εἰμι, ᾄσομαι, ψαλῶ τῷ Κυρίῳ τῷ Θεῷ Ἰσραήλ.

Κρ. 5,3 - βασιλείς ακούσατε, σατράτται ανοίξατε τα αυτιά σας· εγώ ανήκω στον Κυριον, εγώ υπάρχω χάρις εις αυτόν. Θα τραγουδήσω και με μουσικά όργανα θα ψάλω δοξολογίας στον Κυριον τον Θεόν Ισραήλ.

Κρ. 5,4 - Κύριε, ἐν τῇ ἐξόδῳ σου ἐν Σηείρ, ἐν τῷ ἀπαίρειν σε ἐξ ἀγροῦ Ἐδώμ, γῆ ἐσείσθη καὶ ὁ οὐρανὸς ἔσταξε δρόσους, καὶ αἱ νεφέλαι ἔσταξαν

ὕδωρ·

Κρ. 5,4 - Κυριε, κατά την έξοδόν σου από το όρος Σηείρ, όταν εξεκινούσες και αναχωρούσες από τας πεδιάδας της Ιδουμαίας, η γη εσείσθη, ο ουρανός έσταξε δροσιές και αι νεφέλαι έβρεξαν ύδωρ.

Κρ. 5,5 - ὄρη ἐσαλεύθησαν ἀπὸ προσώπου Κυρίου Ἐλωΐ, τοῦτο Σινὰ ἀπὸ προσώπου Κυρίου Θεοῦ Ἰσραήλ.

Κρ. 5,5 - Τα όρη συνεκλονίσθησαν ενώπιον Κυρίου Ελωΐ. Τούτο το όρος Σινά εσείσθη από την εμφάνισιν Κυρίου του Θεού του Ισραήλ όπως και τώρα που με την δύναμιν του Κυρίου συνετρίβη ο Σισάρα.

Κρ. 5,6 - ἐν ἡμέραις Σαμεγὰρ υἱοῦ Ἀνάθ, ἐν ἡμέραις Ἰαὴλ ἐξέλιπον ὁδοὺς καὶ ἐπορεύθησαν ἀτραπούς, ἐπορεύθησαν ὁδοὺς διεστραμμένας·

Κρ. 5,6 - Κατά την εποχήν Σαμεγάρ του υιού Ανάθ, κατά τας ημέρας εκείνας της Ιαήλ, ήσαν χωρίς ανθρώπους αι μεγάλαι οδοί, διότι οι άνθρωποι ένεκα φόβου εβάδιζαν από τα μονοπάτια, εκυκλοφορούσαν από ανωμάλους παρόδους.

Κρ. 5,7 - ἐξέλιπον δυνατοὶ ἐν Ἰσραήλ, ἐξέλιπον, ἕως οὗ ἀνέστη Δεββώρα, ἕως οὗ ἀνέστη μήτηρ ἐν Ἰσραήλ.

Κρ. 5,7 - Δεν υπήρχον τότε ισχυροί άνδρες μεταξύ των Ισραηλιτών, μέχρις ότου ενεφανίσθη η Δεββώρα, μέχρις ότου παρουσιάσθη αυτή, η μητέρα του ισραηλιτικού λαού.

Κρ. 5,8 - ἐξελέξαντο θεοὺς καινούς· τότε ἐπολέμησαν πόλεις ἀρχόντων· θυρεὸς ἐὰν ὀφθῇ καὶ λόγχη ἐν τεσσαράκοντα χιλιάσιν ἐν Ἰσραήλ.

Κρ. 5,8 - Είχον παραστρατήσει οι Ισραηλίται εις την ειδωλολατρείαν. Εξέλεξαν νέους ψευδείς θεούς. Αι πόλεις αντεμάχοντο η μία την άλλην δια τους άρχοντας. Ούτε μία ασπίδα, ούτε μία λόγχη δεν υπήρχε εις σαράντα χιλιάδας Ισραηλίτας !

Κρ. 5,9 - ἡ καρδία μου εἰς τὰ διατεταγμένα τῷ Ἰσραήλ· οἱ ἑκουσιαζόμενοι ἐν λαῷ εὐλογεῖτε Κύριον.

Κρ. 5,9 - Η ιδική μου όμως καρδιά ήτο πειθαρχική εις τας εντολάς του Θεού προς τον ισραηλιτικόν λαόν. Οσοι από τον λαόν αυτόν με την θέλησίν σας λατρεύετε τον Θεόν, ευλογείτε τον Κυριον.

Κρ. 5,10 - ἐπιβεβηκότες ἐπὶ ὄνου θηλείας μεσημβρίας, καθήμενοι ἐπὶ κριτηρίου καὶ πορευόμενοι ἐπὶ ὁδοὺς συνέδρων ἐφ᾿ ὁδῷ,

Κρ. 5,10 - Οσοι είσθε ανεβασμένοι επάνω εις θήλειαν όνον, όσοι καθέσθε εις δικαστικήν έδραν και οι πεζοί που βαδίζετε την οδόν των δικαστηρίων,

Κρ. 5,11 - διηγεῖσθε ἀπὸ φωνῆς ἀνακρουομένων ἀνὰ μέσον ὑδρευομένων· ἐκεῖ δώσουσι δικαιοσύνας Κυρίῳ, δικαιοσύνας αὔξησον ἐν Ἰσραήλ. τότε κατέβη εἰς τὰς πόλεις λαὸς Κυρίου.

Κρ. 5,11 - διηγηθήτε την μεγάλην αυτήν νίκην με ήχον μουσικών οργάνων, εν μέσω γυναικών που παίρνουν νερό από τας πηγάς· ιστορήσατε την νίκην. Ετσι θα εκφράσετε την ευγνωμοσύνην και θα δοξολογήσετε τον

Θεόν τον ευεργέτην του Ισραήλ. Ω ! Κυριε, πολλαπλασίασε τας ευεργεσίας σου στον λαόν σου. Τοτε είχε κατεβή εις τας πόλεις ο λαός του Κυρίου και έκαμε τον νικηφόρον πόλεμον.

Κρ. 5,12 - ἐξεγείρου, ἐξεγείρου, Δεββώρα. ἐξεγείρου, ἐξεγείρου, λάλησον ᾠδήν· ἀνάστα Βαράκ, καὶ αἰχμαλώτισον αἰχμαλωσίαν σου, υἱὸς Ἀβινεέμ.

Κρ. 5,12 - Σηκω ορθή, σήκω Δεββώρα ! Σηκω, σήκω και ψάλε την ωδήν. Σηκω και συ Βαράκ, και δείξε το πλήθος των αιχμαλώτων σου, υιέ Αβινεέμ.

Κρ. 5,13 - τότε κατέβη κατάλειμμα τοῖς ἰσχυροῖς, λαὸς Κυρίου κατέβη αὐτῷ ἐν τοῖς κραταιοῖς.

Κρ. 5,13 - Τοτε κατά τον πόλεμον κατέβη η υπόλοιπος δύναμις των ισχυρών του Ισραήλ, κατέβη ο λαός του Κυρίου ο ισχυρός μαζή με τον Βαράκ.

Κρ. 5,14 - ἐξ ἐμοῦ Ἐφραὶμ ἐξεῤῥίζωσεν αὐτοὺς ἐν τῷ Ἀμαλήκ· ὀπίσω σου Βενιαμὶν ἐν τοῖς λαοῖς σου. ἐν ἐμοὶ Μαχὶρ κατέβησαν ἐξερευνῶντες καὶ ἀπὸ Ζαβουλὼν ἕλκοντες ἐν ῥάβδῳ διηγήσεως γραμματέως.

Κρ. 5,14 - Από την φυλήν Εφραίμ ήλθον και έλαβον μέρος στον πόλεμον όσοι είχον εγκατασταθή εις την περιοχήν των Αμαληκιτών. Ω ! Εφραίμ, πίσω από σε ακολουθούσε η φυλή του Βενιαμίν μαζή μου κατέβησαν η φυλή του Μαχίρ με τους προπορευόμενους της δια την ανακάλυψιν των εχθρών και από την φυλήν Ζαβουλών οι κρατούντες γραφίδα, δια νο ιστορούν ως γραμματείς τα γεγονότα.

Κρ. 5,15 - καὶ ἀρχηγοὶ ἐν Ἰσσάχαρ μετὰ Δεββώρας καὶ Βαράκ, οὕτω Βαρὰκ ἐν κοιλάσιν ἀπέστειλεν ἐν ποσὶν αὐτοῦ. εἰς τὰς μερίδας Ῥουβὴν μεγάλοι ἐξικνούμενοι καρδίαν.

Κρ. 5,15 - Εις τον πόλεμον αυτόν ηκολούθησαν οι αρχηγοί της φυλής Ισσάχαρ μαζή με τον Βαράκ και την Δεββώραν. Ετσι ο Βαράκ έστειλε τον στρατόν δια μέσου της πεδιάδος και αυτός μαζή με αυτούς. Η φυλή Ρουβήν είχε διασπασθή εις φατρίας· δεν έλαβε μέρος στον πόλεμον έως εις τα βάθή της καρδιάς της μεγάλοι οι ενδοιασμοί της.

Κρ. 5,16 - εἱς τί ἐκάθισαν ἀνὰ μέσον τῆς διγομίας τοῦ ἀκοῦσαι συρισμοῦ ἀγγέλων; εἰς διαιρέσεις Ῥουβὴν μεγάλοι ἐξετασμοὶ καρδίας.

Κρ. 5,16 - Διατί εκάθησαν ανά μέσον των φορτωμένων ζώων των και επερίμεναν αργοί να ακούσουν ειδοποίησιν αγγέλων; Οι μεγάλοι ενδοιασμοί έφεραν εις αυτούς διάσπασιν.

Κρ. 5,17 - Γαλαὰδ ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐσκήνωσε· καὶ Δὰν εἰς τί παροικεῖ πλοίοις; Ἀσὴρ ἐκάθισε παραλίαν θαλασσῶν καὶ ἐπὶ διεξόδοις αὐτοῦ σκηνώσει.

Κρ. 5,17 - Και η φυλή του Γαλαάδ αδιάφορος έμενεν εις τας κατασκηνώσεις της πέραν του Ιορδάνου. Συ δε η φυλή του Δαν διατί μένεις ασυγκίνητος πλησίον εις τα πλοία σου; Η φυλή του Ασήρ εκάθησε και αυτή

αδιάφορος εις τα παράλιά της και στους λιμένας, διεξόδους των πλοίων, έχει εγκατασταθή.

Κρ. 5,18 - Ζαβουλὼν λαὸς ὠνείδισε ψυχὴν αὐτοῦ εἰς θάνατον καὶ Νεφθαλὶ ἐπὶ ὕψη ἀγροῦ.

Κρ. 5,18 - Αι φυλαί όμως Ζαβουλών και Νεφθαλί εξέθεσαν εις κίνδυνον την ζωήν των επάνω εις τα οροπέδια.

Κρ. 5,19 - ἦλθον αὐτῶν βασιλεῖς, παρετάξαντο, τότε ἐπολέμησαν βασιλεῖς Χαναὰν ἐν Θαναὰχ ἐπὶ ὕδατι Μαγεδδώ· δῶρον ἀργυρίου οὐκ ἔλαβον.

Κρ. 5,19 - Ηλθον εναντίον των οι αρχηγοί των εχθρικών δυνάμεων, παρετάχθησαν κατ' αυτών, επολέμησαν οι ηγεμόνες των Χαναναίων κατά των φύλων Ζαβουλών και Νεφθαλί πλησίον της Θαναάχ και των υδάτων της Μαγεδδώ. Ηττήθησαν όμως και κανένα λάφυρον δεν έλαβον.

Κρ. 5,20 - ἐξ οὐρανοῦ παρετάξαντο οἱ ἀστέρες, ἐκ τρίβων αὐτῶν παρετάξαντο μετὰ Σισάρα.

Κρ. 5,20 - Από τον ουρανόν αντιπαρετάχθησαν εναντίον αυτών οι αστέρες, αι οδοί των εστράφησαν κατά του Σισάρα.

Κρ. 5,21 - χειμάῤῥους Κισῶν ἐξέσυρεν αὐτούς, χειμάῤῥους ἀρχαίων, χειμάῤῥους Κισῶν· καταπατήσει αὐτὸν ψυχή μου δυνατή.

Κρ. 5,21 - Ο χείμαρρος Κισών παρέσυρε τα πτώματά των, ο αρχαίος αυτός χείμαρρος, ο χείμαρρος Κισών. Η ψυχή μου, ισχυρά και ακατάβλητος με την συμπαράστασιν του Θεού, θα καταπατήση τον εχθρόν.

Κρ. 5,22 - ὅτε ἐνεποδίσθησαν πτέρναι ἵππου, σπουδῇ ἔσπευσαν ἰσχυροὶ αὐτοῦ.

Κρ. 5,22 - Οταν οι πόδες των ίππων περιεπλάκησαν, πεζή έσπευσαν να σωθούν δια της φυγής οι ισχυροί εχθροί.

Κρ. 5,23 - καταρᾶσθε Μηρώζ, εἶπεν ἄγγελος Κυρίου, καταρᾶσθε, ἐπικατάρατος πᾶς ὁ κατοικῶν αὐτήν, ὅτι οὐκ ἤλθοσαν εἰς βοήθειαν Κυρίου, εἰς βοήθειαν ἐν δυνατοῖς.

Κρ. 5,23 - Καταρασθήτε την Μηρώζ είπεν ο άγγελος Κυρίου, καταρασθήτέ την· κατηραμένος ας είναι κάθε κάτοικος αυτής, διότι δεν ήλθον να βοηθήσουν τους Ισραηλίτας στον παρά Κυρίου ιερόν αυτόν πόλεμον, δεν ήλθον εις βοήθειαν των αδελφών των με τας δυνάμεις των.

Κρ. 5,24 - εὐλογηθείη ἐν γυναιξὶν Ἰαὴλ γυνὴ Χαβὲρ τοῦ Κιναίου, ἀπὸ γυναικῶν ἐν σκηναῖς εὐλογηθείη.

Κρ. 5,24 - Ας είναι ευλογημένη μεταξύ των γυναικών η Ιαήλ, η σύζυγος Χαβέρ του Κιναίου. Αυτή ας είναι ευλογημένη μεταξύ των άλλων γυναικών που ζουν εις σκηνάς.

Κρ. 5,25 - ὕδωρ ᾔτησε, γάλα ἔδωκεν, ἐν λεκάνῃ ὑπερεχόντων προσήνεγκε βούτυρον.

Κρ. 5,25 - Νερό της εζήτησεν ο Σισάρα, γάλα του έδωκεν αυτή και με λεκάνην αρχοντικήν του προσέφερε βούτυρον.

Κρ. 5,26 - χεῖρα αὐτῆς ἀριστερὰν εἰς πάσσαλον ἐξέτεινε καὶ δεξιὰν αὐτῆς εἰς σφῦραν κοπιώντων καὶ ἐσφυροκόπησε Σισάρα, διήλωσε κεφαλὴν αὐτοῦ καὶ ἐπάταξε, διήλωσε κρόταφον αὐτοῦ.

Κρ. 5,26 - Κατόπιν όμως ήπλωσε το αριστερόν της χέρι και επήρε πάσσαλον και με το δεξί της την σφύραν των εργατών και εσφυροκόπησε τον Σισάρα. Διεπέρασε σαν με τεράστιο καρφί την κεφαλήν του, εκτύπησε τον πάσσαλον, διεπέρασε και εκάρφωσε τον κρόταφόν του.

Κρ. 5,27 - ἀνὰ μέσον τῶν ποδῶν αὐτῆς κατεκυλίσθη, ἔπεσε καὶ ἐκοιμήθη· ἀνὰ μέσον τῶν ποδῶν αὐτῆς κατακλιθεὶς ἔπεσε· καθὼς κατεκλίθη, ἐκεῖ ἔπεσεν ἐξοδευθείς.

Κρ. 5,27 - Ο Σισάρα εμπρός εις τα πόδια της εκυλίσθη με σφαδασμούς, έως ότου απέθανε. Μπροστά εις τα πόδια της έπέσε και εξεψύχησεν ο περίφημος Σισάρα. Από εκεί που έπεσε νεκρός μετεφέρθη έπειτα δια να κηδευθή εις την πατρίδα του.

Κρ. 5,28 - διὰ τῆς θυρίδος παρέκυψε μήτηρ Σισάρα ἐκτὸς τοῦ τοξικοῦ, διότι ᾐσχύνθη ἅρμα αὐτοῦ, διότι ἐχρόνισαν πόδες ἁρμάτων αὐτοῦ.

Κρ. 5,28 - Η μητέρα του Σισάρα έσκυψε από την θυρίδα έξω από την πολεμίστρα και παρατηρούσε· εκουράσθη περιμένουσα να ίδη επιστρέφον το άρμα του παιδιού της, διότι εβράδυναν πολύ οι τροχοί του άρματος δια την μεταφοράν αυτού.

Κρ. 5,29 - αἱ σοφαὶ ἄρχουσαι αὐτῆς ἀπεκρίθησαν πρὸς αὐτήν, καὶ αὐτὴ ἀπέστρεψε λόγους αὐτῆς ἑαυτῇ.

Κρ. 5,29 - Αι συνεταί αρχόντισσαι που την περιεστοίχιζαν απηύθυναν προς αυτήν λόγους παρηγορίας και αυτή πενθούσα έλεγε προς τον εαυτόν της·

Κρ. 5,30 - οὐχ εὑρήσουσιν αὐτὸν διαμερίζοντα σκῦλα; οἰκτίρμων οἰκτειρήσει εἰς κεφαλὴν ἀνδρός· σκῦλα βαμμάτων τῷ Σισάρᾳ, σκῦλα βαμμάτων ποικιλίας, βάμματα ποικιλτῶν αὐτά, τῷ τραχήλῳ αὐτοῦ σκῦλα.

Κρ. 5,30 - “εάν μεταβούν μερικοί προς συνάντησίν του δεν θα τον εύρουν να διαμοιράζη τα λάφυρα της νίκης; Μεγολόκαρδος, θα λυπηθή και δεν θα κόψη τας κεφαλάς των αιχμαλώτων. Πολλά λάφυρα, ενδύματα διαφόρων χρωμάτων, κεντητά πολύχρωμα, λάφυρα του πολέμου θα κρέμωνται στον λαιμόν αυτού ! Αλλά ο υιός μου είναι νεκρός”.

Κρ. 5,31 - οὕτως ἀπόλοιντο πάντες οἱ ἐχθροί σου, Κύριε· καὶ οἱ ἀγαπῶντες αὐτὸν ὡς ἔξοδος ἡλίου ἐν δυνάμει αὐτοῦ. Καὶ ἡσύχασεν ἡ γῆ τεσσαράκοντα ἔτη.

Κρ. 5,31 - Είθε, Κυριε, έτσι, όπως ο Σισάρα να απολεσθούν όλοι οι εχθροί σου. Οσοι δέ σε αγαπούν, ας λάμψουν ωσάν τον ανατέλλοντα ήλιον

κατά την μεγάλην του δύναμιν”. Επειτα από αυτά ησύχασεν η χώρα επί τεσσαράκοντα έτη.

## ΚΡΙΤΑΙ 6

Κρ. 6,1 - Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἔδωκεν αὐτοὺς Κύριος ἐν χειρὶ Μαδιὰμ ἑπτὰ ἔτη.

Κρ. 6,1 - Παλιν όμως οι Ισραηλίται ημάρτησαν, εξέκλιναν εις την ειδωλολατρείαν και την αμαρτίαν ενώπιον του Θεού, δι' αυτό και τους παρέδωκεν ο Θεός εις τα χέρια των Μαδιανιτών επί επτά έτη.

Κρ. 6,2 - καὶ ἴσχυσε χεὶρ Μαδιὰμ ἐπὶ Ἰσραήλ· καὶ ἐποίησαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ προσώπου Μαδιὰμ τὰς τρυμαλιὰς τὰς ἐν τοῖς ὄρεσι καὶ τὰ σπήλαια καὶ τὰ κρεμαστά.

Κρ. 6,2 - Οι δε Μαδιανίται τους κατέθλιβον πάρα πολύ. Οι Ισραηλίται φεύγοντες τας καταπιέσεις των Μαδιανιτών ετράπησαν και εκρύβησαν εις όπάς που ήνοιγον εις τα όρη, εις τα σπήλαια και εις αποτόμους βράχους.

Κρ. 6,3 - καὶ ἐγένετο ἐὰν ἔσπειραν οἱ υἱοὶ Ἰσραήλ, καὶ ἀνέβαινον Μαδιὰμ καὶ Ἀμαλήκ, καὶ οἱ υἱοὶ ἀνατολῶν συνανέβαινον αὐτοῖς· καὶ παρενέβαλον εἰς αὐτοὺς

Κρ. 6,3 - Οταν οι Ισραηλίται έσπερναν και επλησίαζεν ο καιρός του θερισμού, ήρχοντο οι Μαδιανίται και οι Αμαληκίται μαζή δέ με αυτούς και νομάδες της αραβικής ερήμου και επετίθεντο εναντίον των,

Κρ. 6,4 - καὶ κατέφθειραν τοὺς καρποὺς αὐτῶν ἕως ἐλθεῖν εἰς Γάζαν καὶ οὐ κατελείποντο ὑπόστασιν ζωῆς ἐν τῇ γῇ Ἰσραὴλ οὐδὲ ἐν τοῖς ποιμνίοις ταῦρον καὶ ὄνον·

Κρ. 6,4 - εθεριζαν αυτοί τα γεννήματά των και κατέστρεφαν την άλλην παραγωγήν μέχρι της Γαζης και δεν άφηναν καμμίαν τροφήν προς συντήρησιν εις την χώραν των Ισραηλιτών, μεταξύ δε των κοπαδιών ούτε ταυρον ούτε όνον.

Κρ. 6,5 - ὅτι αὐτοὶ καὶ αἱ κτήσεις αὐτῶν ἀνέβαινον καὶ αἱ σκηναὶ αὐτῶν παρεγίνοντο καθὼς ἀκρὶς εἰς πλῆθος, καὶ αὐτοῖς καὶ ταῖς καμήλοις αὐτῶν οὐκ ἦν ἀριθμός, καὶ ἤρχοντο εἰς τὴν γῆν Ἰσραὴλ καὶ διέφθειρον αὐτήν.

Κρ. 6,5 - Οι εχθροί εισωρμούσαν εις την Παλαιστίνην αυτοί και τα ζώα των και όλος ο όχλος των, πολυάριθμοι ωσάν τας ακρίδας. Αυτοί και αι κάμηλοί των ήσαν αναρίθμητοι. Εισωρμούσαν εις την γην του Ισραήλ και την κατέστρεφαν εξ ολοκλήρου.

Κρ. 6,6 - καὶ ἐπτώχευσεν Ἰσραὴλ σφόδρα ἀπὸ προσώπου Μαδιάμ,

Κρ. 6,6 - Ετσι δε οι Ισραηλίται κατήντησαν εις μεγάλην πτωχείαν και πείναν εξ αιτίας των λεηλασιών και καταπιέσεων από τους Μαδιανίτας.

Κρ. 6,7 - καὶ ἐβόησαν υἱοὶ Ἰσραὴλ πρὸς Κύριον ἀπὸ προσώπου Μαδιάμ.

Κρ. 6,7 - Εκραξαν τότε οι Ισραηλίται προς τον Κυριον με πίστιν και εζήτησαν σωτηρίαν από την μάστιγα των Μαδιανιτών.

Κρ. 6,8 - καὶ ἐξαπέστειλε Κύριος ἄνδρα προφήτην πρὸς τοὺς υἱοὺς Ἰσραήλ, καὶ εἶπεν αὐτοῖς· τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ· ἐγώ εἰμι ὃς ἀνήγαγον ὑμᾶς ἐκ γῆς Αἰγύπτου καὶ ἐξήγαγον ὑμᾶς ἐξ οἴκου δουλείας ὑμῶν

Κρ. 6,8 - Τοτε ο Κυριος έστειλε προς τους Ισραηλίτας άνδρα προφήτην, ο οποίος και είπε προς αυτούς· “αυτά λέγει Κυριος ο Θεός του Ισραήλ· Εγώ είμαι εκείνος ο ποίος σας ανεβίβασα από την Αίγυπτον, εγώ σας έβγαλα από την χώραν εκείνην της δουλείας σας.

Κρ. 6,9 - καὶ ἐῤῥυσάμην ὑμᾶς ἐκ χειρὸς Αἰγύπτου καὶ ἐκ χειρὸς πάντων τῶν θλιβόντων ὑμᾶς καὶ ἐξέβαλον αὐτοὺς ἐκ προσώπου ὑμῶν καὶ ἔδωκα ὑμῖν τὴν γῆν αὐτῶν

Κρ. 6,9 - Σας απήλλαξα από την τυραννίαν της Αιγύπτου, από την καταπίεσιν εκείνων που σας κατέθλιβαν· τους απεμάκρυνα από κοντά σας, σας έφερα εις την γην της Επαγγελίας, την οποίαν και έδωκα ως ιδικήν σας.

Κρ. 6,10 - καὶ εἶπα ὑμῖν· ἐγὼ Κύριος ὁ Θεὸς ὑμῶν, οὐ φοβηθήσεσθε τοὺς θεοὺς τοῦ Ἀμοῤῥαίου, ἐν οἷς ὑμεῖς κάθησθε ἐν τῇ γῇ αὐτῶν· καὶ οὐκ εἰσηκούσατε τῆς φωνῆς μου.

Κρ. 6,10 - Και σας είπα· Εγώ θα είμαι Κυριος ο Θεός σας· δεν θα σεβασθήτε και δεν θα λατρεύσετε τους θεούς των Αμορραίων, εις την χώραν των οποίων σεις μεταξύ αυτών έχετε εγκατασταθή. Αλλά σεις δεν υπηκούσατε εις την εντολήν μου”.

Κρ. 6,11 - Καὶ ἦλθεν ἄγγελος Κυρίου καὶ ἐκάθισεν ὑπὸ τὴν τερέμινθον τὴν ἐν Ἐφραθὰ τὴν Ἰωὰς πατρὸς τοῦ Ἐσδρί, καὶ Γεδεὼν ὁ υἱὸς αὐτοῦ ῥαβδίζων σῖτον ἐν ληνῷ εἰς ἐκφυγεῖν ἀπὸ προσώπου τοῦ Μαδιάμ.

Κρ. 6,11 - Αγγελος δε Κυρίου ήλθε και εκάθησε κάτω από την τερέβινθον την ευρισκομένην εις την πόλιν Εφραθά η οποία ανήκεν στον Ιωάς, τον καταγόμενον από την πατριάν Εσδρί. Την ώραν εκείνην ο Γεδεών, υιός του Ιωάς ερράβδιζε τα στάχυα κρυπτόμενος εντός του ληνού, δια να αποφύγη τους Μαδιανίτας.

Κρ. 6,12 - καὶ ὤφθη αὐτῷ ὁ ἄγγελος Κυρίου καὶ εἶπε πρὸς αὐτόν· Κύριος μετὰ σοῦ, ἰσχυρὸς τῶν δυνάμεων.

Κρ. 6,12 - Εις αυτόν παρουσιάσθη ο άγγελος Κυρίου και του είπε· “ο Κυριος, ο ισχυρός και κραταιός είναι μαζή σου”!

Κρ. 6,13 - καὶ εἶπε πρὸς αὐτὸν Γεδεών· ἐν ἐμοί, Κύριέ μου, καὶ εἰ ἔστι Κύριος μεθ᾿ ἡμῶν, εἰς τί εὗρεν ἡμᾶς τὰ κακὰ ταῦτα; καὶ ποῦ ἐστι πάντα τὰ θαυμάσια αὐτοῦ, ἃ διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν λέγοντες, μὴ οὐχὶ ἐξ

Αἰγύπτου ἀνήγαγεν ἡμᾶς Κύριος; καὶ νῦν ἐξέῤῥιψεν ἡμᾶς καὶ ἔδωκεν ἡμᾶς ἐν χειρὶ Μαδιάμ.

Κρ. 6,13 - Ο Γεδεών απήντησε προς τον άγγελον· “Κυριέ μου, είναι μαζή μας ο Θεός; Εάν πράγματι ο Κυριος είναι μαζή μας, τότε διατί μας ευρήκαν τα φοβερά και ατελείωτα αυτά κακά; Και που είναι τα θαυμαστά εκείνα έργα αυτού, τα οποία διηγήθησαν εις ημάς οι πατέρες μας λέγοντες· Ο Κυριος δεν είναι εκείνος, ο οποίος μας έβγαλεν ελευθέρους από την Αίγυπτον; Τωρα όμως μας απέρριψε και μας παρέδωκεν εις τα χέρια των Μαδιανιτών” !

Κρ. 6,14 - καὶ ἐπέστρεψε πρὸς αὐτὸν ὁ ἄγγελος Κυρίου καὶ εἶπε· πορεύου ἐν τῇ ἰσχύϊ σου ταύτῃ καὶ σώσεις τὸν Ἰσραὴλ ἐκ χειρὸς Μαδιάμ· ἰδοὺ ἐξαπέστειλά σε.

Κρ. 6,14 - Εστράφη ο άγγελος Κυρίου προς αυτόν και του είπε· “πήγαινε και με αυτήν την δύναμιν που έχεις θα ελευθερώσης τους Ισραηλίτας από τα χέρια των Μαδιανιτών. Ιδού εγώ σε έχω στείλει δια τον σκοπόν αυτόν”.

Κρ. 6,15 - καὶ εἶπε πρὸς αὐτὸν Γεδεών· ἐν ἐμοί, Κύριέ μου, ἐν τίνι σώσω τὸν Ἰσραήλ; ἰδοὺ ἡ χιλιάς μου ἠσθένησεν ἐν Μανασσῇ, καὶ ἐγώ εἰμι μικρότερος ἐν οἴκῳ τοῦ πατρός μου.

Κρ. 6,15 - Ο Γεδεών είπε προς αυτόν· “εγώ, Κυριέ μου; Και με ποίαν δύναμιν θα σώσω τους Ισραηλίτας; Ιδού η πολυάριθμος γενεά μου εις την φυλήν του Μανασσή έχει εξασθενήσει και εγώ είμαι ο μικρότερος μέσα εις την πατρικήν μου οικογένειαν”.

Κρ. 6,16 - καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄγγελος Κυρίου· Κύριος ἔσται μετὰ σοῦ, καὶ πατάξεις τὴν Μαδιὰμ ὡσεὶ ἄνδρα ἕνα.

Κρ. 6,16 - Ο δε άγγελος Κυρίου του είπε· “ο Κυριος θα είναι μαζή σου και θα εξοντώσης τους Μαδιανίτας, ωσάν να είναι ένας άνθρωπος”.

Κρ. 6,17 - καὶ εἶπε πρὸς αὐτὸν Γεδεών· εἰ δὴ εὗρον ἔλεος ἐν ὀφθαλμοῖς σου καὶ ποιήσεις μοι σήμερον πᾶν ὅ,τι ἐλάλησας μετ᾿ ἐμοῦ,

Κρ. 6,17 - Ο Γεδεών είπε προς αυτόν· “εάν εγώ ευρίσκω κάποιον συμπάθειαν και καλωσύνην ενώπιόν σου και πραγματοποίησης εις εμέ σήμερον ολα όσα μου είπες,

Κρ. 6,18 - μὴ χωρισθῇς ἐντεῦθεν ἕως τοῦ ἐλθεῖν με πρός σε, καὶ ἐξοίσω τὴν θυσίαν καὶ θύσω ἐνώπιόν σου. καὶ εἶπεν· ἐγώ εἰμι, καθήσομαι ἕως τοῦ ἐπιστρέψαι σε.

Κρ. 6,18 - μη απομακρυνθης από εδώ, μέχρις ότου επανέλθω κοντά σου και φέρω ζώον προς θυσίαν, δια να θυσιάσω ενώπιόν σου”. Εκείνος είπεν· “ναι, θα καθήσω εδώ μέχρις ότου επιστρέψης”.

Κρ. 6,19 - καὶ Γεδεὼν εἰσῆλθε καὶ ἐποίησεν ἔριφον αἰγῶν καὶ οἰφὶ ἀλεύρου ἄζυμα καὶ τὰ κρέα ἔθηκεν ἐν τῷ κοφίνῳ καὶ τὸν ζωμὸν ἔβαλεν ἐν τῇ χύτρᾳ καὶ ἐξήνεγκεν αὐτὰ πρὸς αὐτὸν ὑπὸ τὴν τερέμινθον καὶ προσήγγισε.

Κρ. 6,19 - Ο Γεδεών εισήλθεν στον οίκον του, έσφαξε και έβρασε ένα ερίφιον, κατεσκεύασε λαγάνες άζυμες με ένα οιφί αλεύρου (20 περίπου κιλά), έβαλεν αυτάς και τα κρέατα εντός κοφίνου, τον δε ζωμόν εις μίαν χύτραν και έφερεν αυτά στον άγγελον ο οποίος εκάθητο κάτω από την τερέβινθον και επλησίασε προς αυτόν.

Κρ. 6,20 - καὶ εἶπε πρὸς αὐτὸν ὁ ἄγγελος τοῦ Θεοῦ· λαβὲ τὰ κρέα καὶ τὰ ἄζυμα καὶ θὲς πρὸς τὴν πέτραν ἐκείνην καὶ τὸν ζωμὸν ἐχόμενα ἔκχεε· καὶ ἐποίησεν οὕτως.

Κρ. 6,20 - Ο άγγελος του Θεού του είπε· “πάρε τα κρέατα και τα άζυμα και βάλε αυτά επάνω εις την πέτραν εκείνην, χύσε δε τον ζωμόν κοντά εις αυτά”. Ο Γεδεών έκαμεν όπως του είπεν ο άγγελος.

Κρ. 6,21 - καὶ ἐξέτεινεν ὁ ἄγγελος Κυρίου τὸ ἄκρον τῆς ῥάβδου τῆς ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἥψατο τῶν κρεῶν καὶ τῶν ἀζύμων, καὶ ἀνέβη πῦρ ἐκ τῆς πέτρας καὶ κατέφαγε τὰ κρέα καὶ τοὺς ἀζύμους· καὶ ὁ ἄγγελος Κυρίου ἐπορεύθη ἀπ᾿ ὀφθαλμῶν αὐτοῦ.

Κρ. 6,21 - Ο δε άγγελος του Κυρίου ήπλωσε την ράβδον που εκρατούσε στο χέρι του και με το άκρον αυτής ήγγισε τα κρέατα και τα άζυμα. Αμέσως ανεπήδησε φωτιά από την πέτραν, η οποία κατέκαυσε και τα κρέατα και τα άζυμα. Επειτα δε ο άγγελος ανεχώρησε και εχάθη από τα μάτια του Γεδεών.

Κρ. 6,22 - καὶ εἶδε Γεδεὼν ὅτι ἄγγελος Κυρίου οὗτός ἐστι, καὶ εἶπε Γεδεών· ἆ ἆ, Κύριέ μου Κύριε, ὅτι εἶδον τὸν ἄγγελον Κυρίου πρόσωπον πρὸς πρόσωπον.

Κρ. 6,22 - Ο Γεδεών εκατάλαβε ότι αυτός ήτο άγγελος Κυρίου και είπε· “α ! α, Κυριε μου, Κυριε, είδον πρόσωπον προς πρόσωπον τον άγγελον Κυρίου. Λοιπόν θα αποθάνω” !

Κρ. 6,23 - καὶ εἶπεν αὐτῷ Κύριος· εἰρήνη σοι, μὴ φοβοῦ, οὐ μὴ ἀποθάνῃς.

Κρ. 6,23 - Ο Κυριος όμως είπε προς αυτόν· “ειρήνευσον, μη φοβήσαι, δεν θα αποθάνης” !

Κρ. 6,24 - καὶ ᾠκοδόμησεν ἐκεῖ Γεδεὼν θυσιαστήριον τῷ Κυρίῳ καὶ ἐπεκάλεσεν αὐτῷ Εἰρήνη Κυρίου ἕως τῆς ἡμέρας ταύτης, ἔτι αὐτοῦ ὄντος ἐν Ἐφραθὰ πατρὸς τοῦ Ἐσδρί.

Κρ. 6,24 - Ο Γεδεών έκτισεν εκεί προς τιμήν του Κυρίου θυσιαστήριον και εκάλεσεν αυτό “Ειρήνη Κυρίου”. Μέχρι δε της ημέρας αυτής το θυσιαστήριον αυτό ευρίσκεται εις Εφραθά, η οποία ανήκει εις την πατριάν του Εσδρί.

Κρ. 6,25 - Καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ εἶπεν αὐτῷ Κύριος· λαβὲ τὸν μόσχον τὸν ταῦρον, ὅς ἐστι τῷ πατρί σου, καὶ μόσχον δεύτερον ἑπταετῆ καὶ καθελεῖς τὸ θυσιαστήριον τοῦ Βάαλ ὅ ἐστι τῷ πατρί σου, καὶ τὸ ἄλσος τὸ ἐπ᾿ αὐτὸ ὀλοθρεύσεις.

Κρ. 6,25 - Κατά την επακολουθήσασαν νύκτα είπεν ο Κυριος προς τον Γεδεών· “πάρε μοσχάρι που ανήκει στον πατέρα σου, και ένα άλλο μοσχάρι επτά ετών. Πηγαινε να κρημνίσης το θυσιαστήριον του Βααλ που ευρίσκεται εις περιοχήν ανήκουσαν στον πατέρα σου, να καταστρέψης και το ιερόν δάσος, που είναι εκεί κοντά στο θυσιαστήριον του Βααλ.

Κρ. 6,26 - καὶ οἰκοδομήσεις θυσιαστήριον τῷ Κυρίῳ τῷ Θεῷ σου ἐπὶ κορυφὴν τοῦ Μαουὲκ τούτου ἐν τῇ παρατάξει καὶ λήψῃ τὸν μόσχον τὸν δεύτερον καὶ ἀνοίσεις ὁλοκαυτώματα ἐν τοῖς ξύλοις τοῦ ἄλσους, οὗ ἐξολοθρεύσεις.

Κρ. 6,26 - Επειτα θα οικοδομήσης εις την κορυφήν του οχυρωμένου υψώματος προς χάριν Κυρίου του Θεού σου θυσιαστήριον τακτοποιημένον καθ' όλα. Θα λάβης τον δεύτερον μόσχον τον οποίον θα προσφέρης ως ολοκαύτωμα καίων αυτό με τα ξύλα του δάσους, το οποίον θα καταστρέψης”.

Κρ. 6,27 - καὶ ἔλαβε Γεδεὼν δέκα ἄνδρας ἀπὸ τῶν δούλων ἑαυτοῦ καὶ ἐποίησεν ὃν τρόπον ἐλάλησε πρὸς αὐτὸν Κύριος· καὶ ἐγενήθη ὡς ἐφοβήθη τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ καὶ τοὺς ἄνδρας τῆς πόλεως τοῦ ποιῆσαι ἡμέρας, καὶ ἐποίησε νυκτός.

Κρ. 6,27 - Ο Γεδεών επήρε δέκα από τους δούλους του και έκαμε, όπως ακριβώς του είχεν είπει ο Κυριος. Επειδή δε εφοβήθη τους ανθρώπους του πατρικού του οίκου και τους άνδρας της πόλεως δεν έκαμεν ο,τι του είπεν ο Θεός κατά την ημέραν, αλλά κατά την νύκτα.

Κρ. 6,28 - καὶ ὤρθρισαν οἱ ἄνδρες τῆς πόλεως τὸ πρωΐ, καὶ ἰδοὺ καθῄρητο τὸ θυσιαστήριον τοῦ Βάαλ, καὶ τὸ ἄλσος τὸ ἐπ᾿ αὐτῷ ὠλόθρευτο· καὶ εἶδαν τὸν μόσχον τὸν δεύτερον, ὃν ἀνήνεγκεν ἐπὶ τὸ θυσιαστήριον τὸ ᾠκοδομημένον.

Κρ. 6,28 - Οταν οι άνδρες της πόλεως εξύπνησαν πρωϊ-πρωϊ, είδον αίφνης ότι είχε κατακρημνισθή το θυσιαστήριον του Βααλ, όπως επίσης ότι είχεν εξαφανισθή και το ιερόν δάσος αυτού. Είδαν ακόμη και ανοικοδομημένον νέον θυσιαστήριον επάνω στο οποίον υπήρχον υπολείμματα του θυσιασθέντος δευτέρου μόσχου.

Κρ. 6,29 - καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ· τίς ἐποίησε τὸ ῥῆμα τοῦτο; καὶ ἐπεζήτησαν καὶ ἠρεύνησαν καὶ ἔγνωσαν ὅτι Γεδεὼν υἱὸς Ἰωὰς ἐποίησε τὸ ῥῆμα τοῦτο.

Κρ. 6,29 - Ελεγε δε ο ενας προς τον άλλον· “ποιός έκαμε το έργον αυτό;” Εζήτησαν πληροφορίας, ηρεύνησαν και έμαθαν ότι ο Γεδεών, υιός του Ιωάς, ούτος έκαμε το έργον τούτο.

Κρ. 6,30 - καὶ εἶπαν οἱ ἄνδρες τῆς πόλεως πρὸς Ἰωάς· ἐξένεγκε τὸν υἱόν σου καὶ ἀποθανέτω, ὅτι καθεῖλε τὸ θυσιαστήριον τοῦ Βάαλ καὶ ὅτι ὠλόθρευσε τὸ ἄλσος τὸ ἐπ᾿ αὐτῷ.

Κρ. 6,30 - Είπαν τότε οι άνδρες της πόλεως προς τον Ιωάς· “φέρε εδώ τον υιόν σου δια να θανατωθή, επειδή εκρήμνισε το θυσιαστήριον του Βααλ και εξηφάνισε το άλσος του”

Κρ. 6,31 - καὶ εἶπε Γεδεὼν υἱὸς Ἰωὰς τοῖς ἀνδράσι πᾶσιν, οἳ ἐπανέστησαν αὐτῷ· μὴ ὑμεῖς νῦν δικάζεσθε ὑπὲρ τοῦ Βάαλ; ἢ ὑμεῖς σώσετε αὐτόν; ὃς ἐὰν δικάσηται αὐτῷ, θανατωθήτω ἕως πρωΐ· εἰ Θεός ἐστι, δικαζέσθω αὐτῷ, ὅτι καθεῖλε τὸ θυσιαστήριον αὐτοῦ.

Κρ. 6,31 - Ο Γεδεών όταν επληροφορήθη αυτά παρουσιάσθη εις όλους τους άνδρας, που είχαν επαναστατήσει εναντίον του και τους είπε· “σεις λοιπόν τώρα θα εκδικηθήτε τον Βααλ; Σεις θα σώσετε αυτόν; Εκείνος που θα τολμήση να εκδικηθή το κρήμνισμα του θυσιαστηρίου, θα έχη αποθάνει έως τυ πρωι. Εάν ο Βααλ είναι αληθινός θεός, ας αναλάβη ο ίδιος την εκδίκησίν του δια το κρήμνισμα του θυσιαστηρίου του”.

Κρ. 6,32 - καὶ ἐκάλεσεν αὐτὸ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ Ἱεροβάαλ λέγων· δικαζέσθω ἐν αὐτῷ ὁ Βάαλ, ὅτι καθῃρέθη τὸ θυσιαστήριον αὐτοῦ.

Κρ. 6,32 - Κατά δε την ημέραν εκείνην ο Γεδεών ωνόμασε τον εαυτόν του Ιεροβάαλ λέγων· “ας εκδικηθή ο ίδιος ο Βααλ δια το κρήμνισμα του θυσιαστηρίου του”.

Κρ. 6,33 - καὶ πᾶσα Μαδιὰμ καὶ Ἀμαλὴκ καὶ υἱοὶ ἀνατολῶν συνήχθησαν ἐπὶ τὸ αὐτὸ καὶ παρενέβαλον ἐν τῇ κοιλάδι Ἰεζραέλ.

Κρ. 6,33 - Κατά την εποχήν εκείνην όλοι οι Μαδιανίται, οι Αμαληκίται και οι νομάδες της ανατολής συνηθροίσθησαν και εισέβαλον εις την πεδιάδα Ιεζραέλ.

Κρ. 6,34 - καὶ πνεῦμα Κυρίου ἐνεδυνάμωσε τὸν Γεδεών, καὶ ἐσάλπισεν ἐν κερατίνῃ καὶ ἐφοβήθη Ἀβιέζερ ὀπίσω αὐτοῦ.

Κρ. 6,34 - Τοτε πνεύμα Κυρίου ενεδυνάμωσε τον Γεδεών δια να αντισταθή κατά των επιδρομέων. Με σάλπιγγα κερατίνην εσάλπισεν αυτός συναγερμόν εις πόλεμον. Οι άνδρες των φυλών Αβιέζερ εφοβήθησαν, ετάχθησαν με το μέρος του Γεδεών και τον ηκολούθησαν.

Κρ. 6,35 - καὶ ἀγγέλους ἀπέστειλεν εἰς πάντα Μανασσῆ καὶ ἐν Ἀσὴρ καὶ ἐν Ζαβουλὼν καὶ ἐν Νεφθαλὶ καὶ ἀνέβη εἰς συνάντησιν αὐτῶν.

Κρ. 6,35 - Ο Γεδεών έστειλεν αγγελιαφόρους εις τας φυλάς Μανασσή, Ασήρ, Ζαβουλών και Νεφθαλί, και ο ίδιος μετέβη προσωπικώς να συναντήση αυτάς.

Κρ. 6,36 - καὶ εἶπε Γεδεὼν πρὸς τὸν Θεόν· εἰ σύ σώζεις ἐν χειρί μου τὸν Ἰσραὴλ καθὼς ἐλάλησας,

Κρ. 6,36 - Είπε δε ο Γεδεών προς τον Θεόν· “εάν συ Κυριε θα σώσης δια της χειρός μου τους Ισραηλίτας, όπως είπες, δείξε το με το εξής σημείον·

Κρ. 6,37 - ἰδοὺ ἐγὼ τίθημι τὸν πόκον τοῦ ἐρίου ἐν τῇ ἅλωνι· ἐὰν δρόσος γένηται ἐπὶ τὸν πόκον μόνον καὶ ἐπὶ πᾶσαν τὴν γῆν ξηρασία, γνώσομαι ὅτι

σώσεις ἐν χειρί μου τὸν Ἰσραήλ, καθὼς ἐλάλησας.

Κρ. 6,37 - Ιδού εγώ θέτω ένα ποκάρι μαλλιά στο αλώνι. Εάν δρόσος πέση μόνον στο ποκάρι αυτό, εις δε την άλλην γην θα είναι ξηρασία, θα μάθω και θα πεισθώ, ότι πράγματι θα σώσης δια της χειρός μου τον Ισραήλ όπως είπες".

Κρ. 6,38 - καὶ ἐγένετο οὕτως· καὶ ὤρθρισε τῇ ἐπαύριον καὶ ἐξεπίασε τὸν πόκον, καὶ ἔσταξε δρόσος ἀπὸ τοῦ πόκου, πλήρης λεκάνη ὕδατος.

Κρ. 6,38 - Ετσι και έγινε· εξύπνησε την επομένην πρωΐαν ο Γεδεών, επίεσε τον πόκον και έσταξε από τα μαλλιά του ποκαριού δροσιά, μία λεκάνη νερό γεμάτη.

Κρ. 6,39 - καὶ εἶπε Γεδεὼν πρὸς τὸν Θεόν· μὴ δὴ ὀργισθήτω ὁ θυμός σου ἐν ἐμοί, καὶ λαλήσω ἔτι ἅπαξ· πειράσω δὴ καί γε ἔτι ἅπαξ ἐν τῷ πόκῳ, καὶ γενέσθω ἡ ξηρασία ἐπὶ τὸν πόκον μόνον, καὶ ἐπὶ πᾶσαν τὴν γῆν γενηθήτω δρόσος.

Κρ. 6,39 - Ο δε Γεδεών είπε πάλιν προς τον Θεόν· "ας μη ανάψη ο θυμός του Κυρίου εναντίον μου, διότι θα ομιλήσω μίαν ακόμη φοράν. Θα δοκιμάσω μίαν ακόμη φοράν το ποκάρι των μαλλιών. Ας μείνη κατάξηρος ο πόκος και εις όλην την άλλην χώραν ας πέση η δροσιά".

Κρ. 6,40 - καὶ ἐποίησεν ὁ Θεὸς οὕτως ἐν τῇ νυκτὶ ἐκείνῃ· καὶ ἐγένετο ξηρασία ἐπὶ τὸν πόκον μόνον, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἐγενήθη δρόσος.

Κρ. 6,40 - Ο Θεός έκαμε και αυτό το σημείον κατά την νύκτα εκείνην· το ποκάρι έμεινε κατάξηρον, ενώ εις όλην την άλλην χώραν έπεσε δροσιά.

## ΚΡΙΤΑΙ 7

Κρ. 7,1 - Καὶ ὤρθρισεν Ἱεροβάαλ (αὐτός ἐστι Γεδεὼν) καὶ πᾶς ὁ λαὸς μετ᾿ αὐτοῦ καὶ παρενέβαλον ἐπὶ πηγὴν Ἀράδ, καὶ παρεμβολὴ Μαδιὰμ ἦν αὐτῷ ἀπὸ βοῤῥᾶ ἀπὸ Γαβαὰθ Ἀμωρὰ ἐν κοιλάδι.

Κρ. 7,1 - Ο Ιεροβάαλ (αυτός είναι ο Γεδεών) εξυπνησε πολύ πρωϊ και όλος ο λαός μαζή του και εστρατοπέδευσαν πλησίον της πηγής Αράδ. Το δε στρατόπεδον των Μαδιανιτών ευρίσκετο βορείως, πλησίον της Γαβαάθ Αμωρά εις την κοιλάδα.

Κρ. 7,2 - καὶ εἶπε Κύριος πρὸς Γεδεών· πολὺς ὁ λαὸς ὁ μετὰ σοῦ, ὥστε μὴ παραδοῦναί με τὴν Μαδιὰμ ἐν χειρὶ αὐτῶν, μή ποτε καυχήσηται Ἰσραὴλ ἐπ᾿ ἐμὲ λέγων· ἡ χείρ μου ἔσωσέ με·

Κρ. 7,2 - Είπε δε ο Κυριος προς τον Γεδεών· "πολύς λαός είναι μαζή σου και δεν θέλω να παραδώσω τους Μαδιανίτας εις τα χέρια αυτών, δια να μη καυχηθή ενώπιόν μου ο Ισραηλιτικός λαός και είπη· Η δύναμίς μου με έσωσε.

Κρ. 7,3 - καὶ νῦν λάλησον δὴ ἐν ὠσὶ τοῦ λαοῦ λέγων· τίς ὁ φοβούμενος καὶ δειλός; ἐπιστρεφέτω καὶ ἐκχωρείτω ἀπὸ ὄρους Γαλαάδ. καὶ ἐπέστρεψεν ἀπὸ τοῦ λαοῦ εἴκοσι καὶ δύο χιλιάδες, καὶ δέκα χιλιάδες ὑπελείφθησαν.

Κρ. 7,3 - Είπε λοιπόν τώρα δυνατά να ακούση με τα αυτιά του όλος ο λαός· Ποός από σας είναι φοβητσιάρης και δειλός; Ας επιστρέψη στο σπίτι του, ας φύγη από το όρος Γαλαάδ". Κατόπιν της διακηρύξεως αυτής απεχώρησαν είκοσι δύο χιλιάδες Ισραηλίται· και απέμειναν δέκα χιλιάδες.

Κρ. 7,4 - καὶ εἶπε Κύριος πρὸς Γεδεών· ἔτι ὁ λαὸς πολύς ἐστι· κατένεγκον αὐτοὺς πρὸς τὸ ὕδωρ, καὶ ἐκκαθαρῶ σοι αὐτὸν ἐκεῖ· καὶ ἔσται ὃν ἐὰν εἴπω πρὸς σέ, οὗτος πορεύσεται σὺν σοί, αὐτὸς πορεύσεται σὺν σοί· καὶ πᾶς, ὃν ἐὰν εἴπω πρός σε· οὗτος οὐ πορεύσεται μετὰ σοῦ, αὐτὸς οὐ πορεύσεται μετὰ σοῦ.

Κρ. 7,4 - Είπε πάλιν ο Κυριος προς τον Γεδεών· "πολύς είναι ακόμη ο λαός· κατέβασέ τους εις την πηγήν του ύδατος και εγώ εκεί θα σου κάμω εκκαθάρισιν του λαού. Οποιος σου είπω ότι θα έλθη μαζή σου, αυτός θα έλθη μαζή σου. Και καθένας δια τον οποίον θα σου είπω ότι αυτός δεν θα πορευθή μαζή σου, αυτός θα φύγη από κοντά σου".

Κρ. 7,5 - καὶ κατήνεγκε τὸν λαὸν πρὸς τὸ ὕδωρ· καὶ εἶπε Κύριος πρὸς Γεδεών· πᾶς, ὃς ἂν λάψῃ τῇ γλώσσῃ αὐτοῦ ἀπὸ τοῦ ὕδατος ὡς ἐὰν λάψῃ ὁ κύων, στήσεις αὐτὸν κατὰ μόνας, καὶ πᾶς, ὃς ἐὰν κλίνῃ ἐπὶ τὰ γόνατα αὐτοῦ πιεῖν.

Κρ. 7,5 - Ο Γεδεών κατεβίβασε τον λαόν του προς την πηγήν του ύδατος. Είπεν ο Κυριος προς τον Γεδεών· "όποιος θα πίη νερο από την πηγήν με την γλώσσαν του, όπως με την γλώσσαν του πίνει ο κύων, αυτόν θα τον θέσης χωριστά· και εκείνος που θα πίνη νερό γονατιστός πάλιν θα τεθή χωριστά".

Κρ. 7,6 - καὶ ἐγένετο ὁ ἀριθμὸς τῶν λαψάντων ἐν χειρὶ αὐτῶν πρὸς τὸ στόμα αὐτῶν τριακόσιοι ἄνδρες, καὶ πᾶν τὸ κατάλοιπον τοῦ λαοῦ ἔκλιναν ἐπὶ τὰ γόνατα αὐτῶν πιεῖν ὕδωρ.

Κρ. 7,6 - Ο αριθμός των ανδρών, που έπιαν νερό με την γλώσσαν των από το κοίλον της παλάμης των ήσαν τριακόσιοι. Ολοι δε οι άλλοι εκ του λαού εγονάτισαν δια να πίουν ύδωρ.

Κρ. 7,7 - καὶ εἶπε Κύριος πρὸς Γεδεών· ἐν τοῖς τριακοσίοις ἀνδράσι τοῖς λάψασι σώσω ὑμᾶς καὶ δώσω τὴν Μαδιὰμ ἐν χειρί σου, καὶ πᾶς ὁ λαὸς πορεύσονται ἀνὴρ εἰς τόν τόπον αὐτοῦ.

Κρ. 7,7 - Είπε τότε ο Κυριος προς τον Γεδεών· "με τους τριακοσίους αυτούς άνδρας, οι οποίοι έπιαν νερό δια της γλώσσης των από το κοίλον της παλάμης των, θα, σας σώσω και θα παραδώσω εις τα χέρια σου τους Μαδιανίτας. Ολοι οι άλλοι Ισραηλίται ας επιστρέψουν ο καθένας στον τόπον του".

Κρ. 7,8 - καὶ ἔλαβον τὸν ἐπισιτισμὸν τοῦ λαοῦ ἐν χειρὶ αὐτῶν καὶ τὰς κερατίνας αὐτῶν, καὶ τὸν πάντα ἄνδρα Ἰσραὴλ ἐξαπέστειλεν ἄνδρα εἰς σκηνὴν αὐτοῦ καὶ τοὺς τριακοσίους ἄνδρας κατίσχυσε. καὶ ἡ παρεμβολὴ Μαδιὰμ ἦσαν αὐτοῦ ὑποκάτω ἐν τῇ κοιλάδι.

Κρ. 7,8 - Οι απομείναντες αυτοί τριακόσιοι επήραν τα τρόφιμα και τας κερατίνας σάλπιγγας των άλλων Ισραηλιτών που έφυγαν. Ολους τους άλλους Ισραηλίτας έστειλεν ο Γεδεών εις την σκηνήν του τον καθένα· τους δε τριακοσίους άνδρας εκράτησε και ενίσχυσε δια τον πόλεμον. Το στρατόπεδον των Μαδιανιτών ήτο κάτω από το στρατόπεδον του Γεδεών εις την κοιλάδα.

Κρ. 7,9 - καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ καὶ εἶπε πρὸς αὐτὸν Κύριος· ἀναστὰς κατάβηθι ἐν τῇ παρεμβολῇ, ὅτι παρέδωκα αὐτὴν ἐν τῇ χειρί σου·

Κρ. 7,9 - Κατά την νύκτα εκείνην είπεν ο Κυριος προς τον Γεδεών· “σήκω και κατέβα στο στρατόπεδον των Μαδιανιτών, διότι εγώ το έχω ήδη παραδώσει εις σέ.

Κρ. 7,10 - καὶ εἰ φοβῇ σὺ καταβῆναι, κατάβηθι σὺ καὶ Φαρὰ τὸ παιδάριόν σου εἰς τὴν παρεμβολὴν

Κρ. 7,10 - Εάν όμως φοβήσαι να καταβής μόνος σου στο εχθρικόν στρατόπεδον, πήγαινε μαζή με τον υπηρέτην σου Φορά.

Κρ. 7,11 - καὶ ἀκούσῃ, τί λαλήσουσι· καὶ μετὰ τοῦτο ἰσχύσουσιν αἱ χεῖρές σου, καταβήσῃ ἐν τῇ παρεμβολῇ. καὶ κατέβη αὐτὸς καὶ Φαρὰ τὸ παιδάριον αὐτοῦ πρὸς ἀρχὴν τῶν πεντήκοντα, οἳ ἦσαν ἐν τῇ παρεμβολῇ.

Κρ. 7,11 - Εκεί θα ακούσης τι λέγουν οι εχθροί σου. Απ' αυτά δέ που θα ακούσης θα πάρης θάρρος και κατόπιν θα επιτεθής εναντίον του στρατοπέδου”. Πράγματι ο Γεδεών κατέβη μαζή με τον υπηρέτην του Φαρά προς την εμπροσθοφυλακήν του στρατοπέδου, η οποία περιελάμβανε πεντήκοντα άνδρας.

Κρ. 7,12 - καὶ Μαδιὰμ καὶ Ἀμαλὴκ καὶ πάντες οἱ υἱοὶ ἀνατολῶν βεβλημένοι ἐν τῇ κοιλάδι ὡσεὶ ἀκρὶς εἰς πλῆθος, καὶ ταῖς καμήλοις αὐτῶν οὐκ ἦν ἀριθμός, ἀλλ᾿ ἦσαν ὡς ἡ ἄμμος ἡ ἐπὶ χείλους τῆς θαλάσσης εἰς πλῆθος.

Κρ. 7,12 - Οι Μαδιανίται, οι Αμαληκίται και οι άλλοι από ανατολών νομάδες είχαν διασκορπισθή εις την κοιλάδα, πολυάριθμοι ωσάν τας ακρίδας. Αλλά και αι κάμηλοι αυτών ήσαν αναρίθμητοι, όσον οι κόκκοι της άμμου εις την παραλίαν.

Κρ. 7,13 - καὶ ἦλθε Γεδεών, καὶ ἰδοὺ ἀνὴρ ἐξηγούμενος τῷ πλησίον αὐτοῦ ἐνύπνιον καὶ εἶπεν· ἰδοὺ ἐνυπνιασάμην ἐνύπνιον, καὶ ἰδοὺ μαγὶς ἄρτου κριθίνου στρεφομένη ἐν τῇ παρεμβολῇ Μαδιὰμ καὶ ἦλθεν ἕως τῆς σκηνῆς καὶ ἐπάταξεν αὐτήν, καὶ ἔπεσε, καὶ ἀνέστρεψεν αὐτὴν ἄνω, καὶ ἔπεσεν ἡ σκηνή.

Κρ. 7,13 - Επλησίασεν ο Γεδεών εις την εμπροσθοφυλακήν και ιδού ακούει εναν άνδρα να διηγήται στον πλησίον αυτού το όνειρόν του και να του λέγη· “είδον ότι ενας κρίθινος άρτος κυλιόμενος στο στρατόπεδον των Μαδιανιτών έφθασεν έως την σκηνήν του αρχηγού μας και την εκτύπησεν· η σκηνή έπεσεν. Ο κρίθινος αυτός άρτος την αναποδογύρισεν. Ετσι έπεσε και κατεστράφη η σκηνή του αρχηγού μας”.

Κρ. 7,14 - καὶ ἀπεκρίθη ὁ πλησίον αὐτοῦ καὶ εἶπεν· οὐκ ἔστιν αὕτη εἰ μὴ ῥομφαία Γεδεὼν υἱοῦ Ἰωὰς ἀνδρὸς Ἰσραήλ· παρέδωκεν ὁ Θεὸς ἐν χειρὶ αὐτοῦ τὴν Μαδιὰμ καὶ πᾶσαν τὴν παρεμβολήν.

Κρ. 7,14 - Ο πλησίον αυτού στρατιώτης που ήκουσε το όνειρον είπεν· “ο κρίθινος αυτός άρτος δεν είναι τίποτε άλλο παρά η ρομφαία του Γεδεών, του Ισραηλίτου, του υιού Ιωάς. Παρέδωκεν ο Θεός εις τα χέρια του τους Μαδιανίτας και όλον το στρατόπεδον μας”.

Κρ. 7,15 - καὶ ἐγένετο ὡς ἤκουσε Γεδεὼν τὴν ἐξήγησιν τοῦ ἐνυπνίου καὶ τὴν σύγκρισιν αὐτοῦ, καὶ προσεκύνησε Κυρίῳ καὶ ὑπέστρεψεν εἰς τὴν παρεμβολὴν Ἰσραὴλ καὶ εἶπεν· ἀνάστητε, ὅτι παρέδωκε Κύριος ἐν χειρὶ ἡμῶν τὴν παρεμβολὴν Μαδιάμ.

Κρ. 7,15 - Οταν ο Γεδεών ήκουσε την διήγησιν και την εξήγησιν του ονείρου, προσεκύνησε τον Θεόν και επέστρεψεν στο Ισραηλιτικόν στρατόπεδον και είπε· “σηκωθήτε και ετοιμασθήτε, διότι ο Κυριος παρέδωκεν εις τα χέρια μας το στρατόπεδον των Μαδιανιτών”.

Κρ. 7,16 - καὶ διεῖλε τοὺς τριακοσίους ἄνδρας εἰς τρεῖς ἀρχὰς καὶ ἔδωκε κερατίνας ἐν χειρὶ πάντων καὶ ὑδρίας κενὰς καὶ λαμπάδας ἐν ταῖς ὑδρίαις

Κρ. 7,16 - Εχώρισεν εις τρία τμήματα ανά εκατό τους τριακοσίους άνδρας και τους ετοποθέτησεν εις τρία σημεία γύρω από το εχθρικόν στράτευμα. Εδωκεν εις τα χέρια του καθενός από αυτούς τας κερατίνας σάλπιγγας, τας κενάς υδρίας και λαμπάδας μέσα εις τας υδρίας,

Κρ. 7,17 - καὶ εἶπε πρὸς αὐτούς· ἀπ᾿ ἐμοῦ ὄψεσθε καὶ οὕτω ποιήσετε· καὶ ἰδοὺ ἐγὼ εἰσπορεύομαι ἐν ἀρχῇ τῆς παρεμβολῆς, καὶ ἔσται καθὼς ἂν ποιήσω, οὕτω ποιήσετε·

Κρ. 7,17 - και είπε προς αυτούς· “θα βλέπετε προς εμέ και ο,τι εγώ κάμνω θα κάμετε και σεις. Εγώ θα μεταβώ εις την εμπροσθοφυλακήν των εχθρών· ο,τι δε θα κάμω εγώ εκεί, το ιδιο θα κάμετε και σεις.

Κρ. 7,18 - καὶ σαλπιῶ ἐν τῇ κερατίνῃ ἐγώ, καὶ πάντες μετ᾿ ἐμοῦ σαλπιεῖτε ἐν ταῖς κερατίναις κύκλῳ ὅλης τῆς παρεμβολῆς καὶ ἐρεῖτε· τῷ Κυρίῳ καὶ τῷ Γεδεών.

Κρ. 7,18 - Εγώ θα σαλπίσω με την κερατίνην σάλπιγγα, σεις δε όλοι μαζή με εμέ θα σαλπίσετε με τας κερατίνας σάλπιγγας γύρω από το εχθρικόν στρατόπεδον και θα φωνάξετε· Ρομφαία τω Κυρίω και τω Γεδεών”.

Κρ. 7,19 - καὶ εἰσῆλθε Γεδεὼν καὶ οἱ ἑκατὸν ἄνδρες οἱ μετ᾿ αὐτοῦ ἐν ἀρχῇ τῆς παρεμβολῆς ἐν ἀρχῇ τῆς φυλακῆς μέσης καὶ ἐγείροντες ἤγειραν τοὺς φυλάσσοντας καὶ ἐσάλπισαν ἐν ταῖς κερατίναις καὶ ἐξετίναξαν τὰς ὑδρίας τὰς ἐν ταῖς χερσὶν αὐτῶν.

Κρ. 7,19 - Ο Γεδεών μαζή με τους εκατόν άνδρας του επλησίασεν αθέατος εις την άκραν του εχθρικού στρατεύματος κατά την αλλαγήν της μεσαία, φουράς, και ακριβώς κατά την στιγμήν κατά την οποίαν οι άνδρες της πρώτης φρουράς εξυπνούσαν τους της δευτέρας δια να αναλάβουν υπηρεσίαν, οι περί τον Γεδεών εσάλπισαν με τας κερατίνας σάλπιγγας, έρριψαν με ορμήν κάτω και έθραυσαν τας υδρίας που είχαν εις τα χέρια των.

Κρ. 7,20 - καὶ ἐσάλπισαν αἱ τρεῖς ἀρχαὶ ἐν ταῖς κερατίναις καὶ συνέτριψαν τὰς ὑδρίας καὶ ἐκράτησαν ἐν χερσὶν ἀριστεραῖς αὐτῶν τὰς λαμπάδας καὶ ἐν χερσὶ δεξιαῖς αὐτῶν τὰς κερατίνας τοῦ σαλπίζειν καὶ ἀνέκραξαν· ῥομφαία τῷ Κυρίῳ καὶ τῷ Γεδεών.

Κρ. 7,20 - Αμέσως εσάλπισαν οι άνδρες και των τριών τμημάτων με τας κερατίνας σάλπιγγάς των, συνέτριψαν τας υδρίας και, κρατούντες στο αριστερόν των χέρι τας λαμπάδας στο δεξιόν την κερατίνην σάλπιγγα, σαλπίζοντες εκραύγασαν· “ρομφαία τω Κυρίω και τω Γεδεών”.

Κρ. 7,21 - καὶ ἔστησεν ἀνὴρ ἐφ᾿ ἑαυτῷ κύκλῳ τῆς παρεμβολῆς, καὶ ἔδραμε πᾶσα ἡ παρεμβολὴ καὶ ἐσήμαναν καὶ ἔφυγον.

Κρ. 7,21 - Εμεινε δε ο καθένας των όρθιος και ακίνητος γύρω από το εχθρικόν στράτευμα. Ολοι δε οι εχθροί, νομίσαντες ότι είχον περικυκλωθή ετράπησαν εις φυγήν, έδωσαν δια σαλπίγγων το σύνθημα της φυγής και έφυγον πανικοβλητοι.

Κρ. 7,22 - καὶ ἐσάλπισαν ἐν ταῖς τριακοσίαις κερατίναις, καὶ ἔθηκε Κύριος τὴν ῥομφαίαν ἀνδρὸς ἐν τῷ πλησίον αὐτοῦ ἐν πάσῃ τῇ παρεμβολῇ,

Κρ. 7,22 - Αλλά και οι τριακόσιοι εσάλπισαν πάλιν με τας κερατίνας σάλπιγγας. Ο Κυριος ενέβαλλε τέτοιαν σύγχυσιν στο εχθρικόν στράτευμα, ώστε εις όλον το στρατόπεδον ο ενας έστρεφε την μάχαιραν εναντίον του άλλου και αλληλοεφονεύοντο,

Κρ. 7,23 - καὶ ἔφυγεν ἡ παρεμβολὴ ἕως Βηθσεεδτὰ Γαραγαθὰ ἕως χείλους Ἀβωμεουλὰ ἐπὶ Ταβάθ. καὶ ἐβόησαν ἀνὴρ Ἰσραὴλ ἀπὸ Νεφθαλὶ καὶ ἀπὸ Ἀσὴρ καὶ ἀπὸ παντὸς Μανασσῆ καὶ ἐδίωξαν ὀπίσω Μαδιάμ.

Κρ. 7,23 - Ετσι έφυγεν ο εχθρικός στρατός και έφθασεν μέχρι της Βηθσεεδτά Γαραγαθά έως στο άκρον του Αβωμεουλά πλησίον Ταβάθ. Τοτε ένα μέρος από την φυλήν Νεφθαλί και Ασήρ και ολόκληρος η φυλή Μανασσή κατεδίωξαν με κραυγάς και αλλαλαγμούς, τους φεύγοντας Μαδιανίτας.

Κρ. 7,24 - καὶ ἀγγέλους ἐπέστειλε Γεδεὼν ἐν παντὶ ὅρει Ἐφραὶμ λέγων· κατάβητε εἰς συνάντησιν Μαδιὰμ καὶ καταλάβετε ἑαυτοῖς τὸ ὕδωρ ἕως

Βαιθηρὰ καὶ τὸν Ἰορδάνην· καὶ ἐβόησε πᾶς ἀνὴρ Ἐφραὶμ καὶ προκατελάβοντο τὸ ὕδωρ ἕως Βαιθηρὰ καὶ τὸν Ἰορδάνην.

Κρ. 7,24 - Ο Γεδεών έστειλεν αγγελιαφόρους εις όλους τους κατοικούντας το όρος Εφραίμ και είπε προς αυτούς· “καταβήτε και σεις από το όρος εις καταδίωξιν των Μαδιανιτών. Τρέξατε και καταλάβετε σεις τας υδατίνας διαβάσεις μέχρι Βαιθηρά και τον Ιορδάνην, ώστε να μη έχουν τόπον διαφυγής οι Μαδιανίται”. Ολη η φυλή Εφραίμ με αλλαλαγμόν ώρμησαν και κατέλαβον εγκαίρως τας διόδους εντεύθεν του Ιορδάνου έως Βαιθηρά.

Κρ. 7,25 - καὶ συνελάβοντο τοὺς ἄρχοντας Μαδιὰμ καὶ τὸν Ὠρὴβ καὶ τὸν Ζὴβ καὶ ἀπέκτειναν τὸν Ὠρὴβ ἐν Σοὺρ καὶ τὸν Ζὴβ ἀπέκτειναν ἐν Ἰακεφζήφ καὶ κατεδίωξαν Μαδιὰμ· καὶ τὴν κεφαλὴν Ὠρὴβ καὶ Ζὴβ ἤνεγκαν πρὸς Γεδεὼν ἀπὸ πέραν τοῦ Ἰορδάνου.

Κρ. 7,25 - Συνέλαβαν τους αρχηγούς των Μαδιανιτών, τον Ωρήβ και Ζηβ. Τον μεν Ωρήβ εφόνευσαν εις Σούρ, τον δε Ζηβ εφονευεσαν εις Ιακεφζήφ, και κατεδίωξαν πέραν του Ιορδάνου τους διαφυγόντας Μαδιανίτας. Επιστρέφοντες δε από την πέραν του Ιορδάνου περιοχήν έγεραν προς τον Γεδεών την κεφαλήν του Ωρήβ και του Ζηβ.

## ΚΡΙΤΑΙ 8

Κρ. 8,1 - Καὶ εἶπαν πρὸς Γεδεὼν ἀνὴρ Ἐφραίμ· τί τὸ ῥῆμα τοῦτο ἐποίησας ἡμῖν τοῦ μὴ καλέσαι ἡμᾶς, ὅτε ἐπορεύθης παρατάξασθαι ἐν Μαδιάμ; καὶ διελέξαντο πρὸς αὐτὸν ἰσχυρῶς.

Κρ. 8,1 - Οι άνδρες της φυλής Εφραίμ είπαν διαμαρτυρόμενοι προς τον Γεδεών· “διατί εφέρθης έτσι απέναντι μας και δεν μας εκάλεσες ευθύς εξ αρχής όταν εξεστράτευσες εναντίον των Μαδιανιτών;” Και εφιλονίκησαν εναντίον αυτού με πολύ οξύν τρόπον.

Κρ. 8,2 - καὶ εἶπε πρὸς αὐτούς· τί ἐποίησα νῦν καθὼς ὑμεῖς; ἢ οὐχὶ κρεῖσσον ἐπιφυλλὶς Ἐφραὶμ ἢ τρυγητὸς Ἀβιέζερ;

Κρ. 8,2 - Ο δε Γεδεών είπε προς αυτούς· “τι έκαμα εγώ προς σας και τι εκάματε σεις; Δεν είναι πλουσιώτερον το τσαμπιδολόγημα που έκαμαν οι της φυλής Εφραίμ εις βάρος των φευγόντων Μαδιανιτών εν συγκρίσει προς τον τρυγητόν που έκαμε το γένος μου Αβιέζερ;

Κρ. 8,3 - ἐν χειρὶ ὑμῶν παρέδωκε Κύριος τοὺς ἄρχοντας Μαδιάμ, τὸν Ὠρὴβ καὶ τὸν Ζήβ· καὶ τί ἠδυνήθην ποιῆσαι ὡς ὑμεῖς; τότε ἀνέθη τὸ πνεῦμα αὐτῶν ἀπ᾿ αὐτοῦ ἐν τῷ λαλῆσαι αὐτὸν τὸν λόγον τοῦτον.

Κρ. 8,3 - Εις τα ιδικά σας χέρια παρέδωσεν ο Κυριος τους αρχηγούς των Μαδιανιτών, τυν Ωρήβ και Ζηβ. Τι δε κατόρθωσα εγώ εμπρός στο ιδικόν σας κατόρθωμα;” Με αυτόν τον ειρηνικόν τρόπον ωμίλησεν ο Γεδεών και ειρήνευσαν τα πνεύματα εκείνων.

Κρ. 8,4 - καὶ ἦλθε Γεδεὼν ἐπὶ τὸν Ἰορδάνην, καὶ διέβη αὐτὸς καὶ οἱ τριακόσιοι ἄνδρες οἱ μετ᾿ αὐτοῦ πεινῶντες καὶ διώκοντες.

Κρ. 8,4 - Κατόπιν ο Γεδεών ήλθεν στον Ιορδάνην ποταμόν, τον διέβη αυτός και οι μετ' αυτού 300 - άνδρες, οι οποίοι καίτοι πεινώντες κατεδίωκον τους εχθρούς.

Κρ. 8,5 - καὶ εἶπε τοῖς ἀνδράσι Σοκχώθ· δότε δὴ ἄρτους εἰς τροφὴν τῷ λαῷ τούτῳ τῷ ἐν ποσί μου, ὅτι ἐκλείπουσι, καὶ ἰδοὺ ἐγώ εἰμι διώκων ὀπίσω τοῦ Ζεβεὲ καὶ Σελμανὰ βασιλέων Μαδιάμ.

Κρ. 8,5 - Εφθασαν εις Σοκχώθ και ο Γεδεών είπεν στους κατοίκους της πόλεως αυτής· “δώσατέ μας σας παρακαλώ άρτους, δια να φάγουν οι άνδρες που με ακολουθούν, διότι έχουν παραλύσει από την πείναν. Και όμως πρέπει να με ακολουθήσουν εις καταδίωξιν του Ζεβεέ και Σελμανά, βασιλέων της Μαδιάμ”.

Κρ. 8,6 - καὶ εἶπον οἱ ἄρχοντες Σοκχώθ· μὴ χεὶρ Ζεβεὲ καὶ Σελμανὰ νῦν ἐν χειρί σου; οὐ δώσομεν τῇ δυνάμει σου ἄρτους;

Κρ. 8,6 - Οι άρχοντες της Σοκχώθ, καιροσκόποι, απήντησαν· “μήπως τάχα και έχουν περιέλθει εις τα χέρια σου ο Ζεβεέ και ο Σελμανά, ώστε να δώσωμεν ημείς άρτους στους στρατιώτας σου;

Κρ. 8,7 - καὶ εἶπε Γεδεών· διὰ τοῦτο ἐν τῷ δοῦναι Κύριον τὸν Ζεβεὲ καὶ τὸν Σελμανὰ ἐν χειρί μου, καὶ ἐγὼ ἀλοήσω τὰς σάρκας ὑμῶν ἐν ταῖς ἀκάνθαις τῆς ἐρήμου καὶ ἐν ταῖς Βαρκηνίμ.

Κρ. 8,7 - Αγανακτήσας ο Γεδεών είπε προς αυτούς· “δια την καιροσκοπικήν αυτήν συμπεριφοράν σας, όταν ο Κυριος παραδώση εις τα χέρια μου τον Ζεβεέ και τον Σελμανά, εγώ θα αλωνίσω και θα διασκορπίσω και θα σχίσω τα σώματά σας εις τα αγκάθια της ερήμου και εις τα βάτα”.

Κρ. 8,8 - καὶ ἀνέβη ἐκεῖθεν εἰς Φανουὴλ καὶ ἐλάλησε πρὸς αὐτοὺς ὡσαύτως, καὶ ἀπεκρίθησαν αὐτῷ οἱ ἄνδρες Φανουὴλ ὃν τρόπον ἀπεκρίθησαν ἄνδρες Σοκχώθ.

Κρ. 8,8 - Από την Σοκχώθ ανέβη ο Γεδεών με τους ιδικούς του εις Φανουήλ και είπεν εις αυτούς τα ίδια. Οι δε κάτοικοι της πόλεως Φανουήλ απήντησαν κατά τον ίδιον τρόπον, όπως και οι κάτοικοι της Σοκχώθ.

Κρ. 8,9 - καὶ εἶπε Γεδεὼν πρὸς ἄνδρας Φανουήλ· ἐν ἐπιστροφῇ μου μετ᾿ εἰρήνης κατασκάψω τὸν πύργον τοῦτον.

Κρ. 8,9 - Ο Γεδεών είπε προς τους άνδρας της Φανουήλ· “όταν μετά την νίκην μου θα επιστρέψω, θα κρημνίσω και θα κατασκάψω τον πύργον τούτον”.

Κρ. 8,10 - καὶ Ζεβεὲ καὶ Σελμανὰ ἐν Καρκάρ, καὶ ἡ παρεμβολὴ αὐτῶν μετ᾿ αὐτῶν ὡσεὶ δεκαπέντε χιλιάδες, πάντες οἱ καταλελειμμένοι ἀπὸ πάσης παρεμβολῆς ἀλλοφύλων, καὶ οἱ πεπτωκότες ἑκατὸν εἴκοσι χιλιάδες ἀνδρῶν σπωμένων ῥομφαίαν.

Κρ. 8,10 - Οι βασιλείς Ζεβεέ και Σελμανά ήσαν εις Καρκάρ. Μαζή δέ με αυτούς ήτο και στρατός περί τας δέκα πέντε χιλιάδας. Αυτοί ήσαν όλοι οι απομείναντες από τον στρατόν των αλλοφύλων, ενώ οι φονευθέντες ένοπλοι στρατιώται έφθασαν τας εκατόν είκοσι χιλιάδας.

Κρ. 8,11 - καὶ ἀνέβη Γεδεὼν ὁδὸν τῶν σκηνούντων ἐν σκηναῖς ἀπὸ ἀνατολῶν τῆς Ναβαὶ καὶ Ἰεγεβάλ· καὶ ἐπάταξε τὴν παρεμβολήν, καὶ ἡ παρεμβολὴ ἦν πεποιθυῖα.

Κρ. 8,11 - Ο Γεδεών επροχώρησεν εναντίον των εχθρών του από την οδόν των σκηνιτών, ανατολικά της Ναβαί και Ιεγεβάλ. Εκεί δε εκτύπησε τον εχθρικόν στρατόν, ο οποίος εθεώρει τον εαυτόν του εν ασφαλεία.

Κρ. 8,12 - καὶ ἔφυγον Ζεβεὲ καὶ Σελμανά, καὶ ἐδίωξαν ὀπίσω αὐτῶν καὶ ἐκράτησε τοὺς δύο βασιλεῖς Μαδιάμ, τὸν Ζεβεὲ καὶ τὸν Σελμανά, καὶ πᾶσαν τὴν παρεμβολὴν ἐξέστησε.

Κρ. 8,12 - Οι εχθροί ενικήθησαν, οι δε δύο βασιλείς Ζεβεέ και Σελμανά ετράπησαν εις φυγήν. Ο Γεδεών τους κατεδίωξε, συνέλαβε τους δύο βασιλείς και επέφερεν αναστάτωσιν και σύγχυσιν εις όλον τον εχθρικόν στρατόν.

Κρ. 8,13 - καὶ ἐπέστρεψε Γεδεὼν υἱὸς Ἰωὰς ἀπὸ τῆς παρατάξεως ἀπὸ ἐπάνωθεν τῆς παρατάξεως Ἀρές.

Κρ. 8,13 - Νικητής ο Γεδεών, ο υιός του Ιωάς, επέστρεψεν εκ της μάχης από το επάνω μέρος της Αρές, εις Σοκχώθ.

Κρ. 8,14 - καὶ συνέλαβε παιδάριον ἀπὸ τῶν ἀνδρῶν Σοκχὼθ καὶ ἐπηρώτησεν αὐτόν, καὶ ἔγραψε πρὸς αὐτὸν ὀνόματα τῶν ἀρχόντων Σοκχὼθ καὶ τῶν πρεσβυτέρων αὐτῶν, ἑβδομήκοντα καὶ ἑπτὰ ἄνδρας.

Κρ. 8,14 - Εξω από την Σοκχώθ συνέλαβεν ένα παιδάριον από τους κατοίκους της πόλεως και το ηρώτησε δια τα ονόματα των αρχόντων και των πρεσβυτέρων της πόλεως. Το παιδάριον έγραψε τα ονόματα εβδομήκοντα επτά ανδρών και τα έδωκεν στον Γεδεών.

Κρ. 8,15 - καὶ παρεγένετο Γεδεὼν πρὸς τοὺς ἄρχοντας Σοκχὼθ καὶ εἶπεν· ἰδοὺ Ζεβεὲ καὶ Σελμανά, ἐν οἷς ὠνειδίσατέ με λέγοντες· μὴ χεὶρ Ζεβεὲ καὶ Σελμανὰ νῦν ἐν χειρί σου, ὅτι δώσομεν τοῖς ἀνδράσι σου τοῖς ἐκλείπουσιν ἄρτους;

Κρ. 8,15 - Εισήλθεν ο Γεδεών εις την πόλιν και είπεν στους άρχοντας Σοκχώθ· "ιδού, είναι τώρα εις τα χέρια μου ο Ζεβεέ και ο Σελμανά δια τους οποίους τότε με ειρωνευθήκατε και μου είπατε· Μηπως τάχα και είναι τώρα εις τα χέρια σου ο Ζεβεέ και ο Σελμανά ώστε να δώσωμεν άρτους στους εξηντλημένους από την πείναν άνδρας;"

Κρ. 8,16 - καὶ ἔλαβε τοὺς πρεσβυτέρους τῆς πόλεως ἐν ταῖς ἀκάνθαις τῆς ἐρήμου καὶ ταῖς Βαρκηνὶμ καὶ ἠλόησεν ἐν αὐτοῖς τοὺς ἄνδρας τῆς πόλεως.

Κρ. 8,16 - Συνέλαβε κατόπιν ο Γεδεών τους πρεσβυτέρους της Σοκχώθ, επήρεν αγκάθια από την έρημον και βατά και με αυτά αλώνισε τους άνδρας της πόλεως.

Κρ. 8,17 - καὶ τὸν πύργον Φανουὴλ κατέσκαψε καὶ ἀπέκτεινε τοὺς ἄνδρας τῆς πόλεως.

Κρ. 8,17 - Τον πύργον Φανουήλ εκρήμνισεν εκ θεμελίων και τους άνδρας της πόλεως εφόνευσε.

Κρ. 8,18 - καὶ εἶπε πρὸς Ζεβεὲ καὶ Σελμανά· ποῦ οἱ ἄνδρες, οὓς ἀπεκτείνατε ἐν Θαβώρ; καὶ εἶπαν· ὡς σύ, ὡς αὐτοὶ εἰς ὁμοίωμα υἱοῦ βασιλέως.

Κρ. 8,18 - Ηρώτησε δε τον Ζεβεέ και τον Σελμανά· "πως ήσαν οι άνδρες τους οποίους εφονεύσατε στο Θαβώρ;" Εκείνοι απήντησαν· "όπως είσαι συ. Είχαν όψιν υιών βασιλέως όπως και συ".

Κρ. 8,19 - καὶ εἶπε Γεδεών· ἀδελφοί μου καὶ υἱοὶ τῆς μητρός μου ἦσαν· ζῇ Κύριος, εἰ ἐζωογονήκειτε αὐτούς, οὐκ ἂν ἀπέκτεινα ὑμᾶς.

Κρ. 8,19 - Ο Γεδεών είπεν· "αυτοί ήσαν πραγματικοί αδελφοί μου, παιδιά της μητρός μου. Ορκίζομαι στον ζώντα Θεόν, εάν τους αφήνατε εν τη ζωή, ούτε εγώ θα σας εφόνευα".

Κρ. 8,20 - καὶ εἶπεν Ἰεθὲρ τῷ πρωτοτόκῳ αὐτοῦ· ἀναστὰς ἀπόκτεινον αὐτούς· καὶ οὐκ ἔσπασε τὸ παιδάριον τὴν ῥομφαίαν αὐτοῦ, ὅτι ἐφοβήθη, ὅτι ἔτι νεώτερος ἦν.

Κρ. 8,20 - Αμέσως δε είπεν στον πρωτοτόκον υιόν του, τον Ιεθέρ· "σήκω και θανάτωσέ τους". Αλλά τα παιδάριον τούτο δεν ανέσυρε την μάχαιράν του διότι του έλειπε το θάρρος· ήτο ακόμη μικρός.

Κρ. 8,21 - καὶ εἶπε Ζεβεὲ καὶ Σελμανά· ἀνάστα σὺ καὶ συνάντησον ἡμῖν, ὅτι ὡς ἀνδρὸς ἡ δύναμίς σου. καὶ ἀνέστη Γεδεὼν καὶ ἀπέκτεινε τὸν Ζεβεὲ καὶ τὸν Σελμανὰ καὶ ἔλαβε τοὺς μηνίσκους τοὺς ἐν τοῖς τραχήλοις τῶν καμήλων αὐτῶν.

Κρ. 8,21 - Ο Ζεβεέ και ο Σελμανά είπον προς τον Γεδεών· "σήκω συ και έλα εναντίον μας να μας φονεύσης διότι η δύναμίς σου είναι πράγματι δύναμις ανδρός". Ο Γεδεών ηγέρθη και εφόνευσε τον Ζεβεέ και τον Σελμανά. Ελαβε δε από τους τραχήλους των καμήλων τα εις σχήμα ημισελήνου κοσμήματά των.

Κρ. 8,22 - Καὶ εἶπον ἀνὴρ Ἰσραὴλ πρὸς Γεδεών· κύριε, ἄρξον ἡμῶν καὶ σὺ καὶ ὁ υἱός σου καὶ ὁ υἱὸς τοῦ υἱοῦ σου, ὅτι σὺ ἔσωσας ἡμᾶς ἐκ χειρὸς Μαδιάμ.

Κρ. 8,22 - Οι Ισραηλίται ευγνωμονούντες και ενθουσιασμένοι δια την νίκην του Γεδεών του είπαν· "κύριε, γίνε συ αρχηγός μας και έπειτα από σε ο υιός σου και κατόπιν ο έγγονός σου, διότι συ μας έσωσες από την τυραννικήν κυριαρχίαν των Μαδιανιτών".

Κρ. 8,23 - καὶ εἶπε πρὸς αὐτοὺς Γεδεών· οὐκ ἄρξω ἐγώ, καὶ οὐκ ἄρξει ὁ υἱός μου ἐν ὑμῖν· Κύριος ἄρξει ὑμῶν.

Κρ. 8,23 - Ο Γεδεών απήντησε προς αυτούς· "ούτε εγώ θα γίνω αρχηγός σας ούτε ο υιός μου θα γίνη αρχηγός σας. Ο Κυριος θα είναι ο μοναδικός αρχηγός σας".

Κρ. 8,24 - καὶ εἶπε πρὸς αὐτοὺς Γεδεών· αἰτήσομαι παρ᾿ ὑμῶν αἴτημα καὶ δότε μοι ἀνὴρ ἐνώτιον ἐκ σκύλων αὐτοῦ· ὅτι ἐνώτια χρυσᾶ αὐτοῖς, ὅτι ἦσαν Ἰσμαηλῖται.

Κρ. 8,24 - Είπε δε προς αυτούς ο Γεδεών· "θα υποβάλω εις σας ένα αίτημα· ο καθένας σας ας μου δώση από τα λάφυρα του πολέμου ο,τι σκουλαρίκι έχει. Διότι οι εχθροί, καθ' ο Ισμαηλίται, είχον χρυσά σκουλαρίκια".

Κρ. 8,25 - καὶ εἶπαν· διδόντες δώσομεν· καὶ ἀνέπτυξε τὸ ἱμάτιον αὐτοῦ, καὶ ἔβαλεν ἐκεῖ ἀνὴρ ἐνώτιον σκύλων αὐτοῦ.

Κρ. 8,25 - Οι Ισραηλίται απήντησαν· "με όλην μας την καρδιά θα σου δώσωμεν". Ο Γεδεών ήπλωσε το ιμάτιόν του και κάθε Ισραηλίτης έρριψεν εις αυτό από τα λάφυρα του πολέμου ο,τι σκουλαρίκι είχε.

Κρ. 8,26 - καὶ ἐγένετο ὁ σταθμὸς τῶν ἐνωτίων τῶν χρυσῶν, ὧν ᾔτησε, χίλιοι καὶ ἑπτακόσιοι χρυσοῖ, πάρεξ τῶν μηνίσκων καὶ τῶν στραγγαλίδων καὶ τῶν ἱματίων καὶ πορφυρίδων τῶν ἐπὶ βασιλεῦσι Μαδιὰμ καὶ ἐκτὸς τῶν περιθεμάτων, ἃ ἦν ἐν τοῖς τραχήλοις τῶν καμήλων αὐτῶν.

Κρ. 8,26 - Το βάρος των χρυσών σκουλαρικιών, τα οποία εζήτησε και έλαβεν ο Γεδεών, έφθασε τους χιλίους επτακοσίους χρυσούς σίκλους (ήτοι υπέρ τα δέκα οκτώ χιλιόγραμμα), έκτος των κοσμημάτων που είχον σχήμα ημισελήνου, των πολύπλοκων κόμβων, των πολυτελών και πορφυρών ιματίων των βασιλέων της Μαδιάμ, και έκτός των περιδεραίων που εκρέμαντο στους τραχήλους των καμήλων.

Κρ. 8,27 - καὶ ἐποίησεν αὐτὸ Γεδεὼν εἰς Ἐφὼδ καὶ ἔστησεν αὐτὸ ἐν πόλει αὐτοῦ Ἐφραθά· καὶ ἐξεπόρνευσε πᾶς Ἰσραὴλ ὀπίσω αὐτοῦ ἐκεῖ, καὶ ἐγένετο τῷ Γεδεὼν καὶ τῷ οἴκῳ αὐτοῦ εἰς σκῶλον.

Κρ. 8,27 - Με τον χρυσόν αυτόν έδωσεν ο Γεδεών και κατεσκεύασαν Εφώδ (είδος τι αρχιερατικού αμφίου) το οποίον ετοποθέτησεν εις την πόλιν του την Εφραθά. Ο ισραηλιτικός όμως λαός ξέκλινε και πάλιν εις την ειδωλολατρείαν αι διαφθοράν και έγινε δια τον Γεδεών και το γένος του σκάνδαλον και πρόσκομισε.

Κρ. 8,28 - καὶ συνεστάλη Μαδιὰμ ἐνώπιον υἱῶν Ἰσραὴλ καὶ οὐ προσέθηκαν ἆραι κεφαλὴν αὐτῶν. καὶ ἡσύχασεν ἡ γῆ τεσσαράκοντα ἔτη ἐν ἡμέραις Γεδεών.

Κρ. 8,28 - Οι Μαδιανίται, έπειτα από την συντριβήν των, εταπεινώθησαν και εσυμαζεύθησαν ενώπιον των Ισραηλιτών, και εν ετόλμησαν πλέον να

ξανασηκώσουν, κεφάλι. Ετσι δε η Παλαιστίνη ησύχασεν επί τεσσαράκοντα έτη κατά τας ημέρας του Γεδεών.

Κρ. 8,29 - καὶ ἐπορεύθη Ἱεροβάαλ υἱὸς Ἰωὰς καὶ ἐκάθισεν ἐν οἴκῳ αὐτοῦ.

Κρ. 8,29 - Ο Ιεροβάαλ, δηλαδή ο Γεδεών, ο υιός του Ιωάς, εγκατεστάθη και πάλιν στον οίκον του εν Εφραθά.

Κρ. 8,30 - καὶ τῷ Γεδεὼν ἦσαν υἱοὶ ἑβδομήκοντα ἐκπορευόμενοι ἐκ μηρῶν αὐτοῦ, ὅτι γυναῖκες πολλαὶ ἦσαν αὐτῷ.

Κρ. 8,30 - Απέκτησε δε εβδομήκοντα υιούς, διότι είχε πολλάς συζύγους.

Κρ. 8,31 - καὶ παλλακὴ αὐτοῦ ἦν ἐν Συχέμ· καὶ ἔτεκεν αὐτῷ καί γε αὐτὴ υἱόν, καὶ ἔθηκε τὸ ὄνομα αὐτοῦ Ἀβιμέλεχ.

Κρ. 8,31 - Μια από αυτάς παλλακή δηλαδή δευτέρας σειράς σύζυγος ευρίσκετο εις Συχέμ. Και αυτή εγέννησεν στον Γεδεών υιόν, στον οποίον έδωσε το όνομα Αβιμέλεχ.

Κρ. 8,32 - καὶ ἀπέθανε Γεδεὼν υἱὸς Ἰωὰς ἐν πόλει αὐτοῦ καὶ ἐτάφη ἐν τῷ τάφῳ Ἰωὰς τοῦ πατρὸς αὐτοῦ ἐν Ἐφραθὰ Ἀβιεσδρί.

Κρ. 8,32 - Ο Γεδεών, ο υιός του Ιωάς, απέθανεν εις την πόλιν του και ετάφη στον τάφον του πατρός του Ιωάς του Αβιεσδρίτου εις την Εφραθά.

Κρ. 8,33 - Καὶ ἐγενήθη ὡς ἀπέθανε Γεδεών, καὶ ἐπέστρεψαν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἐξεπόρνευσαν ὀπίσω τῶν Βααλὶμ καὶ ἔθηκαν ἑαυτοῖς τῷ Βάαλ διαθήκην τοῦ εἶναι αὐτοῖς αὐτὸν εἰς θεόν.

Κρ. 8,33 - Οταν όμως απέθανεν ο Γεδεών, οι Ισραηλίται απεμακρύνθησαν και πάλιν από τον Θεόν, εξέκλιναν εις την ειδωλολατρείαν και διαφθοράν, ελάτρευσαν τα είδωλα του Βααλ και έκαμαν συμφωνίαν προς τον ειδωλικόν θεόν Βααλ, να είναι αυτός εις αυτούς θεός.

Κρ. 8,34 - καὶ οὐκ ἐμνήσθησαν οἱ υἱοὶ Ἰσραὴλ Κυρίου τοῦ Θεοῦ τοῦ ῥυσαμένου αὐτοὺς ἐκ χειρὸς πάντων τῶν θλιβόντων αὐτοὺς κυκλόθεν.

Κρ. 8,34 - Ετσι δε οι Ισραηλίται ελησμόνησαν τον αληθινόν Κυριον και Θεόν ο οποίος τους εγλύτωσεν από την δυναστείαν και τυραννίαν των κύκλω από αυτούς λαών.

Κρ. 8,35 - καὶ οὐκ ἐποίησαν ἔλεος μετὰ τοῦ οἴκου Ἱεροβάαλ (αὐτός ἐστι Γεδεών) κατὰ πάντα τὰ ἀγαθά, ἃ ἐποίησε μετὰ Ἰσραήλ.

Κρ. 8,35 - Σκοτισμένοι δε από την ειδωλολατρείαν ούτε και προς την οικογένειαν του Ιεροβάαλ, του Γεδεών, δεν εφέρθησαν με καλωσύνην και σέβασμόν αναλόγως με τα καλά τα οποία αυτός είχε κάμει προς τους Ισραηλίτας.

## ΚΡΙΤΑΙ 9

Κρ. 9,1 - Καὶ ἐπορεύθη Ἀβιμέλεχ υἱὸς Ἱεροβάαλ εἰς Συχὲμ πρὸς ἀδελφοὺς μητρὸς αὐτοῦ καὶ ἐλάλησε πρὸς αὐτοὺς καὶ πρὸς πᾶσαν συγγένειαν οἴκου πατρὸς μητρὸς αὐτοῦ λέγων·

Κρ. 9,1 - Ο Αβιμέλεχ ο υιός του Ιεροβάαλ επήγεν εις την Συχέμ προς τους αδελφούς της μητρός του, ωμίλησε προς αυτούς και προς όλους τους συγγενείς του πατρικού οίκου της μητρός του και είπε·

Κρ. 9,2 - λαλήσατε δὴ ἐν τοῖς ὠσὶ πάντων τῶν ἀνδρῶν Συχέμ· τί τὸ ἀγαθὸν ὑμῖν, κυριεῦσαι ὑμῶν ἑβδομήκοντα ἄνδρας, πάντας υἱοὺς Ἱεροβάαλ, ἢ κυριεύειν ὑμῶν ἄνδρα ἕνα; καὶ μνήσθητε ὅτι ὀστοῦν ὑμῶν καὶ σὰρξ ὑμῶν εἰμι.

Κρ. 9,2 - “είπατε σας παρακαλώ, ώστε να ακούσουν όλοι οι άνδρες της Συχέμ· Τι είναι το καλύτερον δια σας, να βασιλεύσουν εις σας εβδομήκοντα άνδρες, όλοι δηλαδή οι υιοί του Ιεροβάαλ, η να είναι ένας ο άρχων σας, δηλαδή εγώ; Ενθυμηθήτε δε ότι εγώ είμαι ιδικόν σας οστούν και ιδική σας σαρξ”.

Κρ. 9,3 - καὶ ἐλάλησαν περὶ αὐτοῦ οἱ ἀδελφοὶ τῆς μητρὸς αὐτοῦ ἐν τοῖς ὠσὶ πάντων τῶν ἀνδρῶν Συχὲμ πάντας τοὺς λόγους τούτους, καὶ ἔκλινεν ἡ καρδία αὐτῶν ὀπίσω Ἀβιμέλεχ, ὅτι εἶπαν· ἀδελφὸς ἡμῶν ἐστι.

Κρ. 9,3 - Οι θείοι αυτού, δηλαδή οι αδελφοί της μητρός του, ωμίλησαν περί αυτού και ανεκοίνωσαν όλους αυτούς τους λόγους του προς όλους τους άνδρας της Συχέμ, και η καρδία εκείνων έκλινεν υπέρ του Αβιμέλεχ, διότι εσκέφθησαν και είπαν· “αδελφός μας είναι αυτός”.

Κρ. 9,4 - καὶ ἔδωκαν αὐτῷ ἑβδομήκοντα ἀργυρίου ἐξ οἴκου Βααλβερίθ, καὶ ἐμισθώσατο ἑαυτῷ Ἀβιμέλεχ ἄνδρας κενοὺς καὶ δειλούς, καὶ ἐπορεύθησαν ὀπίσω αὐτοῦ.

Κρ. 9,4 - Επήραν δε από τον ναόν του Βααλ και έδωκαν εις αυτόν εβδομήκοντα σίκλους αργυρίου. Με τα χρήματα αυτά επεστράτευσεν ο Αβιμέλεχ ως μισθοφόρους του άνδρας αδιστάκτους και τυχοδιώκτας οι οποίοι και τον ηκολούθησαν.

Κρ. 9,5 - καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ εἰς Ἐφραθὰ καὶ ἀπέκτεινε τοὺς ἀδελφοὺς αὐτοῦ υἱοὺς Ἱεροβάαλ ἑβδομήκοντα ἄνδρας ἐπὶ λίθον ἕνα· καὶ κατελείφθη Ἰωάθαμ υἱὸς Ἱεροβάαλ ὁ νεώτερος, ὅτι ἐκρύβη.

Κρ. 9,5 - Εισήλθε μαζή με αυτούς στον πατρικόν του οίκον εις Εφραθά και εφόνευσε τους αδελφούς του, τους υιούς του Γεδεών, εβδομήκοντα εν όλω άνδρας επάνω εις την αυτήν πέτραν. Διέφυγεν όμως τον θάνατον ο νεώτερος υιός του Γεδεών, ο Ιωάθαμ, διότι εκρύφθη.

Κρ. 9,6 - καὶ συνήχθησαν πάντες ἄνδρες Σικίμων καὶ πᾶς οἶκος Βηθμααλὼν καὶ ἐπορεύθησαν καὶ ἐβασίλευσαν τὸν Ἀβιμέλεχ πρὸς τῇ βαλάνῳ τῇ εὑρετῇ τῆς στάσεως τῆς ἐν Σικίμοις.

Κρ. 9,6 - Τοτε συνεκεντρώθησαν όλοι οι άνδρες της Συχέμ και όλος ο οίκος Βηθμααλών, μετέβησαν και ανεκήρυξαν βασιλέα τον Αβιμέλεχ πλησίον εις την βαλανιδιάν την ευρισκομένην εις κάποιαν τοποθεσίαν της Συχέμ.

Κρ. 9,7 - Καὶ ἀνηγγέλη τῷ Ἰωάθαμ, καὶ ἐπορεύθη καὶ ἔστη ἐπὶ κορυφὴν ὄρους Γαριζὶν καὶ ἐπῇρε τὴν φωνὴν αὐτοῦ καὶ ἔκλαυσε καὶ εἶπεν αὐτοῖς· ἀκούσατέ μου, ἄνδρες Σικίμων, καὶ ἀκούσεται ὑμῶν ὁ Θεός.

Κρ. 9,7 - Ανεκοινώθη το γεγονός αυτό στον Ιωάθαμ, ο οποίος επήγε και εστάθη όρθιος εις κάποιαν κορυφήν του Γαριζίν και αφού έκλαυσε δια τα θλιβερά αυτά γεγονότα, εφώναξε δυνατά προς τους Συχεμίτας και τους είπεν· “ακούσατέ μου άνδρες της Συχέμ δια να ακούση και σας ο Θεός.

Κρ. 9,8 - πορευόμενα ἐπορεύθη τὰ ξύλα τοῦ χρῖσαι ἐφ᾿ ἑαυτὰ βασιλέα καὶ εἶπον τῇ ἐλαίᾳ· βασίλευσον ἐφ᾿ ἡμῶν.

Κρ. 9,8 - Τα δένδρα επήγαν να ανακηρύξουν βασιλέα των και είπαν εις την ελαιά· Γινε εσύ βασιλεύς μας.

Κρ. 9,9 - καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία· μὴ ἀπολείψασα τὴν ποιότητά μου, ἐν ᾗ δοξάσουσι τὸν Θεὸν ἄνδρες, πορεύσομαι κινεῖσθαι ἐπὶ τῶν ξύλων;

Κρ. 9,9 - Η ελαιά απήντησεν εις αυτούς· Εγώ να εγκαταλείψω τους καρπούς μου, το έλαιόν μου, με το οποίον οι άνθρωποι δοξάζουν τον Θεόν και να σείωμαι μόνον επιδεικτικώς ως βασίλισσα των άλλων δένδρων; Δεν θέλω να γίνω βασίλισσα.

Κρ. 9,10 - καὶ εἶπον τὰ ξύλα τῇ συκῇ· δεῦρο βασίλευσον ἐφ᾿ ἡμῶν.

Κρ. 9,10 - Τοτε τα δένδρα είπαν εις την συκήν· Ελα συ να βασιλεύσης εις ημάς.

Κρ. 9,11 - καὶ εἶπεν αὐτοῖς ἡ συκῆ· μὴ ἀπολείψασα ἐγὼ τὴν γλυκύτητά μου καὶ τὰ γενήματά μου τὰ ἀγαθά, πορεύσομαι κινεῖσθαι ἐπὶ τῶν ξύλων;

Κρ. 9,11 - Η συκή απήντησεν εις αυτά· Εγώ να αφήσω την γλυκύτητά μου, τους γευστικούς και ωφελίμους καρπούς μου και να αρκεσθώ μόνον να σείωμαι επιδεικτικώς ως βασίλισσα των άλλων δένδρων; Οχι.

Κρ. 9,12 - καὶ εἶπαν τὰ ξύλα πρὸς τὴν ἄμπελον· δεῦρο βασίλευσον ἐφ᾿ ἡμῶν.

Κρ. 9,12 - Τα δένδρα μετέβησαν προς την άμπελον και της είπαν· Ελα συ να γίνης βασίλισσά μας.

Κρ. 9,13 - καὶ εἶπεν αὐτοῖς ἡ ἄμπελος· μὴ ἀπολείψασα τὸν οἶνόν μου τὸν εὐφραίνοντα Θεὸν καὶ ἀνθρώπους, πορεύσομαι κινεῖσθαι ἐπὶ τῶν ξύλων;

Κρ. 9,13 - Η άμπελος απήντησεν εις αυτά· Να εγκαταλείψω εγώ τον οίνον μου, ο οποίος ευφραίνει Θεόν και ανθρώπους και να αρκεσθώ να σείωμαι μόνον ως βασίλισσα των άλλων δένδρων; Αυτό δεν το δέχομαι.

Κρ. 9,14 - καὶ εἶπαν πάντα τὰ ξύλα τῇ ῥάμνῳ· δεῦρο σὺ βασίλευσον ἐφ᾿ ἡμῶν.

Κρ. 9,14 - Είπαν τότε όλα τα δένδρα εις ένα ευτελή και ακανθώδη θάμνον, την ράμνον· Ελα συ να γίνης βασίλισσά μας.

Κρ. 9,15 - καὶ εἶπεν ἡ ῥάμνος πρὸς τὰ ξύλα· εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς τοῦ βασιλεύειν ἐφ᾿ ὑμᾶς, δεῦτε ὑπόστητε ἐν τῇ σκιᾷ μου· καὶ εἰ μή, ἐξέλθοι πῦρ ἀπ᾿ ἐμοῦ καὶ καταφάγοι τὰς κέδρους τοῦ Λιβάνου.

Κρ. 9,15 - Η χωρίς αξίαν και μωροφιλόδοξος ράμνος είπε τότε εις τα δένδρα· Εάν πράγματι θέλετε να με χρίσετε βασίλισσάν σας, ελάτε και πέσετε κάτω από την σκιάν μου ! Ει δ' άλλως φωτιά θα βγη από εμέ και θα κατακαύση τας κέδρους του Λιβάνου (αυτός είναι ο μύθος).

Κρ. 9,16 - καὶ νῦν εἰ ἐν ἀληθείᾳ καὶ τελειότητι ἐποιήσατε καὶ ἐβασιλεύσατε τὸν Ἀβιμέλεχ, καὶ εἰ ἀγαθωσύνην ἐποιήσατε μετὰ Ἱεροβάαλ, καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ εἰ ὡς ἀνταπόδοσις χειρὸς αὐτοῦ ἐποιήσατε αὐτῷ,

Κρ. 9,16 - Και τώρα ας σας ερωτήσω, εάν εν αληθεία και δικαιοσύνη επράξατε ανακηρύττοντες βασιλέα τον Αβιμέλεχ· εάν εφερθήκατε καλά πρας την μνήμην του Γεδεών και προς τα παιδιά του και εάν αυτό που εκάματε αποτελή ανταπόδοσιν της ευεργεσίας που ελάβατε από αυτόν.

Κρ. 9,17 - ὡς παρετάξατο ὁ πατήρ μου ὑπὲρ ὑμῶν καὶ ἐξέῤῥιψε τὴν ψυχὴν αὐτοῦ ἐξεναντίας καὶ ἐῤῥύσατο ὑμᾶς ἐκ χειρὸς Μαδιάμ,

Κρ. 9,17 - Ενθυμείσθε πως εξήλθε κατά των εχθρών και επολέμησεν ο πατήρ μου προς χάριν σας; Και εξέθεσεν εις κίνδυνον την ζωήν του ενώπιόν σας, και πως σας εγλύτωσε από τα χέρια των Μαδιανιτών.

Κρ. 9,18 - καὶ ὑμεῖς ἐπανέστητε ἐπὶ τὸν οἶκον τοῦ πατρός μου σήμερον καὶ ἀπεκτείνατε τοὺς υἱοὺς αὐτοῦ ἑβδομήκοντα ἄνδρας ἐπὶ λίθον ἕνα, καὶ ἐβασιλεύσατε τὸν Ἀβιμέλεχ υἱὸν παιδίσκης αὐτοῦ ἐπὶ τοὺς ἄνδρας Σικίμων, ὅτι ἀδελφὸς ὑμῶν ἐστι,

Κρ. 9,18 - Σεις όμως εκάματε σήμερον επανάστασιν κατά του πατρικού μου οίκου, εφονεύσατε τους υιούς του Γεδεών, εβδομήκοντα άνδρας, επάνω εις την ιδίαν πέτραν και ανεκηρύξατε βασιλέα σας τον Αβιμέλεχ, υιόν της δούλης του, διότι είναι συγγενής σας !

Κρ. 9,19 - καὶ εἰ ἐν ἀληθείᾳ καὶ τελειότητι ἐποιήσατε μετὰ Ἱεροβάαλ καὶ μετὰ τοῦ οἴκου αὐτοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ, εὐφρανθείη τε ἐν Ἀβιμέλεχ, καὶ εὐφρανθείη καί γε αὐτὸς ἐφ᾿ ὑμῖν.

Κρ. 9,19 - Εάν λοιπόν κατ' αλήθειαν και δικαιοσύνην επράξατε απέναντι του Γεδεών και του οίκου του κατά την ημέραν αυτήν, να χαίρεσθε σστον Αβιμέλεχ και εκείνος να χαίρεται σας !

Κρ. 9,20 - εἰ δὲ οὔ, ἐξέλθοι πῦρ ἀπὸ Ἀβιμέλεχ καὶ καταφάγοι τοὺς ἄνδρας Σικίμων καὶ τὸν οἶκον Βηθμααλὼν καὶ ἐξέλθοι πῦρ ἀπὸ ἀνδρῶν Σικίμων καὶ ἐκ τοῦ οἴκου Βηθμααλὼν καὶ καταφάγοι τὸν Ἀβιμέλεχ.

Κρ. 9,20 - Εάν όμως δεν έχετε φερθή καλά, φωτιά θα βγη από τον Αβιμέλεχ και θα κατακαύση τους κατοίκους της Συχέμ και τον οίκον Βηθμααλών. Αλλά και από σας τους κατοίκους της Συχέμ και από τον οίκον Βηθμααλών φωτιά θα βγη και θα κατακαύση τον 'Αβιμέλεχ".

Κρ. 9,21 - καὶ ἔφυγεν Ἰωάθαμ καὶ ἀπέδρα καὶ ἐπορεύθη ἕως Βαιὴρ καὶ ᾤκησεν ἐκεῖ ἀπὸ προσώπου Ἀβιμέλεχ ἀδελφοῦ αὐτοῦ.

Κρ. 9,21 - Επειτα από τους λόγους αυτούς έφυγεν ο Ιωάθαμ δρομέως, έφθασεν εις Βαιήρ, όπου και εγκατεστάθη, μακράν από τον αδελφόν του τον Αβιμέλεχ.

Κρ. 9,22 - Καὶ ἦρξεν Ἀβιμέλεχ ἐπὶ Ἰσραὴλ τρία ἔτη.

Κρ. 9,22 - Ο Αβιμέλεχ τρία μόνον έτη εβασίλευσεν στους Ισραηλίτας.

Κρ. 9,23 - καὶ ἐξαπέστειλεν ὁ Θεὸς πνεῦμα πονηρὸν ἀνὰ μέσον Ἀβιμέλεχ καὶ ἀνὰ μέσον τῶν ἀνδρῶν Σικίμων, καὶ ἠθέτησαν ἄνδρες Σικίμων ἐν τῷ οἴκῳ Ἀβιμέλεχ,

Κρ. 9,23 - Διότι επέτρεψεν ο Θεός να εμφιλοχωρήση μεταξύ του Αβιμέλεχ και των κατοίκων της Συχέμ πνεύμα δυσφορίας και διχονοίας, εξ αιτίας του οποίου απεκήρυξαν οι άνδρες της Συχέμ τον οίκον του Αβιμέλεχ.

Κρ. 9,24 - τοῦ ἐπαγαγεῖν τὴν ἀδικίαν τῶν ἑβδομήκοντα υἱῶν Ἱεροβάαλ καὶ τὰ αἵματα αὐτῶν τοῦ θεῖναι ἐπὶ Ἀβιμέλεχ τὸν ἀδελφὸν αὐτῶν, ὃς ἀπέκτεινεν αὐτούς, καὶ ἐπὶ ἄνδρας Σικίμων, ὅτι ἐνίσχυσαν τὰς χεῖρας αὐτοῦ ἀποκτεῖναι τοὺς ἀδελφοὺς αὐτοῦ.

Κρ. 9,24 - Επέτρεψεν ο Θεός (να αναστατώση εκείνους το πνεύμα) αυτό (της διχονοίας), διότι ηθέλησε να τιμωρήση την άδικον σφαγήν των εδδομήκοντα υιών του Γεδεών επιρρίπτων το αδικοχυμένον αίμα των εις την κεφαλήν του αδελφού των Αβιμέλεχ, ο οποίος τους εφόνευσεν, αλλά και στους κατοίκους της Συχέμ οι οποίοι έδωσαν εις αυτόν τα μέσα και τον ενίσχυσαν να φονεύση τους αδελφούς του.

Κρ. 9,25 - καὶ ἔθηκαν αὐτῷ οἱ ἄνδρες Σικίμων ἐνεδρεύοντας ἐπὶ τὰς κεφαλὰς τῶν ὀρέων καὶ διήρπαζον πάντα, ὃς παρεπορεύετο ἐπ᾿ αὐτοὺς ἐν τῇ ὁδῷ· καὶ ἀπηγγέλη τῷ βασιλεῖ Ἀβιμέλεχ.

Κρ. 9,25 - Οι άνδρες της Συχέμ ετοποθέτουν ενέδρας εις τας κορυφάς των ορέων εναντίον του Αβιμέλεχ. Οι δε ενεδρεύοντες ελήστευαν κάθε άνθρωπον ο οποίος διήρχετο πλησίον των στον δρόμον. Τα γεγονότα αυτά ανηγγέλθησαν στον βασιλέα Αβιμέλεχ, ο οποίος και εξήλθεν να τιμωρήση εκείνους.

Κρ. 9,26 - καὶ ἦλθε Γαὰλ υἱὸς Ἰωβὴλ καὶ οἱ ἀδελφοὶ αὐτοῦ καὶ παρῆλθον ἐν Σικίμοις, καὶ ἤλπισαν ἐν αὐτῷ οἱ ἄνδρες Σικίμων.

Κρ. 9,26 - Τοτε ο Γααλ, ο υιός του Ιωβήλ, μαζή με τους αδελφούς του ήλθον εις την Συχέμ. Οι δε Συχεμίται εις αυτόν πλέον εστήριξαν τας ελπίδας των, εγκαταλείψαντες τον Αβιμέλεχ.

Κρ. 9,27 - καὶ ἐξῆλθον εἰς ἀγρὸν καὶ ἐτρύγησαν τοὺς ἀμπελῶνας αὐτῶν καὶ ἐπάτησαν καὶ ἐποίησαν Ἐλλουλὶμ καὶ εἰσήνεγκαν εἰς οἶκον Θεοῦ αὐτῶν καὶ ἔφαγον καὶ ἔπιον καὶ κατηράσαντο τὸν Ἀβιμέλεχ.

Κρ. 9,27 - Εξήλθον δε από την Συχέμ στους αγρούς των, ετρύγησαν τα αμπέλια των, επάτησαν τα σταφύλια και έκαμαν εορτήν. Εισήλθον εν συνεχεία στον ναόν του Θεού των, έφαγον, έπιον και εκεί εν συνεχεία ανεθεμάτισαν τον Αβιμέλεχ.

Κρ. 9,28 - καὶ εἶπε Γαὰλ υἱὸς Ἰωβήλ· τίς ἐστιν Ἀβιμέλεχ καὶ τίς ἐστιν υἱὸς Συχέμ, ὅτι δουλεύσομεν αὐτῷ; οὐχ υἱὸς Ἱεροβάαλ, καὶ Ζεβοὺλ ἐπίσκοπος αὐτοῦ δοῦλος αὐτοῦ σὺν τοῖς ἀνδράσιν Ἐμμὼρ πατρὸς Συχέμ; καὶ τί ὅτι δουλεύσομεν αὐτῷ ἡμεῖς;

Κρ. 9,28 - Ο Γαάλ, ο υιός του Ιωβήλ, ο αρχηγός των είπε με περιφρόνησιν· “και ποιός είναι αυτός ο Αβιμέλεχ; Ποιός είναι αυτός ο Συχεμίτης, ώστε ημείς να είμεθα εις αυτόν δούλοι; Δεν είναι αυτός παιδί του Ιεροβάαλ που έχει ως τοποτηρητήν του εις την Συχέμ τον δούλον του, τον Ζεβούλ, μαζή με μερικούς άνδρας απογόνους του Εμμώρ, πατρός της Συχέμ; Διατί ημείς να είμεθα δούλοι εις εκείνον;

Κρ. 9,29 - καὶ τίς δῴη τὸν λαὸν τοῦτον ἐν χειρί μου; καὶ μεταστήσω τὸν Ἀβιμέλεχ καὶ ἐρῶ πρὸς αὐτόν· πλήθυνον τὴν δύναμίν σου καὶ ἔξελθε.

Κρ. 9,29 - Ποιός τάχα θα δώση υπό την εξουσίαν μου τον λαόν τούτον της Συχέμ; Εάν εγώ αποκτήσω αυτήν την εξουσίαν, θα διώξω από εδώ τον Αβιμέλεχ και θα του είπω· Αύξησε όσον θέλστον στρατόν σου και εβγα έξω ! εγώ θα σε κάμω να φύγης από εδώ”.

Κρ. 9,30 - καὶ ἤκουσε Ζεβοὺλ ἄρχων τῆς πόλεως τοὺς λόγους Γαὰλ υἱοῦ Ἰωβὴλ καὶ ὠργίσθη θυμῷ αὐτός.

Κρ. 9,30 - Ο Ζεβούλ, ο εκπρόσωπος του Αβιμέλεχ και διοικητής της πόλεως ήκουσε τα λόγια αυτά του Γαάλ, υιού του Ιωβήλ και κατελήφθη από μεγάλην οργήν.

Κρ. 9,31 - καὶ ἀπέστειλεν ἀγγέλους πρὸς Ἀβιμέλεχ ἐν κρυφῇ λέγων· ἰδοὺ Γαὰλ υἱὸς Ἰωβὴλ καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔρχονται εἰς Συχέμ, καὶ ἰδοὺ αὐτοὶ περικάθηνται τὴν πόλιν ἐπὶ σέ·

Κρ. 9,31 - Αμέσως δε έστειλε κρυφίως προς τον Αβιμέλεχ αγγελιαφόρους και του είπε· “ιδού ο Γαάλ, ο υιός του Ιωβήλ, και οι αδελφοί του ήλθον εις την Συχέμ και αναταράσσουν εις εξέγερσιν εναντίον σου την πόλιν.

Κρ. 9,32 - καὶ νῦν ἀνάστηθι νυκτός, σὺ καὶ ὁ λαὸς ὁ μετὰ σοῦ, καὶ ἐνέδρευσον ἐν τῷ ἀγρῷ,

Κρ. 9,32 - Λοιπόν, χωρίς να χάσης καιρόν σήκω κατά την νύκτα συ και ο λαός που είναι μαζή σου και στήσε ενέδραν στους αγρούς έξω από την Συχέμ.

Κρ. 9,33 - καὶ ἔσται τὸ πρωῒ ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον, ὀρθριεῖς καὶ ἐκτενεῖς ἐπὶ τὴν πόλιν, καὶ ἰδοὺ αὐτὸς καὶ ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ ἐκπορεύονται πρὸς σέ, καὶ ποιήσεις αὐτῷ ὅσα ἂν εὕρῃ ἡ χείρ σου.

Κρ. 9,33 - Κατά δε την πρωΐαν συγχρόνως με την ανατολήν του ηλίου θα βαδίσης κατά της πόλεως. Αυτός δε και όσοι είναι μαζή του θα εξέλθουν εναντίον σου. Τοτε συ θα τους καταπολεμήσης και θα κάμης εναντίον των όσα ημπορεί το χέρι σου”.

Κρ. 9,34 - καὶ ἀνέστη Ἀβιμέλεχ καὶ πᾶς ὁ λαὸς μετ᾽ αὐτοῦ νυκτὸς καὶ ἐνήδρευσαν ἐπὶ Συχὲμ τέτρασιν ἀρχαῖς.

Κρ. 9,34 - Πράγματι ο Αβιμέλεχ εσηκώθη αυτός και ο λαός που ήτο μαζή του και έστησαν ενέδρας εναντίον της Συχέμ με τέσσαρας ομάδας στρατού.

Κρ. 9,35 - καὶ ἐξῆλθε Γαὰλ υἱὸς Ἰωβὴλ καὶ ἔστη πρὸς τῇ θύρᾳ τῆς πύλης τῆς πόλεως, καὶ ἀνέστη Ἀβιμέλεχ καὶ ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ ἀπὸ τοῦ ἐνέδρου.

Κρ. 9,35 - Ο Γαάλ, υιός του Ιωβήλ, εβγήκεν από την πόλιν και εστάθη πλησίον εις την πύλην του τείχους. Τοτε ο Αβιμέλεχ και ο λαός που ήτο μαζή του εξήλθον από τας ενέδρας των.

Κρ. 9,36 - καὶ εἶδε Γαὰλ υἱὸς Ἰωβὴλ τὸν λαὸν καὶ εἶπε πρὸς Ζεβούλ· ἰδοὺ λαὸς καταβαίνει ἀπὸ τῶν κεφαλῶν τῶν ὀρέων. καὶ εἶπε πρὸς αὐτὸν Ζεβούλ· τὴν σκιὰν τῶν ὀρέων σὺ βλέπεις ὡς ἄνδρας.

Κρ. 9,36 - Ο Γαάλ, υιός του Ιωβήλ, είδε τον λαόν εκείνον και είπε προς τον Ζεβούλ· “ιδού ο λαός κατεβαίνει από τας κορυφάς των ορέων, τι συμβαίνει;” Ο Ζεβουλ του απήντησε· “βλέπεις τας σκιας των ορέων και τας νομίζεις ως άνδρας”.

Κρ. 9,37 - καὶ προσέθετο ἔτι Γαὰλ τοῦ λαλῆσαι καὶ εἶπεν· ἰδοὺ λαὸς καταβαίνων κατὰ θάλασσαν ἀπὸ τοῦ ἐχόμενα ὀμφαλοῦ τῆς γῆς, καὶ ἀρχὴ ἑτέρα ἔρχεται δι᾽ ὁδοῦ Ἡλωνμαωνενίμ.

Κρ. 9,37 - Ο Γαάλ επανήλθε και πάλιν εις τα λόγια του και είπε· “ιδού, κατεβαίνει στρατός προς δυσμάς από περιοχήν ευρισκομένην πλησίον στο κέντρον της χώρας, ενώ άλλο τμήμα στρατού έρχεται από την οδόν Ηλωνμαωνενίμ”.

Κρ. 9,38 - καὶ εἶπε πρὸς αὐτὸν Ζεβούλ· καὶ ποῦ ἐστι τὸ στόμα σου ὡς ἐλάλησας, τίς ἐστιν Ἀβιμέλεχ, ὅτι δουλεύσομεν αὐτῷ; μὴ οὐχὶ οὗτος ὁ λαός, ὃν ἐξουδένωσας; ἔξελθε δὴ νῦν καὶ παράταξαι αὐτῷ.

Κρ. 9,38 - Ο Ζεβούλ είπε τότε προς αυτόν ειρωνικώς· “που είναι το στόμα σου που ωμίλησες με περιφρόνησιν και είπες· Ποιός είναι αυτός ο Αβιμέλεχ, ώστε ημείς να γίνωμεν δούλοι του; Ιδέ· μήπως τάχα αυτός ο λαός που έρχεται είναι εκείνος τον οποίον συ κατεφρόνησες; Εμπρός λοιπόν τώρα έβγα να τον πολεμήσης”.

Κρ. 9,39 - καὶ ἐξῆλθε Γαὰλ ἐνώπιον ἀνδρῶν Συχὲμ καὶ παρετάξατο πρὸς Ἀβιμέλεχ.

Κρ. 9,39 - Ο Γαάλ, αρχηγός των Συχεμιτών εξήλθε μαζή των, επολέμησε κατά του Αβιμέλεχ και ενικήθη.

Κρ. 9,40 - καὶ ἐδίωξεν αὐτὸν Ἀβιμέλεχ, καὶ ἔφυγεν ἀπὸ προσώπου αὐτοῦ· καὶ ἔπεσον τραυματίαι πολλοὶ ἕως τῆς θύρας τῆς πύλης.

Κρ. 9,40 - Τον κατεδίωξεν ο Αβιμέλεχ αλλ' εκείνος ετράπη εις φυγήν και διέφυγε την σύλληψίν του από τον Αβιμέλεχ. Πολλοί όμως εφονεύθησαν από τους ανθρώπους του έως εις την πύλην του τείχους.

Κρ. 9,41 - καὶ εἰσῆλθεν Ἀβιμέλεχ ἐν Ἀρημά· καὶ ἐξέβαλε Ζεβοὺλ τὸν Γαὰλ καὶ τοὺς ἀδελφοὺς αὐτοῦ μὴ οἰκεῖν ἐν Συχέμ.

Κρ. 9,41 - Ο Αβιμέλεχ νικητής εισήλθεν εις την πόλιν Αρημά. Ο Ζεβούλ εξεδίωξε τον Γαάλ και τους αδελφούς του ώστε να μη μένουν πλέον εις την Συχέμ.

Κρ. 9,42 - καὶ ἐγένετο τῇ ἐπαύριον καὶ ἐξῆλθεν ὁ λαὸς εἰς τὸν ἀγρόν, καὶ ἀνήγγειλε τῷ Ἀβιμέλεχ.

Κρ. 9,42 - Κατά την επομένην ημέραν οι Συχεμίται εξήλθον στους αγρούς των. Τούτο έγινε γνωστόν στον Αβιμέλεχ.

Κρ. 9,43 - καὶ ἔλαβε τὸν λαόν, καὶ διεῖλεν αὐτοὺς εἰς τρεῖς ἀρχὰς καὶ ἐνήδρευσεν ἐν ἀγρῷ· καὶ εἶδε καὶ ἰδοὺ λαὸς ἐξῆλθεν ἐκ τῆς πόλεως, καὶ ἀνέστη ἐπ᾿ αὐτοὺς καὶ ἐπάταξεν αὐτούς.

Κρ. 9,43 - Επήρεν αυτός τον στρατόν του τον κατένειμεν εις τρεις ομάδας και έστησεν ενέδρας στους αγρούς. Και ιδού είδε λαόν πολύν να εξέρχεται από την πόλιν. Ωρμησεν από την ενέδραν του, επετέθη εναντίον των και τους ενίκησε.

Κρ. 9,44 - καὶ Ἀβιμέλεχ καὶ οἱ ἀρχηγοὶ οἱ μετ᾿ αὐτοῦ ἐξέτειναν καὶ ἔστησαν παρὰ τὴν θύραν τῆς πύλης τῆς πόλεως, καὶ αἱ δύο ἀρχαὶ ἐξέτειναν ἐπὶ πάντας τοὺς ἐν τῷ ἀγρῷ καὶ ἐπάταξαν αὐτούς.

Κρ. 9,44 - Ο Αβιμέλεχ και οι άλλοι αρχηγοί που ήσαν μαζή του εβάδισαν και εσταμάτησαν πλησίον εις την πύλην του τείχους της πόλεως, ενώ τα δυο άλλα τμήματα του στρατού ώρμησαν εναντίον όλων των Συχεμιτών που ευρίσκοντο στους αγρούς και τους εφόνευσαν.

Κρ. 9,45 - καὶ Ἀβιμέλεχ παρετάσσετο ἐν τῇ πόλει ὅλην τὴν ἡμέραν ἐκείνην καὶ κατελάβετο τὴν πόλιν καὶ τὸν λαὸν τὸν ἐν αὐτῇ ἀπέκτεινε καὶ τὴν πόλιν καθεῖλε καὶ ἔσπειρεν αὐτὴν ἅλας.

Κρ. 9,45 - Ο Αβιμέλεχ επετέθη καθ' όλην την ημέραν εκείνην εναντίον της πόλεως, την κατέλαβε και τους μεν κατοίκους αυτής εφόνευσε, την δε πόλιν κατεδάφισε και την έσπειραν άλατι.

Κρ. 9,46 - καὶ ἤκουσαν πάντες οἱ ἄνδρες πύργων Συχὲμ καὶ ἦλθον εἰς συνέλευσιν Βαιθηλβερίθ.

Κρ. 9,46 - Τα γεγονότα αυτά επληροφορήθησαν όλοι οι άνδρες, που έμεναν στους πύργους της Συχέμ, και συνεκεντρώθησαν στον ναόν του Βαιθηλβερίθ (του Βααλ).

Κρ. 9,47 - καὶ ἀνηγγέλη τῷ Ἀβιμέλεχ ὅτι συνήχθησαν πάντες οἱ ἄνδρες πύργων Συχέμ.

Κρ. 9,47 - Εγνωστοποιήθη στον Αβιμέλεχ ότι όλοι οι άνδρες των πύργων της Συχέμ είχον συγκεντρωθή εκεί.

Κρ. 9,48 - καὶ ἀνέβη Ἀβιμέλεχ εἰς ὄρος Ἑρμὼν καὶ πᾶς ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ, καὶ ἔλαβεν Ἀβιμέλεχ τὰς ἀξίνας ἐν τῇ χειρὶ αὐτοῦ καὶ ἔκοψε κλάδον ξύλου καὶ ἦρε καὶ ἔθηκεν ἐπὶ ὤμων αὐτοῦ καὶ εἶπε τῷ λαῷ τῷ μετ᾽ αὐτοῦ· ὃ εἴδετέ με ποιοῦντα, ταχέως ποιήσατε ὡς ἐγώ.

Κρ. 9,48 - Ο 'Αβιμέλεχ και όλος ο στρατός μαζή του ανέβησαν στο όρος Ερμών. Επήραν όλοι πελέκεις εις τα χέρια των και ο Αβιμέλεχ έκοψε κλάδον από ένα δένδρον, τον έθεσεν στους ώμους του και είπεν στον λαόν, που ήτο μαζή του· “αυτό που με είδατε να κάμνω, κάμετε και σεις ταχέως”.

Κρ. 9,49 - καὶ ἔκοψαν καί γε ἀνὴρ κλάδον πᾶς ἀνὴρ καὶ ἐπορεύθησαν ὀπίσω Ἀβιμέλεχ καὶ ἐπέθηκαν ἐπὶ τὴν συνέλευσιν καὶ ἐνεπύρισαν ἐπ᾽ αὐτοὺς τὴν συνέλευσιν ἐν πυρί, καὶ ἀπέθανον καί γε πάντες οἱ ἄνδρες πύργου Σικίμων ὡσεὶ χίλιοι ἄνδρες καὶ γυναῖκες.

Κρ. 9,49 - Καθένας από τους άνδρας έκοψαν από ένα κλάδον, έθεσαν αυτόν στους ώμους των, ηκολούθησαν τον Αβιμέλεχ και έθεσαν τους κλάδους κολλητά στον ναόν όπου ήτο η συγκέντρωσις των ανδρών της Συχέμ. Ηναψαν φωτιά και όλοι οι άνδρες των πύργων της Συχέμ απέθανον από το πυρ, χίλιοι περίπου άνδρες και γυναίκες.

Κρ. 9,50 - Καὶ ἐπορεύθη Ἀβιμέλεχ ἐκ Βαιθηλβερὶθ καὶ παρενέβαλεν ἐν Θήβης καὶ κατέλαβεν αὐτήν.

Κρ. 9,50 - Από τον ναόν του θεού Βαιθηλβερίθ εβάδισεν ο Αβιμέλεχ, επολιόρκησε την Θηβην και την κατέλαβε.

Κρ. 9,51 - καὶ πύργος ἰσχυρὸς ἦν ἐν μέσῳ τῆς πόλεως, καὶ ἔφυγον ἐκεῖ πάντες οἱ ἄνδρες καὶ αἱ γυναῖκες τῆς πόλεως καὶ ἔκλεισαν ἔξωθεν αὐτῶν καὶ ἀνέβησαν ἐπὶ τὸ δῶμα τοῦ πύργου.

Κρ. 9,51 - Εις το μέσον της πόλεως υπήρχε πύργος οχυρός. Προς αυτόν κατέφυγον όλοι οι κάτοικοι της πόλεως, άνδρες και γυναίκες, έκλεισαν τας εξωτερικάς θύρας και ανέβησαν στο ηλιακωτό του πύργου.

Κρ. 9,52 - καὶ ἦλθεν Ἀβιμέλεχ ἕως τοῦ πύργου, καὶ παρετάξαντο αὐτῷ· καὶ ἤγγισεν Ἀβιμέλεχ ἕως τῆς θύρας τοῦ πύργου τοῦ ἐμπρῆσαι αὐτὸν ἐν πυρί.

Κρ. 9,52 - Εφθασεν έως τον πύργον ο Αβιμέλεχ και επετέθη εναντίον αυτού· επλησίασε δε μέχρι της θύρας του πύργου, δια να θέση πυρ εις αυτόν.

Κρ. 9,53 - καὶ ἔῤῥιψε γυνὴ μία κλάσμα ἐπιμύλιον ἐπὶ κεφαλὴν Ἀβιμέλεχ καὶ ἔκλασε τὸ κρανίον αὐτοῦ.
Κρ. 9,53 - Μια όμως γυνή έρριψεν από το ηλιακωτό του πύργου τεμάχιον μυλόπετρας εις την κεφαλήν του Αβιμέλεχ και του έθραυσε το κρανίον.
Κρ. 9,54 - καὶ ἐβόησε ταχὺ πρὸς τὸ παιδάριον τὸ αἶρον τὰ σκεύη αὐτοῦ καὶ εἶπεν αὐτῷ· σπάσον τὴν ῥομφαίαν μου καὶ θανάτωσόν με, μή ποτε εἴπωσι· γυνὴ ἀπέκτεινεν αὐτόν. καὶ ἐξεκέντησεν αὐτὸν τὸ παιδάριον αὐτοῦ, καὶ ἀπέθανε.
Κρ. 9,54 - Ο Αβιμέλεχ εφώναξεν αμέσως προς τον υπηρέτην του, ο οποίος του εκρατούσε τα όπλα και του είπε· "τράβηξε την μάχαιράν σου και σκότωσέ με, δια να μη είπουν ποτέ· Γυναίκα τον εθανάτωσε". Πράγματι ο υπηρέτης τον διετρύπησε με την μάχαιραν και έτσι απέθανεν ο Αβιμέλεχ.
Κρ. 9,55 - καὶ εἶδεν ἀνὴρ Ἰσραὴλ ὅτι ἀπέθανεν Ἀβιμέλεχ, καὶ ἐπορεύθησαν ἀνὴρ εἰς τὸν τόπον αὐτοῦ.
Κρ. 9,55 - Οταν οι Ισραηλίται είδον ότι ο Αβιμέλεχ εφονεύθη, επήγεν έκαστος εις την πατρίδα του.
Κρ. 9,56 - καὶ ἐπέστρεψεν ὁ Θεὸς τὴν πονηρίαν Ἀβιμέλεχ, ἣν ἐποίησε τῷ πατρὶ αὐτοῦ ἀποκτεῖναι τοὺς ἑβδομήκοντα ἀδελφοὺς αὐτοῦ.
Κρ. 9,56 - Εφερεν ο Θεός έτσι τα πράγματα, ώστε να επιστρέψη εις την κεφαλήν του Αβιμέλεχ η αδικία, την οποίαν αυτός διέπραξε εναντίον του πατρός του φονεύσας τους εβδομήκοντα αδελφούς του.
Κρ. 9,57 - καὶ τὴν πᾶσαν πονηρίαν ἀνδρῶν Συχὲμ ἐπέστρεψεν ὁ Θεὸς εἰς κεφαλὴν αὐτῶν, καὶ ἐπῆλθεν ἐπ᾿ αὐτοὺς ἡ κατάρα Ἰωάθαμ υἱοῦ Ἱεροβάαλ.
Κρ. 9,57 - Αφήκεν επίσης ο Θεός να πέση εις τας κεφαλάς των ανδρών της Συχέμ η αδικία, την οποίαν ως συνένοχοι του Αβιμέλεχ είχαν διαπράξει. Ετσι δε εξέσπασεν εναντίον των η κατάρα του Ιωάθαμ, υιού του Ιεροβάαλ, δηλαδή του Γεδεών.

## ΚΡΙΤΑΙ 10

Κρ. 10,1 - Καὶ ἀνέστη μετὰ Ἀβιμέλεχ τοῦ σῶσαι τὸν Ἰσραὴλ Θωλὰ υἱὸς Φουά, υἱὸς πατραδέλφου αὐτοῦ, ἀνὴρ Ἰσσάχαρ, καὶ αὐτὸς ᾤκει ἐν Σαμὶρ ἐν ὄρει Ἐφραίμ.
Κρ. 10,1 - Επειτα από τον Αβιμέλεχ παρουσιάσθη Κριτής να σώση τον ισραηλιτικόν λαόν ο Θωλά, υιός του Φουα, ο οποίος ήτο αδελφός του Γεδεών. Αυτός ήτο ανήρ της φυλής Ισσάχαρ και κατοικούσεν εις την Σαμίρ η οποία ευρίσκετο στο όρος Εφραίμ.

Κρ. 10,2 - καὶ ἔκρινε τὸν Ἰσραὴλ εἴκοσι τρία ἔτη καὶ ἀπέθανε καὶ ἐτάθη ἐν Σαμίρ.

Κρ. 10,2 - Αυτός εκυβέρνησε τον ισραηλιτικόν λαόν επί είκοσι τρία έτη, μετά τα οποία απέθανε και ετάφη εις την πόλιν Σαμίρ.

Κρ. 10,3 - Καὶ ἀνέστη μετ᾿ αὐτὸν Ἰαΐρ ὁ Γαλαάδ, καὶ ἔκρινε τὸν Ἰσραὴλ εἴκοσι δύο ἔτη.

Κρ. 10,3 - Επειτα από αυτόν παρουσιάσθη ο Ιαΐρ, από την χώραν Γαλαάδ, ο οποίος εκυβέρνησε και έσωσε τον Ισραήλ επί είκοσι δύο έτη.

Κρ. 10,4 - καὶ ἦσαν αὐτῷ τριάκοντα καὶ δύο υἱοὶ ἐπιβαίνοντες ἐπὶ τριάκοντα δύο πώλους· καὶ τριάκοντα δύο πόλεις αὐτοῖς, καὶ ἐκάλουν αὐτὰς ἐπαύλεις Ἰαΐρ ἕως τῆς ἡμέρας ταύτης ἐν γῇ Γαλαάδ.

Κρ. 10,4 - Αυτός είχε τριάκοντα δύο υιούς οι οποίοι ως πλούσιοι που ήσαν, επέβαιναν εις τριάκοντα δύο πώλους, είχον δε αυτοί εις την Γαλαάδ τριάκοντα δύο πόλεις όπου κατοικούσαν και τας οποίας ωνόμαζαν μέχρι της ημέρας αυτής “Επαύλστου Ιαΐρ”.

Κρ. 10,5 - καὶ ἀπέθανεν Ἰαΐρ καὶ ἐτάφη ἐν Ῥαμνών.

Κρ. 10,5 - Ο Ιαΐρ απέθανε και ετάφη εις την Ραμνών.

Κρ. 10,6 - Καὶ προσέθεντο οἱ υἱοὶ Ἰσραὴλ τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου καὶ ἐδούλευσαν τοῖς Βααλὶμ καὶ τοῖς Ἀσταρὼθ καὶ τοῖς θεοῖς Ἀρὰδ καὶ τοῖς θεοῖς Σιδῶνος καὶ τοῖς θεοῖς Μωὰβ καὶ τοῖς θεοῖς υἱῶν Ἀμμὼν καὶ τοῖς θεοῖς Φυλιστιΐμ καὶ ἐγκατέλιπον τὸν Κύριον καὶ οὐκ ἐδούλευσαν αὐτῷ.

Κρ. 10,6 - Οι Ισραηλίται όμως διέπραξαν και πάλιν το πονηρόν ενώπιον του Κυρίου, ελάτρευσαν τα αγάλματα του Βααλ και της Αστάρτης, τους θεούς της Αράδ, τους θεούς της Σιδώνος, τους θεούς των Μωαβιτών, τους θεούς των Αμμωνιτών και τους θεούς των Φιλισταίων. Εγκατέλειψαν τον Κυριον και δεν τον ελάτρευαν πλέον.

Κρ. 10,7 - καὶ ὠργίσθη θυμῷ Κύριος ἐν Ἰσραὴλ καὶ ἐπέδοτο αὐτοὺς ἐν χειρὶ Φυλιστιΐμ καὶ ἐν χειρὶ υἱῶν Ἀμμών.

Κρ. 10,7 - Διο τούτο ωργίσθη οργήν μεγάλην εναντίον των ο Κυριος και τους παρέδωσεν εις τα χέρια των Φιλισταίων και εις τα χέρια των Αμμωνιτών.

Κρ. 10,8 - καὶ ἔθλιψαν καὶ ἔθλασαν τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ ὀκτωκαίδεκα ἔτη, τοὺς πάντας υἱοὺς Ἰσραὴλ τοὺς ἐν τῷ πέραν τοῦ Ἰορδάνου ἐν γῇ τοῦ Ἀμοῤῥὶ τοῦ ἐν Γαλαάδ.

Κρ. 10,8 - Εκείνοι δε κατέθλιψαν και συνέτριψαν τους Ισραηλίτας κατά την περίοδον εκείνην επί δέκα οκτώ έτη, μάλιστα δε όλους τους Ισραηλίτας, οι οποίοι κατοικούσαν ανατολικώς πέραν από τον Ιορδάνην εις την χώραν των Αμορραίων της περιοχής Γαλαάδ.

Κρ. 10,9 - καὶ διέβησαν οἱ υἱοὶ Ἀμμὼν τὸν Ἰορδάνην παρατάξασθαι πρὸς Ἰούδαν καὶ Βενιαμὶν καὶ πρὸς Ἐφραὶμ καὶ ἐθλίβη Ἰσραὴλ σφόδρα.

Κρ. 10,9 - Οι Αμμωνίται αποθρασυνθέντες επέρασαν τον Ιορδάνην ποταμόν, επολέμησαν και ενίκησαν τας φυλάς του Ιούδα, του Βενιαμίν και του Εφραίμ. Ετσι δε και αυταί αι φυλαί κατετυραννήθησαν πολύ.

Κρ. 10,10 - καὶ ἐβόησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον λέγοντες· ἡμάρτομέν σοι, ὅτι ἐγκατελίπομεν τὸν Θεὸν καὶ ἐδουλεύσαμεν τῷ Βααλίμ.

Κρ. 10,10 - Τοτε οι Ισραηλίται εφώναξαν εν μετανοία προς τον Θεόν λέγοντες· "ημαρτήσαμεν απέναντί σου, διότι εγκατελείψαμεν σε τον αληθινόν Θεόν και ελατρεύσαμεν τα αγάλματα του Βααλ".

Κρ. 10,11 - καὶ εἶπε Κύριος πρὸς τοὺς υἱοὺς Ἰσραήλ· μὴ οὐχὶ ἐξ Αἰγύπτου καὶ ἀπὸ τοῦ Ἀμοῤῥαίου καὶ ἀπὸ υἱῶν Ἀμμὼν καὶ ἀπὸ Φυλιστιΐμ

Κρ. 10,11 - Είπε δε ο Κυριος προς τους Ισραηλίτας· "εγώ δεν είμαι εκείνος ο οποίος σας απηλευθέρωσα από τους Αιγυπτίους και σας έσωσα από τους Αμορραίους τους Αμμωνίτας και Φιλισταίους;

Κρ. 10,12 - καὶ Σιδωνίων καὶ Ἀμαλὴκ καὶ Μαδιάμ, οἳ ἔθλιψαν ὑμᾶς, καὶ ἐβοήσατε πρός με, καὶ ἔσωσα ὑμᾶς ἐκ χειρὸς αὐτῶν;

Κρ. 10,12 - Εγώ δεν σας έσωσα από τα χέρια των Σιδωνίων και των Αμαληκιτών και των Μαδιανιτών, οι οποίοι σας κατατυραννούσαν όταν με πίστιν και ευλάβειάν με είχατε παρακαλέσει;

Κρ. 10,13 - καὶ ὑμεῖς ἐγκατελίπετέ με καὶ ἐδουλεύσατε θεοῖς ἑτέροις· διὰ τοῦτο οὐ προσθήσω τοῦ σῶσαι ὑμᾶς.

Κρ. 10,13 - Παρ' όλα όμως αυτά σεις επανειλημμένως με εγκαταλείψατε και ελατρεύσατε άλλους θεούς. Δια τούτο εγώ δεν θα σας σώσω άλλην φοράν.

Κρ. 10,14 - πορεύεσθε καὶ βοήσατε πρὸς τοὺς θεούς, οὓς ἐξελέξασθε ἑαυτοῖς, καὶ αὐτοὶ σωσάτωσαν ὑμᾶς ἐν καιρῷ θλίψεως ὑμῶν.

Κρ. 10,14 - Πηγαίνετε και φωνάξατε προς τους θεούς, τους οποίους σεις μόνοι δια τον εαυτόν σας εδιαλέξατε, και ας έλθουν αυτοί να σας σώσουν κατά τον καιρόν αυτόν της θλίψεως σας".

Κρ. 10,15 - καὶ εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον· ἡμάρτομεν, ποίησον σὺ ἡμῖν κατὰ πᾶν τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου, πλὴν ἐξελοῦ ἡμᾶς ἐν τῇ ἡμέρᾳ ταύτῃ.

Κρ. 10,15 - Συντετριμμένοι οι Ισραηλίται είπαν προς τον Κυριον· "πράγματι ημαρτήσαμεν ! Δεν είμεθα άξιοι της προστασίας σου ! Καμε προς ημάς ο,τι φανή καλόν στους οφθαλμούς σου. Αλλά σε παρακαλούμεν απάλλαξέ μας και κατά την περίοδον αυτήν από την θλίψιν μας".

Κρ. 10,16 - καὶ ἐξέκλιναν τοὺς θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου αὐτῶν καὶ ἐδούλευσαν τῷ Κυρίῳ μόνῳ, καὶ ὠλιγώθη ἡ ψυχὴ αὐτοῦ ἐν κόπῳ Ἰσραήλ.

Κρ. 10,16 - Οι Ισραηλίται επέταξαν τους ξένους θεούς από ανάμεσά των και ελάτρευσαν πάλιν τον Κυριον. Η καρδιά του Κυρίου επόνεσε δια τας ταλαιπωρίας του ισραηλιτικού λαού.

Κρ. 10,17 - Καὶ ἀνέβησαν οἱ υἱοὶ Ἀμμών, καὶ παρενέβαλον ἐν Γαλαάδ. καὶ συνήχθησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ παρενέβαλον ἐν τῇ σκοπιᾷ.

Κρ. 10,17 - Τοτε οι Αμμωνίται μετέβησαν και εστρατοπέδευσαν εις την χώραν Γαλαάδ. Οι Ισραηλίται συνεκεντρώθησαν και εστρατοπέδευσαν εις την Σκοπιάν.

Κρ. 10,18 - καὶ εἶπον ὁ λαὸς οἱ ἄρχοντες Γαλαάδ, ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ· τίς ὁ ἀνήρ, ὅστις ἂν ἄρξεται παρατάξασθαι πρὸς υἱοὺς Ἀμμών; καὶ ἔσται εἰς ἄρχοντα πᾶσι τοῖς κατοικοῦσι Γαλαάδ.

Κρ. 10,18 - Ο ισραηλιτιτικός λαός και οι άρχοντές του, εκεί εις την χώραν Γαλαάδ, είπαν μεταξύ των· “ποίος ανήρ θα γίνη αρχιστράτηγος δια να παραταχθή και πολεμήση κατά των Αμμωνιτών; Αυτός θα γίνη και άρχων όλων όσων κατοικούν εις την περιοχήν Γαλαάδ”.

## ΚΡΙΤΑΙ 11

Κρ. 11,1 - Καὶ Ἰεφθάε ὁ Γαλααδίτης ἐπηρμένος δυνάμει· καὶ αὐτὸς υἱὸς γυναικὸς πόρνης, ἣ ἐγέννησε τῷ Γαλαὰδ τὸν Ἰεφθάε.

Κρ. 11,1 - Υπήρχεν εκεί μεταξύ των Ισραηλιτών ένας Ισραηλίτης, Ιεφθάε ο Γαλααδίτης, πολύ ισχυρός κατά το σώμα. Αυτός ήτο υιός γυναικός πόρνης, η οποία δια του Γαλαάδ εγέννησε τον Ιεφθάε.

Κρ. 11,2 - καὶ ἔτεκεν ἡ γυνὴ Γαλαὰδ αὐτῷ υἱούς· καὶ ἡδρύνθησαν οἱ υἱοὶ τῆς γυναικὸς καὶ ἐξέβαλον τὸν Ἰεφθάε καὶ εἶπαν αὐτῷ· οὐ κληρονομήσεις ἐν τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν, ὅτι υἱὸς γυναικὸς ἑταίρας σύ.

Κρ. 11,2 - Η νόμιμος όμως σύζυγος του Γαλαάδ εγέννησε και αυτή στον Γαλαάδ υιούς. Οι υιοί της νομίμου συζύγου, όταν εμεγάλωσσν και έγιναν άνδρες, εξεδίωξαν τον Ιεφθάε και του είπαν· “δεν θα κληρονομήσης και συ μαζή με μας την πατρικήν περιουσίαν, διότι είσαι παιδί γυναικός πόρνης”.

Κρ. 11,3 - καὶ ἔφυγεν Ἰεφθάε ἀπὸ προσώπου τῶν ἀδελφῶν αὐτοῦ καὶ ᾤκησεν ἐν γῇ Τώβ, καὶ συνεστράφησαν πρὸς Ἰεφθάε ἄνδρες κενοὶ καὶ ἐξῆλθον μετ᾽ αὐτοῦ.

Κρ. 11,3 - Ο Ιεφθάε έφυγε μακράν από τους αδελφούς του και εγκατεστάθη εις την περιοχήν Τωβ. Εκεί δε τον ηκολούθησαν και συνεκεντρώθησαν γύρω του μερικοί τοιχοδιώκται.

Κρ. 11,4 - καὶ ἐγένετο ἡνίκα παρετάξαντο οἱ υἱοὶ Ἀμμὼν μετὰ Ἰσραήλ,

Κρ. 11,4 - Οταν δε μετά τινα χρόνον οι Αμμωνίται εξήλθον εις πόλεμον εναντίον των Ισραηλιτών,

Κρ. 11,5 - καὶ ἐπορεύθησαν οἱ πρεσβύτεροι Γαλαὰδ λαβεῖν τὸν Ἰεφθάε ἀπὸ τῆς γῆς Τὼβ

Κρ. 11,5 - οι άρχοντες των Ισραηλιτών οι οποίοι κατοικούσαν εις Γαλαάδ μετέβησαν εις την χώραν Τωβ, δια να πάρουν από εκεί μαζή των ως αρχηγόν τον Ιεφθάε.

Κρ. 11,6 - καὶ εἶπαν τῷ Ἰεφθάε· δεῦρο καὶ ἔσῃ ἡμῖν εἰς ἀρχηγόν, καὶ παραταξόμεθα πρὸς υἱοὺς Ἀμμών.

Κρ. 11,6 - Οταν έφθασαν του είπαν· “έλα μαζή μας και γίνε αρχηγός μας δια να πολεμήσωμεν εναντίον των Αμμωνιτών”.

Κρ. 11,7 - καὶ εἶπεν Ἰεφθάε τοῖς πρεσβυτέροις Γαλαάδ· οὐχὶ ὑμεῖς ἐμισήσατέ με καὶ ἐξεβάλατέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου καὶ ἐξαπεστείλατέ με ἀφ᾿ ὑμῶν; καὶ διατὶ ἤλθατε πρός με νῦν, ἡνίκα χρῄζετε;

Κρ. 11,7 - Ο Ιεφθάε, ενθυμούμενος την αδικίαν που του έκαμαν, είπεν στους άρχοντας της Γαλαάδ· “σεις δεν είσθε εκείνοι που με εμισήσατε και με εξεδιώξατε από τον οίκον του πατρός μου και με εστείλατε μακράν από σας; Και διότι ήλθατε προς εμέ τώρα, που με έχετε ανάγκην;”

Κρ. 11,8 - καὶ εἶπαν οἱ πρεσβύτεροι Γαλαὰδ πρὸς Ἰεφθάε· διὰ τοῦτο νῦν ἐπεστρέψαμεν πρός σε, καὶ πορεύσῃ μεθ᾿ ἡμῶν καὶ παρατάξῃ πρὸς υἱοὺς Ἀμμών· καὶ ἔσῃ ἡμῖν εἰς ἄρχοντα πᾶσι τοῖς κατοικοῦσι Γαλαάδ.

Κρ. 11,8 - Οι άρχοντες της χώρας Γαλαάδ απήντησαν προς τον Ιεφθάε· “ακριβώς διότι έχομεν την ανάγκην σου ήλθομεν προς σε και σε παρακαλούμεν να έλθης μαζή μας δια να αντιπαραταχθής εναντίον των Αμμωνιτών. Ημείς δε εις επανόρθωσιν της αδικίας, που σου εκάμαμεν, θα σε ανακηρύξωμεν αρχηγόν όλων των Ισραηλιτών που κατοικούν εις την Γαλαάδ”.

Κρ. 11,9 - καὶ εἶπεν Ἰεφθάε πρὸς τοὺς πρεσβυτέρους Γαλαάδ· εἰ ἐπιστρέφετέ με ὑμεῖς παρατάξασθαι ἐν υἱοῖς Ἀμμὼν καὶ παραδῷ αὐτοὺς Κύριος ἐνώπιον ἐμοῦ, καὶ ἐγὼ ὑμῖν ἔσομαι εἰς ἄρχοντα.

Κρ. 11,9 - Είπε δε ο Ιεφθάε προς τους άρχοντας της Γαλαάδ· “εάν πράγματι θέλετε να επιστρέψω μαζή σας, να αντιπαραταχθώ ως αρχηγός σας εναντίον των Αμμωνιτών και ευδοκήση ο Κυριος να παραδώση αυτούς νικημένους υπό την εξουσίαν μου, τότε πρέπει να με αναγνωρίσετε ως ισόβιον αρχηγόν σας”.

Κρ. 11,10 - καὶ εἶπαν οἱ πρεσβύτεροι Γαλαὰδ πρὸς Ἰεφθάε· Κύριος ἔστω ἀκούων ἀνὰ μέσον ἡμῶν, εἰ μὴ κατὰ τὸ ῥῆμά σου οὕτω ποιήσομεν.

Κρ. 11,10 - Απήντησαν οι άρχοντες Γαλαάδ προς τον Ιεφθάε· “ο Κυριος που μας ακούει ας είναι μάρτυς μεταξύ μας ότι ημείς θα πράξωμεν σύμφωνα με τον λόγον σου αυτόν”.

Κρ. 11,11 - καὶ ἐπορεύθη Ἰεφθάε μετὰ τῶν πρεσβυτέρων Γαλαάδ, καὶ ἔθηκαν αὐτὸν ὁ λαὸς ἐπ᾿ αὐτοὺς εἰς κεφαλὴν καὶ εἰς ἀρχηγόν. καὶ

ἐλάλησεν Ἰεφθάε πάντας τοὺς λόγους αὐτοῦ ἐνώπιον Κυρίου ἐν Μασσηφά.

Κρ. 11,11 - Τοτε ο Ιεφθάε μετέβη μαζή με τους Ισραηλίτας άρχοντας της Γαλαάδ εις Μασσηφά, όπου ο ισραηλιτικός λαός τον ανεγνώρισε και τον ανεκήρυξεν ως κεφαλήν και ως αρχηγόν του. Εκεί ο Ιεφθάε επανέλαβεν ενώπιον του Κυρίου τους λόγους, τους οποίους είχεν είπει στους πρεσβυτέρους δια την ισόβιον αρχηγίαν του.

Κρ. 11,12 - Καὶ ἀπέστειλεν Ἰεφθάε ἀγγέλους πρὸς βασιλέα υἱῶν Ἀμμὼν λέγων· τί ἐμοὶ καὶ σοί, ὅτι ἦλθες πρός με τοῦ παρατάξασθαι ἐν τῇ γῇ μου;

Κρ. 11,12 - Εστειλεν ο Ιεφθάε αγγελιαφόρους προς τον βασιλέα των Αμμωνιτών και του παρήγγειλε· “τι διαφορά υπάρχει μεταξύ μας ώστε να έλθης συ εις την χώραν μου, δια να με πολεμήσης;”

Κρ. 11,13 - καὶ εἶπε βασιλεὺς υἱῶν Ἀμμὼν πρὸς τοὺς ἀγγέλους Ἰεφθάε· ὅτι ἔλαβεν Ἰσραὴλ τὴν γῆν μου ἐν τῷ ἀναβαίνειν αὐτὸν ἐξ Αἰγύπτου ἀπὸ Ἀρνὼν ἕως Ἰαβὸκ καὶ ἕως τοῦ Ἰορδάνου· καὶ νῦν ἐπίστρεψον αὐτὰς ἐν εἰρήνῃ, καὶ πορεύσομαι.

Κρ. 11,13 - Ο βασιλεύς των Αμμωνιτών απήντησε προς τους αγγελιαφόρους του Ιεφθάε· “έρχομαι να πολεμήσω εναντίον σου, διότι σεις οι Ισραηλίται όταν ανεβήκατε από την Αίγυπτον, κατελάβατε την χώραν μου από του παραποτάμου Αρνών μέχρι του άλλου παραποτάμου, του Ιαβόκ, και δυτικώς μέχρι του Ιορδάνου. Απόδωσε λοιπόν αυτάς ειρηνικώς προς ημάς και εγώ θα αναχωρήσω από την χώραν σου”.

Κρ. 11,14 - καὶ προσέθηκεν ἔτι Ἰεφθάε καὶ ἀπέστειλεν ἀγγέλους πρὸς βασιλέα υἱῶν Ἀμμών.

Κρ. 11,14 - Ο Ιεφθάε απέστειλε και πάλιν αγγελιαφόρους προς τον βασιλέα των Αμμωνιτών,

Κρ. 11,15 - καὶ εἶπεν αὐτῷ· οὕτω λέγει Ἰεφθάε· οὐκ ἔλαβεν Ἰσραὴλ τὴν γῆν Μωὰβ καὶ τὴν γῆν υἱῶν Ἀμμών·

Κρ. 11,15 - δια να του είπουν· “αυτά παραγγέλλει ο Ιεφθάε· Οι Ισραηλίται δεν κατέλαβαν ούτε την χώραν των Μωαβιτών ούτε την χώραν των Αμμωνιτών (αλλά μόνον την χώραν των Αμορραίων).

Κρ. 11,16 - ὅτι ἐν τῷ ἀναβαίνειν αὐτοὺς ἐξ Αἰγύπτου ἐπορεύθη Ἰσραὴλ ἐν τῇ ἐρήμῳ ἕως θαλάσσης Σὶφ καὶ ἦλθεν εἰς Κάδης.

Κρ. 11,16 - Διότι οι Ισραηλίται, όταν ελεύθεροι εξήλθον από την Αίγυπτον, εβάδισαν δια της ερήμου Σινά μέχρι της Ερυθράς Θαλάσσης και ήλθον εις Καδης.

Κρ. 11,17 - καὶ ἀπέστειλεν Ἰσραὴλ ἀγγέλους πρὸς βασιλέα Ἐδὼμ λέγων· παρελεύσομαι δὴ ἐν τῇ γῇ σου· καὶ οὐκ ἤκουσε βασιλεὺς Ἐδώμ. καί γε πρὸς βασιλέα Μωὰβ ἀπέστειλε, καὶ οὐκ εὐδόκησε. καὶ ἐκάθισεν Ἰσραὴλ ἐν Κάδης.

Κρ. 11,17 - Από εκεί έστειλαν αγγελιαφόρους προς τον βασιλέα των Ιδουμαίων και του είπαν· Ημείς σκεπτόμεθα να περάσωμεν δια μέσου της

χώρας σου. Αλλά ο βασιλεύς των Ιδουμαίων δεν εδέχθη την πρότασίν μας. Τοτε οι Ισραηλίται έστειλαν αγγελιαφόρους και προς τον βασιλέα των Μωαβιτών, αλλά και εκείνος απέρριψε την πρότασιν αυτήν. Ετσι οι Ισραηλίται ηναγκάσθησαν και έμειναν εις την Καδης.

Κρ. 11,18 - καὶ ἐπορεύθη ἐν τῇ ἐρήμῳ καὶ ἐκύκλωσε τὴν γῆν Ἐδὼμ καὶ τὴν γῆν Μωὰβ καὶ ἦλθεν ἀπὸ ἀνατολῶν ἡλίου τῇ γῇ Μωὰβ καὶ παρενέβαλεν ἐν πέραν Ἀρνὼν καὶ οὐκ εἰσῆλθεν ἐν ὁρίοις Μωάβ, ὅτι Ἀρνὼν ὅριον Μωάβ.

Κρ. 11,18 - Κατόπιν επορεύθηρεν εις την έρημον, παρεκάμψαμεν την χώραν των Ιδουμαίων και την χώραν των Μωαβιτών προχωρούντες προς ανατολάς της Μωάβ. Εστρατοπεδεύσαμεν πέραν από τον χείμαρρον Αρνών και δεν εισήλθομεν εις την χώραν των Μωαβιτών, διότι ο Αρνών είναι το βόρειον σύνορον της Μωάβ.

Κρ. 11,19 - καὶ ἀπέστειλεν Ἰσραὴλ ἀγγέλους πρὸς Σηὼν βασιλέα τοῦ Ἀμοῤῥαίου βασιλέα Ἐσεβών, καὶ εἶπεν αὐτῷ Ἰσραήλ· παρέλθωμεν δὴ ἐν τῇ γῇ σου ἕως τοῦ τόπου ἡμῶν.

Κρ. 11,19 - Από εκεί εστείλαμεν αγγελιαφόρους προς Σηών τον βασιλέα των Αμορραίων, ο οποίος είχεν ως πρωτεύουσάν του την Εσεβών και του είπομεν· Θα περάσωμεν δια μέσου της ιδικής σου χώρας, μέχρις ότου φθάσωμεν στον τόπον μας, δηλαδή εις την Χαναάν.

Κρ. 11,20 - καὶ οὐκ ἐνεπίστευσε Σηὼν τῷ Ἰσραὴλ παρελθεῖν ἐν τῷ ὁρίῳ αὐτοῦ· καὶ συνῆξε Σηὼν πάντα τὸν λαὸν αὐτοῦ, καὶ παρενέβαλον εἰς Ἰασά, καὶ παρετάξατο πρὸς Ἰσραήλ.

Κρ. 11,20 - Ο Σηών όμως δεν έδωσεν εμπιστοσύνην στους λόγους μας και δεν επέτρεψεν στους Ισραηλίτας να περάσουν δια μέσου της χώρας του. Εξ αντιθέτου δε συνεκέντρωσεν όλον τον στρατόν του, εστρατοπέδευσεν εις Ιασά και επολέμησε, χωρίς λόγον και αφορμήν, τους Ισραηλίτας.

Κρ. 11,21 - καὶ παρέδωκε Κύριος ὁ Θεὸς Ἰσραὴλ τὸν Σηὼν καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν χειρὶ Ἰσραήλ, καὶ ἐπάταξεν αὐτόν· καὶ ἐκληρονόμησεν Ἰσραὴλ πᾶσαν τὴν γῆν τοῦ Ἀμμοραίου τοῦ κατοικοῦντος τὴν γῆν ἐκείνην.

Κρ. 11,21 - Δια τούτο και ο Κυριος, κατά την γενομένην σύγκρουσιν, παρέδωκε τον Σηών και όλον τον λαόν του εις τα χέρια του Ισραηλιτικού λαού, ο οποίος και τους εξωλόθρευσεν. Ετσι δε οι Ισραηλίται επήραν υπό την κατοχήν των ως κληρονομίαν όλην εκείνην την χώραν, την οποίαν κατοικούσαν οι Αμορραίοι·

Κρ. 11,22 - ἀπὸ Ἀρνὼν καὶ ἕως τοῦ Ἰαβὸκ καὶ ἀπὸ τοῦ ἐρήμου ἕως τοῦ Ἰορδάνου.

Κρ. 11,22 - δηλαδή από του παραποτάμου Αρνών μέχρι του παραποτάμου Ιαβόκ, και από της ερήμου μέχρι του Ιορδάνου. ( Αρα οι Ισραηλίται κατέλαβον χώραν Αμορραίων και οχι Αμμωνιτών).

Κρ. 11,23 - καὶ νῦν Κύριος ὁ Θεὸς Ἰσραὴλ ἐξῆρε τὸν Ἀμοῤῥαῖον ἀπὸ προσώπου λαοῦ αὐτοῦ Ἰσραήλ, καὶ σὺ κληρονομήσεις αὐτόν;
Κρ. 11,23 - Εν συνεχεία δε Κυριος ο Θεός του Ισραήλ εξεδίωξε τους Αμορραίους απ' έμπροσθεν του λαού του. Λοιπόν με ποία δικαιώματα τώρα συ θέλεις να κληρονομήσης χώραν που μας ανήκει;
Κρ. 11,24 - οὐχὶ ἃ ἐὰν κληρονομήσει σε Χαμὼς ὁ θεός σου, αὐτὰ κληρονομήσεις, καὶ τοὺς πάντας, οὓς ἐξῆρε Κύριος ὁ Θεὸς ἡμῶν ἀπὸ προσώπου ὑμῶν, αὐτοὺς κληρονομήσομεν;
Κρ. 11,24 - Δεν είναι ορθόν και δίκαιον, συ μεν να κληρονομήσης όλα όσα ο θεός σου Χαμώς σου έδωσε, ημείς δε να κληρονομήσωμεν όλους εκείνους, τους οποίους ο ιδικός μας Κυριος και Θεός εξεδίωξεν από εμπρός μας;
Κρ. 11,25 - καὶ νῦν μὴ ἐν ἀγαθῷ ἀγαθώτερος σὺ ὑπὲρ Βαλὰκ υἱὸν Σεπφὼρ βασιλέως Μωάβ; μὴ μαχόμενος ἐμαχέσατο μετὰ Ἰσραὴλ ἢ πολεμῶν ἐπολέμησεν αὐτόν;
Κρ. 11,25 - Αλλά εκτός αυτού μήπως συ είσαι καλύτερος και ισχυρότερος από τον Βαλάκ, υιόν του Σεπφώρ βασιλέα των Μωαβιτών; Μηπως αυτός ήλθεν εις αντιλογίαν και φιλονεικίαν με τους Ισραηλίτας η επολέμησεν εναντίον αυτών, όταν ούτοι κατέλαβον την χώραν, την οποίαν συ τώρα διεκδικείς;
Κρ. 11,26 - ἐν τῷ οἰκῆσαι ἐν Ἐσεβὼν καὶ ἐν τοῖς ὁρίοις αὐτῆς καὶ ἐν γῇ Ἀροὴρ καὶ ἐν τοῖς ὁρίοις αὐτῆς καὶ ἐν πάσαις ταῖς πόλεσι ταῖς παρὰ τὸν Ἰορδάνην τριακόσια ἔτη, καὶ διατί οὐκ ἐῤῥύσω αὐτοὺς ἐν τῷ καιρῷ ἐκείνῳ;
Κρ. 11,26 - Επί τούτοις ημείς επί τριακόσια χρόνια κατοικούμεν εις την πρωτεύουσαν των Αμορραίων την Εσεβών και τας πόλεις που εξαρτώνται από αυτήν, την χώραν Αροήρ και τας πόλεις που εξαρτώνται από αυτήν και όλας τας πόλεις πλησίον του Ιορδάνου, και επομένως έχομεν ήδη αποκτήση δικαιώματα εις τας χώρας αυτάς. Επί τρεις αιώνας διατί σεις δεν επιχειρήσατε να αποσπάσετε την χώραν αυτήν και να την κάμετε ιδικήν σας;
Κρ. 11,27 - καὶ νῦν ἐγώ εἰμι οὐχ ἥμαρτόν σοι, καὶ σὺ ποιεῖς μετ᾿ ἐμοῦ πονηρίαν τοῦ παρατάξασθαι ἐν ἐμοί· κρίναι Κύριος ὁ κρίνων σήμερον ἀνὰ μέσον υἱῶν Ἰσραὴλ καὶ ἀνὰ μέσον υἱῶν Ἀμμών.
Κρ. 11,27 - Ημείς μεν δεν διεπράξαμεν αδικίαν τινά απέναντί σας μένοντες εις την χώραν που κατέχομεν. Σεις όμως διαπράττετε αδικίαν με το να θέλετε να μας πολεμήσετε. Κριτής και δικαστής σήμερον εις την υπόθεσιν αυτήν είναι ο Κυριος. Αυτός ας κρίνη και ας δικάση μεταξύ Ισραηλιτών και Αμμωνιτών”.
Κρ. 11,28 - καὶ οὐκ ἤκουσε βασιλεὺς Ἀμμὼν τῶν λόγων Ἰεφθάε, ὧν ἀπέστειλε πρὸς αὐτόν.
Κρ. 11,28 - Ο βασιλεύς όμως των Αμμωνιτών δεν εδέχθη τους συνετούς λόγους, τους οποίους ο Ιεφθάε δι' αγγελιαφόρων του παρήγγειλε. Επέμενε

να πολεμήση.

Κρ. 11,29 - Καὶ ἐγένετο ἐπὶ Ἰεφθάε πνεῦμα Κυρίου, καὶ παρῆλθε τὸν Γαλαὰδ καὶ τὸν Μανασσῆ καὶ παρῆλθε τὴν σκοπιὰν Γαλαὰδ εἰς τὸ πέραν υἱῶν Ἀμμών.

Κρ. 11,29 - Το Πνεύμα όμως του Κυρίου ήλθεν επί τον Ιεφθάε και τον ενίσχυσε. Αυτός δε διήλθε την χώραν Γαλαάδ και την χώραν Μανασσή, δια να ενισχύση τους Ισραηλίτας, έπειτα επέστρεψεν εις την Σκοπιάν της χώρας Γαλαάδ και από εκεί εβάδισε προς πόλεμον εναντίον των Αμμωνιτών, οι οποίοι ευρίσκοντο απέναντι.

Κρ. 11,30 - καὶ ηὔξατο Ἰεφθάε εὐχὴν τῷ Κυρίῳ καὶ εἶπεν· ἐὰν διδοὺς δῷς μοι τοὺς υἱοὺς Ἀμμὼν ἐν τῇ χειρί μου,

Κρ. 11,30 - Εκαμε δε ο Ιεφθάε και ένα τάξιμον προς τον Κυριον και είπε· “εάν θελήσης, Κυριε, και παραδώσης εις τα χέρια μου τους Αμμωνίτας,

Κρ. 11,31 - καὶ ἔσται ὁ ἐκπορευόμενος, ὃς ἂν ἐξέλθῃ ἀπὸ τῆς θύρας τοῦ οἴκου μου εἰς συνάντησίν μου ἐν τῷ ἐπιστρέφειν με ἐν εἰρήνῃ ἀπὸ υἱῶν Ἀμμών, καὶ ἔσται τῷ Κυρίῳ ἀνοίσω αὐτὸν ὁλοκαύτωμα.

Κρ. 11,31 - σου τάζω, ότι εκείνος που θα εξέλθη από την θύραν της οικίας μου εις συνάντησίν μου, όταν θα επιστρέψω νικητής από τον πόλεμον κατά των Αμμωνιτών, θα προσφερθή ολοκαύτωμα εις σέ, τον Κυριον”.

Κρ. 11,32 - καὶ παρῆλθεν Ἰεφθάε πρὸς υἱοὺς Ἀμμὼν παρατάξασθαι πρὸς αὐτούς, καὶ παρέδωκεν αὐτοὺς Κύριος ἐν χειρὶ αὐτοῦ.

Κρ. 11,32 - Ο Ιεφθάε εβάδισεν εναντίον των Αμμωνιτών δια να τους πολεμήση, και ο Κυριος παρέδωκεν αυτούς νικημένους εις τα χέρια του.

Κρ. 11,33 - καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ Ἀροὴρ ἕως ἐλθεῖν ἄχρις Ἀρνὼν ἐν ἀριθμῷ εἴκοσι πόλεις καὶ ἕως Ἐβελχαρμὶμ πληγὴν μεγάλην σφόδρα, καὶ συνεστάλησαν οἱ υἱοὶ Ἀμμὼν ἀπὸ προσώπου υἱῶν Ἰσραήλ.

Κρ. 11,33 - Οι Ισραηλίται εκτύπησαν αυτούς από Αροήρ μέχρις Αρνών κατέλαβον είκοσι πόλεις μέχρι της χώρας Εβελχαρμίμ και επέφεραν μεγάλην καταστροφήν. Οι Αμμωνίται νικηθέντες εταπεινώθησαν και εσυμμαζεύθησαν ενώπιον των Ισραηλιτών

Κρ. 11,34 - Καὶ ἦλθεν Ἰεφθάε εἰς Μασσηφὰ εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἰδοὺ ἡ θυγάτηρ αὐτοῦ ἐξεπορεύετο εἰς ὑπάντησιν ἐν τυμπάνοις καὶ χοροῖς· καὶ αὕτη ἦν μονογενής, οὐκ ἦν αὐτῷ ἕτερος υἱὸς ἢ θυγάτηρ.

Κρ. 11,34 - Ο Ιεφθάε επέστρεφε νικητής εις την πόλιν Μασσηφά, στον οίκον του. Αίφνης είδε την κόρην του να εξέρχεται με τύμπανα και χορούς εις συνάντησίν του. Αυτή δε ήτο μονογενής θυγάτηρ του και δεν είχεν άλλον υιόν η άλλην θυγατέρα.

Κρ. 11,35 - καὶ ἐγένετο ὡς εἶδεν αὐτὴν αὐτός, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ καὶ εἶπεν· ἇ ἇ, θυγάτηρ μου, ταραχῇ ἐτάραξάς με καὶ σὺ ἦς ἐν τῷ ταράχῳ

μου, καὶ ἐγώ εἰμι ἤνοιξα κατὰ σοῦ τὸ στόμα μου πρὸς Κύριον καὶ οὐ δυνήσομαι ἀποστρέψαι.

Κρ. 11,35 - Οταν ο Ιεφθάε την είδεν, έσχισε το ιμάτιά του και έκραξεν· "πω ! πω ! κόρη μου ! Συ με συνεκλόνισες, συ είσαι η πηγή και η αιτία της ταραχής μου ! Εγώ ο ταλαίπωρος ήνοιξα το στόμα μου προς τον Κυριον εναντίον σου και δεν θα ημπορέσω τώρα να αρνηθώ το τάμα μου".

Κρ. 11,36 - ἡ δὲ εἶπε πρὸς αὐτόν· πάτερ, ἤνοιξας τὸ στόμα σου πρὸς Κύριον; ποίησόν μοι ὃν τρόπον ἐξῆλθεν ἐκ στόματός σου, ἐν τῷ ποιῆσαί σοι Κύριον ἐκδίκησιν τῶν ἐχθρῶν σου ἀπὸ τῶν υἱῶν Ἀμμών.

Κρ. 11,36 - Εκείνη δε του είπε· "πατέρα μου, ήνοιξες το στόμα σου και υπεσχέθης κάποιο τάμα στον Κυριον; Καμε ο,τι έταξες, αφού ο Κυριος σου έδωσε την νίκην κι ετιμώρησες τους εχθρούς σου τους Αμμωνίτας".

Κρ. 11,37 - καὶ ἥδε εἶπε πρὸς τὸν πατέρα αὐτῆς· ποιησάτω δὴ ὁ πατήρ μου τὸν λόγον τοῦτον· ἔασόν με δύο μῆνας, καὶ πορεύσομαι καὶ καταβήσομαι ἐπὶ τὰ ὄρη καὶ κλαύσομαι ἐπὶ τὰ παρθενιά μου, ἐγώ εἰμι καὶ αἱ συνεταιρίδες μου.

Κρ. 11,37 - Οταν δε έμαθε το τάξιμον του πατρός της προσέθεσε· "ας μου κάμη ο πατέρας μου μίαν μόνην χάριν· άφησέ με να ζήσω δύο μήνας ακόμη. Θέλω να ανεβώ και να κατεβώ τα όρη κι να κλαύσω την παρθενίαν μου εγώ μαζή μα άλλας συντρόφους μου".

Κρ. 11,38 - καὶ εἶπε· πορεύου· καὶ ἀπέστειλεν αὐτὴν δύο μῆνας. καὶ ἐπορεύθη, αὐτὴ καὶ αἱ συνεταιρίδες αὐτῆς, καὶ ἔκλαυσεν ἐπὶ τὰ παρθένια αὐτῆς ἐπὶ τὰ ὄρη.

Κρ. 11,38 - Ο πατήρ της απήντησε· "πήγαινε". Και την έστειλεν επί δύο μήνας. Και αυτή μαζή με τας συντρόφους της μετέβη και έκλαυσε την παρθενικότητά της επάνω εις τα όρη·

Κρ. 11,39 - καὶ ἐγένετο ἐν τέλει τῶν δύο μηνῶν καὶ ἐπέστρεψε πρὸς τὸν πατέρα αὐτῆς, καὶ ἐποίησεν ἐν αὐτῇ εὐχὴν αὐτοῦ, ἣν ηὔξατο· καὶ αὕτη οὐκ ἔγνω ἄνδρα. καὶ ἐγένετο εἰς πρόσταγμα ἐν Ἰσραήλ·

Κρ. 11,39 - Οταν δε επέρασαν οι δύο μήνες επέστρεψεν στον πατέρα της, ο οποίος και εξεπλήρωσε το τάξιμο που είχε κάμει δι' αυτήν. Αυτή δε δεν είχε γνωρίσει άνδρα. Ητο παρθένος. Εκτοτε επεκράτησε συνήθεια μεταξύ των Ισραηλιτών,

Κρ. 11,40 - ἀπὸ ἡμερῶν εἰς ἡμέρας ἐπορεύοντο θυγατέρες Ἰσραὴλ θρηνεῖν τὴν θυγατέρα Ἰεφθάε τοῦ Γαλααδίτου ἐπὶ τέσσαρας ἡμέρας ἐν τῷ ἐνιαυτῷ.

Κρ. 11,40 - και κάθε έτος επί τέσσαρας ημέρας αι ισραηλίτιδες θυγατέρες μετέβαινον να θρηνούν την θυγατέρα του Ιεφθάε του Γαλααδίτου.

ΚΡΙΤΑΙ 12

Κρ. 12,1 - Καὶ ἐβόησεν ἀνὴρ Ἐφραίμ, καὶ παρῆλθαν εἰς βοῤῥᾶν καὶ εἶπαν πρὸς Ἰεφθάε· διατὶ παρῆλθες παρατάξασθαι ἐν υἱοῖς Ἀμμὼν καὶ ἡμᾶς οὐ κέκληκας πορευθῆναι μετὰ σοῦ; τὸν οἶκόν σου ἐμπρήσομεν ἐπὶ σὲ ἐν πυρί.

Κρ. 12,1 - Οι άνθρωποι της φυλής Εφραίμ, όταν έμαθαν τας νίκας του Ιεφθάε, αντί να χαρούν εφθόνησαν, συνεκεντρώθησαν αλαλάζοντες και εβάδισαν προς βορράν και, κρύπτοντες τον φθόνον των, είπεν προς τον Ιεφθάε· “διότι εβγήκες να πολεμήσης τους Αμμωνίτας μόνος σου και δεν εκάλεσες και ημάς να πορευθώμεν και να πολεμήσωμεν μαζή σου; Θα κάψωμε το σπίτι σου και σε τον ίδιον μαζή μέ αυτό”.

Κρ. 12,2 - καὶ εἶπε πρὸς αὐτοὺς Ἰεφθάε· ἀνὴρ μαχητὴς ἤμην ἐγὼ καὶ ὁ λαός μου, καὶ οἱ υἱοὶ Ἀμμὼν σφόδρα· καὶ ἐβόησα ὑμᾶς, καὶ οὐκ ἐσώσατέ με ἐκ χειρὸς αὐτῶν.

Κρ. 12,2 - Ο Ιεφθάε απήντησε προς αυτούς· “ανδρείος μαχητής ήμουνα και εγώ και ο λαός μου· αλλά και οι Αμμωνίται ήσαν πολλοί και ισχυροί. Εφώναξα προς σας να μας σώσετε από τα χέρια εκείνων, και δεν μας εδώσατε καμμίαν βοήθειαν.

Κρ. 12,3 - καὶ εἶδον ὅτι οὐκ εἶ σωτήρ, καὶ ἔθηκα τὴν ψυχήν μου ἐν χειρί μου καὶ παρῆλθον πρὸς υἱοὺς Ἀμμών, καὶ ἔδωκεν αὐτοὺς Κύριος ἐν χειρί μου· καὶ εἰς τί ἀνέβητε ἐπ᾽ ἐμὲ ἐν τῇ ἡμέρᾳ ταύτῃ παρατάξασθαι ἐν ἐμοί;

Κρ. 12,3 - Επειδή είδα ότι καμμίαν ελπίδα σωτηρίας δεν είχα από σας εξέθεσα εγώ ο ίδιος τον εαυτόν μου εις κίνδυνον και εβάδισα κατά των Αμμωνιτών. Τους ενίκησα, διότι ο Κυριος τους είχε παραδώσει εις τα χέρια μου. Διατί λοιπόν σεις τώρα, μετά την νίκην ήλθατε εναντίον μου δια να με πολεμήσετε;”

Κρ. 12,4 - καὶ συνέστρεψεν Ἰεφθάε πάντας τοὺς ἄνδρας Γαλαὰδ καὶ παρετάξατο τῷ Ἐφραίμ, καὶ ἐπάταξαν ἄνδρες Γαλαὰδ τὸν Ἐφραίμ, ὅτι εἶπαν, οἱ διασωζόμενοι τοῦ Ἐφραὶμ ἡμεῖς, Γαλαὰδ ἐν μέσῳ τοῦ Ἐφραὶμ καὶ ἐν μέσῳ τοῦ Μανασσῆ.

Κρ. 12,4 - Συνεκέντρωσεν ο Ιεφθάε όλους τους άνδρας της χώρας Γαλαάδ, επολέμησεν εναντίον της φυλής Εφραίμ και ο στρατός των Γαλααδιτών ενίκησε τους άνδρας της φυλής Εφραίμ οι οποίοι κομπάζοντες έλεγαν· Φυγάδες της φυλής Εφραίμ είσθε σεις οι Γαλααδίται, οι οποίοι κατοικείτε μεταξύ των φυλών Εφραίμ και Μανασσή.

Κρ. 12,5 - καὶ προκατελάβετο Γαλαὰδ τὰς διαβάσεις τοῦ Ἰορδάνου τοῦ Ἐφραίμ, καὶ εἶπαν αὐτοῖς οἱ διασωζόμενοι Ἐφραίμ· διαβῶμεν, καὶ εἶπαν αὐτοῖς οἱ ἄνδρες Γαλαάδ· μὴ Ἐφραθίτης εἶ; καὶ εἶπεν· οὔ.

Κρ. 12,5 - Οι άνδρες Γαλαάδ, μετά την νίκην των κατέλαβαν εγκαίρως τας διαβάσστου Ιορδάνου, αι οποίαι έφερον προς την χώραν Εφραίμ. Οι άνδρες της φυλής Εφραίμ, οι διασωθέντες κατά την μάχην ήλθον εις τας διαβάσεις αυτάς, δια να περάσουν εις την χώραν των και είπαν στους φρουρούντας Γαλααδίτας· "αφήστε μας να περάσωμεν". Οι Γαλααδίται ερωτούσαν τον καθένα τους· "μήπως ήσαι Εφραθίτης;" Εκείνος απαντούσε· "οχι".

Κρ. 12,6 - καὶ εἶπαν αὐτῷ· εἶπον δὴ Στάχυς· καὶ οὐ κατεύθυνε τοῦ λαλῆσαι οὕτως. καὶ ἐπελάβοντο αὐτοῦ, καὶ ἔθυσαν αὐτὸν πρὸς τὰς διαβάσεις τοῦ Ἰορδάνου, καὶ ἔπεσαν ἐν τῷ καιρῷ ἐκείνῳ ἀπὸ Ἐφραὶμ δύο καὶ τεσσαράκοντα χιλιάδες.

Κρ. 12,6 - Οι Γαλααδίται έλεγον εις αυτόν· "ειπέ την λέξιν· Στάχυς". Κανείς όμως από τους Εφραιμίτας δεν την επρόφερεν ορθώς. Ετσι οι φρουροί Γαλααδίται συνελάμβανον τον κάθε Εφραιμίτην και τον εφόνευον εις τα περάσματα αυτά του Ιορδάνου. Κατά τον πόλεμον εκείνον εφονεύθησαν σαράντα δύο χιλιάδες Εφραιμίται.

Κρ. 12,7 - καὶ ἔκρινεν Ἰεφθάε τὸν Ἰσραὴλ ἓξ ἔτη. καὶ ἀπέθανεν Ἰεφθάε ὁ Γαλααδίτης, καὶ ἐτάφη ἐν πόλει αὐτοῦ Γαλαάδ.

Κρ. 12,7 - Ο Ιεφθάε έμεινεν επί εξ έτη Κριτής, μετά τα οποία απέθανε και ετάφη εις την πόλιν του, εις την χώραν Γαλαάδ.

Κρ. 12,8 - Καὶ ἔκρινε μετ᾿ αὐτὸν τὸν Ἰσραὴλ Ἀβαισσὰν ἀπὸ Βαιθλεέμ.

Κρ. 12,8 - Επειτα από τον Ιεφθάε Κριτής του Ισραήλ ανεδείχθη ο Αβαισσάν, ο οποίος κατήγετο από την Βηθλεέμ.

Κρ. 12,9 - καὶ ἦσαν αὐτῷ τριάκοντα υἱοὶ καὶ τριάκοντα θυγατέρες, ἃς ἐξαπέστειλεν ἔξω, καὶ τριάκοντα θυγατέρας εἰσήνεγκε τοῖς υἱοῖς αὐτοῦ ἔξωθεν. καὶ ἔκρινε τὸν Ἰσραὴλ ἑπτὰ ἔτη.

Κρ. 12,9 - Αυτός είχε τριάκοντα υιούς και τριάκοντα θυγατέρας. Τας μεν θυγατέρας του έδωκεν ως συζύγους εις άνδρας μακράν από τον οίκον του, δια δε τους υιούς του έλαβεν άλλας τριάκοντα νύμφας εντός του οίκου του. Αυτός έκρινε τον Ισραήλ επί επτά έτη.

Κρ. 12,10 - καὶ ἀπέθανεν Ἀβαισσὰν καὶ ἐτάφη ἐν Βαιθλεέμ.

Κρ. 12,10 - Απέθανε δε και ετάφη εις την Βηθλεέμ.

Κρ. 12,11 - καὶ ἔκρινε μετ᾿ αὐτὸν τὸν Ἰσραὴλ Αἰλὼμ ὁ Ζαβουλωνίτης δέκα ἔτη.

Κρ. 12,11 - Επειτα από αυτόν Κριτής του Ισραήλ εγινεν ο Αιλώμ ο καταγόμενος από την φυλήν Ζαβουλών. Εκυβέρνησε τον λαόν του Ισραήλ επί δέκα έτη.

Κρ. 12,12 - καὶ ἀπέθανεν Αἰλὼμ ὁ Ζαβουλωνίτης καὶ ἐτάφη ἐν Αἰλὼμ ἐν γῇ Ζαβουλών.

Κρ. 12,12 - Απέθανεν Αιλώμ ο εκ της φυλής Ζαβουλών και ετάφη εις την πόλιν Αιλώμ της χώρας Ζαβουλών.

Κρ. 12,13 - καὶ ἔκρινε μετ᾿ αὐτὸν τὸν Ἰσραὴλ Ἀβδὼν υἱὸς Ἑλλὴλ ὁ Φαραθωνίτης.
Κρ. 12,13 - Επειτα από αυτόν Κριτής του Ισραήλ ανεδείχθη ο Αβδών, υιός του Ελλήλ, ο καταγόμενος από την Φαραθών.
Κρ. 12,14 - καὶ ἦσαν αὐτῷ τεσσαράκοντα υἱοὶ καὶ τριάκοντα υἱῶν υἱοὶ ἐπιβαίνοντες ἐπὶ ἑβδομήκοντα πώλους. καὶ ἔκρινε τὸν Ἰσραὴλ ὀκτὼ ἔτη.
Κρ. 12,14 - Αυτός είχε σαράντα υιούς και τριάντα εγγονούς οι οποίοι επέβαινον εις εβδομόκοντα πώλους. Εκυβέρνησε τους Ισραηλίτας επί οκτώ έτη.
Κρ. 12,15 - καὶ ἀπέθανεν Ἀβδὼν υἱὸς Ἑλλὴλ ὁ Φαραθωνίτης καὶ ἐτάφη ἐν Φαραθὼν ἐν γῇ Ἐφραὶμ ἐν ὄρει τοῦ Ἀμαλήκ.
Κρ. 12,15 - Απέθανε και ο Αβδών, ο υιός του Ελλήλ, ο Φαραθωνίτης και ετάφη εις την πόλιν Φαραθών της περιοχής Εφραίμ εις όρος των Αμαληκιτών.

## ΚΡΙΤΑΙ 13

Κρ. 13,1 - Καὶ προσέθηκαν ἔτι οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ παρέδωκεν αὐτοὺς Κύριος ἐν χειρὶ Φυλιστιΐμ τεσσαράκοντα ἔτη.
Κρ. 13,1 - Και πάλιν οι Ισραηλίται εξέκλιναν εις την ειδωλολατρείαν και την φαυλότητα ενώπιον του Κυρίου δια τούτο και παρέδωκεν αυτούς ο Κυριος εις τα χέρια των Φιλισταίων επί τεσσαράκοντα έτη.
Κρ. 13,2 - καὶ ἦν ἀνὴρ εἷς ἀπὸ Σαραὰ ἀπὸ δήμου συγγενείας τοῦ Δανί, καὶ ὄνομα αὐτῷ Μανωέ, καὶ γυνὴ αὐτοῦ στεῖρα καὶ οὐκ ἔτεκε.
Κρ. 13,2 - Υπήρχε τότε μεταξύ των Ισραηλιτών ανήρ καταγόμενος από την πόλιν Σαραά η οποία ανήκεν εις την φυλήν του Δαν, ονόματι Μανωέ. Η σύζυγός του ήτο στείρα και δεν ετεκνοποίει.
Κρ. 13,3 - καὶ ὤφθη ἄγγελος Κυρίου πρὸς τὴν γυναῖκα, καὶ εἶπε πρὸς αὐτήν· ἰδοὺ σὺ στεῖρα καὶ οὐ τέτοκας, καὶ συλλήψῃ υἱόν.
Κρ. 13,3 - Αγγελος Κυρίου παρουσιάσθη εις την γυναίκα αυτήν και της είπεν· "ιδού συ είσαι στείρα και έως τώρα δεν εγέννησες υιόν. Τωρα όμως θα συλλάβης υιόν.
Κρ. 13,4 - καὶ νῦν φύλαξαι δὴ καὶ μὴ πίῃς οἶνον καὶ μέθυσμα καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον·
Κρ. 13,4 - Από τώρα λοιπόν πρόσεξε να μη πίης οίνον η άλλο μεθυστικόν ποτόν· πρόσεξε επί πλέον να μη φάγης τίποτε από εκείνα, τα οποία ο νόμος του Θεού χαρακτηρίζει ακάθαρτα.
Κρ. 13,5 - ὅτι ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις καὶ τέξῃ υἱόν, καὶ σίδηρος ἐπὶ τὴν κεφαλὴν αὐτοῦ οὐκ ἀναβήσεται, ὅτι ναζὶρ Θεοῦ ἔσται τὸ παιδάριον ἀπὸ τῆς

κοιλίας, καὶ αὐτὸς ἄρξεται σῶσαι τὸν Ἰσραὴλ ἐκ χειρὸς Φυλιστιΐμ.

Κρ. 13,5 - Διότι συ θα συλλάβης εν γαστρί και θα γεννήσης υιόν. Ψαλλίδι δεν θα ανεβή εις την κεφαλήν αυτού δια να κόψη την κόμην του, διότι το παιδίον τούτο θα είναι ναζιραίος (αφιερωμένος δηλαδή στον Θεόν) εκ κοιλίας μητρός του. Και αυτός θα κάμη αρχήν του έργου της σωτηρίας και απελευθερώσεως των Ισραηλιτών από την εξουσίαν των Φιλισταίων".

Κρ. 13,6 - καὶ εἰσῆλθεν ἡ γυνὴ καὶ εἶπε τῷ ἀνδρὶ αὐτῆς λέγουσα· ἄνθρωπος Θεοῦ ἦλθε πρός με, καὶ εἶδος αὐτοῦ ὡς εἶδος ἀγγέλου Θεοῦ, φοβερὸν σφόδρα· καὶ οὐκ ἠρώτησα αὐτόν, πόθεν ἐστί, καὶ τὸ ὄνομα αὐτοῦ οὐκ ἀπήγγειλέ μοι.

Κρ. 13,6 - Η γυναίκα αυτή εισήλθε κατόπιν στον οίκον της και είπεν στον άνδρα της· "ενας άνθρωπος του Θεού, ο οποίος είχε την εμφάνισιν αγγέλου, συγκλονιστικήν και πολύ φοβεράν, ήλθε προς εμέ. Δεν τον ηρώτησα πόθεν κατάγεται ούτε και ο ίδιος μου εγνωστοποίησε το όνομά του.

Κρ. 13,7 - καὶ εἶπέ μοι· ἰδοὺ σὺ ἐν γαστρὶ ἔχεις καὶ τέξῃ υἱόν· καὶ νῦν μὴ πίῃς οἶνον καὶ μέθυσμα καὶ μὴ φάγῃς πᾶν ἀκάθαρτον, ὅτι Θεοῦ ἅγιον ἔσται τὸ παιδάριον ἀπὸ γαστρὸς ἕως ἡμέρας θανάτου αὐτοῦ.

Κρ. 13,7 - Μου είπεν όμως τα εξής· Ιδού συ θα μείνης έγκυος και θα γεννήσης υιόν. Από τώρα και στο εξής μη πίης οίνον η άλλο μεθυστικόν ποτόν ούτε και να φάγης τίποτε από εκείνα, τα οποία ο νόμος του Θεού χαρακτηρίζει ακάθαρτα. Και τούτο διότι το παιδίον αυτό θα είναι αφιερωμένον στον Κυριον εκ κοιλίας μητρός μέχρι της ημέρας του θανάτου του".

Κρ. 13,8 - καὶ προσηύξατο Μανωὲ πρὸς Κύριον καὶ εἶπεν· ἐν ἐμοί, Κύριε Ἀδωναϊέ, τὸν ἄνθρωπον τοῦ Θεοῦ, ὃν ἀπέστειλας, ἐλθέτω δὴ ἔτι πρὸς ἡμᾶς καὶ συμβιβασάτω ἡμᾶς τί ποιήσωμεν τῷ παιδίῳ τῷ τικτομένῳ.

Κρ. 13,8 - Ο Μανωέ προσηυχήθη προς τον Κυριον και είπε· "Κυριε Αδωναϊέ, σε παρακαλώ, ο άνθρωπος του Θεού, τον οποίον συ απέστειλες, ας έλθη πάλιν προς ημάς και ας μας συμβουλεύση τι πρέπει να πράξωμεν δια το παιδίον, το οποίον μέλλει να γεννηθή.

Κρ. 13,9 - καὶ εἰσήκουσεν ὁ Θεὸς τῆς φωνῆς Μανωέ, καὶ ἦλθεν ὁ ἄγγελος τοῦ Θεοῦ ἔτι πρὸς τὴν γυναῖκα, καὶ αὕτη ἐκάθητο ἐν ἀγρῷ, καὶ Μανωὲ ὁ ἀνὴρ αὐτῆς οὐκ ἦν μετ᾿ αὐτῆς.

Κρ. 13,9 - Ο Θεός ήκουσε την δέησιν του Μανωέ και ο άγγελος του ήλθε πάλιν προς την γυναίκα, όταν αυτή εκάθητο στον αγρόν, ο δε σύζυγός της ο Μανωέ δεν ευρίσκετο μαζή της.

Κρ. 13,10 - καὶ ἐτάχυνεν ἡ γυνὴ καὶ ἔδραμε καὶ ἀνήγγειλε τῷ ἀνδρὶ αὐτῆς καὶ εἶπε πρὸς αὐτόν· ἰδοὺ ὦπται πρός με ὁ ἀνήρ, ὃς ἦλθεν ἐν ἡμέρᾳ πρός με.

Κρ. 13,10 - Η γυνή έσπευσε δρομέως και συνήντησε τον άνδρα της στον οποίον ανήγγειλε· "ιδού παρουσιάσθη εις εμέ και πάλιν ο ανήρ, ο οποίος και

προηγουμένως μου είχεν εμφανισθή”.

Κρ. 13,11 - καὶ ἀνέστη καὶ ἐπορεύθη Μανωὲ ὀπίσω τῆς γυναικὸς αὐτοῦ καὶ ἦλθε πρὸς τὸν ἄνδρα καὶ εἶπεν αὐτῷ· εἰ σὺ εἶ ὁ ἀνὴρ ὁ λαλήσας πρὸς τὴν γυναῖκα; καὶ εἶπεν ὁ ἄγγελος· ἐγώ.

Κρ. 13,11 - Ο Μανωέ ηγέρθη, ηκολούθησε την σύζυγόν του, ήλθε προς τον άγνωστον αυτόν άνδρα και του είπε· “συ είσαι πράγματι ο ανήρ ο οποίος συνωμίλησες με την γυναίκα μου;” Ο δε άγγελος απήντησεν· “εγώ είμαι”.

Κρ. 13,12 - καὶ εἶπε Μανωέ· νῦν ἐλεύσεται ὁ λόγος σου· τίς ἔσται κρίσις τοῦ παιδίου καὶ τὰ ποιήματα αὐτοῦ;

Κρ. 13,12 - Ο Μανωέ είπε προς αυτόν· “τώρα όταν ο λόγος σου γίνη πραγματικότης και αποκτήσω υιόν, ποίος θα είναι ο νόμος, που θα ρυθμίζη την ζωήν του παιδίου, και ποία τα έργα αυτού;”

Κρ. 13,13 - καὶ εἶπεν ὁ ἄγγελος Κυρίου πρὸς Μανωέ· ἀπὸ πάντων, ὧν εἴρηκα πρὸς τὴν γυναῖκα, φυλάξεται·

Κρ. 13,13 - Απήντησεν ο άγγελος του Κυρίου προς τον Μανωέ· “το παιδί που θα γεννηθή θα φυλαχθή από όλα εκείνα, που είπα προς την γυναίκα σου·

Κρ. 13,14 - ἀπὸ παντός, ὃ ἐκπορεύεται ἐξ ἀμπέλου τοῦ οἴνου, οὐ φάγεται καὶ οἶνον καὶ μέθυσμα μὴ πιέτω καὶ πᾶν ἀκάθαρτον μὴ φαγέτω· πάντα ὅσα ἐνετειλάμην αὐτῇ, φυλάξεται.

Κρ. 13,14 - κάθε προϊόν το οποίον παράγεται από άμπελον, με τας σταφυλάς της οποίας γίνεται ο οίνος, δεν θα φάγη· οίνον και μεθυστικά ποτά δεν θα πίη Καθε τι που ο νόμος του Θεού χαρακτηρίζει ακάθαρτον, δεν θα φάγη. Ολα όσα διέταξα αυτήν να φυλάξη, θα τα φυλάξη και το παιδίον”.

Κρ. 13,15 - καὶ εἶπε Μανωὲ πρὸς τὸν ἄγγελον Κυρίου· κατάσχωμεν ὧδέ σε καὶ ποιήσωμεν ἐνώπιόν σου ἔριφον αἰγῶν.

Κρ. 13,15 - Είπε τότε ο Μανωέ προς τον άγγελον του Κυρίου· “θα μας επιτρέψης να σε κρατήσωμεν εδώ, δια να σου προσφέρωμεν να φάγης από τας αίγας μας ερίφιον;”

Κρ. 13,16 - καὶ εἶπεν ὁ ἄγγελος Κυρίου πρὸς Μανωέ· ἐὰν κατάσχῃς με, οὐ φάγομαι ἀπὸ τῶν ἄρτων σου, καὶ ἐὰν ποιήσῃς ὁλοκαύτωμα, τῷ Κυρίῳ ἀνοίσεις αὐτό· ὅτι οὐκ ἔγνω Μανωὲ ὅτι ἄγγελος Κυρίου αὐτός.

Κρ. 13,16 - Ο άγγελος του Κυρίου είπε προς τον Μανωέ· “εάν με κρατήσης θα μείνω, αλλά δεν θα φάγω από την τράπεζάν σου. Εάν θελήσης να κάμης θυσίαν ολοκαυτώματος, στον Κυριον θα προσφέρης αυτήν”. Παρεκάλεσεν ο Μανωέ τον ξένον να μείνη, διότι δεν είχεν αντιληφθή, ότι αυτός ήτο άγγελος Κυρίου.

Κρ. 13,17 - καὶ εἶπε Μανωὲ πρὸς τὸν ἄγγελον Κυρίου· τί τὸ ὄνομά σοι; ὅτι ἔλθοι τὸ ῥῆμά σου, καὶ δοξάσομέν σε.

Κρ. 13,17 - Ο Μανωέ είπε προς τον άγγελον του Κυρίου· “ειπέ μου, ποίον είναι το όνομά σου, ώστε όταν εκπληρωθούν τα λόγια σου να σου προσφέρωμεν εις ένδειξιν εκτιμήσεως και ευγνωμοσύνης ένα δώρον”.

Κρ. 13,18 - καὶ εἶπεν αὐτῷ ὁ ἄγγελος Κυρίου· εἰς τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά μου; καὶ αὐτό ἐστι θαυμαστόν.

Κρ. 13,18 - Ο άγγελος του απήντησε· “διατί ερωτάς να μάθης το όνομά μου; Το όνομά μου είναι σεβαστόν και ανέκφραστον”.

Κρ. 13,19 - καὶ ἔλαβε Μανωὲ τὸν ἔριφον τῶν αἰγῶν καὶ τὴν θυσίαν καὶ ἀνήνεγκεν ἐπὶ τήν πέτραν τῷ Κυρίῳ· καὶ διεχώρισε ποιῆσαι, καὶ Μανωὲ καὶ γυνὴ αὐτοῦ βλέποντες.

Κρ. 13,19 - Ο Μανωέ επήρε το ερίφιον από τα γίδια του και την άλλην αναίμακτον θυσίαν και προσέφερεν αυτά θυσίαν προς τον Κυριον επάνω εις λίθον, ο οποίος επείχε θέσιν θυσιαστηρίου. Ο άγγελος απεμακρύνθη ολίγον από αυτούς δια να προσφέρη την θυσίαν, ο δε Μανωέ και η γυνή του παρετήρουν.

Κρ. 13,20 - καὶ ἐγένετο ἐν τῷ ἀναβῆναι τὴν φλόγα ἐπάνω τοῦ θυσιαστηρίου ἕως τοῦ οὐρανοῦ καὶ ἀνέβη ὁ ἄγγελος Κυρίου ἐν τῇ φλογὶ τοῦ θυσιαστηρίου, καὶ Μανωὲ καὶ ἡ γυνὴ αὐτοῦ βλέποντες καὶ ἔπεσαν ἐπὶ πρόσωπον αὐτῶν ἐπὶ τὴν γῆν.

Κρ. 13,20 - Οταν ήναψεν η φλόγα επάνω στο θυσιαστήριον και ανέβαινε προς τον ουρανόν, ανέβη και ο άγγελος Κυρίου δια της φλογός αυτής του θυσιαστηρίου. Ο Μανωέ και η γυνή του έβλεπον αυτόν έκπληκτοι και έπεσαν πρηνείς κάτω στο έδαφος.

Κρ. 13,21 - καὶ οὐ προσέθηκεν ἔτι ὁ ἄγγελος Κυρίου ὀφθῆναι πρὸς Μανωὲ καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ· τότε ἔγνω Μανωὲ ὅτι ἄγγελος Κυρίου οὗτος.

Κρ. 13,21 - Ο άγγελος του Κυρίου δεν ενεφανίσθη πλέον ούτε προς τον Μανωέ, ούτε προς την γυναίκα αυτού. Τοτε ενόησεν ο Μανωέ ότι ο άγνωστος εκείνος ανήρ ήτο άγγελος Κυρίου.

Κρ. 13,22 - καὶ εἶπε Μανωὲ πρὸς τὴν γυναῖκα αὐτοῦ· θανάτῳ ἀποθανούμεθα, ὅτι Θεὸν εἴδομεν.

Κρ. 13,22 - Γεμάτος φόβον ο Μανωέ είπε προς την σύζυγόν του· “θα αποθάνωμεν, διότι είδομεν τον Θεόν”.

Κρ. 13,23 - καὶ εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ· εἰ ἤθελεν ὁ Κύριος θανατῶσαι ἡμᾶς, οὐκ ἂν ἔλαβεν ἐκ χειρὸς ἡμῶν ὁλοκαύτωμα καὶ θυσίαν καὶ οὐκ ἂν ἔδειξεν ἡμῖν ταῦτα πάντα καὶ καθὼς καιρὸς οὐκ ἂν ἠκούτισεν ἡμᾶς ταῦτα.

Κρ. 13,23 - Η γυναίκα του όμως του είπε· “εάν ο Κυριος ήθελε να μας θανατώση, δεν θα εδέχετο από τα χέρια μας την αιματηράν θυσίαν του ολοκαυτώματος και την αναίμακτον θυσίαν. Δεν θα εφανέρωνεν εις η μας

όλα όσα εξαίρετα είδομεν και δεν θα συγκατέβαινεν ώστε να ακρυσωμεν κατά την ημέραν αυτήν αυτά, που ηκούσαμεν”.

Κρ. 13,24 - καὶ ἔτεκεν ἡ γυνὴ υἱὸν καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σαμψών· καὶ ἡδρύνθη τὸ παιδάριον, καὶ εὐλόγησεν αὐτὸ Κύριος.

Κρ. 13,24 - Οταν ήλθεν ο καιρός, εγέννησεν η σύζυγος του Μανωέ υιόν και ωνόμασεν αυτόν Σαμψών. Εμεγάλωσε το παιδίον, ο δε Κυριος ευλόγησεν αυτό.

Κρ. 13,25 - καὶ ἤρξατο πνεῦμα Κυρίου συνεκπορεύεσθαι αὐτῷ ἐν παρεμβολῇ Δὰν καὶ ἀνὰ μέσον Σαραὰ καὶ ἀνὰ μέσον Ἐσθαόλ.

Κρ. 13,25 - Πνεύμα δε Κυρίου ήρχισε να συνοδεύη αυτό εντός και εκτός του στρατοπέδου της φυλής Δαν, το οποίον στρατόπεδον ευρίσκετο μεταξύ Σαραά και Εσθαόλ.

ΚΡΙΤΑΙ 14

Κρ. 14,1 - Καὶ κατέβη Σαμψὼν εἰς Θαμναθὰ καὶ εἶδε γυναῖκα ἐν Θαμναθὰ ἀπὸ τῶν θυγατέρων τῶν ἀλλοφύλων.

Κρ. 14,1 - Οταν πλέον είχε μεγαλώσει ο Σαμψών κατέβη μίαν ημέραν από την πόλιν Σαραά εις την πόλιν Θαμναθά. Εκεί είδε μίαν γυναίκα από τας θυγατέρας των Φιλισταίων, την οποίαν και συνεπάθησε.

Κρ. 14,2 - καὶ ἀνέβη καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ καὶ εἶπε· γυναῖκα ἑώρακα ἐν Θαμναθὰ ἀπὸ τῶν θυγατέρων Φυλιστιΐμ, καὶ νῦν λάβετε αὐτὴν ἐμοὶ εἰς γυναῖκα.

Κρ. 14,2 - Επέστρεψεν εις την Σαραά, ανήγγειλε το γεγονός στον πατέρα και την μητέρα του και είπε· “είδα εις Θαμναθά μίαν γυναίκα από τας θυγατέρας των Φιλισταίων, την οποίαν και συνεπάθησα. Λαβετε λοιπόν αυτήν και δώσατέ την εις εμέ ως σύζυγόν μου”.

Κρ. 14,3 - καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ· μὴ οὐκ εἰσὶ θυγατέρες τῶν ἀδελφῶν σου καὶ ἐκ παντὸς τοῦ λαοῦ μου γυνή, ὅτι σὺ πορεύῃ λαβεῖν γυναῖκα ἀπὸ τῶν ἀλλοφύλων τῶν ἀπεριτμήτων; καὶ εἶπε Σαμψὼν πρὸς τὸν πατέρα αὐτοῦ· ταύτην λάβε μοι, ὅτι αὕτη εὐθεῖα ἐν ὀφθαλμοῖς μου.

Κρ. 14,3 - Ο πατήρ και η μήτηρ αυτού του είπον· “μήπως δεν υπάρχουν θυγατέρες μεταξύ των ομοεθνών σου, γυνή κατάλληλος δια σε μεταξύ του λαού μου και μετέβης να εκλέξης γυναίκα από τους αλλοφύλους αυτούς και απεριτμήτους;” Ο Σαμψών επιμένων είπε προς τον πατέρα του· “αυτήν πάρε δι' εμέ ως σύζυγον διότι αυτή είναι ωραία και συμπαθής εις τα μάτια μου”.

Κρ. 14,4 - καὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ οὐκ ἔγνωσαν ὅτι παρὰ Κυρίου ἐστίν, ὅτι ἐκδίκησιν αὐτὸς ζητεῖ ἐκ τῶν ἀλλοφύλων· καὶ ἐν τῷ καιρῷ

ἐκείνῳ οἱ ἀλλόφυλοι κυριεύοντες ἐν Ἰσραήλ.

Κρ. 14,4 - Ο πατήρ και η μήτηρ αυτού δεν εγνώριζαν, ότι κατά παραχώρησιν Θεού έγινε τούτο, δια να γίνη, το γεγονός αυτό αφορμή να τιμωρηθούν οι Φιλισταίοι. Κατά την εποχήν δε εκείνην οι Φιλισταίοι ήσαν αυθένται και κύριοι των Ισραηλιτών.

Κρ. 14,5 - καὶ κατέβη Σαμψὼν καὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ εἰς Θαμναθά. καὶ ἦλθεν ἕως τοῦ ἀμπελῶνος Θαμναθά, καὶ ἰδοὺ σκύμνος λέοντος ὠρυόμενος εἰς συνάντησιν αὐτοῦ·

Κρ. 14,5 - Ο Σαμψών κατέβαινε μαζή με τον πατέρα του και την μητέρα του προς την πάλιν Θαμναθά, εις την οποίαν εκείνοι και επορεύθησαν. Οταν ο Σαμψών έφθασεν στους αμπελώνας Θαμναθά, ιδού ένας νεαρός λέων ώρμησεν εναντίον του ωρυόμενος.

Κρ. 14,6 - καὶ ἥλατο ἐπ᾿ αὐτὸν πνεῦμα Κυρίου, καὶ συνέτριψεν αὐτόν, ὡσεὶ συντρίψει ἔριφον αἰγῶν, καὶ οὐδὲν ἦν ἐν ταῖς χερσὶν αὐτοῦ. καὶ οὐκ ἀπήγγειλε τῷ πατρὶ αὐτοῦ καὶ τῇ μητρὶ αὐτοῦ ὃ ἐποίησε.

Κρ. 14,6 - Πνεύμα όμως Κυρίου επλημμύρισε τον Σαμψών, ο οποίος ενισχυθείς συνέτριψε τον λέοντα, όπως ένας άλλος θα συνέτριβεν ένα ερίφιον, καίτοι δεν εκρατούσεν εις τα χέρια του κανένα όπλον. Το κατόρθωμά του αυτό δεν το ανέφερεν ο Σαμψών στον πατέρα του και την μητέρα του.

Κρ. 14,7 - καὶ κατέβησαν καὶ ἐλάλησαν τῇ γυναικί, καὶ ηὐθύνθη ἐν ὀφθαλμοῖς Σαμψών.

Κρ. 14,7 - Οι γονείς του και αυτός ήλθον εις την Θαμναθά και συνωμίλησαν με την γυναίκα, η οποία είχεν αρέσει στους οφθαλμούς του Σαμψών. Εκανόνισαν τα του γάμου και ανεχώρησαν.

Κρ. 14,8 - καὶ ὑπέστρεψε μεθ᾿ ἡμέρας λαβεῖν αὐτὴν καὶ ἐξέκλινεν ἰδεῖν τὸ πτῶμα τοῦ λέοντος, καὶ ἰδοὺ συναγωγὴ μελισσῶν ἐν τῷ στόματι τοῦ λέοντος καὶ μέλι.

Κρ. 14,8 - Μετά παρέλευσιν μερικών ημερών επέστρεψεν ο Σαμψών εις Θαμναθά, δια να λάβη αυτήν επισήμως ως σύζυγόν του. Καθ' οδόν ελοξοδρόμησε προς την άμπελον, δια να ίδη το πτώμα του λέοντος. Και ιδού ένα σμήνος μελισσών είχε φωληάσει στο στόμα του λέοντος και κηρύθρα με μέλι υπήρχεν εις αυτό.

Κρ. 14,9 - καὶ ἐξεῖλεν αὐτὸ εἰς χεῖρας αὐτοῦ καὶ ἐπορεύετο πορευόμενος καὶ ἐσθίων· καὶ ἐπορεύθη πρὸς τὸν πατέρα αὐτοῦ καὶ πρὸς τὴν μητέρα αὐτοῦ καὶ ἔδωκεν αὐτοῖς, καὶ ἔφαγον· καὶ οὐκ ἀνήγγειλεν αὐτοῖς ὅτι ἀπὸ στόματος τοῦ λέοντος ἐξεῖλε τὸ μέλι.

Κρ. 14,9 - Επήρε την κηρύθραν του μέλιτος εις τα χέρια του και εβάδιζε τρώγων αυτό. Επέστρεψε προς τον πατέρα και την μητέρα του, έδωκεν εις αυτούς κηρύθραν και έφαγον, αλλά δεν τους ανέφερε ότι αφήρεσε το μέλι από το στόμα του λέοντος. Κατόπιν μετέβη εις την Θαμναθά.

Κρ. 14,10 - καὶ κατέβη ὁ πατὴρ αὐτοῦ πρὸς τὴν γυναῖκα· καὶ ἐποίησεν ἐκεῖ Σαμψὼν πότον ἡμέρας ἑπτά, ὅτι οὕτως ποιοῦσιν οἱ νεανίσκοι.

Κρ. 14,10 - Κατέβηκεν ο πατήρ του Σαμψών εις Θαμναθά προς την γυναίκα του παιδιού του. Εκεί ο Σαμψών είχεν επταήμερον συμπόσιον εις πανηγυρισμόν του γάμου του, διότι αυτό το έθιμον επικρατούσε κατά την τέλεσιν των γάμων των νέων.

Κρ. 14,11 - καὶ ἐγένετο ὅτε εἶδον αὐτόν, καὶ ἔλαβον τριάκοντα κλητούς, καὶ ἦσαν μετ᾿ αὐτοῦ.

Κρ. 14,11 - Οι γονείς της νύμφης όταν εδαν τον Σαμψών εκάλεσαν τριάκοντα παρανύμφους και τους έθεσαν τιμητικώς πλησίον του.

Κρ. 14,12 - καὶ εἶπεν αὐτοῖς Σαμψών· πρόβλημα ὑμῖν προβάλλομαι· ἐὰν ἀπαγγέλλοντες ἀπαγγείλητε αὐτὸ ἐν ταῖς ἑπτὰ ἡμέραις τοῦ πότου καὶ εὕρητε, δώσω ὑμῖν τριάκοντα σινδόνας καὶ τριάκοντα στολὰς ἱματίων·

Κρ. 14,12 - Ο Σαμψών είπεν εις αυτούς· “θα σας προτείνω ένα αίνιγμα. Εάν το λύσετε κατά τας επτά ημέρας του συμποσίου, εάν βρήτε την εξήγησίν του, θα σας δώσω τριάκοντα χιτώνας λινούς και τριάκοντα στολάς.

Κρ. 14,13 - καὶ ἐὰν μὴ δύνησθε ἀπαγγεῖλαί μοι, δώσετε ὑμεῖς ἐμοὶ τριάκοντα ὀθόνια καὶ τριάκοντα ἀλλασσομένας στολὰς ἱματίων· καὶ εἶπαν αὐτῷ· προβάλλου τὸ πρόβλημά σου, καὶ ἀκουσόμεθα αὐτό.

Κρ. 14,13 - Εάν όμως δεν ημπορέσετε να μου το ερμηνεύσετε, θα μου δώσετε σεις τριάκοντα λινούς χιτώνας και τριάκοντα καινουργείς στολάς”. Εκείνοι του είπαν· “πές μας το αίνιγμά σου και ημείς θα το ακούσωμεν”.

Κρ. 14,14 - καὶ εἶπεν αὐτοῖς· τί βρωτὸν ἐξῆλθεν ἐκ βιβρώσκοντος καὶ ἀπὸ ἰσχυροῦ γλυκύ; καὶ οὐκ ἠδύναντο ἀπαγγεῖλαι τὸ πρόβλημα ἐπί τρεῖς ἡμέρας.

Κρ. 14,14 - Ο Σαμψών τους είπεν· “ποίον είναι το βρώσιμον εκείνο που εξήλθεν από κατατρώγοντα, και ποίον το γλυκύ που εξήλθεν από κάποιον ισχυρόν; Εκείνοι επί τρεις ημέρας δεν ημπόρεσαν να εξηγήσουν το αίνιγμα.

Κρ. 14,15 - καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ τετάρτῃ καὶ εἶπαν τῇ γυναικὶ Σαμψών· ἀπάτησον δὴ τὸν ἄνδρα σου καὶ ἀπαγγειλάτω σοι τὸ πρόβλημα, μή ποτε κατακαύσωμέν σε καὶ τὸν οἶκον τοῦ πατρός σου ἐν πυρί· ἦ ἐκβιάσαι ἡμᾶς κεκλήκατε;

Κρ. 14,15 - Κατά την τετάρτην ημέραν είπαν εις την γυναίκα του Σαμψών· “κύτταξε να ξεγελάσης τον άνδρα σου, δια να σου αναγγείλη την λύσιν του αινίγματος. Εάν όμως και δεν κάμης αυτό που σου λέγομεν θα κατακαύσωμεν σε και την πατρικήν σου οικογένειαν. Η μήπως και μας εκαλέσατε εδώ δια να μας ληστεύσετε με τα αινίγματα;”

Κρ. 14,16 - καὶ ἔκλαυσεν ἡ γυνὴ Σαμψὼν πρὸς αὐτὸν καὶ εἶπε· πλὴν μεμίσηκάς με καὶ οὐκ ἠγάπησάς με, ὅτι τὸ πρόβλημα, ὃ προεβάλου τοῖς

υἱοῖς τοῦ λαοῦ μου, οὐκ ἀπήγγειλάς μοι αὐτό· καὶ εἶπεν αὐτῇ Σαμψών· εἰ τῷ πατρί μου καὶ τῇ μητρί μου οὐκ ἀπήγγελκα, σοὶ ἀπαγγείλω;

Κρ. 14,16 - Εκλαυσεν η γυνή του Σαμψών ενώπιον αυτού και μετά δακρύων του είπε· “με εμίσησες και δεν με αγάπησες. Και αυτό το συμπεραίνω εκ του γεγονότος, ότι το αίνιγμα, το οποίον επρότεινες εις τους συμπατριώτας μου δεν μου το εξήγησες”. Ο Σαμψών της είπε· “μη σου φαίνεται παράδοξον αυτό. Αφού ούτε στον πατέρα μου και την μητέρα μου δεν το ανέφερα, και θα το είπω εις σέ;”

Κρ. 14,17 - καὶ ἔκλαυσε πρὸς αὐτὸν ἐπὶ τὰς ἑπτὰ ἡμέρας, ἃς ἦν αὐτοῖς ὁ πότος· καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ καὶ ἀπήγγειλεν αὐτῇ, ὅτι παρηνώχλησεν αὐτῷ· καὶ αὐτὴ ἀπήγγειλε τοῖς υἱοῖς τοῦ λαοῦ αὐτῆς.

Κρ. 14,17 - Η γυνή επί επτά ημέρας, κατά τας οποίας διήρκει το συμπόσιον του γάμου, έκλαιε και παρεκάλει τον Σαμψών. Κατά την εβδόμην ημέραν της είπεν ο Σαμψών την εξήγησιν του αινίγματος, διότι τον είχε πολύ στενοχωρήσει. Εκείνη δε κατέστησεν αμέσως τούτο γνωστόν στους συμπατριώτας της.

Κρ. 14,18 - καὶ εἶπαν αὐτῷ οἱ ἄνδρες τῆς πόλεως ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον· τί γλυκύτερον μέλιτος, καὶ τί ἰσχυρότερον λέοντος; καὶ εἶπεν αὐτοῖς Σαμψών· εἰ μὴ ἠροτριάσατε ἐν τῇ δαμάλει μου, οὐκ ἂν ἔγνωτε τὸ πρόβλημά μου.

Κρ. 14,18 - Κατά την εβδόμην και τελευταίαν ημέραν του συμποσίου, πριν ανατείλη ο ήλιος, οι άνδρες της Θαμναθά είπον την εξήγησιν του αινίγματος στον Σαμψών· “τι γλυκύτερον υπάρχει από το μέλι, και τι ισχυρότερον από τον λέοντα;” Είπεν εις αυτούς ο Σαμψών· “εάν δεν εξεβιάζατε με απειλάς την σύζυγόν μου, δεν θα ημπορούσατε να εύρετε ποτέ την ερμηνείαν του αινίγματός μου”.

Κρ. 14,19 - καὶ ἥλατο ἐπ᾿ αὐτὸν πνεῦμα Κυρίου, καὶ κατέβη εἰς Ἀσκάλωνα καὶ ἐπάταξεν ἐξ αὐτῶν τριάκοντα ἄνδρας καὶ ἔλαβε τὰ ἱμάτια αὐτῶν καὶ ἔδωκε τὰς στολὰς τοῖς ἀπαγγείλασι τὸ πρόβλημα. καὶ ὠργίσθη θυμῷ Σαμψὼν καὶ ἀνέβη εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ.

Κρ. 14,19 - Επέπεσεν στον Σαμψών πνεύμα Κυρίου, ενισχύθη, κατέβη εις την Ασκάλωνα, πόλιν των Φιλισταίων, εφόνευσε τριάκοντα άνδρας εκεί, επήρε τα ιμάτια και τας στολάς των και τα έδωκεν στους τριάκοντα νέους που είχαν λύσει το αίνιγμα. Εκυριεύθη από οργήν δια την απάτην που του είχαν κάμει και επέστρεψεν εις τον πατρικόν του οίκον εγκαταλείψας την γυναίκα του.

Κρ. 14,20 - καὶ ἐγένετο ἡ γυνὴ Σαμψὼν ἑνὶ τῶν φίλων αὐτοῦ, ὧν ἐφιλίασεν.

Κρ. 14,20 - Η σύζυγος όμως αυτή του Σαμψών υπανδρεύθη ένα από τους τριάκοντα παρανύμφους μέ τους οποίους προηγουμένως είχε φιλικώς συμφάγει ο Σαμψών.

ΚΡΙΤΑΙ 15

Κρ. 15,1 - Καὶ ἐγένετο μεθ᾿ ἡμέρας ἐν ἡμέραις θερισμοῦ πυρῶν καὶ ἐπεσκέψατο Σαμψὼν τὴν γυναῖκα αὐτοῦ ἐν ἐρίφῳ αἰγῶν καὶ εἶπεν· εἰσελεύσομαι πρὸς τὴν γυναῖκά μου καὶ εἰς τὸ ταμιεῖον· καὶ οὐκ ἔδωκεν αὐτὸν ὁ πατὴρ αὐτῆς εἰσελθεῖν.

Κρ. 15,1 - Επειτα από χρόνον τινά, κατά την εποχήν του θερισμού των σιτηρών, επεσκέφθη ο Σαμψών την γυναίκα του, φέρων προς αυτήν ως δώρον ένα ερίφιον. Είπε δε προς τον πατέρα της· "θα εισέλθω στο δωμάτιον προς την γυναίκά μου". Ο πατέρας όμως εκείνης δεν του επέτρεψε να εισέλθη,

Κρ. 15,2 - καὶ εἶπεν ὁ πατὴρ αὐτῆς λέγων· εἶπα ὅτι μισῶν ἐμίσησας αὐτήν, καὶ ἔδωκα αὐτὴν ἑνὶ τῶν ἐκ τῶν φίλων σου· μὴ οὐχὶ ἡ ἀδελφὴ αὐτῆς ἡ νεωτέρα ἀγαθωτέρα ὑπὲρ αὐτήν; ἔστω δή σοι ἀντὶ αὐτῆς.

Κρ. 15,2 - και του είπεν· "εγώ ενόμισα ότι εμίσησες αυτήν πάρα πολύ και ότι την εγκατέλειψες οριστικώς. Δια τούτο και εγώ την έδωκα εις ένα από τους φίλους σου, με τους οποίους συνέφαγες κατά το επταήμερον συμπόσιον. Αλλά το πράγμα ημπορεί να τακτοποιηθή. Η μικρότερα αδελφή της μήπως δεν είναι πολύ ωραιότερα από εκείνην; Ας είναι λοιπόν αυτή αντί εκείνης σύζυγός σου".

Κρ. 15,3 - καὶ εἶπεν αὐτοῖς Σαμψών· ἠθώωμαι καὶ τὸ ἅπαξ ἀπὸ ἀλλοφύλων, ὅτι ποιῶ ἐγὼ μετ᾿ αὐτῶν πονηρίαν.

Κρ. 15,3 - Ο Σαμψών είπε τότε ωργισμένος προς αυτούς· "αυτήν την φοράν δεν θα έχω καμμίαν ενοχήν δι' όσα κακά θα προξενήσω εναντίον των Φιλισταίων".

Κρ. 15,4 - καὶ ἐπορεύθη Σαμψὼν καὶ συνέλαβε τριακοσίας ἀλώπεκας καὶ ἔλαβε λαμπάδας καὶ ἐπέστρεψε κέρκον πρὸς κέρκον καὶ ἔθηκε λαμπάδα μίαν ἀναμέσον τῶν δύο κέρκων καὶ ἔδησε·

Κρ. 15,4 - Ο Σαμψών μετέβη και συνέλαβε τριακοσίας αλώπεκας και κατόπιν επήρε εκατόν πενήντα ρητινώδεις δαυλούς. Ετοποθέτησεν ανά δύο τας αλώπεκας, ώστε να έχουν τας ουράς των την μίαν απέναντι της άλλης, έθεσεν ένα ρητινώδες δαυλί ανάμεσα εις τας δύο ουράς και έδεσεν αυτό με εκείνας.

Κρ. 15,5 - καὶ ἐξέκαυσε πῦρ ἐν ταῖς λαμπάσι καὶ ἐξαπέστειλεν ἐν τοῖς στάχυσι τῶν ἀλλοφύλων, καὶ ἐκάησαν ἀπὸ ἅλωνος καὶ ἕως σταχύων ὀρθῶν καὶ ἕως ἀμπελῶνος καὶ ἐλαίας.

Κρ. 15,5 - Ηναψε κατόπιν το ρητινώδες δαυλί και εξαπέλυσε τας αλώπεκας εις τα σιτηρά των Φιλισταίων. Εκάησαν όλα, τόσον τα

ευρισκόμενα εις τα αλώνια όσον και τα αθέριστα στους αγρούς. Η πυρκαϊά επεξετάθη μέχρι των αμπελώνων και των ελαιώνων.

Κρ. 15,6 - καὶ εἶπαν οἱ ἀλλόφυλοι· τίς ἐποίησε ταῦτα; καὶ εἶπαν· Σαμψὼν ὁ νυμφίος τοῦ Θαμνί, ὅτι ἔλαβε τὴν γυναῖκα αὐτοῦ καὶ ἔδωκεν αὐτὴν τῷ ἐκ τῶν φίλων αὐτοῦ· καὶ ἀνέβησαν οἱ ἀλλόφυλοι καὶ ἐνέπρησαν αὐτὴν καὶ τὸν οἶκον τοῦ πατρὸς αὐτῆς ἐν πυρί.

Κρ. 15,6 - Οι Φιλισταίοι ηρώτησαν· "ποίος έκαμε αυτά;" Και είπαν· "ο Σαμψών, ο γαμβρός του Θαμνί, διότι αυτός επήρε την γυναίκα του Σαμψών και την έδωκεν εις ένα από τους φίλους του". Οι Φιλισταίοι αγανακτησμένοι μετέβησαν εις Θαμναθά, έκαυσαν την γυναίκα του Σαμψών και όλον τον πατρικόν της οίκον.

Κρ. 15,7 - καὶ εἶπεν αὐτοῖς Σαμψών· ἐὰν ποιήσητε οὕτως ταύτην, ὅτι ἦ μὴν ἐκδικήσω ἐν ὑμῖν καὶ ἔσχατον κοπάσω.

Κρ. 15,7 - Ο Σαμψών παρήγγειλε προς αυτούς· "επειδή έτσι εφερθήκατε προς την γυναίκα μου, εγώ θα σας εκδικηθώ οπωσδήποτε και έπειτα θα ησυχάσω".

Κρ. 15,8 - καὶ ἐπάταξεν αὐτοὺς κνήμην ἐπὶ μηρὸν πληγὴν μεγάλην· καὶ κατέβη καὶ ἐκάθισεν ἐν τρυμαλιᾷ τῆς πέτρας Ἠτάμ.

Κρ. 15,8 - Και πράγματι ο Σαμψών τους εκτύπησε κατά σκληρόν τρόπον, τους επέφερε μεγάλην καταστροφήν και έπειτα εκάθησεν εις ένα σπήλαιον του βράχου Ητάμ.

Κρ. 15,9 - Καὶ ἀνέβησαν οἱ ἀλλόφυλοι καὶ παρενέβαλον ἐν Ἰούδᾳ καὶ ἐξεῤῥίφησαν ἐν Λεχί.

Κρ. 15,9 - Οι Φιλισταίοι, στρατός πολύς, ανέβησαν και εστρατοπέδευσαν εις την χώραν της φυλής του Ιούδα και εξεχύθησαν προς καταστροφήν εις Λεχί.

Κρ. 15,10 - καὶ εἶπαν ἀνὴρ Ἰούδα· εἰς τί ἀνέβητε ἐφ᾿ ἡμᾶς; καὶ εἶπον οἱ ἀλλόφυλοι· δῆσαι τὸν Σαμψὼν ἀνέβημεν καὶ ποιῆσαι αὐτῷ ὃν τρόπον ἐποίησεν ἡμῖν.

Κρ. 15,10 - Οι άνδρες της φυλής του Ιούδα ηρώτησαν τους Φιλισταίους· "διατί εισωρμήσατε εις την χώραν μας εναντίον μας;" Και οι Φιλισταίοι τους απήντησαν· "ήλθομεν δια να συλλάβωμεν και δέσωμεν τον Σαμψών και να κάμωμεν εις αυτόν ο,τι αυτός έκαμεν εις ημάς".

Κρ. 15,11 - καὶ κατέβησαν τρισχίλιοι ἀπὸ Ἰούδα ἄνδρες εἰς τρυμαλιὰν πέτρας Ἠτὰμ καὶ εἶπαν πρὸς Σαμψών· οὐκ οἶδας ὅτι κυριεύουσιν οἱ ἀλλόφυλοι ἡμῶν, καὶ τί τοῦτο ἐποίησας ἡμῖν; καὶ εἶπεν αὐτοῖς Σαμψών· ὃν τρόπον ἐποίησάν μοι, οὕτως ἐποίησα αὐτοῖς.

Κρ. 15,11 - Τρεις χιλιάδες άνδρες από την φυλήν Ιούδα κατέβησαν στο σπήλαιον του βράχου Ητάμ και είπαν προς τον Σαμψών· "δεν γνωρίζεις ότι ευρισκόμεθα κάτω από την κυριαρχίαν των Φιλισταίων; Τι είναι αυτό το

οποίον μας έκαμες;" Απήντησεν εις αυτούς ο Σαμψών· "ο,τι μου έκαμαν εκείνοι το ίδιο έκαμα και εγώ εις εκείνους".

Κρ. 15,12 - καὶ εἶπαν αὐτῷ· δῆσαί σε κατέβημεν τοῦ δοῦναί σε ἐν χειρὶ ἀλλοφύλων. καὶ εἶπεν αὐτοῖς Σαμψών· ὀμόσατέ μοι μή ποτε συναντήσητε ἐν ἐμοὶ ὑμεῖς.

Κρ. 15,12 - Οι άνδρες της φυλής Ιούδα του είπαν· "ημείς κατέβημεν δια να σε δέσωμεν και δεμένον να σε παραδώσωμεν εις τα χέρια των αλλοφύλων". Ο Σαμψών τους είπε· "δέσατέ με. Ορκισθήτε μου όμως ότι δεν θα επιτεθήτε δια να με φονεύσετε".

Κρ. 15,13 - καὶ εἶπον αὐτῷ λέγοντες· οὐχί, ὅτι ἀλλ᾿ ἢ δεσμῷ δήσομέν σε καὶ παραδώσομέν σε ἐν χειρὶ αὐτῶν καὶ θανάτῳ οὐ θανατώσομέν σε· καὶ ἔδησαν αὐτὸν ἐν δυσὶ καλωδίοις καινοῖς καὶ ἀνήνεγκαν αὐτὸν ἀπὸ τῆς πέτρας ἐκείνης.

Κρ. 15,13 - Εκείνοι του απήντησαν· "οχι δεν θα σε φονεύσωμεν, αλλά μόνον θα σε δέσωμεν στερεά και δεμένον θα σε παραδώσωμεν εις τα χέρια των Φιλισταίων". Πράγματι τον έδεσάν με δύο καινούρια σχοινιά και μετέφεραν αυτόν από τον βράχον εκείνον.

Κρ. 15,14 - καὶ ἦλθον ἕως Σιαγόνος· καὶ οἱ ἀλλόφυλοι ἠλάλαξαν καὶ ἔδραμον εἰς συνάντησιν αὐτοῦ· καὶ ἥλατο ἐπ᾿ αὐτὸν πνεῦμα Κυρίου, καὶ ἐγενήθη τὰ καλώδια τὰ ἐπὶ βραχίοσιν αὐτοῦ ὡσεὶ στυππίον, ὃ ἐξεκαύθη ἐν πυρί, καὶ ἐτάκησαν δεσμοὶ αὐτοῦ ἀπὸ χειρῶν αὐτοῦ.

Κρ. 15,14 - Ηλθον φέροντες δεμένον τον Σαμψών έως την τοποθεσίαν, η οποία λέγεται· "Σιαγών". Οι αλλόφυλοι όταν είδαν δεμένον τον Σαμψών ώρμησαν με αλαλαγμούς χαράς εναντίον του. Τοτε ήλθεν εις αυτόν Πνεύμα Κυρίου, του έδωσε δύναμιν μεγάλην, και τα σχοινία με τα οποία είχαν δεθή τα χέρια του έγιναν σαν στουπί που το είχε κάψει η φωτιά. Διελύθησαν και έπεσαν από τα χέρια του.

Κρ. 15,15 - καὶ εὗρε σιαγόνα ὄνου ἐξεῤῥιμένη καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ καὶ ἔλαβεν αὐτὴν καὶ ἐπάταξεν ἐν αὐτῇ χιλίους ἄνδρας.

Κρ. 15,15 - Ο Σαμψών εύρε κάπου εκεί πεταγμένην μίαν σιαγόνα όνου, άπλωσε το χέρι του και την επήρε και με αυτήν εξωλόθρευσε χιλίους Φιλισταίους.

Κρ. 15,16 - καὶ εἶπε Σαμψών· ἐν σιαγόνι ὄνου ἐξαλείφων ἐξήλειψα αὐτούς, ὅτι ἐν τῇ σιαγόνι τοῦ ὄνου ἐπάταξα χιλίους ἄνδρας.

Κρ. 15,16 - Είπε δε τότε ο Σαμψών· "με μίαν σιαγόνα όνου εκτύπησα και εξωλόθρευσα αυτούς· με την σιαγόνα του όνου εξώντωσα χιλίους Φιλισταίους" !

Κρ. 15,17 - καὶ ἐγένετο ὡς ἐπαύσατο λαλῶν, καὶ ἔῤῥιψε τὴν σιαγόνα ἐκ τῆς χειρὸς αὐτοῦ· καὶ ἐκάλεσε τὸν τόπον ἐκεῖνον Ἀναίρεσις σιαγόνος.

Κρ. 15,17 - Οταν ετελείωσε τα λόγια του αυτά, επέταξε την σιαγόνα από το χέρι του και ωνόμασε τον τόπον εκείνον· “Αναίρεσις σιαγόνος”.

Κρ. 15,18 - καὶ ἐδίψησε σφόδρα, καὶ ἔκλαυσε πρὸς Κύριον καὶ εἶπε· σὺ εὐδόκησας ἐν χειρὶ δούλου σου τὴν σωτηρίαν τὴν μεγάλην ταύτην, καὶ νῦν ἀποθανοῦμαι τῷ δίψει καὶ ἐμπεσοῦμαι ἐν χειρὶ τῶν ἀπεριτμήτων.

Κρ. 15,18 - Εκεί όμως εδίψασε πάρα πολύ και μετά δακρύων παρεκάλεοε τον Κυριον λέγων· “συ, Κυριε, ευδόκησας με το χέρι εμού του δούλου σου να πραγματοποιηθή η μεγάλη αυτή νίκη κατά των Φιλισταίων εις σωτηρίαν του λαού σου. Λοιπόν τώρα θα αποθάνω από την δίψαν και θα πέσω εις τα χέρια αυτών των απεριτμήτων”.

Κρ. 15,19 - καὶ ἔῤῥηξεν ὁ Θεὸς τὸν λάκκον τὸν ἐν τῇ σιαγόνι, καὶ ἐξῆλθεν ἐξ αὐτοῦ ὕδωρ, καὶ ἔπιε, καὶ ἐπέστρεψε τὸ πνεῦμα αὐτοῦ καὶ ἔζησε. διὰ τοῦτο ἐκλήθη τὸ ὄνομα αὐτῆς Πηγὴ τοῦ ἐπικαλουμένου, ἥ ἐστιν ἐν Σιαγόνι, ἕως τῆς ἡμέρας ταύτης.

Κρ. 15,19 - Ο Θεός διέρρηξε και ήνοιξε λάκκον εις την τοποθεσίαν “Σιαγών”, ανέβλυσεν από αυτήν ύδωρ και έπιεν ο Σαμψών. Συνήλθεν από την κατάστασιν της ατονίας και λιποθυμίας, έζησε και δεν απέθανε. Δια τούτο ωνομάσθη η τοποθεσία εκείνη “Πηγή του επικαλουμένου”. Αυτή δε η πηγή υπάρχει μέχρι σήμερον εις την τοποθεσίαν, που λέγεται “Σιαγών”.

Κρ. 15,20 - καὶ ἔκρινε τὸν Ἰσραὴλ ἐν ἡμέραις ἀλλοφύλων εἴκοσιν ἔτη.

Κρ. 15,20 - Ο Σαμψών έμεινε Κριτής, του Ισραηλιτικού λαού επί είκοσιν έτη από τα τεσσαράκοντα, κατά τα οποία οι Φιλισταίοι κατείχον την γην Ισραήλ.

## ΚΡΙΤΑΙ 16

Κρ. 16,1 - Καὶ ἐπορεύθη Σαμψὼν εἰς Γάζαν· καὶ εἶδεν ἐκεῖ γυναῖκα πόρνην καὶ εἰσῆλθε πρὸς αὐτήν.

Κρ. 16,1 - Ο Σαμψών επήγε εις την πόλιν Γαζαν. Είδεν εκεί γυναίκα πόρνην και εισήλθεν στον οίκον της.

Κρ. 16,2 - καὶ ἀνηγγέλη τοῖς Γαζαίοις λέγοντες· ἥκει Σαμψὼν ὧδε. καὶ ἐκύκλωσαν καὶ ἐνήδρευσαν ἐπ᾿ αὐτὸν ὅλην τὴν νύκτα ἐν τῇ πύλῃ τῆς πόλεως καὶ ἐκώφευσαν ὅλην τὴν νύκτα λέγοντες· ἕως διαφαύσῃ ὁ ὄρθρος, καὶ φονεύσωμεν αὐτόν.

Κρ. 16,2 - Διεδόθη το γεγονός στους κατοίκους της Γαζης και ελέχθη ότι έχει ελθει εδώ ο Σαμψών. Οι κάτοικοι της Γαζης καθ' όλην την νύκτα περιεκύκλωσαν την πόλιν και έστησαν ενέδραν εις την πύλην της πόλεως και ετήρουν σιγήν καθ' όλον το διάστημα της νυκτός λέγοντες μεταξύ των· Ας περιμένωμεν έδω έως ότου φωτίση η πρωΐα, δια να φονεύσωμεν αυτόν όταν εξέλθη.

Κρ. 16,3 - καὶ ἐκοιμήθη Σαμψὼν ἕως μεσονυκτίου· καὶ ἀνέστη ἐν ἡμίσει τῆς νυκτὸς καὶ ἐπελάβετο τῶν θυρῶν τῆς πύλης τῆς πόλεως σὺν τοῖς δυσὶ σταθμοῖς καὶ ἀνεβάσταζεν αὐτὰς σὺν τῷ μοχλῷ καὶ ἔθηκεν ἐπὶ ὤμων αὐτοῦ καὶ ἀνέβη ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους τοῦ ἐπὶ προσώπου τοῦ Χεβρὼν καὶ ἔθηκεν αὐτὰ ἐκεῖ.

Κρ. 16,3 - Ο Σαμψών εκοιμήθη μέχρι του μεσονυκτίου. Κατά δε το μεσονύκτιον ηγέρθη, εβγήκεν από την οικίαν και ελθών εις την θύραν της πόλεως επήρε τα θυρόφυλλα της πύλης μαζή με τους δύο ορθοστάτας και τον μοχλόν, ανεσήκωσε και εφορτώθη αυτά στους ώμους του, ανέβη εις την κορυφήν του όρους από όπου φαίνεται η περιοχή της πόλεως Χεβρών και απέθεσεν αυτά εκεί.

Κρ. 16,4 - Καὶ ἐγένετο μετὰ τοῦτο καὶ ἠγάπησε γυναῖκα ἐν Ἀλσωρήχ, καὶ ὄνομα αὐτῇ Δαλιδά.

Κρ. 16,4 - Επειτα από το γεγονός αυτό ηγάπησεν ο Σαμψών εις την πόλιν Αλσωρήχ μίαν γυναίκα, ονόματι Δαλιδά.

Κρ. 16,5 - καὶ ἀνέβησαν πρὸς αὐτὴν οἱ ἄρχοντες τῶν ἀλλοφύλων καὶ εἶπαν αὐτῇ· ἀπάτησον αὐτόν, καὶ ἰδὲ ἐν τίνι ἡ ἰσχὺς αὐτοῦ ἡ μεγάλη καὶ ἐν τίνι δυνησόμεθα αὐτῷ καὶ δήσομεν αὐτὸν τοῦ ταπεινῶσαι αὐτόν, καὶ ἡμεῖς δώσομέν σοι ἀνὴρ χιλίους καὶ ἑκατὸν ἀργυρίου.

Κρ. 16,5 - Επήγαν προς αυτήν οι άρχοντες των Φιλισταίων και της είπαν· “κοίταξε να ξεγελάσης τον Σαμψών και μάθε που έγκειται η δύναμις αυτού η μεγάλη και με ποίον τρόπον θα κατορθώσωμεν ημείς να τον δέσωμεν και ταπεινωμένον να τον έχωμεν εις τα χέρια μας. Εάν μας δώσης αυτήν την πληροφορίαν, ο καθένας από ημάς θα σου δώση χίλια εκατόν αργυρά νομίσματα (σίκλους)”.

Κρ. 16,6 - καὶ εἶπε Δαλιδὰ πρὸς Σαμψών· ἀπάγγειλον δή μοι ἐν τίνι ἡ ἰσχύς σου ἡ μεγάλη καὶ ἐν τίνι δεθήσῃ τοῦ ταπεινωθῆναί σε.

Κρ. 16,6 - Η Δαλιδά ηρώτησε τον Σαμψών· “πές μου λοιπόν που έγκειται η μεγάλη δύναμίς σου, και με τι τάχα είναι δυνατόν να δεθής, ώστε να σε καταστήση κανείς υποχείριόν του;”

Κρ. 16,7 - καὶ εἶπε πρὸς αὐτὴν Σαμψών· ἐὰν δήσωσί με ἐν ἑπτὰ νευραῖς ὑγραῖς μὴ διεφθαρμέναις, καὶ ἀσθενήσω καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων.

Κρ. 16,7 - Ο Σαμψών της είπε· “εάν με δέσουν με επτά υγράς καινουργείς νευράς αι οποίαι δεν έχουν καθόλου ψθαρή, τότε εγώ θα χάσω την μεγάλην μου δύναμιν και θα είμαι ως ενας από τους συνήθεις ανθρώπους”.

Κρ. 16,8 - καὶ ἀνήνεγκαν αὐτῇ οἱ ἄρχοντες τῶν ἀλλοφύλων ἑπτὰ νευρὰς ὑγρὰς μὴ διεφθαρμένας, καὶ ἔδησεν αὐτὸν ἐν αὐταῖς·

Κρ. 16,8 - Οι άρχοντες των Φιλισταίων έφεραν εις την Δαλιδά επτά σχοινία κατασκευασμένα από νεύρα υγρά και αχρησιμοποίητα, και με αυτά

εκείνη τον έδεσε.

Κρ. 16,9 - καὶ τὸ ἔνεδρον αὐτῇ ἐκάθητο ἐν τῷ ταμιείῳ· καὶ εἶπεν αὐτῷ· ἀλλόφυλοι ἐπὶ σέ, Σαμψών· καὶ διέσπασε τὰς νευράς, ὡς εἴ τις ἀποσπάσοι στρέμμα στυπίου ἐν τῷ ὀσφρανθῆναι αὐτὸ πυρός· καὶ οὐκ ἐγνώσθη ἡ ἰσχὺς αὐτοῦ.

Κρ. 16,9 - Εις το παράπλευρον εσωτερικόν δωμάτιον είχαν στήσει ενέδραν οι Φιλισταίοι. Η Δαλιδά είπε τότε στον Σαμψών· “Σαμψών, αλλόφυλοι ορμουν εναντίον σου” ! Ο Σαμψών έκοψε τότε τας νευράς, όπως ημπορεί να κόψη κανείς μίαν κλωστήν από στουπί την οποίαν έχει εγγίσει η φωτιά. Ετσι δε δεν έγινε γνωστόν πως θα ηχρηστεύετο η δύναμις αυτού.

Κρ. 16,10 - καὶ εἶπε Δαλιδὰ πρὸς Σαμψών· ἰδοὺ ἐπλάνησάς με καὶ ἐλάλησας πρός με ψευδῆ· νῦν οὖν ἀνάγγειλόν μοι ἐν τίνι δεθήσῃ.

Κρ. 16,10 - Η Δαλιδά είπεν στον Σαμψών· “ιδού, ότι με εγέλασες. Μου είπες ψέματα. Τωρα όμως πές μου την αλήθειαν· με τι πρέπει να δεθής, ώστε να μη ημπορής να λυθής”.

Κρ. 16,11 - καὶ εἶπε πρὸς αὐτήν· ἐὰν δεσμεύοντες δήσωσί με ἐν καλωδίοις καινοῖς, οἷς οὐκ ἐγένετο ἐν αὐτοῖς ἔργον, καὶ ἀσθενήσω καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων.

Κρ. 16,11 - Ο Σαμψών της απήντησεν· “εάν με δέσουν καλά με καινούργια σχοινία τα οποία δεν έχουν καθόλου χρησιμοποιηθή, τότε θα είμαι ένας αδύνατος άνθρωπος ωσάν τους άλλους”.

Κρ. 16,12 - καὶ ἔλαβε Δαλιδὰ καλώδια καινὰ καὶ ἔδησεν αὐτὸν ἐν αὐτοῖς· καὶ τὰ ἔνεδρα ἐξῆλθεν ἐκ τοῦ ταμιείου· καὶ εἶπεν· ἀλλόφυλοι ἐπὶ σέ, Σαμψών· καὶ διέσπασεν αὐτὰ ἀπὸ βραχιόνων αὐτοῦ ὡσεὶ σπαρτίον.

Κρ. 16,12 - Η Δαλιδά επήρε σχοινία καινούργια και με αυτά τον έδεσε. Οι ενεδρεύοντες Φιλισταίοι εξήλθον από το δωμάτιον, έτοιμοι να τον συλλάβουν. Η Δαλιδά εφώναξε προς αυτόν· “Σαμψών, αλλόφυλοι έρχονται εναντίον σου”. Εκείνος έσπασε τα δεσμά των χειρών του ως εάν αυτά ήσαν κάποιο αδύνατον νήμα.

Κρ. 16,13 - καὶ εἶπε Δαλιδὰ πρὸς Σαμψών· ἰδοὺ ἐπλάνησάς με καὶ ἐλάλησας πρός με ψευδῆ· ἀνάγγειλον δή μοι ἐν τίνι δεθήσῃ. καὶ εἶπε πρὸς αὐτήν· ἐὰν ὑφάνῃς τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς μου σὺν τῷ διάσματι καὶ ἐγκρούσῃς τῷ πασσάλῳ εἰς τὸν τοῖχον, καὶ ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων ἀσθενής.

Κρ. 16,13 - Του είπε πάλιν η Δαλιδά· “ιδού, με εγέλασες πάλιν και μου είπες ψέματα. Τωρα όμως πές μου, με τι πρέπει να δεθής ώστε να μη σου είναι δυνατόν να λυθής;” Εκείνος της είπε· “εάν υφάνης τας επτά πλεξίδας της κεφαλής μου με το στημόνι του αργαλειού σου και στερεώσης αυτά με ένα πάσσαλον στον τοίχον, θα είμαι τότε τόσον αδύνατος, όσον και ένας από τους άλλους ανθρώπους”.

Κρ. 16,14 - καὶ ἐγένετο ἐν τῷ κοιμᾶσθαι αὐτὸν καὶ ἔλαβε Δαλιδὰ τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς αὐτοῦ καὶ ὕφανεν ἐν τῷ διάσματι καὶ ἔπηξε τῷ πασσάλῳ εἰς τὸν τοῖχον καὶ εἶπεν· ἀλλόφυλοι ἐπὶ σέ, Σαμψών· καὶ ἐξυπνίσθη ἀπὸ τοῦ ὕπνου αὐτοῦ καὶ ἐξῇρε τὸν πάσσαλον τοῦ ὑφάσματος ἐκ τοῦ τοίχου.

Κρ. 16,14 - Οταν κατόπιν ο Σαμψών απεκοιμήθη επήρεν η Δαλιδά τας επτά πλεξίδας της κεφαλής του, τας ύφανε με το στημόνι του αργαλειού της, τας εκάρφωσεν στον τοίχον με πάσσαλον και εφώναξε· “αλλόφυλοι επί σε Σαμψών”. Ο Σαμψών εξύπνησεν από τον ύπνον του και εξεκάρφωσε τον πάσσαλον, επί του οποίου ετυλίγετο το ύφασμα από τον τοίχον όπου ήτο στερεωμένος.

Κρ. 16,15 - καὶ εἶπε πρὸς Σαμψὼν Δαλιδά· πῶς λέγεις, ἠγάπηκά σε, καὶ ἡ καρδία σου οὐκ ἔστι μετ᾿ ἐμοῦ; τοῦτο τρίτον ἐπλάνησάς με καὶ οὐκ ἀπήγγειλάς μοι ἐν τίνι ἡ ἰσχύς σου ἡ μεγάλη.

Κρ. 16,15 - Τοτε παραπονουμένη δήθεν η Δαλιδά του είπε· “πως λέγεις ότι με έχεις αγαπήσει ενώ η καρδιά σου δεν είναι μαζή μου; Τρίτην αυτήν φοράν με εγέλασες και δεν μου είπές που έγκειται η μεγάλη δύναμίς σου”.

Κρ. 16,16 - καὶ ἐγένετο ὅτε ἐξέθλιψεν αὐτὸν ἐν λόγοις αὐτῆς πάσας τὰς ἡμέρας καὶ ἐστενοχώρησεν αὐτόν, καὶ ὠλιγοψύχησεν ἕως τοῦ ἀποθανεῖν·

Κρ. 16,16 - Με τέτοιους λόγους εταλαιπωρούσε κάθε ημέραν η Δαλιδά τον Σαμψών και τον εστενοχωρούσε τόσον μάλιστα πολύ, ώστε εκείνος ελιποθύμησε μέχρι σημείου να πλησίαση τον θάνατον.

Κρ. 16,17 - καὶ ἀνήγγειλεν αὐτῇ πᾶσαν τὴν καρδίαν αὐτοῦ καὶ εἶπεν αὐτῇ· σίδηρος οὐκ ἀνέβη ἐπὶ τὴν κεφαλήν μου, ὅτι ἅγιος Θεοῦ ἐγώ εἰμι ἀπὸ κοιλίας μητρός μου· ἐὰν οὖν ξυρήσωμαι, ἀποστήσεται ἀπ᾿ ἐμοῦ ἡ ἰσχύς μου, καὶ ἀσθενήσω καὶ ἔσομαι ὡς πάντες οἱ ἄνθρωποι.

Κρ. 16,17 - Αποκαμωμένος πλέον ο Σαμψών ήνοιξεν εις αυτήν την καρδίαν του και της εφανέρωσε το μυστικόν του λέγων· “ψαλλίδι δεν έχει ανεβή εις την κεφαλήν μου δια να μου κόψη την κόμην, διότι εγώ είμαι αφιερωμένος στον Θεόν εκ κοιλίας μητρός μου. Εάν λοιπόν ξυρίσω την κεφαλήν μου, θα φύγη από εμέ η δύναμίς μου, θα εξασθενήσω και θα είμαι όπως όλοι οι άλλοι άνθρωποι”.

Κρ. 16,18 - καὶ εἶδε Δαλιδά, ὅτι ἀπήγγειλεν αὐτῇ πᾶσαν τὴν καρδίαν αὐτοῦ, καὶ ἀπέστειλε καὶ ἐκάλεσε τοὺς ἄρχοντας τῶν ἀλλοφύλων, λέγουσα· ἀνάβητε ἔτι τὸ ἅπαξ τοῦτο, ὅτι ἀπήγγειλέ μοι πᾶσαν τὴν καρδίαν αὐτοῦ· καὶ ἀνέβησαν πρὸς αὐτὴν οἱ ἄρχοντες τῶν ἀλλοφύλων καὶ ἀνήνεγκαν τὸ ἀργύριον ἐν χερσὶν αὐτῶν.

Κρ. 16,18 - Η Δαλιδά αντελήφθη ότι αυτήν την φοράν ο Σαμψών ήνοιξε την καρδίαν του και της είπεν όλην την αλήθειαν. Εστειλεν ανθρώπους και εκάλεσε τους αρχηγούς των Φιλισταίων, στους οποίους είπεν· “ελάτε δια

μίαν ακόμη φοράν, διότι τώρα ο Σαμψών μου εφανέρωσεν όλην την αλήθειαν". Ηλθον αρχηγοί των Φιλισταίων φέροντες εις τα χέρια των τους αργυρούς σίκλους, που της είχαν υποσχεθή.

Κρ. 16,19 - καὶ ἐκοίμισε Δαλιδὰ τὸν Σαμψὼν ἐπὶ τὰ γόνατα αὐτῆς· καὶ ἐκάλεσεν ἄνδρα, καὶ ἐξύρησε τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς αὐτοῦ· καὶ ἤρξατο ταπεινῶσαι αὐτόν, καὶ ἀπέστη ἡ ἰσχὺς αὐτοῦ ἀπ᾽ αὐτοῦ.

Κρ. 16,19 - Η Δαλιδά απεκοίμησε τον Σαμψών εις τα γόνατά της και προσεκάλεσεν εναν άνδρα, ο οποίος εξύρισε τας επτά πλεξίδας της κεφαλής του Σαμψών. Ο Σαμψών από τότε περιήλθεν εις τα χέρια των Φιλισταίων και ήρχισεν ο εξευτελισμός του, διότι έφυγε πλέον από αυτόν η θεία δύναμις·

Κρ. 16,20 - καὶ εἶπε Δαλιδά· ἀλλόφυλοι ἐπὶ σέ, Σαμψών. καὶ ἐξυπνίσθη ἐκ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· ἐξελεύσομαι ὡς ἅπαξ καὶ ἅπαξ καὶ ἐκτιναχθήσομαι· καὶ αὐτὸς οὐκ ἔγνω ὅτι ὁ Κύριος ἀπέστη ἀπάνωθεν αὐτοῦ.

Κρ. 16,20 - διότι όταν είπεν εις αυτόν η Δαλιδά· "αλλόφυλοι έρχονται εναντίον σου, Σαμψών"· εκείνος εξύπνησεν από τον ύπνον του και είπε· "θα εξέλθω από εδώ όπως έκαμα και τας άλλας φοράς και θα εκτιναχθώ με δύναμιν". Αλλά δεν εγνώριζεν ότι ο Κυριος και η δύναμις του Κυρίου είχον πλέον απομακρυνθή από αυτόν.

Κρ. 16,21 - καὶ ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι καὶ ἐξέκοψαν τοὺς ὀφθαλμοὺς αὐτοῦ· καὶ κατήνεγκαν αὐτὸν εἰς Γάζαν καὶ ἐπέδησαν αὐτὸν ἐν πέδαις χαλκείαις, καὶ ἦν ἀλήθων ἐν οἴκῳ τοῦ δεσμωτηρίου.

Κρ. 16,21 - Αδύνατον πλέον τον συνέλαβον οι αλλόφυλοι και του έβγαλαν τους οφθαλμούς. Τον κατεβίβασαν εις την Γαζαν και έδεσαν με χαλκίνας χειροπέδας αυτόν και τον υπεχρέωσαν να γυρίζη μυλόπετραν και να αλέθη σίτον εις την φυλακήν.

Κρ. 16,22 - Καὶ ἤρξατο θρὶξ τῆς κεφαλῆς αὐτοῦ βλαστάνειν, καθὼς ἐξυρήσατο.

Κρ. 16,22 - Μετά το ξύρισμα στο οποίον υπεβλήθη, ήρχισαν να φυτρώνουν πάλιν και να αυξάνουν αι τρίχες της κεφαλής του.

Κρ. 16,23 - καὶ οἱ ἄρχοντες τῶν ἀλλοφύλων συνήχθησαν θυσιάσαι θυσίασμα μέγα τῷ Δαγὼν θεῷ αὐτῶν καὶ εὐφρανθῆναι καὶ εἶπαν· ἔδωκεν ὁ Θεὸς ἐν χειρὶ ἡμῶν τὸν Σαμψὼν τὸν ἐχθρὸν ἡμῶν.

Κρ. 16,23 - Μιαν από τας ημέρας εκείνας οι άρχοντες των Φιλισταίων συνεκεντρώθησαν δια να προσφέρουν μεγάλην θυσίαν στον θεόν των Δαγών και να ευφρανθούν λέγοντες· "ο θεός παρέδωσεν εις τα χέρια μας τον Σαμψών, τον εχθρόν μας.

Κρ. 16,24 - καὶ εἶδον αὐτὸν ὁ λαὸς καὶ ὕμνησαν τὸν θεὸν αὐτῶν, ὅτι παρέδωκεν ὁ θεὸς ἡμῶν τὸν ἐχθρὸν ἡμῶν ἐν χειρὶ ἡμῶν, τὸν ἐρημοῦντα τὴν γῆν ἡμῶν, καὶ ὃς ἐπλήθυνε τοὺς τραυματίας ἡμῶν.

Κρ. 16,24 - Ο λαός των Φιλισταίων είδον δέσμιον τον Σαμψών και εδοξολόγησαν τον θεόν των λέγοντες ότι “ο θεός μας παρέδωκεν εις τα χέρια μας τον εχθρόν μας, αυτόν που ερήμωνε την χώραν μας και εφόνευε πολλούς από ημάς”.

Κρ. 16,25 - καὶ ὅτε ἠγαθύνθη ἡ καρδία αὐτῶν, καὶ εἶπαν· καλέσατε τὸν Σαμψὼν ἐξ οἴκου φυλακῆς, καὶ παιξάτω ἐνώπιον ἡμῶν. καὶ ἐκάλεσαν τὸν Σαμψὼν ἐξ οἴκου δεσμωτηρίου, και ἔπαιζεν ἐνώπιον αὐτῶν, καὶ ἐῤῥάπιζον αὐτὸν καὶ ἔστησαν αὐτὸν ἀνὰ μέσον τῶν κιόνων.

Κρ. 16,25 - Οταν δε αι καρδίαι των είχαν ευφρανθή από την εορτήν, είπαν “καλέσατε και φέρετε από την φυλακήν εδώ τον Σαμψών και ας παίξη ενώπιόν μας, δια να διασκεδάσωμεν” Πράγματι μετέφεραν τον Σαμψών από την φυλακήν, τον υπεχρέωναν να παίζη ενώπιόν των, τον ερράπιζαν και τον ετοποθέτησαν όρθιον ανάμεσα από δύο στύλους του οικοδομήματος.

Κρ. 16 ,26 - καὶ εἶπε Σαμψὼν πρὸς τὸν νεανίαν τὸν κρατοῦντα τὴν χεῖρα αὐτοῦ· ἄφες με καὶ ψηλαφήσω τοὺς κίονας, ἐφ᾽ οἷς ὁ οἶκος ἐπ᾽ αὐτούς, καὶ ἐπιστηριχθήσομαι ἐπ᾽ αὐτούς.

Κρ. 16,26 - Είπε δε ο Σαμψών προς τον άνδρα ο οποίος τον κρατούσε από το χέρι, δια να τον οδηγή· “άφησέ με να ψηλαφήσω τους δύο στύλους οι οποίοι υποβαστάζουν το οικοδόμημα τούτο και να στηριχθώ ολίγον εις αυτούς”.

Κρ. 16,27 - καὶ ὁ οἶκος πλήρης τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν, καὶ ἐκεῖ πάντες οἱ ἄρχοντες τῶν ἀλλοφύλων, καὶ ἐπὶ τὸ δῶμα ὡσεὶ τρισχίλιοι ἄνδρες καὶ γυναῖκες οἱ θεωροῦντες ἐν παγνίαις Σαμψών.

Κρ. 16,27 - Το οικοδόμημά ήτο γεμάτο από άνδρας και γυναίκας. Εκεί ήσαν όλοι οι άρχοντες των Φιλισταίων, επάνω δε στο ηλιακωτόν τρεις περίπου χιλιάδες άνδρες και γυναίκες, οι οποίοι παρηκολούθουν τους εμπαιγμούς και εξευτελισμούς του Σαμψών.

Κρ. 16,28 - καὶ ἔκλαυσε Σαμψὼν πρὸς Κύριον, καὶ εἶπεν· Ἀδωναῒὲ Κύριε, μνήσθητι δή μου νῦν καὶ ἐνίσχυσόν με ἔτι τὸ ἅπαξ τοῦτο, Θεέ, καὶ ἀνταποδώσω ἀνταπόδοσιν μίαν περὶ τῶν δύο ὀφθαλμῶν μου τοῖς ἀλλοφύλοις.

Κρ. 16,28 - Ο Σαμψών μέσα εις την θλίψιν του συνησθάνθη το σφάλμα του, έκλαυσεν ενώπιον του Θεού και προσηυχήθη προς αυτόν λέγων· “Αδωναϊέ Κυριε, μνήσθητί μου και τώρα, ενίσχυσέ με μίαν ακόμη φοράν, Θεέ μου, δια να ανταποδώσω σκληράν τιμωρίαν κατά των Φιλισταίων οι οποίοι μου έβγαλαν τα δυο μου μάτια”.

Κρ. 16,29 - καὶ περιέλαβε Σαμψὼν τοὺς δύο κίονας τοῦ οἴκου, ἐφ᾽ οὓς ὁ οἶκος εἱστήκει, καὶ ἐπεστηρίχθη ἐπ᾽ αὐτοὺς καὶ ἐκράτησεν ἕνα τῇ δεξιᾷ αὐτοῦ καὶ ἕνα τῇ ἀριστερᾷ αὐτοῦ.

Κρ. 16,29 - Αγκάλιασε ο Σαμψών τους δύο στύλους επάνω στους οποίους υπεβαστάζετο ο οίκος, εστηρίχθη εις αυτούς, εκράτησε τον ένα στύλον με το δεξί του χέρι και τον άλλον με το αριστερόν,

Κρ. 16,30 - καὶ εἶπε Σαμψών· ἀποθανέτω ψυχή μου μετὰ τῶν ἀλλοφύλων· καὶ ἐβάσταξεν ἐν ἰσχύϊ, καὶ ἔπεσεν ὁ οἶκος ἐπὶ τοὺς ἄρχοντας καὶ ἐπὶ πάντα τὸν λαὸν τὸν ἐν αὐτῷ· καὶ ἦσαν οἱ τεθνηκότες, οὓς ἐθανάτωσε Σαμψὼν ἐν τῷ θανάτῳ αὐτοῦ, πλείους ἢ οὓς ἐθανάτωσεν ἐν τῇ ζωῇ αὐτοῦ.

Κρ. 16,30 - και είπε μεγαλοφώνως· “ας αποθάνω μαζή με τους αλλοφύλους”. Εκράτησε και συνεκλόνισε με δύναμιν τους στύλους και κατεκρημνίσθη όλον το οικοδόμημα επάνω στους άρχοντας και επάνω στον λαόν των Φιλισταίων που ευρίσκοντο εντός αυτού. Αυτοί τους οποίους εφόνευσεν ο Σαμψών εκεί κατά τον θάνατόν του ήσαν περισσότεροι από όσους είχε φονεύσει κατά το διάστημα της ζωής του.

Κρ. 16,31 - καὶ κατέβησαν οἱ ἀδελφοὶ αὐτοῦ καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ καὶ ἔλαβον αὐτὸν καὶ ἀνέβησαν καὶ ἔθαψαν αὐτὸν ἀνὰ μέσον Σαραὰ καὶ ἀνὰ μέσον Ἐσθαὸλ ἐν τῷ τάφῳ Μανωὲ τοῦ πατρὸς αὐτοῦ. καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσιν ἔτη.

Κρ. 16,31 - Οι ομοεθνείς του Σαμψών και οι συγγενείς αυτού κατέβησαν εις την Γαζαν, έλαβαν το νεκρόν σώμα του Σαμψών, ανέβησαν και έθαψαν αυτόν μεταξύ Σαραά και Εσθαόλ στον τάφον του πατρός του, του Μανωέ. Ο Σαμψών έκρινε τον Ισραήλ επί είκοσιν έτη.

## ΚΡΙΤΑΙ 17

Κρ. 17,1 - Καὶ ἐγένετο ἀνὴρ ἀπὸ ὄρους Ἐφραίμ, καὶ ὄνομα αὐτῷ Μιχαίας.

Κρ. 17,1 - Εζούσε τότε ενας άνθρωπος καταγόμενος από την ορεινήν περιοχήν της φυλής Εφραίμ, ονόματι Μιχαίας.

Κρ. 17,2 - καὶ εἶπε τῇ μητρὶ αὐτοῦ· οἱ χίλιοι καὶ ἑκατόν, οὓς ἔλαβες ἀργυρίου σεαυτῇ καί με ἠράσω καὶ προσεῖπας ἐν ὠσί μου, ἰδοὺ τὸ ἀργύριον παρ᾿ ἐμοί, ἐγὼ ἔλαβον αὐτό. καὶ εἶπεν ἡ μήτηρ αὐτοῦ· εὐλογητὸς ὁ υἱός μου τῷ Κυρίῳ.

Κρ. 17,2 - Είπεν αυτός εις την μητέρα του· “οι χίλιοι εκατόν αργυροί σίκλοι, τους οποίους εκρατούσες δια τον εαυτόν σου και κατηράσθης αυτόν που σου τους εκλέψε, εμέ κατηράσθης, όπως το ήκουσα με τα αυτιά μου, διότι εγώ έκλεψα τα χρήματα. Ιδού το αργύριον ευρίσκεται πλησίον μου”. Είπε τότε η μητέρα του· “ας είναι ευλογημένος από τον Κυριον ο υιός μου”.

Κρ. 17,3 - καὶ ἀπέδωκε τοὺς χιλίους καὶ ἑκατὸν τοῦ ἀργυρίου τῇ μητρὶ αὐτοῦ· καὶ εἶπεν ἡ μήτηρ αὐτοῦ· ἁγιάζουσα ἡγίασα τὸ ἀργύριον τῷ Κυρίῳ

ἐκ τῆς χειρός μου τῷ υἱῷ μου τοῦ ποιῆσαι γλυπτὸν καὶ χωνευτόν, καὶ νῦν ἀποδώσω αὐτό σοι.

Κρ. 17,3 - Ο Μιχαίας έδωσεν εις την μητέρα του τους χιλίους εκατόν σίκλους αργυρίου. Η δε μητέρα του είπεν· “έταξα να αφιερώσω με τα ίδια μου τα χέρια στον Κυριον το αργύριον αυτό προς χάριν του υιού μου δια να κατασκευασθή χωνευτόν και γλυπτόν άγαλμα. Τωρα όμως θα παραδώσω εις σε αυτό”.

Κρ. 17,4 - καὶ ἀπέδωκε τὸ ἀργύριον τῇ μητρὶ αὐτοῦ· καὶ ἔλαβεν ἡ μήτηρ αὐτοῦ διακοσίους ἀργυρίου καὶ ἔδωκεν αὐτὸ ἀργυροκόπῳ, καὶ ἐποίησεν αὐτὸ γλυπτὸν καὶ χωνευτόν· καὶ ἐγενήθη ἐν οἴκῳ Μιχαία.

Κρ. 17,4 - Ο Μιχαίας όμως επέστρεψε το πόσον εις την μητέρα του. Εκείνη επήρεν από αυτό διακοσίους αργυρούς σίκλους, έδωσεν αυτούς εις αργυροκόπον και εκείνος τους έλυωσε εις χωνευτήριον και κατεσκεύασεν άγαλμα χωνευτόν και γλυπτόν. Αυτό δε μετεφέρθη στον οίκον του Μιχαία.

Κρ. 17,5 - καὶ ὁ οἶκος Μιχαία, αὐτῷ οἶκος Θεοῦ· καὶ ἐποίησεν ἐφὼδ καὶ θεραφὶν καὶ ἐπλήρωσε τὴν χεῖρα ἀπὸ ἑνὸς υἱῶν αὐτοῦ, καὶ ἐγένετο αὐτῷ εἰς ἱερέα.

Κρ. 17,5 - Ετσι δε ο οίκος Μιχαία έγινε δι' αυτόν ναός Θεού. Κατεσκεύασεν επίσης ο Μιχαίας ένα ιερατικόν άμφιον, εφώδ και ένα άγαλμα θεραφίν, καθιέρωσε δε και εχειροτόνησεν έναν από τους υιούς του ως ιερέα, τον οποίον και είχεν ιερέα του στον ναόν αυτόν.

Κρ. 17,6 - ἐν δὲ ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ· ἀνὴρ τὸ εὐθὲς ἐν ὀφθαλμοῖς αὐτοῦ ἐποίει.

Κρ. 17,6 - Κατά την εποχήν δηλαδή εκείνην δεν υπήρχε βασιλεύς στον ισραηλιτικόν λαόν και ο καθένας έκανε ο,τι του εφαίνετο ορθόν και ευχάριστον εις τα μάτια του.

Κρ. 17,7 - Καὶ ἐγενήθη νεανίας ἐκ Βηθλεὲμ δήμου Ἰούδα, καὶ αὐτὸς Λευίτης, καὶ οὗτος παρῴκει ἐκεῖ.

Κρ. 17,7 - Εζούσεν επίσης τότε ένας νέος από την Βηθλεέμ της φυλής Ιούδα, ο οποίος ήτο Λευίτης και κατοικούσεν εις την Βηθλεέμ.

Κρ. 17,8 - καὶ ἐπορεύθη ὁ ἀνὴρ ἀπὸ Βηθλεὲμ τῆς πόλεως Ἰούδα παροικῆσαι ἐν ᾧ ἐὰν εὕρῃ τόπῳ, καὶ ἦλθεν ἕως ὄρους Ἐφραὶμ καὶ ἕως οἴκου Μιχαία τοῦ ποιῆσαι ὁδὸν αὐτοῦ.

Κρ. 17,8 - Αυτός μετέβη από την Βηθλεέμ, την πόλιν της Ιουδαίας, να εγκατασταθή, όπου θα εύρισκε τόπον κατάλληλον. Ηλθεν εις την ορεινήν περιοχήν της φυλής Εφραίμ, έφθασε έως στον οίκον του Μιχαία, δια να συνεχίση τον δρόμον του.

Κρ. 17,9 - καὶ εἶπεν αὐτῷ Μιχαίας· πόθεν ἔρχῃ; καὶ εἶπε πρὸς αὐτόν· Λευίτης εἰμὶ ἐκ Βηθλεὲμ Ἰούδα, καὶ ἐγὼ πορεύομαι παροικῆσαι ἐν ᾧ ἐὰν εὕρω τόπῳ.

Κρ. 17,9 - Ηρώτησεν αυτόν ο Μιχαίας· “από που έρχεσαι;” Εκείνος του απήντησεν· “εγώ είμαι Λευίτης από την Βηθλεέμ της Ιουδαίας και πηγαίνω να εγκατασταθώ όπου εύρω κατάλληλον δι' εμέ τόπον”.

Κρ. 17,10 - καὶ εἶπεν αὐτῷ Μιχαίας· κάθου μετ᾿ ἐμοῦ καὶ γίνου μοι εἰς πατέρα καὶ εἰς ἱερέα, καὶ ἐγὼ δώσω σοι δέκα ἀργυρίου εἰς ἡμέραν καὶ στολὴν ἱματίων καὶ τὰ πρὸς ζωήν σου.

Κρ. 17,10 - Ο Μιχαίας του είπε· “μείνε μαζή μου και γίνε δι' εμέ πνευματικός πατήρ και ιερεύς. Εγώ δε θα σου δίδω κάθε ημέραν δέκα αργυρά νομίσματα, τα ενδύματά σου και όλα όσα χρειάζονται προς συντήρησίν σου”.

Κρ. 17,11 - καὶ ἐπορεύθη ὁ Λευίτης καὶ ἤρξατο παροικεῖν παρὰ τῷ ἀνδρί, καὶ ἐγενήθη ὁ νεανίας αὐτῷ ὡς εἷς ἀπὸ υἱῶν αὐτοῦ.

Κρ. 17,11 - Ο Λευίτης εδέχθη την πρότασιν και χωρίς αναβολήν εγκατεστάθη πλησίον του ανθρώπου αυτού. Ο νεαρός αυτός Λευίτης ηγαπήθη από τον Μιχαίαν και εγινεν ωσάν ενας από τους υιούς του.

Κρ. 17,12 - καὶ ἐπλήρωσε Μιχαίας τὴν χεῖρα τοῦ Λευίτου, καὶ ἐγένετο αὐτῷ εἰς ἱερέα καὶ ἐγένετο ἐν τῷ οἴκῳ Μιχαία.

Κρ. 17,12 - Ο Μιχαίας καθιέρωσεν αυτόν ως ιερέα του και αυτός έγινε πράγματι ιερεύς στον οίκον του Μιχαία.

Κρ. 17,13 - καὶ εἶπε Μιχαίας· νῦν ἔγνων ὅτι ἀγαθυνεῖ μοι Κύριος, ὅτι ἐγένετό μοι ὁ Λευίτης εἰς ἱερέα.

Κρ. 17,13 - Είπε δε τότε ο Μιχαίας· “τώρα αντελήφθην καλά ότι ο Κυριος θα με ελεήση και θα μου στείλη αγαθά, διότι έχω αυτόν τον Λευίτην ως ιερέα.

## ΚΡΙΤΑΙ 18

Κρ. 18,1 - Ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ἡ φυλὴ Δὰν ἐζήτει ἑαυτῇ κληρονομίαν κατοικῆσαι, ὅτι οὐκ ἐνέπεσεν αὐτῇ ἕως τῆς ἡμέρας ἐκείνης ἐν μέσῳ φυλῶν υἱῶν Ἰσραὴλ κληρονομία.

Κρ. 18,1 - Κατά την εποχήν εκείνην δεν υπήρχε βασιλεύς μεταξύ των Ισραηλιτών. Τας ημέρας δε εκείνας η φυλή του Δαν αναζητούσε δια τον εαυτόν της περιοχήν δια να εγκατασταθή, επειδή έως τότε δεν είχεν υπό την δικαιοδοσίαν της την περιοχήν που είχε κληροδοτηθή εις αυτήν μεταξύ των άλλων φύλων του Ισραήλ.

Κρ. 18,2 - καὶ ἀπέστειλαν οἱ υἱοὶ Δὰν ἀπὸ δήμων αὐτῶν πέντε ἄνδρας υἱοὺς δυνάμεως ἀπὸ Σαραὰ καὶ ἀπὸ Ἐσθαὸλ τοῦ κατασκέψασθαι τὴν γῆν καὶ ἐξιχνιάσαι αὐτὴν καὶ εἶπαν πρὸς αὐτούς· πορεύεσθε καὶ ἐξιχνιάσατε τὴν

γῆν. καὶ ἦλθον ἕως ὄρους Ἐφραὶμ ἕως οἴκου Μιχαία καὶ ηὐλίσθησαν αὐτοὶ ἐκεῖ

Κρ. 18,2 - Οι της φυλής Δαν εξέλεξαν από τας οικογενείας της φυλής πέντε γενναίους άνδρας και τους έστειλαν από τας πόλεις Σαραά και Εσθαόλ να κατασκοπεύσουν την χώραν, να εξερευνήσουν αυτήν και τους είπαν· "πηγαίνετε και εξερευνήσατε την χώραν της Παλαιστίνης". Οι πέντε αυτοί κατάσκοποι ήλθον εις την ορεινήν περιοχήν Εφραίμ, έφθασαν έως τον οίκον του Μιχαία και κατέλυσαν εκεί,

Κρ. 18,3 - ἐν οἴκῳ Μιχαία, καὶ αὐτοὶ ἐπέγνωσαν τὴν φωνὴν τοῦ νεανίσκου τοῦ Λευίτου καὶ ἐξέκλιναν ἐκεῖ καὶ εἶπαν αὐτῷ· τίς ἤνεγκέ σε ὧδε, καὶ σὺ τί ποιεῖς ἐν τῷ τόπῳ τούτῳ, καὶ τί σοι ὧδε;

Κρ. 18,3 - στον οίκον του Μιχαία. Αυτοί ανεγνώρισαν από την λαλιάν του τον νεαρόν εκείνον Λευίτην, ελοξοδρόμησαν εκεί και τον ηρώτησαν· "ποιός σε έφερεν εδώ και τι κάνεις στον τόπον τούτον; Ποία η απασχόλησίς σου εδώ;"

Κρ. 18,4 - καὶ εἶπε πρὸς αὐτούς· οὕτω καὶ οὕτως ἐποίησέ μοι Μιχαίας καὶ ἐμισθώσατό με, καὶ ἐγενόμην αὐτῷ εἰς ἱερέα.

Κρ. 18,4 - Εκείνος τους απήντησε· "αυτά και αυτά μου επρότεινεν ο Μιχαίας, εγώ εδέχθην, έγινα εις αυτόν ιερεύς και εργάζομαι εδώ ως μισθωτός του".

Κρ. 18,5 - καὶ εἶπαν αὐτῷ· ἐπερώτησον δὴ ἐν τῷ Θεῷ, καὶ γνωσόμεθα εἰ εὐοδωθήσεται ἡ ὁδὸς ἡμῶν, ἐν ᾗ ἡμεῖς πορευόμεθα ἐν αὐτῇ.

Κρ. 18,5 - Εκείνοι είπαν προς αυτόν· "ερώτησε, σε παρακαλούμεν, τον Θεόν δια να μάθωμεν εάν θα κατευοδωθή το ταξίδιόν μας, ο σκοπός δια τον οποίον πορευόμεθα".

Κρ. 18,6 - καὶ εἶπεν αὐτοῖς ὁ ἱερεύς· πορεύεσθε ἐν εἰρήνῃ· ἐνώπιον Κυρίου ἡ ὁδὸς ὑμῶν, ἐν ᾗ πορεύεσθε ἐν αὐτῇ.

Κρ. 18,6 - Είπε δε προς αυτούς ο Λευίτης εκείνος ιερεύς· "πηγαίνετε ειρηνικοί, ο δρόμος και ο σκοπός σας είναι με την ευλογίαν του Κυρίου".

Κρ. 18,7 - καὶ ἐπορεύθησαν οἱ πέντε ἄνδρες καὶ ἦλθον εἰς Λαισά· καὶ εἶδαν τὸν λαὸν τὸν ἐν μέσῳ αὐτῆς καθήμενον ἐπ᾿ ἐλπίδι, ὡς κρίσις Σιδωνίων ἡσυχάζουσα, καὶ οὐκ ἔστι διατρέπων ἢ καταισχύνων λόγον ἐν τῇ γῇ, κληρονόμος ἐκπιέζων θησαυρούς, καὶ μακράν εἰσι Σιδωνίων καὶ λόγον οὐκ ἔχουσι πρὸς ἄνθρωπον.

Κρ. 18,7 - Οι πέντε εκείνοι άνδρες συνέχισαν την πορείαν των και ήλθον εις Λαισά. Είδον τον λαόν τον κατοικούντα εις την πόλιν αυτήν να κάθεται αμέριμνος και ύσυχος όπως ήσυχοι κατοικούσαν οι άνρωποι της μεγάλης πόλεως Σιδών. Εις την πόλιν αυτήν Λαισά δεν υπήρχε κανείς που να φιλονική με τον άλλον, να εντροπιάζη και να εξευτελίζη με τα λόγια του ο ενας τον άλλον, ούτε και κληρονόμος επιζητών δια της βίας να κληρονομήση

θησαυρούς. Επί πλέον ήσαν μακράν από τους κατοίκους της Σιδώνος και δεν είχαν καμμίαν διαφοράν προς κανένα άνθρωπον από τους γύρω λαούς.

Κρ. 18,8 - καὶ ἦλθον οἱ πέντε ἄνδρες πρὸς τοὺς ἀδελφοὺς αὐτῶν εἰς Σαραὰ καὶ Ἐσθαὸλ καὶ εἶπον τοῖς ἀδελφοῖς αὐτῶν· τί ὑμεῖς κάθησθε;

Κρ. 18,8 - Οι πέντε κατάσκοποι επανήλθαν στους αδελφούς των εις Σαραά και Εσθαόλ και είπαν προς αυτούς· "τι καθέσθε εδώ και χάνετε τον καιρόν σας;"

Κρ. 18,9 - καὶ εἶπαν· ἀνάστητε καὶ ἀναβῶμεν ἐπ᾿ αὐτούς, ὅτι εἴδομεν τὴν γῆν καὶ ἰδοὺ ἀγαθὴ σφόδρα· καὶ ὑμεῖς ἡσυχάζετε; μὴ ὀκνήσητε τοῦ πορευθῆναι καὶ εἰσελθεῖν τοῦ κληρονομῆσαι τὴν γῆν.

Κρ. 18,9 - Και εν συνεχεία τους είπαν· "σηκωθήτε και ετοιμασθήτε να βαδίσωμεν εναντίον των ανθρώπων εκείνων, διότι κατεσκοπεύσαμεν την χώραν των και την είδομεν πολύ εύφορον και πλουσίαν. Και σεις ακόμη ησυχάζετε εδώ; Μη αμελήσετε να βαδίσετε και να εισέλθετε εις την χώραν εκείνην και να την κατακτήσετε ως ιδικήν σας πλέον.

Κρ. 18,10 - καὶ ἡνίκα ἐὰν ἔλθητε, εἰσελεύσεσθε πρὸς λαὸν ἐπ᾿ ἐλπίδι, καὶ ἡ γῆ πλατεῖα, ὅτι ἔδωκεν αὐτὴν ὁ Θεός ἐν χειρὶ ὑμῶν, τόπος, ὅπου οὐκ ἔστιν ἐκεῖ ὑστέρημα παντὸς ῥήματος τῶν ἐν τῇ γῇ.

Κρ. 18,10 - Οταν δε εισέλθετε δια την κατάκτησιν αυτής της χώρας θα βρήτε ένα λαόν ήσυχον και ειρηνικόν και μίαν χώραν ευρείαν και πλουσίαν. Ο δε Θεός, όπως μας επληροφόρησεν ο Λευίτης ιερεύς, έχει παραδώσει εις τα χέρια σας την χώραν αυτήν, από την οποίαν τίποτε δεν λείπει".

Κρ. 18,11 - Καὶ ἀπῇραν ἐκεῖθεν ἀπὸ δήμων τοῦ Δὰν ἀπὸ Σαραὰ καὶ ἀπὸ Ἐσθαὸλ ἑξακόσιοι ἄνδρες ἐζωσμένοι σκεύη παρατάξεως.

Κρ. 18,11 - Αμέσως εξακόσιοι άνδρες από τους δήμους της φυλής Δαν εξεκίνησαν ζωσμένοι με τα πολεμικά των όπλα, από τας πόλεις Σαραά και Εσθαόλ.

Κρ. 18,12 - καὶ ἀνέβησαν καὶ παρενέβαλον ἐν Καριαθιαρὶμ ἐν Ἰούδα· διὰ τοῦτο ἐκλήθη ἐν ἐκείνῳ τῷ τόπῳ Παρεμβολὴ Δὰν ἕως τῆς ἡμέρας ταύτης, ἰδοὺ ὀπίσω Καριαθιαρίμ.

Κρ. 18,12 - Ανέβησαν και εστρατοπέδευσαν εις την πόλιν Καριαθιαρίμ της φυλής Ιούδα. Δι' αυτό και ο τόπος εκείνος ωνομάσθη "Στρατόπεδον Δαν" μέχρι της ημέρας αυτής. Η τοποθεσία αυτή ευρίσκεται εις τα δυτικά της Καριαθιαρίμ.

Κρ. 18,13 - καὶ παρῆλθον ἐκεῖθεν ὄρος Ἐφραὶμ καὶ ἦλθον ἕως οἴκου Μιχαία.

Κρ. 18,13 - Από εκεί ανέβησαν εις την ορεινήν περιοχήν της φυλής Εφραίμ και ήλθον έως στον οίκον του Μιχαία.

Κρ. 18,14 - καὶ ἀπεκρίθησαν οἱ πέντε ἄνδρες οἱ πορευόμενοι κατασκέψασθαι τὴν γῆν Λαισὰ καὶ εἶπαν πρὸς τοὺς ἀδελφούς· ἔγνωτε ὅτι

ἐστὶν ἐν τῷ οἴκῳ τούτῳ ἐφὼδ καὶ θεραφὶν καὶ γλυπτὸν καὶ χωνευτόν; καὶ νῦν γνῶτε ὅ,τι ποιήσετε.

Κρ. 18,14 - Οι πέντε άνδρες οι οποίοι είχαν προηγουμένως πορευθή δια να κατασκοπεύσουν την χώραν Λαισά, είπαν τότε προς τους ομοφύλους των· “γνωρίζετε ότι στον οίκον τούτον του Μιχαία υπάρχει ιερατικόν άμφιον εφώδ, θεραφίν, χωνευτόν και γλυπτόν άγαλμα; Μαθετέ το τώρα και κάμετε ο,τι νομίζετε”.

Κρ. 18,15 - καὶ ἐξέκλιναν ἐκεῖ καὶ εἰσῆλθον εἰς τόν οἶκον τοῦ νεανίσκου τοῦ Λευίτου, εἰς τὸν οἶκον Μιχαία, καὶ ἠρώτησαν αὐτὸν εἰς εἰρήνην.

Κρ. 18,15 - Οι πέντε αυτοί άνδρες ελοξοδρόμησαν προς τα εκεί, εισήλθον στον οίκον του νεαρού Λευίτου ιερέως, στον οίκον του Μιχαία και εχαιρέτησαν αυτόν χαιρετισμόν ειρήνης.

Κρ. 18,16 - καὶ οἱ ἑξακόσιοι ἄνδρες οἱ ἀνεζωσμένοι τὰ σκεύη τῆς παρατάξεως αὐτῶν ἑστῶτες παρὰ θύρας τῆς πύλης, οἱ ἐκ τῶν υἱῶν Δάν.

Κρ. 18,16 - Οι δε άλλοι εξακόσιοι άνδρες, οι της φυλής Δαν, οι ωπλισμένοι με τα πολεμικά των σκεύη, έμειναν όρθιοι εις την εξωτερικήν πύλην της αγροτικής αυτής κατοικίας.

Κρ. 18,17 - καὶ ἀνέβησαν οἱ πέντε ἄνδρες οἱ πορευθέντες κατασκέψασθαι τὴν γῆν καὶ εἰσῆλθον ἐκεῖ εἰς οἶκον Μιχαία, καὶ ὁ ἱερεὺς ἑστώς·

Κρ. 18,17 - Εν τω μεταξύ οι πέντε άνδρες, οι οποίοι είχαν προηγουμένως κατασκοπεύσει την χώραν, εισήλθον στον οίκον του Μιχαία. Ο Λευίτης ιερεύς ήτο όρθιος.

Κρ. 18,18 - καὶ ἔλαβον τὸ γλυπτὸν καὶ τὸ ἐφὼδ καὶ τὸ θεραφὶν καὶ τὸ χωνευτόν. καὶ εἶπε πρὸς αὐτοὺς ὁ ἱερεύς· τί ὑμεῖς ποιεῖτε;

Κρ. 18,18 - Εκείνοι ήρπασαν το γλυπτόν άγαλμα, το ιερατικόν ένδυμα εφώδ και το χυτόν άγαλμα. Ο Λευίτης- ιερεύς είπε προς αυτούς· “τι είναι αυτό που κάνετε;”

Κρ. 18,19 - καὶ εἶπαν αὐτῷ· κώφευσον, ἐπίθες τὴν χεῖρά σου ἐπὶ τὸ στόμα σου καὶ δεῦρο μεθ᾿ ἡμῶν καὶ γένου ἡμῖν εἰς πατέρα καὶ εἰς ἱερέα· μὴ ἀγαθὸν εἶναί σε ἱερέα οἴκου ἀνδρὸς ἑνὸς ἢ γενέσθαι σε ἱερέα φυλῆς καὶ οἴκου εἰς δῆμον Ἰσραήλ;

Κρ. 18,19 - Εκείνοι του είπαν· “πάψε· βούλωσε το στόμα σου με το χέρι σου, έλα μαζή μας και γίνε εις ημάς πνευματικός πατήρ και ιερεύς. Είναι, τάχα, καλύτερον δια σε να είσαι ιερεύς στον οίκον ενός μόνον ανδρός η να γίνης ιερεύς μιας ολοκλήρου φυλής, μιας μεγάλης οικογενείας του ισραηλιτικού λαού;”

Κρ. 18,20 - καὶ ἠγαθύνθη ἡ καρδία τοῦ ἱερέως, καὶ ἔλαβε τὸ ἐφὼδ καὶ τὸ θεραφὶν καὶ τὸ γλυπτὸν καὶ τὸ χωνευτὸν καὶ ἦλθεν ἐν μέσῳ τοῦ λαοῦ.

Κρ. 18,20 - Η καρδία του ιερέως ηυχαριστήθη από την πρότασιν αυτήν. Επήρεν ο ίδιος το εφώδ, το θεραφίν, το γλυπτόν και το χωνευτόν άγαλμα και ήλθε μαζή των εν μέσω των εξακοσίων εκείνων στρατιωτών.

Κρ. 18,21 - καὶ ἐπέστρεψαν καὶ ἀπῆλθαν· καὶ ἔθηκαν τὰ τέκνα καὶ τὴν κτῆσιν καὶ τὸ βάρος ἔμπροσθεν αὐτῶν.

Κρ. 18,21 - Επέστρεψαν κατόπιν όλοι και έφυγαν από εκεί. Εβαλαν εμπρός από την παράταξίν των τα παιδιά των, τα ζώα των και όλα τα άλλα πράγματά των.

Κρ. 18,22 - αὐτοὶ ἐμάκρυναν ἀπὸ οἴκου Μιχαία καὶ ἰδοὺ Μιχαίας καὶ οἱ ἄνδρες οἱ ἐν ταῖς οἰκίαις ταῖς μετὰ οἴκου Μιχαία ἐβόησαν καὶ κατελάβοντο τοὺς υἱοὺς Δάν.

Κρ. 18,22 - Είχον πλέον απομακρυνθή από την έπαυλιν του Μιχαία και ιδού ο Μιχαίας και οι άνδρες οι οποίοι κατοικούσαν εις οικίας κοντά στον οίκον του Μιχαία, ενεφανίσθησαν, εφώναξαν και επλησίασαν τους άνδρας της φυλής Δαν.

Κρ. 18,23 - καὶ ἐπέστρεψαν οἱ υἱοὶ Δὰν τὸ πρόσωπον αὐτῶν καὶ εἶπαν τῷ Μιχαίᾳ· τί ἐστί σοι, ὅτι ἐβόησας;

Κρ. 18,23 - Οι άνδρες της φυλής Δαν εστράφησαν οπίσω προς αυτούς και είπαν στον Μιχαίαν· “τι έχεις και κραυγάζεις;” Ο Μιχαίας απήντησε·

Κρ. 18,24 - καὶ εἶπε Μιχαίας· ὅτι τὸ γλυπτόν μου, ὃ ἐποίησα, ἐλάβετε καὶ τὸν ἱερέα καὶ ἐπορεύθητε· καὶ τί μοι ἔτι; καὶ τί τοῦτο λέγετε πρός με· τί κράζεις;

Κρ. 18,24 - “φωνάζω διότι μου επήρατε το γλυπτόν το οποίον κατεσκεύασα και τον ιερέα μου και εφύγατε. Τι άλλο ηθέλατε να μου κάμετε και μου λέγετε τώρα τι κραυγάζεις;”

Κρ. 18,25 - καὶ εἶπαν πρὸς αὐτὸν οἱ υἱοὶ Δάν· μὴ ἀκουσθήτω δὴ φωνή σου μεθ᾿ ἡμῶν, μή ποτε συναντήσωσιν ἡμῖν ἄνδρες πικροὶ ψυχῇ καὶ προσθήσουσι ψυχήν σου καὶ τὴν ψυχὴν τοῦ οἴκου σου.

Κρ. 18,25 - Οι άνδρες της φυλής Δαν του είπαν· “μη ακουσθή πλέον φωνή από το στόμα σου προς ημάς, διότι υπάρχουν μεταξύ μας άνδρες οξύθυμοι και σκληροί μήπως και ορμήσουν εναντίον σου και αφαιρέσουν την ζωήν την ιδικήν σου και την ζωήν όλων των ανθρώπων του οίκου σου”.

Κρ. 18,26 - καὶ ἐπορεύθησαν οἱ υἱοὶ Δὰν εἰς ὁδὸν αὐτῶν· καὶ εἶδε Μιχαίας ὅτι δυνατώτεροί εἰσιν ὑπὲρ αὐτόν, καὶ ἐπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ.

Κρ. 18,26 - Επειτα από τους λόγους αυτούς οι άνδρες της φυλής Δαν συνέχισαν τον δρόμον των. Ο Μιχαίας είδεν ότι εκείνοι είναι ισχυρότεροι από αυτόν και επέστρεψεν στον οίκον του.

Κρ. 18,27 - καὶ οἱ υἱοὶ Δὰν ἔλαβον ὃ ἐποίησε Μιχαίας, καὶ τὸν ἱερέα, ὃς ἦν αὐτῷ, καὶ ἦλθον ἐπὶ Λαισά, ἐπὶ λαὸν ἡσυχάζοντα καὶ πεποιθότα ἐπ᾿

ἐλπίδι καὶ ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας καὶ τὴν πόλιν ἐνέπρησαν ἐν πυρί·

Κρ. 18,27 - Οι άνδρες της φυλής Δαν έχοντες μαζή των όσα ιερά αντικείμενα είχε κατασκευάσει ο Μιχαίας και τον ιερέα του, ήλθον εις την πόλιν Λαισά, την οποίαν κατοικούσαν άνθρωποι ήσυχοι με ακλόνητον την ελπίδα δια την ησυχίαν των. Οι άνδρες της φυλής Δαν επετέθησαν εναντίον των και τους κατέστρεψαν, την δε πόλιν των παρέδωκαν στο πυρ.

Κρ. 18,28 - καὶ οὐκ ἦν ὁ ῥυόμενος, ὅτι μακράν ἐστιν ἀπὸ Σιδωνίων, καὶ λόγος οὐκ ἔστιν αὐτοῖς μετὰ ἀνθρώπου, καὶ αὐτὴ ἐν τῇ κοιλάδι τοῦ οἴκου Ῥαάβ. καὶ ᾠκοδόμησαν τὴν πόλιν καὶ κατεσκήνωσαν ἐν αὐτῇ

Κρ. 18,28 - Κανείς δεν έσπευσε να τους γλυτώση διότι η πόλις των ήτο πολύ μακράν από την Σιδώνα και διότι ακόμη δεν είχον καμμίαν αυτοί επικοινωνίαν με άλλον τινά γειτονικόν λαόν. Εξ άλλου η πόλις των ευρίσκετο μεμονωμένη και ανοχύρωτος εις την κοιλάδα του οίκου Ραάβ. Οι άνδρες της φυλής Δαν ανοικοδόμησαν την πόλιν και εγκατεστάθησαν εις αυτήν.

Κρ. 18,29 - καὶ ἐκάλεσαν τὸ ὄνομα τῆς πόλεως Δὰν ἐν ὀνόματι Δὰν πατρὸς αὐτῶν, ὃς ἐτέχθη τῷ Ἰσραήλ· καὶ ἦν Οὐλαμαΐς ὄνομα τῆς πόλεως τὸ πρότερον.

Κρ. 18,29 - Εδωσαν δε νέον όνομα εις αυτήν, το όνομα του προπάτορός των, του Δαν, ο οποίος ήτο υιός του Ισραήλ. Το προηγούμενον όνομα της πόλεως ήτο Ουλαμαΐς.

Κρ. 18,30 - καὶ ἔστησαν ἑαυτοῖς οἱ υἱοὶ Δὰν τὸ γλυπτόν· καὶ Ἰωνάθαν υἱὸς Γηρσὼν υἱὸς Μανασσῆ, αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ ἦσαν ἱερεῖς τῇ φυλῇ Δὰν ἕως ἡμέρας τῆς ἀποικίας τῆς γῆς.

Κρ. 18,30 - Εκεί οι άνδρες της φυλής Δαν έστησαν το γλυπτόν άγαλμα. Ο δε Ιωνάθαν, υιός του Γηρσών, υιού του Μανασσή, αυτός και οι υιοί του έγιναν ιερείς εις την φυλήν Δαν μέχρι της εποχής κατά την οποίαν αυτοί εζούσαν μακράν από την πατρίδα των.

Κρ. 18,31 - καὶ ἔθηκαν ἑαυτοῖς τὸ γλυπτόν, ὃ ἐποίησε Μιχαίας πάσας τὰς ἡμέρας, ἃς ἦν ὁ οἶκος τοῦ Θεοῦ ἐν Σηλώμ.

Κρ. 18,31 - Εκεί εχρησιμοποίησαν δια τον εαυτόν των το γλυπτόν άγαλμα που είχε κατασκευάσει ο Μιχαίας, όταν ακόμη η Σκηνή του Μαρτυρίου ευρίσκετο εις Σηλώμ.

## ΚΡΙΤΑΙ 19

Κρ. 19,1 - Καὶ ἐγένετο ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ· καὶ ἐγένετο ἀνὴρ Λευίτης παροικῶν ἐν μηροῖς ὄρους Ἐφραὶμ καὶ ἔλαβεν αὐτῷ γυναῖκα παλλακὴν ἀπὸ Βηθλεὲμ Ἰούδα.

Κρ. 19,1 - Κατά την εποχήν εκείνην δεν υπήρχεν ακόμη βασιλεύς στον ισραηλιτικόν λαόν· εζούσεν ενας ανήρ Λευίτης, ο οποίος κατοικούσε εις κάποιο πρανές της ορεινής περιοχής της φυλής Εφραίμ. Αυτός έλαβεν ως παλλακήν, σύζυγον δηλαδή δευτέρας σειράς, μίαν γυναίκα από την Βηθλεέμ της Ιουδαίας.

Κρ. 19,2 - καὶ ἐπορεύθη ἀπ᾿ αὐτοῦ ἡ παλλακὴ αὐτοῦ καὶ ἀπῆλθε παρ᾿ αὐτοῦ εἰς οἶκον πατρὸς αὐτῆς εἰς Βηθλεὲμ Ἰούδα καὶ ἦν ἐκεῖ ἡμέρας μηνῶν τεσσάρων.

Κρ. 19,2 - Η παλλακή όμως αυτή έφυγεν από αυτόν, τον εγκατέλειψε και επανήλθεν στον οίκον του πατρός της, εις την Βηθλεέμ της Ιουδαίας. Εκεί έμεινεν επί τέσσαρας μήνας.

Κρ. 19,3 - καὶ ἀνέστη ὁ ἀνὴρ αὐτῆς καὶ ἐπορεύθη ὀπίσω αὐτῆς τοῦ λαλῆσαι ἐπὶ καρδίαν αὐτῆς τοῦ ἐπιστρέψαι αὐτὴν αὐτῷ, καὶ νεανίας αὐτοῦ μετ᾿ αὐτοῦ καὶ ζεῦγος ὄνων· ἡ δὲ εἰσήνεγκεν αὐτὸν εἰς οἶκον πατρὸς αὐτῆς, καὶ εἶδεν αὐτὸν ὁ πατὴρ τῆς νεάνιδος καὶ ηὐφράνθη εἰς συνάντησιν αὐτοῦ.

Κρ. 19,3 - Κατόπιν ο σύζυγός της μετέβη προς αυτήν, να ομιλήση εις την καρδίαν της και να την πείση να επιστρέψη πλησίον του. Μαζή του επήρεν ως συνοδόν ένα νεαρόν υπηρέτην του και ένα ζεύγος όνων. Εκείνη τον υπεδέχθη εις την Βηθλεέμ και τον εισήγαγεν στον πατρικόν της οίκον. Ο δε πατήρ της όταν είδεν αυτόν ηυχαριστήθη πάρα πολύ από την συνάντησίν του.

Κρ. 19,4 - καὶ κατέσχεν αὐτὸν ὁ γαμβρὸς αὐτοῦ ὁ πατὴρ τῆς νεάνιδος καὶ ἐκάθισε μετ᾿ αὐτοῦ ἐπὶ τρεῖς ἡμέρας, καὶ ἔφαγον καὶ ἔπιον καὶ ηὐλίσθησαν ἐκεῖ.

Κρ. 19,4 - Αυτός ο πενθερός του, ο πατήρ της νεάνιδος, τον εκράτησε μαζή του και εκείνος έμεινεν επί τρεις ημέρας. Εφαγον, έπιον και παρέμειναν εκεί μαζή.

Κρ. 19,5 - καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ καὶ ὤρθρισαν τὸ πρωΐ καὶ ἀνέστη τοῦ πορευθῆναι· καὶ εἶπεν ὁ πατὴρ τῆς νεάνιδος πρὸς τὸν νυμφίον αὐτοῦ· στήρισον τὴν καρδίαν σου ψωμῷ ἄρτου, καὶ μετὰ τοῦτο πορεύσεσθε.

Κρ. 19,5 - Κατά την τετάρτην ημέραν ηγέρθησαν πολύ πρωί και ο Λευίτης ητοιμάσθη να αναχωρήση. Ο πατήρ όμως της νεάνιδος είπεν στον γαμβρόν του· “στήλωσε και τόνωσε την καρδία σου με ένα κόμματι ψωμί και έπειτα αναχωρείτε”.

Κρ. 19,6 - καὶ ἐκάθισαν καὶ ἔφαγον οἱ δύο ἐπὶ τὸ αὐτὸ καὶ ἔπιον· καὶ εἶπεν ὁ πατὴρ τῆς νεάνιδος πρὸς τὸν ἄνδρα· ἄγε δὴ αὐλίσθητι, καὶ ἀγαθυνθήσεται ἡ καρδία σου.

Κρ. 19,6 - Εκάθησαν και οι δύο μαζή έφαγον και έπιον. Εν συνεχεία δε του είπεν ο πατήρ της νεάνιδος· “μη διάζεσαι να φύγης. Ας περάσωμεν μαζή και αυτήν την νύκτα και θα ευφρανθή η καρδία σου”. Εκείνος υπεχώρησε.

Κρ. 19,7 - καὶ ἀνέστη ὁ ἀνὴρ τοῦ πορεύεσθαι αὐτός· καὶ ἐβιάσατο αὐτὸν ὁ γαμβρὸς αὐτοῦ, καὶ ἐκάθισε καὶ ηὐλίσθη ἐκεῖ.

Κρ. 19,7 - Την άλλην όμως πρωίαν ηγέρθη ο γαμβρός και ητοιμάζετο να αναχωρήση. Ο πενθερός του όμως επέμενε και τον επειθανάγκασε να μείνη, ο δε Λευίτης υποχωρών παρέμεινε και την ημέραν εκείνην.

Κρ. 19,8 - καὶ ὤρθρισε τὸ πρωΐ τῇ ἡμέρᾳ τῇ πέμπτῃ τοῦ πορευθῆναι· καὶ εἶπεν ὁ πατὴρ τῆς νεάνιδος· στήρισον δὴ τὴν καρδίαν σου καὶ στράτευσον ἕως κλῖναι τὴν ἡμέραν· καὶ ἔφαγον οἱ δύο.

Κρ. 19,8 - Την πέμπτην ημέραν το πρωί ηγέρθη δια να αναχωρήση πλέον οριστικώς. Ο πατέρας όμως της νεάνιδος του είπε· “τόνωσε και πάλιν την καρδία σου με φάγητον και αναχώρησε όταν θα κλίνη προς την δύσιν της η ημέρα”. Εφαγον και πάλιν οι δύο μαζή.

Κρ. 19,9 - καὶ ἀνέστη ὁ ἀνὴρ τοῦ πορευθῆναι, αὐτὸς καὶ ἡ παλλακὴ αὐτοῦ καὶ ὁ νεανίας αὐτοῦ· καὶ εἶπεν αὐτῷ ὁ γαμβρὸς αὐτοῦ ὁ πατὴρ τῆς νεάνιδος· ἰδοὺ δὴ ἠσθένησεν ἡμέρα εἰς τὴν ἑσπέραν· αὐλίσθητι ὧδε, καὶ ἀγαθυνθήσεται ἡ καρδία σου, καὶ ὀρθριεῖτε αὔριον εἰς ὁδὸν ὑμῶν καὶ πορεύσῃ εἰς τὸ σκήνωμά σου.

Κρ. 19,9 - Ο Λευίτης εσηκώθη δια να αναχωρήση αυτός και η σύζυγός του και ο νεαρός υπηρέτης του. Ο πατέρας της νεάνιδος του είπε· “τώρα η ημέρα κλίνει προς την δύσιν της. Διανυκτέρευσε πάλιν εδώ, δια να ευφρανθή η καρδία σου και αύριον λίαν πρωί αναχωρείτε δια να επανέλθετε στον οίκον σας”.

Κρ. 19,10 - καὶ οὐκ εὐδόκησεν ὁ ἀνὴρ αὐλισθῆναι καὶ ἀνέστη καὶ ἀπῆλθε καὶ ἦλθεν ἕως ἀπέναντι Ἰεβοὺς (αὕτη ἐστὶν Ἱερουσαλήμ), καὶ μετ᾽ αὐτοῦ ζεῦγος ὄνων ἐπισεσαγμένων, καὶ ἡ παλλακὴ αὐτοῦ μετ᾽ αὐτοῦ.

Κρ. 19,10 - Ο Λευίτης όμως δεν συγκατετέθη να διανυκτερεύση και πάλιν εκεί. Εσηκώθη, ανεχώρησε και έφθασεν απέναντι της Ιεβούς ( Ιεβούς είναι η Ιερουσαλήμ), επήρε μαζή του τους δύο σαμαρωμένους όνους και μαζή του ανεχώρησεν η της δευτέρας σειράς αυτή σύζυγός του.

Κρ. 19,11 - καὶ ἦλθοσαν ἕως Ἰεβούς, καὶ ἡ ἡμέρα προβεβήκει σφόδρα· καὶ εἶπεν ὁ νεανίας πρὸς τὸν κύριον αὐτοῦ· δεῦρο δὴ καὶ ἐκκλίνωμεν εἰς πόλιν τοῦ Ἰεβουσὶ ταύτην καὶ αὐλισθῶμεν ἐν αὐτῇ.

Κρ. 19,11 - Οταν έφθασαν μέχρι της Ιεβούς, η ημέρα είχε πολύ προχωρήσει. Είπε τότε ο νεαρός υπηρέτης προς τον κύριόν του· “ας λοξοδρομήσωμεν και ας εισέλθωμεν εις την πόλιν αυτήν του Ιεβουσί, δια να διανυκτερεύσωμεν εις αυτήν”.

Κρ. 19,12 - καὶ εἶπε πρὸς αὐτὸν ὁ κύριος αὐτοῦ· οὐκ ἐκκλινοῦμεν εἰς πόλιν ἀλλοτρίαν, ἐν ᾗ οὐκ ἔστιν ἀπὸ υἱῶν Ἰσραὴλ ὧδε, καὶ παρελευσόμεθα ἕως Γαβαά.

Κρ. 19,12 - Ο κύριός του του απήντησε· “δεν θα μεταβώμεν να μείνωμεν εις πόλιν ξένην, εις την οποίαν δεν κατοικεί κανείς Ισραηλίτης, αλλά θα προχωρήσωμεν έως εις την πόλιν Γαβαά”.

Κρ. 19,13 - καὶ εἶπε τῷ νεανίᾳ αὐτοῦ· δεῦρο καὶ ἐγγίσωμεν ἑνὶ τῶν τόπων καὶ αὐλισθησόμεθα ἐν Γαβαὰ ἢ ἐν Ῥαμά.

Κρ. 19,13 - Είπε δε ακόμη ο Λευίτης προς τον νεαρόν υπηρέτην του· “εμπρός, ας πλησιάσωμεν το συντομώτερον εις μίαν από τας δύο πόλεις, την Γαβαά η την Ραμά, δια να διανυκτερεύσωμεν εκεί”.

Κρ. 19,14 - καὶ παρῆλθον καὶ ἐπορεύθησαν, καὶ ἔδυ αὐτοῖς ὁ ἥλιος ἐχόμενα τῆς Γαβαά, ἥ ἐστι τῷ Βενιαμίν.

Κρ. 19,14 - Συνέχισαν την πορείαν των και επροχώρησαν. Οταν δε έδυσεν ο ήλιος, αυτοί ήσαν πλησίον της Γαβαά πόλεως, η οποία ανήκει εις την φυλήν του Βενιαμίν.

Κρ. 19,15 - καὶ ἐξέκλιναν ἐκεῖ τοῦ εἰσελθεῖν αὐλισθῆναι ἐν Γαβαά· καὶ εἰσῆλθον καὶ ἐκάθισαν ἐν τῇ πλατείᾳ τῆς πόλεως, καὶ οὐκ ἦν ἀνὴρ συνάγων αὐτοὺς εἰς οἰκίαν αὐλισθῆναι.

Κρ. 19,15 - Επροχώρησαν προς τα εκεί δια να εισέλθουν και διανυκτερεύσουν εις την Γαβαά. Εισήλθον πράγματι και εκάθησαν εις την πλατείαν της πόλεως. Αλλά δεν παρουσιάσθη κανείς να τους παραλάβη δια να διανυκτερεύσουν στον οίκον του.

Κρ. 19,16 - καὶ ἰδοὺ ἀνὴρ πρεσβύτης ἤρχετο ἐξ ἔργων αὐτοῦ ἐξ ἀγροῦ ἐν ἑσπέρᾳ· καὶ ὁ ἀνὴρ ἦν ἐξ ὄρους Ἐφραίμ, καὶ αὐτὸς παρῴκει ἐν Γαβαά, καὶ οἱ ἄνδρες τοῦ τόπου υἱοὶ Βενιαμίν.

Κρ. 19,16 - Αλλά ιδού, ότι κατά την ώραν εκείνην ένας γέρων επέστρεφε την εσπέραν από τας εργασίας του αγρού του. Αυτός κατήγετο από την ορεινήν περιοχήν της φυλής Εφραίμ και κατοικούσε εις Γαβαά. Οι κάτοικοι όμως της Γαβαά ανήκον εις την φυλήν του Βενιαμίν.

Κρ. 19,17 - καὶ ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε τὸν ὁδοιπόρον ἄνδρα ἐν τῇ πλατείᾳ τῆς πόλεως· καὶ εἶπεν ὁ ἀνὴρ ὁ πρεσβύτης· ποῦ πορεύῃ καὶ πόθεν ἔρχῃ;

Κρ. 19,17 - Εσήκωσεν αυτός τα μάτια του και είδεν εις την πλατείαν τον οδοιπόρον αυτόν άνθρωπον. Τον επλησιασε και τον ηρώτησε· “που πηγαίνεις και από που έρχεσαι;”

Κρ. 19,18 - καὶ εἶπεν πρὸς αὐτόν· παραπορευόμεθα ἡμεῖς ἀπὸ Βηθλεὲμ Ἰούδα ἕως μηρῶν ὄρους Ἐφραίμ· ἐκεῖθεν ἐγώ εἰμι καὶ ἐπορεύθην ἕως Βηθλεὲμ Ἰούδα, καὶ εἰς τὸν οἶκόν μου ἐγὼ πορεύομαι, καὶ οὐκ ἔστιν ἀνὴρ συνάγων με εἰς τὴν οἰκίαν·

Κρ. 19,18 - Ο Λευίτης του απήντησε· “ερχόμεθα από την Βηθλεέμ της φυλής Ιούδα και πηγαίνομεν εις την ορεινήν περιοχήν της φυλής Εφραίμ. Από εκεί εγώ κατάγομαι. Είχα μεταβή εις την Βηθλεέμ της Ιουδαίας και τώρα επανέρχομαι στον οίκόν μου. Εδώ όμως δεν ευρέθη κανείς άνθρωπος να με φιλοξενήση στο σπίτι του.

Κρ. 19,19 - καί γε ἄχυρα καὶ χορτάσματά ἐστι τοῖς ὄνοις ἡμῶν, καὶ ἄρτος καὶ οἶνός ἐστιν ἐμοὶ καὶ τῇ παιδίσκῃ καὶ τῷ νεανίσκῳ μετὰ τῶν παίδων σου, οὐκ ἔστιν ὑστέρημα παντὸς πράγματος.

Κρ. 19,19 - Μολονότι έχω άχυρα και άλλας τροφάς δια τους όνους μας, όπως επίσης άρτον και οίνον δια τον εαυτόν μου, δια την δούλην μου και τον νεαρόν πηρέτην μου. Εις τους τρεις ημάς, τους δούλους σου, δεν λείπει τίποτε. Εχομεν όσα μας χρειάζονται”.

Κρ. 19,20 - καὶ εἶπεν ὁ ἀνὴρ πρεσβύτης· εἰρήνη σοι, πλὴν πᾶν τὸ ὑστέρημά σου ἐπ᾿ ἐμέ· πλὴν ἐν τῇ πλατείᾳ οὐ μὴ αὐλισθήσῃ.

Κρ. 19,20 - Ο γέρων εκείνος απήντησε· “η ειρήνη ας είναι μαζή σου. Καθε τι που σου λείπει εγώ θα σου το δώσω. Και εις την πλατείαν δεν θα διανυκτέρευσης”.

Κρ. 19,21 - καὶ εἰσήνεγκεν αὐτὸν εἰς τὸν οἶκον αὐτοῦ καὶ τόπον ἐποίησε τοῖς ὄνοις, καὶ αὐτοὶ ἐνίψαντο τοὺς πόδας αὐτῶν καὶ ἔφαγον καὶ ἔπιον.

Κρ. 19,21 - Ωδήγησεν αυτόν στον οίκον του και έκαμε τόπον στους σταύλους δια τους όνους. Οι ταξιδιώται έπλυναν τους πόδας των και κατόπιν έφαγον και έπιον μαζή με τον οικοδεσπότην.

Κρ. 19,22 - αὐτοὶ δὲ ἀγαθύνοντες καρδίαν αὐτῶν καὶ ἰδοὺ ἄνδρες τῆς πόλεως υἱοὶ παρανόμων ἐκύκλωσαν τὴν οἰκίαν κρούοντες ἐπὶ τὴν θύραν. καὶ εἶπον πρὸς τὸν ἄνδρα τὸν κύριον τοῦ οἴκου τὸν πρεσβύτην λέγοντες· ἐξένεγκε τὸν ἄνδρα, ὃς εἰσῆλθεν εἰς τὴν οἰκίαν σου, ἵνα γνῶμεν αὐτόν.

Κρ. 19,22 - Καθ' ον χρόνον αυτοί ηυφραίνοντο εις την κοινήν τράπεζαν ιδού, οι άνδρες της πόλεως, ασεβείς και διεφθαρμένοι, υιοί παρανόμων, περιεκύκλωσαν την οικίαν, έκρουον συνεχώς την θύραν και εφωναζαν προς τον γέροντα οικοδεσπότην της οικίας εκείνης· “βγάλε και δος μας τον άνδρα ο οποίος εισήλθεν εις την οικίαν σου, δια να ασελγήσωμεν επάνω εις αυτόν”.

Κρ. 19,23 - καὶ ἐξῆλθε πρὸς αὐτοὺς ὁ ἀνὴρ ὁ κύριος τοῦ οἴκου καὶ εἶπε· μὴ ἀδελφοί, μὴ κακοποιήσητε δὴ μετὰ τὸ εἰσελθεῖν τὸν ἄνδρα τοῦτον εἰς τὴν οἰκίαν μου, μὴ ποιήσητε τὴν ἀφροσύνην ταύτην·

Κρ. 19,23 - Ο γέρων εκείνος, ο οικοδεσπότης, εξήλθεν από την οικίαν και τους είπε· “μη αδελφοί ! Σας παρακαλώ μη κακοποιήσετε τον άνδρα αυτόν ο οποίος φιλοξενείται εις την οικίαν μου· μη διαπράξετε αυτήν την αφροσύνην.

Κρ. 19,24 - ἰδὲ ἡ θυγάτηρ μου ἡ παρθένος καὶ ἡ παλλακὴ αὐτοῦ, ἐξάξω αὐτάς, καὶ ταπεινώσατε αὐτὰς καὶ ποιήσατε αὐταῖς τὸ ἀγαθὸν ἐν

ὀφθαλμοῖς ὑμῶν· καὶ τῷ ἀνδρὶ τούτῳ μὴ ποιήσητε τὸ ῥῆμα τῆς ἀφροσύνης ταύτης.

Κρ. 19,24 - Ιδού, η παρθένος θυγάτηρ μου και η παλλακή του ανθρώπου αυτού είναι εις την διάθεσίν σας. Θα τας φέρω προς σας εξευτελίσατέ τας. Καμετε εις αυτάς κατά τας ορέξεις σας, ο,τι σας αρέσει. Αλλά στον άνδρα αυτόν μη θελήσετε να πραγματοποιήσετε την αφροσύνην αυτήν”.

Κρ. 19,25 - καὶ οὐκ εὐδόκησαν οἱ ἄνδρες τοῦ εἰσακοῦσαι αὐτοῦ. καὶ ἐπελάβετο ὁ ἀνὴρ τῆς παλλακῆς αὐτοῦ καὶ ἐξήγαγεν αὐτὴν πρὸς αὐτοὺς ἔξω, καὶ ἔγνωσαν αὐτὴν καὶ ἐνέπαιζον ἐν αὐτῇ ὅλην τὴν νύκτα ἕως τὸ πρωΐ· καὶ ἐξαπέστειλαν αὐτήν, ὡς ἀνέβη τὸ πρωΐ.

Κρ. 19,25 - Οι άνδρες όμως εκείνοι δεν ηθέλησαν να υπακούσουν εις αυτόν. Τοτε ο Λευίτης έπιασε την γυναίκα του και την έβγαλεν έξω από το σπίτι και την παρέδωσεν εις αυτούς. Οι δε διεφθαρμένοι εκείνοι άνδρες ικανοποίησαν τας ορέξεις των και την εξηυτέλιζαν καθ' όλην την νύκτα έως το πρωι. Οταν δε ήρχισε να εξημερώνη την εγκατέλειψαν ελευθέραν.

Κρ. 19,26 - καὶ ἦλθεν ἡ γυνὴ πρὸς τὸν ὄρθρον καὶ ἔπεσε παρὰ τὴν θύραν τοῦ οἴκου, οὗ ἦν αὐτῆς ἐκεῖ ὁ ἀνήρ, ἕως οὗ διέφαυσε.

Κρ. 19,26 - Ενώ ακόμη ήτο όρθρος ήλθεν η γυναίκα εκείνη μέχρι της θύρας του οίκου, όπου ήτο ο σύζυγός της, έπεσεν αναίσθητος εμπρός εις την θύραν και έμεινεν εκεί έως ότου εφώτισεν.

Κρ. 19,27 - καὶ ἀνέστη ὁ ἀνὴρ αὐτῆς τὸ πρωΐ καὶ ἤνοιξε τὰς θύρας τοῦ οἴκου, καὶ ἐξῆλθε τοῦ πορευθῆναι τὴν ὁδὸν αὐτοῦ, καί ἰδοὺ ἡ γυνὴ αὐτοῦ ἡ παλλακὴ πεπτωκυῖα παρὰ τὰς θύρας τοῦ οἴκου, καὶ αἱ χεῖρες αὐτῆς ἐπὶ τὸ πρόθυρον.

Κρ. 19,27 - Την πρωίαν εσηκώθη ο σύζυγός της, ήνοιξε τας θύρας της οικίας και εξήλθε δια να συνεχίση τον δρόμον του. Αίφνης είδε την σύζυγόν του πεσμένην προ της θύρας και τας χείρας της να εγγίζουν το κατώφλιον.

Κρ. 19,28 - καὶ εἶπε πρὸς αὐτήν· ἀνάστα καὶ ἀπέλθωμεν· καὶ οὐκ ἀπεκρίθη, ὅτι ἦν νεκρά. καὶ ἔλαβεν αὐτὴν ἐπὶ τὸν ὄνον καὶ ἐπορεύθη εἰς τὸν τόπον αὐτοῦ.

Κρ. 19,28 - Είπε προς αυτήν· “σήκω δια να φύγωμεν”. Εκείνη όμως δεν απεκρίθη διότι ήτο νεκρά. Την επήρεν αυτός και την ετοποθέτησεν επάνω στον όνον τοθυ και επέστρεψεν στον τόπον του.

Κρ. 19,29 - καὶ ἔλαβε τὴν ῥομφαίαν καὶ ἐκράτησε τὴν παλλακὴν αὐτοῦ καὶ ἐμέλισεν αὐτὴν εἰς δώδεκα μέλη καὶ ἀπέστειλεν αὐτὰ ἐν παντὶ ὁρίῳ Ἰσραήλ.

Κρ. 19,29 - Οταν έφθασεν επήρε την μάχαιράν του, εκράτησε την νεκράν γυναίκα του, την διεμέλισε εις δώδεκα τεμάχια, τα οποία και απέστειλεν εις όλην την περιοχήν των φυλών του Ισραήλ.

Κρ. 19,30 - καὶ ἐγένετο πᾶς ὁ βλέπων ἔλεγεν· οὐκ ἐγένετο καὶ οὐχ ἑώραται ἀπὸ ἡμέρας ἀναβάσεως υἱῶν Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου ἕως τῆς ἡμέρας ταύτης· θέσθε ὑμῖν αὐτοῖς βουλὴν ἐπ᾿ αὐτὴν καὶ λαλήσατε.

Κρ. 19,30 - Ολοι οι Ισραηλίται οι οποίοι είδον αυτά και έμαθαν το γεγονός έλεγαν· «ποτέ δεν συνέβη ούτε και είδαμε τέτοιο φρικτό κακούργημα από την ημέραν που έφυγαν οι Ισραηλίται εκ της Αιγύπτου μέχρι σήμερον. Σκεφθήτε δια το εγκλημα αυτό, πάρετε απόφασιν και αναλόγως να πράξετε".

## ΚΡΙΤΑΙ 20

Κρ. 20,1 - Καὶ ἐξῆλθον πάντες οἱ υἱοὶ Ἰσραήλ, καὶ ἐξεκκλησιάσθη ἡ συναγωγὴ ὡς ἀνὴρ εἷς ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ καὶ γῆ τοῦ Γαλαὰδ πρὸς Κύριον εἰς Μασσηφά.

Κρ. 20,1 - Οτον όλοι οι Ισραηλίται ήκουσαν το ανοσιούργημα αυτό, εβγήκαν όλοι ωσάν ένας άνθρωπος από την περιοχήν Δαν μέχρι της Βηρσαδεέ, και από την χώραν Γαλαάδ έως την Μασσηφά όπου και συνεκεντρώθησαν ενώπιον του Κυρίου.

Κρ. 20,2 - καὶ ἐστάθησαν κατὰ πρόσωπον Κυρίου πᾶσαι αἱ φυλαὶ τοῦ Ἰσραὴλ ἐν ἐκκλησίᾳ τοῦ λαοῦ τοῦ Θεοῦ, τετρακόσιαι χιλιάδες ἀνδρῶν πεζῶν ἕλκοντες ῥομφαίαν.

Κρ. 20,2 - Εστάθησαν όλοι οι άνδρες του ισραηλιτικού λαού όρθιοι ενώπιον του Κυρίου. Τετρακόσιαι χιλιάδες άνδρες πεζοί ωπλισμένοι με ρομφαίας ήτο η συγκέντρωσις αυτή του λαού του Θεού.

Κρ. 20,3 - καὶ ἤκουσαν οἱ υἱοὶ Βενιαμὶν ὅτι ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ εἰς Μασσηφά. καὶ ἐλθόντες εἶπαν οἱ υἱοὶ Ἰσραήλ· λαλήσατε, ποῦ ἐγένετο ἡ πονηρία αὕτη;

Κρ. 20,3 - Οι άνδρες της φυλής Βενιαμίν επληροφορήθησαν ότι οι άλλοι Ισραηλίται ήλθον εις Μασσηφά. Αυτοί λοιπόν οι Ισραηλίται όταν ήλθαν εις Μασσηφά ηρώτησαν· "πέστε μας που διεπράχθη το κακούργημα αυτό;"

Κρ. 20,4 - καὶ ἀπεκρίθη ὁ ἀνὴρ ὁ Λευίτης, ὁ ἀνὴρ τῆς γυναικὸς τῆς φονευθείσης, καὶ εἶπεν· εἰς Γαβαὰ τῆς Βενιαμὶν ἦλθον ἐγὼ καὶ ἡ παλλακή μου τοῦ αὐλισθῆναι.

Κρ. 20,4 - Ο Λευίτης, ο σύζυγος της φονευθείσης γυναικός απήντησεν· "εις την πόλιν Γαβαά της φυλής Βενιαμίν ήλθον εγώ και η σύζυγός μου να διανυκτερεύσωμεν.

Κρ. 20,5 - καὶ ἀνέστησαν ἐπ᾿ ἐμὲ οἱ ἄνδρες τῆς Γαβαὰ καὶ ἐκύκλωσαν ἐπ᾿ ἐμὲ ἐπὶ τὴν οἰκίαν νυκτός· ἐμὲ ἠθέλησαν φονεῦσαι καὶ τὴν παλλακήν μου ἐταπείνωσαν καὶ ἀπέθανε.

Κρ. 20,5 - Οι άνδρες όμως της πόλεως Γαβαά ηγέρθησαν εναντίον μου, περιεκύκλωσαν κατά την νύκτα την οικίαν με ελεεινάς διαθέσεις εναντίον μου. Εμέ μεν ηθέλησαν να φονεύσουν, την δε σύζυγόν μου εξηυτέλισαν κατά τας ορέξεις των μέχρι σημείου που αυτή απέθανε.

Κρ. 20,6 - καὶ ἐκράτησα τὴν παλλακήν μου καὶ ἐμέλισα αὐτὴν καὶ ἐξαπέστειλα ἐν παντὶ ὁρίῳ κληρονομίας υἱῶν Ἰσραήλ, ὅτι ἐποίησαν ζέμα καὶ ἀπόπτωμα ἐν Ἰσραήλ.

Κρ. 20,6 - Επήρα εγώ αυτήν νεκράν πλέον, την ετεμάχισα και απέστειλα τα κομμάτια εις όλην την χώραν του Ισραήλ δια να μάθουν όλοι ότι αυτό το εξοργιστικόν και εξευτελιστικόν ανοσιούργημα διέπραξαν οι κάτοικοι της Γαβαά εν μέσω των Ισραηλιτών.

Κρ. 20,7 - ἰδοὺ πάντες ὑμεῖς, υἱοὶ Ἰσραήλ, δότε ἑαυτοῖς λόγον καὶ βουλὴν ἐκεῖ.

Κρ. 20,7 - Ιδού λοιπόν τώρα σεις όλοι οι Ισραηλίται, σκεφθήτε, συζητήσατε και αποφασίσατε επ' αυτού”.

Κρ. 20,8 - καὶ ἀνέστη πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς, λέγοντες· οὐκ ἀπελευσόμεθα ἀνὴρ εἰς σκήνωμα αὐτοῦ καὶ οὐκ ἐπιστρέψομεν ἀνὴρ εἰς τὸν οἶκον αὐτοῦ.

Κρ. 20,8 - Συσσωμος ο ισραηλιτικός λαός, ως εάν ήτο ένας άνθρωπος, εσηκώθη και είπε· “κανένας από ημάς δεν θα επιστρέψη εις την σκηνήν του, κανείς δεν θα επανέλθη στον οίκον του, εάν δεν τιμωρήσωμεν τους κακούς εκείνους ανθρώπους.

Κρ. 20,9 - καὶ νῦν τοῦτο τὸ ῥῆμα, ὃ ποιηθήσεται τῇ Γαβαά· ἀναβησόμεθα ἐπ᾿ αὐτὴν ἐν κλήρῳ,

Κρ. 20,9 - Λοιπόν, ιδού τώρα η τιμωρία την οποίαν θα επιβάλωμεν εις την πόλιν Γαβαά. Θα εκστρατεύσωμεν εναντίον της, όλοι εκείνοι οι οποίοι θα επιλεγούν δια κλήρου.

Κρ. 20,10 - πλὴν ληψόμεθα δέκα ἄνδρας τοῖς ἑκατὸν εἰς πάσας φυλὰς Ἰσραὴλ καὶ ἑκατὸν τοῖς χιλίοις καὶ χιλίους τοῖς μυρίοις, λαβεῖν ἐπισιτισμὸν τοῦ ποιῆσαι ἐλθεῖν αὐτοὺς εἰς Γαβαὰ Βενιαμίν, ποιῆσαι αὐτῇ κατὰ πᾶν τὸ ἀπόπτωμα, ὃ ἐποίησεν ἐν Ἰσραήλ.

Κρ. 20,10 - Θα πάρωμεν δηλαδή από όλας τας φυλάς του Ισραήλ δια κλήρου δέκα άνδρας εκ των εκατόν, εκατόν από τους χιλίους, χιλίους από τας δέκα χιλιάδας. Αυτοί θα πάρουν μαζή των τροφάς, δια να επέλθουν κατά της Γαβαά, πόλεως της φυλής Βενιαμίν, και θα ανταποδώσουν εις αυτήν τιμωρίαν ανάλογον προς το έγκλημα, το οποίον διέπραξαν μεταξύ των Ισραηλιτών”.

Κρ. 20,11 - καὶ συνήχθη πᾶς ἀνὴρ Ἰσραὴλ εἰς τὴν πόλιν ὡς ἀνὴρ εἷς.

Κρ. 20,11 - Ολοι οι Ισραηλίται συνήχθησαν ως ένας άνθρωπος εις την πόλιν Μασσηφά.

Κρ. 20,12 - Καὶ ἀπέστειλαν αἱ φυλαὶ Ἰσραὴλ ἄνδρας ἐν πάσῃ φυλῇ Βενιαμὶν λέγοντες· τίς ἡ πονηρία αὕτη ἡ γενομένη ἐν ὑμῖν;

Κρ. 20,12 - Αι φυλαί του Ισραήλ απέστειλαν άνδρας εις όλην την φυλήν Βενιαμίν και τους είπαν· “ποίον φοβερόν έγκλημα διεπράχθη από σας;

Κρ. 20,13 - καὶ νῦν δότε τοὺς ἄνδρας υἱοὺς παρανόμων τοὺς ἐν Γαβαά, καὶ θανατώσομεν αὐτοὺς καὶ ἐκκαθαριοῦμεν πονηρίαν ἀπὸ Ἰσραήλ. καὶ οὐκ εὐδόκησαν οἱ υἱοὶ Βενιαμὶν ἀκοῦσαι τῆς φωνῆς τῶν ἀδελφῶν αὐτῶν υἱῶν Ἰσραήλ.

Κρ. 20,13 - Και τώρα παραδώσατέ μας αμέσως τους διεστραμμένους αυτούς κατοίκους της Γαβαά, δια να τους θανατώσωμεν και ξεπλύνωμεν έτσι εκ μέσου του ισραηλιτικού λαού την φοβεράν αυτήν παρανομίαν”. Οι άνθρωποι όμως της φυλής Βενιαμίν δεν ηθέλησαν να ακούσουν τους λόγους αυτούς των αδελφών των Ισραηλιτών.

Κρ. 20,14 - καὶ συνήχθησαν οἱ υἱοὶ Βενιαμὶν ἀπὸ τῶν πόλεων αὐτῶν εἰς Γαβαὰ ἐξελθεῖν εἰς παράταξιν πρὸς υἱοὺς Ἰσραήλ.

Κρ. 20,14 - Εξ αντιθέτου συνεκεντρώθησαν από όλας τας πόλεις των εις την Γαβαά, δια να εξέλθουν και πολεμήσουν εναντίον των Ισραηλιτών.

Κρ. 20,15 - καὶ ἐπεσκέπησαν οἱ υἱοὶ Βενιαμὶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ τῶν πόλεων εἴκοσι τρεῖς χιλιάδες, ἀνὴρ ἕλκων ῥομφαίαν, ἐκτὸς τῶν οἰκούντων τὴν Γαβαά, οἳ ἐπεσκέπησαν ἑπτακόσιοι ἄνδρες

Κρ. 20,15 - Οι ετοιμοπόλεμοι αυτοί άνδρες από τας διαφόρους πόλεις της φυλής Βενιαμίν εμετρήθησαν κατά την ημέραν εκείνην και ευρέθησαν εικοσιτρείς χιλιάδες ωπλισμένοι όλοι με ρομφαίας, εκτός των επτακοσίων ανδρών οι οποίοι κατοικούσαν εις την Γαβαά,

Κρ. 20,16 - ἐκλεκτοὶ ἐκ παντὸς λαοῦ ἀμφοτεροδέξιοι· πάντες οὗτοι σφενδονῆται ἐν λίθοις πρὸς τρίχα, καὶ οὐκ ἐξαμαρτάνοντες.

Κρ. 20,16 - και οι οποίοι ήσαν εκλεκτοί από όλον τον λαόν, αμφοτεροδέξιοι, ικανοί να χρησιμοποιούν με ίσην ευχέρειαν και τας δύο χείρας. Ολοι αυτοί οι επτακόσιοι άνδρες εχρησιμοποιούσαν με καταπληκτικήν δεξιότητα την σφενδόνην, ώστε με τον ριπτόμενον λίθον να επιτυγχάνουν και την τρίχα, και ποτέ δεν έχαναν τον στόχον των.

Κρ. 20,17 - καὶ ἀνὴρ Ἰσραὴλ ἐπεσκέπησαν ἐκτὸς τοῦ Βενιαμίν, τετρακόσιαι χιλιάδες ἀνδρῶν ἑλκόντων ῥομφαίαν· πάντες οὗτοι ἄνδρες παρατάξεως.

Κρ. 20,17 - Εκ παραλλήλου όμως προς τους άνδρας της φυλής Βενιαμίν εμετρήθησαν και οι άλλοι Ισραηλίται και ευρέθησαν τετρακόσιοι χιλιάδες άνδρες ωπλισμένοι με μαχαίρας. Ολοι αυτοί ήσαν ικανοί προς πόλεμον.

Κρ. 20,18 - καὶ ἀνέστησαν καὶ ἀνέβησαν εἰς Βαιθὴλ καὶ ἠρώτησαν ἐν τῷ Θεῷ καὶ εἶπαν οἱ υἱοὶ Ἰσραήλ· τίς ἀναβήσεται ἡμῖν ἐν ἀρχῇ εἰς

παράταξιν πρὸς υἱοὺς Βενιαμίν; καὶ εἶπε Κύριος· Ἰούδας ἐν ἀρχῇ ἀναβήσεται ἀφηγούμενος.

Κρ. 20,18 - Συνετάχθησαν, ανέβησαν εις την πόλιν Βαιθήλ και εκεί οι Ισραηλίται αυτοί ηρώτησαν τον Θεόν· “ποίος θα είναι ο αρχηγός εις την εκστρατείαν αυτήν κατά της φυλής Βενιαμίν;” Ο δε Κυριος απήντησεν· “η φυλή του Ιούδα θα είναι αρχηγός της εκστρατείας”.

Κρ. 20,19 - καὶ ἀνέστησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πρωῒ καὶ παρενέβαλον ἐπὶ Γαβαά.

Κρ. 20,19 - Ηγέρθησαν οι Ισραηλίται την πρωίαν και εστρατοπέδευσαν απέναντι της πόλεως Γαβαά.

Κρ. 20,20 - καὶ ἐξῆλθον πᾶς ἀνὴρ Ἰσραὴλ εἰς παράταξιν πρὸς Βενιαμὶν καὶ συνῆψαν αὐτοῖς ἐπὶ Γαβαά.

Κρ. 20,20 - Ολοι οι Ισραηλίται άνδρες εξήλθον εις πόλεμον εναντίον της φυλής Βενιαμίν και συνήψαν μάχην κατά των ανδρών της πόλεως Γαβαά.

Κρ. 20,21 - καὶ ἐξῆλθον οἱ υἱοὶ Βενιαμὶν ἀπὸ τῆς Γαβαὰ καὶ διέφθειραν ἐν Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δύο καὶ εἴκοσι χιλιάδας ἀνδρῶν ἐπὶ τὴν γῆν.

Κρ. 20,21 - Οι άνδρες της φυλής Βενιαμίν εξώρμησαν από την Γαβαά και εξήπλωσαν νεκρούς εις την γην κατά την ημέραν εκείνην είκοσι δύο χιλιάδας Ισραηλίτας.

Κρ. 20,22 - καὶ ἐνίσχυσαν ἀνὴρ Ἰσραὴλ καὶ προσέθηκαν συνάψαι παράταξιν ἐν τῷ τόπῳ, ὅπου συνῆψαν ἐν τῇ ἡμέρᾳ τῇ πρώτῃ.

Κρ. 20,22 - Οι Ισραηλίται όμως δεν επτοηθήσαν αλλά με θάρρος απεφάσισαν να συνάψουν νέαν μάχην στον ίδιον τόπον, όπου επολέμησαν προηγουμένως.

Κρ. 20,23 - καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ καὶ ἔκλαυσαν ἐνώπιον Κυρίου ἕως ἑσπέρας καὶ ἠρώτησαν ἐν Κυρίῳ λέγοντες· εἰ προσθῶμεν ἐγγίσαι εἰς παράταξιν πρὸς υἱοὺς Βενιαμὶν ἀδελφοὺς ἡμῶν; καὶ εἶπε Κύριος· ἀνάβητε πρὸς αὐτούς.

Κρ. 20,23 - Προ της μάχης όμως ανέβησαν οι Ισραηλίται εκεί όπου ήτο η Κιβωτός του Μαρτυρίου, έκλαυσαν ενώπιον του Κυρίου μέχρι της εσπέρας και κατόπιν ηρώτησαν τον Κυριον· “να επιχειρήσωμεν και πάλιν πόλεμον κατά των αδελφών μας, των ανδρών της φυλής Βενιαμίν;” Ο δε Κυριος τους απήντησε· “βαδίσατε εναντίον των”.

Κρ. 20,24 - καὶ προσῆλθον οἱ υἱοὶ Ἰσραὴλ πρὸς υἱοὺς Βενιαμὶν ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ.

Κρ. 20,24 - Εβάδισαν πράγματι οι Ισραηλίται κατά την δευτέραν ημέραν εις πόλεμον εναντίον των ανδρών της φυλής Βενιαμίν.

Κρ. 20,25 - καὶ ἐξῆλθον οἱ υἱοὶ Βενιαμὶν εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς Γαβαὰ ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ καὶ διέφθειραν ἀπὸ υἱῶν Ἰσραὴλ ἔτι

ὀκτωκαίδεκα χιλιάδας ἀνδρῶν ἐπί τὴν γῆν· πάντες οὗτοι ἕλκοντες ῥομφαίαν.

Κρ. 20,25 - Εκείνοι δε εξήλθον από την Γαβαά εις πολεμικήν συνάντησιν κατά την δευτέραν ημέραν εναντίον των Ισραηλιτών και εφόνευσαν εξαπλώσαντες στο έδαφος νεκρούς δέκα οκτώ χιλιάδας άνδρας. Ολοι δε αυτοί ήσαν ικανοί εις πόλεμον διότι εγνώριζαν να χειρίζωνται την ρομφαίαν.

Κρ. 20,26 - καὶ ἀνέβησαν πάντες οἱ υἱοὶ Ἰσραὴλ καὶ πᾶς ὁ λαὸς καὶ ἦλθον εἰς Βαιθὴλ καὶ ἔκλαυσαν, καὶ ἐκάθισαν ἐκεῖ ἐνώπιον Κυρίου καὶ ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἕως ἑσπέρας καὶ ἀνήνεγκαν ὁλοκαυτώσεις καὶ τελείας ἐνώπιον Κυρίου·

Κρ. 20,26 - Ολοι οι πολεμισταί Ισραηλίται και όλος ο λαός ανέβησαν και ήλθον πάλιν εις την Βαιθήλ, εκαθησαν κλαίοντες εκεί ενώπιον του Κυρίου, ενήστευσαν όλην την ημέραν εκείνην έως την εσπέραν και προσέφεραν στον Θεόν ολοκαυτώματα και ειρηνικάς θυσίας.

Κρ. 20,27 - ὅτι ἐκεῖ κιβωτὸς διαθήκης Κυρίου τοῦ Θεοῦ,

Κρ. 20,27 - Εκεί δε εις την Βαιθήλ ευρίσκετο η Κιβωτός της Διαθήκης του Κυρίου.

Κρ. 20,28 - καὶ Φινεὲς υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν παρεστηκὼς ἐνώπιον αὐτῆς ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ ἐπηρώτησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν Κυρίῳ λέγοντες· εἰ προσθῶμεν ἔτι ἐξελθεῖν εἰς παράταξιν πρὸς υἱοὺς Βενιαμὶν ἀδελφοὺς ἡμῶν ἢ ἐπίσχωμεν; καὶ εἶπε Κύριος· ἀνάβητε, ὅτι αὔριον δώσω αὐτοὺς εἰς χεῖρας ὑμῶν.

Κρ. 20,28 - Εκεί επίσης ευρίσκετο κατά τας ημέρας εκείνας, αρχιερεύς ενώπιον της Κιβωτού, ο Φινεές υιός του Ελεάζαρ, υιού του Ααρών. Ηρώτησαν δε οι Ισραηλίται τον Κυριον· “να εξέλθωμεν και πάλιν εις πόλεμον εναντίον των αδελφών μας, των ανδρών της φυλής Βενιαμίν η να σταματήσωμεν;” Ο δε Κυριος τους απήντησε· “πηγαίνετε, διότι εγώ αύριον θα παραδώσω αυτούς εις τα χέρια σας”.

Κρ. 20,29 - Καὶ ἔθηκαν οἱ υἱοὶ Ἰσραὴλ ἔνεδρα τῇ Γαβαὰ κύκλῳ.

Κρ. 20,29 - Οι Ισραηλίται έστησαν ενέδραν γύρω από την Γαβαά.

Κρ. 20,30 - καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς υἱοὺς Βενιαμὶν ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ καὶ συνῆψαν πρὸς τὴν Γαβαὰ ὡς ἅπαξ καὶ ἅπαξ.

Κρ. 20,30 - Εβάδισαν εναντίον των ανδρών Βενιαμίν τρίτην ημέραν, συνήψαν προς αυτούς μάχην όπως και κατά τας δύο τφοηγουμένας.

Κρ. 20,31 - καὶ ἐξῆλθον οἱ υἱοὶ Βενιαμὶν εἰς συνάντησιν τοῦ λαοῦ καὶ ἐξεκενώθησαν ἐκ τῆς πόλεως καὶ ἤρξαντο πατάσσειν ἀπὸ τοῦ λαοῦ τραυματίας ὡς ἅπαξ καὶ ἅπαξ ἐν ταῖς ὁδοῖς, ἥ ἐστι μία ἀναβαίνουσα εἰς Βαιθὴλ καὶ μία εἰς Γαβαὰ ἐν ἀγρῷ, ὡς τριάκοντα ἄνδρας ἐν Ἰσραήλ.

Κρ. 20,31 - Οι άνδρες της φυλής Βενιαμίν εξήλθον και πάλιν εις πόλεμον και εξεκενώθη η πόλις από τους μαχίμους άνδρας της. Ηρχισαν δε να

κτυπούν και να φονεύουν από τον ισραηλιτικόν λαόν όπως έκαμαν και κατά τας δύο προηγουμένας φοράς στους δρόμους, εκ των οποίων ο ενας ωδηγούσε προς την Βαιθήλ, ο δε άλλος στους αγρούς της Γαβαά. Και κατά την ημέραν αυτήν εφόνευσαν τριάκοντα Ισραηλίτας.

Κρ. 20,32 - καὶ εἶπαν οἱ υἱοὶ Βενιαμίν· πίπτουσιν ἐνώπιον ἡμῶν ὡς τὸ πρῶτον. καὶ οἱ υἱοὶ Ἰσραὴλ εἶπαν· φύγωμεν καὶ ἐκκενώσωμεν αὐτοὺς ἀπὸ τῆς πόλεως εἰς τὰς ὁδούς· καὶ ἐποίησαν οὕτω.

Κρ. 20,32 - Είπαν τότε μεταξύ των οι Βενιαμίται· “πάλιν οι Ισραηλίται φονεύονται και υποχωρούν ενώπιον μας, όπως και προηγουμένως”. Οι δε Ισραηλίται είπαν· “ας προσποιηθώμεν ότι φεύγομεν δια να εκκενώσουν εκείνοι την πόλιν των και να εξέλθουν απ' αυτήν στους δρόμους των αγρών”. Ετσι και εκαμαν.

Κρ. 20,33 - καὶ πᾶς ἀνὴρ ἀνέστη ἐκ τοῦ τόπου αὐτῶν καὶ συνῆψαν ἐν Βααλθαμάρ, καὶ τό ἔνεδρον Ἰσραὴλ ἐπήρχετο ἐκ τοῦ τόπου αὐτοῦ ἀπὸ Μαοραγαβέ.

Κρ. 20,33 - Ολοι οι Ισραηλίται τότε εσηκώθηκαν και ανεχώρησαν από τας θέσεις που κατείχον και έφυγαν εις Βααλθαμάρ, όπου και συνήψαν μάχην με τους Βενιαμίτας που τους είχαν ακολουθήσει. Τοτε, όταν οι Βενιαμίται είχαν πλέον εξέλθει από την πόλιν των, εξώρμησεν η ενέδρα των Ισραηλιτών από τον τόπον της, από την Μαοραγαβέ.

Κρ. 20,34 - καὶ ἦλθον ἐξ ἐναντίας Γαβαὰ δέκα χιλιάδες ἀνδρῶν ἐκλεκτῶν ἐκ παντὸς Ἰσραὴλ καὶ παράταξις βαρεῖα· καὶ αὐτοὶ οὐ ἔγνωσαν, ὅτι φθάνει ἐπ᾿ αὐτοὺς ἡ κακία.

Κρ. 20,34 - Ετσι δέκα χιλιάδες εκλεκτοί Ισραηλίται άνδρες έφθασαν απέναντι της Γαβαά. Η μάχη υπήρξε σφοδρά. Οι Βενιαμίται, εν μέσω των δύο παρατάξεων, δεν είχον αντιληφθή ότι ήλθεν η ώρα να πληρώσουν την κακίαν των.

Κρ. 20,35 - καὶ ἐπάταξε Κύριος τὸν Βενιαμὶν ἐνώπιον υἱῶν Ἰσραήλ, καὶ διέφθειραν οἱ υἱοὶ Ἰσραὴλ ἐκ τοῦ Βενιαμὶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἴκοσι καὶ πέντε χιλιάδας καὶ ἑκατὸν ἄνδρας· πάντες οὗτοι εἷλκον ῥομφαίαν.

Κρ. 20,35 - Ο Κυριος εκτύπησε τους Βενιαμίτας ενώπιον των Ισραηλιτών. Οι Ισραηλίται εξώντωσαν κατά την ημέραν εκείνην είκοσι πέντε χιλιάδας εκατόν άνδρας Βενιαμίτας. Ησαν δε όλοι αυτοί άξιοι πολεμισταί, διότι εγνώριζαν να χειρίζωνται την ρομφαίαν.

Κρ. 20,36 - καὶ εἶδον οἱ υἱοὶ Βενιαμὶν ὅτι ἐπλήγησαν· καὶ ἔδωκεν ἀνὴρ Ἰσραὴλ τῷ Βενιαμὶν τόπον, ὅτι ἤλπισαν πρὸς τό ἔνεδρον, ὃ ἔθηκαν ἐπὶ τῇ Γαβαά.

Κρ. 20,36 - Οι Βενιαμίται είδαν πλέον ότι είχαν νικηθή. Οι Ισραηλίται υπεχώρησαν κατ' αρχάς ενώπιον των Βενιαμιτών, διότι είχαν πεποίθησιν εις την ενέδραν, που είχαν στήσει πλησίον της Γαβαά.

Κρ. 20,37 - καὶ ἐν τῷ αὐτοὺς ὑποχωρῆσαι καὶ τὸ ἔνεδρον ἐκινήθη καί ἐξέτειναν ἐπὶ τὴν Γαβαά, καὶ ἐξεχύθη τὸ ἔνεδρον καὶ ἐπάταξαν τὴν πόλιν ἐν στόματι ῥομφαίας.

Κρ. 20,37 - Οταν λοιπόν αυτοί υποχωρούσαν και οι Βενιαμίται τους κατεδίωκαν, εκινήθησαν οι ενεδρεύοντες Ισραηλίται, ηπλώθησαν προς την Γαβαά, εξώρμησαν εναντίον της, εκτύπησαν την πόλιν και επέρασαν εν στόματι μαχαίρας τους κατοίκους της.

Κρ. 20,38 - καὶ σημεῖον ἦν τοῖς υἱοῖς Ἰσραὴλ μετὰ τοῦ ἐνέδρου τῆς μάχης ἀνενέγκαι αὐτοὺς σύσσημον καπνοῦ ἀπὸ τῆς πόλεως.

Κρ. 20,38 - Είχαν δε συνεννοηθή οι άλλοι Ισραηλίται με τους ενεδρεύοντας, ώστε όταν αυτοί θα κατελάμβαναν την πόλιν να ανάψουν φωτιά της οποίας ο καπνός θα ήτο σημείον ότι κατελήφθη η πόλις.

Κρ. 20,39 - καὶ εἶδον οἱ υἱοὶ Ἰσραὴλ ὅτι προκατελάβετο τὸ ἔνεδρον τὴν Γαβαά, καὶ ἔστησαν ἐν τῇ παρατάξει, καὶ Βενιαμὶν ἤρξατο πατάσσειν τραυματίας ἐν ἀνδράσιν Ἰσραὴλ ὡς τριάκοντα ἄνδρας, ὅτι εἶπαν· πάλιν πτώσει πίπτουσιν ἐνώπιον ἡμῶν ὡς ἡ παράταξις ἡ πρώτη.

Κρ. 20,39 - Ετσι και έγινε. Οι Ισραηλίται είδον τον καπνόν, ενόησαν ότι οι άνδρες της ενέδρας κατέλαβον την πόλιν και εσταμάτησαν να υποχωρούν. Τοτε οι Βενιαμιται ήρχισαν να κτυπούν τους Ισραηλίτας, εφόνευσαν τους τριάκοντα άνδρας και είπαν· “πάλιν πίπτουν ενώπιόν μας όπως και κατά την μάχην της πρώτης ημέρας”.

Κρ. 20,40 - καὶ τὸ σύσσημον ἀνέβη ἐπὶ πλεῖον ἐπὶ τῆς πόλεως ὡς στῦλος καπνοῦ· καὶ ἐπέβλεψε Βενιαμὶν ὀπίσω αὐτοῦ, καὶ ἰδοὺ ἀνέβη συντέλεια τῆς πόλεως ἕως οὐρανοῦ.

Κρ. 20,40 - Το συμφωνηθέν όμως σημείον, στύλος καπνού, όλονεν και πυκνότερος ανέβαινεν από την πόλιν. Οι Βενιαμίται έστρεψαν τα βλέμματά των προς τα οπίσω και είδαν αίφνης τον πυκνόν καπνόν να ανεβαίνη έως τον ουρανόν και αντελήφθησαν ότι κατεστράφη πλέον η πόλις των.

Κρ. 20,41 - καὶ ἀνὴρ Ἰσραὴλ ἐπέστρεψε, καὶ ἔσπευσαν ἄνδρες Βενιαμίν, ὅτι εἶδον ὅτι συνήντησεν ἐπ᾿ αὐτούς ἡ πονηρία.

Κρ. 20,41 - Ανέκοψαν τότε την υποχώρησίν των οι Ισραηλίται, εστράφησαν εναντίον των Βενιαμιτών, οι οποίοι έσπευσαν να σωθούν δια της φυγής διότι είδαν ότι έφθασεν η ώρα της τιμωρίας των δια τας πονηρίας των.

Κρ. 20,42 - καὶ ἐπέβλεψαν ἐνώπιον υἱῶν Ἰσραὴλ εἰς τὴν ὁδὸν τῆς ἐρήμου καὶ ἔφυγον, καὶ ἡ παράταξις ἔφθασεν ἐπ᾿ αὐτούς, καὶ οἱ ἀπὸ τῶν πόλεων διέφθειρον αὐτοὺς ἐν μέσῳ αὐτῶν.

Κρ. 20,42 - Εστράφησαν προς την έρημον και ετράπησαν εις φυγήν ενώπιον των Ισραηλιτών. Οι Ισραηλίται όμως τους κατέφθασαν, τους

εφόνευσαν, και οι άνδρες ακόμη των γύρω πόλεων, εις τας οποίας εζήτησαν αυτοί να σωθούν, τους εφόνευον.

Κρ. 20,43 - καὶ κατέκοπτον τὸν Βενιαμὶν καὶ ἐδίωξαν αὐτὸν ἀπὸ Νουὰ κατὰ πόδα αὐτοῦ ἕως ἀπέναντι Γαβαὰ πρὸς ἀνατολὰς ἡλίου.

Κρ. 20,43 - Ετσι δε οι Ισραηλίται κατέκοπτον εν συνεχεία τους Βενιαμίτας και τους κατεδίωξαν κατά πόδας από την Νουά μέχρι και των ανατολικών μερών της Γαβαά.

Κρ. 20,44 - καὶ ἔπεσον ἀπὸ Βενιαμὶν ὀκτωκαίδεκα χιλιάδες ἀνδρῶν· οἱ πάντες οὗτοι ἄνδρες δυνάμεως.

Κρ. 20,44 - Εφονεύθησαν από τους Βενιαμίτας δέκα οκτώ χιλιάδες άνδρες ισχυροί και εμπειροπόλεμοι.

Κρ. 20,45 - καὶ ἐπέβλεψαν οἱ λοιποὶ καὶ ἔφευγον εἰς τὴν ἔρημον πρὸς τὴν πέτραν τοῦ Ῥεμμών, καὶ ἐκαλαμήσαντο ἐξ αὐτῶν οἱ υἱοὶ Ἰσραὴλ πεντακισχιλίους ἄνδρας· καὶ κατέβησαν ὀπίσω αὐτῶν οἱ υἱοὶ Ἰσραὴλ ἕως Γεδᾶν καὶ ἐπάταξαν ἐξ αὐτῶν δισχιλίους ἄνδρας.

Κρ. 20,45 - Οι υπόλοιποι ετράπησαν εις φυγήν εις την έρημον προς τον βράχον Ρεμμών. Αλλά και εκεί επελέκησαν οι Ισραηλίται από αυτούς πέντε χιλιάδας. Αλλους από αυτούς κατεδίωξαν οι Ισραηλίται μέχρι της Γεδάν και εφόνευσαν δύο χιλιάδας άνδρας.

Κρ. 20,46 - καὶ ἐγένοντο πάντες οἱ πεπτωκότες ἀπὸ Βενιαμὶν εἰκοσιπέντε χιλιάδες ἀνδρῶν ἑλκόντων ῥομφαίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· οἱ πάντες οὗτοι ἄνδρες δυνάμεως.

Κρ. 20,46 - Ανήλθον δε όλοι οι φονευθέντες Βενιαμίται κατά την ημέραν εκείνην εις είκοσι πέντε χιλιάδας, άνδρες ικανοί να χειρίζωνται επιτυχώς την ρομφαίαν. Ολοι ήσαν ισχυροί και εμπειροπόλεμοι.

Κρ. 20,47 - καὶ ἐπέβλεψαν οἱ λοιποὶ καὶ ἔφυγον εἰς τὴν ἔρημον πρὸς τὴν πέτραν τοῦ Ῥεμμών, ἑξακόσιοι ἄνδρες, καὶ ἐκάθισαν ἐν πέτρᾳ Ῥεμμὼν τέσσαρας μῆνας.

Κρ. 20,47 - Οι υπόλοιποι, εξακόσιοι άνδρες, έστρεψαν τα νώτα των και κατέφυγον εις την έρημον, στον βράχον Ρεμμών, όπου και έμειναν επί τέσσαρας μήνας.

Κρ. 20,48 - καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπέστρεψαν πρὸς υἱοὺς Βενιαμὶν καὶ ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας ἀπὸ πόλεως Μεθλὰ καὶ ἕως κτήνους καὶ ἕως παντὸς τοῦ εὑρισκομένου εἰς πάσας τὰς πόλεις· καὶ τὰς πόλεις τὰς εὑρεθείσας ἐνέπρησαν ἐν πυρί.

Κρ. 20,48 - Οι Ισραηλίται εκυνήγησαν τους άνδρας της φυλής Βενιαμίν, επέρασαν εν στόματι μαχαίρας όλους, από ανθρώπους κατοικούντας εις την πόλιν Μεθλά μέχρι ζώου και μέχρι παντός που τυχόν ευρίσκετο εις όλας τας πόλεις. Αυτάς δε τας κυριευθείσας πόλεις των Βενιαμιτών παρέδωσαν οι Ισραηλίται στο πυρ.

ΚΡΙΤΑΙ 21

Κρ. 21,1 - Καὶ οἱ υἱοὶ Ἰσραὴλ ὤμοσαν ἐν Μασσηφὰθ λέγοντες· ἀνὴρ ἐξ ἡμῶν οὐ δώσει θυγατέρα αὐτοῦ τῷ Βενιαμὶν εἰς γυναῖκα.

Κρ. 21,1 - Οι Ισραηλίται είχον ορκισθή εις Μασηφάθ λέγοντες· “κανείς από ημάς δεν θα δώση σύζυγον την θυγατέρα του εις άνδρα της φυλής Βενιαμίν”.

Κρ. 21,2 - καὶ ἦλθεν ὁ λαὸς εἰς Βαιθὴλ καὶ ἐκάθισαν ἐκεῖ ἕως ἑσπέρας ἐνώπιον τοῦ Θεοῦ καὶ ᾗραν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν κλαυθμὸν μέγαν

Κρ. 21,2 - Ο Ισραηλιτικός λαός, μετά την νίκην του, ήλθεν εις Βαιθήλ, εκάθησαν εκεί έως την εσπέραν ενώπιον της Κιβωτού της Διαθήκης, ύψωσαν την φωνήν των και έκλαυσαν με μεγάλον σπαραγμόν,

Κρ. 21,3 - καὶ εἶπαν· εἰς τί, Κύριε Θεὲ Ἰσραήλ, ἐγενήθη αὕτη τοῦ ἐπισκεπῆναι σήμερον ἀπὸ Ἰσραὴλ φυλὴν μίαν;

Κρ. 21,3 - και είπαν· “διατί, Κυριε, και Θεέ του Ισραηλιτικού λαού έγινε αυτή η μεγάλη συμφορά, ώστε να εξοντωθή σήμερον ολόκληρος φυλή του Ισραήλ;”

Κρ. 21,4 - καὶ ἐγένετο τῇ ἐπαύριον καὶ ὤρθρισεν ὁ λαὸς καὶ ᾠκοδόμησαν ἐκεῖ θυσιαστήριον, καὶ ἀνήνεγκαν ὁλοκαυτώσεις καὶ τελείας.

Κρ. 21,4 - Την επομένην ημέραν ηγέρθησαν οι Ισραηλίται, οικοδόμησαν εκεί θυσιαστήριον και προσέφεραν ολοκαυτώματα και άλλας ειρηνικάς θυσίας.

Κρ. 21,5 - καὶ εἶπαν οἱ υἱοὶ Ἰσραήλ· τίς οὐκ ἀνέβη ἐν τῇ ἐκκλησίᾳ ἀπὸ πασῶν φυλῶν Ἰσραὴλ πρὸς Κύριον; ὅτι ὁ ὅρκος μέγας ἦν τοῖς οὐκ ἀναβεβηκόσι πρὸς Κύριον εἰς Μασσηφὰθ λέγοντες· θανάτῳ θανατωθήσεται.

Κρ. 21,5 - Εκεί δε ηρώτησαν· “ποίος από τους Ισραηλίτας δεν εβάδισε μαζή με τους συγκεντρωθέντας Ισραηλίτας εναντίον των Βενιαμιτών, όπως είχε διατάξει ο Κυριος;” Ηρεύνησαν δε να μάθουν, διότι είχαν κάμει βαρύν όρκον ενώπιον του Κυρίου εις Μασσηφάθ, εναντίον εκείνων που δεν είχαν ακολουθήσει εις την κατά των Βενιαμιτών εκστρατείαν λέγοντες· “ότι αυτός θα θανατωθή”.

Κρ. 21,6 - καὶ παρεκλήθησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Βενιαμὶν ἀδελφὸν αὐτῶν καὶ εἶπαν· ἐξεκόπη σήμερον φυλὴ μία ἀπὸ Ἰσραήλ·

Κρ. 21,6 - Οι Ισραηλίται, κατόπιν όλων αυτών, ελυπήθησαν τους αδελφούς των τους Βενιαμίτας και είπαν· “εξωλοθρεύθη σήμερον μία από τας φυλάς του Ισραήλ.

Κρ. 21,7 - τί ποιήσωμεν αὐτοῖς τοῖς περισσοῖς τοῖς ὑπολειφθεῖσιν εἰς γυναῖκας; καὶ ἡμεῖς ὠμόσαμεν ἐν Κυρίῳ τοῦ μὴ δοῦναι αὐτοῖς ἀπὸ τῶν

θυγατέρων ἡμῶν εἰς γυναῖκας.

Κρ. 21,7 - Τι λοιπόν πρέπει να κάμωμεν δια τους υπολειφθέντας εξακοσίους Βενιαμίτας; Θα δώσωμεν εις αυτούς συζύγους; Ημείς όμως ωρκίσθημεν ενώπιον του Κυρίου να μη τους δώσωμεν συζύγους από τας θυγατέρας μας".

Κρ. 21,8 - καὶ εἶπαν· τίς εἷς ἀπὸ φυλῶν Ἰσραήλ, ὃς οὐκ ἀνέβη πρὸς Κύριον εἰς Μασσηφάθ; καὶ ἰδοὺ οὐκ ἦλθεν ἀνὴρ εἰς τὴν παρεμβολὴν ἀπὸ Ἰαβὶς Γαλαὰδ εἰς τὴν ἐκκλησίαν.

Κρ. 21,8 - Εσκέφθησαν όμως και είπαν· "ποιός από τας φυλάς του Ισραήλ δεν ηκολούθησεν εις Μασσηφάθ ενώπιον του Κυρίου;" Εγνωστοποιήθη τότε εις αυτούς ότι κανένας από τους Ισραηλίτας της πόλεως Ιαβίς της χώρας Γαλαάδ δεν ήλθεν στο στρατόπεδον κατά την συγκέντρωσιν του λαού.

Κρ. 21,9 - καὶ ἐπεσκέπη ὁ λαός, καί οὐκ ἦν ἐκεῖ ἀνὴρ ἀπὸ οἰκούντων Ἰαβὶς Γαλαάδ.

Κρ. 21,9 - Εγινεν έρευνα και διεπιστώθη ότι πράγματι κανείς δεν ευρέθη εκεί από τους κατοικούντας την Ιαβίς της χώρας Γαλαάδ.

Κρ. 21,10 - καὶ ἀπέστειλεν ἐκεῖ ἡ συναγωγὴ δώδεκα χιλιάδας ἀνδρῶν ἀπὸ υἱῶν τῆς δυνάμεως καὶ ἐνετείλατο αὐτοῖς λέγοντες· πορεύεσθε καὶ πατάξατε τοὺς οἰκοῦντας Ἰαβὶς Γαλαὰδ ἐν στόματι ῥομφαίας.

Κρ. 21,10 - Τοτε ο ισραηλιτικός λαός έστειλε δώδεκα χιλιάδας πολεμιστάς άνδρας και έδωσεν εις αυτούς την εντολήν· "πηγαίνετε και φονεύσατε τους κατοίκους της Ιαβίς εις Γαλαάδ περνώντες αυτούς εν στόματι μαχαίρας.

Κρ. 21,11 - καὶ τοῦτο ποιήσετε· πᾶν ἄρσεν καὶ πᾶσαν γυναῖκα εὐδυΐαν κοίτην ἄρσενος ἀναθεματιεῖτε, τὰς δὲ παρθένους περιποιήσεσθε. καὶ ἐποίησαν οὕτως.

Κρ. 21,11 - Θα κάμετε όμως και τούτο ακόμη· κάθε άνδρα και κάθε γυναίκα η οποία έχει έλθει εις γάμον με άνδρα, θα τους αναθεματίσετε και θα τους εξοντώσετε. Τας παρθένους όμως θα τας διαφυλάξετε εν τη ζωή και θα τας περιποιηθήτε". Ετσι και έκαμαν.

Κρ. 21,12 - καὶ εὗρον ἀπὸ οἰκούντων Ἰαβὶς Γαλαὰδ τετρακοσίας νεάνιδας παρθένους, αἵτινες οὐκ ἔγνωσαν ἄνδρα εἰς κοίτην ἄρσενος, καὶ ἤνεγκαν αὐτὰς εἰς τὴν παρεμβολὴν εἰς Σηλὼμ τὴν ἐν γῇ Χαναάν.

Κρ. 21,12 - Οι Ισραηλίται που ήλθον εις την Ιαβίς της Γαλαάδ ευρήκαν τετρακοσίας νεαράς παρθένους, αι οποίαι δεν είχαν έλθει εις ουδεμίαν συνάφειαν με άνδρα. Τας έφεραν στο στρατόπεδον, το οποίον ευρίσκετο εις Σηλώμ της χώρας Χαναάν.

Κρ. 21,13 - καὶ ἀπέστειλαν πᾶσα ἡ συναγωγὴ καὶ ἐλάλησαν πρὸς τοὺς υἱοὺς Βενιαμὶν ἐν τῇ πέτρᾳ Ῥεμμὼν καὶ ἐκάλεσαν αὐτοὺς εἰς εἰρήνην.

Κρ. 21,13 - Οι Ισραηλίται, όλος ο λαός, έστειλαν αγγελιαφόρους, οι οποίοι ωμίλησαν προς τους Βενιαμίτας, που ευρίσκοντο στον βράχον Ρεμμών, και τους προσεκάλεσαν εις ειρήνην και συμφιλίωσιν.

Κρ. 21,14 - καὶ ἐπέστρεψε Βενιαμὶν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ ἔδωκαν αὐτοῖς οἱ υἱοὶ Ἰσραὴλ τὰς γυναῖκας, ἃς ἐζωοποίησαν ἀπὸ τῶν θυγατέρων Ἰαβὶς Γαλαάδ· καὶ ἤρεσεν αὐτοῖς οὕτω.

Κρ. 21,14 - Οι Βενιαμίται, πεισθέντες, επέστρεψαν κατά τον καιρόν εκείνον προς τους Ισραηλίτας, οι οποίοι και έδωκαν εις αυτούς ως συζύγους τας παρθένους, τας οποίας από τας θυγατέρας των κατοίκων της Ιαβίς είχον διατηρήσει εν τη ζώη. Αυτό ηυχαρίστησε τους Βενιαμίτας.

Κρ. 21,15 - Καὶ ὁ λαὸς παρεκλήθη ἐπὶ τῷ Βενιαμίν, ὅτι ἐποίησε Κύριος διακοπὴν ἐν ταῖς φυλαῖς Ἰσραήλ.

Κρ. 21,15 - Ο ισραηλιτικός λαός ησθάνθη συμπάθειαν προς τους Βενιαμίτας και μετεμελήθη τρόπον τινά, διότι ο Κυριος ήνοιξεν ένα ρήγμα εις τας φυλάς του Ισραήλ.

Κρ. 21,16 - καὶ εἶπον οἱ πρεσβύτεροι τῆς συναγωγῆς· τί ποιήσωμεν τοῖς περισσοῖς εἰς γυναῖκας; ὅτι ἠφανίσθη ἀπὸ Βενιαμὶν γυνή.

Κρ. 21,16 - Οι άρχοντες όμως της Ισραηλιτικής κοινότητος είπον· “τι θα κάμωμεν τώρα δια τους υπολοίπους Βενιαμίτας δια την εξεύρεσιν συζύγων προς αυτούς; Διότι εξωντώθησαν όλαι αι γυναίκες της φυλής Βενιαμίν”.

Κρ. 21,17 - καὶ εἶπαν· Κληρονομία διασωζομένων τῶν Βενιαμίν, καὶ οὐκ ἐξαλειφθήσεται φυλὴ ἀπὸ Ἰσραήλ·

Κρ. 21,17 - Είπαν και απεφάσισαν· “η δια κλήρου δοθείσα περιοχή εις την φυλήν Βενιαμίν παραμένεις στους διισωθέντος Βενιαμίτας διότι ουδεμία φυλή εκ των Ισραηλιτών δεν πρέπει να εξαφανισθή.

Κρ. 21,18 - ὅτι ἡμεῖς οὐ δυνησόμεθα δοῦναι αὐτοῖς γυναῖκας ἀπὸ τῶν θυγατέρων ἡμῶν, ὅτι ὠμόσαμεν ἐν υἱοῖς Ἰσραὴλ λέγοντες· ἐπικατάρατος ὁ διδοὺς γυναῖκα τῷ Βενιαμίν.

Κρ. 21,18 - Ημείς όμως δεν ημπορούμεν να δώσωμεν εις αυτούς συζύγους από τας θυγατέρας μας, διότι ωρκίσθημεν μεταξύ μας λέγοντες· Κατηραμένος θα είναι εκείνος που θα δώση σύζυγον στους άνδρας της φυλής Βενιαμίν”.

Κρ. 21,19 - καὶ εἶπαν· ἰδοὺ δὴ ἑορτὴ Κυρίου ἐν Σηλὼμ ἀφ᾿ ἡμερῶν εἰς ἡμέρας, ἥ ἐστιν ἀπὸ βοῤῥᾶ τῆς Βαιθὴλ κατ᾿ ἀνατολάς ἡλίου ἐπὶ τῆς ὁδοῦ τῆς ἀναβαινούσης ἀπό Βαιθὴλ εἰς Συχέμ καὶ ἀπὸ νότου τῆς Λεβωνά.

Κρ. 21,19 - Εσκέφθησαν όμως μεταξύ των και είπον· “ιδού, κατά το διάστημα του έτους τελούνται εορταί προς τιμήν του Κυρίου εις Σηλώμ”. Η πόλις αυτή ευρίσκεται προς βορράν της Βαιθήλ, ανατολικώς της οδού η οποία ανεβαίνει από Βαιθήλ εις Συχέμ και προς νότον της πόλεως Λεβωνά.

Κρ. 21,20 - καὶ ἐνετείλαντο τοῖς υἱοῖς Βενιαμὶν λέγοντες· πορεύεσθε καὶ ἐνεδρεύσατε ἐν τοῖς ἀμπελῶσι·

Κρ. 21,20 - Παρήγγειλαν λοιπόν στους άνδρας της φυλής Βενιαμίν και τους είπαν· "πηγαίνετε και στήσατε ενέδρας στους αμπελώνας έξω από την πόλιν.

Κρ. 21,21 - καὶ ὄψεσθε καὶ ἰδού, ἐὰν ἐξέλθωσιν αἱ θυγατέρες τῶν οἰκούντων Σηλὼ χορεύειν ἐν τοῖς χοροῖς, καὶ ἐξελεύσεσθε ἐκ τῶν ἀμπελώνων καὶ ἁρπάσατε ἑαυτοῖς ἀνὴρ γυναῖκα, ἀπὸ τῶν θυγατέρων Σηλὼμ καὶ πορεύεσθε εἰς γῆν Βενιαμίν.

Κρ. 21,21 - Προσέξατε ώστε όταν εξέλθουν αι θυγατέρες των κατοίκων Σηλώμ να χορεύσουν, αρπάξατε ο καθένας από σας μίαν γυναίκα ως σύζυγόν του από τας θυγατέρας των κατοίκων Σηλώμ και πηγαίνετε εις την χώραν της φυλής Βενιαμίν.

Κρ. 21,22 - καὶ ἔσται ὅταν ἔλθωσιν οἱ πατέρες αὐτῶν ἢ οἱ ἀδελφοὶ αὐτῶν κρίνεσθαι πρὸς ἡμᾶς, καὶ ἐροῦμεν αὐτοῖς· ἔλεος ποιήσατε ἡμῖν αὐτάς, ὅτι οὐκ ἐλάβομεν ἀνὴρ γυναῖκα αὐτοῦ ἐν τῇ παρατάξει, ὅτι οὐχ ὑμεῖς ἐδώκατε αὐτοῖς· ὡς κλῆρος πλημμελήσατε.

Κρ. 21,22 - Εάν δε οι πατέρες η οι αδελφοί αυτών των γυναικών έλθουν να αντιδικήσουν προς σας, ημείς θα είπωμεν προς αυτούς· Δείξατε κατανόησιν και καλωσύνην προς χάριν ημών, διότι κατά την μάχην της Ιαβίς δεν ηχμαλωτίσαμεν γυναίκας ώστε να επαρκέσουν δι' ένα έκαστον άνδρα από τους διισωθέντος Βενιαμίτας. Αλλωστε δεν εδώσατε σεις τας θυγατέρας σας εις αυτούς, ώστε να θεωρηθή αυτό αμάρτημα της φυλής σας δια παράβασιν όρκου".

Κρ. 21,23 - καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Βενιαμὶν καὶ ἔλαβον γυναῖκας εἰς ἀριθμὸν αὐτῶν ἀπὸ τῶν χορευουσῶν, ὧν ἥρπασαν· καὶ ἐπορεύθησαν καὶ ὑπέστρεψαν εἰς τὴν κληρονομίαν αὐτῶν καὶ ᾠκοδόμησαν τὰς πόλεις καὶ ἐκάθισαν ἐν αὐταῖς.

Κρ. 21,23 - Οι άνδρες της φυλής Βενιαμίν έτσι έκαμαν. Επήραν από εκείνας που εχόρευαν τόσας εις αριθμόν, όσαι τους έλειπον. Ηρπασαν τας γυναίκας, ανεχώρησαν και επέστρεψαν εις την χώραν των. Ανοικοδόμησαν τας κατεστραμμένας πόλεις των και εγκατεστάθησαν εις αυτάς.

Κρ. 21,24 - καὶ περιεπάτησαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνὴρ εἰς φυλὴν αὐτοῦ καὶ εἰς συγγένειαν αὐτοῦ, καὶ ἐξῆλθον ἐκεῖθεν ἀνὴρ εἰς τὴν κληρονομίαν αὐτοῦ.

Κρ. 21,24 - Μετά δε το πέρας των πολεμικών αυτών συρράξεων επανήλθον οι Ισραηλίται ο καθένας εις την φυλήν του και την οικογένειάν του. Επέστρεψεν έτσι ο καθένας από εκεί στον τόπον του.

Κρ. 21,25 - ἐν δὲ ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ· ἀνὴρ τὸ εὐθὲς ἐνώπιον αὐτοῦ ἐποίει.

Κρ. 21,25 - Κατά την εποχήν εκείνην δεν υπήρχεν ακόμη βασιλεύς μεταξύ των Ισραηλιτών και ο καθένας από αυτούς έκανεν ο,τι ενόμιζεν ορθόν.

**ΡΟΥΘ**

ΡΟΥΘ 1

Ρουθ. 1,1 - Καὶ ἐγένετο ἐν τῷ κρίνειν τοὺς κριτὰς καὶ ἐγένετο λιμὸς ἐν τῇ γῇ, καὶ ἐπορεύθη ἀνὴρ ἀπὸ Βηθλεὲμ τῆς Ἰούδα τοῦ παροικῆσαι ἐν ἀγρῷ Μωάβ, αὐτὸς καὶ ἡ γυνὴ αὐτοῦ καὶ οἱ δύο υἱοὶ αὐτοῦ.

Ρουθ. 1,1 - Κατά την εποχήν εκείνην που οι Κριταί εκυβερνούσαν τους Ισραηλίτας έπεσε λιμός εις την χώραν αυτών. Εξ αιτίας του λιμού ενας ανήρ από την Βηθλεέμ, της φυλής του Ιούδα, ανεχώρησε να κατοικήση αυτός, η σύζυγός του και οι δύο υιοί του εις την αγροτικήν περιοχήν της Μωάβ.

Ρουθ. 1,2 - καὶ ὄνομα τῷ ἀνδρὶ Ἐλιμέλεχ, καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Νεωμίν, καὶ ὄνομα τοῖς δυσὶν υἱοῖς αὐτοῦ Μααλὼν καὶ Χελαιών, Ἐφραθαῖοι ἐκ Βηθλεὲμ τῆς Ἰούδα· καὶ ἤλθοσαν εἰς ἀγρὸν Μωὰβ καὶ ἦσαν ἐκεῖ.

Ρουθ. 1,2 - Ο ανήρ ωνομάζετο Ελιμέλεχ, η σύζυγός του ωνομάζετο Νωεμίν, τα δε δύο τέκνα του ο ενας Μααλών και ο άλλος Χελαιών. Ησαν Εφραθαίοι, διότι κατήγοντο από την Εφραθά, δηλαδή από την Βηθλεέμ της Ιουδαίας. Αυτοί ήλθον εις αγροτικήν περιοχήν της Μωάβ και εγκατεστάθησαν εκεί.

Ρουθ. 1,3 - καὶ ἀπέθανεν Ἐλιμέλεχ ὁ ἀνὴρ τῆς Νεωμίν, καὶ κατελείφθη αὕτη καὶ οἱ δύο υἱοὶ αὐτῆς.

Ρουθ. 1,3 - Εκεί όμως υστέρα από ολίγον χρόνον απέθανεν ο Ελιμέλεχ, ο σύζυγος της Νωεμίν, και έμεινεν αυτή μόνη με τα δύο τέκνα της.

Ρουθ. 1,4 - καὶ ἐλάβοσαν ἑαυτοῖς γυναῖκας Μωαβίτιδας, ὄνομα τῇ μιᾷ Ὀρφά, καὶ ὄνομα τῇ δευτέρᾳ Ῥούθ· καὶ κατῴκησαν ἐκεῖ ὡς δέκα ἔτη.

Ρουθ. 1,4 - Οι δύο υιοί της επήραν εκεί ως συζύγους γυναίκας Μωαβίτιδας, η μία των οποίων ελέγετο Ορφά η δε άλλη Ρούθ. Παρέμειναν στους αγρούς της χώρας Μωάβ έτι. δέκα έτη.

Ρουθ. 1,5 - καὶ ἀπέθανον καί γε ἀμφότεροι, Μααλὼν καὶ Χελαιών, καὶ κατελείφθη ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς καὶ ἀπὸ τῶν δύο υἱῶν αὐτῆς.

Ρουθ. 1,5 - Επειτα απέθαναν και οι δύο υιοί, ο Μααλών και ο Χελαιών, και έτσι έμειναν η Νωεμίν χήρα από άνδρα και ερήμη από τα δυο παιδιά της.

Ρουθ. 1,6 - καὶ ἀνέστη αὕτη καὶ αἱ δύο νύμφαι αὐτῆς καὶ ἀπέστρεψαν ἐξ ἀγροῦ Μωάβ, ὅτι ἤκουσεν ἐν ἀγρῷ Μωὰβ ὅτι ἐπέσκεπται Κύριος τὸν λαὸν αὐτοῦ δοῦναι αὐτοῖς ἄρτους,

Ρουθ. 1,6 - Εξ αιτίας της θλίψεώς της και επειδή επληροφορήθη ότι ο Θεός ηλέησε τον ισραηλιτικόν λαόν και έδωσεν εις αυτόν άρτους, εξεκίνησεν η Νωεμίν και αι δύο νύμφαι της, εγκατέλειψαν την αγροτικήν περιοχήν της Μωάβ,

Ρουθ. 1,7 - καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου, οὗ ἦν ἐκεῖ, καὶ αἱ δύο νύμφαι αὐτῆς μετ᾿ αὐτῆς· καὶ ἐπορεύοντο ἐν τῇ ὁδῷ τοῦ ἐπιστρέψαι εἰς τὴν γῆν Ἰούδα.

Ρουθ. 1,7 - και ανεχώρησαν από τον τόπον, όπου ευρίσκοντο. Μαζή δέ με την Νωεμίν ηκολούθησαν και αι δύο νύμφαι της. Επροχωρούσαν στον δρόμον της επιστροφής των εις την χώραν της φυλής του Ιούδα.

Ρουθ. 1,8 - καὶ εἶπε Νωεμὶν ταῖς δυσὶ νύμφαις αὐτῆς· πορεύεσθαι δή, ἀποστράφητε ἑκάστη εἰς οἶκον μητρὸς αὐτῆς· ποιήσαι Κύριος μετ᾿ ὑμῶν ἔλεος, καθὼς ἐποιήσατε μετὰ τῶν τεθνηκότων καὶ μετ᾿ ἐμοῦ·

Ρουθ. 1,8 - Εις κάποιο σημείον της πορείας των είπεν η Νωεμίν εις τας δύο νύμφας της· “επιστρέψατε, σας παρακαλώ, και πηγαίνετε κάθε μία στον οίκον της μητρός της. Εύχομαι να δείξη ο Κυριος καλωσύνην και στοργήν προς σας, όπως και σεις εδείξατε καλωσύνην προς τα αποθανόντα τέκνα μου και προς εμέ.

Ρουθ. 1,9 - δῴη Κύριος ὑμῖν καὶ εὕροιτε ἀνάπαυσιν ἑκάστη ἐν οἴκῳ ἀνδρὸς αὐτῆς· καὶ κατεφίλησεν αὐτάς, καὶ ἐπῇραν τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν.

Ρουθ. 1,9 - Είθε ο Κυριος να δώση προς σας την χάριν και προστασίαν του, ώστε κάθε μία από σας να εύρη ανάπαυσιν στον οίκον του νέου ανδρός, που θα λάβη”. Επειτα η Νωεμίν κατεφίλησεν αυτάς και εκείναι ύψωσαν την φωνήν, έκλαυσαν,

Ρουθ. 1,10 - καὶ εἶπαν αὐτῇ· μετὰ σοῦ ἐπιστρέφομεν εἰς τὸν λαόν σου.

Ρουθ. 1,10 - και είπαν προς αυτήν· “μαζή σου θα γυρίσωμεν στον λαόν σου”.

Ρουθ. 1,11 - καὶ εἶπε Νωεμίν· ἐπιστράφητε δή, θυγατέρες μου· καὶ ἱνατί πορεύεσθε μετ᾿ ἐμοῦ; μὴ ἔτι μοι υἱοὶ ἐν τῇ κοιλίᾳ μου καὶ ἔσονται ὑμῖν εἰς ἄνδρας;

Ρουθ. 1,11 - Η Νωεμίν απήντησε προς αυτάς· “επιστρέψατε σας παρακαλώ, θυγατέρες μου, οπίσω. Τι λόγος υπάρχει να πορευθήτε μαζή μου; Μηπως έχω άλλα τέκνα εις την κοιλίαν μου, δια να γίνουν αυτά σύζυγοί σας;

Ρουθ. 1,12 - ἐπιστράφητε δή, θυγατέρες μου, διότι γεγήρακα τοῦ μὴ εἶναι ἀνδρί· ὅτι εἶπα, ὅτι ἔστι μοι ὑπόστασις τοῦ γενηθῆναί με ἀνδρὶ καὶ τέξομαι υἱούς,

Ρουθ. 1,12 - Επιστρέψατε, σας παρακαλώ, θυγατέρες μου, διότι εγώ έχω πλέον γηράσει και δεν πρόκειται να υπανδρευθώ, ώστε να γεννήσω παιδιά.

Ρουθ. 1,13 - μὴ αὐτοὺς προσδέξεσθαι ἕως οὗ ἁδρυνθῶσιν; ἢ αὐτοῖς κατασχεθήσεσθε τοῦ μὴ γενέσθαι ἀνδρί; μὴ δή, θυγατέρες μου, ὅτι ἐπικράνθη μοι ὑπὲρ ὑμᾶς, ὅτι ἐξῆλθεν ἐν ἐμοὶ χεὶρ Κυρίου.

Ρουθ. 1,13 - Και αν αυτό το αδύνατον γίνη, μήπως σεις θα περιμένετε, έως ότου αυτά γίνουν άνδρες; Η μήπως προς χάριν αυτών θα συγκρατήσετε εαυτάς, ώστε να μην υπανδρευθήτε άλλον; Μη λοιπόν, θυγατέρες μου, επιμένετε να έλθετε μαζή μου. Επιστρέψατε εις τας οικογενείας σας, διότι εγώ είμαι λυπημένη και δια σας, επειδή το χέρι του Κυρίου έπεσεν επάνω μου”.

Ρουθ. 1,14 - καὶ ἐπῇραν τὴν φωνὴν αὐτῶν καὶ ἔκλαυσαν ἔτι· καὶ κατεφίλησεν Ὀρφὰ τὴν πενθερὰν αὐτῆς καὶ ἐπέστρεψεν εἰς τὸν λαὸν αὐτῆς, Ῥοὺθ δὲ ἠκολούθησεν αὐτῇ.

Ρουθ. 1,14 - Και πάλιν εκείναι ύψωσαν φωνήν και έκλαυσαν ακόμη. Και η μεν Ορφά, υποχωρήσασα εις τας προτροπάς της πενθεράς της, εφίλησεν αυτήν με σπαραγμόν καρδίας και επέστρεψεν στον λαόν της, η Ρούθ όμως ηκολούθησε την πενθεράν της.

Ρουθ. 1,15 - καὶ εἶπε Νωεμὶν πρὸς Ῥούθ· ἰδοὺ ἀνέστρεψεν ἡ σύννυμφός σου πρὸς λαὸν αὐτῆς καὶ πρὸς τοὺς θεοὺς αὐτῆς· ἐπιστράφηθι δὴ καὶ σὺ ὀπίσω τῆς συννύμφου σου.

Ρουθ. 1,15 - Είπε τότε η Νωεμίν προς την Ρούθ· “ιδού, η συννυφάδα σου επέστρεψεν στον λαόν της και στους θεούς της. Επίστρεψε, σε παρακαλώ, και συ και πήγαινε μαζή με την συννυφάδα σου”.

Ρουθ. 1,16 - εἶπε δὲ Ῥούθ· μὴ ἀπάντησαί μοι τοῦ καταλιπεῖν σε ἢ ἀποστρέψαι ὄπισθέν σου· ὅτι σὺ ὅπου ἐὰν πορευθῇς, πορεύσομαι, καὶ οὗ ἐὰν αὐλισθῇς, αὐλισθήσομαι· ὁ λαός σου λαός μου, καὶ ὁ Θεός σου Θεός μου·

Ρουθ. 1,16 - Η Ρούθ όμως απήντησε· “μη επιμένης και μη με στενοχωρής να σε εγκαταλείψω και να γυρίσω οπίσω, διότι όπου συ πορευθής και εγώ θα πορευθώ μαζή σου· όπου συ κατοικήσης, εκεί θα κατοικήσω και εγώ. Ο λαός σου θα είναι λαός μου και ο Θεός σου θα είναι Θεός μου.

Ρουθ. 1,17 - καὶ οὗ ἐὰν ἀποθάνῃς, ἀποθανοῦμαι, κἀκεῖ ταφήσομαι· τάδε ποιῆσαι μοι Κύριος καὶ τάδε προσθείη, ὅτι θάνατος διαστελεῖ ἀναμέσον ἐμοῦ καὶ σοῦ.

Ρουθ. 1,17 - Οπου αποθάνης και ταφής, εκεί και εγώ θα αποθάνω και θα ταφώ. Ο Κυριος ας μου ανταποδώση και ας με τιμωρήση, αν πράξω διαφορετικά. Ο θάνατος μόνον θα χωρίση εμέ από σέ”.

Ρουθ. 1,18 - ἰδοῦσα δὲ Νωεμὶν ὅτι κραταιοῦται αὐτὴ τοῦ πορεύεσθαι μετ᾿ αὐτῆς, ἐκόπασε τοῦ λαλῆσαι πρὸς αὐτὴν ἔτι.

Ρουθ. 1,18 - Οταν η Νωεμίν είδεν ότι η Ρουθ είχε σταθεράν και αμετακίνητον απόφασιν να πορευθή μαζή της, έπαυσε πλέον να ομιλή προς αυτήν επί του ζητήματος τούτου.

Ρουθ. 1,19 - ἐπορεύθησαν δὲ ἀμφότεραι, ἕως τοῦ παραγενέσθαι αὐτὰς εἰς Βηθλεέμ. καὶ ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτάς εἰς Βηθλεέμ, καὶ ἤχησε πᾶσα

ἡ πόλις ἐπ᾿ αὐταῖς καὶ εἶπον· εἰ αὕτη ἐστὶ Νωεμίν;

Ρουθ. 1,19 - Συνέχισαν και αι δύο τον δρόμον των, έως ότου έφθασαν εις την Βηθλεέμ. Οταν δε έφθασαν εις την Βηθλεέμ, ολόκληρος η πόλις, μάλιστα δε αι γυναίκες της Βηθλεέμ, συνεκινήθησαν δια τας δύο γυναίκας και έλεγαν μεγαλοφώνως· “άραγε αυτή είναι η Νωεμίν;”

Ρουθ. 1,20 - καὶ εἶπε πρὸς αὐτάς· μὴ δὴ καλεῖτέ με Νωεμίν, καλέσατέ με Πικράν, ὅτι ἐπικράνθη ἐν ἐμοὶ ὁ ἱκανὸς σφόδρα·

Ρουθ. 1,20 - Εκείνη δε απήντησε προς αυτάς· “μη με καλήτε Νωεμίν (δηλαδή ευχάριστον και γλυκείαν), αλλά ονομάσατέ με Πικράν, διότι ο Παντοδύναμος μου έστειλε πολλάς πικρίας.

Ρουθ. 1,21 - ἐγὼ πλήρης ἐπορεύθην, καὶ κενὴν ἀπέστρεψέ με ὁ Κύριος· καὶ ἱνατί καλεῖτέ με Νωεμίν; καὶ Κύριος ἐταπείνωσέ με, καὶ ὁ ἱκανὸς ἐκάκωσέ με.

Ρουθ. 1,21 - Εγώ, οικογενειακώς με τον άνδρα μου και τα δύο τέκνα μου, επήγα εις την Μωάβ, και ο Κυριος με επανέφερε τώρα μόνην, χήραν και άτεκνον. Διατί λοιπόν, με καλείτε Νωεμίν; Ο Κυριος με εταπείνωσεν, ο Παντοδύναμος με έθλιψεν”.

Ρουθ. 1,22 - καὶ ἐπέστρεψε Νωεμὶν καὶ Ῥοὺθ ἡ Μωαβῖτις ἡ νύμφη αὐτῆς ἐπιστρέφουσαι ἐξ ἀγροῦ Μωάβ· αὗται δὲ παρεγενήθησαν εἰς Βηθλεὲμ ἐν ἀρχῇ θερισμοῦ κριθῶν.

Ρουθ. 1,22 - Ετσι επέστρεψεν η Νωεμίν και η Μωαβίτις νύμφη της Ρούθ από τους αγρούς της Μωάβ. Εφθασαν δε αυταί εις την Βηθλεέμ, όταν ήρχιζεν ο θερισμός της κριθής.

## ΡΟΥΘ 2

Ρουθ. 2,1 - Καὶ τῇ Νωεμὶν ἀνὴρ γνώριμος τῷ ἀνδρὶ αὐτῆς· ὁ δὲ ἀνὴρ δυνατὸς ἰσχύϊ ἐκ τῆς συγγενείας Ἐλιμέλεχ, καὶ ὄνομα αὐτῷ Βοόζ.

Ρουθ. 2,1 - Εις την Νωεμίν ήτο γνωστός ένας ανήρ, συγγενής του ανδρός της. Αυτός δε ο ανήρ ήτο πλούσιος και επίσημος, κατήγετο από την οικογένειαν του Ελιμέλεχ του ανδρός της, και ωνομάζετο Βοόζ.

Ρουθ. 2,2 - καὶ εἶπε Ῥοὺθ ἡ Μωαβῖτις πρὸς Νωεμίν· πορευθῶ δὴ εἰς ἀγρὸν καὶ συνάξω ἐν τοῖς στάχυσι κατόπισθεν οὗ ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς αὐτοῦ. εἶπε δὲ αὐτῇ· πορεύου, θύγατερ.

Ρουθ. 2,2 - Η Ρούθ η Μωαβίτις είπε προς την Νωεμίν· “να μεταβώ λοιπόν εις αγρόν να μαζέψω στάχυα όπισθεν εκείνου, ο οποίος θα μου κάμη αυτήν την χάριν και την καλωσύνην;” Η Νωεμίν είπε προς αυτήν· “πήγαινε, κόρη μου”.

Ρουθ. 2,3 - καὶ ἐπορεύθη καὶ ἐλθοῦσα συνέλεξεν ἐν τῷ ἀγρῷ κατόπισθεν τῶν θεριζόντων· καὶ περιέπεσε περιπτώματι τῇ μερίδι τοῦ ἀγροῦ

Βοὸζ τοῦ ἐκ τῆς συγγενείας Ἐλιμέλεχ.

Ρουθ. 2,3 - Η Ρούθ επήγεν, ήλθεν εις κάποιον αγρόν και εμάζευε στάχυα πίσω από τους θεριστάς. Κατά αγαθήν δε σύμπτωσιν συνέβη να έλθη εις αγρόν, ο οποίος ανήκεν στον Βοόζ, τον καταγόμενον από την οικογένειαν του Ελιμέλεχ.

Ρουθ. 2,4 - καὶ ἰδοὺ Βοὸζ ἦλθεν ἐκ Βηθλεὲμ καὶ εἶπε τοῖς θερίζουσι· Κύριος μεθ᾿ ὑμῶν· καὶ εἶπον αὐτῷ· εὐλογήσαι σε Κύριος.

Ρουθ. 2,4 - Και ιδού εις κάποιον ώραν ήλθεν από την Βηθλεέμ ο Βοόζ και είπε προς τους θεριστάς· “ο Κυριος μαζή σας”. Εκείνοι δε του απήντησαν· “είθε να σε ευλογήση ο Κυριος”.

Ρουθ. 2,5 - καὶ εἶπε Βοὸζ τῷ παιδαρίῳ αὐτοῦ τῷ ἐφεστῶτι ἐπὶ τοὺς θερίζοντας· τίνος ἡ νεᾶνις αὕτη;

Ρουθ. 2,5 - Είπε δε ο Βοόζ στον νεαρόν δούλον του, ο οποίος ήτο επιστάτης στους θεριστάς· “τίνος είναι αυτή η νεαρά γυνή;”

Ρουθ. 2,6 - καὶ ἀπεκρίθη τὸ παιδάριον τὸ ἐφεστὼς ἐπὶ τοὺς θερίζοντας καὶ εἶπεν· ἡ παῖς ἡ Μωαβῖτίς ἐστιν ἡ ἀποστραφεῖσα μετὰ Νωεμὶν ἐξ ἀγροῦ Μωὰβ

Ρουθ. 2,6 - Ο νεαρός δούλος, ο επιστάτης των θεριστών, είπε προς αυτόν· “αυτή είναι Μωαβίτις, η οποία επέστρεψε μαζή με την Νωεμίν από τους αγρούς της Μωάβ.

Ρουθ. 2,7 - καὶ εἶπε· συλλέξω δὴ καὶ συνάξω ἐν τοῖς δράγμασιν ὄπισθεν τῶν θεριζόντων· καὶ ἦλθε καὶ ἔστη ἀπὸ πρωΐθεν καὶ ἕως ἑσπέρας, οὐ κατέπαυσεν ἐν τῷ ἀγρῷ μικρόν.

Ρουθ. 2,7 - Με παρεκάλεσε δε και μου είπε· Δος μου την άδειαν να μαζέψω και να συγκεντρώσω μερικά στάχυα μεταξύ των δεματιών πίσω από τους θεριστάς. Ηλθε και από το πρωί έως το βράδυ δεν εσταμάτησεν ούτε επ' ολίγον να μαζεύη στάχυα στο χωράφι”.

Ρουθ. 2,8 - καὶ εἶπε Βοὸζ πρὸς Ῥούθ· οὐκ ἤκουσας, θύγατερ; μὴ πορευθῇς ἐν ἀγρῷ συλλέξαι ἑτέρῳ, καὶ σὺ οὐ πορεύσῃ ἐντεῦθεν· ὧδε κολλήθητι μετὰ τῶν κορασίων μου·

Ρουθ. 2,8 - Ο Βοόζ εκάλεσε την Ρούθ και της είπεν· “δεν άκουσες, κόρη μου, τι είπα στον επιστάτην μου; Να μην πας εις άλλον αγρόν, δια να μαζέψης στάχυα και να μη απομακρυνθής από εδώ. Προσκολλήσου εδώ μαζή με τας υπηρετρίας μου.

Ρουθ. 2,9 - οἱ ὀφθαλμοί σου εἰς τὸν ἀγρόν, οὗ ἐὰν θερίζωσι, καὶ πορεύσῃ κατόπισθεν αὐτῶν· ἰδοὺ ἐνετειλάμην τοῖς παιδαρίοις τοῦ μὴ ἅψαισθαί σου· καὶ ὅτε διψήσεις καὶ πορευθήσῃ εἰς τὰ σκεύη καὶ πίεσαι ὅθεν ἐὰν ὑδρεύωνται τὰ παιδάρια.

Ρουθ. 2,9 - Κυτταξε ποιός είναι ο αγρός στον οποίον οι θερισταί μου θερίζουν, και πήγαινε πίσω από αυτούς, δια να μαζεύης στάχυα. Ιδού εγώ

έδωσα εντολήν στους υπηρέτας μου, να μη σε πειράξη κανείς. Οταν διψήσης θα πας εις τα δοχεία του ύδατος και θα πιής από εκεί, όπου πίνουν και οι δούλοι μου”.

Ρουθ. 2,10 - καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτῆς καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν καὶ εἶπε πρὸς αὐτόν· τί ὅτι εὗρον χάριν ἐν ὀφθαλμοῖς σου τοῦ ἐπιγνῶναί με, καὶ ἐγώ εἰμι ξένη;

Ρουθ. 2,10 - Επεσεν εκείνη με το πρόσωπον κατά γης, προσεκύνησεν αυτόν μέχρις εδάφους και του είπε· “πως συνέβη, ώστε εγώ μία ξένη γυναίκα να εύρω χάριν ενώπιόν σου και με τόσην ευμένειαν να ενδιαφερθής δι' εμέ;”

Ρουθ. 2,11 - καὶ ἀπεκρίθη Βοὸζ καὶ εἶπεν αὐτῇ· ἀπαγγελίᾳ ἀπηγγέλη μοι ὅσα πεποίηκας μετὰ τῆς πενθερᾶς σου μετὰ τὸ ἀποθανεῖν τὸν ἄνδρα σου καὶ πῶς κατέλιπες τὸν πατέρα σου καὶ τὴν μητέρα σου καὶ τὴν γῆν γενέσεώς σου καὶ ἐπορεύθης πρὸς λαόν, ὃν οὐκ ᾔδεις ἐχθὲς καὶ τρίτης·

Ρουθ. 2,11 - Ο Βοόζ της απήντησεν· “επληροφορήθην λεπτομερώς, πόσον καλά εφέρθης απέναντι της πενθεράς σου, όταν απέθανεν ο άνδρας σου, και πως χάριν αυτής εγκατέλειψες τον πατέρα σου και την μητέρα σου, τον τόπον όπου εγεννήθης και επορεύθης προς ένα λαόν, τον οποίον προηγουμένως δεν είχες γνωρίσει.

Ρουθ. 2,12 - ἀποτίσαι Κύριος τὴν ἐργασίαν σου καὶ γένοιτο ὁ μισθός σου πλήρης παρὰ Κυρίου Θεοῦ Ἰσραήλ, πρὸς ὃν ἦλθες πεποιθέναι ὑπὸ τὰς πτέρυγας αὐτοῦ.

Ρουθ. 2,12 - Εύχομαι να βραβεύση ο Κυριος αυτό το έργον σου, πλούσιος να είναι ο μισθός σου εκ μέρους Κυρίου του Θεού του Ισραήλ, προς τον οποίον ήλθες δια να τεθής με πίστιν κάτω από τας προστατευτικάς του πτέρυγας”.

Ρουθ. 2,13 - ἡ δὲ εἶπεν· εὕροιμι χάριν ἐν ὀφθαλμοῖς σου, κύριε, ὅτι παρεκάλεσάς με καὶ ὅτι ἐλάλησας ἐπὶ καρδίαν τῆς δούλης σου, καὶ ἰδοὺ ἐγὼ ἔσομαι ὡς μία τῶν παιδισκῶν σου.

Ρουθ. 2,13 - Η δε Ρούθ είπεν· “είθε να είμαι πάντοτε υπό την ευμένειάν σου αυτήν, κύριε, διότι με παρηγόρησες και ωμίλησες εις την καρδίαν της δούλης σου. Και ιδού εγώ θα είμαι μία από τας δούλας σου”.

Ρουθ. 2,14 - καὶ εἶπεν αὐτῇ Βοόζ· ἤδη ὥρα τοῦ φαγεῖν, πρόσελθε ὧδε καὶ φάγεσαι τῶν ἄρτων καὶ βάψεις τὸν ψωμόν σου ἐν τῷ ὄξει. καὶ ἐκάθισε Ῥοὺθ ἐκ πλαγίων τῶν θεριζόντων, καὶ ἐβούνισεν αὐτῇ Βοὸζ ἄλφιτον, καὶ ἔφαγε καὶ ἐνεπλήσθη καὶ κατέλιπε.

Ρουθ. 2,14 - Ο Βοόζ κατόπιν της είπεν· “είναι τώρα ώρα φαγητού. Πλησίασε εδώ να φάγης άρτον και να βουτήξης το κομμάτι του άρτου στο ξύδι”. Η Ρουθ εκάθισε κοντά στους θεριστάς, ο δε Βοόζ εσώρευσεν εις αυτήν άρτον από αποφλοιωμένην κριθήν. Η Ρούθ έφαγεν, εχόρτασε και αφήκε περίσσευμα.

Ρουθ. 2,15 - καὶ ἀνέστη τοῦ συλλέγειν, καὶ ἐνετείλατο Βοὸζ τοῖς παιδαρίοις αὐτοῦ λέγων· καί γε ἀνὰ μέσον τῶν δραγμάτων συλλεγέτω, καὶ μὴ καταισχύνητε αὐτήν·

Ρουθ. 2,15 - Κατόπιν δε ηγέρθη και ήρχισε να συλλέγη στάχυα. Ο Βοόζ έδωσεν εντολήν στους δούλους του και είπεν· "η Ρούθ ας μαζεύη στάχυα ανάμεσα ακόμη και από τα δεμάτια· να μη την διώξετε και την εντροπιάσετε.

Ρουθ. 2,16 - καὶ βαστάζοντες βαστάσατε αὐτῇ καί γε παραβάλλοντες παραβαλεῖτε αὐτῇ ἐκ τῶν βεβουνισμένων· καὶ φάγεται καὶ συλλέξει, καὶ οὐκ ἐπιτιμήσετε αὐτῇ.

Ρουθ. 2,16 - Ακόμη δε από τα δεμάτια, που μεταφέρετε, αφήσατε να πίπτουν στάχυα χάριν αυτής και από τα συσσωρευμένα δεμάτια ρίψατε ακόμη μερικά. Αυτή δε θα έχη το δικαίωμα να τα συλλέξη δια την διατροφήν της, χωρίς κανείς από σας να της κάμη παρατήρησιν".

Ρουθ. 2,17 - καὶ συνέλεξεν ἐν τῷ ἀγρῷ ἕως ἑσπέρας· καὶ ἐῤῥάβδισεν ἃ συνέλεξε, καὶ ἐγενήθη ὡς οἰφὶ κριθῶν.

Ρουθ. 2,17 - Η Ρούθ συνέλεξεν στον αγρόν στάχυα μέχρι της εσπέρας οπότε και τα ερράβδισε. Το προϊόν από τα συγκεντρωθέντα στάχυα της κριθής ένα οιφί (είκοσι περίπου κιλά).

Ρουθ. 2,18 - καὶ ἦρε καὶ εἰσῆλθεν εἰς τὴν πόλιν, καὶ εἶδεν ἡ πενθερὰ αὐτῆς ἃ συνέλεξε, καὶ ἐξενέγκασα Ῥοὺθ ἔδωκεν αὐτῇ ἃ κατέλιπεν, ἐξ ὧν ἐνεπλήσθη.

Ρουθ. 2,18 - Επήρε τα φορτίον της αυτό και μετέβη εις την πόλιν προς την πενθεράν της, η οποία και είδεν όλον αυτό, που είχε συλλέξει η Ρούθ. Η Ρούθ παρουσίασε και έδωκεν εις την πενθεράν της και το φαγητόν που της επερίσσευσεν αφού αυτή είχε χορτάσει.

Ρουθ. 2,19 - καὶ εἶπεν αὐτῇ ἡ πενθερὰ αὐτῆς· ποῦ συνέλεξας σήμερον καὶ ποῦ ἐποίησας; εἴη ὁ ἐπιγνούς σε εὐλογημένος. καὶ ἀνήγγειλε Ῥοὺθ τῇ πενθερᾷ αὐτῆς ποῦ ἐποίησε, καὶ εἶπε· τὸ ὄνομα τοῦ ἀνδρός, μεθ᾿ οὗ ἐποίησα σήμερον, Βοόζ.

Ρουθ. 2,19 - Η πενθερά της την ερώτησε· "που εσταχυολόγησες σήμερον, που εμάζευσες αυτήν την κριθήν; Ας είναι ευλογημένος εκείνος, ο οποίος εφρόντισε δια σέ". Η Ρουθ ανήγγειλεν εις την πενθεράν της, που εσταχυολόγησε και προσέθεσεν· "ο ανήρ, στον αγρόν του οποίου σήμερον ειργάσθην, ονομάζεται Βοόζ".

Ρουθ. 2,20 - εἶπε δὲ Νωεμὶν τῇ νύμφῃ αὐτῆς· εὐλογητός ἐστι τῷ Κυρίῳ, ὅτι οὐκ ἐγκατέλιπε τὸ ἔλεος αὐτοῦ μετὰ τῶν ζώντων καὶ μετὰ τῶν τεθνηκότων. καὶ εἶπεν αὐτῇ Νωεμίν· ἐγγίζει ἡμῖν ὁ ἀνήρ, ἐκ τῶν ἀγχιστευόντων ἡμῖν ἐστι.

Ρουθ. 2,20 - Η δε Νωεμίν είπε προς την νύμφην της· "είναι άξιος των ευλογιών του Κυρίου ο άνθρωπος αυτός, διότι έδειξε καλωσύνην και

ευμένειαν και προς ημάς, που ζώμεν, και προς τους οικείους μας, οι οποίοι έχουν αποθάνει”. Και προσέθεσεν ακόμη η Νωεμίν· “με τον άνθρωπον αυτόν συγγενεύομεν· είναι μάλιστα από τους στενούς συγγενείς μας”.

Ρουθ. 2,21 - καὶ εἶπε Ῥοὺθ πρὸς τὴν πενθερὰν αὐτῆς· καί γε ὅτι εἶπε πρός με· μετὰ τῶν κορασίων τῶν ἐμῶν προσκολλήθητι ἕως ἂν τελέσωσιν ὅλον τὸν ἀμητόν, ὃς ὑπάρχει μοι.

Ρουθ. 2,21 - Είπεν η Ρουθ προς την πενθεράν της· “μου είπεν ακόμη αυτός ο άνθρωπος· Να πηγαίνης μαζή με τας υπηρετρίας μου, μέχρις ότου τελειώση όλος ο θερισμός, που υπάρχει στους αγρούς μου”.

Ρουθ. 2,22 - καὶ εἶπε Νωεμὶν πρὸς Ῥοὺθ τὴν νύμφην αὐτῆς· ἀγαθόν, θύγατερ, ὅτι ἐξῆλθες μετὰ τῶν κορασίων αὐτοῦ, καὶ οὐκ ἀπαντήσονταί σοι ἐν ἀγρῷ ἑτέρῳ.

Ρουθ. 2,22 - Η Νωεμίν είπε προς την Ρουθ την νύμφην της· “είναι καλόν, κόρη μου, ότι εξέρχεσαι εις σταχυολογίαν με τας υπηρετρίας του ανθρώπου αυτού, και έτσι δεν υπάρχει φόβος μεταβαίνουσα εις άλλον αγρόν να σε συναντήσουν και σε κακομεταχειρισθούν άλλοι”.

Ρουθ. 2,23 - καὶ προσεκολλήθη Ῥοὺθ τοῖς κορασίοις τοῦ Βοὸζ τοῦ συλλέγειν ἕως τοῦ συντελέσαι τὸν θερισμὸν τῶν κριθῶν καὶ τῶν πυρῶν.

Ρουθ. 2,23 - Η Ρούθ ενετάχθη εις την ομάδα των κορασίων του Βοόζ, ώστε να συλλέγη στάχυα κριθής και σίτου μέχρι πέρατος του θερισμού.

## ΡΟΥΘ 3

Ρουθ. 3,1 - Καὶ ἐκάθισε μετὰ τῆς πενθερᾶς αὐτῆς. εἶπε δὲ αὐτῇ Νωεμὶν ἡ πενθερὰ αὐτῆς· θύγατερ, οὐ μὴ ζητήσω σοι ἀνάπαυσιν, ἵνα εὖ γένηταί σοι;

Ρουθ. 3,1 - Εκάθισεν η Ρούθ μετά το πέρας του θερισμού μαζή με την πενθεράν της. Η Νωεμίν, η πενθερά της, της είπε· “κόρη μου, εγώ δεν είμαι υποχρεωμένη να αναζητήσω και εύρω δια σε τόπον και τρόπον αναπαύσεώς σου, ώστε να ζήσης από εδώ και πέρα ευτυχισμένη;

Ρουθ. 3,2 - καὶ νῦν οὐχὶ Βοὸζ γνώριμος ἡμῶν, οὗ ἦς μετὰ τῶν κορασίων αὐτοῦ; ἰδοὺ αὐτὸς λικμᾷ τὸν ἅλωνα τῶν κριθῶν ταύτῃ τῇ νυκτί.

Ρουθ. 3,2 - Λοιπόν, δεν ηξεύρεις ότι ο Βοόζ, εις τας υπηρετρίας του οποίου έχεις προσκολληθή, είναι συγγενής μας; Ιδού, ότι αυτός λιχνίζει το κριθάρι του στο αλώνι κατά την νύκτα αυτήν.

Ρουθ. 3,3 - σὺ δὲ λούσῃ καὶ ἀλείψῃ καὶ περιθήσεις τὸν ἱματισμόν σου ἐπί σεαυτῇ καὶ ἀναβήσῃ ἐπὶ τὸν ἅλω· μὴ γνωρισθῇς τῷ ἀνδρὶ ἕως τοῦ συντελέσαι αὐτὸν τοῦ φαγεῖν καὶ πιεῖν·

Ρουθ. 3,3 - Συ να λουσθής, να αλειφθής με αρωματικον έλαιον, να φορέσης το καλύτερόν σου φόρεμα και να μεταβής στο αλώνι του. Πρόσεξε όμως να μη σε γνωρίση, έως ότου τελείωση το φαγητόν και το ποτόν.

Ρουθ. 3,4 - καὶ ἔσται ἐν τῷ κοιμηθῆναι αὐτόν, καὶ γνώσῃ τὸν τόπον ὅπου κοιμᾶται ἐκεῖ, καὶ ἐλεύσῃ καὶ ἀποκαλύψεις τὰ πρὸς ποδῶν αὐτοῦ καὶ κοιμηθήσῃ, καὶ αὐτὸς ἀπαγγελεῖ σοι ἃ ποιήσεις.

Ρουθ. 3,4 - Οταν δε θα μεταβή αυτός να κοιμηθή θα προσέξης τον τόπον, όπου θα κοιμάται. Θα πλησιάσης και συ εκεί, θα ανασύρης το σκέπασμα από τα πόδια του και θα κοιμηθής εκεί. Αυτός δε όταν εξυπνήσης, θα σου πη, τι πρέπει να κάμης”.

Ρουθ. 3,5 - εἶπε δὲ Ῥοὺθ πρὸς αὐτήν· πάντα ὅσα ἂν εἴπῃς, ποιήσω.

Ρουθ. 3,5 - Η Ρούθ απήντησε προς αυτήν· “όλα όσα μου είπες θα πράξω”.

Ρουθ. 3,6 - καὶ κατέβη εἰς τὸν ἅλω καὶ ἐποίησε κατὰ πάντα, ὅσα ἐνετείλατο αὐτῇ ἡ πενθερὰ αὐτῆς.

Ρουθ. 3,6 - Κατέβηκε πράγματι στο αλώνι και έκαμε όλα όσα της είχε δώσει εντολήν η πενθερά της.

Ρουθ. 3,7 - καὶ ἔφαγε Βοὸζ καὶ ἔπιε καὶ ἠγαθύνθη ἡ καρδία αὐτοῦ, καὶ ἦλθε κοιμηθῆναι ἐν μερίδι τῆς στοιβῆς· ἡ δὲ ἦλθε κρυφῇ καὶ ἀπεκάλυψε τὰ πρὸς ποδῶν αὐτοῦ.

Ρουθ. 3,7 - Ο Βοόζ έφαγεν, έπιεν, ηυφράνθη η καρδία του και έπειτα ήλθε να κοιμηθή εις κάποιο άκρον της θημωνιάς. Η Ρούθ ήλθεν εκεί κρυφίως, ανέσυρε το σκέπασμα των ποδών του Βοόζ και εκοιμήθη εκεί.

Ρουθ. 3,8 - ἐγένετο δὲ ἐν τῷ μεσονυκτίῳ καὶ ἐξέστη ὁ ἀνὴρ καὶ ἐταράχθη, καὶ ἰδοὺ γυνὴ κοιμᾶται πρὸς ποδῶν αὐτοῦ.

Ρουθ. 3,8 - Κατά το μεσονύκτιον εξύπνησεν ο Βοόζ, εξεπλάγη και εταράχθη, διότι χωρίς να το φαντάζεται, είδε μίαν γυναίκα να κοιμάται κοντά εις τα πόδια του.

Ρουθ. 3,9 - εἶπε δέ· τίς εἶ σύ; ἡ δὲ εἶπεν· ἐγώ εἰμι Ῥοὺθ ἡ δούλη σου, καὶ περιβαλεῖς τὸ πτερύγιόν σου ἐπὶ τὴν δούλην σου, ὅτι ἀγχιστεὺς εἶ σύ.

Ρουθ. 3,9 - Ο Βοόζ την ηρώτησε· “ποία είσαι συ;” Εκείνη είπεν· “εγώ είμαι η Ρούθ, η δούλη σου. Σκέπασε την δούλην σου με το άκρον του ιματίου σου εις δείγμα της προστασίας, την οποίαν πρέπει να της προσφέρης, διότι είσαι συγγενής μου”.

Ρουθ. 3,10 - καὶ εἶπε Βοόζ· εὐλογημένη σὺ τῷ Κυρίῳ Θεῷ, θύγατερ, ὅτι ἠγάθυνας τὸ ἔλεός σου τὸ ἔσχατον ὑπὲρ τὸ πρῶτον, μὴ πορευθῆναί σε ὀπίσω νεανιῶν, εἴτοι πτωχὸς εἴτοι πλούσιος.

Ρουθ. 3,10 - Ο Βοόζ είπε προς αυτήν· “κόρη μου, ας είσαι ευλογημένη από τον Κυριον και Θεόν, διότι αυτή η στοργή και η καλωσύνη σου είναι μεγαλύτερα από την προηγουμένην, που έδειξες προς την πενθεράν σου, αφού δεν εξέλεξες να υπανδρευθής νέους, είτε πτωχοί είτε πλούσιοι είναι αυτοί.

Ρουθ. 3,11 - καὶ νῦν, θύγατερ, μὴ φοβοῦ· πάντα, ὅσα ἐὰν εἴπῃς, ποιήσω σοι· οἶδε γὰρ πᾶσα φυλὴ λαοῦ μου ὅτι γυνὴ δυνάμεως εἶ σύ.

Ρουθ. 3,11 - Και τώρα, κόρη μου, μη φοβήσαι· όλα όσα μου είπες θα κάμω προς χάριν σου, διότι όλος ο λαός της πόλεώς μου αυτής γνωρίζει ότι συ είσαι γυνή ενάρετος και ισχυράς θελήσεως.

Ρουθ. 3,12 - καὶ νῦν ὁ ἀληθῶς ἀγχιστεὺς ἐγώ εἰμι. καί γέ ἐστιν ἀγχιστεὺς ἐγγίων ὑπὲρ ἐμέ.

Ρουθ. 3,12 - Λοιπόν, πράγματι, εγώ είμαι συγγενής σου. Υπάρχει όμως εδώ και ενας άλλος, ο οποίος είναι στενώτερος συγγενής σου από εμέ.

Ρουθ. 3,13 - αὐλίσθητι τὴν νύκτα, καὶ ἔσται τὸ πρωΐ, ἐὰν ἀγχιστεύσῃ σε, ἀγαθόν, ἀγχιστευέτω· ἐὰν δὲ μὴ βούληται ἀγχιστεῦσαί σε, ἀγχιστεύσω σε ἐγώ, ζῇ Κύριος· κοιμήθητι ἕως τὸ πρωΐ.

Ρουθ. 3,13 - Κοιμήσου αυτήν την νύκτα εδώ και αύριον το πρωί θα ερωτήσω αυτόν σχετικώς· αν θελήση εκείνος να σε νυμφευθή, καλώς. Ας σε παρή σύζυγόν του. Εάν όμως εκείνος δεν θελήση να σε νυμφευθή, θα σε πάρω εγώ σύζυγόν μου. Ζων ενώπιόν μας είναι ο Κυριος που με ακούει. Κοιμήσου εδώ έως το πρωι".

Ρουθ. 3,14 - καὶ ἐκοιμήθη πρὸς ποδῶν αὐτοῦ ἕως πρωΐ. ἡ δὲ ἀνέστη πρὸ τοῦ ἐπιγνῶναι ἄνδρα τὸν πλησίον αὐτοῦ· καὶ εἶπε Βοόζ· μὴ γνωσθήτω ὅτι ἦλθε γυνὴ εἰς τὸν ἅλω.

Ρουθ. 3,14 - Εκοιμήθη πράγματι η Ρούθ κοντά εις τα πόδια του Βοόζ έως το πρωι. Πολύ δε πρωί εξύπνησεν εις ώραν, κατά την οποίαν, λόγω του σκότους, δεν ημπορούσε να αναγνωρίση ο ενας άνθρωπος τον άλλον. Εξ άλλου δε και ο Βοόζ είπεν στους περί αυτόν· "προσέξατε, κανείς δεν πρέπει να μάθη ότι ήλθεν αυτή η γυναίκα στο αλώνι".

Ρουθ. 3,15 - καὶ εἶπεν αὐτῇ· φέρε τὸ περίζωμα τὸ ἐπάνω σου. καὶ ἐκράτησεν αὐτό, καὶ ἐμέτρησεν ἓξ κριθῶν καὶ ἐπέθηκεν ἐπ᾽ αὐτήν· καὶ εἰσῆλθεν εἰς τὴν πόλιν.

Ρουθ. 3,15 - Είπε δε ο Βοόζ εις την Ρούθ· "φέρε το ιμάτιον, που έχεις ρίξει επάνω σου". Το επήρεν ο Βοόζ, έβαλεν εις αυτό εξ μέτρα κριθής και το εφόρτωσεν εις αυτήν. Αυτός δε εισήλθεν εις την πόλιν Βηθλεέμ.

Ρουθ. 3,16 - καὶ Ῥοὺθ εἰσῆλθε πρὸς τὴν πενθερὰν αὐτῆς· ἡ δὲ εἶπεν αὐτῇ· θύγατερ· καὶ εἶπεν αὐτῇ πάντα, ὅσα ἐποίησεν αὐτῇ ὁ ἀνήρ.

Ρουθ. 3,16 - Η Ρούθ επανήλθεν προς την πενθεράν της, η οποία και την ηρώτησε· "κόρη μου, τι έκαμες;" Εκείνη δε διηγήθη εις αυτήν όλα όσα της είπε και έπραξεν ο Βοόζ.

Ρουθ. 3,17 - καὶ εἶπεν αὐτῇ· τὰ ἓξ τῶν κριθῶν ταῦτα ἔδωκέ μοι, ὅτι εἶπε πρός με· μὴ εἰσέλθῃς κενὴ πρὸς τὴν πενθεράν σου.

Ρουθ. 3,17 - Προσέθεσε δε ακόμη· "αυτά τα εξ μέτρα κριθής μου τα έδωκεν ο Βοόζ και μου είπε· Παρε τα δια να μην επανέλθης εις την πενθεράν

σου με αδειανά τα χέρια”.

Ρουθ. 3,18 - ἡ δὲ εἶπε· κάθου, θύγατερ, ἕως τοῦ ἐπιγνῶναί σε πῶς οὐ πεσεῖται ῥῆμα· οὐ γὰρ μὴ ἡσυχάσῃ ὁ ἀνήρ, ἕως ἂν τελεσθῇ τὸ ῥῆμα σήμερον.

Ρουθ. 3,18 - Η δε Νωεμίν της είπε· “κάθησε εδώ, κόρη μου, μέχρις ότου μάθης, ποίαν έκβασιν θα λάβη αυτή η υπόθεσις. Διότι ο άνθρωπος αυτός δεν θα ησυχάση, μέχρις ότου φέρη εις πέρας το ζήτημα αυτό”.

## ΡΟΥΘ 4

Ρουθ. 4,1 - Καὶ Βοὸζ ἀνέβη ἐπὶ τὴν πύλην, καὶ ἐκάθισεν ἐκεῖ, καὶ ἰδοὺ ὁ ἀγχιστεὺς παρεπορεύετο, ὃν ἐλάλησε Βοόζ. καὶ εἶπε πρὸς αὐτὸν Βοόζ· ἐκκλίνας κάθισον ὧδε, κρύφιε. καὶ ἐξέκλινε καὶ ἐκάθισε.

Ρουθ. 4,1 - Ο Βοόζ πράγματι επήγεν εις την πύλην της Βηθλεέμ και εκάθησεν εκεί. Και ιδού, διήρχετο από εκεί ο συγγενής της Ρούθ, που είχε περισσότερα δικαιώματα γάμου με αυτήν. Τον εκάλεσεν ο Βοόζ και του είπε· “φίλε, γύρισε προς τα εδώ και κάθησε”. Εκείνος κατηυθύνθη προς τον Βοόζ και εκάθησεν εκεί.

Ρουθ. 4,2 - καὶ ἔλαβε Βοὸζ δέκα ἄνδρας ἀπὸ τῶν πρεσβυτέρων τῆς πόλεως καὶ εἶπε· καθίσατε ὧδε· καὶ ἐκάθισαν.

Ρουθ. 4,2 - Αμέσως ο Βοόζ εκάλεσε δέκα από τους γεροντοτέρους της πόλεως και τους είπε· “καθήσατε και σεις εδώ”. Εκείνοι εκάθησαν.

Ρουθ. 4,3 - καὶ εἶπε Βοὸζ τῷ ἀγχιστεῖ· τὴν μερίδα τοῦ ἀγροῦ, ἥ ἐστι τοῦ ἀδελφοῦ ἡμῶν τοῦ Ἐλιμέλεχ, ἣ δέδοται Νωεμὶν τῇ ἐπιστρεφούσῃ ἐξ ἀγροῦ Μωάβ,

Ρουθ. 4,3 - Είπε δε ο Βοόζ στον συγγενή της Ρούθ· “το μερίδιον του αγρού, το οποίον ανήκεν στον συγγενή μας τον Ελιμέλεχ, έχει δοθή και ευρίσκεται εις την κυριότητα της Νωεμίν, η οποία επέστρεψεν από τους αγρούς της Μωάβ. Αυτό δε έχει εκτεθή προς πώλησιν.

Ρουθ. 4,4 - κἀγὼ εἶπα· ἀποκαλύψω τὸ οὖς σου λέγων· κτῆσαι ἐναντίον τῶν καθημένων καὶ ἐναντίον τῶν πρεσβυτέρων τοῦ λαοῦ μου· εἰ ἀγχιστεύεις, ἀγχίστευε· εἰ δὲ μὴ ἀγχιστεύεις, ἀνάγγειλόν μοι καὶ γνώσομαι· ὅτι οὐκ ἔστι πάρεξ σοῦ τοῦ ἀγχιστεῦσαι, κἀγώ εἰμι μετὰ σέ. ὁ δὲ εἶπεν· ἐγώ εἰμι, ἀγχιστεύσω.

Ρουθ. 4,4 - Εσκέφθηκα λοιπόν και είπα· θα ανακοινώσω εις σε αυτό το ζήτημα προτείνων να αγοράσης αυτόν τον αγρόν επί παρουσία των δέκα τούτων μαρτύρων, που κάθονται κοντά μας και ενώπιον των άλλων πρεσβυτέρων του λαού μου. Εάν λοιπόν, ως στενώτερος συγγενής του Ελιμέλεχ, θέλης να το αγοράσης, αγόρασέ το. Ειπέ το δε και εις εμέ, δια να γνωρίζω. Σου προτείνω αυτά διότι έπειτα από σε εγώ είμαι ο στενώτερος

συγγενής του Ελιμέλεχ”. Εκείνος απήντησεν· “εγώ είμαι πράγματι ο στενώτερος συγγενής και εγώ θα αγοράσω το τμήμα αυτό του αγρού”.

Ρουθ. 4,5 - καὶ εἶπε Βοόζ· ἐν ἡμέρᾳ τοῦ κτήσασθαί σε τὸν ἀγρὸν ἐκ χειρὸς Νωεμὶν καὶ παρὰ Ῥοὺθ τῆς Μωαβίτιδος γυναικὸς τοῦ τεθνηκότος, καὶ αὐτὴν κτήσασθαί σε δεῖ ὥστε ἀναστῆσαι τὸ ὄνομα τοῦ τεθνηκότος ἐπὶ τῆς κληρονομίας αὐτοῦ.

Ρουθ. 4,5 - Ο Βοόζ προσέθεσε· “την ημέραν όμως, κατά την οποίαν θα αγοράσης τον αγρόν από την Νωεμίν και από την Ρουθ την Μωαβίτιδα, σύζυγον του αποθανόντος υιού του Ελιμέλεχ, είσαι υποχρεωμένος να λάβης και ως σύζυγον την Ρούθ, ώστε να αναδείξης κληρονόμους του αποθανόντος και να αναζήση το όνομά του εις την κληρονομίαν”.

Ρουθ. 4,6 - καὶ εἶπεν ὁ ἀγχιστεύς· οὐ δυνήσομαι ἀγχιστεῦσαι ἐμαυτῷ, μή ποτε διαφθείρω τὴν κληρονομίαν μου· ἀγχίστευσον σεαυτῷ τὴν ἀγχιστείαν μου, ὅτι οὐ δυνήσομαι ἀγχιστεῦσαι.

Ρουθ. 4,6 - Ο στενός εκείνος συγγενής είπε τότε· “δεν θα ημπορέσω εγώ να αγοράσω δια λογαριασμόν μου τον αγρόν, μήπως τυχόν και φθείρω την ιδικήν μου κληρονομίαν. Αγόρασε συ αυτήν μου την κληρονομίαν, διότι εγώ δεν θέλω και δεν θα ημπορέσω υπό τοιούτους όρους να την εξαγοράσω”.

Ρουθ. 4,7 - καὶ τοῦτο τὸ δικαίωμα ἔμπροσθεν ἐν τῷ Ἰσραὴλ ἐπὶ τὴν ἀγχιστείαν καὶ ἐπὶ τὸ ἀντάλλαγμα τοῦ στῆσαι πάντα λόγον, καὶ ὑπελύετο ἀνὴρ τὸ ὑπόδημα αὐτοῦ καὶ ἐδίδου τῷ πλησίον αὐτοῦ τῷ ἀγχιστεύοντι τὴν ἀγχιστείαν αὐτοῦ, καὶ τοῦτο ἦν μαρτύριον ἐν Ἰσραήλ.

Ρουθ. 4,7 - Ο δε νομικός όρος, η νομική πράξις, μεταξύ των Ισραηλιτών δια την μεταβίβασιν κυριότητος εις περίπτωσιν αγοράς η ανταλλαγής, ώστε να είναι έγκυρος η συμφωνία, ήτο εξής· Εκείνος, που μετεβίβαζε την κυριότητα του κτήματος, έλυε και αφαιρούσε το υπόδημά του και έδιδεν αυτό εις εκείνον, στον οποίον περιήρχοντο πλέον τα δικαιώματα κτήσεως. Αυτό το σύμβολον ήτο επίσημος μαρτυρία της γενομένης πράξεως.

Ρουθ. 4,8 - καὶ εἶπεν ὁ ἀγχιστεὺς τῷ Βοόζ· κτῆσαι σεαυτῷ τὴν ἀγχιστείαν μου· καὶ ὑπελύσατο τὸ ὑπόδημα αὐτοῦ καὶ ἔδωκεν αὐτῷ.

Ρουθ. 4,8 - Ο έχων, λοιπόν, τα πρώτα δικαιώματα της αγοράς είπεν στον Βοόζ· “αγόρασε συ δια λογαριασμόν σου το κτήμα τούτο”. Ελυσε δε αμέσως το υπόδημά του και το παρέδωσεν στον Βοόζ.

Ρουθ. 4,9 - καὶ εἶπε Βοὸζ τοῖς πρεσβυτέροις καὶ παντὶ τῷ λαῷ· μάρτυρες ὑμεῖς σήμερον, ὅτι κέκτημαι πάντα τὰ τοῦ Ἐλιμέλεχ καὶ πάντα, ὅσα ὑπάρχει τῷ Χελαιὼν καὶ τῷ Μααλὼν ἐκ χειρὸς Νωεμίν·

Ρουθ. 4,9 - Είπε τότε ο Βοόζ στους γεροντοτέρους και εις όλους όσοι έτυχε να ευρεθούν εκεί· “όλοι σεις είσθε σήμερα μάρτυρες ότι εγώ αγοράζω από τα χέρια της Νωεμίν όλα όσα ανήκουν στον Ελιμέλεχ, επομένως και όλα όσα ανήκον στους δύο υιούς του τον Χελαιών και Μααλών.

Ρουθ. 4,10 - καί γε Ῥοὺθ τὴν Μωαβῖτιν τὴν γυναῖκα Μααλὼν κέκτημαι ἐμαυτῷ εἰς γυναῖκα τοῦ ἀναστῆσαι τὸ ὄνομα τοῦ τεθνηκότος ἐπὶ τῆς κληρονομίας αὐτοῦ, καὶ οὐκ ἐξολοθρευθήσεται τὸ ὄνομα τοῦ τεθνηκότος ἐκ τῶν ἀδελφῶν αὐτοῦ καὶ ἐκ τῆς φυλῆς λαοῦ αὐτοῦ· μάρτυρες ὑμεῖς σήμερον.

Ρουθ. 4,10 - Επί πλέον λαμβάνω ως σύζυγόν μου την Ρούθ, την Μωαβίτιδα, σύζυγον του αποθανόντος Μααλών, δια να αναζήση το όνομα του αποθανόντος επί της κληρονομίας του. Ετσι δε δεν θα χαθή το όνομά του μεταξύ των συγγενών του και της φυλής του λαού του. Σεις είσθε σήμερον μάρτυρες”.

Ρουθ. 4,11 - καὶ εἴποσαν πᾶς ὁ λαὸς οἱ ἐν τῇ πύλῃ· μάρτυρες. καὶ οἱ πρεσβύτεροι εἴποσαν· δῴη Κύριος τὴν γυναῖκά σου τὴν εἰσπορευομένην εἰς τὸν οἶκόν σου ὡς Ῥαχὴλ καὶ ὡς Λείαν, αἳ ᾠκοδόμησαν ἀμφότεροι τὸν οἶκον τοῦ Ἰσραὴλ καὶ ἐποίησαν δύναμιν ἐν Ἐφραθά, καὶ ἔσται ὄνομα ἐν Βηθλεέμ·

Ρουθ. 4,11 - Ολος ο λαός που ευρίσκετο εις την πύλην, απήντησαν· “ναι, είμεθα μάρτυρες”. Οι δε πρεσβύτεροι προσέθεσαν· “είθε ο Κυριος να αξιώση την γυναίκα σου, η οποία σήμερον εισέρχεται στον οίκον σου, να ομοιάση με την Ραχήλ και την Λείαν, αι οποίαι με τα γεννηθέντα από αυτάς τέκνα εδημιούργησαν το μεγάλο έθνος του Ισραήλ και απέκτησαν τιμήν και δύναμιν εις την Εφραθά και όνομα εις την Βηθλεέμ.

Ρουθ. 4,12 - καὶ γένοιτο ὁ οἶκός σου ὡς ὁ οἶκος Φαρές, ὃν ἔτεκε Θάμαρ τῷ Ἰούδᾳ, ἐκ τοῦ σπέρματος οὗ δώσει Κύριός σοι ἐκ τῆς παιδίσκης ταύτης.

Ρουθ. 4,12 - Ευχόμεθα επίσης να αναδειχθή η οικογένειά σου ωσάν την οικογένειαν του Φαρές, τον οποίον εγέννησεν η Θαμαρ δια του Ιούδα, να αναδειχθή δια του απογόνου, τον οποίον θα δώση εις σε αυτή η δούλη σου, η Ρούθ”.

Ρουθ. 4,13 - καὶ ἔλαβε Βοὸζ τὴν Ῥούθ, καὶ ἐγενήθη αὐτῷ εἰς γυναῖκα, καὶ εἰσῆλθε πρὸς αὐτήν, καὶ ἔδωκεν αὐτῇ Κύριος κύησιν, καὶ ἔτεκεν υἱόν.

Ρουθ. 4,13 - Ενυμφεύθη λοιπόν ο Βοόζ την Ρούθ, έλαβεν αυτήν ως σύζυγόν τοθυ και ήλθεν εις συνάφειαν με αυτήν. Ο δε Κυριος την ηυλόγησεν, ώστε να συλλάβη και να γεννήση υιόν.

Ρουθ. 4,14 - καὶ εἶπαν αἱ γυναῖκες πρὸς Νωεμίν· εὐλογητὸς Κύριος, ὃς οὐ κατέλυσέ σοι σήμερον τὸν ἀγχιστέα, καὶ καλέσαι τὸ ὄνομά σου ἐν Ἰσραήλ,

Ρουθ. 4,14 - Αι δε γυναίκες της Βηθλεέμ έλεγαν με συγκίνησιν εις την Νωεμίν· “ας είναι δοξασμένος ο Κυριος, ο οποίος δεν σε αφήκε σήμερον χωρίς στενόν συγγενή σου και έτσι θα συνεχισθή και θα δοξασθή το όνομά σου μεταξύ των Ισραηλιτών.

Ρουθ. 4,15 - καὶ ἔσται σοι εἰς ἐπιστρέφοντα ψυχὴν καὶ τοῦ διαθρέψαι τὴν πολιάν σου, ὅτι ἡ νύμφη ἡ ἀγαπήσασά σε ἔτεκεν αὐτόν, ἥ ἐστιν ἀγαθή σοι ὑπὲρ ἑπτὰ υἱούς.

Ρουθ. 4,15 - Θα ανακουφίση δε την ψυχήν σου, θα είναι τροφή και στήριγμα εις τα γηρατεία σου, διότι η νύμφη σου, η οποία τόσον πολύ σε ηγάπησεν, εγέννησεν αυτόν τον υιόν, και η οποία δια τούτο αξίζει περισσότερον από επτά υιούς”.

Ρουθ. 4,16 - καὶ ἔλαβε Νωεμὶν τὸ παιδίον καὶ ἔθηκεν εἰς τὸν κόλπον αὐτῆς καὶ ἐγενήθη αὐτῷ εἰς τιθηνόν.

Ρουθ. 4,16 - Επήρεν η Νωεμίν το παιδί της Ρούθ, το έθεσεν εις την αγκάλην της και ανέλαβεν αυτή να το αναθρέψη.

Ρουθ. 4,17 - καὶ ἐκάλεσαν αὐτοῦ αἱ γείτονες ὄνομα λέγουσαι· ἐτέχθη υἱὸς τῇ Νωεμίν· καὶ ἐκάλεσαν τὸ ὄνομα αὐτοῦ Ὠβήδ· οὗτος πατὴρ Ἰεσσαὶ πατρὸς Δαυίδ.

Ρουθ. 4,17 - Αι γειτόνισσαι έδωσαν εις αυτό όνομα λέγουσαι· “εγεννήθη παιδί εις την Νωεμίν”. Ωνόμασαν αυτό Ωβήδ. Αυτός είναι ο πατήρ του Ιεσσαί, πατρός του Δαυΐδ.

Ρουθ. 4,18 - καὶ αὗται αἱ γενέσεις Φαρές· Φαρὲς ἐγέννησε τὸν Ἐσρώμ,

Ρουθ. 4,18 - Αυτοί δε είναι οι απόγονοι του Φαρές· ο Φαρές εγέννησε τον Εσρώμ,

Ρουθ. 4,19 - Ἐσρὼμ δὲ ἐγέννησε τὸν Ἀράν, καὶ Ἀρὰν ἐγέννησε τὸν Ἀμιναδάβ,

Ρουθ. 4,19 - ο Εσρώμ δε εγέννησε τον Αράν, ο Αράν εγέννησε τον Αμιναδάβ,

Ρουθ. 4,20 - καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσών, καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμάν,

Ρουθ. 4,20 - Ο Αμιναδάβ εγέννησε τον Νaασών, ο Ναασών εγέννησε τον Σαλμάν

Ρουθ. 4,21 - καὶ Σαλμὰν ἐγέννησε τὸν Βοόζ, καὶ Βοὸζ ἐγέννησε τὸν Ὠβήδ,

Ρουθ. 4,21 - ο Σαλμάν εγέννησε τον Βοόζ, ο Βοόζ εγέννησε τον Ωβήδ,

Ρουθ. 4,22 - καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί, καὶ Ἰεσσαὶ ἐγέννησε τὸν Δαυίδ.

Ρουθ. 4,22 - ο Ωδήδ εγέννησε τον Ιεσσαί και ο Ιεσσαί εγέννησε τον Δαυΐδ.